LIBRARY OF PRINCETON
APR 20 1955
THEOLOGICAL SEMINARY

BS44
.O39
v.2

LIBRARY OF PRINCETON
APR 20 1955
THEOLOGICAL SEMINARY

ΠΕΡΙ ΤΩΝ

# Ο, ΕΡΜΗΝΕΥΤΩΝ

ΤΗΣ

# ΠΑΛΑΙΑΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ,

## ΒΙΒΛΙΑ Δ.

ΣΥΝΤΑΧΘΕΝΤΑ ΥΠΟ

*τοῦ Πρεσβυτέρου καὶ Οἰκονόμου τοῦ Οἰκουμενικοῦ Πατριαρχικοῦ Θρόνου,*

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΕΞ ΟΙΚΟΝΟΜΩΝ.

Constantine Oikonomos

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

ΑΘΗΝΗΣΙΝ.

ΤΥΠΟΙΣ Π. Β. ΜΕΛΑΧΟΥΡΟΥ ΚΑΙ Φ. ΚΑΡΑΜΠΙΝΟΥ.

Ὁδῷ Ἁγίου Μάρκου.

͵ΑΩΜΕ.

« Τὰ λόγια Κυρίου, λόγια ἁγνά· ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως » (Ψαλμ. ΙΑ. 7). « Ἰδοὺ αὐτοὶ ἀποφθέγξονται τῷ στόματι αὐτῶν. Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς. Ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις ». Ὁ δὲ λόγος Κυρίου εἰς τὸν αἰῶνα μένει. Ἡ αἴνεσις αὐτοῦ ἐν Ἐκκλησίᾳ ὁσίων. (Ψαλμ. νη, ξγ, οβ, ριη, ρμθ). « Πάντα τοίνυν τὰ ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ προφερόμενα ὡς δόκιμον δέχου χρυσίον, πεπυρωμένα τῷ τῆς ἀληθείας Πνεύματι. Τὰ δὲ ἔξω ταύτης περιφερόμενα, εἰ καί τι ἔχει πιθανὸν πρὸς σεμνότητα, τοῖς ἔξω τῶν σῶν ἀγώνων ζητεῖν καὶ τηρεῖν καταλίμπανε. Οἷς κόμπος λέξεων μᾶλλον ἐσπούδασται, ἢ καὶ μύθους τινὰς ἀναπλάττειν αἱρέσεων ». Ἰσίδωρ. Πηλουσ. Ἐπιςολ. Βιβλ. Α, τξθ.

# ΠΙΝΑΞ

## ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ ΤΟΥ Β. ΒΙΒΛΙΟΥ.

ΚΕΦΑΛ. Α. Εἰσαγωγικὴ περίληψις τῶν παρὰ τοῖς νεωτέροις περὶ τῆς ἑρμηνείας ἐπισημοτέρων δοξῶν . . . . . . . . . . . . . 1.

ΚΕΦΑΛ. Β. Ποία τις ἡ αἰτία τῆς ἑρμηνείας τῶν Γραφῶν· καὶ εἴπερ ἐξελληνίσθησάν ὑπό τινων ἄλλων παρὰ τοὺς Ο, καὶ μήτε φιλοτιμίᾳ τοῦ βασιλέως, μήτε Δημητρίου τοῦ Φαληρέως ἐπιστατοῦντος . . . 27.

ΚΕΦΑΛ. Γ. Ὅτι καὶ παρὰ τοῖς ἀρχαίοις ἐθνικοῖς σοφοῖς ὑπῆρχε γνωστὴ ἡ ἑρμηνεία τῶν Ο. . 76.

ΚΕΦΑΛ. Δ. Ποῖοί τινες ἦσαν, καὶ πόθεν, οἱ τῶν Γραφῶν μεταφρασταί . . . . . . . . . 167.

ΚΕΦΑΛ. Ε. Περὶ τοῦ ἀριθμοῦ τῶν ΟΒ, μεταφραστῶν· Ἐν ᾧ καὶ περὶ τῆς ἐν Φάρῳ κατ' ἔτος τελουμένης πανηγύρεως εἰς μνήμην τῆς μεταφράσεως . . . . . . . . 268.

ΚΕΦΑΛ. Ϛ. Περὶ τῶν Ο δωματίων, ἐν οἷς οἱ Ο μεθηρμήνευσαν κατὰ θείαν ἐπίπνοιαν τὰς Γραφάς. Ἀντίῤῥησις τῶν ἐναντίων . . . 337.

ΚΕΦΑΛ. Ζ. Πότερον, ὅλην τὴν παλαιὰν θείαν Γραφὴν ἡρμήνευσαν οἱ Ο, ἢ μόνην τὴν Πεντάτευχον; . . . . . . . . . . . . 403.

ΚΕΦΑΛ. Η. Περὶ τοῦ βιβλίου Ἰησοῦ τοῦ Ναυῆ, πότε μετεφράσθη . . . . . . . . . 495.

ΚΕΦΑΛ. Θ. Περὶ τοῦ πότε μετεφράσθησαν ἐν γένει τὰ (μετὰ τὴν Πεντάτευχον) ὑπόλοιπα βιβλία

| | | |
|---|---|---|
| | τῆς Γραφῆς. Ἐν ᾧ καὶ ἄλλαι τινὲς περὶ τῆς ἑρμηνείας γνῶμαι τῶν νεωτεριστῶν | 534. |
| ΚΕΦΑΛ. Ι. | Περὶ τῆς φράσεως τῆς τῶν Ο ἑρμηνείας, ἐξ ἧς οἱ ἐναντίοι πολλὰς ἐπάγουσιν ἀποδείξεις, ὅτι δῆθεν οὔτε ὅλη ὑπὸ τῶν αὐτῶν ἑρμηνευτῶν ἐφιλοπονήθη, καὶ πολλὰ τῶν βιβλίων οὐ μόνον ὁλοκλήρως, ἀλλὰ καὶ κατὰ μέρη διαφόρους ἔχον ἑρμηνευτάς. | 598. |
| ΚΕΦΑΛ. ΙΑ. | Ἕτερα παραδείγματα χωρίων προσβαλλομένων, ὡς δῆθεν διεψευσμένως ἡρμηνευμένων παρὰ τοῖς Ο. . . . . . . | 718. |
| ΚΕΦΑΛ. ΙΒ. | Καθόλου θεωρία περὶ τῶν λεγομένων αἰτίων τῆς τῶν Ο πρὸς τὸ καθ' ἡμᾶς ἑβραϊκὸν διαφωνίας . . . . . . . | 794. |
| ΚΕΦΑΛ. ΙΓ. | Περὶ τῆς ἑρμηνευτικῆς μεθόδου τῶν Ο, φιλολογικὴ παρέκβασις . . . . . . | 895. |
| ΚΕΦΑΛ. ΙΔ. | Ἀνακεφαλαίωσις τοῦ Β. Βιβλίου . . . | 938. |

## ΠΕΡΙ ΤΩΝ

# Ο, ΕΡΜΗΝΕΥΤΩΝ

## ΤΗΣ ΠΑΛΑΙΑΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ.

## ΒΙΒΛΙΟΝ Β΄.

**Δόξαι τῶν Ἀριστεομάχων, περὶ τοῦ τίνες ἦσαν, καὶ πόσοι, οἱ κατ᾽ αὐτοὺς ἀληθεῖς τῆς Ἑβραΐδος Γραφῆς ἑρμηνεῖς, καὶ πότε, καὶ πῶς, καὶ πρὸς τίνα σκοπὸν ἐξετελέσθη ἡ ἑρμηνεία.**

### ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

*Εἰσαγωγικὴ περίληψις τῶν ἐπισημοτέρων δοξῶν.*

§. ά. ΚΑΤΑΡΡΑΞΑΝΤΕΣ (ὅσον τὸ ἐπ᾽ αὐτοῖς) τὸ παλαιὸν καὶ σεβάσμιον τέμενος τῆς περὶ τῶν Ο, Ἀριστηΐδος συγγραφῆς οἱ ταύτης πολέμιοι κριτικοὶ, ἄλλην ἐπεχείρησαν κτίζειν ὑψηλὴν οἰκοδομὴν ἱστορικοῦ συστήματος, ὀχυροῦ καὶ ἀσφαλοῦς, κατὰ τὸν πύργον τῆς Χαλάνης· καὶ δὴ περιστάντες ἄλλοθεν ἄλλοι, κατασκευάζουσι προθύμως τὴν ἱστορίαν τῆς ἑρμηνείας, οὐ πάντες μὲν ὁμορύθμως τεκταίνοντες καὶ πιθανουργοῦντες τὰς περιστάσεις, πάντες δὲ ὅμως συμφώνως ἀνθρωπικώτερον δῆθεν τὸ πρᾶγμα μορφοποιοῦντες, καὶ λογικώτερον, ἢ καὶ φιλοσοφώτερον, καὶ πάσης θαυμαστῆς ἰδιότητος ἀπηλλαγμένον. Τὴν μὲν οὖν ἀρχαίαν καὶ διὰ τοσούτων αἰώνων, τόπων, ἐθνῶν, συγγραφέων ἀλληλοδιαδόχων, κατελθοῦσαν εἰς ἡμᾶς ἱστορικὴν παράδοσιν ἐξεσύριξαν, ὡς ἂν πλάσμα μυθῶδες, καὶ σκότιον ἐξάμβλωμα ἀγυρτῶν τινων φιλο-

ψευδῶν καὶ κακοδαιμόνων. Τὴν δὲ τῆς ἑαυτῶν φαντασίας ποικιλόμορφον ἐπίνοιαν περιέθαλψαν, καὶ κατησπάσθησαν, ὡς μόνον τάχα γνήσιον καὶ πορφυρογέννητον γόνον τῆς ἱερᾶς ἀληθείας, ὃν ἐμαίευσε μὲν ἡ ὀρθοτάτη κρίσις, ἀνέθρεψε δὲ καὶ ἐκράτυνεν ἁβρὰ πολυμάθεια! Οὕτως ὁ ἀνθρώπινος νοῦς πολλάκις ὑπὸ λιμοδοξίας καὶ περιφιλαυτίας κεκρατημένος, ὤλισθεν εἰς τὸ κενὸν, καὶ λαβὼν ἀντὶ τῆς ἀληθείας τὸ τῆς ψευδολογίας εἴδωλον, ὡς ὁ μυθικὸς Ἰξίων τὴν νεφέλην, ἐτέκνωσεν, ὡς ἄλλους Κενταύρους, ἔκφυλά τινα καὶ νόθα γεννήματα, μηδὲν ὁμολογούμενον ἔχοντα, μηδὲ βέβαιον καὶ εἰλικρινὲς, ἀλλ᾿ ἀστατοῦντα καὶ μεταβαλλόμενα παντοδαπῶς, καὶ φερόμενα φορὰς ἄλλοτε ἄλλας.

§. β. Πολλῶν δὲ πολλὰς καὶ ποικίλας γνώμας εἰσενεγκόντων εἰς τοῦ δῆθεν πιθανωτάτου συστήματος τὴν οἰκοδομὴν, οὐ περιττὸν, ἴσως, ἐάν τινας ἐξ αὐτῶν, τὰς κυριωτάτας ἀριθμήσωμεν ἐνταῦθα, χάριν τῶν καθ᾿ ἡμᾶς φιλολόγων ἀναγνωστῶν, ὅπως πληροφορηθῶσι καὶ ἐκ τούτου, ὅτι ποικίλον μὲν τὸ ψεῦδος, καὶ πολυσχιδὲς, «*ἁπλοῦς δ᾿ ὁ μῦθος τῆς ἀληθείας ἔφυ*».

§. γ. Α) Ὁ πολὺς ἐπὶ σοφίᾳ Σκαλίγηρος, ὁ καὶ πρόεδρος τῶν Ἀριστεομάχων, μέχρι μέν τινος ἔκρινεν, ὅτι διαταγῇ μὲν τοῦ Φιλαδέλφου, οὐχὶ δὲ καὶ σπουδῇ τοῦ Φαληρέως ἐγένετο ἡ ἑρμηνεία (α). Μετὰ δὲ ταῦτα μεταβαλόμενος ἐδογμάτισεν, ὅτι, «ἐπειδὴ τοὺς κατ᾿ Αἴγυπτον Ἰουδαίους ἐκέλευσαν οἱ Πτολεμαῖοι τά τε πρὸς ἀλλήλους συναλλάγματα καὶ συμβόλαια γράφειν ἑλληνιστὶ, καὶ τὰ ἔτη πολιτικῶς ἀπὸ Πτολεμαίου τοῦ Φιλαδέλφου χρονολογεῖν, ἠναγκάσθησαν οὗτοι καὶ τὰς γραφὰς ἐξελληνίσαι διά τινων ἰδίων ἑρμηνευτῶν. Διὸ καὶ τὴν ἑρμηνείαν ἀπέδωκαν εἰς τὸν πρῶτον ἑλληνίζειν αὐτοὺς ἀναγκάσαντα βασιλέα, τὸν Φιλάδελφον. Καὶ λοιπὸν, ἡ τῶν Ο, λεγομένη μετάφρασις τῆς ἑβραΐδος Γραφῆς οὐκ ἀπὸ τῆς Φιλαδέλφου συνεγράφη σπουδῆς καὶ φιλοτιμίας, ὑπ᾿ αὐτῶν δὲ τῶν Ἰουδαίων, τῷ ἰδίῳ συμφέροντι πειθομένων,

(α) J. Scaliger. ad Chronic. Euseb. Num. 1734.

οἵτινες ὀλίγῳ μὲν ἐνόουν τὰ ἑβραϊκὰ, ἠναγκάζοντο δὲ καὶ ὑπὸ τῶν βασιλέων διαλέγεσθαι καὶ γράφειν ἑλληνιστί » (α). Ταῦτα ὁ πολὺς Σκαλίγηρος! πρῶτος καὶ μόνος αὐτὸς τοῖς Ἰουδαίοις ἀνάγκην εἰς τὸ ἑλληνίζειν ἐπιτιθέντας τοὺς Πτολεμαίους, καὶ πρώτιστα τὸν Φιλάδελφον, ἱστορῶν, καὶ μόνους τοὺς Ἰουδαίους εἰσάγων χρονολογοῦντας ἀπὸ τῆς Φιλαδέλφου ἐποχῆς. Ἀλλὰ πρῶτον μὲν, αὐτὸς ὁ Φιλάδελφος ἠρίθμει τὰ ἔτη ἀπὸ τῆς ἐποχῆς τοῦ ἰδίου αὐτοῦ πατρὸς (βλ. Τόμ. α. σελ. 212). Ἔπειτα, πᾶσα ἡ Αἴγυπτος, ἐπὶ τῶν Λαγιδῶν, ἐν τοῖς δημοσίοις πρακτικοῖς καὶ συμβολαίοις ἐλογίζετο τὰ ἔτη πολιτικῶς πρὸς τὰ ἔτη τῆς βασιλείας ἑκάστου τῶν βασιλέων αὐτῆς (β). Καὶ οὗτος ἦν ὁ κοινὸς *τῶν συμβολαίων χρηματισμὸς* (Aera), ἢ καὶ ἄλλως *ἀρίθμησις τῶν συμβολαίων*, ὡς ἄριστα παρετήρησεν ὅ,τε Κασωβῶν ἐκ τοῦ Πορφυρίου, καὶ αὐτὸς ὁ δεινὸς Σκαλίγηρος (γ)· ἤδη δὲ παραδόξως αὐτοσχεδιάζει, παρασπῶν τὰ πράγματα πρὸς τὸ δοκοῦν (δ). Ἀλλ' ἀντέστησαν πρὸς τὸν μέγαν τοῦτον κριτικὸν οἱ περὶ τὸν Ὀττιγγῆρον (ἐν οἷς καὶ Βοβέριος, καὶ Χαμιῆρος μετ' ἄλλων), καὶ τὴν αὐθάδη ταύτην γνώμην ἀπεστύππασαν ἐκ τοῦ περιβόλου τῶν κατ' αὐτοὺς δοξασιῶν, τὴν μὲν τῶν Γραφῶν ἑρμηνείαν ἅπαντες εἰς τὸν Φιλάδελφον ἀναγράφοντες, τὰ δὲ *περὶ τοῦ*

(α) Scalig. Epist. ad Seguin. et apud Hottinger. Thes. Philolog. I. 3. p. 292. πρβλ. καὶ Hody pag. 109.

(β) Βλ. Champollion-Fig. Annal. des Lagid. T. 1. p. 47.

(γ) « Τῶν χρηματισμῶν ἀναφερομένων εἰς ἀμφοτέρους (τοὺς βασιλεῖς) » — Καὶ « εἰς μόνον ἤρξατο μετατίθεσθαι τὸν Ἀλέξανδρον τὰ συμβόλαια » Πορφυρ. παρ' Εὐσεβ. Χρονικ. α. ἐκδ. Scalig. p. 60 καὶ 430.

(δ) Οὕτω καὶ τὸ « Ἐν γὰρ τῷ ὀγδόῳ καὶ τριακοστῷ ἔτει ἐπὶ Εὐεργέτου βασιλέως » (Προλογ. Σοφ. Σειρ.) ἐξετάσας, ἀπεφήνατο μαντικώτερον, ὅτι ὁ ἀριθμὸς οὗτος σύγκειται ἐκ τῶν ἐσχάτων ἐτῶν τῆς τοῦ Φιλαδέλφου βασιλείας, καὶ τῶν πρώτων τοῦ Εὐεργέτου τοῦ Α! (διότι ὁ Εὐεργέτης οὗτος ἐβασίλευσε μόνα 25). Τούτους δὲ τοὺς 38, ἐνιαυτοὺς πορισθεὶς ἐκ τῆς κατὰ τὸν μαθηματικὸν Διονύσιον χρονολογικῆς ἀριθμήσεως (aerae) τῶν ἐτῶν τοῦ Φιλαδέλφου, συνῆξεν ἐντεῦθεν καὶ ὅτι ἡ τοῦ Διονυσίου ἀρίθμησις ὑπῆρχε καὶ πολιτική! Ὅθεν καὶ ὁ Παταΰϊος ἐξήλεγξε δικαίως τοὺς Σκαλιγηρείους τούτους ὀνείρους (Petav. Animadv. ad S. Epiphan. T. 2. p. 383. πρβλ. Valcken. de Aristobul. Jud. p. 61.). Τὸ aera τινὲς εἶπον καὶ ψηφισμόν (Γλωσ.).

ἀριθμοῦ τῶν ἑρμηνευτῶν, καὶ τοῦ τόπου, καὶ τοῦ τρόπου τῆς ἑρμηνείας ἐν ἀμφιβόλῳ τιθέντες, καὶ πλάσματα, τὸ πλεῖστον, ὑποπτεύοντες ἐγκεφάλου ἰουδαϊκοῦ (α).

Β) Ἄνδρες περιώνυμοι, οἷον Ὑσσέριος, Καρτόβριχθος, Βοώτιος, Κρόϊος, Σχικάρδιος, Σαλμάσιος, Λιχθόφωτος, Μάρσαμος, Σαμουῆλος ὁ Πετῖτος, Σιμώνιος, Δουπῖνος, Μοντεφαλκώνιος, Λάμπερτος ὁ Βώς, Πριδῶς, Βερνισδόρφιος, Ἀσσεκάμπιος, Ὤβην, Φαβρίκυς (β), καὶ ἄλλοι, νομίζουσιν, ὅτι μόνον ἡ Πεντάτευχος ἡρμηνεύθη ἐπὶ τοῦ Φιλαδέλφου, τὰ δὲ λοιπὰ τῶν τευχῶν τῆς θείας Γραφῆς μετέπειτα κατὰ καιροὺς (ἀπὸ τοῦ 284, μέχρι τοῦ 130 π. Χ. ἢ καὶ κατωτέρω) ὑπὸ διαφόρων ἑρμηνευτῶν. Ὅτι δὲ μόνη δῆθεν ἡ Πεντάτευχος ἡρμηνεύθη, φέρουσι καὶ μάρτυρας ἀρχαίους αὐτόν τε τὸν κατ' αὐτοὺς Ψευδαριστέαν, καὶ Φίλωνα, καὶ Ἰώσηπον, καὶ τὸν μακάριον Ἱερώνυμον. Ἀλλ' εἰ μὲν ὁ Ἀριστέας, ἢ ὁ Φίλων καὶ Ἰώσηπος μαρτυροῦσιν ὁπωσδήποτέ τι τοιοῦτο, εἰ δὲ καὶ αὐτὸς ὁ Ἱερώνυμος ἐφρόνει τοῦτο κυρίως καὶ πεποιθότως, βλέπομεν ἐν τοῖς ἐφεξῆς· ἐν οἷς ἀναφανήσεται καὶ τὸ παράλογον τῆς δῆθεν κατὰ καιροὺς ἑρμηνείας τῶν ἄλλων βίβλων τῆς Γραφῆς. Καὶ αὐτῆς δὲ τῆς μόνης τάχα τὸ πρῶτον ἐξελληνισθείσης Πεντατεύχου τοὺς ἑρμηνεῖς *πέντε* μόνους θέλουσι πολλοί, μάρτυρα παρέχοντες ἀξιόλογον· ποῖον; ἓν χωρίον Ταλμουδικόν! Αὐτὴν δὲ τὴν ἑρμηνείαν οἱ μὲν πλεῖστοι στέργουσι γενομένην ἐκ τῆς ἑβραϊκῆς γλώσσης, οἱ δέ τινες διατείνονται, ὅτι ἐκ τῆς Χαλδαϊκῆς (παρεξηγοῦντες τὸν Φίλωνα, βλ. Τ. Α. σελ. 635), ἄλλοι δὲ, ἐκ τῆς Συριακῆς, πολλοὶ δὲ, τέλος, ἐκ τῆς Σαμαρειτικῆς (γ). Καὶ οἱ μέν τινες Πα-

(α) Hottinger. l. c. p. 286, 292.

(β) Usserius, Cartwrightus, Boetius, Crojus, Schickardus, Salmasius, Lightfoot, Marshamus, Samuel Petit, Simonius, Du-Pin, Montefalconius, Lamb. Bos, Humphr. Prideaux, Wernsdorff, Hassencamp, Owen, Fabricy (De titres primitifs de la Revelation T. 1. p. 223. sq.). Τούτῳ συνεφώνησε νεώτατος καὶ J. B. Glaire, Introtuct. histor. et crit. aux Livres de l'Ancien et de N. Testam. T. 1. p. 177. Paris 1843.

(γ) Οἷον Postellus, Seldenus, Lud. de Dieu (Βλ. Hottinger. Thes. Philol.

λαιστινούς, οἱ δὲ πλεῖστοι (καὶ ἐξ αὐτῶν τῶν νεωτέρων μάλιστα) Ἀλεξανδρινοὺς τὸ γένος ἐθέλουσι τοὺς ἑρμηνευτάς· ἀλλὰ καὶ περὶ τούτων ἐφεξῆς ἐν τοῖς οἰκείοις τόποις.

Β) Ὁ δὲ περικλεὴς Ὅδιος, ὡς μέλισσα φιλόπονος, τὰ κάλλιστα καὶ φίλα μετ' ἐπιμελείας ἀπανθισάμενος ἀπὸ τῶν προγενεστέρων, ἀπεφήνατο γνώμην τὴν ἐφεξῆς. Ὅτι τὴν λεγομένην τῶν Ο, ἑρμηνείαν ἐφιλοπόνησαν Ἀλεξανδρινοί τινες Ἰουδαῖοι. Καὶ οὗτοι, α) οὔτε κατὰ φιλοτιμίαν τοῦ Φιλαδέλφου βασιλέως, οὔτε Δημητρίου τοῦ Φαληρέως ἐπιστατοῦντος· μόνον δὲ πρὸς χρῆσιν τῶν κατὰ τὴν Ἀλεξάνδρειαν καὶ τὴν ἄλλην Αἴγυπτον παμπόλλων μυριάδων ἑλληνιστῶν Ἰουδαίων. β) Ἀλλ' οὐδ' ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ ἐθησαυρίσθη ἡ ἑρμηνεία. γ) Τέλος, οὐ μόνον τῶν διαφόρων τῆς Γραφῆς βιβλίων, ἢ τευχῶν, ἀλλὰ καὶ τῶν ἑνὸς καὶ τοῦ αὐτοῦ τεύχους διαφόρων μερῶν διάφοροι γεγόνασι κατὰ καιροὺς οἱ μεταφρασταί. Ὅσα δ' ἕκαστος μετέφρασε χωρία τῶν τε ἄλλων τευχῶν καὶ τῆς Πεντατεύχου, τούτων οὐδὲν ὑπετάγη καθυποβληθὲν εἰς τὴν κοινὴν ἐπίκρισιν καὶ τῶν ἄλλων ἑρμηνευτῶν. Ταῦτα περιληπτικώτερον ἐγνωμάτευσεν ὁ σοφὸς Ἀρχιδιάκονος, καὶ διὰ πολλῶν κεφαλαίων ἐσπούδασεν ἀποδεῖξαι· ταύτην δὲ τὴν γνώμην ἐξετάζομεν ἐν τοῖς ἐφεξῆς κατὰ τὰ τριπλᾶ ταύτης θεωρήματα, τοσοῦτον μόνον ἐνταῦθα προειπόντες· ὅτι τὸ μὲν πρῶτον τούτων, καὶ τὸ δεύτερον κατέστρεψε πρόῤῥιζα, χερσὶν ἰδίαις ἀνασπάσας αὐτὸς πάλιν Ὅδιος· ἐξήλεγξε δὲ δι' ὀλίγων καὶ ὁ Οὐαλκενῆρος (α).

p. 294—300), καὶ ὕστερον ὁ Hassencamp, Comment. de Pentat. LXX interpret. non ex Hebraeo sed Samaritano text. converso. Marburg. 1765. καὶ ἄλλοι. βλ. καὶ Eichhorn, Bibliotheck der Bibl. Litteratur part. 3. p. 315. καὶ Fabric. Biblioth. Graec. vol. 3. p. 668. Harl.

(α) Βλ. ἐφεξ. κεφ. β. §. δ. Καίτοι ἄλλως καὶ αὐτὸς ὁ Οὐαλκενῆρος ἀποδέχεται πᾶσαν μὲν τὴν Γραφὴν ἑρμηνευθεῖσαν ἐπὶ τοῦ Φιλαδέλφου, βασιλικῇ τε φιλοτιμίᾳ καὶ δι' ἐπιστασίας τοῦ Φαληρέως, ἀλλ' ὅμως οὐχ ὑπὸ τῶν οβ (κατὰ τὸν Ἀριστέα), πάνυ δ' ὀλίγων ἑρμηνευτῶν. « Tempore Philadelphi legem judaicam universam, sive l i b r o s  a n t i q u i  f o e d e r i s  i n  c a n o n e m  r e c e p t o s, o m n e s  G r a e c e  f u i s s e  c o n v e r s o s non à LXXII, sed perpaucis interpretibus ». Valcken. De Aristob. Jud. §. XXI. pag 62.

Τὸ δὲ τρίτον ἀπεδοκίμασε καὶ αὐτὸς ὁ πάντα τ᾿ ἄλλα (τίς ἂν ἤλπιζε;) συμφρονήσας Ὀδίῳ κλεινὸς Στούρζιος (α). ἐξήλεγξε δὲ τοῦτο καὶ καθ᾿ ἡμᾶς νεώτατος, ὁ Θήρσιος (ϐ).

Δ) Μετὰ τοῦ Ὀδίου συνεφώνησαν οὐ μόνον Βανδάλαι, καὶ πᾶς ὁ ὄχλος τῶν εἰσαγωγικῶν νεοφαντῶν, ὅσοι πρὸς λογικὰς διαγνώσεις ἰταμοὶ χωροῦσι καὶ προπετεῖς, καὶ τὴν κριτικὴν τῆς Γραφικῆς φιλολογίας καθέδραν, ἀκούσης Θέμιδος, ἀναβαίνειν ἐπιχειροῦσιν (γ), ἀλλὰ καὶ ἄλλοι ἐπὶ κριτικῇ πολυμαθείᾳ περιώνυμοι καὶ διασημότατοι σοφοί. Διαπρέπουσι δ᾿ ἐν τούτοις Οὐόλφιος ὁ θαυμάσιος (δ), καὶ Καρψόϐιος (ε), καὶ Ῥοδομύλλερος (ζ), καὶ μάλιστα ὁ περίϐλεπτος Εἰχόρνιος, ἔργον Ἀλεξανδρινῶν τινων Ἰουδαίων πρὸς χρῆσιν ἰδιωτικὴν δογματίζων καὶ οὗτος τὴν ἑρμηνείαν· καὶ τὴν περὶ ταύτης ἀρχαίαν ἱστορίαν πλήρη μύθων καὶ λήρων νομίζει, « οἷόν τινα (λέγει) *σαραμάτων σωρὸν*, ἐξ οὗ μόλις ἄν τις ἐκλέξοι ὀλίγους κόκκους ἀληθείας, πόνον πονήσας ἄχαριν »! Οὐ χεῖρον δὲ ἴσως ἐνταῦθα συντόμως προσθεῖναι καὶ αὐτὴν τὴν ἰδιότροπον αὐτοῦ κρίσιν, ἣν ἀπεφήνατο περὶ τῆς Ἀριστέου συγγραφῆς. Διφυῆ τινα καὶ σύμμικτον ἐζωγράφησεν ὁ Εἰχόρνιος τοῦτον τὸν (ὡς λέγει) μῦθον τῆς ἑρμηνείας τῶν Γραφῶν, δισσὰς αὐτοῦ πηγὰς ἐξορύξας. «Πρῶτον, λέγει, οἱ Ἀλεξανδρινοὶ Ἰουδαῖοι, ἀντιφιλοτιμούμενοι πρὸς τοὺς ἐν Παλαιστίνῃ καυχωμένους ἐπὶ τῇ θεοπνευστίᾳ τῶν, ὧν εἰς χρῆσιν εἶχον, ἑϐραϊκῶν Γραφῶν, ἔπλασαν καὶ αὐτοὶ περικλεῆ τινα καὶ θαυμαστὴν γενομένην τὴν ἑρμηνείαν, θεῖον οὕτω κῦρος περιϐάλλοντες καὶ τὰς ἑλληνικὰς Γραφάς, αἷς ἐχρῶντο κατὰ τὴν

---

(α) Sturzius de Dialect. Macedonic. et Alexand. p. 2—6.

(ϐ) Βλ. Thierschij de Pentat. Versione Alexandrin. L. I. p. 5. et 9.

(γ) Βλ. M. Gerh. Meier de Versione quam vocant LXX. virali ἱστορούμενα Isaaco Vossio potissimum opposita. Witteberg. 1690: — J. Henr. Sülzneri Disputatio historica et philologica de LXX interpret. Halae. 1696. etc.

(δ) Wolfius Bibl. Hebraic. vol. 2. p. 441. sqq.

(ε) Carpzovij Crit. Sacr. P. II. c. 2. p. 492. seqq.

(ζ) Rosenmüller Handbuch für die Litteratur der bibl. Kritik und Exegese 2 Bd.

Αἴγυπτον. Τὴν δὲ τοιαύτην φήμην, ἢ παράδοσιν, διέδοσεν εὐκόλως εἰς τὸ πλῆθος *ἀπάτη φιλευσεβοῦσα* (pia fraus). Καὶ ταύτην τὴν παράδοσιν ἱστόρησε καὶ Φίλων, ἀταλαιπώρως παραλαβών. Ἐπειδὴ δὲ καὶ ἡ ἑλληνικὴ γλῶσσα προχωροῦσα, καὶ παρεκτεινομένη, κατεῖχεν ἤδη κατὰ μικρὸν καὶ τὴν Παλαιστίνην, ἀπεδέξαντο καὶ οἱ Παλαιστινοὶ τὴν ἐξ Ἀλεξανδρείας ταύτην παράδοσιν (καίτοι ποικίλως ἐν πολλοῖς τῷ χρόνῳ μεταπλασθεῖσαν, ὁποῖα συνήθως πάσχουσιν αἱ ἀστατοῦσαι καὶ ῥέουσαι παραδόσεις). Καίτις Ἰουδαῖος, ἐν Παλαιστίνῃ διάγων μεταξὺ τῶν Φίλωνος καὶ τῶν Ἰωσήπου χρόνων (τῷ 40-70 μ. Χ.), συνέγραψεν ἐπ' ὀνόματι τοῦ Ἀριστέου τὴν ψευδεπίγραφον ἐπιστολὴν, ἱστορῶν τὰ κατὰ τοὺς Ο. Διὰ τοῦτο Φίλων μὲν οὔτ' ἐμνημόνευσεν, οὔτε εἶδεν ὅλως ταύτην τὴν Ἀριστέου συγγραφὴν (ὡς μετ' αὐτὸν ἐκδοθεῖσαν)· εἶδε δὲ ὅμως αὐτὴν, καὶ μετέγραψε συνοψίσας ὁ παλαιστινὸς Ἰώσηπος. Ὁ δὲ μάρτυς Ἰουστῖνος ἔπειτα συνῆψεν ἀμφοτέρας τὰς διηγήσεις (τήν τε παρὰ τῷ Φίλωνι, καὶ τὴν ἐξ Ἀριστέου παρ' Ἰωσήπῳ), προσθεὶς καὶ τὰ οϐ, οἰκήματα τῶν οϐ, μεταφραστῶν, ἅπερ ὕστερον ὁ Ἐπιφάνιος κατεβίβασεν εἰς τὰ ἡμίση. Τὰ πάντα δὲ τῆς ἱστορίας ταύτης ὑπάρχουσι μῦθοι γραώδεις, ἀπὸ κεφαλῆς ἄχρι ποδῶν». Τοιαῦτα ὁ σοφὸς κριτικός (α)! Καὶ φαίνεται τῷ ὄντι πρᾶγμα δυσκατάληπτον, πῶς ἄνθρωπος τοιοῦτος, οἷος Εἰχόρνιος, ἐξώκειλεν εἰς οὕτως ἀτόπους ἐννοίας, ὡς τάχα περὶ πάντα φιλακριϐῶν διὰ δριμύτητα κρίσεως, ἥτις ὅμως καὶ ἐν ἄλλοις αὐτὸν παρεπλάνησε. Μὴ γὰρ οὐκ ἔκρινεν αὐτὸς καὶ τὰ σῳζόμενα τοῦ Ἀριστοϐούλου ἀποσπάσματα χριστιανοῦ τινος συντάγματα ψευδεπίγραφα; Οὕτως ἄλλος πάλιν (ὁ Σέμλερος) παραδοξολογῶν, καὶ αὐτὴν τὴν Ἀριστέου συγγραφὴν ἔκρινεν ἔργον χριστιανῶν τινων, ἑλκόντων τὸ γένος ἐξ Ἰουδαίων (ϐ). Ἀλλὰ τὰ τοιαῦτα καὶ αὐτὸς Ὅδιος εἴπερ ἔϐλεπεν,

---

(α) Βλ. Eichhorn Repertorium für biblische und morgenlaendische Litteratur. P. 1. p. 266 sqq. καὶ Biblioth. der biblisch. Litter. P. III. p. 315. βλ. καὶ Mücke de origin. vers. LXX. interp. p. 46—50.

(ϐ) Βλ. Semler Nov. observat. quibus studios. illustrantur potiora capita Relig. Christ. usque ad Const. Magn. Halae, 1784.

ἐμειδίασεν ἄν, κινῶν τὴν κεφαλὴν, διὰ τὸ καθ᾽ὑπερβολὴν ἀπίθανον. Καὶ τῷ ὄντι πολὺ παρὰ τὸν Εἰχόρνιον διακριτικώτερος αὐτὸς ἐφάνη ὁ ἀρχιδιάκονος, ὡς προείδομεν (βιβλ. Α. κεφ. κγ. §. γ), νῦν μὲν ἀρχαιοτάτην ἀποφηνάμενος τὴν Ἀριστέου συγγραφὴν, νῦν δὲ πάλιν ὀλίγῳ *πρὸ χριστοῦ Σωτῆρος* συνταχθεῖσαν, καὶ τῷ Φίλωνι γνωστήν.

Αὐτὴ δὲ ἡ Εἰχόρνειος ἐπίνοια πόσης ἀτοπίας γέμει, πᾶς τις εὐκόλως κατανοεῖ, τοσαῦτα μόνον διενθυμηθείς. Πῶς οὕτω ῥαδίως διεθρυλλήθη τοιαύτη περὶ τῆς ἑρμηνείας ψευδοφημία κατὰ τὴν Ἀλεξάνδρειαν, αὐτὴν ἐκείνην τὴν πόλιν, ἐν ᾗ τίθεται γενομένη δημοσίως ἡ ἑρμηνεία; καὶ πότε ἆρα τὸ πρῶτον διεβοήθη τὸ θρύλλημα; (Ὅτι δὲ πρὸ χρόνων παλαιῶν ἐπεκράτει, δῆλον ἐκ τοῦ πλέον ἢ 200: πρὸ τοῦ Φίλωνος ἐνιαυτοὺς ἀκμάσαντος Ἀριστοβούλου, ὅστις ἐμνημόνευσε τὰ κατὰ τὴν ἑρμηνείαν πρὸς τὸν Φιλομήτορα Πτολεμαῖον, ὡς ἀρχαῖον ἤδη πρᾶγμα καὶ γνωστὸν καὶ ὁμολογούμενον ἀναφέρων, καθὼς προείδομεν, Βιβλ. Α. Κεφ. ιβ.). Πῶς δὲ πάλιν οἱ τοῖς Ἀλεξανδρεῦσιν ἀντιζήλως ἔχοντες (ὡς λέγει) Παλαιστινοὶ, λίαν ὁμοζήλως καὶ προθύμως ἐσεβάσθησαν, ἅμα προκύψασαν εἰς φῶς, τὴν Ἀριστέου σκοτίαν συγγραφήν; καὶ ταύτην, τερατευομένην τοιαῦτα περὶ τῆς ἑρμηνείας, ὡς ἐκ μέσων αὐτῶν προελθούσης τῶν Ἱεροσολύμων (ὅθεν μετεκλήθησαν οἱ Ἑρμηνεῖς), ἐν ᾧ αὐτοὶ οἱ Ἱεροσολυμῖται περὶ τοῦ τοιούτου πλάσματος μέχρι τότε ἐγίνωσκον οὐδέν; Ἢ τοσοῦτον μωρός τις ἦν καὶ βλακίστατος ὁ σοφὸς τῶν Ἱεροσολύμων ἱερεὺς Ἰώσηπος, ὥστε παραδέξασθαι, καὶ συνοψίσαι, καὶ πρὸς τοὺς συγχρόνους σοφοὺς, ὁμογενεῖς τε καὶ μὴ, ὡς ἀρχαίαν παραδοῦναι τὴν ἱστορίαν, ἥτις ἀνεφύη μετὰ Φίλωνα, κατ᾽ αὐτὴν δηλονότι τὴν παιδικὴν ἡλικίαν τοῦ Ἰωσήπου; Ὁ δὲ Φίλων πάλιν αὐτὸς οὐκ ἀνέγνω (καίτοι μὴ ὀνομάσας) τὸν Ἀριστέαν, ὅστις ἐξ αὐτοῦ προφανῶς τοσαῦτα μετέγραψε; Κᾀκεῖνο δὲ ἀστεῖον ποιοῦσι. Τὴν εὐθὺς ἀπὸ τῶν πρώτων Μακεδόνων βασιλέων τῆς Συρίας ἐπιξενωθεῖσαν καὶ εἰς τὴν Παλαιστίνην ἑλληνίδα γλῶσσαν, μόλις εἰσάγουσι κατὰ τοὺς περὶ τὸν Φίλωνα χρόνους ἐκ-

τεινομένην, ὅπως τούτου μεταξὺ καὶ τοῦ Ἰωσήπου ῥᾷον εἰσωθήσωσι καὶ ἀπονώτερον τὴν συγγραφὴν τοῦ κατ᾽ αὐτοὺς παλαιστινοῦ Ψευδαριστέου. Φέρουσι δὲ καὶ γνώρισμα τοῦ παλαιστινισμοῦ τοῦ ὀψιγόνου τούτου Ψευδαριστέου, τὸ ἐφεξῆς· « ὅτι (λέγουσι) διαγράφει λίαν ἀκριβῶς τὸ σχῆμα τῶν Ἱεροσολύμων, καὶ τοῦ ναοῦ, καὶ τῶν θυσιῶν· τοῦ δὲ κατὰ τὴν Αἴγυπτον ναοῦ τοῦ Ὀνίου οὐδεμίαν ποιεῖται μνήμην » (α). Ἐναργὲς τὸ γνώρισμα, *κἀπίσημος ὄντως ὁ χαρακτήρ!* Καὶ ὅσοι λοιπὸν ξένοι τινὸς πόλεως περιηγηταὶ καθιστοροῦσι τό,τε σχῆμα ταύτης καὶ τὰ ἔθιμα, παρατηρήσαντες ἀκριβῶς, ὑπάρχουσιν ἄρα καὶ οὗτοι παῖδες τῆς πόλεως ἐκείνης αὐτόχθονες! Ὥστε καὶ Διόδωρος ὁ Σικελιώτης ἀποβέβηκεν ἡμῖν ἐξαίφνης Αἰγύπτιος Νειλογενὴς, καὶ ἄλλος τις ἄλλο τι! Τὸν δὲ πάλιν ἐν Αἰγύπτῳ ναὸν, ἕνα καὶ ἥμισυν αἰῶνα περίπου καθιδρυθέντα μετὰ τὸν Ἀριστέαν, πῶς οὗτος ἠδύνατο διαμνημονεῦσαι; Ἐπειδὴ δὲ τοῦ ναοῦ τούτου οὐδεμίαν ἡ συγγραφὴ ποιεῖται μνείαν, ἆρά γε οὐχ ἕπεται ἐκ τούτου δικαιότερον, ὅτι ὑπῆρχε λοιπὸν πολὺ τοῦ Αἰγυπτιακοῦ Ὀνείου παλαιοτέρα; ἀλλὰ τὸ πρὸς τοιαῦτα μακρότερον ἀπαντᾷν ἀποβαίνει σαφὴς ματαιοσχολία. Τοσοῦτον μόνον προστιθέμεθα· ὅτι τοῦτο δὴ τὸ περὶ τοῦ Παλαιστινοῦ Ψευδαριστέου πλάσμα προσπίπτει μὲν (ὡς εἴπομεν) καὶ τῶν Ὀδιακῶν ὀνείρων ἀτοπώτερον, φαίνεται δὲ ὅμως πρὸς οἱανδήποτε θεραπείαν τῆς ἐκείνων ἀτοπίας παραπλασθέν. Ἠδέσθη, ἴσως, ὁ κλεινὸς Εἰχόρνιος ἐγκαθιδρύσαι τὸν Ἀριστέαν (ὡς ἐκάθισεν αὐτὸν Ὅδιος) ἐν μέσῳ τῆς Ἀλεξανδρείας τοιαῦτα τερατολογοῦντα περὶ πράγματος οὕτως ἐπισήμου καὶ σεβαστοῦ, καὶ τοὺς ἰδίους ὁμογενεῖς καὶ συμπολίτας πειρώμενον ἀπατᾷν. Ὅθεν ἐξώρισεν αὐτὸν ἐπέκεινα τοῦ Νείλου, κατ᾽ αὐτὰς τῆς Ἰουδαίας τὰς ἐσχατιὰς (καὶ ἴσως παρ᾽ αὐτὰ τῆς Σερβωνίδος λίμνης, τῆς νῦν *νεκρᾶς θαλάσσης*, τὰ βάραθρα), καθήμενον ἐν γωνίᾳ που καὶ παραβύστῳ, ὡς λαθραῖον παραχαράκτην, καὶ κόπτοντα μετ᾽ ἀκερδοῦς ἱδρῶτος τῆς κιβδήλου διηγήσεως τὸ παρά-

---

(α) Βλ. Mücke De orig. vers. LXX. interpr. p. 49.

σημον ψευδώϐολον! Καὶ ὑπάρχει μὲν ἀληθὲς, ὅτι πολλῶν καὶ παντοίων ἔργων, σπουδαίων τε καὶ μὴ, « *μυρίαι καὶ ἑκατόμπεδοι τέτανται κέλευθοι, καὶ πέραν Νείλειο παγᾶν, καὶ δι᾽ ὑπερϐορέων* » (α). « *Ψεύδεα δ᾽ ἀνθεῦσι πανταχοῦ* ». Ὥστε καὶ κατ᾽ Αἴγυπτον, καὶ παρὰ τὴν Σερϐωνίδα λίμνην, ἠδύνατο πλασθῆναι ψευδής τις ἱστορία περὶ τῆς ἑρμηνείας τῶν Γραφῶν· ἀλλὰ τοιούτου μύθου σύστασις, ὁποίαν ἡ ἐπίνοια τῶν κριτικῶν ἐφαντάσθη, καὶ τούτου μὴ μόνον ἀνεξελέγκτου διαμείναντος, ἀλλὰ καὶ πανδήμως παρὰ πᾶσι τοῖς Ἰουδαίοις εὐθὺς κατά τε τὴν Αἴγυπτον καὶ τὴν Παλαιστίνην, ὡς βεϐαίου πράγματος, ὁμολογηθέντος, τοιούτου λέγω μύθου σύστασις τοσοῦτον ὑπῆρχεν ἀδύνατος, ὥςε φαίνεται τἀνάπαλιν αὐτὴ τῶν κριτικῶν ἡ κρίσις μῦθος ἀληθὴς, εἰ καὶ μὴ *γραώδης*, ἀλλὰ κᾀν *σοφιστικός* (ϐ).

Ε) Ἀλλ᾽ ὑπάρχει ἄρα καὶ πῦρ πυρὸς καυστικώτερον, καὶ πλάνη πλάνης ἀτοπωτέρα. Εὐρέθησαν ἄνδρες κριτικοὶ, οἵτινες ἔπλασαν ἄλλα πολὺ περὶ τὴν ἑρμηνείαν παραδοξότερα. Ἔγραψεν ὁ Ἀριστόϐουλος, ὅτι ὑπῆρχέ τις ἑλληνὶς ἑρμηνεία τοῦ Νόμου καὶ πρὸ τῆς Ἀλεξάνδρου ἐπικρατήσεως (περὶ τούτου λέγομεν ἰδίως ἐν τοῖς ἐφεξῆς). Ἑτέρωθεν δὲ πάλιν οἱ ἀντιγραφεῖς καὶ ἐκδόται τοῦ φιλοσόφου καὶ μάρτυρος Ἰουστίνου ἐξέδωκαν ἐσφαλμένως μίαν τινα φράσιν τοῦ πατρὸς, γράψαντες *Ἡρώδῃ*, ἀντὶ *ἱερεῖ* (λέγομεν καὶ περὶ αὐτῆς ἐν τοῖς ἑπομένοις, κεφ. θ. §. ιδ.). Εἴδομεν δὲ κᾀν τοῖς προηγηθεῖσι τὸν λόγον, δι᾽ ὃν οἱ μὲν τῶν ἀρχαίων ἐπὶ τοῦ Λαγίδου, οἱ δ᾽ ἐπὶ τοῦ Φιλαδέλφου χρονολογοῦσι τὴν ἑρμηνείαν (βλ. Βιϐλ. Α. κεφ. ς.). Ἐκ τούτων οὖν τῶν τριῶν περιστατικῶν, συνάμα ληφθέντων, ἀνεφύησαν ἄλλαι πάλιν γνῶμαι κριτικῶν ἀλλόκοτοι, ὡς Ὕδρας κεφαλαί. Καὶ Βάλτερος μὲν ὁ πολύϊδρις ἐδογμάτισε τέσσαράς τινας ἑρμηνείας τῶν λεγομένων Ο· α) τὴν πρὸ τοῦ Μ. Ἀλεξάνδρου· ϐ) τὴν ἐπὶ τοῦ Λάγου Πτολεμαίου· γ) τὴν ἐπὶ

---

(α) Πίνδ. Ἴσθ. ς. ἐπῳδ. α. (ϐ) Βλ. καὶ ἐφεξῆς (ἄρθρ. Θ. σημ.) ὅ,τι λέγει περὶ τοῦ Ἀριστέου ὁ Ἕρψης (Herbst).

τοῦ Φιλαδέλφου· δ) τὴν ἐπὶ τοῦ Ἡρώδου (α). Ὁ δὲ Φραγκῖσκος ὁ Ἰούνιος εἰς δύω μόνας ἠρκέσθη, μίαν μὲν τὴν ἐπὶ τοῦ Λαγίδου γενομένην ὑπὸ τῶν Ἰουδαίων ἰδιωτικῶς, εἰς χρῆσιν τῆς ἐν Ἀλεξανδρείᾳ συναγωγῆς, ἄλλην δὲ τὴν ἐπὶ τοῦ Φιλαδέλφου περιώνυμον καὶ εὐκλεεστάτην, κοινῇ τε βουλῇ καὶ βασιλικῇ φιλοτιμίᾳ ὑπὸ τῶν Ο, διαπερανθεῖσαν (β). Τοῦτο τὸ φάντασμα καὶ Βήμσιος ἐφαντάσθη (γ)· ἀλλ' ἐπέπληξεν Ὅδιος ἀμφοτέροις, ὡς ἐψευσμένοις. Στρόθιος δέ τις ὁρμηθεὶς ἀπὸ τῆς, ἧς Ἀριστόβουλος ἐμνημόνευσεν, ὡς ἂν καὶ πρὸ τοῦ Μ. Ἀλεξάνδρου προϋπαρχούσης, ἑλληνίδος ἑρμηνείας τινων χωρίων τῆς Γραφῆς, ἐξεπήδησεν αὐτὸς πολὺ μακρότερον πήδημα καὶ μάλα γιγαντιαῖον, συμπεράνας, ὅτι πολλαί τινες ὑπῆρχον ἀρχαῖαι τῆς Γραφῆς μεταφράσεις, ἄγνωστοι παρ' ἡμῖν, αἷς ἐχρῶντο οἱ κατ' Αἴγυπτον Ἰουδαῖοι. Ἐπειδὴ δὲ (λέγει) Πτολεμαῖος, εἴτε ὁ Φιλάδελφος, εἴτ' ἄλλος τις τῶν πτολεμαϊκῶν βασιλέων τῆς Αἰγύπτου, ᾐτήσατο παρὰ τῶν Ἰουδαίων ἑρμηνείαν τῶν κατ' αὐτοὺς Γραφῶν, ἵνα καὶ ταύτην ἐν τῇ βιβλιοθήκῃ τῆς Ἀλεξανδρείας ἐνθησαυρίσῃ, τῶν τινες Ἰουδαίων, ἔμπειροι κριτικῆς, ἐκλογῇ δημοσίᾳ καὶ ἀξιώματι κοσμηθέντες, συνήγαγον ἁπάσας τὰς ἀρχαίας ἐκείνας ἑρμηνείας· καὶ ταύτας ἐπιμελῶς καὶ πρὸς ἀλλήλας καὶ πρὸς τὸ κείμενον παραβαλόντες τὸ ἑβραϊκὸν, καὶ διορθώσαντες, συνῆψαν, καὶ συνέταξαν μίαν ἔκδοσιν, ᾗπερ ἐχρῶντο τοῦ λοιποῦ καὶ δημοσίως οἱ Ἰουδαῖοι, πρῶτον μὲν οἱ κατ' Αἴγυπτον, ἔπειτα δὲ καὶ ἄλλοι ἀλλαχοῦ παραλαβόντες (δ). Τοιαῦτά τινα καὶ πρὸ τοῦ Στροθίου διεγνωμάτευσε καὶ ἄλλος κριτικὸς, ὁ Πείπφερος, ἀνακηρύξας τὴν καθ' ἡμᾶς σωζομένην ἑρμηνείαν τῶν Ο, οἷον κέντρωνά τινα, συμπεπιλημένην ἐκ ποικίλων μεταφράσεων, καὶ προσέτι παντοδαπῶς διεσκευασμένην καὶ παρέγγραπτον! καὶ

(α) Mich. Walther. Officin. Bibl. p. 125 sqq.
(β) Franc. Junius in Bellarmin. Controvers. I. Lib. 2. c. 5.
(γ) Weems. in Synagog. Christian. c. 5. §. 2. πρβλ. Hody Lib. 2. c. 2. §. 3.
(δ) Strothius im Repertorium für biblisch. und morgenlændische Litteratur Tom. 2. p. 67. πρβλ. καὶ Mücke l. c. p. 11. et 57.

τούτου (λέγει) δεῖξις, αἱ πρὸς τὸ κείμενον τὸ ἑβραϊκὸν ἀναρίθμητοι αὐτῆς διαφωνίαι! (α). Ὅτι δὲ πολὺ πρὸ τοῦ Πειπφέρου καὶ αὐτὸς ὁ τῆς Ἀριστέου ἱστορίας εὐκλεέστατος προστάτης Ὑσσέριος ἄλλην ἐνόμιζε τὴν καθ᾽ ἡμᾶς φερομένην ἑρμηνείαν, ὡς τῆς προτέρας ἐκείνης, τῆς ἐπὶ τοῦ Φιλαδέλφου, δῆθεν ἀπολεσθείσης, ὀψόμεθα ἐν τοῖς ἑφεξῆς (κεφ. θ. §. ιδ.)· ἤδη δὲ προσημειοῦμεν μόνον, ὅτι καὶ ἄλλοι, καὶ ὁ Μύκκης ἐξεσύριξε τὴν γνώμην ταύτην (β), καὶ αὐτὸς ὁ τὰ Ὁδίου μάλιστα φρονήσας Φαβρίκιος (γ). Τὰ δὲ τοῦ Λιχθοφώτου τεράστια καὶ αὐτὸς Ὅδιος ἐξεφυλλοφόρησεν, ὡς φανήσεται ἐν τοῖς ἑφεξῆς (κεφ. θ. §. ις.). Ὁ δὲ πάλιν Δοδούελλος δραξάμενος τὸ ὄνομα Δημητρίου τοῦ Φαληρέως, καὶ τὴν Εὐπολέμου παρὰ Κλήμεντι τῷ Στρωματεῖ μαρτυρίαν, καί τινας ἄλλας δείξεις (ἃς μεταστρέφει πρὸς τὸ δοκοῦν), ἐσπούδασεν ἐξελέγξαι τὴν ἑρμηνείαν γενομένην κατὰ τοὺς χρόνους Πτολεμαίου τοῦ Φιλοπάτορος, ὁπότε ἤκμαζε (λέγει) καὶ ἄλλος νεώτερος Δημήτριος Φαληρεὺς γραμματικός (δ). Ἀλλ᾽ ὅτι καὶ Δοδούελλος ἔπεσεν εἰς τὴν αὐτὴν ἀπάτην, εἰς ἣν καὶ ἄλλος πρὸ αὐτοῦ, Θωμᾶς τις Γαλλέας, πολλοὺς κἀκεῖνος πλάσας Δημητρίους Φαληρεῖς, ὡμολόγησε καὶ Ὅδιος (ε), δειχθήσεται δὲ καὶ ἐν τοῖς ἑπομένοις. Καὶ οὗτοι μὲν τοιαῦτα.

ϛ) Ἄλλοι δέ τινες σοφοὶ φεύγοντες τὰς μεγάλας ὑπερβολὰς, ἐβάδισαν τὴν μέσην ὁδὸν, ὡς ἂν τάχα βασιλικὴν καὶ ἀσφαλεστέραν, καὶ τρόπον τινα διαλλακτικὴν τῆς τε κατ᾽ Ἀριστέαν μυθωδεστέρας, καὶ τῆς παρ᾽ αὐτοῖς κριτικωτέρας καὶ πιθανωτέρας δημιουργουμένης ἱστορίας τῆς ἑρμηνείας τῶν Γραφῶν! Τοιοῦτός τις φαίνεται Ἔρνεστος ὁ Φάβρος (ἤκμασε δὲ μικρῷ πρότερον τοῦ Εἰχορνίου). Οὗτος τοίνυν ἐθέλει, ὅτι οἱ Ἀλεξανδρινοὶ παρέδωκαν ἀν-

---

(α) A. Pheifferi Crit. Sacr. c. XI. Sect. II. Quaest. 5. p. 353.

(β) Mücke l. c. p. 87. (γ) Fabr. Bibl. Gr. L. III. c. 13. p. 671. vol. 3. Harl. Ἀλλαχοῦ δὲ πάλιν αὐτὸς ὁ Φαβρίκιος ἀποκλίνει πρὸς τὴν ἀρχαίαν καὶ κοινὴν ἱστορίαν τῆς ἑρμηνείας (βλ. Fabric. Opuscul. Syllog. p. 127, sqq.).

(δ) Βλ. H. Dodwell in vit. Tom. 2. p. 504. καὶ Fabric. Bibl. Gr. vol. 3. p. 660 Harl. (ε) Hody libr. I. c. IX. §. 7.

δράσι συμπολίταις Ο, τὴν φροντίδα τῆς ἀκριβοῦς ἑρμηνείας τῶν ἑβραϊκῶν Γραφῶν. Οὗτοι δὲ συνελθόντες, ἐξελέξαντο ἐξ ἑαυτῶν πέντε τινας » (καθὼς εἶπέ που δηλαδὴ καὶ τὸ Ταλμοῦδον!) «οἷς ἐπίστευσαν τὴν ἑρμηνείαν τῆς Πεντατεύχου. Ταύτης δὲ διαπερανθείσης, καὶ κοινῶς δοκιμασθείσης ὑπὸ τῆς ἑβδομηκοντανδρίας, καὶ παρὰ παντὸς τοῦ πλήθους μετ' εὐλαβείας ἀποδεχθείσης, καὶ πάνδημον κῦρος λαβούσης, ἐξελέξαντο πάλιν ἄλλους, καὶ ἄλλους, ἀνὰ πέντε οἱ Ο, πρὸς ἑρμηνείαν τῶν λοιπῶν βιβλίων τῆς Γραφῆς, ἕως οὗ πᾶσα ἡ ἑρμηνεία ἐξετελέσθη. Κἀντεῦθεν προῆλθεν, ὥστε πάντων μὲν τῶν ἱερῶν βιβλίων πέντε τινας ἑκάστοτε γενέσθαι τοὺς ἑρμηνεῖς, αὐτὴν δὲ σύμπασαν τὴν ἑρμηνείαν ἀπὸ τῶν Ο, παρονομασθῆναι » κτλ. (α). Ἐπαινοῦμεν τοῦ Φάβρου τὴν αὐτάρκειαν (ἣν ὕστερον καὶ Βαύερος ὁ περίφημος φαίνεταί πως μιμηθεὶς (β), ὅστις μετρίας τινας εἰσήγαγεν εἰς τὴν Ἀριστέου ἱστορίαν μεταβολάς). Ἀλλὰ παραλείποντες τὸν ἄνδρα, συνιστῶντα κατὰ πέντε πολλὰς ὁμάδας ἑρμηνευτῶν, καὶ *πεμπάζοντα* μετὰ τοῦ Ταλμουδιστοῦ ῥαββίνου (βλ. ἐφεξ. κεφ. ε, §. η, καὶ κβ), καὶ διαλλάττοντα, μηδὲν δέον, τὸ Ταλμοῦδον πρὸς τὸν Φίλωνα καὶ τὸν Ἰώσηπον, μεταβαίνομεν εἰς ἄλλον διακριτικώτερον σοφόν.

Ζ) Σαμουῆλός ἐστιν οὗτος Τραύγοττος, ὁ Μύκκης, ὁ καλός· ὅστις ἐγνωμάτευσεν ἐν περιλήψει τὰ ἐφεξῆς. Ὅτι τὴν μὲν Πεντάτευχον ἡρμήνευσαν τὸ πρῶτον ἐπὶ τοῦ Φιλαδέλφου σοφοί τινες ἄνδρες

---

(α) Jo. Ernest. Faber, Descriptio Commentarij in LXX. Interpret. Gotting. 1768.

(β) Βλ. G. L. Bauer's Entwurf einer historisch-und kritischen Einleitung in die Schrif. d. A. T. pag. 138—140. Διαφέρει δὲ ὁ Βαύερος κατὰ τοῦτο, ὅτι οὐχὶ τὰ τεύχη πάντα τῆς Γραφῆς, ἀλλὰ μόνην τὴν Πεντάτευχον ἐκ πέντε τινων ἐθέλει μεταφρασθεῖσαν (ὅθεν καὶ τὸ ἔργον τῶν πέντε γερόντων λέγεταί που ἐν τῷ Ταλμούδῳ), καὶ ὑπὸ τοῦ Συνεδρίου τῶν Ο, δοκιμασθεῖσαν εἰς χρῆσιν τῶν ἐν Αἰγύπτῳ ἑλληνιζουσῶν Συναγωγῶν, καὶ εἰς τὴν βασιλικὴν βιβλιοθήκην ἀνατεθεῖσαν, ὁπότε ταύτης ὁ Φαληρεὺς ἐπιστατῶν, συνήθροιζε τοὺς νόμους ὅλων τῶν ἐθνῶν, κατὰ τὴν διετίαν τῆς ἐπὶ ζῶντος ἔτι τοῦ πατρὸς βασιλείας τοῦ Φιλαδέλφου (τῷ 285, ἢ 286 π. Χ.).

(ἀόριστοι τὸν ἀριθμὸν), εἴτε κατ᾽ Ἀλεξάνδρειαν, βουλῇ καὶ ψήφῳ τοῦ Ἀρχιερέως ἐκλεγέντες, εἴτε καὶ ἐξ αὐτῶν τῶν Ἱεροσολύμων ὑπὸ τῶν Ἀλεξανδρινῶν Ἰουδαίων μετακληθέντες. Ὑπῆρχε δὲ τῆς μεταφράσεως ἐπιθυμητὴς καὶ αὐτὸς ὁ Φιλάδελφος, τοῖς τε Ἰουδαίοις χαριζόμενος, βουλόμενος δὲ καὶ αὐτὸς εἰς τὴν Βιβλιοθήκην ἀποθησαυρίσαι τὴν ἑρμηνείαν, ἐκ συμβουλῆς Δημητρίου τοῦ Φαληρέως. Οὗτος δὲ πάλιν εἶχε τοῦτο συμβουλεύσας οὐχὶ τῷ Φιλαδέλφῳ, τῷ δὲ τούτου πατρὶ, τῷ Λαγίδῃ (παρ᾽ ᾧ μάλιστα ηὐδοκίμει ὁ Φαληρεύς). Ἐπειδὴ δὲ μεταξὺ ἐτελεύτησεν ὁ Λαγίδης, πρὶν ἢ τελέσῃ τὴν τοῦ Φαληρέως συμβουλὴν, ἤγαγεν αὐτὴν εἰς τέλος ὕστερον ὁ Φιλάδελφος (ἀποθανόντος ἤδη καὶ τοῦ Φαληρέως). Τελειωθεῖσαν δὲ ἤδη τὴν ἑρμηνείαν τῆς Πεντατεύχου ὑπὸ τούτων δὴ τῶν ψήφῳ τοῦ Ἀρχιερέως καὶ τοῦ Συνεδρίου ταχθέντων ἑρμηνευτῶν, ἐπεκύρωσε πάλιν αὐτός τε ὁ Ἀρχιερεὺς καὶ ὅλον τὸ Συνέδριον τῶν Ἱεροσολύμων, ἐξ ἀνδρῶν Ο, συνεστηκὸς (ὅθεν καὶ ἡ ἑρμηνεία παρωνομάσθη τῶν Ο)· καὶ οὕτω παρεδόθησαν τὰ βιβλία καὶ εἰς δημοσίαν ἐν ταῖς συναγωγαῖς ἀνάγνωσιν, ἀπετέθησαν δὲ καὶ εἰς τὴν βιβλιοθήκην, τῷ βασιλεῖ Φιλαδέλφῳ ποθοῦντι προσενεχθέντα. Τὰ δὲ λοιπὰ τεύχη τῆς Γραφῆς μετεφράσθησαν ἑπομένως ὑπὸ διαφόρων, μέχρι καὶ τοῦ Σειραχίδου, ὁπότε φαίνονται ἤδη μεθηρμηνευμένα πάντα τὰ κανονικὰ βιβλία τῆς παλαιᾶς Διαθήκης » (α). Ταῦτα Μύκκης ἔκρινε, καὶ οὕτω σύνεγγυς ἦλθε πρὸς Ἀριστέαν, *πεζὸς παρὰ Λύδιον ἅρμα τρέχων*, πρὸ πέντε καὶ πεντήκοντα ἤδη ἐνιαυτῶν (τῷ 1789). Ὥστε χαριέντως ἄν τις παραβάλοι τὸν ἄνδρα τὸν σοφὸν πρὸς τοὺς ἀρχαίους ἐκείνους τῶν καλῶν ἀνδριάντων μεταῤῥυθμιστὰς, οἵτινες ἀποξέοντες τὰ ὀνόματα τῶν ἐφ᾽ οἷς ἐστάθησαν οἱ ἀνδριάντες (οἷον τοῦ Μιλτιάδου, καὶ τοῦ Θεμιστοκλέους, κτλ.), ἐπέγραφον τὰς εἰκόνας εἰς ἄλλων ὀνόματα μεταγενεστέρων (β). Οἱ δέ τινες καὶ τὴν

(α) S. Tr. Mücke de Origine version. LXX. interpret. Exercitat. historica pag. 58, sqq.

(β) « Τὰς Μιλτιάδου καὶ Θεμιστοκλέους εἰκόνας ἐς Ῥωμαῖόν τε ἄνδρα, καὶ Θρᾷκα μετέγραψαν » (οἱ καλοὶ Ἀθηναῖοι, κολακεύοντες τοὺς ἑαυτῶν καταδουλωτάς).

κεφαλὴν τοῦ ἀνδριάντος ἀποκόπτοντες, *μετεῤῥύθμιζον* (ὡς ἔλεγον) αὐτὸν, προσκολλῶντες ἄλλην κεφαλὴν, ὁμοίαν τῆς τοῦ ἡγεμόνος, εἰς ὃν μετέγραφον τὸ παλαιὸν ἀνάθημα (α). Παρομοίως καὶ ὁ Μύκκης περικόψας, ἢ καὶ ἄλλως μεταβαλὼν κατά τινα μέρη, τὴν Ἀριστέου περὶ τῆς ἑρμηνείας διήγησιν, μετεῤῥύθμισε καὶ τὴν ἐπιγραφὴν ἀπὸ τῶν Ο, μεταφραστῶν εἰς τὸ Συνέδριον· καὶ ἀπέβη ἄρα, καὶ τὸ τούτου πλάσμα, «λόγῳ μὲν *Μυκκίζον*, ἔργῳ δ' *Ἀριστεΐζον*». Ἐπέκριναν δὲ ὅμως τὸ συνταγμάτιον, σφοδρότερον ἀντειπόντες, ἄλλοι πάλιν διάφορα φρονοῦντες κριτικοί (β).

Η) Τῶν δὲ κατὰ τοὺς ἡμετέρους χρόνους ἐπισημοτάτων κριτικῶν (ἀπὸ τῶν ἀρχῶν τοῦ ιθ, αἰῶνος καὶ ἐφεξῆς) οἱ μὲν ἀπέκλιναν (οἱ πλεῖστοι) πρὸς τὰς Ὀδιακὰς ὑπερβολὰς, οἱ δέ τινες ἐφάνησαν μετριώτεροι. Εἰς τὴν πρώτην τάξιν ἀνήκουσιν ὅ,τε Στούρζιος (περὶ οὗ προείπομεν ἀνωτέρω), καὶ ὁ γερμανὸς Βερθόλδυς (γ), καὶ

---

Παυσαν. Α. ιη, 3. πρβλ. καὶ Α. β. 4. Ὅθεν τὰς τοιαύτας παραμορφώσεις ἐξελέγχων ἔλεγε καὶ Δίων ὁ Χρυσόστομος, ὅτι «Τὸ μὲν ἐπίγραμμα (ἡ ἐπιγραφὴ τοῦ ἀνδριάντος) ῥωμαΐζει· ὁ δὲ ἀνδριὰς ἑλληνίζει» (λόγ. λζ, §. 1.).

(α) Βλ. Δίων Χρυσοστ. λόγ. λα καὶ λζ. Τοῦτο μάλιστα ἔπραττον κατὰ τὴν Ῥώμην καί τινες τῶν Καισάρων, καὶ αὐτοὶ οἱ Ῥωμαῖοι διὰ κολακείαν ἀνδραποδώδη, διαφθείροντες τὰ κάλλιστα τῆς τέχνης ἀριστουργήματα, καὶ ἅμα δημοσιεύοντες τὴν ἑαυτῶν ἀτεχνίαν καὶ ἀπειροκαλίαν. Βλ. Sueton. Tiber. c. 53. καὶ Tacit. Annal. I. 74, πρβλ. καὶ Δίωνα Κάσσ. ΝΘ, σελ. 933. Reim.

(β) Erlang. Ephemerid. Litterat. a. 1789. pag. 315. καὶ Allgemein. Litt. Zeit. a. 1792. nr. 319. πρβλ. καὶ τὴν ὑπὸ τοῦ Harles ἔκδοσιν τῆς Ἑλληνικῆς τοῦ Φαβρικίου Βιβλιοθήκης, ὅπου οἱ σοφοὶ ταύτης ἐν πολλοῖς ἀναπληρωταὶ (Pfeiffer καὶ Schatfemberg) ἠρίθμησαν πολλῶν καὶ ἄλλων γνώμας κριτικῶν, ὀλίγῳ τῶν προτεθειμένων διαφερούσας. Fabric. Biblioth. Graec. vol. 3. p. 658—672.

(γ) Bertholdt (Historisch-kritische Einleitung in die Schriften des Alt. und neuen Testaments 2. Th. §. 157). Οὗτος ἔκρινεν, ὅτι καθὼς εἰς τὴν Παλαιστίνην διὰ τοὺς Ἀραμαϊστὶ (Συροχαλδαϊστὶ) λαλοῦντας Ἰουδαίους ἐγίνοντο κατὰ μικρὸν Χαλδαϊκαὶ μεταφράσεις τῆς Γραφῆς διά τε τὰς συναγωγὰς καὶ πρὸς χρῆσιν ἰδιαιτέραν, οὕτω καὶ διὰ τοὺς ἐν Αἰγύπτῳ Ἰουδαίους ὑπῆρξεν ἀναγκαία μετάφρασις ἑλληνικὴ τῆς ἑβραΐδος Γραφῆς. Καὶ κατ' ἀρχὰς μὲν ἦσαν μικρά τινα τεμάχια μεθηρμηνευμένα, καθὼς ἀπῄτει κατὰ καιροὺς ἡ ἀνάγκη τῆς ἐν ταῖς Συναγωγαῖς ἀναγνώσεως. Ἔπειτα δὲ ταῦτα συναθροισθέντα, καὶ δοκιμασθέντα ὑπὸ τοῦ ἰουδαϊκοῦ συνεδρίου, διετάχθησαν εἰς δημοσίαν χρῆσιν, ὡς καλῶς ἔχοντα». Τοιαῦτα καὶ ὁ πε-

Ἰάννης ὁ κλεινὸς (α), καὶ εἴ τις ἕτερος, ἐπικυροῦντες τὰ πλεῖστα τῶν προγενεστέρων, μετά τινων ὀλίγων καὶ ἀσημάντων προσθηκῶν, τυχὸν, ἢ μεταβολῶν (β). Εἷς καὶ μόνος (ὅσον οἴδαμεν) ἐκ τῶν νεωτέρων, ὁ παρὰ τῷ πολυμαθεστάτῳ Ὅρνῳ μνημονευόμενος ἄγγλος Ἐπίσκοπος Σαμ. Ὁρσολέϋς (Horsley), ἐφάνη πάντων παραδοξότατος. Ὑπέλαβεν οὗτος, ὅτι ἦσαν ἀρχαιότατα ἑβραϊκὰ ἀντίγραφα τοῦ νόμου διεφθαρμένα, οὐχὶ μετὰ τὸν Ἔσδραν (ὡς ὑπενόησεν ὁ Κεννικότος, τόμ. β. σελ. 298), ἀλλὰ πολὺ καὶ πρὸ τῆς ὑπὸ τοῦ Ἔσδρα ἐκδόσεως τῶν θείων Γραφῶν, καὶ ὅτι τὰ τοιαῦτα ἀντίγραφα ἐπολλαπλασιάσθησαν κατὰ τὴν αἰχμαλωσίαν παρὰ τοῖς ἐν Ἀσσυρίᾳ καὶ Περσίᾳ καὶ Αἰγύπτῳ διεσπαρμένοις Ἰουδαίοις· ἐκ τούτων οὖν τῶν ἀντιγράφων τίθησιν ἀσμένως καὶ τὸν κώδηκα ἐκεῖνον, ἐξ οὗ γέγονεν ἡ λεγομένη τῶν Ο, ἑρμηνεία! κτλ. Ταύτην δὲ τὴν (οὕτως εἰπεῖν) ὑπερκριτικὴν καὶ διεῤῥωγυῖαν γνώμην μνημονεύει καὶ ὁ περικλεὴς Ὅρνος ἁπλῶς, ὡς δόξαν τῶν Βιβλιακῶν φιλολόγων,

---

ρικλεὴς Βερθόλδυς αὐτοσχεδιάζει, καὶ κατατεμαχίζει πρὸς τὸ δοκοῦν, συμπεραίνων ἐκ τῶν ὑστέρων τὰ πάντῃ διαφέροντα περιστατικὰ τῶν προγενεστέρων. Ἐπειδὴ ὀψέ ποτε καὶ μετὰ Χριστὸν ἔγραφον οἱ Ἰουδαῖοι, ἄλλοτε ἄλλοι, τῶν ἑβραϊκῶν Γραφῶν παραφράσεις (οὐχὶ κυρίως μεταφράσεις, ὡς εἶπεν), ἄρα παρομοίως ἐξεπονήθη τὸ πάλαι καὶ ἡ ἑλληνὶς τῶν Γραφῶν ἑρμηνεία, καὶ αὕτη τεμαχιστὶ, καὶ διαμελεϊστί! « Ῥάβδος ἐν γωνίᾳ, ἄρα ἔβρεξε ψεκάδας ».

(α) Jahn, Bibl. Archaeol. vol. II. 2. p. 342, 349· καὶ Einleitung in die göttlichen Bücher des alten Bundes vol. 1 pag. 151.

(β) Οὕτω, φέρ' εἰπεῖν, ὁ σοφὸς Ἰάννης, ἀποσκυβαλίζων καὶ οὗτος ὡς ὑποβολιμαίαν τὴν Ἀριστέου συγγραφὴν, ἅτε δῆθεν ἐναντία τῆς τῶν πραγμάτων ἱστορίας περιέχουσαν (ἐκεῖνα δηλαδὴ τὰ καθημαξευμένα τὰ Ὠδιακὰ, τήν τε νίκην τῆς πρὸς Ἀντίγονον ναυμαχίας, καὶ τὰ περὶ τοῦ Φαληρέως ἐξ Ἑρμίππου, καὶ τ' ἄλλα τὰ περιλάλητα, περὶ ὧν προείπομεν), τίθησιν ὁ Ἰάννης τὴν τῆς Πεντατεύχου μόνης ἑρμηνείαν ἐπὶ τοῦ Λαγίδου Πτολεμαίου· ὅστις (λέγει) κατὰ τὴν πρὸς αὐτὸν τοῦ Φαληρέως παραίνεσιν (τὴν « τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι »· βλ. Τ. α. σελ. 290), ἀπέβλεψε καὶ εἰς τὸν νόμον τῶν Ἰουδαίων (ἐκράτει δὲ τότε καὶ τῆς Ἰουδαίας ὁ Λαγίδης)· καὶ ἢ προϋφεστῶσαν ὑπό τινος Αἰγυπτίου Ἰουδαίου ἑρμηνείαν τοῦ νόμου παρέλαβεν (!), ἢ παρὰ τοῦ ἀρχιερέως τῶν Ἱεροσολύμων μεταπεμψάμενος ἀντίγραφον ἑβραϊκὸν, διέταξεν, ἵνα κατὰ τὴν Ἀλεξάνδρειαν ἐξελληνισθῇ, καὶ ἡ ἑρμηνεία κατατεχθῇ ἐν τῇ βιβλιοθήκῃ (Jahn, Einleitung l. c.).

μηδὲν ἐπικρίνων οἴκοθεν· αὐτὸς δὲ μᾶλλον ἐπιῤῥέπει πρὸς τὸ φρόνημα τὸ Ὀδιακόν (α). Ἀλλ᾽ ὅτι μὲν ὑπῆρχον ἐν Αἰγύπτῳ διεφθαρμένα τῆς Γραφῆς ἀντίγραφα, φαίνεταί πως ἐκ τοῦ Ἀριστέου (ὡς ἐροῦμεν ἐφεξῆς). Διὰ ταῦτα καὶ Φιλάδελφος, ὁ τῆς Αἰγύπτου βασιλεὺς, ᾐτήσατο παρ᾽ Ἐλεαζάρου τοῦ Ἀρχιερέως τῶν Ἱεροσολύμων ἀντίγραφα, πρὸς ἑρμηνείαν τῶν Γραφῶν, ὡς εἰλικρινῆ καὶ γνήσια παρὰ τοῖς ἐκεῖ διατηρηθέντα. (Τὸν Ἐλεάζαρον τὰς πρὸς τὴν τοῦ Νόμου ἑρμηνείαν ἀφορμὰς παρασχεῖν, ἀρχομένῳ τῆς βασιλείας, τῷ Φιλαδέλφῳ, καὶ ὁ μέγας Νεύτων ἀνεκήρυξε χρονολογῶν (β)). Ἐν δὲ τοῖς κατ᾽ Αἴγυπτον καὶ Ἀσσυρίαν παλαιοῖς διεφθαρμένοις ἀντιγράφοις ὤφειλε πολὺ δικαιότερον ὁ σοφὸς Ἐπίσκοπος ἐπιζητεῖν καὶ ἀνευρίσκειν τὰ μετὰ τὴν ἐσχάτην ἅλωσιν ἀπόγραφα τοῦ ἑβραϊκοῦ κειμένου, πρὸς ἃ διεῤῥύθμισαν οἱ Μασορῖται τὸ καὶ μέχρι σήμερον κρατοῦν παρ᾽ Ἰουδαίοις κείμενον τῶν Γραφῶν.

Θ) Ἐν δὲ τοῖς μετριωτέροις τετάχθω πρῶτος Οὐαλκενῆρος, ὅστις (ἐν τῇ κατὰ τὸ 1806 ἐκδοθείσῃ περὶ τοῦ Ἀριστοβούλου Διατριβῇ), καίτοι ψευδώνυμον ἰουδαῖόν τινα νομίζων καὶ οὗτος τὸν Ἀριστέαν (βλ. ἀνωτέρω σελ. 5, σημ.), ἀλλ᾽ ὅμως ἀπεδέξατο πολλὰ τῆς ἱστορίας καὶ τὰ κυριώτερα, πλανηθέντα τὸν Ὅδιον ἔν τισιν ἐξελέγξας, ὡς εἴδομεν (Βιβλ. α. κεφ. ΙΒ, κτλ.)· καὶ Βαύερος δέ πως μετριάζειν δοκεῖ (περὶ οὗ προείπομεν). Πολὺ δὲ μᾶλλον ἤπιος φαίνεται Λεονάρδος ὁ Οὖγος, ὅστις τὴν μὲν Ἀριστέου ἱστορίαν Ἰουδαίου τινος ἔργον ἔκρινεν Ἀλεξανδρινοῦ (δουλεύων καὶ οὗτος τοῖς ἀρέσκουσι τῇ σοβαρωτέρᾳ κριτικῇ), πλὴν ἀλλ᾽ ὅμως ὡμολόγησεν, ὅτι ὁ συγγραφεὺς οὐ μόνον τὴν κυρίαν ὑπόθεσιν, ἀλλὰ καὶ τὰ πλεῖστα γοῦν (εἰ καὶ μὴ πάντα) τῶν περὶ τὸ πρᾶγμα περιστατικῶν, ὀρθῶς ἱστόρησε καὶ ἀψευδῶς. Αὐτὸς δὲ ὁ Οὖγος νομίζει μόνην τὴν Πεντάτευχον τὸ πρῶτον ἑρμηνευθεῖσαν, καὶ τὴν ἑρμηνείαν γενομέ-

(α) Horne, An Indroduction to the critical Study and Knowledge of the holy Scriptures. vol. 2. P. 1. p. 209. London: 1839.

(β) Is. Newton chronolog. in Opuscul. mathematic. etc. p. 261. T. 3. Lausan. 1744.

νην ὧδέ πως. Περὶ τὸ τέλος τῆς ριθ, Ὀλυμπ. (τῷ 300 π. Χ.) Πτολεμαῖος ὁ Λαγίδης βουλόμενος τοὺς Ἰουδαίους, ὡς ὅμορον λαὸν, προσαγαγέσθαι, πρῶτον μὲν ἀπέλυσε τοὺς ἐν Αἰγύπτῳ αἰχμαλώτους Ἰουδαίους, ἔπειτα δὲ καὶ δῶρα πολυτιμότατα πέμψας, ἀνέθηκεν εἰς τὸν ἐν Ἱεροσολύμοις ναὸν, ἐξαλείφων οὕτω τὴν ἀνάμνησιν τῆς βεβηλώσεως, ἣν αὐτὸν αὐτὸς ἐβεβήλωσεν (ὁπότε δόλῳ κατέσχε τὴν πόλιν τῶν Ἱεροσολύμων), καὶ τέλος, ᾐτήσατο καὶ ἀντίγραφον τοῦ Πεντατεύχου νόμου, ἵνα κατ' αὐτὸν αὐτοὺς κυβερνᾷ. Οἱ γοῦν ἐν Ἱεροσολύμοις Ἰουδαῖοι, ὑπὸ τῆς τοσαύτης τοῦ βασιλέως μεγαλοψυχίας ἀρεσθέντες καὶ ἐξιλεωθέντες, οὐ μόνον τὸ ζητούμενον ἀντίγραφον ἔπεμψαν πρὸς τὸν Πτολεμαῖον, ἀλλὰ καὶ πρεσβείαν, συνεστῶσαν ἐξ ΟΒ, σοφῶν καὶ πεπαιδευμένων ἀνδρῶν, οἵτινες προσήνεγκαν τὸν νόμον, καὶ ἡρμήνευσαν καὶ ἑλληνιστί· ἡ δὲ ἑρμηνεία ἀπετέθη μετὰ τιμῆς ἐν τῇ Βιβλιοθήκῃ » (α). Ταῦτα συντόμως ὁ Οὗγος, ἀποδεχόμενος σχεδὸν ἅπαντα τὰ τοῦ Ἀριστέου, πλὴν μόνον, ὅτι νομίζει τοῦτον ἠπατημένον περὶ τὸν βασιλέα (ὡς ἀντὶ τοῦ Λαγίδου Πτολεμαίου, τάξαντα τὸν Φιλάδελφον)· καὶ ὅτι ὁ σκοπὸς τῆς τοῦ νόμου ἑρμηνείας ὑπῆρχε *πολιτικὸς*, καὶ οὔτε *ἰδιωτικὸς* (ὡς ὑπέλαβεν ὁ Εἰχόρνιος), ἤτοι πρὸς χρῆσιν ἰδιωτικὴν καὶ οἰκιακὴν, οὔτε κατ' ἐπίσημον διάταξιν πρὸς δημοσίαν ἐν ταῖς Συναγωγαῖς χρῆσιν (ὡς ἔκρινεν Ὅδιος). Ἄλλος δέ τις ὕστερον κριτικὸς, ὁ Αἰβερνίκκιος, *φιλολογικὸν* ἐνόμισε τῆς τοῦ νόμου ἑρμηνείας τὸν σκοπὸν (πρὸς κριτικὴν δηλονότι διασκευὴν, κατὰ τὴν ὑπὸ τῶν Ἀλεξανδρινῶν γραμματικῶν *διόρθωσιν τοῦ Ὁμήρου*) (β)· καὶ περὶ μὲν τοῦ σκοποῦ λέγομεν καὶ παρακατιόντες. Ὁ δὲ σοφὸς Δεβέττης φαίνεταί πως ἐπαμφοτερίζων· καὶ τὸ μὲν ὅλον ἀποκλίνει καὶ αὐτὸς

---

(α) Leon. Hug, De Pentateuchi versione Alexandrina Comment. Friburg. 1818. Καὶ ὁ Ἀννεράβιος ἐπὶ τοῦ Φιλαδέλφου τάττει τὴν ἑρμηνείαν τῶν Ο (τῷ 286 π. Χ.). Πλὴν ὑπό τινος ἁπλῶς ἑταιρείας σοφῶν θέλει ταύτην φιλοπονηθεῖσαν, εἰς ὄφελος τῶν ἐν Αἰγύπτῳ πολυαρίθμων Ἰουδαίων ἑλληνιστῶν. Βλ. V. de Hanneraw, Manuel Biblique. T. 1. p. 3. (β) Hävernick Handbuch der hist. krit. Einleitung in d. A. T. Erlang. 1835.

πρὸς τοὺς περὶ τὸν Βερθόλδυν καὶ τὸν Ὅδιον ὑπερβολικοὺς, πλὴν ἀλλ᾿ ὅμως δικαιοῖ καὶ τὸν Οὐαλκενῆρον, ὡς ὀρθῶς ἐκλαβόντα τοὺς Ἀριστοβούλου λόγους διαδηλοῦντας, μὴ μόνον τὴν Πεντάτευχον, ἀλλὰ πᾶσαν τὴν Γραφὴν ἑρμηνευθεῖσαν ἐπὶ τοῦ Φιλαδέλφου (α). Τοιοῦτός τις φαίνεται καὶ ὁ κριτικὸς Ἕρψης, ἀποδεχόμενος μὲν τὴν Οὔγου γνώμην, μὴ δεχόμενος δὲ ὅμως ὡς ἀληθῆ, μήτε τὴν ὑπὸ τοῦ βασιλέως εἰς τὸν ναὸν ἀφιέρωσιν τῶν ἀναθημάτων, μήτε τῶν Ο, τὴν ἀποστολήν (β).

---

(α) W. M. De Wette Lehrbuch der hist. krit. Einleitung in die Bibel etc. p. 61. Berlin, 1833. πρβλ. καὶ Allg. litter. Zeit. 1816. N. 3. p. 18.

(β) Herbst Historisch-krit. Einleit. in die heil. Schrift des A. T. 1. Bd. p. 150—152. « Ἀλλ᾿ εἴπερ (φησὶν) ἐπεδείκνυτο τοσαύτην μεγαλοφροσύνην ὁ βασιλεὺς πρὸς τοὺς Ἰουδαίους καὶ τὸν ναὸν αὐτῶν, ἔμελλε πάντως εὑρήσειν αὐτὴν ὁ ἀρχαιολόγος Ἰώσηπος μνημονευομένην καὶ ἐν τοῖς ὑπομνήμασι τῆς ἰδίας αὐτοῦ πατρίδος (ὡς εὗρε καὶ τὴν ὕβριν, ἣν ὕβρισεν ὁ βασιλεὺς [ὁ Λαγίδης] εἰς τὸν ναόν). Ἀλλ᾿ αὐτὸς μνημονεύει ταύτην τὴν μεγαλοδωρίαν, ἐκ μόνου τοῦ Ἀριστέου (ἄλλην δὲ μαρτυρίαν οὐδεμίαν ἀναφέρει). Κἂν δέ τις εἴπῃ, ὅτι ἠρκέσθη καὶ εἰς μόνην τὴν Ἀριστέου συγγραφὴν, ἥτις περιεῖχεν ἐντελῆ τὴν ἱστορίαν, ἀπαντῶμεν, ὅτι ὁ ἱστοριογράφος οὗτος, ὁ Ἀριςέας (εἴπερ ἦν ἀληθὴς) οὐκ ἂν συνέχεε τὸν Λαγίδην (ἐφ᾿ οὗ γέγονεν ἡ ἑρμηνεία) πρὸς τὸν Φιλάδελφον » κτλ. ! Τοιαῦτα ὁ Ἕρψης, οὔτε ἀληθῆ, οὔτε πιθανὰ γοῦν ἀπαντῶν. Αὐτὸν δὲ τὸν Ἀριστέαν ἰδίως ἐπικρίνων, πρῶτον μὲν ἐξελέγχει ὡς ψευδῆ τινα καὶ πεπλασμένα γράψαντα, κατὰ τὴν συνήθη καὶ τετριμμένην κρίσιν τῶν Ἀριστεομάχων (pag. 147—149)· ἀλλ᾿ ἐν τοῖς ἐφεξῆς ἀποβαίνει περὶ τὴν καταδίκην μετριώτερος, ἀποδεχόμενος τὴν κυρίαν ὑπόθεσιν ὡς ἀληθῆ. » Καὶ γὰρ (λέγει) φαίνεται τῷ ὄντι ἀκατάληπτον, πῶς ἂν ἰουδαῖός τις ἐτόλμησεν ἀπατῆσαι τοὺς ἰδίους ὁμογενεῖς περὶ πράγματος οὕτως ἐπισήμου, εἰ μὴ πεποιθότως ἠπίστατο καὶ βεβαίως ἀναντίῤῥητον ὄν, καὶ πραγματικὸν τὸ συμβεβηκός. β) Καὶ αὐτὴ ἡ ἑτοιμότης, μεθ᾿ ἧς οἱ Ἰουδαῖοι (καὶ οὗτοι τῶν σοφωτάτων, οἷος ὁ Ἰώσηπος) ἀπεδέξαντο τὴν ἱστορίαν, ἀποδείκνυσι τὸ πρᾶγμα καὶ πρότερον ἤδη γνωστὸν καὶ ὁμολογούμενον. γ) Τοῦτο μαρτυρεῖ καὶ ἡ κατ᾿ ἔτος ἐν τῇ Φάρῳ πρὸς ἀνάμνησιν τῆς ἑρμηνείας τελουμένη πανήγυρις, ἣν ὁ Φίλων διέγραψεν (οὐδ᾿ ἂν ἀμφιβάλοι τὶς εὐλόγως περὶ ταύτης τῆς διηγήσεως). Ἡ δ᾿ αὐτὴ πανήγυρις ἀποδείκνυσι, καὶ ὅτι οὐδὲ κατὰ τεμάχια καὶ κατὰ περίστασιν ἡ ἑρμηνεία γέγονεν, ἀλλὰ πᾶσα, καὶ καθ᾿ ὃν τρόπον ἔγραψεν Ἀριστέας. δ) Ὁ Κλήμης (Στρωματ. α, 22) ἱστορεῖ τὴν ἑρμηνείαν γενομένην κατ᾿ ἄλλους μὲν ἐπὶ τοῦ Λάγου Πτολεμαίου, κατὰ δέ τινας ἐπὶ Φιλαδέλφου. Ἐκ δὲ τούτων γίνεται φανερὸν, ὅτι οὐχ ὑπῆρχεν ἡ συγγραφὴ τοῦ Ἀριστέου ἡ μόνη πηγὴ τῆς περὶ τὴν ἑρμηνείαν ἱστορίας (ἀλλὰ καὶ ἄλλαι τινες)· διότι ὁ Ἀριστέας οὐδεμίαν ὑπολείπει ἀμφιβολίαν, ἐπὶ τίνος βασιλέως ἡρμηνεύθησαν αἱ Γραφαί ». κτλ. (pag. 150—152).

Τελευταῖον, ὁ μήπω πάνυ πρῴην ἐκδοὺς τὰ περὶ τῆς *Ἀλεξανδρινῆς ἑρμηνείας τῆς Πεντατεύχου τρία βιβλία* Ἐῤῥῖκος ὁ Θήρσιος (ὁ νεώτερος) πάνυ κόσμιος καὶ πρᾶος φαίνεται περὶ τὴν ἀρχαίαν ἱστορίαν τῆς ἑρμηνείας, ἐξελέγχων ἐν μέρει τὰς Ὁδιακὰς παρεκτροπὰς, ἐπαινῶν δὲ καὶ τὰς Οὐαλκενήρου περὶ τοῦ Ὁδίου δριμείας, ἀλλ' ἀκριβεῖς ἐπικρίσεις. Ὀρθῶς δὲ ἅμα καὶ λίαν εὐφυῶς καὶ μετριοφρόνως ἐξήλεγξε τοὺς λέγοντας *φιλολογικὸν* τὸν σκοπὸν τῆς ἑρμηνείας· αὐτὸς δ' οὐ τολμᾷ διορίσαι, μῶν *πολιτικός τις* ἦν ὁ σκοπὸς, ἢ *Συναγωγικὸς*, ἢ *ἰδιωτικὸς*, ἢ, τέλος, ὡς μὲν ἐκ τῶν Ἰουδαίων, *Συναγωγικὸς* (διστάζει δὲ καὶ περὶ τούτου), ὡς δ' ἐκ μέρους τοῦ Φιλαδέλφου καὶ Δημητρίου τοῦ Φαληρέως, ἄλλος τις ». Ταῦτα ὁ σοφὸς Θήρσιος (σελ. 10). Ἀλλ' ὅσον περὶ τοῦ σκοποῦ τῆς ἑρμηνείας, ἀπήλλαξεν ἡμᾶς πραγμάτων αὐτὸς ὁ Φιλάδελφος· ὅστις, ἐν τῇ πρὸς Ἐλεάζαρον ἐπιστολῇ, αἰτεῖται τὴν ἑρμηνείαν ἀμφοτέρων ἕνεκα, « τοῖς τε κατ' οἰκουμένην Ἰουδαίοις βουλόμενος χαρίζεσθαι » (ἵνα ταύτην οἱ ἑλληνίζοντες ἀναγινώσκωσιν ἐν ταῖς Συναγωγαῖς), « καὶ ἵνα ὑπάρχῃ ἐν τῇ βιβλιοθήκῃ, σὺν τοῖς ἄλλοις βιβλίοις » κτλ. (Ἀριστέας, σελ. 6). Ἀλλ' ὁ Θήρσιος καὶ τὴν Ἀριστέου συγγραφὴν ὑποβολιμαίαν νομίζει, καὶ πάσης πίστεως ἱστορικῆς ἤδη πρὸ πολλοῦ γεγυμνωμένην (βλ. Τ. Α. σελ. 23). Θέλει δὲ προσέτι καὶ μόνην τὴν Πεντάτευχον ἐπὶ τοῦ Φιλαδέλφου διερμηνευθεῖσαν (α). Ἀλλὰ τὰ περὶ τούτου καὶ ἀλλαχοῦ θεωρήσομεν ἐν τοῖς ἑπομένοις, μίαν μόνον ἤδη προσθέντες ἀπορίαν, τὴν ἐφεξῆς. Εὐθὺς ἐν τῷ πρώτῳ παραγράφῳ (σελ. 4) ἀναφέρει τὴν ἐκ τοῦ ἁγίου Ἱερωνύμου μαρτυρίαν ἐκείνην· ὅτι « *Οἱ πολυμαθεῖς* (ἢ φιλολόγοι) *διατείνονται μόνην τὴν Πεντάτευχον ἑρμηνεῦσαι τοὺς Ο, καὶ τοῦτο φρονοῦσιν Ἀριστέας, Ἰώσηπος, καὶ πᾶσα ἡ τῶν Ἰουδαίων σχολή* » (Ἱερώνυμ. εἰς Ἰεζεκ. ιδ, 13, καὶ ε, 11)· « Καὶ αὕτη (προστίθησιν ὁ Θήρσιος) ἡ γνώμη τοῦ Στριδωνίου πατρὸς οὕτως ἔσχε περὶ τὸ πρᾶγμα συναινοῦντας τοὺς νεωτέρους Θεολόγους, ὥστε τὴν τῆς Πεντατεύχου ἑρμηνείαν ἀρχαιοτέραν κρίνουσι καὶ βελτίονα τῆς τῶν

(α) Thierschij De Pentateuch. version Alex. p. 4—9.

ἄλλων τευχῶν » κτλ. Ἀλλὰ προϊὼν ἐφεξῆς (§. 3. § 5.) ὁ ἄριστος Θήρσιος, ἀποδέχεται τὴν περὶ τοῦ Ἀριστοβούλου νηφάλιον τοῦ Οὐαλκενήρου κρίσιν, καὶ αὐτὸν ἐπάγει τὸν Ἀριστόβουλον μαρτυροῦντα, ὅτι ἐπὶ τοῦ Φιλαδέλφου μεθηρμηνεύθησαν οὐ μόνον ἡ Πεντάτευχος, ἀλλὰ πάντα τὰ τεύχη τῆς Γραφῆς· προσεμπεδοῖ δὲ τὴν Οὐαλκενήρου γνώμην καὶ διὰ τοῦ νεωστὶ εὑρεθέντος Πλαυτείου σχολίου (περὶ οὗ προείπομεν, βιβλ. α. κεφ. κδ. ἄρθρ. θ). Καὶ κατὰ ταῦτα ἄρα φαίνεται καὶ Ἀριστέας ὅτι ἔλεγεν, ὅσα μετὰ ταῦτα καὶ Ἀριστόβουλος (ὅστις πάντως ἀνέγνω καὶ τὴν Ἀριστέου συγγραφήν)· τούτοις δὲ συνεφώνει καὶ Ἰώσηπος (ὡς ὀψόμεθα ἐν τοῖς ἐφεξῆς). Ὁ δὲ μακάριος Ἱερώνυμος, ἢ *λάθετ'*, ἢ *οὐκ ἐνόησεν* ἀκριβῶς, οὔτε τὸν Ἀριστέαν, οὔτε τὸν Ἰώσηπον. Καὶ τὸ Ταλμοῦδον δὲ πάλιν ἀλλαχοῦ τἀναντία λέγει πρὸς ἣν εἶπεν ὁ Δαλμάτης Πατὴρ Ἰουδαίων σχολήν. Πῶς λοιπὸν ὁ κλεινὸς Θήρσιος δικαιῶν τὸν Ἀριστόβουλον, ἔπειτα φαίνεται καὶ αὐτὸς *μετὰ τῶν νεωτέρων Θεολόγων* ἀποκλίνων πρὸς τὴν Ἱερωνύμειον ὑπόνοιαν; Ὅτι δὲ καὶ αὐτὸς ὁ Ἱερώνυμος ἀλλαχοῦ τῶν συγγραφῶν πολλάκις ἐθεώρησε πάντα τὰ τεύχη τῆς Γραφῆς ὑπὸ τῶν Ο, μεθερμηνευθέντα (καθὼς ἔγραψεν ὁ Ἀριστόβουλος), ὀψόμεθα ἐν τῷ οἰκείῳ τόπῳ.

§. δ. Ταῦτα περιληπτικώτερον περὶ τῶν κυριωτέρων δοξασιῶν, ὅσας περὶ τῆς ἑλληνίδος τῶν Γραφῶν ἑρμηνείας διεδογμάτισαν οἱ διασημότατοι τῶν περὶ τὰς Γραφὰς νεωτερικῶν φιλολόγων καὶ κριτικῶν, ἀποσκυβαλίζοντες τὴν ἱστορίαν τοῦ Ἀριστέου, καὶ μηδὲ πρὸς ἀλλήλους ὁμοφωνοῦντες. Ὑπάρχουσι δὲ καὶ ἄλλοι, καὶ οὗτοι τῶν οὐκ ἀσήμων, ὧν τὰς κρίσεις ἰδίως οὐκ ἐμνημονεύσαμεν, χάριν τῆς συντομίας, καθὸ πάσας συμφώνους πρὸς τὰς ἐξενεχθείσας· διότι πολλοὶ πολλάκις ἀντιγράφουσι τὰς γνώμας τῶν προγενεστέρων. Τοιοῦτος ἐφάνη καθ' ἡμᾶς (ἵνα τοῦτον γοῦν μὴ παραδράμωμεν) καὶ Φράγκελος ὁ Ἀρχιραββῖνος (ὃν καὶ ἐν τοῖς ἔμπροσθεν ὠνομάσαμεν, τόμ. α. σελ. 17 καὶ 386, 423, 443), ἰουδαῖος οὐκ ἄχαρις, ἀλλὰ καὶ παιδείας ἑλληνικῆς, καὶ τῆς ἄλλης κριτικῆς πολυμαθείας ἅλις ἐγκρατής. Οὗτος τοίνυν ἐξ ἁπάντων τῶν προηγησαμένων τὰ

χείριστα καὶ δριμύτατα κατὰ τῆς ἑρμηνείας τῶν Ο, συναθροίσας, καὶ μετὰ πολλῆς ἐντρεχείας παρασκευάσας, παρέθηκε τοῖς φιλολόγοις δειπνάριον οὐκ ἀνθηρὸν, οὐδὲ πάνυ γλαφυρὸν, ἀλλὰ καὶ σφόδρα ψυχρὸν καὶ *σαββατικόν*. Θέλει καὶ αὐτὸς ἐπὶ τῶν πρώτων Πτολεμαίων μόνην τὴν Πεντάτευχον ἑρμηνευθεῖσαν εἰς χρῆσιν τῶν ἑλληνιστῶν Ἰουδαίων, καὶ ταύτην οὐχ ὅλην, οὐδ᾽ ὑπὸ τῶν αὐτῶν ἑρμηνευτῶν· ἀλλὰ τὰ μὲν πρῶτα τρία τεύχη μετεφράσθησαν (λέγει) κομματηδὸν, πολλῶν χασμάτων ἐν τῷ μεταξὺ παραλειπομένων ὑπὸ τῶν πρώτων μεταφραστῶν, ἅτινα μετέπειτα ἐπελθόντες ἄλλοι περὶ τὴν ἑβραϊκὴν ἀμαθέστεροι, κακῶς ἀνεπλήρωσαν, προσθέντες εἰς τὸ κείμενον καί τινα γλωσσηματικὰ (παρασημειώματα), εἰς τὸ περισέλιδον τῶν ἑρμηνευμάτων προκεχαραγμένα. Μόνον (λέγει) τὸ Λευϊτικὸν ὁμαλῶς καὶ καθαρῶς μετεφράσθη (καθὸ μᾶλλον ἀναγκαῖον διὰ τὴν νομοθεσίαν), καὶ ἔπειτα τὸ Δευτερονόμιον. Τὰ δὲ προφητικὰ καὶ τ᾽ ἄλλα τῶν ἱερῶν βιβλίων ἡρμηνεύθησαν ὕστερον κατὰ καιροὺς, ἀτάκτως καὶ ἀορίστως. Καὶ οὔτε Παλαιστινοὺς, οὔτε γοῦν Ἀλεξανδρινοὺς ἐθέλει τοὺς ἑρμηνεῖς ὁ ἀρχιραββῖνος (ὡς ἐμαρτύρησεν αὐτῷ, καθὼς λέγει, τὸ λεκτικὸν καὶ ὅλον τὸ ὕφος τῆς ἑρμηνείας), ἀλλά τινας Ἀφρικανοὺς, οἷον Κυρηναίους, ἢ καὶ ἄλλους τινὰς ἐκ τῆς μικρᾶς Ἀσίας ἑλληνιστάς. Κατὰ δὲ τοῦ μυθολογηθέντος δῆθεν ἀριθμοῦ τῶν Ο, βεβαίαν αὐτὸς ἐπάγει τὴν περὶ τῶν *πέντε γερόντων* μαρτυρίαν τοῦ Ἱεροσολυμικοῦ Ταλμουδίου (τὸ δὲ Βαβυλώνιον κατεψευσμένον ἀνακηρύττει!). Μέμφεται δὲ καὶ πάντας, ὅσοι πρὸς τὴν λύσιν τοῦ περὶ τῆς ἑρμηνείας τῶν Ο, κινηθέντος ζητήματος ἠσχολήθησαν, ἀνατέμνοντες μόνον τὸν φλοιὸν τῆς ἱστορικῆς περιγραφῆς, οἵαν ὑπηγόρευσεν ἀμάθεια καὶ ὀκνηρία, πρὸς αὐτοὺς δὲ τοὺς Ο, μὴ πλησιάζοντες. Αὐτὸς δὲ πάσαις δυνάμεσιν ἀσχολεῖται περὶ τὴν σύγκρισιν τῶν Ο, πρὸς τὸ κείμενον τὸ ἑβραϊκὸν, ὡς ἂν ταύτην μόνον οὖσαν ὁδὸν πρὸς εὕρεσιν καὶ τῆς ἐποχῆς καὶ τῆς ὅλης ἀξίας τῆς ἑρμηνείας! (α). Οὕτως ὁ γενναῖος Φράγκελος

(α) Frankel, Historisch-kritische Studien zu der Septuaginta. I. Bd. 1. Abth. pag. 3, 4, 8, 11, 20, 23, 29.

ὁπλισθεὶς τὰ Ταργουμὶμ καὶ Ταλμουδὶμ καὶ τὰς Μελχίτας (σύγγραμμα καὶ τοῦτο Ῥαββινικὸν), ἐπῆλθεν ἡμῖν καὶ αὐτὸς καταστρέψων τὸ κῦρος καὶ τὴν ἀξίαν τῶν Ο, αὐτοῖς ὅλοις ὑπομνήμασι τῶν ἀρχαίων αὐτοῦ προγόνων· καὶ ἔοικεν ὁ ῥαββὶς οὐ σμικρὰ φρονεῖν! Ἀλλὰ τὰς τούτου ποικίλας γνωμολογίας συνεξετάσομεν, ἐν οἷς ἀπαντήσομεν ἐφεξῆς πρὸς τὰς τῶν ἀρχαιοτέρων αὐτοῦ κριτικῶν, οἷον Πειπφέρων, καὶ Βερθολδῶν, κτλ. (βλ. ὄπισθ. σελ. 11, 15), ἐξ ὧν ἀνθολογήσας ἔχει τὰ στεφανώματα. Ἤδη δὲ τοσοῦτον λέγομεν πρὸς αὐτόν· Ὦ λῷστε Ἰουδαῖε, τί τερὶ τὴν κριτικὴν ἁβρυνόμενος, οὐκ ἤρξω πρῶτον ἀπὸ τῶν οἰκείων; Τοσαῦτα ζητήματα καὶ ποικίλαι κρίσεις καὶ κατακρίσεις ἐφιζάνουσι καὶ βαρύνουσι τὸ κείμενον τὸ ἑβραϊκὸν, καὶ σὺ τοῦτο καταλιπὼν, πολυπραγμονεῖς τὰ τῶν Ο; « *Ἄλλων ἰατρὸς, αὐτὸς ἕλκεσι βρύων* »; Ἢ μήπως ἐξῆλθες πωλήσων τὰς Μασοριτικὰς ἐπὶ τοῦ κειμένου στρεβλώσεις, καὶ ἄλλας παντοίας συντριβὰς καὶ παραφθορὰς, ὡς γνησίας ἀναγνώσεις καὶ γραφὰς αὐτῶν τῶν θεοπνεύστων προφητῶν; καὶ τοὺς πολυπαθεστάτους χθιζούς σου κώδηκας, ὡς προτιμοτέρους τῶν ἐξ ὧν ἡρμήνευσαν οἱ Ο; Καὶ τοιαῦτα μὲν τὰ τοῦ Φραγκέλου. Τούτου δ' ὁμόφρων καὶ ὁμογενὴς, ὡς ἔοικεν, Ἰουδαῖος (δεῖ γὰρ καὶ τοῦτον προσθεῖναι τὸν σοφὸν) ἀνεφάνη συγχρόνως καὶ ὁ προσωπιδωτὸς Κλαύδιος (Claudius), ὅστις καὶ αὐτὸς (ἐν τῷ « *περὶ τῆς Γραφῆς, ὡς ἀνθρώπινον ἔργον θεωρουμένης* » καινοφανεῖ αὐτοῦ ἐγχειριδίῳ) καθάπτεται γενναίως τῆς ἑρμηνείας τῶν Ο! Καὶ πρῶτον μὲν ὁμολογεῖ ταύτης τὰ προτερήματα, καθ' ἃ καὶ τὴν Βουλγάταν ὑπερτερεῖ, τρία τινα ταῦτα ἀριθμῶν. α) « Τὰ πρεσβεῖα τῆς ἀρχαιότητος· *ὅπερ* (λέγει) *πρὸς τὸν καθολικισμὸν, οὐκ εὐκαταφρόνητον* »· (καθολικισμὸν δὲ, λέγει, τὴν Δυτικὴν ἐκκλησίαν, ὡς καὶ ταύτην δηλονότι, ἐν οἷς ὁμοφωνεῖ πρὸς τὴν Ὀρθόδοξον θείοις δόγμασι, τρανὰς καὶ λαμπροτέρας ἔχουσαν τὰς ἀποδείξεις ἐκ τῆς ἑρμηνείας τῶν Ο)· β) « Τὴν πρὸς αὐτὴν ὁμόλογον συμφωνίαν τῶν πρώτων τῆς ἐκκλησίας πατέρων » (ὤφειλεν εἰπεῖν καὶ τῶν Ἀποστόλων). γ) « Τὴν ἀπὸ τῆς ἐποχῆς τῶν πρώτων χρι-

στιανῶν μέχρι καὶ τῆς σήμερον διαρκῆ καὶ ἀδιάλειπτον αὐτῆς ἐξουσίαν καὶ κυριότητα ». — Ὀρθῶς γε ταῦτα καὶ ἀληθῶς ὁ Ψευδο-κλαύδιος. Ἀλλ' ἐν τοῖς ἐφεξῆς, τὴν περὶ τῆς ἑρμηνείας ἱστορίαν τοῦ Ἀριστέου, μετὰ τῶν τοῦ Φίλωνος καὶ τοῦ μάρτυρος Ἰουστίνου, τωθαστικώτερον διεξελθὼν, ἐπιφέρει. « Οὗτος ὁ μῦθος, ἀφ' οὗ διήρκεσεν ὅλους ιε, ἢ ις, αἰῶνας, διὰ πάσης ἀγόμενος ὑπολήψεως καὶ τιμῆς, συνετρίβη, τέλος, προσβαλὼν πρὸς τὴν ἀνίλεων κριτικὴν τοῦ *Σκαλιγήρου*, τοῦ *Βίβου*, τοῦ *Βανδάλου*, τοῦ *Πριδὼ*, τοῦ *Ὁδίου*, καὶ ἄλλων, οἵτινες ἀπέβησαν σφόδρα κοινωφελεῖς διὰ τοῦ Βολταίρου »! (Ἄξιος ὁ μαθητής! καὶ οἱ καθηγήτορες τρισόλβιοι!). Θέλει δὲ καὶ οὗτος ἐν Αἰγύπτῳ μὲν καὶ πρὸ Χριστοῦ Σωτῆρος γενομένην τὴν ἑρμηνείαν, ἀλλ' οὐχὶ καὶ τῶν Ἰουδαίων συγκατατιθεμένων (διότι αὐτὸς Ἰωσήπῳ καὶ Φίλωνι καὶ Ἀριστοβούλῳ καὶ τῇ ἀρχαίᾳ Συναγωγῇ τῶν Ἰουδαίων οὐ συγκατατίθεται!). Τελευταῖον, διακωμῳδῶν τὸ θαῦμα τῆς τῶν ἑρμηνευτῶν συμφωνίας, καὶ θεωρῶν τὴν διαφορὰν τῶν ἀρχαίων χειρογράφων τῆς ἑρμηνείας, ὡς ἀπόδειξιν, ὅτι οὐκέτι σῴζεται γνησία ἐκείνη ἡ πρώτη λεγομένη τῶν Ο, ἑρμηνεία, ἐπιφέρει, « ὅτι, κἂν ἐξ ἐκείνων τῶν θεοπνεύστων χειρογράφων ἕν τι σήμερον εὑρεθῇ, οὐδὲν μᾶλλον προκόψουσιν οἱ κόποι τοῦ Οὐοσίου, καὶ Βίστωνος, καὶ Βρέττου, καὶ τῶν ἄλλων (τῶν τῆς ἑρμηνείας ὑπερασπιστῶν)· διότι, τέλος, οὐδὲν ἕτερον ἕξουσιν, εἰ μὴ *μετάφρασιν* τῆς Γραφῆς, εἰς σφάλματα, ὡς πᾶν ἀνθρώπινον ἔργον, ὑποκειμένην »· (ἔστωσαν, ὡς ὑπέθετο, καὶ θεοφόρητοι οἱ μεταφρασταί!). « Μετάφρασιν (ἐπαναλαμβάνει), ἥτις οὐδαμόθεν ἄλλοθεν ἔχειν δύναται τὸ κῦρος καὶ τὴν αὐθεντίαν, εἰμὴ ἐκ τοῦ κειμένου (τοῦ ἑβραϊκοῦ) ». κτλ. — Κείμενον δὲ πάντως ὁ Κλαύδιος οὗτος ἐννοεῖ τὸ καθ' ἡμᾶς! Ἀλλὰ τίποτ' ἐρεῖς ἀναγνῶστα, ὅταν ἀκούσῃς καὶ ποῖον θεωρεῖ τὸ κείμενον τοῦτο, πρὸς ὅπερ, ὡς πρὸς στάθμην, κρίνει παραβλητέαν τὴν ἑρμηνείαν τῶν Ο; — « Ἐκ τῶν ἑβραϊκῶν χειρογράφων (ἀνακηρύττει στεντόρειον) λείπει τὸ ἰδιαίτατον τῆς γνησιότητος γνώρισμα, δηλονότι τὸ ὁμοειδὲς καὶ ὁμοιόμορφον. — Ὅθεν, ἀκριβέστερον ἐρευνῶντες, καθορῶμεν, ὅτι τὸ *ἑβραϊκὸν κείμενον οὐ διέμεινεν*

*ἀμετάβλητον*. Τίς οὖν ἔσται γνώμων καὶ διαιτητὴς πρὸς λύσιν τῶν ἐκ τῆς διαφορᾶς ταύτης τοῦ κειμένου προκυπτουσῶν ἀμφιβολιῶν; καὶ τίς ὁ ψηφίσων ἀπλανῶς, ποῖον τῶν ἴσας τὰς ἀξιώσεις ἐχόντων διαφόρων χειρογράφων τὸ γνησιώτερον;» κτλ. (α) Ἀλλὰ καταλείποντες τὸν Κλαύδιον διδάσκοντα τὸν Ἀρχιραββῖνον τὰ περὶ τοῦ κειμένου (καίτοι, ἴσως, μὴ ἀπὸ γνώμης καθαρᾶς, ὡς παντελῆ τῶν θείων Γραφῶν ἀθέτησιν, ὡς ἔοικε, διανοούμενον), ἐπάνιμεν ἐπὶ τὸ προκείμενον.

§. ε. Οἱ μὲν οὖν ἀρχαῖοι φυσικοὶ φιλοσοφοῦντες, ἔλεγον τὴν ὑποκειμένην τοῖς πράγμασιν ὕλην μίαν ὑπάρχειν καὶ τὴν αὐτὴν πανταχοῦ· τρέπεται δὲ ὅμως μεταβαλλομένη ἄλλοτε ἄλλως, καὶ νῦν μὲν φλέγεται, νῦν δὲ τἀνάπαλιν ἐξυγραίνεται, καὶ πάλιν πήγνυται, καὶ ἄλλοτ' ἐξαεροῦται. Παρομοίως καὶ οἱ νεώτεροι κριτικοὶ τὴν περὶ τῆς ἑρμηνείας τῶν Γραφῶν παλαιὰν ἱστορίαν, ὡς ἄν τινα παντάπασιν ἀχρωμάτιστον καὶ ἀνείδεον ὕλην, παραλαβόντες, ἄλλος ἄλλως αὐτὴν μετεμόρφωσαν, καὶ μετεσχημάτισαν αὐτεξουσίως, ἕκαστος πρὸς τὸ δοκοῦν, παντοίας πιθανότητος ἐπινοοῦντες ἰδέας, πλάσματα πάντα πολυμαθείας ἐμπαθοῦς, ἢ καινοτόμου φιλοδοξίας, καὶ ταῦτα προτιμήσαντες ἀντὶ τῆς ἀρχαίας πραγματικῆς ἱστορίας. Καὶ τοιοῦτοι μάλιστ' ἀνεφάνησαν κατά τε τοὺς χρόνους τῆς λεγομένης Ἀναμορφώσεως, καὶ πολὺ θρασύτεροι, ἀφ' οὗ παρεισῆλθεν εἰς τὴν κριτικὴν τῶν θείων Γραφῶν ἑρμηνείαν ὁ παρ' αὐτοῖς λεγόμενος *Λογικισμὸς*, ἢ *ὀρθολογισμὸς* (rationalismus), πᾶν μὲν ἀσύνηθες, ἢ θαυμαστὸν, ἀφειδῶς ἀναιρῶν, *ἐν ὀνόματι καὶ βοηθείᾳ τοῦ ὀρθοῦ λόγου*, πᾶν δὲ καθυποζυγῶν εἰς τὴν ἀπαρέγκλιτον, ἣν αὐτὸς εὐθύνει, στάθμην τῆς ὑψηλοτέρας κριτικῆς, καὶ πανταχοῦ τολμηρῶς ἀνασκάπτων τὰ θεμέλια πάσης ἀρχαίας ἅμα καὶ ἐμβριθοῦς καὶ σεμνοτάτης περὶ τὰς Γραφὰς διδασκαλίας, μηδ' αὐτὴν σεβόμενος τὴν θειότητα τῶν Γραφῶν (β). Ἀλλὰ τὰ μὲν περὶ

---

(α) Βλ. Die Bibel als ein Menschenwerk betrachtet-von Claudius. p. 142—143, καὶ p. 123—133. Paris und Leipz. 1841.

(β) Τοιοῦτοι μάλιστ' ἀνεφάνησαν οἱ Ὀρθολογισταὶ (Rationalistes), οἱ καὶ Φυσικοὶ λεγόμενοι (Naturalistes), πρὸς διαστολὴν τῶν Δογματιστῶν καὶ

τὰς Γραφὰς, ἑτέρας θεωρίας, τῆς Ἐξηγητικῆς, ἢ Ἑρμηνευτικῆς. Ἡ δὲ περὶ τῆς τούτων ὑπὸ τῶν Ο, μεταφράσεως διωκομένη ἱστορία μένει πάλιν ςαθερὰ καὶ ἀναλλοίωτος, ἐπὶ χώρας ὑψηλῆς καὶ μάλα βεβαίας, τῆς μητρὸς αὐτῆς ἀληθείας, ἀστεμφῶς ἡδρασμένη· τοὺς δὲ διώκτας αὐτῆς ἄνωθεν ἐφορᾷ γαλήνιος ἀλληλομαχοῦντας, καὶ δεῖγμα τῆς ψευδοσύνης τῶν κατ' αὐτοὺς *ὀρθολογικῶν* συστημάτων λαμπρότατον ἐπιφερομένους, τὴν διηνεκῆ πρὸς ἀλλήλους ἀντίφασιν καὶ ἀντιλογίαν. Οὐδὲ γὰρ δικαστήριον συνίσταται δεκτὸν ἐκ τοιούτων δὴ περὶ τὰς κρίσεις ἀντιφασκόντων δικαστῶν· καὶ μάρτυρες ἐκπίπτουσιν, ὧν αἱ μαρτυρίαι οὐκ εἰσὶν ἴσαι. Καὶ ἴσως μὲν ὑπῆρχε καλὸν (ἢ πρέπον γοῦν καὶ κατάλληλον εἰς τὴν ἡμετέραν ἀσθένειαν), εἴπερ καὶ ἡμεῖς παρετρέχομεν τοὺς περὶ τὴν ἑρμηνείαν

---

Ὑπερφυσικῶν (ὡς καλοῦσι τοὺς τηροῦντας τὰ καθεστῶτα). Πρῶτος δὲ τῆς τῶν Ὀρθολογιστῶν λεγομένης σχολῆς ἀρχηγὸς φαίνεται ὁ Σέμλερος, ὅστις ἤρξατο πρῶτος τῆς ἐλευθεριωτέρας (ὡς λέγουσιν) ἑρμηνείας τῶν θείων Γραφῶν (περὶ τὰ 1760—1778). Οὗτος ἀρνεῖται τὸ θεόπνευστον τῶν ἁγίων Γραφῶν· Πᾶν θαῦμα ἐκλαμβάνει ὡς ἀλληγορίαν· Πᾶσαν θεόπεμπτον ὅρασιν, ὡς πλάνην ὀφθαλμῶν, ἢ ὡς φυσικὸν συμβεβηκὸς, περιβεβλημένον τῆς Ἀσιατικῆς ὑπερβολῆς τὸν ποδήρη. Πᾶσαν, τέλος, προφητείαν ἀπαναίνεται. Τῷ δὲ Σεμλέρῳ καὶ Ἄμμων συμμαχῶν, ἐξέδωκε καί τινας κανόνας θετικοὺς τοῦ κατὰ τὴν ἀσεβεστάτην ταύτην μέθοδον ἑρμηνεύειν τὰ θαύματα! (Ἐν τῷ προλόγ. τοῦ, ὃν ἐξέδωκεν Ernesti Instit. interpret. N. T. Ἐν δὲ σελ. 15. φαίνεταί πως θαύματά τινα ἀποδεχόμενος). Εἰς τὴν Σχολὴν τῶν Ὀρθολογιστῶν ἀνήκουσι καὶ Toelner, Eichhorn, Paulus, Gabler, Schuster, Restig, Eckermann, Flugge, καὶ ἄλλοι πολλοὶ, εἰς ὧν τὰς συγγραφὰς φαίνεται ἡ πρακτικὴ τῶν Ἀμμωνιακῶν κανόνων ἐφαρμογή· καὶ ὁ Εἰχόρνιος ἰδίως ἐφιλοτέχνησε καὶ σύστημα τῆς περὶ τὴν προφητείαν ὀρθολογικῆς θεωρίας, παραλληλίζων τοὺς θείους Προφήτας πρὸς τοὺς μάντεις τῶν ἐθνῶν! (Einleitung in das Alte Test. tom. IV. p. 45. Götting, 1824). Τὴν μέθοδον τῶν Ὀρθολογιστῶν διατηρεῖ καὶ Καχὴν ὁ Ἰουδαῖος (Cahen, La Bible, Traduc. nouvel. etc. T. I. avant-propos p. XV). Ἀλλὰ πρὸς ταύτας τὰς δειλαίας ματαιοσχολίας ἀπήντησαν ἄλλοι συνετώτεροι σοφοὶ, καὶ πρὸς τὸν Σέμλερον ἰδίως ὁ C. F. Schmidius (Histor. antiqua et vindicat. Canonis sacri Vet. et N. Test. p. 35, 48, 77, 84. Lips. 1785). Ἐξήλεγξε δὲ καὶ καθ' ἡμᾶς τὰς τοιαύτας ἐρεσχελίας ὅ,τε κλεινὸς Ὄρνος (An introduction etc. vol. 2. P. 2. p. 224 καὶ vol. 1, p. 19.), καὶ ὁ πλείστης τιμῆς ἄξιος καὶ πολυμαθέστατος N. Wiseman (Discours sur les Rappots entre la Science et la Religion revelée p. 388. sq. Paris 1843), καὶ ὁ Glaire (Introduction etc. T. 1. p. 456). πρβ. καὶ Thierschij de Pentat. vers. Alex. p. 23.

τῶν Γραφῶν καινοτόμους αὐτῶν ἐπιλογισμοὺς, καταλιπόντες αὐτοὺς κοπτομένους πρὸς ἀλλήλους, ὡς θερμοὺς ἀλέκτορας, καὶ τὰς ποικίλας, ὅσας ἄλλος ἄλλοθεν ἀναπλάττουσι, δοξασίας ἐξ ὑπαμοιβῆς ἀνατρέποντας καὶ καθαιροῦντας, δυνάμει πάλιν *καὶ βοηθείᾳ τοῦ ὀρθοῦ λόγου!* Ἀλλὰ, χάριν τῶν περὶ τὴν Γραφικὴν θεωρίαν πρωτοπείρων ἡμετέρων, ἀπαντῶμεν τὸ κατὰ δύναμιν πρὸς τὰς μάλιστα σπουδαίας δοκούσας καὶ ἰσχυρὰς ἀντιλογίας, ὅσας ἀνεκίνησαν οἱ ἄνδρες περί τε τῆς *αἰτίας*, καὶ τοῦ *τρόπου*, καὶ τοῦ *σκοποῦ*, καὶ τοῦ *πρωτοτύπου* τῆς ἑλληνικῆς ἑρμηνείας τῶν Γραφῶν, ἔτι δὲ *καὶ περὶ τοῦ γένους καὶ ἀριθμοῦ τῶν ἑρμηνευτῶν*, κτλ.

§. ϛ. Ἐπειδὴ δὲ πάντες ἁπλῶς, καὶ αὐτοὶ οἱ κατὰ μέρος ἀντιφωνοῦντες, ὡς κοινὸν καθηγεμόνα, προβάλλονται τὸν πολυμαθέστατον Ὅδιον, τούτου κυρίως τὸ τετεχνευμένον ἱστορικὸν σύστημα θεωροῦμεν, παρενείροντες ἅμα καὶ ὅσα προσέθηκαν οἱ τῶν νεωτέρων ἐπισημότατοι, ἢ προσεπικυροῦντες, ἢ διορθοῦντες, ἢ ἄλλως πως μεταποιοῦντες τὰ Ὁδιακά.

## ΚΕΦΑΛΑΙΟΝ Β'.

*Ποία τις ἡ αἰτία τῆς ἑρμηνείας τῶν Γραφῶν· καὶ εἴπερ ἐξηλληνίσθησαν ὑπό τινων ἄλλων παρὰ τοὺς Ο, καὶ μήτε φιλοτιμίᾳ τοῦ βασιλέως, μήτε Δημητρίου τοῦ Φαληρέως ἐπιστατοῦντος.*

§. α. Ὅτι γέγονέ τις ἑρμηνεία τῶν ἑβραϊκῶν Γραφῶν ἐπὶ τῆς διετίας ἐκείνης, καθ' ἣν εἰσέτι περιῆν ὁ Λαγίδης Πτολεμαῖος, παραχωρήσας τῷ υἱῷ Φιλαδέλφῳ τὴν βασιλείαν, τοῦτο προθύμως οἱ περὶ τὸν Ὅδιον ὁμολογοῦσιν, ἐπιφέροντες ὡς ἀπόδειξιν τὰς ἐν τοῖς προηγουμένοις (βιβλ. α. κεφ. θ. §. κγ.) σημειωθείσας γνώμας τῶν ἀρχαίων, ὧν οἱ μὲν ἐπὶ τοῦ Λαγίδου, οἱ δ' ἐπὶ Φιλαδέλφου χρονοθετοῦσι τὴν ἑρμηνείαν. Ὡσαύτως καὶ τῶν νεωτέρων οἱ μετριώτεροι, καὶ μὴ λίαν αὐθέκαστοι καὶ στρυφνοὶ, ταύτην ἀπεδέξαντο τὴν χρονολογίαν.

§. ϐ. Ὅτι δὲ ὅμως ἡ ἑρμηνεία αὕτη πεφιλοπόνηται κατὰ φιλοτιμίαν τοῦ Φιλαδέλφου, καὶ σπουδῇ Δημητρίου τοῦ Φαληρέως, τοῦτο κατ᾽ οὐδένα τρόπον οὐδόλως, οὐδ᾽ ἂν εἴ τι καὶ γένοιτο, ἀποδέχονται οὔτε οἱ περὶ τὸν Ὅδιον, οὔτε τῶν μετ᾽ ἐκεῖνον ἄλλοι, πολλοί τε καὶ σοφοί. Δείγματα δὲ τοῦ ψεύδους τούτου προϐάλλουσιν οἱ πλεῖστοι, ὅσα καὶ Ὅδιος (α).

§. γ. Οὗτος τοίνυν ἐδογμάτισεν, ὡς εἴπομεν (κεφ. α. §. γ. ἄρθ. Γ.), « Ὅτι πολὺ πλῆθος Ἰουδαίων κατῴκουν ἐν Αἰγύπτῳ, οἱ μὲν ἐπὶ Ψαμμητίχου βασιλεύοντος ἐλθόντες, οἱ δὲ καὶ ὕστερον μετὰ τοῦ Πέρσου, καὶ ἄλλοι ἐφεξῆς, ἐπὶ τοῦ Μ. Ἀλεξάνδρου μεταναστεύσαντες, πολλοὶ δὲ καὶ ὑπὸ τοῦ Λαγίδου αἰχμάλωτοι μετοικισθέντες (βιϐλ. α. κεφ. ιδ. §. ϐ.). Ὅθεν εἶπον καί τινες τῶν Ῥαϐϐίνων, ὅτι τῶν κατά τε τοὺς Πτολεμαίων χρόνους καὶ ἐφεξῆς ἐν Αἰγύπτῳ διαγόντων Ἰουδαίων ἡ πληθὺς ὑπῆρχε διπλασίων τῶν μετὰ Μωσέως ἐξελθόντων κατὰ τὴν Ἔξοδον. Μαρτυρεῖ δὲ καὶ Φίλων, ὅτι ἐπ᾽ αὐτοῦ κατῴκουν ἐν Αἰγύπτῳ Ἰουδαῖοι οὐκ ἐλάσσονες ἑνὸς ἑκατομμυρίου (ϐ). Τούτων οὕτως ἐχόντων, ἐπειδὴ καὶ κατὰ τοὺς χρόνους ἔτι τοῦ Λαγίδου καὶ τοῦ Φιλαδέλφου Πτολεμαίου πολὺς κατῴκει τὴν Αἴγυπτον Ἰουδαίων ἀριθμὸς, εὔκολος λοιπὸν καὶ λίαν πιθανὴ προκύπτει ἡ εἰκασία, ὅτι καὶ τῶν ἱερῶν βίϐλων ἡ ἑρμηνεία γέγονεν, οὐχ ὅπως ἐνθησαυρισθῇ κατὰ τὴν βασιλικὴν βιϐλιοθήκην, ἀλλ᾽ ὑπό τινων Ἀλεξανδρινῶν Ἰουδαίων, εἴτ᾽ ἐθελοντῶν, εἴτε καὶ τοῦ Συνεδρίου προστάξαντος, φιλοπονηθεῖσα, χάριν τῶν κατ᾽ Αἴγυπτον Ἰουδαίων· οἵτινες, ἀπηρχαιωμένης ἤδη τῆς ἑϐραϊκῆς φωνῆς, οὐ κατενόουν οἱ πλεῖστοι τὰς Γραφὰς ἀναγι-

---

(α) Βλ. Hody Lib. II. c. 3. p. 97 sqq.

(ϐ) « Οὐκ ἀποδέουσι μυριάδων ἑκατὸν οἱ τὴν Ἀλεξάνδρειαν καὶ τὴν χώραν (τῆς Αἰγύπτου) κατοικοῦντες Ἰουδαῖοι, ἀπὸ τοῦ πρὸς Λιϐύην καταϐαθμοῦ μέχρι τῶν ὁρίων Αἰθιοπίας » Φίλ. εἰς Φλάκκ. σελ. 523 τόμ. ϐ. ἐκδ. Mangey· ὅπου ὁ κλεινὸς ἐκδότης (μηδὲν δέον) οἴεται τὰ ἑκατὸν τρεπτέον εἰς ἑπτὰ, ἢ γοῦν ὑπερϐολικῶς εἰρημένον τὸν ἀριθμὸν ἐκληπτέον. Ἀλλ᾽ οὐδεμία ὑπερϐολή, (βλ. Carpzov. Critic. Sac. p. 439). Σημ. ἡμετ.

νωσκομένας. Ὡς γὰρ ὕστερον ἐπὶ τοῦ Φιλομήτορος Πτολεμαίου ναὸν ἔκτισαν ἐν Αἰγύπτῳ παρόμοιον τοῦ ἐν Ἱεροσολύμοις, θύοντες ἐν αὐτῷ, καὶ τὰς ἄλλας θρησκεύοντες τελετὰς (α), οὕτω καὶ τότε τὰς ἐν ταῖς κατ᾽ Αἴγυπτον Συναγωγαῖς, ὡς κἀν Ἱεροσολύμοις, ἀναγινωσκομένας τῆς Γραφῆς περικοπὰς ἠθέλησαν ἔχειν ἡρμηνευμένας εἰς ἣν πάντες κατενόουν γλῶσσαν, τὴν ἑλληνικήν. Ὕστερον δὲ καὶ κλέος ἀμφιλαφὲς, καὶ ἀξίωμα, καὶ θεῖον ἔτι κῦρος προμνηστεύοντες εἰς τὴν ἑρμηνείαν, ἔπλασαν τὸν περὶ ταύτης μῦθον ἐπ᾽ ὀνόματι τοῦ Ἀριστέου ».

§. δ. Ταύτην ὁ σοφὸς Ὅδιος ἐξέφερε τὴν γνώμην περὶ τῆς ἑρμηνείας, αὐθαίρετα, ἀμάρτυρα, αὐτοκάβδηλα λέγων, ὁποῖα καὶ πρότερον ἐγνωμάτευσε (Βιβλ. α. κεφ. θ). Ἡμεῖς δὲ πρὸς ταῦτα λίαν ἁπλῶς καὶ παρὰ πόδας ἀπαντῶμεν, αὐτὸν Ὅδιον Ὁδίῳ ἀντιτιθέντες, εἰπόντα πρὸ μικροῦ καὶ ταῦτα ἐπὶ λέξεως. « Ἀλλ᾽ ἴσως ἄν τις ὑποπτεύσειε προχείρως, ὅτι ὁ Δημήτριος, καίτοι μὴ γενόμενος βιβλιοφύλαξ ἐπὶ τοῦ Λαγίδου Πτολεμαίου, ἠδύνατο μέντοι τῷ βασιλεῖ παραινέσαι, ὅπως τὰς τῶν Ἰουδαίων ἱερὰς βίβλους εἰς τὴν ἑλλάδα φωνὴν ἑρμηνευθῆναι κελεύσῃ, ***καὶ εἰς τὴν βιβλιοθήκην ἀποτεθῆναι.*** — Εἰ τοίνυν αὕτη ἡ εἰκασία σοφοῖς ἀνδράσιν ἀρέσκει, πρὸς τούτους οὐ σφόδρα διενεξόμεθα » (Ὅδιος βιβ. β, σελ. 98). Καὶ ἤρεσε λοιπὸν ἡ δευτέρα αὕτη τοῦ Ὁδίου φροντὶς, ὡς πολὺ τῆς ἄλλης σοφωτέρα, καὶ ὑπερήρεσε πᾶσι τοῖς δικαίοις τῆς ἀληθείας κριταῖς, καὶ τῷ σοφῷ

---

(α) Ἐνταῦθα προσεπεδαψίλευσεν ὁ Δόκτωρ καὶ τὸ παράδειγμα τοῦ κτισθέντος ἐν Αἰγύπτῳ ναοῦ! Ἀλλὰ τοῦτον μὲν, ὦ σοφώτατε Ὅδιε, ἔχεις παρ᾽ Ἰωσήπου μαθὼν, ὅτι κατεσκεύασεν Ὀνίας, φυγὰς ἐξ Ἱεροσολύμων καὶ βέβηλος ἀρχιερεὺς, « οὐκ ἐξ ὑγιοῦς γνώμης ταῦτα ποιῶν » (Ἰώσ. Ἀρχ. ιγ, γ· Ἰουδ. πολ. ζ, ι) Τῆς δ᾽ ὑπ᾽ Ἀλεξανδρινῶν (ὡς λέγεις) ἑρμηνείας τοῦ Νόμου τίνα τῶν τότε συγχρόνων ἐχέγγυον ἄγεις μάρτυρα; ποίους ἔχεις ἐξ ὀνόματος εἰπεῖν τοὺς αὐτουργούς; τίνας, Ὅδιε, τῶν πάντων ἐπὶ γῆς ἀνθρώπων εἰσάγεις, τοιαῦτα πρὸ τοῦ ις, αἰῶνος φρονήσαντας; Ἢ μήπως ἐκεῖνα μὲν ὁ Ἰώσηπος ἱστορῶν, πιστός σοι φαίνεται καὶ φιλαλήθης· τὴν δὲ τοῦ Ἀριστέου καὶ παρ᾽ ἄλλοις ὁμολογουμένην ἱστορίαν ἀναγράφων οὗτος αὐτὸς, καὶ παραδιδοὺς, ἄπιστός σοι δοκεῖ καὶ φιλοψευδής; — Ἀλλὰ τὸ κατ᾽ Αἴγυπτον Ὀνίειον τοῦτο μνημονεύομεν καὶ ἐν τοῖς ἐφεξῆς (κεφ. Θ. §. β). Σημ. ἡμετ.

Οὐαλκενήρῳ, ὅστις Ἀριστέᾳ συμφωνῶν, ἀπεφήνατο τὰ ἑξῆς. «Πρῶτον ὁ Πτολεμαῖος παραινέσει τοῦ Δημητρίου παρορμηθεὶς, ἵνα καὶ τὰ νόμιμα τῶν Ἰουδαίων μετὰ τοσούτων ἄλλων εἰς τὴν βιβλιοθήκην ἐπισυνάξῃ· καὶ ἄλλως δὲ, καθὸ χρηστότατος καὶ μεγαλοδωρότατος βασιλεὺς, κηδόμενος τοσούτων ὑπηκόων ἰουδαϊκῶν λαῶν, ἑλληνιστὶ μόνον λαλούντων, ἐκέλευσεν ἐξελληνισθῆναι τὰς γραφὰς, συνυπουργούντων ἀσμενέστατα καὶ τῶν Ἰουδαίων» κτλ. (Περὶ Ἀριστοβούλ. σελ. 58). Ἀλλὰ καὶ ὅσα περὶ τούτου προείπομεν ἐν τῷ Α. βιβλίῳ, πολλαχῶς καὶ ἀποχρώντως (ὡς νομίζομεν) ἐξελέγχουσι καὶ τὴν προκειμένην Ὀδίου πλάνην. Ἐπειδὴ δὲ ταύτης ἔχεται πάλιν ἀμφιλαφῶς, καί τινας ἰδίας ἀποδείξεις ἐκφέρει τοῦ γνωματεύματος, θεωροῦμεν ἤδη καὶ τὰ περὶ τούτων.

§. ε. «Ὅτι τοίνυν μήτε τοῦ βασιλέως προστάξαντος, μήτε τοῦ Φαληρέως ἐπιςασίᾳ μετεφράσθησαν αἱ Γραφαὶ», δύω μάλιστα δείξεις ἐπάγουσιν οἱ περὶ τὸν Ὅδιον· «*πρώτην* μὲν, ὅτι τότε (ἐπὶ τῆς μετὰ ζῶντος τοῦ πατρὸς βασιλείας τοῦ Φιλαδέλφου), οὐχὶ πάντα τὰ βιβλία τῆς Γραφῆς, ἀλλὰ μόνη ἡ Πεντάτευχος ἡρμηνεύθη ».— Ἐπειδὴ δὲ περὶ τούτου προχωρῶν ὁ Ὅδιος συνέγραψεν ὁλόκληρον κεφάλαιον, ὅταν ἔλθωμεν εἰς ἐκεῖνο, παρατιθέμεθα καὶ τὰς ἀπαντήσεις (βλ. ἐφεξῆς κεφ. Ζ).

§. ς. *Δευτέραν* φέρουσι δεῖξιν, «ὅτι ἀφ' οὗ γέγονεν ἡ ἑρμηνεία, διελάνθανεν ἀκλεὴς, καὶ παρημελημένη, καὶ παντελῶς ἀγνώριστος παρὰ τοῖς ἐθνικοῖς σοφοῖς· τοῦτο δὲ πάντως οὐκ ἂν συνέβαινε (φησὶν Ὅδιος), εἴπερ οἱ ἱεροὶ Κώδηκες βασιλικῇ τε φιλοτιμίᾳ καὶ Δημητρίου τοῦ Φαληρέως ἐπιστασίᾳ μεθηρμηνεύοντο, καὶ κατὰ τὴν Ἀλεξανδρινὴν ἐθησαυρίζοντο βιβλιοθήκην. Τίς τῶν πεπαιδευμένων ἀγνοεῖν ἠδύνατο τὰς βίβλους ἐκείνας, αἵτινες ἐπιμελείᾳ τοσούτων ἀνδρῶν διεκπονηθεῖσαι, πάντως ἔμελλον ἀποβήσεσθαι διαβόητοι καὶ περικλεεῖς; ἢ τίς ἂν παρέβλεψεν ἀμελήσας ἐκεῖνα τὰ Δημητρίου τοῦ Φαληρέως, ἀνδρὸς ἐνδοξοτάτου, πολυτίμητα φροντίσματα; ». Ταῦτα προτάξας Ὅδιος, ἀποδείκνυσι καὶ μάρτυρας ἀρχαίους συγγραφεῖς, οἵτινες οὐδεμίαν εἶχον γνῶσιν τῆς

ἑλληνικῆς τῶν Γραφῶν ἑρμηνείας. Ἀριθμεῖ δὲ τοὺς ἐφεξῆς, ὧν τὰς μαρτυρίας καὶ ἡμεῖς καταγράφομεν συνοψίζοντες.

§. ζ. « Α) Ἰδοὺ (λέγουσιν οἱ περὶ τὸν Ὅδιον) Διόδωρος ὁ Σικελιώτης, ἐπιμελέστατος, εἴτις καὶ ἄλλος, ἰχνευτὴς τῆς ἀρχαιολογίας, καὶ ταύτης ἕνεκα πολλὰ μὲν ἔθνη δι᾽ ὅλης τριακονταετίας ἱστορηκώς, ἐπὶ δὲ Πτολεμαίου τοῦ Αὐλητοῦ καὶ κατ᾽ αὐτὴν τὴν Αἴγυπτον διατρίψας, ἀκμαζούσης ἔτι τότε τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης. Οὗτος τοίνυν οὕτως ἄπειρος ἦν καὶ ἀμαθὴς τῶν ἰουδαϊκῶν, ὥστε βεβαίως ἐπίστευε, « Βασιλέα μὲν *μηδέποτε* (γενέσθαι) τῶν Ἰουδαίων, τὴν δὲ τοῦ πλήθους προστασίαν δίδοσθαι διὰ παντὸς τῷ δοκοῦντι τῶν ἱερέων φρονήσει καὶ ἀρετῇ προέχειν· τοῦτον προσαγορεύουσιν ἀρχιερέα » (α). Ἐκ δὲ τούτου φαίνεται σαφῶς μήτε τῶν Βασιλειῶν καὶ τῶν Παραλειπομένων ταῖς βίβλοις ἐντυχών, μήτε ταῖς τοῦ Δαβὶδ καὶ τοῦ Σολομῶντος καὶ τῶν ἄλλων Προφητῶν, μήτε γοῦν ἐξ ἀκοῆς τι μαθὼν μηδὲ περὶ Δαβὶδ αὐτοῦ καὶ Σολομῶντος, τῶν εὐκλεεστάτων βασιλέων τῆς Ἰουδαίας. Καὶ λέγει μέν, ὅτι « προσγέγραπται τοῖς νόμοις Μωσέως ἐπὶ τῆς τελευτῆς » (τὰ ἐφεξῆς)· « ὅτι *Μωσῆς ἀκούσας τοῦ Θεοῦ, τάδε λέγει τοῖς Ἰουδαίοις* », ἀλλ᾽ ὅμως, ὅτι μηδὲ τὰ τοῦ Μωσέως τεύχη (τὴν Πεντάτευχον) μηδέποτ᾽ ἀνέγνω, γίνεται δῆλος ἐξ ἄλλων αὐτοῦ χωρίων. Οἷον, ὅταν λέγῃ περὶ τῆς Ἰουδαίων καταγωγῆς, ὅτι « τὸ παλαιὸν κατὰ τὴν Αἴγυπτον λοιμικῆς περιστάσεως γενομένης, ἔδοξε τοῖς ἐγχωρίοις φυγαδεῦσαι τοὺς ἐκεῖ κατοικοῦντας ξένους, πολλοὺς ὄντας καὶ παντοδαπούς. — Τούτων οὖν τῶν ἀλλοεθνῶν ξενηλατουμένων, οἱ μὲν ἐπιφανέστατοι καὶ δραστικώτατοι συστραφέντες ἐξεῤῥίφησαν (ὥς τινες φασὶν) εἰς τὴν Ἑλλάδα καί τινας ἑτέρους τόπους, ἔχοντες ἀξιολόγους ἡγεμόνας, ὧν ἡγοῦντο Δαναὸς καὶ Κάδμος (β). — Ὁ δὲ πολὺς λεὼς ἐξέπεσεν εἰς τὴν νῦν καλου-

(α) Διόδωρ. Ἐκλογ. τοῦ Μ. Βιβλ. τόμ. β. σελ. 543. Wess.

(β) Καὶ ὅμως ὁ Αἰγύπτιος Μανέθως, ἢ Μανεθών, τὴν ἐξ Αἰγύπτου ἔξοδον τῶν Ἰουδαίων τίθησι 393 ἔτεσι προτερήσασαν, πρὶν ἢ Δαναὸν εἰς Ἄργος ἀφικέσθαι ». (Μανέθ. παρ᾽ Ἰωσήπ. κ. Ἀπίων, Α. 15, 16). Σημ. ἡμετ.

μένην Ἰουδαίαν, — *παντελῶς ἔρημον οὖσαν κατ᾽ ἐκείνους τοὺς χρόνους*. Ἡγεῖτο δὲ τῆς ἀποικίας ὁ προσαγορευόμενος Μωσῆς. — Οὗτος δὲ καταλαβόμενος τὴν χώραν, ἄλλας τε πόλεις ἔκτισε *καὶ τὴν νῦν οὖσαν ἐπιφανεστάτην, ὀνομαζομένην Ἱεροσόλυμα*· ἱδρύσατο δὲ καὶ τὸ μάλιστα παῤ αὐτοῖς τιμώμενον ἱερόν» κτλ. (αὐτόθ.). Καὶ πάλιν τοὺς Ἰουδαίους ἱστόρησεν ἐξ ἁπάσης Αἰγύπτου φυγαδευθέντας, καθαρμοῦ χάριν, ὡς ἀσελγεῖς καὶ ἐναγεῖς, ἀλφοὺς ἔχοντας ἐν τοῖς σώμασι ». — Καὶ ὅτι « κατὰ τὸ ἄδυτον αὐτῶν ἱερὸν (ὅπου νόμιμον ἦν εἰσιέναι μόνον τὸν ἀρχιερέα) εὗρεν ὕστερον Ἀντίοχος ὁ Ἐπιφανὴς ἄγαλμα ἀνδρὸς βαθυπώγωνος, καθήμενον ἐπ᾽ ὄνου, μετὰ χεῖρας ἔχον βιβλίον, ὅπερ ὑπέλαβε Μωσέως (ἄγαλμα) εἶναι, *τοῦ κτίσαντος τὰ Ἱεροσόλυμα* » κτλ. (α).

Β) Τρόγος Πομπήϊος, ῥωμαῖος ἱστορικὸς, ἐπὶ Καίσαρος Αὐγούστου συγγράψας *ἐθνικὰ*, *ἀκριβέστατος* (κατὰ Πλίνιον) *συγγραφεὺς*, οὐδ᾽ οὗτος (λέγουσιν) οὐδέποτε φαίνεται τὰς Γραφὰς ἀνελίξας, ὡς βλέπει πᾶς τις ἐξ ὧν ἱστορεῖ περὶ Ἰουδαίων ἐν τῇ καθ᾽ ἡμᾶς διασωθείσῃ τῆς αὐτοῦ συγγραφῆς ὑπὸ τοῦ Ἰουστίνου ἐπιτομῇ (β). Δαμασκὸν, τὴν πόλιν τῆς Συρίας, λέγει πατρίδα τῶν Ἰουδαίων. Καὶ τὸν Ἀβραὰμ καὶ τὸν Ἰσραὴλ ἀριθμεῖ μεταξὺ τῶν βασιλέων τῆς Δαμασκοῦ (γ). Τοῦ δὲ Ἰσραὴλ *δέκα* λέγει τοὺς υἱοὺς, καὶ τού-

---

(α) Διόδωρ. Ἐκλογ. τοῦ λδ. βιβλ. τόμ. β. σελ. 525. Wes. [Σημείωσαι ἀναγνῶστα, ὅτι ταύτας τὰς μωρολογίας ἔγραψεν ὁ Διόδωρος οὐκ αὐτὸς ἐξ ἑαυτοῦ (καθά φησιν Ὅδιος), ἀλλ᾽ ὡς λόγους τῶν Ἀντιόχου, (τοῦ Εὐσεβοῦς, τοῦ καὶ Σιδήτου,) φίλων, οὓς ἔλεγον οὗτοι πρὸς τὸν βασιλέα πολιορκοῦντα τὴν Ἱερουσαλὴμ (Ἰώσηπ. Ἀρχ. ιγ. η. 2) « συμβουλεύοντες κατὰ κράτος αἱρήσειν τὴν πόλιν, καὶ τὸ γένος τῶν Ἰουδαίων ἄρδην ἀνελεῖν » (Διόδ. ἐκλογ. πρβλ, καὶ Φωτ. ἀναγν. σμδ. ἐκλογ. τοῦ λδ, βιβλ. — βλ. καὶ ἐφεξῆς §. ις. ἄρθρ. Α, σημ.). Αὐτὸς δὲ ὁ Διόδωρος ἐν ταῖς ἐκλογαῖς τοῦ Μ. βιβλίου, καίτοι πολλὰ παριστορῶν, οὔτε τὴν ἐκ τῆς Αἰγύπτου φυγάδευσιν τῶν Ἰουδαίων, ὡς ἐναγῶν διὰ τοὺς ἀλφοὺς (ἢ τὴν λέπραν), ἐπιγινώσκει, καὶ ῥητῶς ἔγραψεν, ὅτι « Μωσῆς ἄγαλμα θεῶν τὸ σύνολον οὐ κατεσκεύασε » κτλ. αὐτ. σελ. 543. Σημ. ἡμετ.].

(β) Βλ. Just. Histor Philippic. Lib. XXXVI. c. 2. p. 268. ed. Cantel. Parisiis. 1677. Ἔγραψε δὲ τὴν τοῦ Τρόγου ἐπιτομὴν ὁ Ἰουστῖνος ἐπὶ Ἀντωνίνου Πίου (περὶ τὸ 150 μ. χ.).

(γ) Οὐ μόνον, Ὅδιε, Τρόγος, ἀλλὰ καὶ αὐτὸς ὁ ἐκ περιπάτου φιλόσοφος καὶ

των ἕνα, τὸν Ἰούδαν (ὅθεν καὶ τὸ ὄνομα τῷ γένει τῶν Ἰουδαίων), νεώτατον δὲ τὸν Ἰωσήφ. Τοῦτον διὰ τὴν μεγαλοφυΐαν οἱ ἀδελφοὶ φθονήσαντες ἐπώλησαν ἐμπόροις ἀλλοδαποῖς, ὑφ' ὧν εἰς Αἴγυπτον ἀπαχθεὶς, ἐξέμαθε τὰς μαγικὰς τέχνας, καὶ δι' ὀλίγου γίνεται φίλος τῷ βασιλεῖ. Τεράτων τε γὰρ ἴδρις ἰχνευτικώτατος ἦν, καὶ πρῶτος ὀνείρων ἐξηγητὴς, καὶ ἀγρῶν ἀφορίαν ἐσομένην προεῖδε πρὸ πολλῶν ἐνιαυτῶν· καὶ πάντως ἂν ἀπολώλει διὰ τὸν ἐπελθόντα λιμὸν ἅπασα ἡ Αἴγυπτος, εἰ μὴ, τούτου συμβουλεύσαντος, ἐκέλευσεν ὁ βασιλεὺς ταμιεύσασθαι καρποὺς εἰς ἔτη πολλά. Τοσάκις δὲ πεῖραν ἑαυτοῦ παρέσχεν ὁ Ἰωσὴφ, ὥστε τὰς αὐτοῦ ἀποκρίσεις μηκέτι παρ' ἀνθρώπου, παρὰ δὲ Θεοῦ δίδοσθαι δοκεῖν. Τούτῳ τῷ Ἰωσὴφ παῖς γίνεται Μωσῆς, τῆς τε πατρῴας κληρονόμος σοφίας, καὶ τῷ εἴδει κάλλιστος. Κατὰ δὲ τὴν Αἴγυπτον ψώρας καὶ λέπρας ἐπιπεσούσης, ἐξελαύνουσι τοὺς νοσήσαντας οἱ Αἰγύπτιοι, σὺν αὐτοῖς δὲ καὶ Μωσῆν, χρησμῷ πεισθέντες. Ὁ δὲ τοῖς ἐξορίστοις γενόμενος ἡγεμὼν, ἐξῆλθε, συλήσας τὰ τῶν Αἰγυπτίων ἱερὰ, καὶ οἱ Αἰγύπτιοι μεθ' ὅπλων ἐπεδίωκον. Χειμῶνι δὲ κωλυθέντες, ἐπανῆλθον ἐπ' οἴκου. Μωσῆς δὲ παραγίνεται εἰς ὄρος Σινὰν, διὰ τῆς Ἀραβίας νῆστις ἐφ' ἡμέρας ἑπτὰ πλανηθεὶς μετὰ τοῦ λαοῦ κεκμηκότος. Ἐκεῖ δ' ἀφικόμενος, τὴν ἑβδόμην ἡμέραν, ἣν καλοῦσι *σάββατα*, ἁγίαν τε δι' αἰῶνος εἶναι, *καὶ νηστείᾳ τιμᾶσθαι νομοθετεῖ* (α). Μετὰ δὲ τὸν Μωσῆν ἐβασίλευσεν Ἀρούνας ὁ υἱὸς αὐτοῦ, ἱερατεύσας

---

ἱστορικὸς Νικόλαος ὁ Δαμασκηνὸς (Τρόγου σχεδὸν σύγχρονος) ἔγραψεν, ὅτι « Ἀβράμης ἐβασίλευσε Δαμασκοῦ, ἔπηλυς σὺν στρατῷ ἀφιγμένος ἐκ τῆς γῆς τῆς — Χαλδαίων λεγομένης » κτλ. (παρ' Ἰωσήπ. Ἀρχ. α. ζ. §. 2. σελ. 29)· καὶ ταύτην τὴν φήμην (ὡς ἂν ἐξ ἀρχαίας παραδόσεως ἀφιγμένην) φαίνεται καὶ αὐτὸς ὁ Ἰώσηπος ἀποδεχόμενος· « τοῦ δ' Ἀβράμου (λέγει) ἔτι καὶ νῦν ἐν τῇ Δαμασκηνῇ τὸ ὄνομα δοξάζεται » (αὐτόθ.). Ὅτι δὲ ὁ Νικόλαος καὶ φίλος ἦν τῶν Ἰουδαίων, καὶ τὰς τούτων γραφὰς ἀναγνοὺς φαίνεται, λέγομεν ἐν τοῖς ἐφεξῆς. Σημ. ἡμετ.

(α) Οὕτω καὶ Καῖσαρ ὁ Αὔγουστος ἐνόμιζε « τοὺς Ἰουδαίους ἐπιμελῶς τὴν νηστείαν τοῦ σαββάτου τηρεῖν (Sueton. Aug. c. 76). Ἐπλανῶντο δὲ ταύτην τὴν πλάνην οἱ Ῥωμαῖοι, βλέποντες τοὺς Ἰουδαίους νηστεύοντας πυκνὰ, καὶ τὸ σάββατον ἄλλως τιμῶντας. Πλὴν εἰ μήπου καὶ Καῖσαρ ἐξε-

παρ' Αἰγυπτίοις. Ὅθεν κεκράτηκε παρ' Ἰουδαίοις ἔθος τοὺς αὐτοὺς ἔχειν βασιλεῖς καὶ ἱερεῖς » κτλ. Τοιαῦτα ὁ Τρόγος (Ἀρούαν δὲ, Arouan, [εἰμὴ μᾶλλον γραπτέον Aronan, Ἀρώναν] ἴσως εἶπε τὸν Ἀαρών).

Γ) Καὶ Στράβων δὲ (λέγουσι) φιλόσοφος καὶ γεωγράφος, Τρόγου σχεδὸν σύγχρονος, ἐξ ὧν ἱστορεῖ περὶ Ἰουδαίων, φαίνεται μηδ' αὐτὸς τὰς Μωσέως βίβλους πώποτ' ἀνεγνωκὼς, καί τοι διατρίψας ἐν Αἰγύπτῳ, καὶ φίλος γενόμενος καὶ ἑταῖρος Αἰλίου Γάλλου τοῦ ἡγεμόνος, Ῥωμαίου πεπαιδευμένου. Γνωστὰ δὲ τὰ τοῦ Στράβωνος ὅσα γέγραφε περὶ Μωσέως, « *ἕνα τῶν Αἰγυπτίων ἱερέων* » αὐτὸν ἱστορῶν· καὶ ὅτι « *(ἀπήγαγεν ἐκ τῆς Αἰγύπτου)* τοὺς μετ' αὐτοῦ συνεπάραντας *ἐπὶ τὸν τόπον τοῦτον, ὅπου νῦν ἐστι τὸ ἐν τοῖς Ἱεροσολύμοις κτίσμα* », καὶ τ' ἄλλα τὰ παριστορήματα (Στράβ. ις, 760—761).

Δ) Καὶ Κορνήλιος ὁ Τάκιτος (λέγουσι), Ῥωμαῖος ἱστορικὸς, πολλοὺς μὲν τῶν ἀρχαίων ἐμελέτησε συγγραφέων, τὰ περὶ τῆς Ἰουδαίων γενέθλης φιλοκρινῶν, αὐτὰς δὲ τὰς Μωσέως βίβλους οὔτ' αὐτὸς οὔτ' ἐκεῖνοι φαίνονται πώποτε διεξελθόντες· τοιαῦτα γὰρ καὶ οὗτος συνέγραψε περὶ Ἰουδαίων, ὁποῖα σαφῶς ἀποδεικνύουσι τοὺς σοφωτάτους τῶν ἐθνικῶν, ὅτι, καὶ ἀφ' οὗ ἐξηλληνίσθη ἡ Πεντάτευχος, τοσοῦτον πάλιν ἀγροῖκοι περὶ τὴν Ἰουδαϊκὴν ἀρχαιολογίαν ἦσαν καὶ ἀμαθεῖς, ὅσον, καὶ ὅτε διελάνθανε κεκρυμμένη ὑπὸ τὴν διάλεκτον τὴν ἑβραϊκήν. Ὁ Τάκιτος λέγει, ὅτι « Οἱ Ἰουδαῖοι κατέφυγον εἰς τὴν Λιβύην ἐκ τῆς νήσου Κρήτης, καθ' ὃν χρόνον ὁ Κρόνος ὑπὸ τοῦ Διὸς ἐξεβλήθη τῆς ἀρχῆς. Ὅθεν ἀπὸ τῆς ἐν Κρήτῃ Ἴδης παρωνομάσθησαν καὶ *Ἰδαῖοι*, καὶ βαρβαρικώτερον *Ἰουδαῖοι*. — Ἄλλοι (λέγει) λέγουσιν, ὅτι, πλήθει κατοίκων τῆς

---

λάμβανε τὸ σάββατον ἀντὶ τῆς ἑβδομάδος, κατὰ σημασίαν συνήθη καὶ παρ' Ἰουδαίοις. Οὕτω καὶ ὁ Φαρισαῖος ἐκεῖνος ἔλεγε, « νηστεύω δὶς τοῦ σαββάτου » (Λουκ. ιη, 12). Βλ. Cantel not. ad Justin. l. c. καὶ Casaub. in Sueton. Σημ. ἡμετ.

Αἰγύπτου βαρυνομένης, ἐξεῤῥίφθησαν οὗτοι εἰς τὰς πλησίον χώρας ὑπὸ δυσὶν ἡγεμόσιν, Ἱεροσολύμῳ καὶ Ἰούδᾳ. Οἱ δέ τινες Αἰθιόπων γένος λέγουσι τοὺς Ἰουδαίους, ἐπὶ τῆς Κηφέως βασιλείας διὰ φόβον καὶ μῖσος μετοικήσαντας. Οἱ δὲ πλεῖστοι συμφώνως ἱστοροῦσιν, ὅτι, λώβης εἰς τὴν Αἴγυπτον ἐπιπεσούσης, Βόχορις ὁ Βασιλεὺς, Ἄμμωνος χρησμοδοτήσαντος καθαίρειν τὴν χώραν, ἐξέβαλε τὸ τῶν Ἰουδαίων φῦλον, ὡς Θεοῖς ἐχθρόν. Οἱ φυγαδευθέντες ἐξελέξαντο σφίσιν ὁδηγὸν ἕνα τῶν συνεξορίστων, Μωσῆν, ἀκολουθοῦντες ὅπῃ ἂν ἄγῃ. Δίψῃ κατὰ τὴν ὁδοιπορίαν πιεζομένοις, ὀνάγρων ἀγέλη ἐπιφανεῖσα, δαψιλῶν ὑδάτων ἤνοιξεν αὐτοῖς φλέβα. Ἑβδόμῃ δ' ἡμέρᾳ κατέσχον τὴν γῆν, ἐν ᾗ καὶ ἡ πόλις καὶ ὁ ναὸς αὐτοῖς ᾠκοδόμηται, τοὺς ἐγχωρίους ἐξελάσαντες. Καθιέρωσαν δὲ καὶ τὸν τύπον τοῦ ζώου (ὄνου κεφαλὴν), δι' οὗ καὶ τὴν δίψαν ἐξέφυγον, καὶ τὴν ἐν ἐρήμῳ πλάνην (α). Κριὸν δὲ κτείνουσιν ἐπὶ Μέμνονος ὕβρει· θύουσι δὲ καὶ βοῦν, ὃν Ἄπιν οἱ Αἰγύπτιοι τιμῶσι· χοίρου δ' ἀπέχονται, μεμνημένοι τῆς ἣν ἐνόσησαν λέπρας, εἰς ἣν τὸ χοίρινον βλαβερόν » (βλ. καὶ Πλούταρχ. Συμποσ. Δ. ε) »· καὶ τὸν (ἐπὶ τῆς ὁδοιπορίας) λιμὸν πυκναῖς νηστείαις ἀνομολογοῦσιν· ὁ δ' ἄζυμος αὐτοῖς ἐμφαίνει τὴν (ἀπὸ τῶν ἐγχωρίων) ἁρπαγὴν τῶν καρπῶν. Σχολάζουσι δὲ κατὰ πᾶσαν ἑβδόμην, ὡς τέρμα τῶν πόνων αὐτοῖς ἐνεγκοῦσαν· ἀλλὰ καὶ κατὰ πᾶν ἔτος ἕβδομον, ὡς ἀργίᾳ μάλιστα χαίροντες· ἢ (κατά τινας) τὸν Κρόνον τιμῶντες (εἰς ὃν ἀνάκειται ἡ ἑβδόμη), εἴτε διότι παρὰ τῶν Ἰδαίων, μετὰ Κρόνου συνεκπεσόντων, θρησκεύειν αὐτὸν ἔμαθον, εἴτε καὶ ὅτι τῶν ἑπτὰ πλανητῶν, ὑφ' ὧν τὰ θνητῶν κυβερνῶνται, κράτιστος καὶ

---

(α) Καὶ ὁ Πλούταρχος (Συμποσ. Δ. ε). «'Ιουδαῖοι τιμῶσι τὸν ὄνον, ἀναφήναντα πηγὴν αὐτοῖς ὕδατος ». Ὁ δὲ μῦθος, ἴσως, παρεπλάσθη, ἐκ τῆς ἱερᾶς τοῦ Σαμψὼν ἱστορίας, Κριτ. ις. 16, κτλ. (πρβλ. καὶ Baron. Tom. 1. p. 306: Fuller in Miscellan L. 3. cap. 8. p. 322 : Bochart. Hierozoic. P. 1. l. II. c. 18. p. 226: Hudson. not. in Joseph. c. Apion. II. p. 477). Μνημονεύει δὲ καὶ τοῦ Ἱεροσολύμου καὶ τοῦ 'Ιούδα ὁ Πλούταρχος (περὶ 'Ισιδ. καὶ 'Οσιρ.)· ἀλλὰ περὶ τούτων λέγομεν πλατύτερον ἐφεξῆς §. ιδ. Σημ. ἡμετ.

ὕψιστος τὴν περιφορὰν ὁ τοῦ Κρόνου φέρεται ἀστὴρ (α). Οἱ δὲ τῶν Ἰουδαίων ἱερεῖς σάλπιγκι καὶ τυμπάνοις ἐχρῶντο, στεφανούμενοι κισσῷ· καὶ χρυσῆ δὲ ἄμπελος εὕρηται ἐν τῷ ναῷ· διὰ ταῦτα Διόνυσον αὐτοὺς σέβειν τινὲς ἐνόμισαν· τὰ δ' οὖν νόμιμα πάντῃ διαφωνοῦσι. Βάκχος μὲν γὰρ ἑορτὰς ἔθετο καὶ τελετὰς ἱλαρὰς καὶ γεγανωμένας· τὰ δὲ τῶν Ἰουδαίων ἔθιμα, ἄτοπα καὶ ῥυπαρά » (β). Τοιαῦτα (συνοπτικώτερον) καὶ ὁ Τάκιτος.

Ε). Παραλείπομεν (λέγουσι) τοὺς Αἰγυπτίους, Μανέθωνα καὶ Χαιρήμονα, καὶ Ἀπίωνα, παντάπασι διάφορα παρὰ τὰς Μωσαϊκὰς παραδόσεις ἱστορήσαντας περὶ τῆς Ἰουδαίων γενέθλης (ὡς Ἰώσηπος ἱστορεῖ κ. Ἀπίων. α). Καὶ οὗτοι μὲν, ἴσως ἂν εἴποις, καθὸ Αἰγύπτιοι (παλαιοὶ τῶν Ἰουδαίων ἐχθροὶ), καίτοι καλῶς εἰδότες, ἀπηξίωσαν ὅμως τὰ Μωσαϊκὰ διαμνημονεῦσαι. Λυσίμαχον δὲ ποῦ θήσομεν τὸν Ἀλεξανδρέα, περὶ οὗ καὶ Ἰώσηπος ὁμολογεῖ (κατὰ Ἀπίων. β), ὅτι καὶ Λυσίμαχος αὐτὸς καὶ Ἀπολλώνιος ὁ Μόλων

---

(α) Πρῶτοι φέρονται οἱ Αἰγύπτιοι καθιερώσαντες εἰς τοὺς παρ' αὐτοῖς θεωνυμουμένους ἑπτὰ πλάνητας τῆς ἀνέκαθεν προϋπαρχούσης ἑβδομάδος τὰς ἡμέρας. Ἐκ δὲ τούτου καὶ οἱ ἐθνικοὶ τοὺς Ἰουδαίους ἐξέλαβον ὡς κρονολατροῦντας, διὰ τὴν ἑορτὴν τοῦ σαββάτου. Φαίνεται δέ τις καὶ ἄλλος λόγος τοῦ τοιούτου παραλογισμοῦ. « Τὸν Κρόνον οἱ Φοίνικες Ἶλον προσαγορεύουσι » (ὡς ὁ Βύβλιος Φίλων μαρτυρεῖ παρ' Εὐσεβ. Εὐ. Προπ. Α. καὶ Δ. προβ. καὶ Διόδωρ. Δ, σελ. 143. καὶ σημ. Wessel.), καὶ πάλιν « οἱ σύμμαχοι Ἴλου, τοῦ Κρόνου, Ἐλωεὶμ, ἐπεκλήθησαν » (αὐτ.). Ἀλλὰ τὸ Ἐλωεὶμ αὐτό ἐστι τὸ ἑβραϊκὸν Eloim = οἱ θεοὶ (Bochart Geog. 5. p. 707), οὗ τὸ ἑνικὸν, ὁ Θεὸς, Ἔλ, καὶ Ἤλ, (καὶ Ἴλ. ἀδιαφόρως γραφόμενον, καὶ καθ' ἑλληνικώτερον σχηματισμὸν Ἶλος, καὶ Ἧλος (βλ. τὸν σοφὸν Οὐαλκεν. de Aristostob. p. 15 καὶ Grot. ad Math. 27, 46). Ἐκ δὲ τούτου καὶ οἱ τὸν ὄντως Ὄντα Ἠλὶ προσκυνοῦντες Ἰουδαῖοι τὸν Φοινίκειον Ἶλον, καὶ παρ' Ἕλλησι Κρόνον, θρησκεύειν ὑπελήφθησαν. Σημ. ἡμετ.

(β) Tacit. Hist. V. 2. Σημείωσαι δὲ, ὅτι τὸ κισσῷ στεφανοῦσθαι (ἀσύνηθες ὂν παρ' Ἑβραίοις), οὐδ' αὐτὸ χωρὶς αἰτίας ἐπλάσθη παρὰ τοῖς ἐθνικοῖς· διότι ἐπὶ τῆς Ἀντιόχου τυραννίας « ἠναγκάζοντο οἱ Ἰουδαῖοι κισσοὺς ἔχοντες πομπεύειν τῷ Διονύσῳ » (κατὰ τὴν ἑορτὴν τῶν Διονυσίων). (Β. Μακ. ς. 7). Τούτοις ἀνεμίχθησαν καὶ τὰ τῆς Σκηνοπηγίας (βλ. ἔμπροσθ. ἄρθρ. Ζ. καὶ Huet. Dem. Evang. IV. II. p. 148). Περὶ δὲ τῆς ἐν τῷ ναῷ, κόσμου χάριν, περικειμένης χρυσῆς ἀμπέλου, βλ. Ἰώσηπ. Ἰουδ. Πολ. ε. ε. §. 4. καὶ Ἀρχαιολ. ιδ. γ. § 1. ἐκδ. Hav. Σημ. ἡμετ.

« τὰ μὲν ὑπ᾽ *ἀγνοίας*, τὸ πλεῖστον δὲ καὶ κατὰ δυσμένειαν, περί τε τοῦ νομοθετήσαντος ἡμῖν Μωσέως καὶ περὶ τῶν νόμων πεποίηνται λόγους οὔτε δικαίους, οὔτε ἀληθεῖς ». κτλ. Ἔπειτα καὶ αὐτὸς ὁ ἐπὶ τοῦ Φιλαδέλφου ἀκμάσας Μανέθων, εἴπερ αἱ βίβλοι τῆς Γραφῆς ἦσαν τότε νεωστὶ μεθηρμηνευμέναι σπουδῇ τε τοῦ Φαληρέως, καὶ αὐτοῦ τοῦ Βασιλέως διαταγῇ, πάντως ἂν αὐτὰς κἀκεῖνος ἀνεγίνωσκε, καὶ ἀναγνοὺς, ἔλεγεν ἂν παῤῥησίᾳ πρὸς τὸν Φιλάδελφον (ᾧ καὶ τὸ ἴδιον αὐτοῦ σύγγραμμα προσεφώνησεν ὁ Μανέθων), ὅτι, ὅσα περιέχονται ἐν αὐτοῖς ἐναντία τοῖς ὑπ᾽ αὐτοῦ γραφομένοις, ὑπάρχουσι ψευδῆ καὶ μυθώδη (α). Οὐδ᾽ ἂν αὐτὸς Ἀπίων ὁ Ἀλεξανδρεὺς ἐπίστευε καὶ ἔγραφε περὶ τῶν Ἰουδαίων, ὅτι « *κάνθωνος κεφαλὴν προσκυνοῦσιν* ». (Ἰώσηπ. κ. Ἀπίων. β), εἴπερ ἀνεγίνωσκε τὴν ἑρμηνείαν τοῦ νόμου. Τοῦτ᾽ αὐτὸ λέγομεν καὶ περὶ τῶν ἄλλων ἐθνικῶν συγγραφέων, ἐν᾽ οἷς φέρεται καὶ Δημόκριτος ὁ ἱστορικὸς (εἴγε καὶ οὗτος ἔζη μετὰ τὴν ἑρμηνείαν), ὅστις ἐτερατολόγει περὶ τῶν Ἰουδαίων, ὅτι « χρυσῆν ὄνου κεφαλὴν προσεκύνουν, [καὶ] κατὰ τριετίαν ξένον ἀγρεύοντες προσέφερον, καὶ κατὰ λεπτὸν τὰς σάρκας διέξαινον, καὶ οὕτως ἀνῄρουν ». (Σουΐδ. λ. Ἰούδας).

---

(α) Καὶ μήπως, Ὄδιε, ὁ Μανέθων οὐχ ὑπῆρχεν Αἰγύπτιος, Ἰουδαίοις σφόδρα δυσμενής; Ἔπειτα καὶ αὐτὸ τοῦτο, ὅτι ἐν τῷ συγγράμματι πρὸς τὸν Φιλάδελφον οὐδὲν περὶ τῶν Γραφῶν ἐβλασφήμησε, δείκνυσι τ᾽ ἀνάπαλιν, ἢ σὺ λέγεις· ὅτι γνωρίζων δηλονότι τὴν Φιλαδέλφου φιλοτιμίαν καὶ τὸ σέβας τὸ πρὸς τὴν ἑρμηνείαν τῶν ἑβραϊκῶν Γραφῶν, οὐκ ἐτόλμησεν ἀνέδην πρὸς τὸν βασιλέα κακολογῆσαι τὰ πρὸς ἅπερ αὐτὸς ἐδυσμέναινεν Ἰουδαϊκά· ἀλλὰ περὶ Μανέθωνος ἐφεξῆς (κεφ. Γ. §. ιϐ). Περὶ δὲ τοῦ Ἀπίωνος ἅλις ἀπήντησεν ὁ Ἰώσηπος (κ. Ἀπίων. ϐ)· ὅτι τοιαῦτα καὶ τοσαῦτα ψευσάμενος (καὶ γὰρ καὶ τόπους οὐκ ὄντας γράφει, καὶ πόλεις οὐκ εἰδὼς μετατίθησιν), ἔδειξε τῷ ὄντι ὅτι « κάνθωνος αὐτὸς εἶχε κεφαλήν ». Ἀλλ᾽ ἐν τούτοις λίαν φαίνεται χαρίεις ὁ κλεινὸς Ὄδιος. Ὅσους συγγραφεῖς ἐμνημόνευσεν ἐπιῤῥαπίσας ὁ Ἰώσηπος, ὡς ἐναντία λέγοντας πρὸς τὰς Ἰουδαϊκὰς Γραφὰς, ὧν τὴν ἑρμηνείαν αὐτὸς ἱστόρησεν οὕτως ἐπίσημον καὶ λαμπρὰν καὶ βασιλικὴν γενομένην, ὅλους τούτους Ὄδιος ἐξ Ἰωσήπου μεταγράφων, εἰσάγει μάρτυρας ἀπ᾽ εὐθείας κατὰ τῆς ἑρμηνείας, διδάσκων δηλαδὴ τὸν Ἰώσηπον καινότερα, καὶ τἀναντία αὐτῶν ἐκείνων, ὧν ἔμαθε παρ᾽ αὐτοῦ! Σημ. ἡμετ.

Ϛ) Πόσον ἀμαθὴς τῶν Ἰουδαϊκῶν ὑπῆρχε καὶ Πλίνιος ὁ πρεσβύτερος (τῷ 80 μ. Χ.), φαίνεται (λέγουσι) καὶ ἐκ τούτου, ὅτι τὸν Ἰανῆν καὶ Ἰαμβρῆν (ἢ Μαμβρῆν), ἐκείνους τοὺς Αἰγυπτίους μάγους, τοὺς ἀντιστάντας τῷ Μωσεῖ κατὰ τὴν Αἴγυπτον (Ἐξόδ. ζ, κ, κτλ.), τούτους ὁ Πλίνιος *Ἰουδαίους* τε λέγει, Ἰαμνῆν καὶ *Ἰωθάπην* καλῶν, καὶ συμφατριαστὰς τῆς Μωσέως μαγικῆς (α).

Ζ) Οὐδὲ Πλούταρχος ὁ Χαιρωνεὺς ἀνέγνω τὰς ἱερὰς Γραφὰς, ὡς συμπεραίνεται σαφῶς ἐξ ὧν ἀπορεῖ, « πότερον οἱ Ἰουδαῖοι σεβόμενοι τὴν ὗν, ἢ δυσχεραίνοντες, ἀπέχονται τῶν κρεῶν; ». Προϊὼν δὲ προστίθησιν, ὅτι « Νὴ Δία καὶ τοῦ λαγοῦ φησί τις ἀπέ-

---

(α) « Est et alia Magices factio à Mose et Jamne et Jothape judaeis pendens » etc. (Plin. H. Nat. XXX. i). Καὶ ταῦτα μὲν ὁ Πλίνιος. Σὺ δὲ σημείωσαι ἀναγνῶστα, ὅτι οὐδαμοῦ τῆς παλαιᾶς Γραφῆς εὑρίσκονται ταῦτα τὰ τῶν Μάγων ὀνόματα. Ὁ δὲ θεῖος Ἀπόστολος ἐμνημόνευσε τούτων (Β. Τιμ. γ. 2), « οὐκ ἐκ τῆς θείας Γραφῆς, ἀλλ᾽ ἐκ τῆς ἀγράφου τῶν Ἰουδαίων διδασκαλίας » κτλ. (Θεοδώρ. αὐτόθ.), ἢ ἔκ τινος ἀποκρύφου (Ὠριγ. εἰς Ματθ. τ. λε: S. Ambros. εἰς Β. Τιμ. γ. κτλ.). Ὅθεν καὶ Νουμήνιος, πυθαγορικὸς φιλόσοφος, ὡσαύτως αὐτοὺς ὠνόμασε (παρ᾽ Εὐσεβ. Προπαρ. Θ, σελ. 241). Ἐκ τῶν Ἰουδαίων ἤκουσε φημισθέντα τὰ ὀνόματα καὶ Πλίνιος (παρακούσας, ἢ καὶ παραγράψας τὸ δεύτερον), καὶ Ἀπουλήϊος, καὶ ἄλλοι τῶν ἐθνικῶν (βλ. Schleusn. Lex. N. T. vol. 1. p. 1056. πρβλ. καὶ Suicer. Thes. Tom. 1. p. 1431, ὅστις ἀντὶ Jothape, ἀνέγνω παρὰ Πλινίῳ Jochabel, τουτ. Ἰωχαβὲτ, αὐτὴν δηλαδὴ τὴν μητέρα τοῦ Μωσέως· ὁ δὲ Πλίνιος ἄνδρα ταύτην, καὶ μάγον γελοίως ὑπέλαβε). Πῶς λοιπὸν ὁ Ὅδιος, καὶ ἐκ τούτων δὴ τῶν μηδαμοῦ τῆς παλαιᾶς Γραφῆς ἐμφαινομένων ὀνομάτων (Ἰαννῆ καὶ Ἰωθάπα) ἀποδείκνυσι τὸν Πλίνιον μηδέποτ᾽ ἀναγνόντα τὴν ἑρμηνείαν τῶν Γραφῶν; Ἄλλο παραδοξότερον. Ὁ μετὰ Ὅδιον ἐκδοὺς τὸν Πλίνιον Ἀρδουῖνος, πᾶσι τοῖς χειρογράφοις καὶ ταῖς ἀρχαιοτάταις ἐκδόσεσι κατακολουθήσας (ὡς λέγει ῥητῶς), τὴν ἀνωτέρω τοῦ Πλινίου περικοπὴν ἔχει ἐκδεδομένην οὑτωσὶ « **Est et alia Magices factio, à Mose etiamnun et Lotapea Judaeis pendens** »· ὅπου καὶ σημειοῖ « Πρώτη ἡ ἐν Βασιλείᾳ (τῷ 1535) ἔκδοσις, ἀντὶ τοῦ **etiamnun**, ἔχει **Jamne** »· περὶ δὲ τοῦ **Lotapea**, οὐδεμίαν ἐμνημόνευσεν ὁ Ἀρδουῖνος τῆς ἐν Βασιλείᾳ καὶ τῆς κατ᾽ αὐτὸν ἐκδόσεως διαφοράν (βλ. C. Plinij Hist. Nat. p. 524. T. II. Paris. 1741). Ἐκ τῆς Βασιλειανῆς ἐκδόσεως ἀντέγραψεν ὁ Ὅδιος, ὡς ἔοικε, τὸ **Jamne** (ἀντὶ τοῦ etiamnum), ἀντὶ δὲ τοῦ **Lotapea**, πόθεν μὲν αὐτὸς ἀνέγνω Jothape, πόθεν δὲ ὁ Σουϊκῆρος **Jochabcle** ἀγνοῶ. Ὁ Σουϊκῆρος προστίθησι καὶ τὰ ἐφεξῆς. « Ὅτι Πλίνιος » (μεταξὺ τῶν ἄλλων τῶν ἐν τῇ ῥήσει ταύτῃ λήρων, οὓς καὶ Βεχάρτος παρετήρησε) « συναριθμεῖ μετὰ

χεσθαι τοὺς ἄνδρας, ὡς μυσαρὸν καὶ ἀκάθαρτον δυσχεραίνοντας τὸ ζῶον » (α). Τὸ δὲ *Λευΐτης* πάλιν ὁ Χαιρωνεὺς φιλόσοφος ἐτυμολογεῖ παρὰ τὸ *Λύσιος* καὶ *Εὔϊος* (ὁ Βάκχος)· καὶ τὸ *Σάββατον* παρὰ τὸ σάββος. « Σάββους δὲ λέγει, καὶ νῦν οἱ πολλοὶ τοὺς Βάκχους καλοῦσι ». Καὶ τὰς σάλπιγγας καὶ τὰς κιθάρας τῶν ἱερέων, καὶ τὴν Ἀρχιερέως στολὴν, καὶ τὴν ἑορτὴν τῆς Σκηνοπηγίας παραβάλλει πρὸς τὰ τῶν Ἑλλήνων Διονύσια, καὶ τὰ ὄργια τοῦ Βάκχου (αὐτόθ.).

Η) Ἀλλ' οὐδὲ Πτολεμαῖος ὁ Ἡφαιστίωνος ἀνέγνω τὰς Γραφὰς, ὅστις ἐφλυάρησε περὶ τοῦ Μωσέως, ὅτι « *ἄλφα* ἐκαλεῖτο διὰ τὸ ἀλφοὺς ἔχειν ἐπὶ τοῦ σώματος » (β). Τὸ δ' αὐτὸ κατεψεύσατο καὶ ὕστερον Ἑλλάδιος ὁ Βησαντίνοος (ἐκ Βησαντινόου, τῆς καὶ Ἀντινόου, πόλεως Αἰγύπτου), καλῶν ἀναιδῶς καὶ μάρτυρα τοῦ ψεύδους τὸν Φίλωνα (γ).

---

τῶν Μάγων καὶ τὴν Ἰωχαβέλην, ἢ ὀρθότερον, Ἰωχαβέδην, μητέρα τοῦ Μωσέως, διότι ἀνέγνω παρά τινι Γραικύλῳ, ὅτι Μάγων τις φατρία ἤρξατο « ἀπὸ τοῦ Μωσέως τοῦ Ἰωχάβηλος καὶ τοῦ Ἰαννοῦ (οὕτως ἑλληνιστὶ γράφει τὰς λέξεις ταύτας ὁ Σουϊκῆρος), ὅπερ (ἐπισυνάπτει) ὤφειλεν ὁ Πλίνιος ἑρμηνεῦσαι « ἀπὸ Μωσέως τοῦ Ἰωχάβηλος υἱοῦ (Jochabelis filio), καὶ Ἰαννοῦ » (βλ. Suicer. l. c.). Ἀλλ' ἐὰν ἡ Ἀρδουΐνου ἔκδοσις ἔχῃ ὀρθῶς, (ἣν καὶ ὁ νεώτερος ἐκδότης τοῦ Πλινίου Franz ἐπικυροῖ τόμ. 8. Lips. 1787), ἀδίκως μὲν (ὅσον περὶ τῆς Ἰωχαβὲλ) ὁ Πλίνιος ἐπιπλήττεται (μηδέποτε τοῦτο γράψας)· μάτην δὲ ἔπλασε καὶ Γραικύλον ὁ πάμμεγας Σουϊκῆρος, τοιαῦτα δῆθεν γεγραφότα (καίτοι γε οὐδεὶς τῶν κατ' αὐτὸν Γραικύλων οὐδέποτ' ἂν ἔγραψε γενικὴν θηλυκὴν « τοῦ Ἰωχάβηλος ! »)· καταῤῥέει δὲ πάλιν καὶ οὕτως, ἐκ τῆς Ὀδίου κλεψύδρας διακενῆς ἐκχυθὲν, τὸ ἐκ τῆς Πλινίου ταύτης ῥήσεως κατὰ τῶν Ο, δεινὸν ἐπιχείρημα ! Σημ. ἡμετ.

(α) Πλούταρχ. Συμποσ. Δ. ε. Ὁ δὲ Ὅδιος τούτους τοὺς Πλουτάρχου λόγους (εὐμορφοτέρους ἴσως καὶ σαφεστέρους ποιῶν) *μετέφρασεν ὧδε*. Utrum à leporum esu abstineant in eorum honorem, an quia immundos existimarent (Hody pag. 104) *τουτέστι, « πότερον ἀπέχονται τῶν λαγωῶν, τιμῶντες αὐτοὺς, ἢ ἀκαθάρτους νομίζοντες ; »*. Σημ. ἡμετ.

(β) Φώτ. ἀναγ. ρϥ. (γ) Φώτ. ἀναγ. σοθ. [*Ἔπειτα, οὐκ αἰδὼς, ὦ φίλ' Ὅδιε, καλεῖν εἰς μαρτυρίαν τῆς τάχα παρὰ τοῖς ἀρχαίοις ἀγνοουμένης ἑρμηνείας τῶν Γραφῶν τοιούτους ψεύστας ἀναιδεῖς ; ἢ οὐκ ἠδύναντο οἱ τοιοῦτοι παραμορφῶσαι καὶ τὴν ἱστορίαν ὧν ἀνέγνων ἑλληνίδων Γραφῶν, προτιμῶντες τοὺς Μανέθωνος λήρους, ὡς διέστρεψαν καὶ ἂν πάντως ἀναγνόντες ἐμνημόνευον Φίλωνα ;*]. Σημ. ἡμετ.

Θ) Οὐδὲ Τρεβέλλιος (ἐπισυνείρουσιν) ὁ Πολλίων (ῥωμαῖος βιογράφος) οὐδὲν ἀνέγνω τῆς τῶν Γραφῶν ἑρμηνείας, ὡς φαίνεται ἐκ τῶν ἐφεξῆς. « Οἱ σοφώτατοι τῶν Μαθηματικῶν 120 ἔτη ζῆν ἀνθρώπῳ δεδόσθαι κρίνουσιν, οὐδὲ πλείω τούτων οὐδενὶ συγχωρεῖσθαι κομπολογοῦσι (jactitant), προστιθέντες κἀκεῖνο· ὅτι Μωσῆς μόνος, ὁ Θεῷ φίλος (ὡς λέγουσιν αἱ βίβλοι τῶν Ἰουδαίων) ἔζησεν 125 ἐνιαυτούς· ἐπειδὴ δὲ ὠδύρετο ὅτι νέος ἀποθνήσκει, θεός τις ἄγνωστος ἀπεκρίνατο πρὸς αὐτὸν, ὡς « *οὐδεὶς αὐτοῦ πλείω ζήσεται χρόνον* » (α).

Ι) Ἠγνόει (λέγουσι) τὰς γραφὰς καὶ ὁ *τὰς γλώσσας* εἰς τὰ Οὐϊργιλίου *Γεωργικὰ* συγγραψάμενος ἀνώνυμος· ὅστις ἑρμηνεύων τὸ « *Κρόνου ψυχρὸν ἄστρον* » (β), « διὰ τοῦτο (λέγει) καὶ Ἰουδαῖοι κατὰ τὴν Κρόνου ἡμέραν (τὸ Σάββατον) ψυχρὰ τρώγουσιν

---

(α) Ἰδοὺ αἱ λέξεις αὐταὶ τοῦ Πολλίωνος· « Doctissimi Mathematicorum 120 annos homini ad vivendum datos judicant, neque amplius cuiquam jactitant esse concessum: etiam illud addentes, Mosem solum, Dei (ut Judaeorum libri loquuntur) familiarem, 125 annos vixisse: qui quum quereretur quod juvenis interiret, responsum ei ab incerto fertur numine, neminem plus esse victurum. » Trebell Pollio vit. Claud. c. i. Ἐκ τούτων βλέπεις σαφῶς, ἀναγνῶστα, τρία τινα· α) Ὅτι ὁ Πολλίων λέγει οὐχ ὡς ἑαυτοῦ τοὺς λόγους, ἀλλ' ὡς τῶν κατ' αὐτὸν μαθηματικῶν (ἀστρολόγων), οὓς καὶ διαπαίζων αὐτὸς φαίνεται ἐκ τοῦ j a c t i t a n t. β) Τὰ αὐτὰ περὶ τοῦ ὅρου τῆς ἀνθρώπου βιοτῆς καὶ Ἰώσηπος διορίζει. « Μετὰ Μωϋσῆν ὅρος ἦν τοῦ ζῆν 100 ἔτη πρὸς τοῖς 20, ταῦθ' ὁρίσαντος τοῦ Θεοῦ, ὅσα καὶ Μωϋσῆν συνέβη βιῶναι » (Ἰώσηπ. Ἀρχ. Α. ς. §. 5. σελ. 27. Hav. — ὥστε τὸ 125, ἀντὶ 120, φαίνεται προσθήκη τις αὐτῶν τῶν μαθηματικῶν). γ) Καὶ αὐτὸς ὁ Πολλίων, ὡς καὶ οἱ παρ' αὐτῷ μαθηματικοὶ, τὰς τῶν Ἰ ο υ δ α ί ω ν β ί β λ ο υ ς μνημονεύουσι, καὶ τὸν Μωϋσῆν φ ί λ ο ν Θ ε ο ῦ ὀνομάζουσιν, ὡς καὶ ἡ Γραφή. Καὶ τὸν 120 ἐτῶν ὅρον τῆς ζωῆς ἀνέγνωσαν ἐν Γεν. ς, 3. Καὶ αὐτὸ δὲ τὸ ν έ ο ν τὸν Μωσῆν ἀποθανεῖν φαίνεται προστεθὲν ἐκ τῆς συγκρίσεως τῆς μακροβιότητος τῶν πατριαρχῶν, ἢ καὶ διὰ τὴν ἀκμὴν καὶ εὐρωστίαν τοῦ Μωσέως μεταπλασθὲν ἐκ τῶν ῥημάτων τῆς Γραφῆς ἐκείνων: « Μωϋσῆς δὲ ἦν ρ, καὶ κ, ἐτῶν ἐν τῷ τελευτᾶν αὐτόν· οὐκ ἠμαυρώθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ, οὐδὲ ἐφθάρησαν τὰ χελώνια αὐτοῦ, κτλ. » Δευτ. λδ. 7. (βλ. J. Casaubon. in Trebell. not. p. 219.) Ὥστε ὁ Πολλίων οὔτε τῶν Ἰουδαϊκῶν Γραφῶν (ἃς ἐμνημόνευσεν) ἀνήκοός τις φαίνεται καὶ ἀδαὴς, οὔτε τῶν Ἰωσήπου συγγραφῶν. Σημ. ἡμετ.

(β) « Frigida Saturni stella ». Virg. Georg. i. 336.

ἐδέσματα ». Τὸ δ' αὐτὸ πᾶς τις συμπεραίνει καὶ περὶ τοῦ Ἄκρωνος (Σχολιαστοῦ τοῦ Ὁρατίου) λέγοντος, ὅτι διὰ τοῦτο περιτέμνονται Ἰουδαῖοι, διότι καὶ Μωσῆς ὁ βασιλεὺς αὐτῶν καὶ νομοθέτης, ὑπὸ νόσου τοῦτο παθὼν, ἵνα μὴ μόνος διαφέρῃ τῶν ἄλλων, ἐκέλευσεν ἅπαντας περιτέμνεσθαι (α). Πρόσθες καὶ τὸν Ἰουβεναλίου Σχολιαστὴν εἰπόντα τὸν Μωσῆν « ἱερέα, ἢ βασιλέα τῶν Ἰουδαίων, καὶ τῆς θρησκείας αὐτῶν εὑρέτην, οὗ καὶ Τάκιτος μνημονεύει » (β). Καὶ Δίων δὲ ὁ Κάσσιος ὁμολογεῖ, ὅτι « ἥτε χώρα Ἰουδαία, καὶ αὐτοὶ Ἰουδαῖοι ὠνομάδαται· *ἡ δ' ἐπίκλησις αὔτη ἐκείνοις μὲν οὐκ οἶδ' ὅθεν ἤρξατο γενέσθαι* » (γ).

ΙΑ) Καὶ ὅσα δὲ (λέγουσιν) ἔχομεν ἐξ Ἀρταπάνου (ἤκμασε δὲ οὗτος *ἀναμφιβόλως* μετὰ τὴν ἑρμηνείαν), δεικνύουσι καὶ τοῦτον, ὅτι συνέγραψε μὲν ἰδίως περὶ *Ἰουδαίων*, αὐτὰ δὲ τὰ βιβλία τῶν Γραφῶν οὐδέποτε ἴδε. Γράφει περὶ Μωσέως καὶ τῶν τούτου θαυμάτων ἐκφράσεις πολλάκις μὲν μεγαλοπρεπεῖς, ἀλλ' ὅμως ἐναντίας πρὸς τὰς διηγήσεις τῆς Γραφῆς. Οὐδὲ τὰς Ἰουδαίων βίβλους ἀλλὰ τὰς Μεμφιτῶν καὶ Ἡλιουπολιτῶν παραδόσεις ἐκφέρει πρὸς μαρτυρίαν. Ἀνάγνως ὅσα τούτου ἀποσπάσματα μετέγραψεν ὁ Εὐσέβιος (Εὐαγ. Προπαρ. κεφ. Θ. 18, 23, 28), καὶ ῥᾷστα συνομολογήσεις (δ). Παρὰ τῷ αὐτῷ Εὐσεβίῳ (Εὐαγ. Προπ. Θ. 30-35) ἀναγινώσκονται καί τινα χωρία τοῦ *Εὐπολέμου*, ὅστις (ὡς ὁ αὐτὸς Εὐσέβιος μαρτυρεῖ, καὶ Κλήμης, Στρωματ. α, 343) ἔγραψεν

(α) Acron in Horat. Statyr. IX. Lib. 1.

(β) In Sat. 14. 102. (γ) Δίων λζ. σελ. 37.

(δ) Ἀπαντῶμεν παρὰ πόδας. Ὁ Ἀρτάπανος ἀντιγράφων ἐκ τῆς Γραφῆς (κᾂν μὴ ταύτην ὀνομάζῃ) τὴν διὰ τῆς ἐρυθρᾶς θαλάσσης διάβασιν τῶν Ἰσραηλιτῶν, ὡς θείαν καὶ θαυμαστὴν γενομένην, προστίθησι καὶ ὅ,τι λεγουσι περὶ αὐτῆς οἱ Ἡλιουπολῖται καὶ Μεμφῖται, σμικρύνοντες τὸ θαῦμα. Ὁ δὲ Ὄδιος ἐκ τούτων λαβὼν ἀφορμὴν διαστρέφει τὸ πᾶν. Ἰδοὺ οἱ λόγοι τοῦ Ἀρταπάνου. « Ἐπὶ τὴν ἐρυθρὰν τριταίους ἐλθεῖν θάλασσαν (τοὺς Ἰουδαίους)· καὶ Μεμφίτας μὲν λέγειν, ἔμπειρον ὄντα τὸν Μώϋσον τῆς χώρας, τὴν ἄμπωτιν τηρήσαντα, διὰ ξηρᾶς τῆς θαλάσσης τὸ πλῆθος περαιῶσαι. Ἡλιουπολίτας δὲ λέγειν, ἐπικαταδραμεῖν τὸν βασιλέα μετὰ πολλῆς δυνάμεως ἅμα καὶ τοῖς καθιερωμένοις ζώοις. — Τῷ δὲ Μωΰσῳ θείαν φωνὴν γενέσθαι π α τ ά ξ α ι τ ὴ ν θ ά λ α σ σ α ν τ ῇ ῥ ά β δ ῳ· τὸν δὲ Μώϋσον ἀκούσαντα

*ἱστορίαν τῶν ἐν Ἰουδαίᾳ βασιλέων*, καὶ ἄλλο βιβλίον (εἰ μὴ καὶ τοῦτο ἦν τὸ αὐτὸ) *περὶ τῆς Ἠλιοὺ προφητείας* (α), ἀλλ᾽ οὐδ᾽ οὗτος ὁ ἱστορικὸς ἐκ τῶν ἱερῶν ἀπηνθίσατο γραφῶν, ἐξ ἄλλων δέ τινων διαφόρων ὑπομνημάτων· καὶ τὸ πρᾶγμα καταφαίνεται ἐκ τοῦ ἐφεξῆς. Τὸν Δαβὶδ *υἱὸν* λέγει *τοῦ Σαοὺλ*. « Εἶτα τῇ τοῦ Θεοῦ βουλήσει ὑπὸ Σαμουὴλ Σαοῦλον βασιλέα αἱρεθῆναι, ἄρξαντα δὲ ἔτη κα, τελευτῆσαι· εἶτα Δαβὶδ τὸν *τούτου υἱὸν δυναστεῦσαι* ». Καὶ πάλιν λέγει « τοῦ Ἐνὼχ υἱὸν γενέσθαι τὸν Μαθουσάλαν » (β). Ἤνθησε δὲ καὶ ὁ Εὐπόλεμος οὗτος ἐπὶ τῶν ὑστέρων Πτολεμαίων. Οὐ γὰρ Οὐοσσίῳ συμφωνοῦμεν (λέγει Ὅδιος), ἰουδαῖον νομίζοντι τὸν ἄνδρα (γ), καὶ τὸν αὐτὸν ἐκείνῳ τῷ Εὐπολέμῳ, τῷ υἱῷ Ἰωάννου, καὶ φίλῳ Ἰούδα τοῦ Μακκαβαίου, καὶ πρεσβευτῇ δὲ παρ᾽ αὐτοῦ πρὸς Ῥωμαίους ἀποσταλέντι (Α. Μακ. Θ, 17).

ΙΒ) Πρόσθες (ἐπισυνάπτουσι) καὶ Ἀλέξανδρον Κορνήλιον, τὸν

---

ἐπιθιγεῖν τῇ ῥάβδῳ τοῦ ὕδατος, καὶ οὕτω τὸ μὲν νᾶμα διαστῆναι, τὴν δὲ δύναμιν διὰ ξηρᾶς ὁδοῦ πορεύεσθαι », κτλ. (Εὐσέβ. Εὐαγ. Προπ. Θ. σελ. 254. Lutet.). Ταῦτα ὅτι ἐκ τῆς τῶν Ο, Γραφῆς ἀντέγραφεν ὁ Ἀρτάπανος, καὶ τυφλῷ δῆλεν (δηλοῦσι δὲ καὶ τὰ παρ᾽ αὐτῷ κύρια ὀνόματα, οἷα Μώϋσος, Ἀαρὼν, Ῥαγουῆλος, κτλ. καὶ ἡ φράσις πολλάκις· οἷον τὸ πατάξαι τὴν θάλασσαν ῥάβδῳ κτλ.). Εἰ δὲ καὶ μετὰ τῆς ἱερᾶς ἱστορίας ἀνεμίγνυε καὶ ἄλλας Ἰουδαϊκὰς, ἢ καὶ Αἰγυπτίων παραδόσεις ὁ ἐθνικὸς Ἀρτάπανος, μήπως διὰ τοῦτο φαίνεται μηδὲν μηδέποτ᾽ ἀνεγνωκὼς τῆς Γραφῆς; Σημ. ἡμετ.

(α) Ἀλλ᾽ αὐτὴ καὶ μόνη ἡ ἐπιγραφὴ δείκνυσι σαφῶς διάφορον τῆς ἱστορίας τὸ περὶ τοῦ Ἠλιοὺ βιβλίον τοῦ Εὐπολέμου. Τοῦτο δὲ καὶ οἱ περὶ τὸν Φαβρίκιον διαστέλλοντες, ταὐτίζουσιν (οὐκ ὀρθῶς) πρὸς ἕν τι τῶν ἀποκρύφων, ἀνωνύμως μνημονευόμενον, τὸ, Ἀποκάλυψις Ἠλιοὺ » (Fabric. Codex pseudepigraph. V. Test. vol. 1, p. 1092: Hamburg. 1722). Σημ. ἡμετ.

(β) Οὕτως ἔχει (παρ᾽ Εὐσεβίῳ) ὁ Εὐπόλεμος (ὀρθῶς). Ὁ δὲ Ὅδιος, σφαλείσης τῆς γραφίδος, ἀντὶ τοῦ Ἐνὼχ, ἔγραψε τοῦ Νῶε, καὶ ἔπειτα διὰ τοῦτο ψέγει τὸν Εὐπόλεμον λέγων « Methusalem facit Noachi filium (p. 106). (Οὕτω πολλάκις ἁμαρτάνοντες, οὐ μόνον οὐ γινώσκομεν, ἀλλὰ καὶ εἰς ἄλλους ἀποῤῥίπτομεν τὴν ἁμαρτίαν)· ὡς δὲ Ὅδιος ἐσφάλη κατὰ τοῦτο, οὕτως ἑτέρωθεν καὶ ὁ Εὐπόλεμος (εἰ μὴ μᾶλλον ὁ τούτου μεταγραφεὺς), γράψας υἱὸν, ἀντὶ γαμβρὸν, τοῦ Σαοὺλ τὸν Δαβὶδ, καίτοι κἀκεῖνος ἀναγνοὺς πολλάκις τὰς Γραφὰς, καθὼς καὶ Ὅδιος! Σημ. ἡμετ.

(γ) J. Voss. de LXX. Int. c. 27.

Πολυΐστορα, τὴν πατρίδα Μιλήσιον, ἀκμάσαντα ἐπὶ Πτολεμαίου τοῦ ὀγδόου. Πόσον δὲ καὶ ὁ Πολυΐστωρ οὗτος ἀδαὴς ὑπῆρχε καὶ ἀγροῖκος ἐν τοῖς ἰουδαϊκοῖς πράγμασιν, ἀποδεικνύουσιν ἐκεῖνα τὰ παρὰ τῷ Σουΐδᾳ. « Οὗτος συνέγραψε βιβλία ἀριθμοῦ κρείττω· καὶ περὶ Ῥώμης βιβλία πέντε· *ἐν τούτοις λέγει, ὡς γυνὴ γέγονεν Ἑβραία Μωσώ, ἧς ἐστι σύγγραμμα ὁ παρ' Ἑβραίοις νόμος·* καὶ πάλιν, « *Μωσὼ γυνὴ Ἑβραία, ἧς ἔστι σύγγραμμα ὁ παρ' Ἑβραίοις νόμος, ὥς φησιν Ἀλέξανδρος ὁ Μιλήσιος ὁ Πολυΐστωρ* » (α). Καίτοι δὲ μετὰ ταῦτα συνέγραψεν ἱστορίαν ἰδίως *περὶ Ἰουδαίων* ὁ Πολυΐστωρ, ἐν ᾗ, τἀληθέστερα μεταμαθών, ἐμνημόνευσε τοῦ Μωσέως ἀκριβέστερον, ἀλλ' οὐδὲ τότε πάλιν φαίνεται τὰς Μωσαϊκὰς βίβλους ἀναγνούς, συνέγραψε δὲ τὸ πόνημα ἐκ *διαφόρων Ἑλλήνων ἀπανθισάμενος συγγραφέων* (ex varijs Graecis scriptoribus), ὅσοι περὶ τῶν ἰουδαϊκῶν ἐπραγματεύσαντο. Καὶ τοῦτο ῥᾷστα συνάγεται ἐκ τῶν πολλῶν χωρίων Εὐπολέμου, Ἀρταπάνου, Φίλωνος, Δημητρίου, Θεοδότου, Ἰεζεκιὴλ (ἰουδαίου τραγῳδοποιοῦ), καὶ ἄλλων, ὅσα ὁ Εὐσέβιος (Προπ. Εὐ. Θ, 20) ἀπήνθισεν ἐκ ταύτης τῆς περὶ Ἰουδαίων τοῦ Πολυΐστορος συγγραφῆς· αὐτῶν δὲ τῶν Μωσέως βιβλίων οὐδεμία παρὰ τῷ Πολυΐστορι γίνεται μνεία. Παρ' Εὐσεβίῳ σώζεται καὶ ἄλλο τοῦ Πολυΐστορος ἀπόσπασμα, μεταγραφὲν ἐκ τῶν Ἰωσήπου (Ἀρχ. α, 15), τὸ ἐφεξῆς. « Κλεόδημός φησιν ὁ προφήτης, ὁ καὶ Μάλχος, ὁ ἱστορῶν τὰ περὶ τῶν Ἰουδαίων, καθὼς καὶ Μωσῆς ἱστόρησεν ὁ νομοθέτης αὐτῶν, ὅτι ἐκ τῆς Χατούρας Ἀβράμῳ ἐγένοντο παῖδες ἱκανοί· λέγει δὲ αὐτῶν καὶ τὰ ὀνόματα, ὀνομάζων τρεῖς, Ἀφέραν, Σουρεὶμ (ἄλλ. Ἀσσουρεὶμ), Ἰάφραν. Ἀπὸ Σουρεὶμ μέν, τὴν Ἀσσυρίαν κεκλῆσθαι· ἀπὸ δὲ τῶν δύω, Ἀφέρα τε καὶ Ἰάφρα, πόλιν τε Ἄφραν, καὶ τὴν χώραν Ἀφρικαν ὀνομασθῆναι. Τούτους γὰρ Ἡρακλεῖ συστρατεῦσαι ἐπὶ Λιβύην καὶ Ἀνταῖον· γήμαντά τε τὴν Ἄφρα θυγατέρα Ἡρακλέα, γεννῆ-

---

(α) Σουΐδ. λ. Ἀλέξ. Μιλήσιος, καὶ λ. Μωσώ. (Ὁ δὲ Κλήμης μνημονεύει καὶ ἄλλο τοῦ Πολυΐστορος σύγγραμμα, τὰ Ἰνδικά. Στρωματ. γ. 329. Lugd. κτλ. βλ. G. Voss. H. G. p. 187.)

σαι υἱὸν ἐξ αὐτῆς Δίδωρον (ἄλλ. Διόδωρον)· τούτῳ δὲ γενέσθαι Σοφῶνα· ἀφ᾽ οὗ τοὺς βαρβάρους Σόφακας λέγεσθαι» κτλ. Ὥστε (λέγουσι) καὶ τοῦτον τὸν τοιούτους μύθους τερατευόμενον Κλεόδημον, ὅστις ἂν λέγῃ ταὐτὰ τῷ Μωσεῖ συγγράψαντα περὶ Ἰουδαίων, οὐδ᾽ αὐτὸς λοιπὸν ἴδε πώποτε τὰς βίβλους τοῦ Μωσέως (α). Πότε δὲ ἄρα, πρὸ τῆς ἑρμηνείας τῆς Πεντατεύχου, ἢ μετέπειτ᾽ ἤκμασεν ὁ Κλεόδημος οὗτος, ἄδηλον (β).

ΙΓ) Εἷς (λέγουσι) καὶ μόνος ἐκ πάντων, ὅσους οἴδαμεν ἐθνικοὺς συγγράψαντας περὶ Ἰουδαίων, ὁ Δημήτριος ἐκεῖνος (οὗ τινος ἀποσπάσματα, παρὰ τῷ Πολυΐστορι περισωθέντα, μετέφερεν ὁ Εὐσέβιος ἐν Προπαρ. θ, 21, 29), οὗτος μόνος ὁ Δημήτριος ἐνέτυχεν, ὡς φαίνεται, τῇ κατὰ τοὺς Ο, μεταφράσει τῆς Πεντατεύχου, ἐξ ἧς βεβαίως ἀπήνθισεν ὅσα φέρονται ἐν τοῖς εἰρημένοις ἀποσπάσμασιν αὐτοῦ. Καί τοι καὶ περὶ τούτου δικαίως ἄν τις ἀμφιβάλοι, πότερον, ἀμέσως ἐκ τῆς Γραφῆς ἔλαβεν ὅσα ἔγραψεν, ἢ παρ᾽ ἄλλου τινὸς ἰουδαίου ἱστορικοῦ. Διότι ὁ Ἰώσηπος μαρτυρεῖ περὶ τούτου ῥητῶς, ὅτι οὐκ ἠδυνήθη κατ᾽ ἀκρίβειαν παρακολουθῆσαι ταῖς ἱεραῖς βίβλοις. Μεταγράφομεν δὲ ὁλόκληρον τὸ χωρίον, ἐν ᾧ γίνεται μνεία καὶ ἄλλων ἐθνικῶν, συγγραψάντων περὶ Ἰουδαίων. «Ἔτι δὲ πρὸς τοῖς εἰρημένοις Θεόφιλος, καὶ Θεόδοτος, καὶ Ἀριστοφάνης, καὶ Ἑρμογένης, Εὐήμερός τε, καὶ Κόνων, καὶ Ζωπύριος, καὶ πολλοί τινες ἄλλοι

(α) Καὶ ὅμως τοῦτον τὸν Κλεόδημον, τὸν καὶ Μάλχον (περὶ οὗ ἐν τοῖς ἐφεξῆς κεφ. γ. §. κ.) αὐτὸς ὁ Ἰώσηπος ἐπέφερεν ἀξιόπιστον μάρτυρα τῆς ἐκ τῶν υἱωνῶν Ἀβραὰμ ἐπωνυμίας τῆς Ἀφρικῆς· καὶ τ᾽ ἄλλα δὲ τοῦ Κλεοδήμου μέχρι τέλους ἀναγράφει (Ἀρχ. α. ιε, πρβλ. καὶ Σχόλ. Bern. αὐτ. Τόμ. 1. σελ. 44. Hav.). Καὶ αὐτὰ δὲ τὰ πρὸς τὸ ἑλληνικώτερον ὁπωσδήποτε παρὰ τῷ Μάλχῳ μεταπλασθέντα κύρια, τὰ, Χαττούρα, Ἄφρος, Δίδωρος, Σίφας κτλ. ὡσαύτως ἀναγινώσκονται καὶ παρὰ τοῖς Ο, πλήν τινων ἀνεπαισθήτων παραλλαγῶν (Χεττούρα, Ἀφείρ, Ἀσσουρείμ, Γεφὰρ, Δαιδὰν, Σαβά. — Γενέσ. κε). Σημ. ἡμετ.

(β) Δῆλον μὲν οὖν καὶ πρόδηλον, ὦ φίλ᾽ Ὄδιε, τὸ δεύτερον· ὡς τρανῶς μαρτυρεῖ καὶ ἡ γραφὴ τῶν κυρίων ὀνομάτων, ἅπερ ὁ Κλεόδημος ἀντέγραψεν ἐκ τῆς ἑρμηνείας τῶν Ο. — Ἔπειτα, σὺ αὐτὸς προϊὼν, πόλεμον κηρύξεις βαρὺν κατὰ τῶν εἰπόντων, ὅτι τάχα προϋπῆρχε καὶ πρὸ τῶν Ο, μικρῶν τινων χωρίων τῆς Γραφῆς ἑλληνὶς ἑρμηνεία. Πόθεν λοιπὸν ἔμελλεν εἰδέναι τὰ κατὰ τὸν Ἄβραμον Ἕλλην ἀνὴρ, ἑλληνιστὶ συγγράφων, ὁ Κλεόδημος, εἴπερ, ὡς λέγεις, ἤκμαζε πρὸ τῆς ἑρμηνείας; Σημ. ἡμετ.

τάχα οὐ παρέργως ἡμῶν ἐμνημονεύκασιν· οἱ πολλοὶ δὲ τῶν εἰρημένων ἀνδρῶν τῆς μὲν ἀληθείας τῶν ἐξ ἀρχῆς πραγμάτων διήμαρτον, ὅτι *μὴ ταῖς ἱεραῖς ἡμῶν βίβλοις ἐνέτυχον*, κοινῶς μέν τοι περὶ τῆς ἀρχαιότητος ἅπαντες μεμαρτυρήκασιν. — Ὁ μέν τοι Φαληρεὺς Δημήτριος, καὶ Φίλων ὁ πρεσβύτερος, καὶ Εὐπόλεμος, οὐ πολὺ τῆς ἀληθείας διήμαρτον· οἷς συγγινώσκειν ἄξιον· *οὐ γὰρ ἐνῆν αὐτοῖς μετὰ πάσης ἀκριβείας τοῖς ἡμετέροις γράμμασι παρακολουθεῖν* » (κατ. Ἀπίων. α). Φαίνεται δὲ (λέγουσιν) Ἀλεξανδρεὺς ὁ Δημήτριος οὗτος· καὶ ἤκμασεν ἐπὶ Πτολεμαίου τοῦ Δ (α). Πρόσθες ὅτι καὶ Ἰουβενάλιος, ῥωμαῖος ποιητὴς, τὴν Μωσέως βίβλον ὠνόμασεν *ἀπόκρυφον*, καθὸ καὶ τοῖς Ἕλλησι καὶ τοῖς Ῥωμαίοις ἄγνωστον παντελῶς, μηδὲ συνήθως ἀναγινωσκομένην. Ἠγνόει δὲ καὶ ὅλως, εἴ γε καὶ ὑπῆρχεν ἑλληνιστὶ μεθηρμηνευμένον ἐπ᾽ αὐτοῦ τὸ βιβλίον, ἑβραϊκὸν αὐτὸ νομίζων μόνον, καθὼς φαίνεται (β).

---

(α) Βλ. Κλημ. Στρωματ. α. σελ. 337. [*πρβλ καὶ ἐφεξῆς κεφ. γ.* §. *β.* Ἐνταῦθα δὲ τοῦτο *μόνον* σημείωσαι, ἀναγνῶστα, ὅτι ὁ μὲν Ἰώσηπος λέγει περὶ τοῦ Δημητρίου τούτου « ὅτι οὐ μετὰ πάσης ἀκριβείας (τουτ. ἔν τισιν ἐλλειπῶς) παρηκολούθησεν αὐταῖς, ταῖς ἑβραϊκαῖς (τῶν Ο) γραφαῖς ». Ὁ δὲ Ὅδιος ἐκ τῶν Ἰωσήπου τούτων αὐτῶν συνεπέρανεν ἀμφίβολον, πότερον, ἐκ τῶν ἑβραϊκῶν ἀμέσως ἄρά γε γραφῶν, ἢ ἔκ τινος Ἰουδαίου ἱστορικοῦ ἠρύσατο τὴν περὶ τῶν Ἰουδαίων συγγραφήν! Σημ. ἡμετ.].

(β) « Judaicum ediscunt, et servant, et metuunt jus,
Tradidit arcano quodcumque volumine Moses » (Satyr. 14 v. 100. ssq.) Hody p. 107. — *Πρόσθες, ἀναγνῶστα, καὶ τὸν ἀμέσως πρὸ τῶν δύω τούτων προηγούμενον Ἰουβενάλειον στίχον, ὃν Ὅδιος παρέλιπεν,*

« Romanos autem soliti contemnere leges,
Judaicum ediscunt » etc. τουτέστι

*« Ῥωμαίων δὲ νόμους εἰωθότες ἐξαθερίζειν,*
*Θεσμὸν ἰουδαῖον δεδάασι, φόβῳ τηροῦσιν,*
*Ὅντινα δὴ κρυφίῃ* Μωσῆς *ἐνὶ κάτθετο δέλτῳ.*

*Ἐκ δὲ τούτων, βλέπεις, ὅτι μήτε μεθηρμηνευμένον, μήτε μόνον ἑβραϊκὸν φαίνεται νομίζων τὸν νόμον ὁ ποιητὴς, ἀλλ' ἁπλῶς ὠνόμασεν αὐτὸν ἰουδαϊκὸν, ὁποῖός ἐστι πάντως καὶ ἐξελληνισθεὶς, καὶ πρωτότυπος μένων, (καθὼς καὶ ὁ ῥωμαϊκὸς, καὶ ἄλλος ὁστισδήποτε).* Καὶ *κρύφιον, ἢ ἀπόκρυφον* (arcanum) *ὠνόμασε τὸ τοῦ νόμου βιβλίον (τὴν πεντάτευχον), οὐχ ὡς ἀῤῥητοποιοῦ τινος μάγου νομιζομένου τοῦ* Μωσέως *κοινῶς παρὰ τοῖς ἐθνικοῖς (βλ.* N. Anchaintre *σημ. εἰς* Ἰουβενάλ. *αὐτόθ. τόμ. α.*

§. η. Μετὰ δὲ τὴν διάδοσιν τῆς χριστιανικῆς πίστεως (ὁπότε τὰ τεύχη τῆς Γραφῆς ἐφέροντο μετὰ χεῖρας ἁπάντων σχεδὸν τῶν χριστιανῶν), οὐκ ἂν ἀρνηθείημεν (λέγουσιν), ὅτι εὑρέθησαν καί τινες τῶν τότε ἐθνικῶν τὰς Μωσέως βίβλους ἀνελίξαντες, ὡς Λογγῖνος καὶ Νουμήνιος, καὶ ἄλλοι. Καὶ μεταξὺ δὲ τῶν ἀρχαιοτέρων, οὐκ ἂν ἀμφιβάλοιμεν, ὅτι, καθὼς ὁ προειρημένος Δημήτριος, οὕτω καὶ ἄλλοι τινες ἐνέτυχον τῇ τῶν Γραφῶν ἑρμηνείᾳ. Ἀλλὰ τί χρὴ πρὸς ταῦτα τὰ ὀλίγα παραδείγματα χρονοτριβεῖν; Οὐδὲν ἰσχύουσι καθ᾽ ἡμῶν *ὀλίγα* πρὸ Χριστοῦ παραδείγματα, οὐδὲν μετὰ Χριστὸν *ἄπειρα (!)*. Ἀρκείτω (λέγουσιν) ἡ ἀπόδειξις, ὅτι παρὰ *πᾶσι σχεδὸν* τοῖς ἀρχαιοτέροις ἐθνικοῖς οὐ μόνον τῶν ἄλλων, ἀλλὰ καὶ αὐτῶν τῶν Μωσαϊκῶν τευχῶν ἡ ἑλληνὶς ἑρμηνεία ὑπῆρχεν ἄγνωστος. ἄγνωστος καὶ τοῖς λοιποῖς φιλολόγοις τῶν ἐθνικῶν, καὶ αὐτοῖς τοῖς περὶ νόμων καὶ πατρίων ἰουδαϊκῶν συγγραψαμένοις ἐξ ἐπαγγέλματος, καὶ αὐτοῖς δὲ, τέλος, ἐκείνοις, ὅσοι καθόλου περὶ Ἰουδαίων ἐξεπίτηδες ὁλοκλήρους ἐξεπόνησαν πραγματείας. Καὶ τίς λοιπὸν ἐκ τούτων οὐ συμπεραίνει ῥαδίως, ὅτι παρ᾽ αὐτῶν τῶν Ἰουδαίων πρὸς ἰδίαν αὐτῶν χρῆσιν ἐξετελέσθη ἡ ἑρμηνεία, καὶ οὔτε Πτολεμαίων δημοσίᾳ κελευσάντων, οὔτε σπουδῇ καὶ φροντίδι τοῦ Φαληρέως, οὔτε, τέλος, ὅπως εἰς τὴν βασιλικὴν βιβλιοθήκην ἀποτεθῇ; Μαρτυρεῖ δὲ καὶ Ὠριγένης μηδεμίαν πρὸ Χριστοῦ γενομένην παρὰ τοῖς ἐθνικοῖς συγγραφεῦσι Μωσέως μνήμην. « Νῦν (λέγει) τὸ τοῦ Μωϋσέως ὄνομα ἀκούεται, πρότερον μόνον ἐν τοῖς στενοῖς τῆς Ἰουδαίας ὁρίοις ἐγκεκλεισμένον. Οὔτε γάρ τις τῶν

---

σελ. 504. Paris, 1810), ἀλλ᾽ ὡς ἀποκρύφους ἱεροτελεστίας καὶ θυσίας περιέχον τὸ βιβλίον, ὧν τὴν σημασίαν ἡρμήνευον πρὸς τὸν λαὸν οἱ ἱερεῖς (Ὠριγέν.), καὶ ἁπλῶς, καθὸ τοῖς Ἰουδαίοις μόνοις ἐξηγούμενον· « τὸ γὰρ ἐξηγεῖσθαι ἀλλογενέσι τὸν νόμον, οὐκ ἀνέγκλητον παρ᾽ αὐτοῖς » (Κύριλλ.) Ὅσον δὲ πρὸς ἁπλῆν ἀνάγνωσιν, οὐ μόνον Ἰουδαίοις ὃ καὶ ὁ Σατυρικὸς ἐδήλωσε διὰ τοῦ ediscunt, ἀλλὰ καὶ τοῖς βουλομένοις ἀλλογενέσιν ἀκώλυτον ἦν ὁ νόμος ἀνάγνωσμα· μαρτυρεῖ δὲ καὶ Ἰώσηπος, « Ὅτι πάτριον Ἰουδαίοις μηδὲν τῶν καλῶν ἔχειν ἀπόῤῥητον » (τοὺς νόμους ἐννοῶν. Ἀρχ. α. προοιμ. §. γ). Ὁ δὲ κλεινὸς Ὅδιος τὸ τοῦ Σατυρικοῦ ἀ π ό κ ρ υ φ ο ν (arcanum), ἀ ν α ν ά γ ν ω σ τ ο ν ἐξήγησε, καὶ παντελῶς ἄδηλον καὶ ἄγνωστον καὶ Ἕλλησι καὶ Ῥωμαίοις! (βλ. καὶ ἐφεξῆς §. ις. ἄρθ. ς).

Ἑλλήνων αὐτοῦ μέμνηται, οὔτε ἔν τινι τῶν ἐθνικῶν γραμμάτων ἱστορίᾳ, οὔτε περὶ αὐτοῦ, οὔτε περὶ τῶν ἄλλων εὑρίσκομεν γεγραμμένον οὐδέν. Αὐτίκα δ' ὡς ἐπέφανεν ὁ Ἰησοῦς ἐν τῷ κόσμῳ, συνεξήγαγε μεθ' ἑαυτοῦ τὸν Νόμον καὶ τοὺς Προφήτας, καὶ πεπλήρωται ἀληθῶς τὸ, « *μῦρον ἐκκενωθὲν ὄνομά σοι* » (α). Καὶ ταῦτα μὲν τὰ τοῦ Ὠριγένους, ὁμολογοῦμεν, ὅτι καθόλου καὶ ἀπολύτως οὐκ ἀληθεύουσι· πλὴν ἀλλ' ὅμως καὶ ἐκ τούτων ἀποδείκνυνται, πόσον ὀλίγοι τῶν ἐθνικῶν πρὸ τῆς Χριστοῦ γεννήσεως ἐγνώριζον τὰς ἰουδαϊκὰς Γραφάς.

§. θ. Ἔγραψε (λέγουσιν) ὁ Ψευδαριστέας, ὅτι Πτολεμαῖος ὁ βασιλεὺς « μεταλαβὼν παρὰ τοῦ Δημητρίου (τὴν ἑρμηνείαν), καὶ προσκυνήσας, ἐκέλευσε μεγάλην ἐπιμέλειαν ποιεῖσθαι τῶν βιβλίων, καὶ διατηρεῖν ἁγνῶς ». Εἶπε καὶ Γεώργιος Ὁμαιμίδης (Ἄραψ χρονογράφος) ὅτι τὴν ἑρμηνείαν ὁ Πτολεμαῖος ἀπέθετο ἐν τῷ τεμένει τοῦ ἰδίου Θεοῦ, « *ἐπισημηνάμενος σφραγίδι* ». Μήποτε ἆρά γε παρὰ τοῦτο διετέλεσεν ἡ ἑρμηνεία ἀπόκρυφος καὶ ἄγνωστος τοῖς ἐθνικοῖς σοφοῖς; Ἄπαγε λήρων! Οὔτε Πτολεμαῖος ἠδύνατο φρον-

(α) Ὠριγ. εἰς τὸ Ἆσμ. Ὁμιλ. α [Αὕτη ἡ Ὁμιλ., καθὼς καὶ ἄλλα τῶν Ὠριγένους, σῴζεται μόνον ἐν τῇ ἀρχαίᾳ λατινικῇ μεταφράσει, ἐξ ἧς μεθηρμηνεύσαμεν τὸ χωρίον. Σὺ δὲ βλέπεις ἀναγνῶστα, ὅτι ὁ Ὠριγένης, ἑρμηνεύων τὸ τοῦ Ἄσματος « μῦρον ἐκκενωθὲν » κτλ. καὶ δεικνύων, ὅτι « ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο », καὶ ὅτι μετ' αὐτοῦ, ὅς ἐστι τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν, συνεξεχύθη τὸ πνεῦμα τῆς ἐπιγνώσεως τῶν Γραφῶν, τὰς πρὸ τῆς θείας ἐπιφανείας ἀτελεστάτας παρὰ τοῖς ἐθνικοῖς περιφερομένας γνώσεις τῶν προφητικῶν λογίων ἐθεώρησεν, ἴσα καὶ εἰ μηδόλως ὑπῆρχον. Ἄκουε τὸν Ὠριγένην αὐτὸν, ὅπως ἀλλαχοῦ τὰ ἑαυτοῦ ἑρμηνεύει. « Τὸ τῶν προφητικῶν λόγων ἔνθεον, καὶ τὸ πνευματικὸν τοῦ Μωσέως νόμου ἔλαμψεν, ἐπιδημήσαντος Ἰησοῦ. Ἐναργῆ γὰρ παραδείγματα περὶ τοῦ θεοπνεύστους εἶναι τὰς παλαιὰς γραφὰς πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ παραστῆσαι οὐ πάνυ δυνατὸν ἦν· ἀλλ' ἡ Ἰησοῦ ἐπιδημία, δυναμένους ὑποπτεύεσθαι τὸν νόμον καὶ τοὺς προφήτας ὡς οὐ θεῖα, εἰς τοὐμφανὲς ἤγαγεν, ὡς οὐρανίῳ χάριτι ἀναγεγραμμένα » (Ὠριγ. περὶ ἀρχ. Δ. σελ. 161. τ. α. Delar.). Ταῦτα λέγει Ὠριγένης· ἢ, μὴ γὰρ ἠγνόει τὸ Μωσέως ὄνομα παρὰ τοῖς ἐθνικοῖς σοφοῖς (οἷον Διοδώρῳ, καὶ Στράβωνι καὶ ἄλλοις) ῥητῶς μνημονευόμενον; Οὐκ ἀνέφερε δὲ καὶ αὐτὸς ἀλλαχοῦ τοὺς περὶ τῆς Ἰουδαίων καὶ Μωσέως ἀρχαιότητος ἱστορήσαντας Ἕλληνας; (κ. Κέλσ. Δ. σελ. 335). Σημ. ἡμετ.].

τίζειν περὶ τῶν Μωσαϊκῶν βιβλίων ἐπιμελέστερον, ἢ περὶ τοσούτων ἄλλων ἐκλεκτῶν συγγραφῶν, οὔτε παρ᾽ αὐτοῖς τοῖς Ἰουδαίοις ἔλειπον ἀντίγραφα τῆς ἑρμηνείας, ἅπερ οἱ τῶν ἐθνικῶν λογιώτατοι ῥᾳδίως ἂν ἐκτήσαντο καὶ διεξῆλθον, εἴπερ ἐτύγχανον ἡρμηνευμένα βασιλικῇ τε φιλοτιμίᾳ, καὶ σπουδῇ τοῦ φαληρόθεν σοφοῦ ». Ταῦτα οἱ περὶ τὸν Ὅδιον (σελ. 101—110).

*Ἀπαντῶμεν.*

§. ι. Ἐσυκοφάντουν τοὺς Ἰουδαίους οἱ περὶ τὸν Ἀπίωνα, « νέαν αὐτῶν τὴν κατάστασιν ἀποφαίνειν ἐπιχειροῦντες, *ἐκ τοῦ μηδὲν περὶ αὐτῶν, ὡς φασὶν ἐκεῖνοι, λελέχθαι παρὰ τοῖς ἑλληνικοῖς συγγραφεῦσι* » (α). Κᾀκεῖνοι μὲν πάντως ἐλήρουν, καὶ τὸν λῆρον ἐξήλεγξε τρανῶς ὁ Ἰώσηπος. Ἀλλὰ τίς ποτε ἤλπιζεν, ὅτι μετὰ τοσούτους αἰῶνας τὴν εὐρωτιῶσαν ἤδη καὶ σοφιστικὴν ἐκείνην τερθρείαν ἔμελλον ἀνασκάπτειν καὶ σοφοί τινες καὶ περικλεεῖς κριτικοὶ, προφέροντες εἰς μέσον τὴν αὐτὴν ἐπίνοιαν ἐπ᾽ ἄλλῃ χείρονι λοιδορίᾳ; Τί γὰρ ἄλλο καὶ αὐτοὶ ποιοῦσιν, εἰ μὴ νέαν (ὡς πρὸς τὴν ἀρχὴν αὐτῆς) καὶ ἄδοξον ἐπιχειροῦσι τὴν ἑρμηνείαν τῶν Ο, ἀποφαίνειν, « *ἐκ τοῦ μηδὲν περὶ αὐτῆς (ὥς φασι) λελέχθαι παρὰ τοῖς ἑλληνικοῖς συγγραφεῦσιν;* ». Ἀλλ᾽ ἀνακρίνωμεν ὅσα λέγουσι.

§. ια. Πρῶτον μὲν, αὐτὴ αὐτῶν ἡ πρότασις, καθόλου θεωρουμένη, κούφη τις ἐξελέγχεται καὶ ψευδής. Καὶ γὰρ, εἰ καὶ οἱ παρ᾽αὐτῶν μνημονευθέντες ἐθνικοὶ συγγραφεῖς ἀλλόκοτά τινα περὶ τῶν Ἰουδαίων ἱστοροῦσι καὶ διάφορα παρὰ τὴν ἱστορίαν τῆς Γραφῆς, ἀλλ᾽ οὐ πάντως παρὰ τοῦτο παρέπεται ἐξ ἀνάγκης καὶ ὅτι οὐδὲ ἴδον, οὐδ᾽ ἀνέγνωσαν τὴν ἑρμηνείαν τῶν Γραφῶν· καὶ γὰρ καὶ ἀναγνόντες, ἠδύναντο μὴ πεισθῆναι τοῖς γραφομένοις· ἀνέμιξαν δὲ μᾶλλον τὰ σεμνότατα τῆς ἱερᾶς ἱστορίας καὶ ἀληθῆ πρὸς ἄλλας παρ᾽ Αἰγυπτίοις, ἢ καί τισιν ἄλλοις ὁμοθρήσκοις ἐθνικοῖς φερομένας μυθολόγους ἀλαζονείας, εἴτε δουλεύοντες καὶ αὐτοὶ τῇ κατὰ τοὺς χρόνους ἐκείνους ἐπικρατούσῃ κατὰ τῶν Ἰουδαίων δυσμενείᾳ τῶν ἐθνικῶν,

(α) Ἰώσηπ. Δ. κατὰ Ἀπίων. §. ια. Οὕτω καὶ Κέλσος, παρ᾽ Ὠριγ. κ. Κελσ. Δ. §. 31·

εἴτε καὶ φήμαις ἀδεσπότοις καὶ ὀχλικαῖς παρακολουθοῦντες, ἴσως δὲ καί τι καινότερον βουλόμενοι λέγειν πρὸς ἐπίδειξιν· τὸ δὲ πλεῖστον, ἄλλοι παρ' ἄλλων ἀναπιμπλάμενοι τῆς ψευδολογίας, καὶ ἀντιγράφοντες ἀταλαιπώρως ὅσα περὶ τῶν αὐτῶν ψευδῶς προϊστορήκασιν ἄλλοι πάλιν, ἐθνικοὶ κἀκεῖνοι, κἀκεῖνοι πλανηθέντες, καίτοι ἄλλως περιώνυμοι σοφοί. Τοιαύτης ἀναμίξεως, ἢ παραλλαγῆς διαφόρων περὶ ταὐτοῦ πράγματος γνωμῶν καὶ παραδόσεων παραδείγματα μυρία μαρτυροῦσι τοῦ λόγου τὴν ἀλήθειαν. Ποῖον ἄλλο παρ' Ἕλλησιν ὑπῆρχεν ἱερώτερον, ἢ ἀρχαιότερον, ἢ κοινότερον ἀνάγνωσμα παρὰ τὸν Ὅμηρον; καὶ ὅμως οὐκ ὀλίγας τῶν παρ' αὐτῷ παραδόσεων ἄλλως πως ἐξέφρασαν οἱ ἐνδοξότατοι τραγῳδοποιοί· τί λοιπόν; μήπως οὐκ ἀνέγνω τὸν Ὅμηρον Εὐριπίδης καὶ Σοφοκλῆς; ἢ μήπως καὶ ἀναγνόντες, ὅμως οὐκ εἶχον οὐδ' οὗτοι παρ' ἑαυτοῖς τῶν Ὁμήρου ποιημάτων οὐδὲ ἓν, ὡς ἐκεῖνος ὁ γραμματοδιδάσκαλος, πρὸς ὃν ἐπιστὰς ὁ Ἀλκιβιάδης, καὶ βίβλον Ὁμήρου ζητήσας καὶ μὴ εὑρὼν, « *ἐνέτριψεν αὐτῷ κόνδυλον* »; Ὁ δὲ πάλιν Ἡρόδοτος τοιαῦτα περὶ Περσέως καὶ ἄλλων καὶ αὐτοῦ Ἡρακλέους παράδοξα καθιστόρησεν, « ὁποῖα τῶν παλαιῶν καὶ λογίων ἀνδρῶν οὐδεὶς ἔγραψεν, οὐχ Ὅμηρος, οὐχ Ἡσίοδος, οὐκ Ἀρχίλοχος, οὐ Πείσανδρος, οὐκ Ἀλκμὰν, οὐ Πίνδαρος » (α). Πότερον τοίνυν οὐδ' Ἡρόδοτος ἠπίστατο τὰ ἔπη τούτων τῶν ποιητῶν, ὡς ἄσημα λανθάνοντα καὶ ἀκλεῆ, ἢ καὶ μηδόλως ὑπάρχοντα τότε παρὰ τοῖς Ἕλλησι; τί ἄρα καὶ περὶ τούτων οἱ περὶ τὸν Ὅδιον ψηφιοῦσι; Τί δὲ, τέλος, καὶ περὶ τῆς σώφρονος Πηνελόπης, ἣν ἡ τοῦ Λυκόφρονος Ἀλεξάνδρα (διὰ τὸ πρὸς τὸν Ὀδυσσέα μῖσος) ὠνόμασε « *βασσάραν* (τουτ. θυάδα, μαινάδα πόρνην) *σεμνῶς κασωρεύουσαν* » (πορνεύουσαν); Ταύτην δὲ τὴν ἀναιδῆ συκοφαντίαν καὶ Δοῦρις ἔγραψεν ὁ Σάμιος, ἱστορήσας τὴν ἀμώμητον Πηνελόπην « συγγενομένην ἅπασι τοῖς μνηστῆρσι, καὶ γεννήσασαν τὸν Πᾶνα » (β)! καὶ λοιπόν, οὔτε

(α) Πλούταρχ. π. τ. Ἡροδότ. κακοηθ. (β) Λυκόφρ. στίχ. 771, καὶ Τζέτζ. ἐξηγ. αὐτόθ. σελ. 84 Potter. πρβλ. καὶ Παυσαν. Ἀρκαδ. ΙΒ. §. 3.

Δοῦρις, οὔτε Λυκόφρων ἴδον τὴν Ὀδύσσειαν; Παραλείπομεν ἄλλα παραδείγματα καὶ παλαιῶν καὶ νεωτέρων σοφῶν, ἓν ἔτι μόνον, ἢ δύω προσθέντες συγγενέστερα πρὸς τὴν ὑπόθεσιν. Ὁ μισόχριστος φιλόσοφος Κέλσος ἤκμαζε κατὰ τὸν β, αἰῶνα μ. Χ., ὁπότε καὶ παρ' Ἰουδαίοις καὶ παρὰ τοῖς χριστιανοῖς ἅπασιν ὑπῆρχεν ὁμολογουμένη καὶ ἀναμφήριστος ἡ περὶ τῆς ἑρμηνείας ἱστορία, πότε καὶ πῶς ἐξηλληνίσθησαν αἱ Γραφαί· ἐτίμα δὲ πάντως ὁ Κέλσος καὶ τὴν Φαληρέως σοφίαν, καὶ τὸ φιλόμουσον τοῦ πεφροντικότος τὴν μετάφρασιν Πτολεμαίου. Καὶ ὅμως αὐτὸς ὁ Κέλσος ἐφλυάρησε περὶ τοῦ Μωσέως πολλὰ παρατράγῳδα καὶ μωρά· καὶ τοὺς Ἰουδαίους αὐτοὺς ἔλεγεν (ὡς οἱ περὶ τὸν Τάκιτον) « ἀπ' Αἰγύπτου δραπέτας γεγονέναι, μηδὲν πώποτε ἀξιόλογον πράξαντας, μήτ' ἐν λόγῳ, μήτ' ἐν ἀριθμῷ αὐτούς ποτε γεγενημένους » (Ὠργέν. κ. Κέλσ. Δ. §. 31). Οὐδ' οὗτος οὖν ἴδε τὰς τότε κοινῶς περιφερομένας, καὶ διὰ τὸν τρόπον δὲ τῆς ἑρμηνείας διαβεβοημένας ἑλληνίδας Γραφὰς, ἐξ ὧν προφανῶς καὶ λέξεις ἀντέγραψε, καί τινας περικοπάς; (α). Ὡσαύτως καὶ Ἀπίων, Ἀλεξανδρεὺς πολλὰ κατεῖπε τῶν Ἰουδαίων, ἐναντία τῶν, ὧν ἀνέγνω ἐν Ἀλεξανδρείᾳ (κἂν Ὅδιος μὴ θέλῃ) ἑλληνίδων Γραφῶν. Αὐτὸς, τέλος, ὁ Ἰώσηπος, εἰς ἣν ἐκ τῶν Γραφῶν συνέταξεν Ἰουδαϊκὴν Ἀρχαιολογίαν, παρανέμιξε καί τινας ἄλλας πατρίους παραδόσεις, ἀγνώστους εἰς τὴν ἱερὰν ἱστορίαν. Εἰ δὲ καὶ, κατὰ τύχην, ὁ Ἰουδαῖος ἱστορικὸς μὴ προωμολόγει πόθεν ἠρανίσθη τὴν ἱστορίαν, ἔπρεπε λοιπὸν ἐξ ἀνάγκης, ἵνα καὶ τοῦτον οἱ περὶ τὸν Ὅδιον κριτικοὶ (κατὰ τὴν προτεθεῖσαν αὐτῶν ἀξίωσιν) ἀνακηρύξωσιν ἀγνῶτα παντελῶς καὶ ἀμελέτητον τῶν θείων Γραφῶν, διὰ τὰς προσκειμένας διαφοράς; Καὶ πάντως οὐκ ἂν ὤκνησαν, (εἴπερ εὕρισκον εὐπρόσωπον ἀφορμὴν), καθὼς αὐτὸν ἄλλοι πάλιν ἐλοιδόρησαν ὡς ἀμαθῆ καὶ αὐτῆς τῆς ἑβραΐδος φωνῆς (β)!

(α) Βλ. Ὠριγέν. κ. Κέλσ. πολλαχοῦ. Ἔλεγε δὲ καὶ αὐτὸς ὁ Κέλσος, ὅτι « ὑπέμεινε καὶ ἠνέσχετο ἐπακοῦσαι τῶν συγγραμμάτων Μωϋσέως καὶ τῶν προφητῶν » Ὠριγ. αὐτ. Δ. §. 55.

(β) Lud. Chapell. Critic. defens. — Salmas. De Hellenistic. πρβλ. καὶ Hody l. c. L. III. P, ι. c. ι. p. 222.

§. ιϐ. Δεύτερον. Ἀπέδειξαν, λέγουσιν, ἄγνωστον τὴν ἑρμηνείαν *παρὰ πᾶσι σχεδόν (!)* τοῖς ἀρχαίοις ἐθνικοῖς σοφοῖς, καὶ *παρ' αὐτοῖς ἐκείνοις, ὅσοι περὶ τῶν Ἰουδαίων ὁλοκλήρους συνέταξαν πραγματείας!* Ἀλλὰ ποῦ τῆς οἰκουμένης εὗρον οἱ ἄνδρες τὰς *ὁλοκλήρους* ταύτας *πραγματείας;* καὶ ποίαν τούτων ἀνέγνωσαν ἀκέραιον; Δειξάτωσαν ἡμῖν τὰς τοιαύτας συγγραφὰς (οἷον τὴν Εὐπολέμου, καὶ Ἀρταπάνου, καὶ Πολυΐστορος), καὶ χρυσοῖ παρ' ἡμῖν ἐν τῇ τῶν γραμμάτων σταθήσονται πολιτείᾳ. Ἀλλ' αὐτοὶ, καθὼς φαίνεται, ἀρκοῦντα πρὸς ἀπόδειξιν τῆς ἑαυτῶν παραδοξολογίας ἐνόμισαν καὶ μόνα τὰ ὀνόματα τῶν ἀρχαίων ἐκείνων ἱστορικῶν, καί τινας αὐτῶν ὀλίγας περικοπὰς, ὅσας ὁ Ἰώσηπος καὶ οἱ Πατέρες ἐμπαρόδως ἐμνημόνευσαν· καὶ ταύτας, ὅπως ἀποδείξωσι πολλάκις τοὐναντίον, ἢ Ὅδιος ποιεῖ, παλαιὸν δηλονότι σύγγραμμα τὰς θείας Γραφὰς, καὶ παρ' αὐτοῖς τοῖς ἀρχαίοις ἐθνικοῖς λογίοις γνωστόν. Εἰ δὲ κἂν τοῖς ἀποσωθεῖσιν ὀλιγοστίχοις τούτοις χωρίοις ἐμφαίνονται καί τινα διάφωνα πρὸς τὴν Μωσαϊκὴν ἱστορίαν, ἤρκεσαν λοιπὸν αἱ πέντε λέξεις αὗται πρὸς κατανόησιν ὅλων τῶν μυριαρίθμων στίχων, ὅσους περιεῖχον ἐκεῖναι αἱ περὶ Ἰουδαίων πολύϐιϐλοι, ἴσως, καὶ παχύτομοι συγγραφαί; Τίς οἶδεν εἰς πόσας τῶν ἠφανισμένων ἐκείνων σελίδων κατεφαίνοντο λαμπρότατα τεκμήρια τῆς μελέτης τῶν Γραφῶν, ἐξ ὧν οἱ ἄνδρες ἐκεῖνοι ἠρύσαντο τὰ πραγματικώτερα τῆς ἱςορίας τῶν, ὧν συνέγραφον Ἰουδαϊκῶν! Τοιοῦτο τοῦ Πολυΐςορος δεῖγμα προὔκειτο σαφὲς πρὸ τῶν Ὁδίου ὀφθαλμῶν· ἀλλ' ὁ σοφὸς ἀνὴρ καὶ ἴδε τοῦτο, καὶ ἀντέγραψεν (ὡς φαίνεται), καμμύων τὰ βλέφαρα τοῦ νοῦ· οὐδ' ᾐσθάνθη παγίδα καθ' ἑαυτοῦ ἱστῶν, καὶ θήγων, καὶ προτείνων ὑπὲρ τῆς ἰδίας αὐτοῦ γνώμης ἐγχειρίδιον προδοτικόν· « Μωσὼ (λέγει) τὸν Μωσῆν ὠνόμασεν ὁ Πολυΐστωρ, μεταπλάσας εἰς νομοθέτριαν τὸν νομοθέτην τῶν Ἰουδαίων, ὡς μηδέποτε τὰ Μωσέως ἀνεγνωκώς. Ἀλλ' ἔπειτα (λέγει) ἀπέδωκεν ὀρθῶς τὸ ὄνομα τοῦ προφήτου ὁ Πολυΐστωρ, τἀληθέστερα μεταμαθών ». Βλέπεις λοιπὸν, Ὅδιε, πῶς ὁ πολυΐδρις οὗτος καὶ φερώνυμος συγγραφεὺς, ὅσα, καθὼς λέγεις, πρότερον ἔγραψεν (ὅπως δὲ καὶ ἔγραψε,

βλέπομεν ἐφεξῆς §. ιϛ. Ἄρθρ. Ε) ἄτοπα καὶ ἡμαρτημένα (α), ταῦτα πάλιν ἔπειτα διώρθωσε, τὰ βέβαια καὶ ἀληθῆ μεταμαθών; Μετέμαθε δὲ πόθεν; πάντως ἐξ αὐτῆς τῆς ἱστορίας τῶν Γραφῶν. Καὶ χάρις Ἰωσήπῳ καὶ Εὐσεβίῳ, οἵτινες μάλιστα διέσωσαν τὰς ὀρθὰς περὶ τῶν Ἰουδαίων ῥήσεις τοῦ Πολυΐστορος. Ἐκ δὲ τούτων ἀποδείκνυται τρανῶς οὐ πάμπαν ἀσφαλὴς, οὐδὲ σοφή τις μαντικὴ, τὸ χρησμοδοτεῖν καὶ ἀποφοιβάζειν ἐξ ὀλίγων τινων λέξεων ὅλον συγγραφέως τινος τὸ ἦθος, καὶ τὸ νόημα τῶν ἠφανισμένων αὐτοῦ πραγματειῶν, ὡς ἐμάντευσαν οἱ περὶ τὸν Ὅδιον. Ἀλλ᾽ ἔπρεπεν, ἴσως, ἵν᾽ ἐκεῖνο κἂν ἐνθυμηθῶσιν οἱ ἄνδρες, ὅτι λόγων συγγραφαὶ διαφέρουσι πολὺ παρὰ κάδους οἴνου, καὶ στάμνους μέλιτος, ἢ σάκκους σιτηρῶν καρπῶν, ἐξ ὧν ὀλίγον μέρος, ὡς δεῖγμα, δοκιμάζοντες, ἐξ αὐτοῦ γνωρίζομεν τὸ πᾶν.

§. ιγ. Τρίτον. Ἐν πᾶσι τοῖς ἀποσωθεῖσι χωρίοις τῶν ἀρχαίων ἐθνικῶν συγγραφέων, ὅσοι τῶν Ἰουδαίων ἐμνημόνευσαν, μεταξὺ τῶν παριστορημάτων, εὑρίσκονται καὶ πολλὰ γνήσια καὶ σύμφωνα πρὸς τὴν ἱερὰν ἱστορίαν, καὶ λεκτικῶς καὶ πραγματικῶς. Ταῦτα τοίνυν τὰ ὀρθὰ καὶ γνήσια καὶ ἀληθῆ πόθεν ἔμαθον οἱ μετὰ τὸν Φιλάδελφον ἐθνικοὶ συγγραφεῖς, εἴγε μήτε ἴδον, μήτε ἤκουσαν τὰς ἑλληνιζούσας ἱερὰς Γραφάς; — Παρ᾽ ἄλλων Ἑλλήνων διαφόρων ἱστορικῶν (εἶπεν Ὅδιος ἀνωτέρω σελ. 43) συνεπίλησεν ὁ Πολυΐστωρ τὴν περὶ τῶν Ἰουδαίων πραγματείαν, ἐν ᾗ περὶ Μωσέως διέλαβεν ὀρθότερα». — Καὶ διὰ τί τάχα παρ᾽ ἄλλων μᾶλλον, καὶ μὴ ἐκ τῆς ἀμέσου μελέτης αὐτῶν τῶν Γραφῶν; Πόθεν τοῦτο πληροφορηθεὶς ὁ κριτικὸς ἐδογμάτισεν ὡς πρᾶγμα βέβαιον; Ποίας ἀποδείξεις; τίνας ἔσχε μάρτυρας; Ἔπειτα καὶ ταῦτα δὴ τὰ ὀρθὰ καὶ ἀληθῆ, τὰ παρ᾽ ἄλλων (ὡς εἶπεν) *Ἑλλήνων ἱστορικῶν* ἠρανισμένα, παρὰ

---

(α) Καὶ ἄλλο παριστόρημα τοῦ Πολυΐστορος διέλαθε τὸν Ὅδιον, ὅπερ ἀσμένως αὐτῷ προσάγομεν ἐξευρόντες, τὸ ἐφεξῆς· «Ἰουδαῖοι [ὡς μὲν] Ἀλέξανδρος ὁ Πολυΐστωρ, ἀπὸ τῶν παίδων τῆς Σεμιράμιδος Ἰούδα καὶ Ἰδουμαίαν» (ἴσ. γρ. Ἰδουμαίας, θηλυκ. γενικὴν, ἢ, Ἰδουμαίου, ἀρσενικ.). Στέφ. Βυζάντ. λ. Ἰουδαία. σελ. 420. ἐκδ. Berkel.

τίνων ἐκεῖνοι πάλιν εἶχον ἀπανθίσαντες; καὶ πόθεν ἄλλοθεν, εἰ μὴ ἐξ αὐτῆς τῆς πηγῆς τῶν Γραφῶν ἐπληροφορήθησαν τὴν ἀκρίβειαν; Τί ποιεῖς ὦ κριτικέ; Ἕνα μόνον ἄνδρα, τὸν Πολυΐστορα, ἀμαθῆ τῶν Μωσαϊκῶν βιβλίων ἀποδεῖξαι σπουδάζων, σμῆνος ὅλον κεκίνηκας ἀρχαιοτέρων Ἑλλήνων συγγραφέων εἰδημόνων τῆς Γραφῆς! Καὶ τοῦτο κᾂν ἄκων, ἀλλ᾽ ὅμως ὀρθῶς ὡμολόγησας· διότι καὶ Ἰώσηπος εἶπεν, ὅτι « Καὶ συγγραφεῖς Ἕλληνες *οὐ παρέργως* (τῶν Ἰουδαίων) *ἐμνημονεύκασιν* », ἀλλ᾽ *ἐξ ἔργου* δηλαδή, καὶ μεμελετημένως, μετ᾽ ἀκριβείας ἱστορικῆς. — Ὁ δ᾽ αὐτὸς Ἰώσηπος εἶπε καὶ ὅτι, « Τούτων *οἱ πολλοὶ* »(οὐχὶ *πάντες*) « τῆς μὲν ἀληθείας τῶν ἐξ ἀρχῆς πραγμάτων διήμαρτον, *ὅτι μὴ ταῖς ἱεραῖς ἡμῶν βίβλοις ἐνέτυχον*, κοινῶς μέντοι περὶ τῆς ἀρχαιότητος ἅπαντες μεμαρτυρήκασι » κτλ. Εἶπε προσέτι καὶ ὅτι, Μόλων καὶ Λυσίμαχος καὶ ἄλλοι διέβαλον τοὺς νόμους καὶ τὸν νομοθέτην τῶν Ἰουδαίων, « *τὰ μὲν ὑπ᾽ ἀγνοίας*, τὸ πλεῖστον δὲ *κατὰ δυσμένειαν* ». Καὶ κατὰ ταῦτα λοιπὸν, εἴπερ οἱ περὶ τὸν Μόλωνα διέβαλον τὰ πλεῖστα *κατὰ δυσμένειαν*, ἐγνώριζον ἄρα ταῦτα δὴ *τὰ πλεῖστα* τῆς τῶν Γραφῶν ἀληθείας, ἣν ἀπέκρυπτον διαφθείροντες *ὑπὸ δυσμενείας*, (βλ. ἔμπροσθ. §. κδ)· οὐδ᾽ ἔπασχον ὁλοσχερῆ τῆς ἱερᾶς ἱστορίας ἄγνοιαν (ὡς Ὅδιος ἀνωτέρω ψευδῶς συνήγαγεν ἐκ τοῦ Ἰωσήπου). Καὶ πάλιν, « εἰ καὶ πολλοὶ τῶν συγγραφέων διήμαρτον τῆς ἀληθείας *τῶν ἀπ᾽ ἀρχῆς* (Ἰουδαϊκῶν) πραγμάτων » (ψευδῶς ἀναγράψαντες τοῦ γένους τὴν ἀρχὴν), ἀλλ᾽ ὅμως ἦσαν καὶ ἄλλοι πάλιν οἵτινες *οὐ παρέργως* αὐτῶν *ἐμνημονεύκασιν* », ὡς ἐντυχόντες δηλαδὴ ταῖς ἱεραῖς βίβλοις (ἢ πόθεν ἄλλοθεν;). Καὶ αὐτοὶ δὲ οἱ μὴ ἐντυχόντες, « *εἰ καὶ τῶν ἀπ᾽ ἀρχῆς πραγμάτων διήμαρτον* », ἀλλ᾽ ὅμως οὐ διήμαρτον καὶ περὶ τὴν ὅλην τῆς ἰουδαϊκῆς ἱστορίας σειρὰν (διότι τοῦτο φανερῶς ὁ Ἰώσηπος ἀποφάσκει, περιορίσας τὴν διαμαρτίαν *εἰς μόνην τὴν τῶν πραγμάτων ἀρχήν*). Ἔγραψαν δὲ καὶ πολλὰ σύμφωνα πρὸς τὴν ἱερὰν ἱστορίαν ἐξ ἄλλων ἀρυσάμενοι συγγραφέων, *ἐντετυχηκότων ταῖς ἱεραῖς βίβλοις*. Τόσον φαίνεται βέβαιον, ὅτι τῶν μάλιστα μετὰ τὴν ἑρμηνείαν τῆς Γραφῆς ἀκμασάντων ἐθνικῶν

συγγραφέων οἱ πλεῖστοι καὶ διασημότατοι ἐγνώριζον τὰ Μωσαϊκά, καὶ τ' ἄλλα τεύχη τῆς παλαιᾶς Διαθήκης, ὥστε καὶ αὐτὰ τὰ ψεύδη, ὅσα περὶ Ἰουδαίων ἄλλοι πάλιν ἐθνικοὶ παριστόρησαν, οὐδέν εἰσιν ἄλλο προδήλως, εἰ μὴ *παραγνώσματά* τινα καὶ *παρακούσματα* τῆς ἱερᾶς ἱστορίας, ἀναμεμιγμένα καὶ μετά τινων μυθολογιῶν, ἢ λήρων σοφιστικῶν. Αὐτίκα, διὰ *τοὺς ἀλφοὺς* τῆς λέπρας, ὑφ' ἧς ἐνόσουν συχνοὶ τῶν Ἰουδαίων (Λευϊτικ. ιγ), ἐνομίσθη καὶ Μωσῆς λεπρὸς καὶ *ἀλφώδης*. Ἐκ δὲ τούτου προσεπλάσθη καὶ ἡ *Ἄλφα* τοῦ προφήτου δῆθεν ἐπωνυμία! Ἀπὸ τῶν Αἰγυπτίων σοφιστῶν καὶ γοήτων *μάγων*, ἐνομίσθη *μάγος* καὶ ὁ θεοσδότοις τέρασι τὴν Αἴγυπτον μαστίξας Μωσῆς (Ἐξόδ. ζ. 11—12: η, θ, ι, κτλ.). Ἀπὸ τοῦ θαθανάτου τῶν πρωτοτόκων (δι' ὃν μάλιστα οἱ Αἰγύπτιοι κατεβιάζοντο σπουδῇ ἐκβαλεῖν τοὺς Ἰουδαίους ἐκ τῆς γῆς. Ἐξόδ. ιϐ. 29-33) ἐπλάσθη καὶ ἡ τὴν Αἴγυπτον καταλαβοῦσα πανώλεθρος λοιμική, *δι' ἣν οἱ Αἰγύπτιοι μετέστησαν τοὺς ἀλλοφύλους*. Ἐκ δὲ τοῦ τόπου τῆς *ὄνου σιαγόνος*, ὅπου ἀνέβλυσε τῷ διψῶντι Σαμψὼν ὕδατος πηγὴ, *ἡ ἐστὶν ἐν σιαγόνι* (Κριτ. ιε, βλ. ὄπισθ. σελ. 35) ἐπλάσθη ἡ παρ' *ἀγρίων ὄνων* ὑποδειχθεῖσα τοῖς διψῶσιν Ἰουδαίοις πηγή· ὅθεν καὶ αὐτοὶ ἐδυσφημίσθησαν *λάτρεις ὄνου κεφαλῆς* (ὡς ἐκ τῆς *σιαγόνος*). Καὶ (ἵνα τ' ἄλλα παραδράμωμεν), αὐτοὺς τοὺς Ἰουδαίους οἱ περὶ τὸν Τάκιτον ἱστόρησαν κατοίκους τῆς ἑλληνικῆς νήσου Κρήτης, παραπλανηθέντες ἀπ' ἄλλης Κρήτης (ἑϐρ. Keret. πληθ. Keretim), χώρας τῆς Παλαιστίνης, ἣν καὶ ταύτην *Κρήτην* ἐξηλλήνισαν οἱ Ο (α), καὶ Κρῆτας τὸ ἐθνικόν. Συνεμάχησε δὲ πρὸς τὸ παρανόημα καὶ ἡ παρὰ γράμμα ὁμοφωνία τοῦ *Ἰδαῖος* (ἐκ τῆς Ἴδης ὄρους τῆς Κρήτης), πρὸς τὸ *Ἰουδαῖος*. Εἰς δὲ πάλιν τὴν Λιβύην ἐξώρισαν ἐκ τῆς Κρήτης τοὺς Ἰουδαίους, παρακούσαντες, ἴσως, τὴν εἰς Λιβύην ἀναχώρησιν τῶν ὑπὸ τοῦ Ναυΐδου Ἰησοῦ καταδιωχθέντων Παλαιστινῶν, ὡς ἐμαρτύρησεν ἡ ἐν Νουμιδίᾳ τῆς Ἀφρι-

(α) Ἰεζεκ. κε, 16: Σοφον. ϐ, 6: πρϐλ. καὶ Θεοδώρ. ἑρμην. αὐτόθ. βλ. καὶ Bochart Chanaan I. 15: καὶ Huet. Dem. Evangel. Pr. IV. c. 14. T. I. p. 178. etc.

κῆς εὑρεθεῖσα ἐπιγραφὴ, « φοινικείοις γράμμασι γεγραμμένη » (α). Περὶ δὲ τῆς γελοίας τοῦ Κρόνου παρ' Ἰουδαίοις λατρείας, προείπομεν (σελ. 36).

§. ιδ. Τέταρτον. Ὁ λόγος αὐτὸς, δι' οὗ κρατύνουσιν οἱ περὶ τὸν Ὄδιον αἰτιολογοῦντες τὴν ἑαυτῶν δοξασίαν, ἄτοπος ἐξελέγχεται καὶ ψευδής. Τῶν περὶ τὴν ἔκδοσιν, ἢ σύνταξιν οἱουδήποτε συγγράμματος φιλοτιμουμένων τὸ κλέος ὀλίγον ὠφελεῖ. τὴν συγγραφὴν, ὅταν αὕτη στερῆται ἀξίας ἐσωτερικῆς, καὶ πραγματικῆς τιμῆς, ἥτις μόνη δύναται περίφημον ἀναδεῖξαι καὶ τὸ πόνημα, καὶ τὸν πατέρα, καὶ τὸν ἐκδότην. Αὐτὸς ὁ θεῖος Ὅμηρος

« Ἀπὸ τοῦ τιμὴν καὶ κλέος ἔσχε; πλὴν τοῦθ', ὅτι χρῆστ' ἐδίδαξε,
Τάξεις, ἀρετὰς, ὁπλίσεις ἀνδρῶν » (Ἀριστοφ. Βατραχ.).

Εἰ δὲ καὶ ὁ μέγας Ἀλέξανδρος μετὰ τοῦ λογιωτάτου τῶν φιλοσόφων Ἀριστοτέλους ἐξέδιδον ἀπὸ τοῦ Νάρθηκος μὴ τὴν Ὁμήρου ποίησιν, ἀλλά τινος Δάρητος Φρυγὸς φρυγίαν Ἰλιάδα, ἢ *Δημητρίου Σαγαλασσέως*, ἢ ἄλλου τοιούτου δύστηνον συγγραφὴν, οὐδὲν ἂν προσελάμβανεν ἡ βίβλος ὄφελος καὶ γάνωμα (πίστευσον, ὦ φίλ' Ὄδιε), οὐδ' ὁπωσονοῦν, οὔτ' ἐκ τῆς λαμπρότητος τοῦ βαρυτίμου νάρθηκος, οὔτ' ἀπὸ τοῦ ἀξιώματος τῶν περικλεεστάτων ἐκδοτῶν. Καὶ αὐτὸς ὁ Πτολεμαῖος ὁ Φιλάδελφος, μετ' αὐτοῦ Δημητρίου τοῦ Φαληρέως, εἰ, τυχὸν, ἐξέδιδον ἐπισήμως Αἰγυπτίου τινὸς Χνούη ποιάν τινα μετάφρασιν, εἰ δὲ θέλεις, καὶ Σωτάδου τινὸς εἰδύλλια, ἄζηλα καὶ ἀκαλλῆ, βραχὺν πάντως ἔμελλε χρόνον ἀνθήσειν ἡ φήμη τῶν ἐκδοθέντων, ἅμα τε φανέντων, καὶ σβεσθέντων, ὡς πομφόλυ-

(α) « Ἡμεῖς ἐσμὲν οἱ φυγόντες ἀπὸ προσώπου Ἰησοῦ τοῦ λῃστοῦ, υἱοῦ Ναυῆ». Προκόπ. Οὐανδαλ. Β. 7: Σουΐδ. λ. Χαναάν: Εὐάγρ., καὶ Νικηφόρ. Ἐκ. ἱστ.: Θεοφάν. Χρον. κτλ. πρβλ. Selden. proleg. de Dijs Syris c. 2: Bochart. praef. ad Chanaan. p. 520: Hotting. Hist. Op. p. 46. etc. [Ὁ δὲ, κατὰ τὸν Φαβρίκιον, (Bib. Gr. T. 1. p. 83) ὀξυνούστατος (accutissimus!) Βανδάλης. (epist. ad Almeloven.) φιλομυθεῖ καὶ ὧδε συνήθως, εἰς τοὺς μύθους ἀναφέρων καὶ ταύτην τὴν ἐπιγραφήν]. Ὅτι δὲ συνέχεον εὐκόλως οἱ ἐθνικοὶ ἱστορικοὶ τοὺς ἀρχαίους κατοίκους τῆς Παλαιστίνης (τοὺς Φυλισταίους) πρὸς τοὺς ἐπελθόντας Ἰουδαίους, ὡς καὶ τοὺς Παλαιστινοὺς καὶ τοὺς νησιώτας Κρῆτας, φανερόν.

γες. Ἔπειτα, δῶμεν (ὡς λέγεις) ὅτι μέγα κλέος ὤφειλε περιβαλεῖν τὴν τῶν Γραφῶν ἑρμηνείαν ἡ περὶ ταύτην βασιλικὴ καὶ φιλόσοφος ἐπιμέλεια. Ἀλλὰ τὸ κλέος τοῦτο τῶν ἐκδοτῶν μετὰ χρόνον ὑποχωροῦν εἰς τὴν κυρίαν τοῦ συγγράμματος μεγαλωνυμίαν (ὡς συμβαίνει περὶ τὰ τοιαῦτα), ἀπεσιωπᾶτο συνήθως καὶ παρ᾽ αὐτοῖς τοῖς πολλοῖς τῶν Ἰουδαίων, πολλῷ γε μᾶλλον παρὰ τοῖς ἐθνικοῖς σοφοῖς, οἵτινες ἁπλῶς ἐθεώρουν αὐτὴν καὶ μόνην τὴν τῶν Γραφῶν ἑρμηνείαν (ὁσάκις ἐκ φιλομαθείας ἐνέκυπτον εἰς αὐτήν). Ὅπως δὲ, καὶ ποίων τινων ἐπιμεληθέντων, ἡρμηνεύθησαν τὰ βιβλία, ὀλίγον ἐφρόντιζον μαθεῖν οἱ μεταγενέστεροι, καὶ οὗτοι μάλιστα τυγχάνοντες ἐκ τῶν ἐθνικῶν, οἷος ὁ Διόδωρος, καὶ Στράβων, καὶ εἴτις ἄλλος τῶν προμνημονευθέντων. Καὶ ἀπέβη λοιπὸν ἡ ἑρμηνεία τῶν Ο, διὰ χρόνου παρομοία τοῦ Φάρου τῆς Ἀλεξανδρείας, ὃν αὐτὸς πάλιν ᾠκοδόμησεν ὁ Φιλάδελφος (βιβλ. Α. κεφ. β. § δ)· διότι καὶ κατ᾽ ἐκεῖνον τὸν πύργον ἡ τὸν κτίστην βασιλέα δηλοῦσα ἐπιγραφὴ συνεξέπεσε ταχέως μετὰ τοῦ τιτανώδους χρίσματος, ἐφ᾽ οὗ ἦν ἐπιγεγραμμένη· διέμεινε δὲ πάγιον τὸ ὄνομα τοῦ ἀρχιτέκτονος, ἔνδοθεν ἐπὶ τῶν λίθων κεχαραγμένον. Ἔπειτα καὶ αὐτοὶ οἱ Ἕλληνες μήπως ἀνεγίνωσκον τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν χάριν τοῦ μεγάλου Λυκούργου, καὶ τοῦ Πεισιστράτου, ὧν ὁ μὲν ἐποίησε γνωρίμην πᾶσι τοῖς Ἕλλησι τὴν Ὁμήρου ποίησιν μετακομίσας ἐξ Ἰωνίας, ὁ δὲ συνήρμοσε τὰ ἔπη συντάξας εἰς ῥαψῳδίας (α); ἢ μήπως καὶ οἱ ῥαψῳδοῦντες ὕστερον τὰ ἔπη, διεμνημόνευον ἀείποτε καὶ τὰς ὀνομασίας τῶν ἐκδοτῶν; Τελευταῖον, καὶ εἴγε παρ᾽ αὐτοῖς τοῖς ἐθνικοῖς ἐφοίτα τὸ κλέος τῶν πεφροντικότων τὴν ἑρμηνείαν, ἠδύναντο καὶ τούτου χάριν (ὡς θέλει Ὅδιος) ἀναγινώσκειν τὰς Γραφὰς, καὶ πάλιν οὐχ ἧττον τῶν ἐν αὐταῖς περιεχομένων ὑπερορᾷν, διὰ τὴν πρὸς Ἰουδαίους δυσμένειαν (ἣν καὶ Ὅδιος ὡμολόγησεν), προτιμῶντες τὰς περὶ τῶν Ἰουδαϊκῶν πραγμάτων διεφθαρμένας κρίσεις ἄλλων πάλιν ἐθνικῶν·

---

(α) Αἰλιαν. Π. ἱστ. ιγ. 14. πρβλ. Πλουτάρχ. Λυκ. §. δ. καὶ Παυσαν. ζ. 26, κτλ.

ἢ οὐχ οὕτω καὶ αὐτοὶ οἱ κριτικοὶ, δι' ἄλλας πάλιν ἐμπαθεῖς προλήψεις καὶ φαντασίας, περιφρονοῦσι καὶ τὴν ἱστορίαν καὶ τὴν ἑρμηνείαν τῶν Ο, καί τοι παμπόλλων ἄλλων σοφῶν τὴν ἀρχαίαν αὐτῆς εὔκλειαν καθομολογούντων;

§. ιε. Πέμπτον καὶ τελευταῖον. Καὶ αὐτὰ τὰ διασημότατα, καὶ διά τε τὴν πραγματικὴν αὐτῶν ἀξίαν, καὶ ὡς ἐκ τῶν ἐκδοτῶν, ἢ συγγραφέων, περιβόητα συγγράμματα παραμελοῦνται πολλάκις ἐκ περιστάσεων. Τί παλαιότερον, ἢ πιστότερον, ἢ ἁγιώτερον τῶν θείων Γραφῶν παρὰ τοῖς Ἰουδαίοις αὐτοῖς; Καὶ ὅμως ὑπῆρξε χρόνος, καθ' ὃν τὸ βιβλίον τοῦ νόμου (αὐτὸ τὸ τοῦ Μωσέως ἀρχέτυπον) διά τε τὴν ἀσέβειαν τῶν βασιλέων, καὶ τὴν βέβηλον τῶν ἱερέων ἀμέλειαν, καὶ τὴν παρεπομένην τοῦ λαοῦ διαφθορὰν, οὕτως ἄγνωστον ἀπέβη παρ' αὐτοῖς καὶ ἐπιλελησμένον, ὥστε, ὁπότε τοῦτ' ἀνεῦρεν ὁ Χελκίας, καὶ ἤκουσεν ὁ τότε βασιλεύων Ἰωσίας «ἀναγινωσκομένους τοὺς λόγους τοῦ νόμου τούτου», διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ. — Ὅτι μεγάλη ἡ ὀργὴ κυρίου ἐκκεκαυμένη ἦν ἐν αὐτοῖς» (α). Ἀλλὰ τὴν τοσαύτην περὶ τὸν θεῖον νόμον ἄγνοιαν καὶ λήθην τῶν Ἰουδαίων τίς ποτ' ἂν ἐκλάβοι ὡς ἀπόδειξιν, ὅτι δῆθεν ἡ Πεντάτευχος ὑπῆρχεν ἐξ ἀρχῆς ἄσημον βιβλίον, καὶ ἀκλεὲς, μήτ' ἐκ θείας ἐπιπνοίας καὶ διαταγῆς, μήτε χειρὶ Μωσέως συγγεγραμμένον; (β). Καὶ ταῦτα μὲν καθολικώτερον πρὸς τὸ θεώρημα τῶν κριτικῶν.

§. ιϛ. Ἀλλ' ἐξετάσωμεν καὶ κατ' ἰδίαν τὰς μαρτυρίας, ἀφ' ὧν συνάγουσιν ἄσημον οὖσαν τὴν ἑρμηνείαν, καὶ παντελῶς ἄγνωστον παρὰ τοῖς ἀρχαίοις ἐθνικοῖς.

Α) Διόδωρος ὁ Σικελιώτης ἤκμασεν ἥμισυν αἰῶνα περίπου πρὸ τῆς σωτηρίου ἐποχῆς (τῷ 70—40 π. Χ.). Οὗτος (λέγουσιν) ἱστορήσας «*βασιλέα μηδέποτε* (γίνεσθαι) *τῶν Ἰουδαίων*» κτλ.

---

(α) Δ. Βασιλ. κβ. 8—13. Β. Παραλ. λδ. 14. κτλ. Ἰωσηπ. Ἀρχ. Ι. δ. §. 2.

(β) Οὕτω δή ποτε καὶ παρ' Ἕλλησιν ὑπῆρξαν κατασεσιγασμένα ὑπὸ τῆς τῶν πολλῶν ἀφιλοκαλίας καὶ αὐτοῦ τοῦ μεγαλοφωνοτάτου Πινδάρου τὰ πονήματα! (βλ. Ἀθήν. α, 3: καὶ Schweighaeus. Animadv. in Athen. vol. 1. p. 34).

ἀποδείκνυται τρανῶς *μήτε τὰς Βασιλείας*, *μήτ᾽ ἄλλο τεῦχος τῆς* Γραφῆς ἀναγνούς ». Ἀλλ᾽ οὕτως ἐξηγοῦντες οἱ ἄνδρες τὴν Διοδώρου χρῆσιν, παριστῶσιν αὐτὸν ἱστορικῶν ἁπάντων ἠλιθιώτατον, ὁποῖον οὐδ᾽ ἂν αὐτοὶ κατεδέξαντο πώποτε πρὸς μαρτυρίαν περὶ οὐδενὸς πράγματος. Ἄνθρωπος, ὅστις *ἠγνόει* τὰ κατὰ τοὺς ἰδίους αὐτοῦ χρόνους Ἰουδαϊκὰ πράγματα, ὧν αὐτήκοος ἐγένετο καὶ αὐτόπτης, πολὺ γ᾽ ἂν μᾶλλον ἔμενεν ἀναίσθητος πρὸς τὴν ἀρχαίαν Ἰουδαϊκὴν ἱστορίαν, εἰ καὶ μυριάκις ἀνεγίνωσκεν ὅλα τὰ τεύχη τῶν Γραφῶν. Ὁ Διόδωρος ἤκμαζεν ἐπὶ Πτολεμαίου τοῦ Αὐλητοῦ, καὶ τὰ πλεῖστα τῆς Ἀσίας περιηγήθη· κἂν μὴ (τί δ᾽ οὐχί;) καὶ μέχρι Παλαιστίνης ἀπῆλθεν, εἰς τὴν Αἴγυπτον ὅμως ἦλθε, καὶ διέτριψεν ἐπὶ πολὺ, καὶ πάντως ἤκουσεν, ὅτι ἦσαν κατ᾽ αὐτὸν βασιλεῖς τῶν Ἰουδαίων. Ἐπ᾽ αὐτοῦ σχεδὸν, ἢ ὀλίγῳ πρὸ αὐτοῦ ἐβασίλευεν Ἀλεξάνδρα, ἡ σύζυγος Ἀλεξάνδρου τοῦ βασιλέως τῆς Ἰουδαίας (ὃν ἐνίκησεν ὁ τοῦ Αὐλητοῦ πατὴρ, ὁ Λάθυρος ἐπιστρατεύσας), καὶ μετ᾽ ἐκείνην πάλιν Ὑρκανὸς, Ἀντίγονος, Ἡρώδης αὐτός (α). Ἐγίνωσκε δὲ καὶ τὰ τῶν Ῥωμαίων ἀκριβῶς ὁ Διόδωρος, οἵτινες τότε τοὺς Ἰουδαίων βασιλεῖς, ἢ ἐχθροὺς καὶ πολεμίους, ἢ πολιορκουμένους εἶχον, ἢ ὁμοσπόνδους καὶ φόρου ὑποτελεῖς. Ἀλλὰ καὶ τὴν ἐπιγραφὴν ἴσως ἐκείνην ἀνέγνω τὴν « *Ἀλεξάνδρου τοῦ τῶν Ἰουδαίων βασιλέως* » ἥτις ἐπῆν ἐπὶ τῆς χρυσῆς ἀμπέλου, τῆς ἀνακειμένης ἐν τῷ κατὰ Ῥώμην ἱερῷ τοῦ Καπιτωλίου Διὸς (ἀπέστειλαν δὲ τὴν ἄμπελον τῷ Πομπηΐῳ δῶρον οἱ Ἰουδαῖοι περὶ τὸ 62 π. Χ.) (β). Πῶς λοιπὸν ἔγραψεν ὁ Διόδωρος *μηδέποτε γενέσθαι βασιλέα τῶν Ἰουδαίων*; ἆρά γε τοσοῦτον μωρός τις καὶ βλέννος ὑπῆρχεν, ἢ ἀναιδὴς, τοιαῦτα ψευδόμενος ὁ ἱστορικός; Ἀλλ᾽ ἀπέστω τοῦ ἀνδρὸς ἡ συκοφαντία, εἰς ἣν φέροντες αὐτὸν ἐνέπλεξαν οἱ περὶ τὸν Ὅδιον σοφοί. Ὁ Διό-

---

(α) Ἰώσηπ. Ἀρχ. ιγ. ιβ. §. 1: ιδ, γ, §. 5. καὶ Ἰουδ. πολέμ. α, γ. καὶ δ. ιγ. κτλ. πρβλ. Demagistr. Apolog. Diss. v. p. 574.

(β) Ταύτην καὶ Στράβων ἱστόρησε, παρ᾽ Ἰωσήπ. Ἀρχ. ιδ, γ. §. 1. καὶ σημ. Haverc.

δωρος ἐν τῇ σωζομένῃ τοῦ Μ, βιβλίου Ἐκλογῇ ἱστορῶν τὰ περὶ τοῦ Μωσέως, γράφει τὰ ἐφεξῆς. « Ἐπιλέξας δὲ τῶν ἀνδρῶν τοὺς χαριεστάτους, καὶ μάλιστα δυνησομένους τοῦ συμπαρόντος ἔθνους προΐστασθαι, τούτους ἱερεῖς ἀπέδειξε, —καὶ δικαστὰς τῶν μεγίστων κρίσεων· καὶ τὴν τῶν νόμων καὶ ἐθῶν φυλακὴν τούτοις ἐπέτρεψε· διὸ καὶ βασιλέα μὲν μηδέποτε τῶν Ἰουδαίων [γενέσθαι φασὶ] (α)· τὴν δὲ τοῦ πλήθους προστασίαν δίδοσθαι διὰ παντὸς τῷ δοκοῦντι τῶν ἱερέων φρονήσει καὶ ἀρετῇ προέχειν· τοῦτον προσαγορεύουσιν ἀρχιερέα, καὶ νομίζουσιν αὐτὸν ἄγγελον γίνεσθαι τῶν τοῦ Θεοῦ προσταγμάτων » κτλ. Ταῦτα δὲ λέγων ὁ Διόδωρος, ἐννοεῖ σαφῶς τὴν ὑπὸ Μωσέως (περὶ οὗ καὶ τὸν λόγον ποιεῖται) διαταχθεῖσαν ἀρχαίαν τῆς Ἰουδαϊκῆς πολιτείας κατάστασιν (ἣν θεοκρατείαν ὠνόμασεν ὁ Ἰώσηπος), πρὶν ἔτι βασιλευθῶσιν ὑπὸ Σαούλ· οἱ δὲ περὶ τὸν Ὅδιον ἐκ τούτων συμπεραίνουσιν, ὅτι ὁ *Ἰώσηπος οὐκ ἀνέγνω τὰς Βασιλείας* ! κτλ. Ὅτι δὲ καὶ πολλὰ σύμφωνα πρὸς τὴν Πεντάτευχον ἔγραψεν ὁ ἱστορικὸς (καὶ αὐτὸ τὸ πρὸς τῷ τέλει τῶν νόμων, ὅτι « *Μωσῆς ἀκούσας τοῦ Θεοῦ τάδε λέγει* ») (β), περὶ τούτων οὐδένα λόγον οἱ ἄνδρες ποιοῦνται. Εἰ δὲ καὶ ἐν αὐτοῖς τού-

---

(α) Τὸ « γενέσθαι φασὶ » λείπουσιν ἐκ τῆς παρὰ τῷ Φωτίῳ ἀποσωθείσης Διοδωρείου ταύτης ἐκλογῆς, καὶ τὰς δύω ταύτας λέξεις προσέθηκεν ὁ Rhodoman, θεραπεύων τὴν ἔλλειψιν· ἀπεδέξατο δὲ καὶ ὁ σοφὸς Wesseling (Διόδωρ. τόμ. β. σελ. 543). Ἀλλ' ἀντὶ φασὶ δοκεῖ μοι γραπτέον φησὶν (ὁ Διόδωρος δηλαδὴ — ὡς ἐξ ἑαυτοῦ τοῦτο λέγοντος τοῦ Φωτίου)· καὶ μαρτυρεῖ πάλιν ἄλλη φράσις ἐπὶ τῆς αὐτῆς Ἐκλογῆς μετὰ μικρὸν παρακολουθοῦσα, ἡ ἐφεξῆς. « Τοῦτον δὲ (τὸν ἀρχιερέα) — φησὶν ἐκφέρειν τὰ παραγγελλόμενα » κτλ. Ἴσως δὲ καὶ οὐδόλως γραπτέον ἐπὶ τῆς ἐλλείψεως, οὔτε φασὶν, οὔτε φησὶν, ἀλλὰ μόνον τὸ γενέσθαι. Τοῦτο δὲ (καὶ τὰ ἐφεξῆς δίδοσθαι) ἀποδοτέον εἰς τὸ σύνεγγυς ἐπέτρεψεν (ὁ Μωσῆς).

(β) Τὸ αὐτὸ καὶ « Ἐδέξατο ἀπὸ τῶν λόγων αὐτοῦ νόμον, ὃν ἐνετείλατο ἡμῖν Μωϋσῆς » Δευτερ. λγ. 3. πρβλ. καὶ Δευτ. κθ. 1. « Οὗτοι οἱ λόγοι τῆς διαθήκης, οὓς ἐνετείλατο Κύριος Μωσῇ στῆσαι τοῖς υἱοῖς Ἰσραὴλ » κτλ. Ἐκ τούτου τοῦ χωρίου τοῦ Διοδώρου ἀπέδειξεν εὐφυῶς ὁ Zornius (Proleg. in Hecat. Abder. Fragm. p. 37.), ὅτι ἀνέκαθεν παρὰ τοῖς ἀρχαίοις ὁ θεῖος Μωσῆς ἐπιστεύετο συγγραφεὺς τῆς ἱερᾶς Πεντατεύχου (ὅπερ ἱκανοὶ τῶν νεωτέρων καινοτομιστῶν ἠρνήσαντο. « Δείλαιοι τοῦ νοῦ » !). Ὅσα δὲ λέγει περὶ τῶν ἱερέων ὁ Διόδωρος, καὶ περὶ τοῦ ἀρχιερέως (τὰ

τοις ὁ Διόδωρος ἀναμίγνυσι πρὸς ταῖς ἀληθείαις καί τινας πλάνας (οἷον τὸ, ὅτι ἡ ἀρχιερωσύνη δίδοται οὐ κατὰ γένος, ἀλλὰ « τῷ δοκοῦντι τῶν ἱερέων *προέχειν* » κτλ.), τί ἄλλο φαίνεται καὶ ἐν τούτοις ὁ Σικελιώτης ἱστορικὸς, εἰ μὴ εἷς ἐξ ἐκείνων, περὶ ὧν εἶπεν ὁ Ἰώσηπος, ὅτι « *οὐκ ἐνῆν αὐτοῖς μετὰ πάσης ἀκριβείας τοῖς ἱεροῖς γράμμασι παρακολουθῆσαι;* ». Ἄνθρωπος ἐθνικὸς, καὶ πρὸς μὲν τὰ τῶν Αἰγυπτίων ἐκπεπληγμένος, τὰ δὲ τῶν Ἰουδαίων ὀλιγωρῶν, καὶ μεταγράφων ἀταλαιπώρως τὰς δόξας τῶν προτέρων εἰδωλοθρήσκων ἱστορικῶν (ὡς ἐποίουν καὶ ἄλλοι), συνανέφυρε μετὰ τῶν ἀληθειῶν τῆς Μωσαϊκῆς ἱστορίας καὶ πολλὰς γραολογίας ἐθνικάς. Καὶ ἴσως ἂν ἐβλέπομεν λαμπρότερα τεκμήρια τῆς περὶ τὴν ἱερὰν ἱστορίαν οἱασδήποτε μελέτης τοῦ Διοδώρου, εἴπερ ἐσῴζοντο καὶ καθ᾿ ἡμᾶς ὁλόκληρα κἀκεῖνα τούτου τὰ βιβλία, ὧν ἔχομεν ἤδη μόνας τὰς ἐκλογάς. Πλὴν ἀλλὰ καὶ ἐξ αὐτῶν αὐτοῦ τῶν παριστορημάτων φαίνεταί πως ὁ ἀνὴρ οἷον αἰδούμενος, δι' ὅσας ψευδολογίας ἔγραψε· διότι ταύτας εἰς τοὺς προγενεστέρους ἱστορικοὺς ἀποῤῥίπτει, διαφεύγων αὐτὸς τὸν ἐξ ἧς ἐγνώριζεν ἱερᾶς ἱστορίας παρεπόμενον ἔλεγχον. Καὶ τοῦτο παρετήρησεν ὁ κριτικώτατος Φώτιος. « Ταῦτα » (λέγει εἰς τὴν Ἐκλογὴν τοῦ ΛΔ, βιβλίου). « Ταῦτα Διόδωρος τῶν Μωσαϊκῶν ἐθῶν καὶ νομίμων, ἀλλὰ καὶ τοῦ τῶν Ἱεροσολύμων κτίστου καταψευσάμενος, — καὶ πρὸς τὸν ἔλεγχον τοῦ ψεύδους ὥσπερ ἑαυτῷ τὸ μὴ αὐτὸς ἁλῶναι διοικονομούμενος, ἑτέροις περιτίθησι προσώποις τὴν περὶ τῶν διεψευσμένων ἀφήγησιν, τὴν Ἀντιόχου φιλίαν τούτοις προσεπισυνάπτων » (α). Καὶ πάλιν (ἐν τῇ Ἐκλογῇ τοῦ Μ. βιβλίου). « Οὕτω ψευδολογῶν τὰ πλεῖστα, καὶ διερχόμενος, πρὸς τοὺς ἐλέγχους πάλιν ὧν κατεψεύσατο τῆς ἀληθείας ἀναχώρησιν ἑαυτῷ μεθοδεύό-

---

πλεῖστα), ταὐτὰ σχεδὸν ἔγραψεν ἐκ τῆς Γραφῆς καὶ Ἰώσηπος (κ. Ἀπίων. β. 21. Ἰουδ. πολ. δ. 5, 2), καὶ Φίλων (π. Μοναρχ. β. σελ. 828). πρβλ. Wesseling. not. εἰς Διόδωρ. ἔνθ. ἀνωτέρ. καὶ Selden. de Success. Pontif. Hebr. L. 1. c. 13.

(α) Φώτ. ἀνάγν. σμδ. πρβλ. καὶ τὴν ἡμετέραν ὑποσημείωσιν ἐν τοῖς προηγηθεῖσι §. ζ. ἄρθρ. α. σελ. 32.

μενος, εἰς ἕτερον καὶ νῦν ἀναφέρει τῶν εἰρημένων τὴν παριστορίαν· ἐπάγει γάρ· « περὶ μὲν τῶν Ἰουδαίων Ἑκαταῖος ὁ *Μιλήσιος* ταῦτα λέγει » (α). Ὥστε, καὶ κατὰ τὴν κρίσιν τοῦ σοφωτάτου Φωτίου, ἐγνώριζεν ὁ Διόδωρος ὁπωσδήποτε τὴν ἱστορικὴν ἀλήθειαν ἐκ τῶν ἱερῶν Γραφῶν· ἢ πόθεν ἄλλοθεν φοβούμενος τὸν ἔλεγχον,

---

(α) Φώτ. αὐτόθ. — Τὸ δὲ Μιλήσιος εἴτε τῶν ἀντιγραφέων, εἴτ' αὐτοῦ Φωτίου (πλανηθέντος κατὰ τὴν ἀντιγραφὴν), εἴτε καὶ αὐτοῦ τοῦ Διοδώρου μνημονικὸν σφάλμα κρίναντες οἱ πλεῖστοι τῶν κριτικῶν, τρέπουσιν εἰς τὸ Ἀβδηρίτης (οὐ γὰρ Μιλήσιος ἦν, ἀλλ' Ἀβδηρίτης ὁ Ἑκαταῖος, ὅστις ἔγραψε περὶ Ἰουδαίων). Βλ. Wesseling. not. εἰς Διόδωρ. τόμ. β. σελ. 544. — Ἓν μόνον οὐ διέλυσαν οἱ κριτικοί· πῶς Ἑκαταῖος ὁ Ἀβδηρίτης, ὁ τοσαύτας ἀληθείας ἀλλαχοῦ περὶ τῶν Ἰουδαίων ἱστορήσας, καὶ τούτοις οὕτως εὔνους καὶ γνώριμος γεγονὼς (Ἰώσηπ. κ. Ἀπίων. α, 22), ὥστε καὶ παρὰ τοῦ Ἑρεννίου διαβληθῆναι, ὡς ὑπὸ Ἰουδαίων διεφθαρμένος. βλ. ὄπισθ. βιβλ. Α. κεφ. ιδ. §. 1.), ἔπειτα περὶ τούτων ἔγραψε (παρὰ τῷ Διοδώρῳ) τοσοῦτον ἄτοπα, τάτε ἄλλα, καὶ ὅτι « ἐπὶ τῆς Περσῶν ἡγεμονίας, καὶ τῶν ταύτην καταλυσάντων Μακεδόνων, πολλὰ τῶν πατρίων τοῖς Ἰουδαίοις νομίμων ἐκινήθη » (αὐτόθ.)· ἐν ᾧ παρ' Ἰωσήπῳ (κ. Ἀπίων. α, 22) ὁ αὐτὸς Ἑκαταῖος ἱστόρησε τἀνάπαλιν, ὅτι « καὶ προπηλακιζόμενοι πολλάκις ὑπὸ τῶν περιοικῶν βασιλέων καὶ σατραπῶν (οἱ Ἰουδαῖοι) οὐκ ἀρνοῦνται τὰ πατρῷα » κτλ. Ὁ Zornius (Proleg. ad Hecat. Abder. Fragm.) Μιλήσιον (ὡς γράφεται, θέλει τὸν παρὰ Φωτίῳ τοῦτον Ἑκαταῖον (διάφορον καὶ τοῦ Ἀβδηρίτου, καὶ τοῦ παλαιοῦ δὲ, τοῦ ἐπὶ Κύρου, Μιλησίου Ἑκαταίου, νεώτερον), καὶ τούτου νομίζει τὰ κατὰ τὴν Διοδώρου Μ. ἐκλογήν. Ἄτοπον εὗρε τὴν γνώμην τοῦ Ζορνίου ὁ κλεινὸς Βεσσελίγγιος (ὡς παρ' οὐδενὶ μνημονευομένου τοῦ τοιούτου νεωτέρου Μιλησίου Ἑκαταίου)· ἀλλ' αὐτὸς ἐξέπεσεν εἰς ἄλλην ἀτοπίαν. Δυσπιστεῖ, ὅτι τὸν Ἀβδηρίτην Ἑκαταῖον ἐκάλεσε μάρτυρα ὁ Διόδωρος· ἀποδίδωσι δὲ τὴν πλάνην ταύτην εἰς τὸν Φώτιον (Wesseling. ibid.)· Δηλονότι, θέλει ὁ Βεσσελίγγιος, ὅτι αὐτὸς οἴκοθεν ὁ Φώτιος ἐπεφόρτισεν εἰς τὸν Διόδωρον τὸ « ἐπάγει γὰρ » κτλ. (βλ. ἀνωτέρω)· αὐτὸς δὲ ὁ Διόδωρος οὐδόλως ἐμνημόνευσε τὸν Ἑκαταῖον! Καὶ λοιπὸν, κατὰ τὸν σοφὸν ἄνδρα, ὁ Φώτιος φαίνεταί πως διαφθείρων τὰ τοῦ Διοδώρου, παρεμβύων καὶ παρεμποιῶν, ἢ γοῦν ἄλλ' ἀντ' ἄλλων φανταζόμενος, δι' ἠλίβατον ἀκρισίαν! Τοιαῦτα περὶ τοῦ Φωτίου ὁ Βαταυὸς κριτικός! καὶ τοῦτο, διότι αὐτὸς οὐκ ἴσχυσεν ἄλλως διαλλάξαι τὰς παρὰ τῷ Διοδώρῳ πρὸς τὰς παρ' Ἰωσήπῳ γνώμας τοῦ Ἑκαταίου τοῦ Ἀβδηρίου (ὡς διώρθωσε καὶ αὐτός). Ὁ δὲ σοφὸς Ὑέτιος ἐπαμφοτερίζει· ζητεῖ παρὰ τοῦ Διοδώρου ἢ εἰλικρίνειαν, ἢ ἀκρίβειαν (vel diligentiam, vel candorem· καθὸ δηλονότι, ἢ πεπλανημένως ἐξ ἀμελείας, ἢ φιλοψευδῶς γράψαντος τὸν Μιλήσιον ἀντὶ τοῦ Ἀβδηρίτου). Ὑποπτεύει δὲ καὶ μήπως ὁ Φώτιος, εὑρὼν τὸ Ἑκαταῖος χωρὶς ἐπιθέτου παρὰ τῷ Διοδώρῳ, προσέθηκε καὶ τὸ Μιλήσιος (ὡς εἰδὼς ὁ Πατριάρχης τὸν Διόδωρον μεταγράψαντα πολλὰ ἐκ τοῦ

ἐμεθοδεύετο ἑαυτῷ ἀναχώρησιν, ἀποῤῥίπτων τὴν παριστορίαν εἰς ἄλλους; Ἀλλ' ἱκανοῦσι τὰ περὶ τούτου.

Β) Τοιαύτας τινὰς παρὰ τοῖς ἐθνικοῖς κεκρατηκυίας περὶ τῶν Ἰουδαίων παριστορίας καὶ Στράβων ἐπρέσβευσε, περιφρονήσας ὡς δεισιδαίμονα τὴν ἑβραϊκὴν νομοθεσίαν, ἐν οἷς διέλαβε περὶ Μωϋσέως. Καί τοι ἄλλως πολὺ τοῦ Διοδώρου σωφρονέστερος φαίνεται ὁ Γεωγράφος, ἀτενέστερον ἐπιβαλὼν ὄμμα εἰς τὴν Ἰουδαϊκὴν ἱστορίαν. Τὸν Μωϋσῆν ἐπαινεῖ, καὶ τοὺς διαδόχους ὡς *δικαιοπραγοῦντας, καὶ ἀληθῶς θεοσεβεῖς* (καθὼς προείπομεν, βιβλ. Α. κεφ. ιθ. §. ζ). Γνωρίζων δὲ πάντως καὶ τὴν ἐπ' ὄρους Σινᾶ θεόσδοτον νομοθεσίαν, παραβάλλει τὸν Θεόπτην πρὸς τὸν Μίνωα, τὸν « *Διὸς μεγάλου ὀαριστὴν* » (βλ. βιβλ. Α. κεφ. κ. §. ια). Καὶ πάλιν, οὔτε τοὺς Ἰουδαίους εἶπεν ἐξεληλαμένους ἐκ τῆς Αἰγύπτου, ὡς ἀλφοὺς καὶ λώβην παθόντας, οὔτε τὸν Μωσῆν ῥητῶς ὀνομάζει κτίστην τοῦ ναοῦ καὶ τῶν Ἱεροσολύμων, λέγει δὲ μόνον· ὅτι « Μωσῆς — ἔπεισεν εὐγνώμονας ἄνδρας οὐκ ὀλίγους, καὶ ἀπήγαγεν (ἐκ τῆς Αἰγύπτου) εἰς τὸν τόπον τοῦτον, « *ὅπου νῦν ἐστι τὸ ἐν Ἱεροσολύμοις κτίσμα* » κτλ. ὥστε καὶ ὁ Στράβων φαίνεται πως ἀποτροπιαζόμενος τὴν ἀναισχυντίαν τῶν παρὰ τοῖς ἐθνικοῖς κατὰ τῆς Ἑβραϊκῆς ἱστορίας πεπλασμένων ψευδολογιῶν. Πλὴν ἀλλ' ἐν τούτοις ἀστεῖόν τι πάσχουσιν οἱ περὶ τὸν Ὄδιον. Ἐπειδὴ διέτριψεν ὁ Στράβων ἐν Ἀλεξανδρείᾳ, καὶ πάντως τὴν ἐν αὐτῇ βιβλιοθήκην ἱστόρησεν, ἀπαιτοῦσι παρ' αὐτοῦ γνῶσιν εὐκρινεςάτην, οὐχ οὕτω τῶν ἄλλων τῶν ἐκεῖ τεθησαυρισμένων μυριαρίθμων συγγραμμάτων, ὅσῳ τῶν ἑβραϊκῶν Γραφῶν, ὅπως ἂν αὗται φανῶσιν ἀληθῶς ἐπιμελείᾳ τοῦ Πτολεμαίου καὶ τοῦ Φαληρέως ἡρμηνευμέναι! ὡσανεὶ ὁ Γεωγράφος ἔγραφε κατάλογον τῶν ἐπισημοτάτων βιβλίων τῆς Ἀλεξανδρινῆς βιβλιοθήκης, ἢ συνέταττεν Ἰουδαϊκὴν ἀρχαιολογίαν, δι' ἣν

---

*Μιλησίου Ἑκαταίου.* Huet. Dem. Evang. Pr. iv. c. 2. §. 36). *Καὶ πῶς; μὴ γὰρ ὁ Φώτιος ἠγνόει, ὅτι οὐχ ὁ Μιλήσιος, ἀλλ' ὁ Ἀβδηρίτης Ἑκαταῖος συνέγραψε περὶ Ἰουδαίων; Ἀλλὰ τὰ περὶ τούτου διορθούτωσαν, ὁμοιαληθέστερα πιθανουργοῦντες, αὐτοὶ πάλιν οἱ παῖδες τῶν κριτικῶν.*

ὤφειλεν ἐξάπαντος ἀναγνῶναι τὴν περιβόητον ἑρμηνείαν τῶν Γραφῶν (εἴπερ ἔμελλεν ἀκριβῶς ἱστορεῖν τὰ τῶν Ἰουδαίων)· ἤ, ὡσανεὶ τὸ κλέος τῆς ἑρμηνείας ἐσβέννυτο παντάπασιν ἐξελεγχόμενον ψευδὲς, εἴπερ ὁ Γεωγράφος, εἴτ' ἐπιπολαίως, εἴτε καὶ μηδόλως τυχὸν, ἀνεγίνωσκε τὰ τεύχη τῆς Γραφῆς, ἔγραφε δὲ συντόμως περὶ τῶν Ἰουδαίων, ὅσα δὴ καὶ γέγραφε, τὰ μὲν ἀληθέστερα ποριζόμενος ἐξ ἄλλων τινων πάλιν Ἑλλήνων ἱστορικῶν, ἐντυχόντων ταῖς Γραφαῖς, συναναμιγνύων δὲ τούτοις καὶ τὰς ἐν Αἰγύπτῳ φερομένας ψευδοφημίας. (Καὶ λέγει δὲ τοῦτο ῥητῶς ὁ Στράβων, ὅτι « *ἡ κρατοῦσα μάλιστα φήμη* τῶν περὶ τὸ ἱερὸν τῶν ἐν τοῖς Ἱεροσολύμοις πιστευομένων, Αἰγυπτίους ἀποφαίνει τοὺς προγόνους τῶν νῦν Ἰουδαίων καλουμένων ») (α). Τελευταῖον· εἰ κατὰ τοὺς χρόνους τοῦ Στράβωνος (ὡς συμπεραίνουσιν ἐκ τῶν παρ' αὐτῷ παριστοριῶν) ὑπῆρχεν ἄσημος καὶ ἄγνωστος ἡ ἑρμηνεία, πῶς λοιπὸν αὐτὴν (πάντως ὡς ἐπίσημον) ἐγνώριζον οἱ περὶ τὸν Δημήτριον, 150 περίπου ἔτη πρὸ τοῦ Στράβωνος; (διότι κατὰ τὸν Ὅδιον, ὁ Δημήτριος οὗτος ἤκμαζεν ἐπὶ τοῦ Δ. Πτολεμαίου, καὶ τὸ γένος ὑπῆρχεν Ἀλεξανδρεύς· βλ. ὄπισθ. σελ. 45).

Γ) Ἀμαθῆ παντάπασι καὶ μηδ' ἄκρῳ δακτύλῳ τῆς ἑρμηνείας τῶν Ο, γεγευμένον ἔκριναν καὶ τὸν χρηστὸν Πλούταρχον. Ἀλλὰ πόθεν ἄλλοθεν, εἰ μὴ ἐξ αὐτῆς, ἢ πάντως ἐκ τῶν ἀπ' αὐτῆς συγγραψαμένων, ἐγνώριζεν ἐκεῖνος οὐ μόνον τὴν ὀνομασίαν, ἀλλὰ

---

(α) Στράβ. ις. 760. πρβλ. καὶ τὸ παρ' Ἰωσήπῳ (Ἀρχ. ιδ. ζ. §. 2) σῳζόμενον χωρίον τοῦ Γεωγράφου, λείψανον ἴσως τῶν αὐτοῦ Ὑπομνημάτων (βλ. Fabric. Bibl. Gr. IV. c. i). Ὅτι δὲ καὶ Αἰγυπτίους ἔπλαττον τοὺς Ἰουδαίων προγόνους (ἀπ' ἐναντίας ἄλλων, οἵτινες ἐνόμιζον αὐτοὺς ξένους ἐν Αἰγύπτῳ. βλ. Διόδωρ. καὶ Τάκιτον κτλ.), καὶ τοῦτο προῆλθεν, ἴσως, οὐ μόνον ἐκ τοῦ κατ' Αἴγυπτον πληθυσμοῦ, καὶ τῆς χρονίας αὐτῶν διαμονῆς, ἀλλὰ καὶ ἔκ τινος παραναγνώσματος τῆς Ἐξόδου, ὅπου ὁ Μωσῆς ὑπὸ τῶν ἀγνοουσῶν αὐτὸν θυγατέρων τοῦ Ἰοθὸρ ὀνομάζεται « ἄνθρωπος Αἰγύπτιος » (Ἐξόδ. β. 19. πρβλ. Φίλ. π. μετονομαζομένων σελ. 596. τόμ. β. ἐκδ. Mang.). Ὅθεν πάλιν καὶ ὁ Στράβων (ις. 760) ἕνα τῶν Αἰγυπτίων ἱερέων τὸν Μωσῆν λέγει. Ἴσως δὲ τὸν Μωϋσῆν ὑπέλαβον ἱερέα, καὶ διότι ἀνέγνων τὸ τοῦ ψαλμοῦ (ϙη, 6) « Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ ».

καὶ αὐτὴν προσέτι τὴν ἀκριβῆ γραφὴν τοῦ *Λευΐτης*, καὶ τοῦ *Σάββατον*· (τοῦτο δὲ καὶ *Σάββατα* πληθυντικῶς γραφικώτερον ἔκλινε, λέγων « *τὴν ἑορτὴν τῶν Σαββάτων* ». Συμποσ. Δ. ε.); Πόθεν δὲ καὶ τῶν ἀρχιερέων τὴν *μίτραν*, καὶ τὸν *ποδήρη*, καὶ τοὺς *κώδωνας*, τοὺς ἐκ τῆς ἐσθῆτος (*τοῦ ὑποδύτου*) κρεμαμένους; Καὶ τὴν ἑορτὴν δὲ τῆς *σκηνοπηγίας* ὀνομάζει *Σκηνὴν* (οὕτω καὶ Φίλων· « ἑορτὴ προσαγορευομένη *σκηναί* »· πρβλ. καὶ Ἰωσήπ. Ἀρχ. Γ. ι. §. 4). Προστίθησι καὶ ὅτι « θύρσους ἔχοντες εἰς τὸ ἱερὸν εἰσίασιν » (ὡς τῷ ὄντι εἰσήρχοντο. Ἰώσηπ. Ἀρχ. αὐτ). Ὅθεν καὶ *θυρσοφορίαν* καὶ *κραδηφορίαν* ὁ Χαιρωνεὺς νομίσας τὴν ἑορτὴν, ὡς βακχικὴν, παρῆγε καὶ τὸ Λευῒ ἐκ τοῦ *Εὔϊος* (εὐοῖ), καὶ τὸ σάββατον ἐκ τοῦ *σάβος*. Καὶ τελετάς δέ τινας ἐμνημόνευσεν (ἀνωνύμως) ὅτι *δρῶσιν εἰς τὸ ἱερόν*. Καὶ ὅτι « *μέλι οὐ προσφέρουσι ταῖς ἱερουργίαις* »· τὸ αὐτὸ καὶ (Λευΐτ. Β, 11) « *καὶ μέλι οὐ προσοίσετε* »· (ἐπὶ δὲ Πλουτάρχου οὔτε θυσίαι παρ' Ἰουδαίοις ἦσαν, οὔτε ναὸς, ὡς ἤδη πρὸ πολλοῦ σὺν αὐτοῖς Ἱεροσολύμοις καταστραφείς). Καὶ περὶ βρωμάτων δὲ διαλεγόμενος, οἷον χοίρου κρεῶν, καὶ λαγωοῦ, τὸν μὲν Καλλίστρατον εἰσάγει νομίζοντα τοὺς Ἑβραίους τούτων τῶν ζώων ἀπεχομένους τιμῆς χάριν, ὡς καὶ Αἰγύπτιοι· ἀλλ' ὅμως ἐφεξῆς εὐθὺς ἐπήγαγε τὸν Λαμπρίαν, διορίζοντα σαφῶς τὸ ἀκριβὲς, ὅτι « δυσχεραίνουσι τὴν ὗν, ὡς ἀκάθαρτον, οἱ Ἰουδαῖοι » (Συμποσ. Δ. ε)· πλὴν ἀλλ' ὅμως καὶ αὐτὸς (ὡς καὶ ἄλλοι τῶν ἐθνικῶν) νομίζων « τὰ παρ' Ἰουδαίοις λεγόμενα μύθοις ἐοικότα » (αὐτόθ.), συνανέφυρε καὶ μυθολογίας πρὸς ὅσαις ἔγραψεν ἀληθείαις, ἐκ τῆς ἱερᾶς ἱστορίας παραλαβὼν (α). Εἰ δὲ καὶ τὰς τοιαύτας ἀληθείας ἔμαθεν

---

(α) Ὁ Πλούταρχος *μεταξὺ τῶν, ὅσους ἄλλους ἐκ τῶν ἐθνικῶν ἀνέγνω, πολλὰ καὶ μάλιστα ψευδῆ συγγράψαντας περὶ* Ἰουδαίων (οἷον Ἀπίωνα, καὶ Λυσίμαχον, τοὺς Ἀλεξανδρεῖς κτλ.), *εἶδεν ὡς φαίνεται, καὶ τὸν ἐκ τούτων καὶ αὐτὸν ἀντιγράψαντα τὰ πλεῖστα* Ῥωμαῖον Τάκιτον· *διότι μνημονεύει καὶ ὁ* Χαιρωνεὺς *τὸν « ὕδατος πηγὴν ἀναφήναντα τοῖς Ἰουδαίοις ὄνον »* (Συμποσ. *δ.* ε) *κτλ. καὶ τὸν Ἱεροσόλυμον. « Οἱ δὲ (λέγει) λέγοντες ἐκ τῆς μάχης ἐπὶ ὄνου τῷ* Τυφῶνι *τὴν φυγὴν ἑπτὰ ἡμέρας γενέσθαι, καὶ σωθέντα γεννῆσαι παῖδας Ἱεροσόλυμον καὶ*

οὐκ ἀμέσως ἀπὸ τῶν Γραφῶν, παρ' ἄλλων δὲ πάλιν ἱστορικῶν (εἴτε ἐθνικῶν, εἴτε καί τινων Ἰουδαίων ἑλληνιστῶν), ἀλλὰ καὶ οὕτω πάλιν φαίνεται τὴν τῶν Γραφῶν ἑρμηνείαν ἀνεγνωκὼς ἐν αὐτοῖς δὴ τούτοις τοῖς ἱστορικοῖς, ἐξ ὧν μετέγραφε τ' ἀληθέστερα· διότι κᾀκεῖνοι ταῦτα μετέγραψαν ἐκ τῆς ἑρμηνείας (α). Ἴσως δὲ καὶ τὰς αὐτοῦ τοῦ Πλατωνικοῦ Φίλωνος καὶ τὰς Ἰωσήπου συγγραφὰς ἴδεν ὁ πολυμαθέστατος Πλούταρχος, ἔτι τότε νεαρὰς καὶ περιφήμους, ἐν ταῖς κατὰ Ῥώμην βιβλιοθήκαις θησαυρισθείσας (ὡς λέγομεν παρακατιόντες). Ὅτι δὲ διέτριψε χρόνον ἱκανὸν, καὶ, τέλος, κατεβίωσεν ὁ Πλούταρχος ἐν Ῥώμῃ, διδάσκαλος (κατά τινας) καὶ τοῦ Τραϊανοῦ χρηματίσας, φανερὸν ἐκ τῆς ἱστορίας.

Δ) Περὶ δὲ Δίωνος τοῦ Κασσίου, εἴπερ αὐτὸς « *οὐκ ᾔδει ὅθεν ἤρξατο γενέσθαι τοῖς Ἰουδαίοις ἡ ἐπίκλησις* », τί πταίει ἡ ἑρμηνεία τῶν Ο; Εἰ δὲ καὶ ταύτην οὐκ ἀνέγνω (κατὰ τὴν Ὀδίου γνώμην), παριδὼν ὡς ἄσημον, οὐδὲν ἐκ τούτου δεινόν. Καὶ ἄλλους ἐπισημοτάτους συγγραφεῖς ὁ Κάσσιος ὑπερεῖδεν, ἐν οἷς καὶ Κλέαρχον, Ἀριστοτέλους μαθητὴν, ἢ μᾶλλον αὐτὸν τὸν Ἀριστοτέλην, ὅστις παρὰ τῷ Κλεάρχῳ λέγει « τοὺς Ἰουδαίους τοὔνομα λαβόντας ἀπὸ τοῦ τόπου· προσαγορεύεται γὰρ, ὃν κατοικοῦσι τόπον, Ἰουδαία. Τὸ δὲ τῆς πόλεως αὐτῶν ὄνομα πάνυ σκολιόν ἐστιν, Ἱερουσαλὴμ γὰρ αὐτὴν καλοῦσι » (β). Τοῦτο γοῦν τὸ ἔτυμον τοῦ

---

*Ἰουδαῖον, αὐτόθεν εἰσὶ κατάδηλοι τὰ ἰουδαϊκὰ παρέλκοντες εἰς τὸν μῦθον » κτλ.* (*π. Ἴσιδ. καὶ Ὀσίρ.* 435 *τόμ.* 7. Reisk. *βλ. καὶ ὄπισθ.* §. *ζ. ἄρθρ. δ. σημ. σελ.* 35.). *Σημείωσαι δὲ ὅτι καὶ Ἱεροσολύμους, ἀπὸ τῆς πόλεως, εἶπαν τοὺς Ἰουδαίους, ὡς ὁ Λυσίμαχος (παρ' Ἰωσήπ. κ. Ἀπίων.* Α §. *λδ). Ὁ Πλούταρχος ἔγραψε καὶ περὶ τοῦ « Τίς ὁ κατὰ Ἰουδαίους θεός » (ὅπου ἴσως περιείχοντο καί τινα σαφέστερα ἴχνη τῆς περὶ τὴν ἑρμηνείαν τῶν Γραφῶν μελέτης αὐτοῦ)· ἀλλὰ τοῦ κεφαλαίου τούτου μόνην τὴν ἐπιγραφὴν ὁ παμφάγος χρόνος παρέδωκεν εἰς ἡμᾶς (Συμποσ. Δ. σελ.* 693. Basil. 1552).

(α) *Ὁ περικλεὴς Βερνάρδος νομίζει, ὅτι τὰ περὶ τῶν Ἰουδαίων ταῦτα παρέλαβεν ὁ Πλούταρχος ἔκ τινος Ἰουδαίου ῥαββίνου (ἑλληνιστοῦ), τῶν κατὰ τοὺς χρόνους τοῦ θείου Παύλου γενομένων, πρὸ τῆς τοῦ ναοῦ καταστροφῆς (βλ.* Bernard. not. *εἰς Ἰώσηπ. Ἀρχ. γ.* 10. §. 4. *σελ.* 172—174. *ἐκδ.* Hav.).

(β) *Κλέαρχ. παρ' Ἰωσήπ. κ. Ἀπίων.* Α §. *κβ.*

ὀνόματος ὤφειλε κἂν ὁ Κάσσιος εἰδέναι, εἰ μὴ ᾔδει τὴν ἐκ τῶν Γραφῶν κυριωτέραν καὶ προκαταρκτικὴν τοῦ ὀνόματος παραγωγήν. Εἰ δὲ καὶ ταύτην ἤθελεν, εὕρισκεν ἄν, ἐπ᾽ ὀλίγον ἐγκύψας εἰς τὴν τότε κοινοτάτην καὶ γνωστὴν αὐτῷ πάντως συγγραφὴν τοῦ Ῥωμαίου Τρόγου (βλ. ὄπισθ. σελ. 32). Ἀλλ᾽ ὁ κάλλιστος καὶ χρησιμώτατος ἱστορικὸς οὗτος (ὅστις καὶ περὶ τῶν Ἰουδαίων αὐτῶν ἄλλα τε πολλὰ καθιστόρησεν ἀκριβῶς, καὶ « ὅτι ἕνα Θεόν, ἄῤῥητον καὶ ἀειδῆ αὐτὸν νομίζοντες εἶναι, περισσότατα ἀνθρώπων θρησκεύουσι »· βιβλ. λζ, 17) ἔπασχεν ὅμως καί τινας παραδόξους ἀγνοίας περὶ τὰ προδηλότατα. Οὕτως οὐκ ᾔδει οὐδὲ τῶν χριστιανῶν τὴν ἐπίκλησιν, ὅθεν ἤρξατο, συνέχεε δὲ τούτους ὡς τοὺς αὐτοὺς μετὰ τῶν Ἰουδαίων (ὅπερ ἔπαθε καὶ Τάκιτος, καί τινες ἄλλοι τῶν πρὸ αὐτοῦ) (α)· καίτοι κατὰ τοὺς αὐτοῦ χρόνους (τῷ 230 μ. Χ.) ὑπῆρχεν ἤδη πρᾶγμα φανερώτατον, ὅσον οἱ χριστιανοὶ διέφερον τῶν Ἰουδαίων.

Ε) Περὶ τοῦ Ἀρταπάνου καὶ Εὐπολέμου ἀπαντῶμεν ἐκτενέστερον ἐν τῷ ἐφεξῆς κεφαλαίῳ, ὡσαύτως καὶ περὶ τοῦ Πολυΐστορος, τοσοῦτον μόνον ἐνταῦθα περὶ τούτου προσθέντες· ὅτι ἡ περὶ τῆς *Μωσοῦς* παραδοξολογία (ἣν μίαν καὶ μόνην ἐκ τοῦ Πολυΐστορος ἐμνημόνευσεν ὁ Ὅδιος πρὸς ἀπόδειξιν, ὅτι οὐδ᾽ αὐτὸς ἀνέγνω τὴν ἑρμηνείαν) φαίνεται παντάπασιν ἀπαράδεκτος, ὡς οὐκ οὖσα γνώμη τοῦ Πολυΐστορος αὐτοῦ. Οὐδεὶς ἕτερος παρὰ τὸν Λεξικογράφον Σουΐδαν ἐμνημόνευσε τὴν παρὰ τῷ Πολυΐστορι φερομένην νομοθέτριαν Μωσώ. Πρόσθες καὶ τὸ περὶ τῆς Ἰουδαίας παριστόρημα, καὶ τοῦτο παρὰ μόνῳ Στεφάνῳ τῷ Βυζαντίῳ τετηρημένον (βλ. ἀνωτέρω §. ιβ. σημ.). Ἀλλὰ τὰ τοιαῦτα μυθολογήματα διεμνημόνευσεν ὁ Πολυΐστωρ ἐν τῇ κατ᾽ αὐτὸν Ἀνθολογίᾳ (ἴσως ἐν τοῖς « *Περὶ παντοδαπῆς ὕλης* μβ. λόγοις) » (β), οὐχὶ τὰ τῶν ἄλλων

---

(α) Δίων Κάσσ. βιβλ. ξζ. σελ. 1112 κτλ. πρβλ. καὶ annot. ἐκδ. Hamb. 1752.

(β) Στεφ. Βυζ. λ. Κοτιάειον. Ὁ δὲ Σουΐδας λέγων, ὅτι ὁ Ἀλέξανδρος « συνέγραψε βιβλία ἀριθμοῦ κρείττω, καὶ περὶ Ῥώμης βιβλία ε », καὶ ἔπειτα ἐπιφέρων « Ἐν τούτοις λέγει τὴν Μωσὼ » κτλ., τὸ ἐν τούτοις φαίνεται ἀποδιδοὺς οὐκ εἰς τὸ προσεχὲς κῶλον, ἀλλ᾽ εἰς τὸ προηγούμενον, βιβλία ἀριθμοῦ κρείττω.

*κακῇ πίστει* διαφθείρων, ὡς ὑπώπτευσεν ὁ Σκαλίγηρος (Ἐπιστασ. εἰς Εὐσεϐ. Χρον.), ἀλλὰ πιστῶς καὶ ἀπαραλλάκτως μεταγράφων τὰς γνώμας ἐθνικῶν τινων ἱστορικῶν, οὓς καὶ ἀνέφερεν ἐξ ὀνόματος (ὡς εἴωθε καὶ ἐν τῷ *περὶ Ἰουδαίων*· παῤ Εὐσεϐίῳ Εὐαγ. Προπαρασκ. Θ.), ἔργον ποιῶν ἁπλῶς φιλολογοῦντος συνοψιστοῦ, ἢ ἐρανιστοῦ καὶ ἀνθολόγου (α). Ὁ δὲ λεξικογράφος Σουΐδας τὴν Μωσὼ μνημονεύων, καὶ τὸ περὶ τῆς Ἰουδαίας ὁ Στέφανος, ἀνέφερον ἀμφότεροι τὸ ὄνομα τοῦ Πολυΐστορος, διότι παῤ αὐτῷ τὰς τερατολογίας ἀνέγνων· ἐκ τίνων δὲ ταύτας μετέγραψεν ἐκεῖνος, τούτων τὰ ὀνόματα παρεσιώπησαν. Οὕτω πάλιν ὁ Εὐσέϐιος ἐν τοῖς Χρονικοῖς (ἐξ αὐτοῦ δὲ καὶ ὁ Σύγκελλος) εἰς τὸν Πολυΐστορα ἁπλῶς ἀναφέρει τὰ παῤ αὐτῷ Χαλδαίων τινων καὶ ἄλλων παραχρονολογήματα (ϐ)· ὥστε οἱ περὶ τὸν Ὅδιον ἐξελέγχοντες ὡς πατέρα τῶν ξένων παριστορημάτων τὸν οὕτως ἀναμφίϐολα τῆς τῶν Γραφῶν μελέτης ἴχνη κατελελοιπότα Πολυΐστορα, σφόδρα φαίνονται παράδοξοι, καὶ παρόμοιοι τῶν ματαιοσχόλων ἐκείνων, οἵτινες ἀνάγουσιν εἰς αὐτὸν τὸν θεῖον Παῦλον, ὡς ἰδίαν αὐτοῦ γνώμην ἀποστολικὴν, τὴν ὡς ἐκ τοῦ φρονήματος τῶν θνητοψύχων εἰρημένην παῤ αὐτῷ ῥῆσιν ἐκείνην· « φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν » (Α. Κορ. ιε, 32). Καὶ περὶ μὲν τῶν μνημονευθέντων Ἑλλήνων ἀρκοῦσι ταῦτα πρὸς τὸν Ὅδιον.

ς) Τοὺς δὲ Ῥωμαίους συγγραφεῖς, τὸν Τρόγον καὶ τὸν Τάκιτον, καὶ εἴ τινας ἄλλους παρέστησαν ὡς ἀμαθεῖς τῆς τῶν Γραφῶν ἑρμηνείας, μετὰ Χριστὸν ἀκμάσαντας ἅπαντας (πλὴν ἑνὸς, καὶ τούτου μόλις, τοῦ Τρόγου) (γ), τούτους, λέγω, πάντας, ἐφ̓ ὅσον πρὸς

(α) Καὶ κάλλιστα λοιπὸν ὁ σοφὸς Ὑέτιος ἔκρινεν, ἐν οἷς ἀποδεικνύων, ὅτι τὰ κατὰ τὸν Ἑρμῆν μυθολογούμενα, καὶ ταῦτα παρὰ τοῖς ἐθνικοῖς μετεπλάσθησαν ἐκ τῆς ἱερᾶς ἱστορίας τοῦ Μωϋσέως, προστίθησιν ὅτι, « καὶ τ᾽ ἀνάπαλιν ἐνίοτε τετεραλογήκασιν οἱ φιλομυθοῦντες. Καθὼς εἶπον τὸν Ἑρμῆν καὶ ἀῤῥενόθηλυν (ὅθεν εἰκονίζεται δόρυ φέρων καὶ ἠλακάτην), οὕτω μετεμόρφωσαν καὶ τὸν Μωϋσῆν εἰς Νομοθέτριαν Μωσώ ». Huet. Demonst. Evang. Pr. IV. c. 4. p. 68. Τόμ. 1.

(ϐ) Εὐσέϐ. Χρον. Α. δ, 2. σελ. 17. ἐκδ. Mediol. 1818.

(γ) Τὸν Τρόγον Πομπήϊον οἱ μὲν τιθέασι μόλις περὶ τὸ 30 .π. Χ. οἱ δὲ πιθα-

τὴν ἱερὰν ἀντιλέγουσιν ἱστορίαν, οὔτε μάρτυρας ἀποδεχόμεθα (οἵους εἰσήγαγον οἱ περὶ τὸν Ὄδιον), καὶ παραπέμπομεν εὐφημοῦντες, *καὶ στεφανοῦντες ἀνεμώναις*. Πάσης πίστεως καὶ τιμῆς ἀξίους ἡγούμεθα τοὺς ἐνδόξους τούτους συγγραφεῖς, ὅταν διηγῶνται τὰ περὶ τῶν Ῥωμαίων, καὶ πᾶν εἴ τι ἄλλο μετ᾽ ἐμβριθείας ἐξακριβοῦσι· κἂν δὲ καὶ πρὸς ἄλλας τυχὸν προγενεστέρας συγγραφὰς συμφωνῶσι, συμπεραίνομεν πολλάκις ἀκινδύνως, ὅτι κἀκεῖναι κατ᾽ αὐτοὺς ὑπῆρχον γνωσταί. Ἀλλ᾽ ὅταν μεταγράφωσιν ἀκρίτως, καὶ μετὰ δυσμενείας εἰδωλοθρήσκου τε καὶ πολιτικῆς (οἵαν εἶχον Ῥωμαῖοι πρὸς Ἰουδαίους), τὰς παρά τισιν ἀρχαιοτέροις ποικίλας κατὰ τῶν Ἰουδαίων μυθοπλαστίας, παρατρέχομεν αὐτῶν τὰς σελίδας, ὡς ἀκανθώδεις ἀγρούς, « *ψεύδεσσιν ὀθνείοισιν ἐξηνθηκότας* ». Ποῖος προστρίβεται μῶμος εἰς τὸ κλέος τῆς ἑρμηνείας τῶν Γραφῶν ἐκ τῆς περὶ τούτων ἀγνοίας, ἣν ἔπασχε (καθ᾽ Ὄδιον) αὐτὸς πρῶτος ὁ Τάκιτος, ὁ τῶν Ῥωμαίων ἱστορικῶν Θουκυδίδης; Ὅστις ἐκ παντοίων συγγραφέων τὰ περὶ τῶν Ἰουδαίων ἀνθολογήσας, ἔπειτα παρεῖδε μόνους ἐκείνους, ἀφ᾽ ὧν ἠδύνατο καὶ ἠπίστατο τ᾽ ἀληθέστερα συναθροῖσαι· ὁ Τάκιτος ἔζη ἐπὶ Τραϊανοῦ (τῷ 110 μ. Χ.), ὁπότε καὶ πολλὰ τοῦ Φίλωνος, καὶ αὐτοῦ τοῦ Ἰωσήπου τὰ συγγράμματα ὑπῆρχον ἤδη περιώνυμα, καὶ ψήφῳ δημοσίᾳ τῶν ἐν Ῥώμῃ βιβλιοθηκῶν κατηξιωμένα (α). Τίς ἂν ἀμφιβάλοι δι-

---

νώτεροι, καὶ πολὺ ὕστερον, κατὰ τοὺς χρόνους τοῦ Καίσαρος, καὶ αὐτοῦ τοῦ Τιβερίου (30, μ. Χ.). βλ. Justin. Hist. praefat. p. XXIX—XXXIII. ed. Gronov 1760.

(β) « Οὗτος (ὁ Φίλων) κατὰ Γάϊον ἐπὶ τῆς Ῥώμης ἀφικόμενος, τὰ περὶ τῆς Γαΐου θεοστυγίας αὐτῷ γραφέντα — ἐπὶ πάσης λέγεται τῆς Ῥωμαίων συγκλήτου κατὰ Κλαύδιον διελθεῖν, ὡς καὶ τῆς ἐν βιβλιοθήκαις ἀναθέσεως θαυμασθέντας αὐτοῦ καταξιωθῆναι τοὺς λόγους » (Εὐσέβ. Ἐκκλ. ἱστορ. β. 18.). « Καὶ Ἰώσηπος δὲ παρὰ τοῖς Ῥωμαίοις γέγονεν ἀνὴρ ἐπιδοξότατος, ὡς αὐτὸν μὲν ἀναθέσει ἀνδριάντος ἐπὶ τῆς Ῥωμαίων τιμηθῆναι πόλεως, τοὺς δὲ σπουδασθέντας αὐτοῦ λόγους βιβλιοθήκης ἀξιωθῆναι » (Εὐσέβ. αὐτ. Γ, 9. καὶ Νικηφόρ. Ἐκκλ. ἱστορ. β. 18. Γ, 10. πρβλ. Cave Script. Eccles. histor. Liter. p. 10, 16. Genev. 1694). Καὶ αὐτοὶ οἱ αὐτοκράτορες Οὐεσπασιανὸς καὶ Τίτος, « οἷς πρώτοις δέδωκεν (ὁ Ἰώσηπος) τὰ (περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου) βιβλία, καὶ μετ᾽ ἐκείνους πολλοῖς Ῥωμαίων τοῖς συμπεπολεμηκόσιν, - ἐμαρτύρησαν, ὅτι τῆς ἀληθείας προὔστη ἐπιμελῶς » (Ἰώσηπ.

καίως, ὅτι καὶ Τάκιτος αὐτὰ διεξῆλθεν, ἐν οἷς καὶ τὰ πλεῖστα τῆς ἱερᾶς ἱστορίας κατέμαθεν; (εἰ μὴ καὶ τὰς Γραφὰς αὐτὰς ἀμέσως ἀνέγνω· πολλὰ δὲ καὶ τούτων ἦσαν ἀντίγραφα παρὰ τοῖς ἐν Ῥώμῃ καὶ Ἰταλίᾳ τὸ τότε καὶ Χριστιανοῖς καὶ Ἰουδαίοις ἑλληνισταῖς)· ἀλλ' αὐτὸς καταφρονήσας τούτων, ἐκάθητο παράγων τοὺς Ἰουδαίους ἐκ τῆς Ἴδης, καὶ τ' ἄλλα μεταγράφων ἄσμενος ἐξ ὧν κατεψεύσαντο τῶν Ἰουδαίων Μανέθων τε ὁ Αἰγύπτιος, καὶ Λυσίμαχος ὁ Ἀλεξανδρεὺς, συγγραφεὺς (ὡς νομίζεται) τῶν Θηβαϊκῶν, καὶ Ἀπίων, καὶ εἴ τις ἄλλος τοιοῦτος τερατογράφος, συναθροίζων ἔκ τινος λέσχης τῆς Ἀλεξανδρείας βωμολοχίας ὀχλικὰς (ὑπῆρχε δὲ τὸ πλῆθος τῶν Ἀλεξανδρέων « ἐπιτετηδευκὸς γλωσσαλγίαν, καὶ ἐνευκαιροῦν διαβολαῖς καὶ βλασφημίαις) » (α). Ἀπὸ τοιούτων μυθευμάτων ἠρύσατο καὶ ὁ Τρόγος· (καίτοι οὗτος ἔν τισι πλησιάζει πλέον, ἢ ὁ Τάκιτος, πρὸς τὴν ἀλήθειαν, ὡς φαίνεται μάλιστα ἐξ ὧν ἱστόρησε περὶ τοῦ Ἰωσὴφ [ὄπισθ. σελ. 33.]· ὅθεν καὶ οἱ περὶ τὸν Βοχάρτον ταύτην τοῦ Τρόγου τὴν περικοπὴν ἀνέφερον, ὡς ἐν τοῖς πλείστοις πιστὴν ἀνθρώπου ἐθνικοῦ μαρτυρίαν περὶ τῶν ἐν τῇ Γραφῇ ἱστορουμένων περιστατικῶν τοῦ Ἰωσὴφ (β)). Ὁ δὲ Πλίνιος (καίτοι τοῦτον ἐν οὐ δέοντι παρεισήγαγεν Ὅδιος. βλ. ὄπισθ. σελ. 38), εἰ μηδὲν ἀπώνατο τῆς τῶν Ο, Γραφῆς, οὐδὲν θαυμαστόν. Ὅστις οὐδὲ γοῦν ἐκ τοῦ Πολυΐστορος

---

κ. Ἀπίων. α. §. θ). Ἀλλὰ καὶ ἰδίως ὁ Τίτος « οὕτως ἐκ μόνων αὐτῶν » (τῶν περὶ πολέμου συγγραφῶν τοῦ Ἰωσήπου) « ἠβουλήθη τὴν γνῶσιν τοῖς ἀνθρώποις παραδοῦναι τῶν πράξεων, ὥστε *χαράξας* τῇ *ἑαυτοῦ* χειρὶ τὰ βιβλία, δημοσιεῦσαι προσέταξε (Ἰώσηπ. ἐν τῷ ἑαυτοῦ βίῳ §. ξε). Τὸ δὲ *χαράξας* τὸ ἀντιγράψας σημαίνει (ἦν γὰρ ὀξυγραφώτατος ὁ Τῖτος. Sueton Tit. c. 3). Οἱ δὲ ἀντὶ τοῦ *ὑπογράψας* ἐξέλαβον τὸ χαράξας (βλ. Vales. not. ad Euseb. l. c. — J. Lang. not. ad Niceph l. c. — Thom. Ittigij proleg. ad Edit. Josephi).

(α) Φίλ. εἰς Φλάκ. σελ. 522. Τόμ. 6. ἐκδ. Mang. πρβλ. καὶ σελ. 576, ὅπου μνημονεύεται καὶ Ἑλίκων (ἐν Ῥώμῃ) « σκορπιῶδες ἀνδράποδον, τὸν Αἰγυπτιακὸν ἰὸν εἰς Ἰουδαίους ἀφιέν. Ὡσαύτως καὶ Ἀπελλῆς, καὶ οὗτος ἐν Ῥώμῃ τραγῳδὸς τῶν ἀπὸ Ἀσκάλωνος (Ἀσκαλωνίταις δὲ ἀκατάλλακτος δυσμένεια πρὸς τοὺς Ἰουδαίους) ». κτλ. βλ. καὶ Δίων. Κάσσ. νε. 643. καὶ Sueton IV. 23.

(β) Bochart.. Hieroz. Par l. L. II. c. 41. p. 405. Lugd. Batav. 1712.

ὠφελήθη, τοσαύτας περὶ τοῦ Μωσέως καὶ τῶν Ἰουδαϊκῶν ἀληθείας μεταγράψαντος προφανῶς ἐκ τῆς θείας Γραφῆς (βλ. ἐφεξ. κεφ. γ. §. κγ). Ὅτι δὲ τὸν Πολυΐστορα συχνάκις ἀνεγίνωσκεν ὁ Πλίνιος, καὶ πάμπολλα εἰς τοῦτον ὀφείλει, αὐτὸς μαρτυρεῖ (Φυσ. ἱς. γ. 17: καὶ ζ, 48: καὶ θ, 35: καὶ ιγ, 22: καὶ ιε, 5). Καθόλου δὲ καὶ Τρόγος καὶ Τάκιτος, καὶ εἴτις ἄλλος ὅμοιος, ὅσον ἂν παρακεχρωσμένα καὶ ψευδῆ περὶ τῶν Ἰουδαίων διέλαβον, ἀλλ᾽ ὅμως ἐμφαίνουσι κἀν τούτοις διαλάμπουσαν τὴν τῆς ἱερᾶς ἱστορίας ἀλήθειαν, ἐξ αὐτοῦ τοῦ θησαυροῦ τῶν Μωσαϊκῶν Γραφῶν (καὶ μάλιστα μετὰ τὴν ἑρμηνείαν), προφανῶς ἐξενηνεγμένην, καθὼς ἐσημείωσε καὶ Ὑέτιος (α). Αὐτὸς ὁ Τάκιτος, μεταξὺ τῶν πολλῶν ψευσμάτων, ἀνεκήρυξε κἀκείνην τὴν ἀλήθειαν· ὅτι « οἱ Ἰουδαῖοι λατρεύουσιν ἐκείνῳ τῷ ὑψίστῳ, καὶ αἰωνίῳ, καὶ ἀναλλοιώτῳ, καὶ μηδέποτε τελευτήσοντι » (τῷ Θεῷ). Καὶ ὁ Τρόγος ἐπῄνεσε « τὴν παρ᾽ αὐτοῖς (τοῖς Ἰουδαίοις ἱερεῦσι καὶ βασιλεῦσι) μετὰ τῆς θρησκείας σύγκρασιν καὶ συναύξησιν τῆς δικαιοσύνης » (β).

Ζ) Μέχρι καὶ αὐτῶν τῶν ἐπὶ τοῦ δ, αἰῶνος καὶ κατωτέρω Λατίνων γλωσσογράφων, καὶ πτωχῶν τινων σχολιαστῶν κατέβη μετὰ πολλῆς ἀνοχῆς ἡ ταλαίπωρος τῶν περὶ τὸν Ὅδιον πολυϊδμοσύνη, καρτερικῶς ἀκανθολογοῦσα, ἢ καὶ σκαλεύουσα, ὡς ἂν ὄρνις κεκορεσμένη, μήπως εὕρῃ τι καὶ παρ᾽ αὐτοῖς ὑπολανθάνον κοσκυλμάτιον, οἷον σίτου κόκκον, ἢ κριθῆς, ὅπως παραθῇ καὶ τοῦτο τοῖς ἀναγνώσταις, ὡς τρωγάλιον ὑπερμαζώσης καὶ δυσορέκτου περιεργείας. Ἀλλ᾽ εἴπερ οὕτω συνέχιζον οἱ ἄνδρες τὴν ἔφοδον τῆς ἀλλοκότου ταύτης ἐπαγωγῆς, ἠδύναντο καὶ μέχρι τῶν κατ᾽ αὐτοὺς ἡμερῶν ἄγνωστον καὶ ἄσημον ἀποδεῖξαι τὴν ἑρμηνείαν τῶν Ο· διότι, καὶ μετὰ τοὺς Λατίνους τούτους σχολιαστὰς, καὶ ἄλλοι τινες κατὰ τοὺς ἐφεξῆς αἰῶνας διέλαβον περὶ τῆς ἱστορίας τῶν θείων Γραφῶν ἐσφαλμένα καὶ ψευδῆ. Καὶ λίαν ἄπορον φαίνεται, πῶς

---

(α) Huet. Demonstr. Evang. Prop. IV. c. 2. §. 39 et § 51. — (β) Justin. Lib. 36, 2. πρβ. H. Grot. de Verit. Chris. Relig. L. I. c. 15. not. k. 5.

οὐκ ἐπισυνῆψαν οἱ σοφοὶ καὶ ἄλλας τοιαύτας ἀποδείξεις οὐ μόνον ἔκ τινων αἱρετικῶν, οἷον Οὐαλεντίνων, καὶ Μαρκιώνων, ἀλλὰ καὶ ἐξ αὐτῶν (εἴπερ ἤθελον) τῶν νεωτέρων Ἀράβων καὶ Περσῶν. Οἱ δὲ καὶ τὸν Ἰουδαίοις ἐπίσης καὶ χριστιανοῖς ἔχθιστον, καὶ τούτους ἀμφοτέρους συγχέοντα πολλάκις Ἰουβενάλιον παρεισήγαγον, ὡς ἀγνῶτα τῆς τῶν Γραφῶν ἑρμηνείας, ἄνθρωπον καὶ λόγῳ καὶ βίῳ σατυρικόν. Ἀλλ᾽ οὗτος, εἰ καὶ ἀπόκρυφον (καὶ τοῦτο οὐκ ἀλόγως) ὠνόμασε τὴν Μωϋσέως νομοθεσίαν (μὴ διενθυμηθεὶς, ὅτι καὶ αὐτὴ αὐτοῦ ἡ εἰδωλοθρησκεία εἶχε τὰ ἑαυτῆς ὄργια, καὶ « *τὰ κεκρυμμένα λόγια, τὰ παλαιὰ* », μυσταγωγοῦσα, καὶ προαναφωνοῦσα τὸ « *φθέγξομαι οἷσι θέμις, θύρας δ᾽ ἐπίθεσθε βεβήλοις* » (α)), ἀλλ᾽ ὅμως ἀπ᾽ ἄλλου μέρους ὁ λῆρος σατυριστὴς ἀνεκήρυξε καὶ λαμπροτάτην περὶ τῶν Ἰουδαίων ἀλήθειαν, ὅτι « πάντες ἐκμανθάνουσι καὶ τηροῦσι μετ᾽ εὐλαβείας τοὺς Μωσέως νόμους » (βλ. ὄπισθ. σελ. 45). Τοῦτο δὲ καὶ αὐτὸς Ἰώσηπος, ὡς Μωσέως ἐμνημόνευσε παράγγελμα. « Μανθανέτωσαν δὲ καὶ οἱ παῖδες πρῶτον τοὺς νόμους, μάθημα κάλλιστον » (Ἀρχ. Δ. η, 5, 12)· καὶ πάλιν, « Ἑκάστης ἑβδομάδος τῶν ἄλλων ἔργων ἀφεμένους, ἐπὶ τὴν ἀκρόασιν τοῦ νόμου ἐκέλευσε συλλέγεσθαι, καὶ τοῦτον ἀκριβῶς ἐκμανθάνειν » κτλ. (κ. Ἀπίων. Β, 17). Ἀλλὰ τοῦτο μὲν ἐσημειώσατο καὶ Οὐαλκενῆρος (β). Ἡμεῖς δ᾽ ἐκεῖνο ἀποροῦμεν· πῶς ὁ κλεινὸς Ὅδιος καὶ ἀσήμους καὶ ἐπισήμους Λατίνους συγγραφεῖς παρεισαγαγὼν, ἔπειτα παρέλιπε τὸν Οὐΐδιον, ὅστις ἐν τῷ Α, τῶν Μεταμορφώσεων φαίνεται σχεδὸν ἀντιγράψας ποιητικώτερον τὸ περὶ Δημιουργίας πρῶτον κεφάλαιον τῆς Γενέσεως, ὅπερ καὶ Γρότιος ὁ σοφώτατος ἀπεθαύμασε (γ).

§. ιζ. Οἱ δὲ περὶ τὸν ἔνδοξον Ἀρχιδιάκονον λίαν ἄχαριν καὶ μάταιον ἐπόνησαν πόνον, « καὶ *συνήγαγον ἐν ταῖς χερσὶν αὐτῶν*

---

(α) Εὐριπ. Ἡρακλ. 405. καὶ Ὀρφεὺς παρ᾽ Ἰουστίνῳ, Κλήμεντι, Τατιανῷ· (βλ. καὶ Γαλην. περὶ χρείας μορ. ιβ. 6. πρβλ. καὶ Πλάτων. Συμπόσ. §. 33. καὶ Spanhem. Observat. in Callimach. Tom· 2. p. 79, καὶ Wesseling. de Fragm. Orphei etc. — (β) Valcken. de Aristob. Jud. 94. — (γ) H. Grot. de Verit. Christ. Relig. L. I. c. 16. not.

*ἀκαρπίαν* », συλλέξαντες, « ὡσεὶ *χόρτον δωμάτων* », ἀπό τινων ἐθνικῶν συγγραφῶν ἀποδείξεις, ἐπὶ καταφρονήσει τῆς ἁγιωτάτης, καὶ τοῖς θείοις Εὐαγγελίοις συμφυεστάτης ἑρμηνείας τῶν Ο! Πολὺ δ᾽ ἂν κάλλιον ἔπραττον, καὶ ἑαυτῶν ἀξιώτερον, εἴγε τὴν ἀλήθειαν μὴ παρὰ Τρόγοις ἐζήτουν καὶ Τρεβελλίοις, ἀλλὰ μᾶλλον παρὰ τοῖς ἀρχαίοις διδασκάλοις τῆς ἀληθείας τῶν Γραφῶν. Ἰδοὺ τὶ λέγει περὶ τούτου ὁ μυρίων ἐθνικῶν σοφῶν ἀξιοπιστότερος ἐν τοῖς τοιούτοις Εὐσέβιος (εἰς Ἡσαΐ. μς, 20). « Ὅτι » (μετὰ τὴν τοῦ Χριστοῦ ἐπιφάνειαν, εὐθὺς ἡ θεία Γραφὴ) « παντοίᾳ γλώττῃ καὶ πάσῃ φωνῇ, χαρακτῆρσί τε τοῖς καθ᾽ ἕκαστον ἔθνος, παραδέδοτο εἰς ἐξάκουστον πᾶσι τοῖς ἔθνεσιν». Ὁ δ᾽ αὐτὸς Εὐσέβιος ἀνεκήρυξεν, ὅτι καὶ πρὸ Χριστοῦ Σωτῆρος, « Θεὸς αὐτὸς διῴκησε παρελθεῖν εἰς πάντα τὰ ἔθνη τὰς (τῶν προφητῶν) προῤῥήσεις, διὰ τῆς ἑρμηνείας » κτλ. (Εὐ. Προπαρ. Η, προοιμ.). Μαρτυρεῖ δὲ καὶ ἄλλων μαρτύρων νέφος, ὅτι πολὺ καὶ πρὸ τῆς θείας ἐπιφανείας ἡ τῶν Ο, πρεσβυτάτη καὶ ἀρχέγονος ἑρμηνεία προϋπῆρχε γνωστὴ τοῖς ἐθνικοῖς καὶ καθ᾽ Ἑλλάδα, καὶ εἰς τὴν Ῥώμην, καὶ ἀλλαχοῦ τῆς οἰκουμένης, ὅπου κατῴκουν χιλιάδες Ἰουδαίων ἑλληνιστῶν, καὶ πάμπολλαι τούτων ἵσταντο προσευχαὶ καὶ Συναγωγαί (α). Ὥστε ματαίως ὁ κλεινὸς Ὅδιος ἐπειράθη (καθὼς αὐτὸς εἶπεν ἀλλαχοῦ· βλ. Τόμ. α. σελ. 310),

« Αἴγυπτόν δ᾽ ἰέναι, δολιχὴν ὁδὸν, ἀργαλέην τε, »

διερευνῶν, εἴπερ ἐπὶ Διοδώρου καὶ Πλινίου ὑπῆρχεν ἐν τῇ βιβλιοθήκῃ τῆς Ἀλεξανδρείας ἡ ἑρμηνεία τῶν Γραφῶν. Διότι καὶ τότε, καὶ πρότερον, καὶ ὕστερον εὕρισκον αὐτὴν οἱ λόγιοι τῶν ἐθνικῶν πανταχοῦ, καὶ εἰς τὰς ἠπείρους, καὶ κατὰ νήσους, καὶ κατ᾽ αὐτὰς αὐτῶν τὰς πατρίδας ἐπιφανεστάτην καὶ γνωστὴν

— « ἧς τὸ μυρίον κλέος
Διῆλθε κἀπὶ νύκτα καὶ πρὸς ἀῶ ».

---

(α) « Κέχυται γὰρ (τὸ ἔθνος τῶν Ἰουδαίων) ἀνά τε τὰς ἠπείρους καὶ νήσους ἁπάσας » κτλ. (Φίλ. περὶ ἀρετῶν σελ. 577 καὶ 587 τόμ. β. Mang.). Καὶ Ἰώσηπος· « Τὸ γὰρ Ἰουδαίων γένος πολὺ μὲν κατὰ πᾶσαν τὴν οἰκουμένην παρέσπαρται τοῖς ἐγχωρίοις » κτλ. (Ἰουδ. πολ. ζ, 3). Καὶ Στράβων· « Εἰς πᾶσαν πόλιν ἤδη παρεληλύθει

Οὐδὲ μόνοι οἱ ἑκασταχοῦ ἑλληνίζοντες Ἰουδαῖοι μετεχειρίζοντο τὰς ἑλληνίδας γραφάς, ἀλλὰ καὶ οἱ ἐξ ἐθνῶν ἔκπαλαι κατὰ καιροὺς γινόμενοι πολλαχοῦ προσήλυτοι, οἷον Σύροι, Φοίνικες, Μακεδόνες, Ἀλεξανδρεῖς, Ἀντιοχεῖς, κάτοικοι τῆς μικρᾶς Ἀσίας, τῆς Ἑλλάδος, τῆς Ἰταλίας, καὶ παμπόλλων ἄλλων χωρῶν, ἐφ᾽ ὧν ἡ Ἑλληνὶς ἐπεκράτησε γλῶσσα, καὶ μάλιστα μετὰ τὴν Ἀλεξάνδρου ἀνάβασιν, τὸ ἥμισυ σχεδὸν κατασχοῦσα τῆς οἰκουμένης, ὡς εἶπεν ὁ Φίλων· « Δεινὸν ἡγήσαντο, εἰ οἱ νόμοι παρὰ τῷ ἡμίσει τμήματι τῶν ἀνθρώπων ἐξετασθήσονται, μόνῳ τῷ *βαρβαρικῷ* » (πᾶσι τοῖς μὴ φθεγγομένοις ἑλληνιστί)· « τὸ δ᾽ *Ἑλληνικὸν* » (πᾶν ἔθνος τῇ φωνῇ ἑλληνίζον) « εἰσάπαν ἀμοιρήσει »(α). Εἰ δὲ καὶ πολλοὶ πάλιν τῶν ἐθνικῶν πρὸς τὸ πελαγίζον χῦμα τῆς ἑρμηνείας « *τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν* », οὐδ᾽ ἀνέγνων τὴν βίβλον (ὡς Ὅδιος διατείνεται), οὐδὲ τῶν ἱερῶν ἐπεμνήσθησαν συγγραφέων, ἀλλ᾽ ὅμως ὑπῆρχε πάλιν, οὐδὲν ἧττον ἡ ἑρμηνεία διαλάμπουσα τηλαυγής, καθὼς καὶ μεταξὺ βλεφάρων τυφλῶν οὐχ ἧττον αὐγάζει τὸ φῶς τῆς ἡμέρας· « Τῶν γὰρ νόμων τὸ κλέος, οὓς ἀπολέλοιπε (Μωσῆς), διὰ πάσης τῆς οἰκουμένης πεφοιτηκὸς, ἄχρι καὶ τῶν τῆς γῆς τερμάτων ἔφθακεν. Αὐτὸν δὲ, ὅστις ἦν ἐπ᾽ ἀληθείας, ἴσασιν οὐ πολλοί· διὰ φθόνον ἴσως, ἢ τὴν ἐν οὐκ ὀλίγοις τῶν διατεταγμένων ὑπὸ τῶν κατὰ πόλεις νομοθετῶν ἐναντίωσιν, οὐκ ἐθελησάντων αὐτὸν μνήμης ἀξιῶσαι τῶν παρ᾽ Ἕλλησι λογίων, ὧν οἱ πλείους τὰς δυνάμεις, ἃς ἔσχον διὰ παιδείας, ὕβρισαν ἔν τε ποιήμασι καὶ τοῖς καταλογάδην συγγράμμασι, κωμῳδίας καὶ συβαριτικὰς ἀσελγείας συνθέντες, περιβόητον αἰσχύνην » (β).

§. ιη. Ὅτι δὲ καὶ μεταξὺ τῶν εἰδωλοθρήσκων αὐτῶν ὑπῆρξαν φιλοΐστορες ἄνδρες, καὶ καλοὶ καὶ ἀγαθοί, οἵτινες ἀνέγνων τὴν ἑλληνικὴν τῶν Γραφῶν ἑρμηνείαν, οἱ δέ τινες καὶ αὐτὸν τὸν Μωϋσῆν

---

καὶ τόπον οὐκ ἔστι ῥᾳδίως εὑρεῖν τῆς οἰκουμένης, ὃς οὐ παραδέδεκται τοῦτο τὸ (τῶν Ἰουδαίων) φῦλον, μηδ᾽ ἐπικρατεῖται ὑπ᾽ αὐτοῦ ». (παρ᾽ Ἰωσ. Ἀρχ. ΙΔ, ζ, 2). πρβλ. Ὠριγ. κ. Κέλ. α, §. 16.

(α) Φίλ. Βίῳ Μωσ. β. πρβλ. Salmasij Ossilegium Lingu. Hellenisticae. p. 336. καὶ Fun. p. 119: Lugd. 1643. (β) Φίλων Βίῳ Μωσ. α. προοιμ. σελ. 80. M.

ἐμνημόνευσαν, λέγομεν καὶ ἰδίως ἐν τῷ ἐφεξῆς κεφαλαίῳ, ἓν μόνον ἔτι προσθέντες ἐνταῦθα θεώρημα, τὸ ἐφεξῆς. Διδάσκουσιν οἱ θεῖοι Πατέρες, ὅτι, « Ἐπειδὴ ἔμελλεν ὁ Χριστὸς παραστήσεσθαι, καὶ τὴν οἰκουμένην ἅπασαν πρὸς ἑαυτὸν καλεῖν οὐχὶ διὰ τῶν Ἀποστόλων μόνον, ἀλλὰ καὶ διὰ τῶν Προφητῶν,— τηνικαῦτα λοιπὸν, ὡσπερεί τινὰς εἰσόδους καὶ ὁδοὺς τῆς προφητείας, πρότερον ἀποκεκλεισμένας τῇ τῆς (*ἑβραϊκῆς*) γλώσσης ἀσαφείᾳ, πανταχόθεν ἀνοιγῆναι παρεσκεύασε διὰ τῆς (*ἑλληνικῆς τῶν Γραφῶν*) ἑρμηνείας· ἵνα πάντες οἱ ἐκ τῶν ἐθνῶν πανταχόθεν συῤῥέοντες— *δι'* αὐτῶν δυνηθῶσι πρὸς τὸν Βασιλέα τῶν Προφητῶν ἐλθεῖν, καὶ προσκυνῆσαι τῷ μονογενεῖ τοῦ Θεοῦ υἱῷ» κτλ.(α). Ἀλλ' εἴπερ ἡ *ἑρμηνεία* ὑπῆρχε (κατὰ τοὺς Ὀδιακοὺς) ἄγνωστος τοῖς ἐθνικοῖς, πῶς λοιπὸν ἔμελλε πληροῦσθαι ἡ διὰ τῆς ἑρμηνείας πρὸς ὑποδοχὴν τοῦ Εὐαγγελίου προπαρασκευάζουσα τὰ ἔθνη βουλὴ τοῦ Θεοῦ; Εἰ δὲ καὶ αὕτη πάντως ἐπληροῦτο (ὡς βλέπομεν εὐθὺς), εἰς μάτην λοιπὸν ὑμεῖς, ὦ σοφώτατοι ἀνδρῶν, κλείετε τοῖς ἔθνεσι τὰς θεόθεν αὐτοῖς ἀνοιγείσας τῆς προφητείας ὁδοὺς, ἀποσπῶντες ἀπ' αὐτῶν τὰς ἡρμηνευμένας Γραφὰς τῶν Προφητῶν. Ταύτας ἀναγινώσκοντες, ἢ ἀναγινωσκομένας καὶ ἐξηγουμένας ἀκούοντες, καὶ κατηχούμενοι πάμπολλοι τῶν ἐθνικῶν ἑλληνισταὶ, ἢ καὶ τὸ γένος Ἕλληνες, ἀπέβαινον ἢ προσήλυτοι, ἢ καὶ ἀπερίτμητοι ἐκ τῶν λεγομένων *εὐλαβῶν*, ἢ θεοσεβῶν, καὶ *φοβουμένων τὸν Θεὸν*, οἵτινες καὶ « *σεβόμενοι Ἕλληνες* ἐκαλοῦντο, περὶ ὧν προείπομεν (τόμ. Α. σελ. 36). Διὰ τούτων τῶν τῆς προφητείας ὁδῶν διῆλθον πολλοὶ τῶν ἐθνικῶν, πρὸς οὓς ὕστερον ἐν γένει διὰ τοῦ ἀποστολικοῦ κηρύγματος « ἤνοιξεν ὁ Θεὸς τὴν θύραν τῆς εἰς Χριστὸν πίστεως» (Πράξ. ιδ, 27). Τοιοῦτοι ἐν Θεσσαλονίκῃ « προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σύλᾳ, *τῶν σεβομένων Ἑλλήνων πολὺ πλῆθος* » (Πράξ. ιζ, 4, ιη, 4). Καὶ Κορνήλιος ὁ Ῥωμαῖος, τὰς ἑλληνίδας προφητείας ανα-

(α) Χρυσόστ. Τ. Ϛ. σελ. 183: Venet. πρβλ. Εὐσεβ. Εὐ. Προπ. Η. σελ. 205: Lutet. κτλ. Τοῦτο δὲ καὶ ὁ κλεινὸς Ὀττιγῆρος ὡμολόγησε. « Translationen (τῶν Ο), ad futuri et fermè instantis gentilismi conversionem fuisse prodromum, quis negaverit? » Thesaur. philol. p. 289.

γινώσκων ἐν Καισαρείᾳ, ἀπέβη θεοσεβὴς καὶ *φοβούμενος τὸν Θεὸν*, καὶ τοῦ φωτὸς τῆς πίστεως ἠξιώθη (Πράξ. Ι. ι, κτλ.). Ὡσαύτως καὶ ὁ τῆς Κανδάκης, βασιλίσσης Αἰθιόπων, δυνάστης εὐνοῦχος ἑλληνιστὶ φαίνεται ὅτι ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν (Πράξ. η, 27—33) (α). Ἀλλὰ καὶ οἱ ἐκ Κύπρου καὶ Κυρήνης (ὅπου ἐπεκράτει ἡ ἑλληνικὴ γλῶσσα) μαθηταὶ τοῦ Κυρίου, ἐλθόντες εἰς Ἀντιόχειαν, εὐηγγελίζοντο τὸν Κύριον Ἰησοῦν *πρὸς τοὺς ἑλληνιστὰς* (ἑλληνιστὶ λαλοῦντας, οὐ προσηλύτους, ἴσως, ἢ καὶ γνησίους Ἰουδαίους, ἀλλὰ μᾶλλον, *Ἕλληνας θεοσεβεῖς*, [ὡς καὶ τὸ ἐφεξῆς, Ἰωάν. ιϐ. 20]. *Ἕλληνας*, ἀντὶ τοῦ *Ἑλληνιστὰς*, φαίνεται αὐτόθι καὶ ὁ Χρυσόστομος ἀναγνούς· οὕτως ἔχουσι καί τινες ἀρχαῖοι κώδηκες. βλ. Πράξ. ια. 20: ἐκδ. Γριεσβάχ. 1806). Καὶ (ἵνα τ᾽ ἄλλα παραλίπωμεν), κἀκεῖνοι οἱ *Ἕλληνες*, « οἵτινες ἦσαν ἐκ τῶν ἀναβαινόντων (εἰς Ἱεροσόλυμα) ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ (τοῦ Πάσχα)», καὶ οἵτινες « ἠθέλησαν τὸν Ἰησοῦν ἰδεῖν » (Ἰωάν. ιϐ, 20—23), ὑπῆρχον κἀκεῖνοι τό,τε γένος καὶ τὴν φωνὴν Ἕλληνες (Κύπριοί τινες, ἴσως, ἢ ἀπὸ Φοινίκης, ἢ καὶ ἐξ αὐτῆς τῆς μικρᾶς Ἀσίας) ἐκ τῶν λεγομένων *εὐλαβῶν*, καὶ *θεοσεβῶν* (ϐ). Ὅτι δὲ καὶ κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς, καὶ ἐπὶ τοῦ Στεφάνου ἦσαν ἐν Ἱεροσολύμοις τοιοῦτοι *εὐλαβεῖς* καὶ προσήλυτοι ἑλληνίζοντες, λέγομεν ἀλλαχοῦ. Οὕτω καὶ Ἕλληνες, καὶ ἄλλοι παντοῖοι τῶν ἐθνικῶν ἑλληνίζοντες, καὶ πρὸ τῆς Χριστοῦ ἐπιφανείας διὰ τῶν ἑλληνίδων κατηχούμενοι Γραφῶν, ἐγίνοντο καὶ προσήλυτοι *θεοσεβεῖς*, δικαιοσύνην ἀσκοῦντες, καὶ προάγοντες τὰ ἔθνη πρὸς ὑποδοχὴν τοῦ κηρύγματος τῶν Ἀποστόλων, ἤτοι τοῦ Εὐαγγελίου, « ὃ προεπηγγείλατο ὁ Θεὸς διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις ». Ἀλλ᾽ ἐπανέλθωμεν εἰς τοὺς ἐθνικοὺς συγγραφεῖς.

---

(α) Βλ. Erasm. Annot. ad. Acta. Apost. l. c. Ὁ δὲ Grot. (αὐτόθ.) νομίζει, ὅτι ἑϐραϊστί.

(ϐ) Τὸ Ἕλληνες ἐν τῇ Καινῇ Διαθήκῃ ἐκλαμϐάνεται τριχῶς· α) Οἱ τὸ γένος καὶ τὴν γλῶσσαν Ἕλληνες, ἀντιδιεσταλμένως (ὡς καὶ παρὰ Θουκυδ. β.) πρὸς τὸ βάρϐαροι (Ῥωμ. α, 14.) — ϐ) Οἱ ἀπερίτμητοι ἐθνικοὶ καὶ εἰδωλόθρησκοι (κἂν Ἑλ-

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

*Ὅτι καὶ παρὰ τοῖς ἀρχαίοις ἐθνικοῖς σοφοῖς ὑπῆρχε γνωστὴ ἡ ἑρμηνεία τῶν Ο.*

§. α. Ὡμολόγησε καὶ ὁ κλεινὸς Ὅδιος, ὅτι ἦσαν καί τινες τῶν ἀρχαίων ἐθνικῶν σοφῶν ἐμπεπτωκότες εἰς τὴν ἑρμηνείαν τῶν Ο, εἷς τις μόλις, ἢ δύω (βλ. ὄπισθ. σελ. 46), καὶ οὗτοι τῶν ἀσήμων τινες, καὶ τοῦ σιδηροῦ τῆς φιλολογίας αἰῶνος. Ὅθεν καὶ τὰς τούτων μαρτυρίας « *ἀπὸ ταῤῥοῦ περιφρονεῖ* ». — « Οὐδὲν (ἀποφαίνεται μεγαληγορῶν), οὐδὲν ὠφελοῦσιν ὀλίγα πρὸ Χριστοῦ, οὐδὲν μετὰ Χριστὸν ἄπειρα τοιούτων παραδείγματα »! — Καὶ

---

ληνες τὸ γένος, κἂν ἀλλοεθνεῖς), ἀντιδιεσταλμένως πρὸς τὸ Ἰουδαῖοι (Πράξ. ιδ, 1: Ῥωμ. β. 10.) — γ) Οἱ τὸ γένος καὶ τὴν γλῶσσαν Ἕλληνες, ἀλλ' οὐχὶ καὶ εἰδωλόθρησκοι, σεβόμενοι δὲ τὸν ἕνα Θεὸν, καὶ τὸν νόμον τηροῦντες (χωρὶς τῆς περιτομῆς καὶ τῶν ἄλλων ἰουδαϊκῶν ἐθίμων) « οἱ καὶ ἄλλως « σεβόμενοι Ἕλληνες » (Πράξ. ιζ.,). Τοιοῦτο φαίνεται καὶ τὸ ἀνωτέρω παρὰ τῷ Εὐαγγελιστῇ Ἰωάννῃ. Ὅπου ὁ ἱερὸς Κύριλλος· « Οἱ δὲ (λέγει) μήτε πλήρη τὴν εἰς Ἰουδαίους ῥοπὴν, μήτε μὴν τῶν Ἕλλησι φίλων ἀφεστηκότες ἐθῶν, μέσην δέ τινα, καὶ πρὸς ἄμφω βλέπουσαν ἐπιτηδεύοντες δόξαν, θεοσεβεῖς ὀνομάζονται » (Βλ. καὶ Χρυσόστ. εἰς Ἰωάν. καὶ εἰς Ῥωμ. ὁμ. ε. καὶ ιβ: καὶ Θεοδώρητ. εἰς Ῥωμ. β. κτλ. πρβλ. καὶ Grot. Annotat. ad Johan. l. c. — Salmas. in Funer. Lingu. Hellenist. p. 112—124. etc.). Οἱ δέ τινες τῶν νεωτέρων τοῦτο τὸ παρὰ τῷ Εὐαγγελιστῇ Ἕλληνες ἐξέλαβον ἀντὶ τοῦ ἑλληνισταὶ, Ἰουδαῖοι δηλαδὴ τὸ γένος καὶ τὸ θρήσκευμα, ἢ καὶ τέλειοι προσήλυτοι, λαλοῦντες ἑλληνιστί (βλ. Schleusn. Lex. N. T. λ. Ἕλλην. καὶ Suicer. Thes. T. I. p. 1090). Ἀλλ' ὅ,τι ἂν οὗτοι λέγωσιν, ἔχουσι καὶ τοὺς οἰκείους ἀντιδοξοῦντας, καὶ τοὺς θείους ἡμῶν Πατέρας. Τούτοις καὶ ἡμεῖς ἑπόμενοι, βλέπομεν ἀσμένως πρώτους τῶν ἐθνῶν ἁπάντων Ἕλληνας θεοσεβεῖς, ἐπιποθήσαντας ἰδεῖν τὸν Ἰησοῦν, ἤδη μέλλοντα μετ' ὀλίγον δοξασθήσεσθαι διὰ τοῦ σταυροῦ (« δόξα γὰρ Χριστοῦ, ὁ σταυρός »). Θέλομεν (εἶπον προσελθόντες Φιλίππῳ τῷ ἀποστόλῳ), Θέλομεν τὸν Ἰησοῦν ἰδεῖν (τουτ. θεάσασθαι ἐκ τοῦ πλησίον, καὶ συλλαλῆσαι κατ' ἰδίαν, συντυχεῖν· οὕτω τὸ ἰδεῖν καὶ Λουκ. η, 20. κτλ. καὶ ἐν τῇ συνηθείᾳ). Καὶ αὐτὸς ὁ Ἰησοῦς, οἷον εὐλογῶν αὐτῶν τὸν πόθον, καὶ τούτους εἰς τὸν λόγον τὸν τοῦ Σταυροῦ προορίζων, ἀπήντησε πρὸς τὸ ζήτημα « Ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου » κτλ. Καὶ τὸ πρᾶγμα ἔδειξεν. Οἱ Ἕλληνες πρῶτοι τῶν ἐθνικῶν τὴν εἰς Χριστὸν ἐδέξαντο πίστιν, καὶ τῶν Ἀποστόλων ἐγένοντο διάδοχοι, κηρύξαντες καὶ αὐτοὶ τὸ Εὐαγγέλιον εἰς τὸν κόσμον ἅπαντα, καὶ τοῦτο πρωτοτύπως γεγραμμένον ἑλληνιστί! « Καὶ τοῦτο οὐκ ἐξ ἡμῶν. Θεοῦ τὸ δῶρον ».

πῶς, ὦ σοφὴ κεφαλή; μὴ γὰρ ὅσα σὺ τῶν προ Χριστοῦ παραδείγματα ὑπὲρ σεαυτοῦ ἐμνημόνευσας (ὅπως δὴ καὶ ἐμνημόνευσας), ὑπάρχουσι καὶ πλήθει πολλὰ, καὶ χρόνῳ παλαιὰ, καὶ πίστει βέβαια καὶ ἀκράδαντα; ἀλλὰ σὺ δύω μόλις ἐκ τῶν πρὸ Χριστοῦ Σωτῆρος συγγραφέων τὰς ῥήσεις παρήγαγες, τοῦ Διοδώρου, καὶ τοῦ Στράβωνος, καὶ τούτων, τοῦ μὲν μόλις 40, τοῦ δὲ μόλις 20 ἔτη προλαβόντος τὴν σωτήριον ἐποχήν. Ἔχε καὶ τὸν Τρόγον, ἂν θέλῃς, τρίτον (οὗτινος οὐκ ἔχεις, εἰ μὴ τὴν Ἰουστίνειον σύνοψιν, γενομένην περὶ τὸ 160, ἢ 170 μ. Χ.). Οἱ δὲ λοιποὶ πάντες, ὅσων ἐξέφερες τὰς οἱασδήποτε ῥήσεις, ἤκμασαν μετὰ Χριστὸν ἅπαντες. Ἐπειδὴ δὲ τότε τὸ κλέος τῆς ἑρμηνείας ἔλαμπεν οὐ μόνον παρ' Ἰουδαίοις, ἀλλὰ καὶ παρὰ τοῖς ἐν ὅλῳ τῷ κόσμῳ παντοδαποῖς χριστιανοῖς, καὶ *γλῶσσαν παντοίαν ἐλάλουν αἱ Γραφαὶ* (μεθερμηνευόμεναι ἐκ τῆς Ἑλληνίδος) « *εἰς ἐπήκοον πᾶσι τοῖς ἔθνεσι* », καὶ ἤδη « ἤκουσαν κωφοὶ *λόγους βιβλίου* » (Ἡσαΐ. λ. 18), ἄγε, λοιπὸν, ὦ ἀγαθὲ, καὶ λέγε σὺ μᾶλλον ἐπᾴδων πρὸς σεαυτὸν τὸ σὸν καλὸν ἀπόφθεγμα· ὅτι οὐδέν σε ὠφελοῦσιν ὀλίγα πρὸ Χριστοῦ, οὐδὲν μετὰ *Χριστὸν ἄπειρα* (καὶ ποῦ γ' ἂν εὗρες;) παραδείγματα συγγραφέων ἐθνικῶν, ὅσοι κατεφρόνησαν τὴν ἀνέκαθεν ἐξάκουστον καὶ περιώνυμον ἑρμηνείαν τῶν Γραφῶν. Πολὺ τοῦ Διοδώρου καὶ τοῦ Στράβωνος ἀρχαιότεροι σοφοὶ ταύτην ἐγνώρισαν καὶ ἐτίμησαν (περὶ ὧν ἐφεξῆς). Σὺ δὲ, ὦ σοφώτατε, καὶ ἄλλως ἀδικεῖς· ἢ πῶς τῶν μὲν τοῖς Ἰουδαίοις ἐχθίστων Ἀπίωνός τε καὶ Λυσιμάχου, καὶ τοιούτων ἄλλων ἐθνικῶν τὰ παρισορήματα, καὶ μόνα δὲ πολλάκις τὰ ὀνόματ' ἀπαριθμεῖς (καὶ ταῦτα παρ' Ἰωσήπου, τοῦ στηλιτεύσαντος αὐτοὺς ὡς ψεύστας, μαθὼν), ἄλλων δὲ, κἀκείνων ἐθνικῶν, καὶ πολὺ διασημοτέρων σοφῶν πολλὰ παραδείγματα, ὅσα τὸ κλέος τῆς ἑρμηνείας ἐπικυροῦσι, ταῦτα παραγράφεις καὶ παρατρέχεις σιωπῶν, ὡς ἴσα καὶ μηδενί; Καὶ ποῦ σοι τὰ ζυγὰ τῆς Θέμιδος Κριτικῆς; Ἀλλ' ἀνακαλοῦμεν ἡμεῖς, χάριν τῆς ἀληθείας, καταλέγοντες τοὺς μάρτυρας τούτους τῆς ἑρμηνείας, οὕς τινας, ὦ βέλτιστε σὺ,

(τοσούτους δὴ καὶ τοιούτους), οὕτως ἀπηνῶς ἐκ τῶν ἀδίκων σου σελίδων ὑπερορίους ἀπεξήλασας.

§. β. Α) Δημήτριος ὁ Φαληρεὺς φέρεται παρ᾽ Ἰωσήπῳ συγγράψας περὶ τῶν Ἰουδαίων. « Ὁ μέν τοι (λέγει) *Φαληρεὺς Δημήτριος, καὶ Φίλων ὁ πρεσβύτερος, καὶ Εὐπόλεμος, οὐ πολὺ τῆς ἀληθείας διήμαρτον* » (ἀναγράφοντες τὰ τῶν Ἰουδαίων) (α). Τοῦτον τὸν Δημήτριον καὶ Κλήμης ὁ Στρωματεὺς μνημονεύει (χωρὶς ὅμως ἐπιθέτου, τοῦ Φαληρέως), ὡς ἱστορίαν συγγράψαντα « *περὶ τῶν ἐν τῇ Ἰουδαίᾳ βασιλέων* ». Καὶ πάλιν· « *Φίλων δὲ καὶ αὐτὸς ἀνέγραψε τοὺς βασιλεῖς τῶν Ἰουδαίων διαφώνως τῷ Δημητρίῳ· ἔτι δὲ Εὐπόλεμος, ἐν τῇ ὁμοίᾳ πραγματείᾳ* » κτλ. (β). Ὅπου παρατηρεῖς, ἀναγνῶστα, σαφῶς, ὅτι ταῦτα γράφων ὁ ἱερὸς Κλήμης, εἶχε καὶ τὸν Ἰώσηπον πρὸ ὀφθαλμῶν. Ἀλλ᾽ οἱ πλεῖστοι τῶν κριτικῶν τὸν Δημήτριον τοῦτον Ἰουδαῖον θέλουσιν ἑλληνιστὴν, ὀλίγοι δέ τινες εἶπον αὐτὸν Ἕλληνα, ἀκμάσαντα ἐπὶ τοῦ Δ, Πτολεμαίου (ὡς καὶ Ὅδιος ἐν τοῖς προηγουμένοις, σελ. 45). Τὸν Ἰώσηπον δὲ πάντως ἠπατημένον νομίζουσιν ἐκ τῆς ὁμωνυμίας. Διότι (λέγουσι) *Δημητρίου* τινὸς (εἴτε Ἕλληνος, εἴτε Ἰουδαίου ἑλληνιστοῦ) περὶ Ἰουδαίων ἱστορικῷ συγγράμματι περιτυχὼν, καὶ τοῦτον εἶναι νομίσας Δημήτριον ἐκεῖνον τὸν πάνυ, τὸν ἐκ Φαλήρου σοφὸν, προσέθηκεν ἐξ ἁπλῆς εἰκασίας πρὸς τῷ *Δημητρίου* καὶ τὸ ἐπώνυμον *Φαληρέως*. Δείξεις δὲ τῆς γνώμης αὐτῶν φέρουσι τὰς ἑξῆς.

α) Ὁ ἱστορικὸς Εὐσέβιος διαλαμβάνων περὶ τοῦ Κλήμεντος, λέγει ταῦτα ἐπὶ λέξεως. « Ἔτι μὴν (ὁ Κλήμης μνημονεύει) Φίλωνος, καὶ Ἀριστοβούλου, Ἰωσήπου τε, καὶ *Δημητρίου, καὶ Εὐπολέμου, Ἰουδαίων συγγραφέων* (Εὐσέβ. Ἐκκλ. ἱστορ. ς. ιγ).

β) Ταῦτα λέγει καὶ Ἱερώνυμος· « Οὐδὲν δὲ ἧττον καὶ Ἰουδαίους, Ἀριστόβουλόν τινα, *καὶ Δημήτριον, καὶ Εὐπόλεμον* (ὁ Κλήμης) ἀναφέρει » (γ).

---

(α) Ἰώσηπ. κ. Ἀπίωνος Α. κγ. (β) Κλήμ. Στρωματ. α. σελ. 247. Lugd.
(γ) S. Hieronym. Catalog. Script. Eccles. c. 48. v. Clemens. πρβλ. καὶ Valcken.

γ) Διογένης, τέλος, ὁ Λαέρτιος, ἐν τῷ καταλόγῳ τῶν συγγραμμάτων Δημητρίου τοῦ Φαληρέως, οὐδὲν αὐτοῦ βιβλίον *περὶ Ἰουδαίων* οὐδόλως διεμνημόνευσε. — Πρὸς ταῦτα ἀπαντῶμεν.

α) Ὁ Κλήμης οὔτε Φαληρέα ῥητῶς, οὔτε πάλιν ἑλληνιστὴν Ἰουδαῖον ἐπωνόμασε τὸν Δημήτριον τοῦτον, ἀλλ' ἁπλῶς *Δημήτριον* (καθὼς εἶπε τὸν αὐτὸν καὶ ἀλλαχοῦ, ὡς λέγομεν ἐφεξῆς §. γ) (α). Ὅτι δὲ καὶ Κλήμης τὸν Δημήτριον τοῦτον εἰς τὴν αὐτὴν τίθησι τάξιν μετὰ Φίλωνος καὶ Εὐπολέμου, καθὼς καὶ Ἰώσηπος (ὅστις καὶ τοὺς τρεῖς τούτους Ἕλληνας τὸ γένος ἀποφαίνεται), προείπομεν ἀνωτέρω. Καὶ μετ' ὀλίγον δὲ πάλιν ἐξ αὐτοῦ τοῦ Κλήμεντος ὀψόμεθα, ὅτι ὁ Δημήτριος οὗτος ἤκμαζε κατὰ τοὺς χρόνους τοῦ Α, Πτολεμαίου, καὶ τοῦ Β, (τοῦ Φιλαδέλφου).

β) Ὁ ἱστορικὸς Εὐσέβιος ἐν τῇ Εὐαγγελικῇ Προπαρασκευῇ (βιβλ. θ. πρὸς τῷ τέλει) τὸν αὐτὸν Δημήτριον ἔγραψε ῥητῶς καὶ *Φαληρέα* (καθὼς καὶ ὁ Ἰώσηπος), ἀναφέρων αὐτὸν ὡς συγγραφέα πραγμάτων ἰουδαϊκῶν. «Ὁ μέν τοι (λέγει) *Φαληρεὺς Δημήτριος*, καὶ Φίλων ὁ πρεσβύτερος» (καὶ τ' ἄλλα ἐφεξῆς τὰ Ἰωσήπεια, καθὼς ἀναγινώσκονται καὶ τὴν σήμερον). Καὶ τούτου πάλιν τοῦ Δημητρίου συγγραφὴν ἐγνώριζεν ὁ Εὐσέβιος τὴν *περὶ Ἰουδαίων ἱστορίαν* ἐκείνην, ἐξ ἧς ἀντέγραψε ῥήσεις μακράς, ἀποσωθείσας παρὰ τῷ Πολυΐστορι (Προπαρ. σελ. 247, 257, 268). Τὸν αὐτὸν λοιπὸν Δημήτριον ὤφειλε πάντως ὁ Εὐσέβιος ἐννοεῖν καὶ ἐν τῷ διαληφθέντι χωρίῳ τῆς Ἐκκλησιαστικῆς ἱστορίας· ὅπου ὅμως, εἴτ' αὐτὸς ἐπιλαθόμενος συνῆψε μετὰ Φίλωνος καὶ Ἰωσήπου τὸν Δημήτριον καὶ Εὐπόλεμον, ὡς ἂν καὶ τούτους ὄντας Ἰουδαίους

---

de Aristob. p. 18. ὅστις ταύτας τὰς ῥήσεις τοῦ Κλήμεντος καὶ Εὐσεβίου φέρει μάρτυρας (ὡς ἐνόμισεν) ἀναντιῤῥήτους, ὅτι καὶ Δημήτριος καὶ Εὐπόλεμος ἦσαν Ἰουδαῖοι (βλ. ἔμπροσθ. §. κ. σημ.). Οὕτω καὶ Huet. Dem. Evang. Prop. IV. 62. §. 29, et §. 30 pag. 55, καὶ Hody pag. 54 καὶ 107 καὶ 199—200.

(α) Ὁ Κλήμης μνημονεύει καὶ Δημητρίου συγγραφέως Ἀργολικῶν (ἄλλου τινος ἴσως, διαφόρου παρὰ τὸν Φαληρέα) «Δημήτριος γὰρ ἐν δευτέρῳ τῶν Ἀργολικῶν τοῦ ἐν Τίρυνθι τῆς Ἥρας ξοάνου καὶ τὴν ὕλην, ὄγχνην, καὶ τὸν ποιητήν, Ἄργον, ἀναγράφει. (Κλήμ. προτρεπ. πρὸς τοὺς Ἕλληνας σελ. 23. Lugd.).

συγγραφεῖς, εἴτε καὶ (τὸ πιθανώτερον) παλαιός τις ἀντιγραφεὺς διέστρεψεν ἐξ ἀβλεψίας τὴν φράσιν. Ὁ δ' Εὐσέβιος, ἴσως, ἔγραψεν οὕτω· « Μνημονεύει τε ὁ Κλήμης τοῦ πρὸς Ἕλληνας Τατιανοῦ λόγου, καὶ Κασσιανοῦ, (ὡς καὶ τούτου χρονολογίαν πεποιημένου)· ἔτι μὴν *Δημητρίου καὶ Εὐπολέμου*, Φίλωνός [τε] καὶ Ἀριστοβούλου καὶ Ἰωσήπου Ἰουδαίων συγγραφέων ». Οὕτως ὁ Εὐσέβιος προτιθεὶς τὸν Δημήτριον καὶ Εὐπόλεμον ἁπλῶς, ὡς χρονολόγους καὶ αὐτοὺς (κατὰ τὸν Κασσιανὸν), ἔπειτα μετέβαινε καὶ εἰς τοὺς τρεῖς Ἰουδαίους συγγραφεῖς, τὸν Φίλωνα, κτλ. Ἀλλ' ὅπως ἂν ἔχῃ τὸ περὶ τούτου, κἂν τοῦ μεταγραφέως τὸ σφάλμα κριθῇ, κἂν αὐτοῦ τοῦ Εὐσεβίου παράπτωμα μνημονικὸν, οὐδὲν ἐκ τούτου δεινόν. Ὁ Εὐσέβιος ἐν τῇ Εὐαγγελικῇ Προπαρασκευῇ γνωρίζει, καὶ ῥητῶς ὁμολογεῖ τὸν παρὰ τῷ Ἰωσήπῳ Δημήτριον, τὸν Φαληρέα. Ἐπινεύει δὲ καὶ Ὅδιος (α).

γ) Ὁ δὲ μακάριος Ἱερώνυμος ἀντιγράφων (ὡς ὑπάρχει πρόδηλον) τὰ περὶ τῶν ἄλλων συγγραφέων, καὶ αὐτὰ τὰ περὶ τοῦ Κλήμεντος, κατὰ λέξιν ἐκ τῆς Εὐσεβίου Ἐκκλησιαστικῆς ἱστορίας, ἀντέγραψε καὶ τὴν ἐσφαλμένην ῥῆσιν, οἵαν εὕρηκε.

δ) Ἀλλ' ὁ παλαιὸς Τερτυλλιανὸς, ὁ σύγχρονος τῷ Κλήμεντι, καὶ μόλις 80 ἔτη μετὰ τὸν Ἰώσηπον γενόμενος, καὶ αὐτὴν ἴσως ἰδὼν ἔτι τότε σῳζομένην τὴν *περὶ Ἰουδαίων* τοῦ Φαληρέως συγγραφὴν, μεταξὺ τῶν ἰουδαϊκὰ συγγραψάντων ἱστοριογράφων ἀριθμεῖ καὶ Δημήτριον τὸν Φαληρέα (β).

---

(α) Hody pag. 54. *Πλὴν ἀλλὰ προστίθησιν, ὅτι καὶ Εὐσέβιος καὶ ὁ Τερτυλλιανὸς (βλ. ἐφεξῆς) προσέθηκαν τὸ Φαληρεὺς ἐπώνυμον, ἀντιγράψαντες ἐκ τοῦ Ἰωσήπου (αὐτόθ.). Ἀλλ' οὐδ' ἐκ τούτου κερδαίνει ἡ τοῦ Ὁδίου ἀντιλογία. Ἀντιγράφοντες (ὡς λέγει) τὰ τοῦ Ἰωσήπου ὁ Τερτυλλιανὸς καὶ ὁ Εὐσέβιος, ἐπεκύρουν ταῦτα μᾶλλον, ὡς εἰδότες καὶ αὐτοὶ τὴν περὶ Ἰουδαίων συγγραφὴν τοῦ Φαληρέως, σῳζομένην ἔτι καὶ κατ' αὐτοὺς, ὡς ἀποδείκνυται μάλιστα ἐκ τοῦ παρὰ Κλήμεντι σῳζομένου χωρίου, περὶ οὗ λέγομεν ἐφεξῆς παρακατιόντες.*

(β) *Ὁ Τερτυλλιανὸς ἀποδεικνύων τοὺς θείους προφήτας ἀρχαιοτέρους εἶναι τῶν παλαιῶν ἐθνικῶν νομοθετῶν τε καὶ ἱστορικῶν συγγραφέων, καὶ τούτων τοὺς παλαιοτέρους ἀριθμήσας, ἐπιφέρει* « Sectatores quoque eorum, Mendesius

ε) Ὁ δὲ, τέλος, Λαέρτιος οὔτε κατάλογον ἔγραψεν ἀκριβῆ τῶν συγγραμμάτων τοῦ Φαληρέως, καὶ αὐτοὶ οἱ ἀντιλέγοντες οὐκ ἂν ἔχοιεν ἀποδεῖξαι, ὅτι μεταξὺ τῶν ἱστορικῶν βιβλίων τοῦ Φαληρέως, ὅσα περιληπτικώτερον καὶ ὁλοσχερῶς ἐμνημόνευσεν ὁ Λαέρτιος (α), οὐδεμία συμπεριείχετο καὶ *περὶ Ἰουδαίων* ἱστορία. Καὶ ἄλλο παρομοίως ἐπίσημον τοῦ Φαληρέως σύγγραμμα, « *τὴν ἀρχόντων ἀναγραφὴν* » παρεσιώπησεν ὁ Λαέρτιος ἐν τῇ τούτου βιογραφίᾳ. Καὶ ὅμως αὐτὸς οὗτος πάλιν ὁ Λαέρτιος ἐν ἄλλοις βίοις ἐμνημόνευσε δὶς τὴν ὑπὸ τοῦ Φαληρέως ταύτην « *τῶν ἀρχόντων ἀναγραφὴν* », (β), ὡς ὁ σοφώτατος παρετήρησεν Οὐόσσιος, ὁ πατήρ (γ). Παρὰ τῷ Στοβαίῳ (λόγ. β.) βλέπομεν καὶ ἄλλο τοῦ Φαληρέως βιβλίον, *Ἀποφθέγματα τῶν ἑπτὰ σοφῶν*, ὅπερ οὐδ' αὐτὸ οὐδαμοῦ διεμνημόνευσεν ὁ Λαέρτιος. Εἰ δὲ καὶ τὸ *Σωκράτης* ἐπιγραφόμενον σύγγραμμα τοῦ Φαληρέως (Λαέρτ. αὐτόθ.) ὑπῆρχε διάφορον τῆς *Ἀπολογίας τοῦ Σωκράτους*, ἧς ἀλλαχοῦ πάλιν ὁ αὐτὸς Λαέρτιος ἐμνημόνευσε (Θ. α, 10), καὶ ταύτην λοιπὸν ἀπεσιώπησεν ἐν τῇ βιογραφίᾳ τοῦ Φαληρέως, συμπεριλαβὼν ἴσως μεθ' ὧν ὁλοσχερέστερον ἀνέφερεν αὐτοῦ βιβλίων *ῥητορικῶν* (δ). Πρόσθες τούτοις καὶ ἄλλας ὁμοίας ἐλλείψεις τοῦ Λαερτίου· οἷον, τοῦ Κλεάνθους πεντήκοντα σχεδὸν βιβλία ἀριθμῶν

---

Ptolemaeus et Menander Ephesius, et D e m e t r i u s P h a l e r e u s, et rex Juba, et Apion, et Thallus, etc. Tertullian Apolog. c. XX. Τοῦ Ἰούβα, ἢ Ἰόβα τὸ *π ε ρ ὶ Ἀ σ σ υ ρ ί ω ν*, *καὶ τοῦ Θάλλου τ ὰ Σ υ ρ ι α κ ὰ μνημονεύει καὶ* Εὐσέβιος ἐξ Ἀφρικανοῦ (*Εὐαγ. Προπαρ.* I, *σελ.* 287 : *καὶ* Χρον. Α.). Τοῦ δ' αὐτοῦ Ἰόβα, Λιβύης *βασιλέως καὶ συγγραφέως πολυγραφωτάτου γενομένου, μέμνηται καὶ* Κλήμης Στρωμ. *α, καὶ* Φώτιος *ἀναγ. ξα. βλ. καὶ* Σουΐδ. *λ.* Ἰόβας, *καὶ* Πλούταρχ. *ἐν* Σερτωρ. §. θ. Καῖσαρ. § *νε. καὶ* Viscont. Jconog. Grec. vol. 3. p. 270.

(α) « *Πλήθει δὲ βιβλίων σχεδὸν ἅπαντας παρελήλακε τοὺς κατ' αὐτὸν περιπατητικούς. — ὧν ἐστὶ τὰ μὲν ἱ σ τ ο ρ ι κ ὰ, τὰ δὲ π ο λ ι τ ι κ ὰ, τὰ δὲ ῥητορικὰ* » *κτλ.* (Λαέρτ. Ε. ε. § 9. *πρβλ. καὶ* Menag Observat. Segm 79. pag. 222).

(β) Βλ. Λαέρτ. Α. α, 1 : *καὶ* Β. γ, 3.

(γ) G. Voss. de Hist. Gr. I. 12. καὶ Menag. l. c.

(δ) Καὶ *περὶ τοῦ τ έ σ σ α ρ α, ἢ τ ο ῦ τ ε τ ρ α δ ι κ ο ῦ ἀ ρ ι θ μ ο ῦ βιβλίον γράψαντα τὸν Δημήτριον ὁ* Πλίνιος *ἱστορεῖ* (L. XXVIII. c. 6. d e n u m e r o q u a t e r n a r i o)· *ἀλλ' ἄδηλον εἴπερ οὗτος ὑπῆρχεν ὁ Φαληρεύς. βλ.* Menag. l. c.

(Ζ, ε, §. 6.), τὸν κάλλιστον ὕμνον παρέλιπεν, ὃν διέσωσεν ὁ Στοβαῖος (α)· ὡσαύτως ἐσιώπησε καὶ ἕτερα ποιήματα τοῦ Κλεάνθους, ἐξ ὧν τινες στίχοι περιῆλθον καὶ εἰς ἡμᾶς, ὡς οἱ παῤ Ἐπικτήτῳ τέσσαρες ἰαμβικοὶ, κτλ. (β). Καὶ ὀρθῶς ἄρα καὶ τῶν νεωτέρων σοφῶν ἄνδρες ἐπιφανεῖς ἀντεῖπον πρὸς τοὺς κακίζοντας τὸν Ἰώσηπον, ὡς συγχύσαντα τὸν περὶ Ἰουδαίων συγγράψαντα Δημήτριον μετὰ τοῦ Φαληρέως, τοῦτον αὐτὸν ἐκεῖνον εἶναι δικαίως ἀποδεχόμενοι καὶ ὁμολογοῦντες (γ). Καὶ τοῦτο μὲν δειχθήσεται τρανώτερον ἐν τοῖς ἐφεξῆς.

Καὶ ἄλλως δὲ φαίνεται πρᾶγμ' ἀπίθανον, ὅτι ὁ Ἰώσηπος συνέχεεν (εἴτε ἄκων, εἴτε καὶ ἑκὼν) τὸν Φαληρέα, πρὸς ὃν λέγουσιν Ἰουδαῖον ἑλληνιστὴν Δημήτριον. Ἐπειδὴ, α) ὁ Ἰώσηπος εἶχε πάντως γνῶσιν Δημητρίου τοῦ Φαληρέως, ὅστις ποτε ἦν, καὶ πόθεν, καὶ πότε ἤκμαζε. Καὶ πολλάκις αὐτὸν ὠνόμασεν ἐν τῇ συνόψει τῆς ἱστορίας τοῦ Ἀριστέου (Ἀρχ. ιϐ, ϐ, καὶ κατὰ Ἀπίων. β, 4)· ἐγνώριζε δὲ καὶ εἴ τι συνέγραψε κατοικῶν ἐν Ἀλεξανδρείᾳ (ἢ πῶς ἂν ἐλάνθανον αὐτὸν ἐκ τῶν περιωνύμων τοῦ Φαληρέως συγγραμμάτων τὰ μάλιστα αὐτῷ διαφέροντα;). Ὅτι δὲ *Φαληρεὺς Δημήτριος* ἄλλος οὐδεὶς τῶν ἀρχαίων ἱϛόρηται, φανερόν (δ).— β) Ὁ ἱϛορικὸς Ἰώσηπος ἐγνώ-

---

(α) Στοϐ. Ἐκλογ. Τ. 1. σελ. 30. ἐκδ. Herr.

(β) Ἐπίκτ. ἐγχειρ. κεφ. νγ. §. 1. καὶ Σιμπλίκ. Σχόλ. αὐτόθ. Καὶ παρὰ Γαληνῷ σώζονται τέσσαρες ἰαμϐεῖοι (Γαλην. Τόμ. ε. σελ. 476), καὶ παρὰ Κλήμεντι ἄλλοι πάλιν ἰαμϐεῖοι ἔκ τινος ποιήματος τοῦ Κλεάνθους περὶ τοῦ Θεοῦ (Στρώμ. ε. σελ. 439. Lug.), καὶ ἄλλοι τέσσαρες ἡρῷοι ἠθικοὶ (αὐτόθ. σελ. 404).

(γ) J. Voss. praefat. Respons. ad Object. Theolog. Leydensis (in Dissert. de LXX.), καὶ Respons. ad Object. nuperae (Simonij) Crit. sacr. in Variar. Observ. p. 302. Londin. 1685. Ἐν δὲ ταῖς πρότερον ἐκδοθείσαις πρὸς Ὅρνιον ἀντιῤῥήσεσιν ὁ κλεινὸς Οὐόσσιος ἐνόμισε τοῦτον τὸν Δημήτριον ἀκμάσαντα ἐπὶ Πτολεμαίου τοῦ Δ. (Castigat. ad Object. G. Hornij p. 323. in Diss. de LXX)., ὡς καὶ ὁ πατὴρ αὐτοῦ, ὁ Γεράρδος Οὐόσσιος (G. Vos. de Histor. Gr. L. III. p. 426. West.)· ἀλλ' ἔπειτα διώρθωσε καὶ τὸ τοῦ πατρὸς καὶ τὸ ἴδιον λάθος ὁ υἱὸς, ἐπισκεψάμενος ἀκριϐέστερον. Βλ. καὶ Demagistr. Apolog. Diss. IV. p. 458.

(δ) Εἴκοσιν ἀξιολόγους Δημητρίους ἠρίθμησεν ὁ Λαέρτιος (Ε, ε). Ἄλλους τριάκοντα περίπου προσέθηκεν ὁ σοφὸς τοῦ Λαερτίου ἐκδότης καὶ σχολιαστὴς Μενά-

ριζε πάντως καὶ τοὺς ἐπισήμους συγγραφεῖς τῶν ἑαυτοῦ ὁμογενῶν ἑβραίων ἑλληνιστῶν· πῶς λοιπὸν οὗτος ἐτόλμα συγχέειν τούτους πρὸς τοὺς Ἕλληνας; — γ) Καὶ ὁ τόπος, ἔνθα μνημονεύει τὸ περὶ Ἰουδαίων σύγγραμμα τοῦ Φαληρέως, ἀπῄτει τὸν Ἰώσηπον οὐ νυστάζοντα καὶ χασμώμενον, οὐδὲ προστιθέντα τηνάλλως τὰ ὀνόματα τῶν οἷς ἐχρῆτο μαρτύρων, ἀλλὰ καὶ λίαν ἀσφαλῆ καὶ προσεκτικόν. Ἀντέλεγε πρὸς τὰς κατὰ τῶν Ἰουδαίων βλασφημίας τῶν ἐθνικῶν, καὶ μάλιστα τῶν Ἀλεξανδρέων, ἄλλων τε καὶ τοῦ θερμοῦ Ἀπίωνος (ζῶντος, ἴσως, ἔτι κατ' αὐτὸν, καὶ ὀξέα *κεκληγότος*, ἢ καὶ διαδόχους τῶν λήρων οὐχ ἧττον αὐθαδοστόμους καταλιπόντος)·

---

*γιος, ἐκ διαφόρων συγγραφέων ἀθροίσας* (Observ. in Laert. Segm. 85. p. 225). *Ἀλλ' οὐδεὶς εὕρηται Δημήτριος Φαληρεὺς ἕτερος παρὰ τὸν γνωστόν. Μόνον παρὰ Στεφάνῳ τῷ* Βυζαντίῳ (*ἐν λ.* Κορώπῃ) *ἀνκαγινώσκομεν, ὅτι μεταξὺ τῶν σχολιασάντων τὰ* Θηριακὰ τοῦ Νικάνδρου *εἷς ἦν καὶ Δ η μ ή τ ρ ι ο ς ὁ Φ α λ η ρ ε ύ ς.* Ἐπειδὴ *δὲ ὁ* Νίκανδρος *ὑπῆρξε πολὺ τοῦ περιφήμου Φαληρέως μεταγενέστερος, ὑπέλαβεν ὁ* Γαλέας (Praefat. ad Demetr. Phaler.) *ἄλλον τινα τοῦτον εἶναι Φαληρέα, νεώτερον.* Ἀλλ' *ἐξήλεγξε δικαίως τὴν* Γαλέου *ἀπάτην ὁ* Ὅδιος (*σελ.* 54), *καὶ πάντες δὲ σχεδὸν οἱ κριτικοὶ νόθον νομίζουσι τὸ Φ α λ η ρ έ ω ς εἰς τὸν ἀνωτέρω τοῦ* Στεφάνου *τόπον, προστεθειμένον ὑπὸ ξένης χειρὸς ἀμαθεστάτου μεταγραφέως* [*βλ.* Jons. de Script. Hist. Philos. p. 210. *καὶ ὁ* Menagius (Observ. in Laert. l. c.) « hac vox *Φαληρεὺς* omnino *νοθεύει* » (*τουτ. νοθεύεται*). *πρβλ. καὶ* Crit. not. *εἰς* Στέφαν. *σελ* 469, *καὶ* Luc. Holst. Not. in Steph. Byz. *σελ.* 169.]. Τοῦτον *δὲ τὸν* Νικάνδρου *σχολιαστὴν Δημήτριον ἐξέλαβόν τινες τὸν αὐτὸν καὶ τὸν* Μ. Αὐρηλίου *ἀρχίατρον, οὗ μέμνηται* Γαληνὸς (*Θηριακ. ιβ. καὶ περὶ* Ἀντιδότ. *α, ι*), *ἢ Δημήτριον τὸν ἐπιλεγόμενον* Χ λ ῶ ρ ο ν, *οὗ μέμνηται* Σέξτος *ὁ* Ἐμπειρικὸς (*πρὸς Γραμματ.* 14. *πρβλ.* Fabric. Bibl. Graeca vol. 4. p. 366. *ἐκδ.* Harl.)· *καὶ ξένον οὐδὲν, εἰ παρὰ τῷ Στεφάνῳ τὸ πρῶτον ἐγράφετο* Χ λ ῶ ρ ο ς, *ἔπειτα δὲ τοῦτο εἰς τὸ* Φ λ ῶ ρ ο ς *ὑπὸ τῶν ἀντιγραφέων διαφθαρὲν, ἐξώλισθε μέχρι καὶ τοῦ* Φ α λ η ρ ε ύ ς. Καὶ *τοιοῦτό τι φαίνεται πιθανώτερον μᾶλλον, ἢ τὸ προστεθῆναι τὸ Φαληρεὺς ἐκ τοῦ μηδενός.* Ὅταν *δὲ παρατηρήσωμεν, πόσον καὶ ἄλλως διέφθαρται τοῦτο τῷ παρὰ* Στεφάνῳ *ἄρθρον, τὸ* Κ ο ρ ώ π η (*εἰς ὃ ματαίως ἔν τισιν ἐπόνησαν διορθοῦντες ἄλλοι τε, καὶ αὐτὸς ὁ κλεινὸς* Σαλμάσιος), *οὐδ' αὐτὸ τὸ Φαληρεὺς φανήσεται περιττόν.* Ὁ Στέφανος *ἴσως ἔγραψεν οὕτω* « ΚΟΡΩΠΗ, *πόλις Θεσσαλίας.* Νίκανδρος *ἐν Θηριακοῖς.* Ἢ *ἐν* Ἀ π ό λ λ ω ν *μ α ν τ ε ί α ς* Κ ο ρ ω π α ῖ ο ς *ἐ θ ή κ α τ ο.* — Οἱ *δὲ ὑπομνηματίσαντες αὐτὸν* (*τὸν* Νίκανδρον), Θέων, *καὶ* Πλούταρχος, *καὶ* Δημήτριος [*δὲ*] *ὁ* Φαληρεὺς, *φασὶν,* Ὠ ρ ω π α ῖ ο ς Ἀ π ό λ λ ω ν· *ἀγνοεῖ δὲ* [Νίκανδρος] *ὅτι* Ἀμφιαράου *τὸ* [*ἐν* Κορώπῃ] *ἱερὸν, καὶ οὐχ* Ἀπόλλωνός *ἐστι* » — (*καὶ τὰ λοιπὰ διορθούσθωσαν κατὰ τοὺς κριτικούς*). Ὥστε *τοῦ* Στεφάνου *ἡ γνώμη ὑπῆρχεν, ὅτι τὸν*

πῶς λοιπὸν ἠδύνατο προβάλλειν εἰς μαρτυρίαν ψευδεπιγράφους συγγραφάς; πλὴν, εἰ μήπως ἤθελεν ἐπὶ πλέον ἐρεθίζειν τὴν κακολόγον Μοῦσαν ἐκείνων, οἵτινες τοσούτῳ μᾶλλον ἂν ἐξηγριώθησαν, ὅσῳ καὶ τῶν ἄλλων ἐνδοξότερον ὑπῆρχε τὸ ψευδῶς ἂν ἐκφερόμενον ὄνομα τοῦ Φαληρόθεν σοφοῦ. Τότε δὲ καὶ γνησίως αὐτὸ μνημονευόμενον εἰδότες, παρέτρεχον σιωπῇ. — δ) Ὁ Ἰώσηπος ἀναφέρων ὅσους ἀνέγνω συγγραφεῖς *Ἕλληνας, οὐ παρέργως μεμνημονευκότας τῶν Ἰουδαίων* (Ἑκαταῖον, Θεόφιλον, Θεόδοτον, Μνασέαν, Ἀριστοφάνην, Εὐήμερον, Κόνωνα, Ζωπυρίωνα), προστιθεὶς δὲ καὶ ὅτι « καὶ πολλοί τινες ἄλλοι τάχα (μεμνημονεύκασιν)· οὐ γὰρ ἔγωγε πᾶσιν ἐντετύχηκα τοῖς βιβλίοις » (τούτων δηλαδὴ τῶν ἀνωνύμων), ἐπιφέρει· « *Οἱ πολλοὶ τῶν εἰρημένων ἀνδρῶν*, τῆς μὲν ἀληθείας τῶν ἐξ ἀρχῆς πραγματων διήμαρτον, κοινῶς μέν τοι περὶ τῆς ἀρχαιότητος ἅπαντες μεμαρτυρήκασιν. — *Ὁ μέν τοι Φαληρεὺς*

---

παρὰ Νικάνδρῳ Κορωπαῖον Ἀπόλλωνα οἵ τε ὑπομνηματίσαντες τὰ Θηριακὰ, Θέων καὶ Πλούταρχος, καὶ αὐτὸς δὲ (πολὺ πρὸ τούτων) Δημήτριος ὁ Φαληρεὺς ἔν τινι τῶν ἰδίων αὐτοῦ συγγραμμάτων, οὐ Κορωπαῖον, ἀλλ' Ὠρωπαῖον Ἀπόλλωνά φασιν.— Ἀλλὰ περὶ τούτων σκοπείτωσαν πάλιν οἱ κριτικοί. Οἱ δὲ περὶ τὸν Ὅδιον προβάλλουσιν, ὅτι παρομοίως προσετέθη τὸ Φαληρέως, καὶ εἰς τὸ περὶ Ἑρμηνείας σύνταγμα Δημητρίου τινος ἄλλου (οἱ δὲ τοῦτο θέλουσι Διονυσίου τοῦ Ἁλλικαρνασέως. Vales. not. ad Exerc. Nic. Damasc. καὶ Menag. l. c.). Ἀλλὰ τὸ περὶ τῆς ἑρμηνείας εἰς τὸν Φαληρέα Δημήτριον ὡς γνήσιον ἀποδίδωσι καὶ ὁ Θεοφύλακτος (γ. 26), καὶ ὁ Ἀμμώνιος (καί τοι οὗτος οὐ προστίθησι τὸ Φαληρεύς). Εἰ δέ τινες ἐν τῷ βιβλίῳ φαίνονται ἀντιχρονισμοὶ, τοὺς μὲν ματαίως ὑπωπτεύθησάν τινες τῶν κριτικῶν, τοὺς δέ τινας ἴσως παρενέβυσαν καὶ γραμματικοί τινες νεώτεροι (βλ. καὶ Demagistr. l. c. p. 472). Κἂν δὲ Διονυσίου τοῦ Ἁλικαρνασέως τεθῇ τὸ βιβλίον (κατὰ τὴν Οὐαλεσίου γνώμην, ᾧ καὶ ἄλλοι κατηκολούθησαν), ἢ ἄλλου τινος Ἀλεξανδρινοῦ (βλ. Τόμ. Α. σελ. 346), ὁ ψευδῶς λοιπὸν ἐπιγράψας τὸ βιβλίον ἔγραψεν οὐ μόνον τὸ Φαληρέως, ἀλλὰ καὶ τὸ Δημητρίου. Ἔπειτα, κἂν δῶμεν ὅτι προσετέθη καὶ μόνον τὸ Φαληρέως, ἐν τῷ περὶ ἑρμηνείας, μήπως ἐντεῦθεν ἀπέβη τὸ πάθος κοινόν; ὡσανεὶ συνώμοσαν οἱ μεταγραφεῖς, ἵνα, ὅπου ἂν εὕρωσι μόνον τὸ Δημητρίου, προσεπισάττωσι καὶ τὸ Φάληρον! Τοιοῦτο φαίνεται συνάγων ὁ σοφὸς Ὅδιος, ὅστις καὶ εἰς αὐτὸν τὸν Ἰώσηπον ἀποῤῥίπτει τὴν προσθήκην, λέγων, ὅτι, « τὸ Φαληρέως ἐξ ἁπλῆς εἰκασίας προστέθεικεν ὁ Ἰώσηπος » (Hody p. 54). Ἀλλὰ μάταιος ἡ εἰκοτολογία. Τὸ περὶ Ἰουδαίων σύνταγμα τοῦ Δημητρίου οὐ μόνον Ἰώσηπος ἀνέγνω, ἀλλὰ καὶ Τερτυλλιανὸς, καὶ Κλήμης, καὶ Εὐσέβιος, ὡς ἔργον ὀνομαστὶ τοῦ Φαληρέως.

*Δημήτριος, καὶ Φίλων ὁ πρεσβύτερος, καὶ Εὐπόλεμος οὐ πολὺ τῆς ἀληθείας διήμαρτον· οἷς καὶ συγγινώσκειν ἄξιον· οὐ γὰρ ἐνῆν αὐτοῖς μετὰ πάσης ἀκριβείας τοῖς ἡμετέροις γράμμασι παρακολουθεῖν*». κτλ. Ἐκ δὲ τούτων φαίνεται σαφῶς, ὅτι, καὶ τὸν Φαληρέα μετὰ τῶν ἄλλων τῶν Ἑλλήνων, οὓς ἀνέγνω, συγγραφέων δημοσίᾳ συναριθμῶν, ἠπίστατο λοιπὸν βεβαίως τούτου κυρίως οὖσαν, καὶ κοινῶς ὁμολογουμένην τὴν συγγραφήν. (περὶ δὲ τοῦ πρεσβυτέρου Φίλωνος καὶ τοῦ Εὐπολέμου λέγομεν ἐφεξῆς)· ὅθεν ἔκρινε καὶ συγγνωστοὺς τούτους δὴ τοὺς περὶ τὸν Φαληρέα (ὡς ἂν ξένους δηλαδὴ καὶ ἀλλοφύλους), εἴ τι καὶ μικρὸν τῆς ἀληθείας διήμαρτον (Ἰουδαῖος δὲ, ὁ Ἰώσηπος, Ἰουδαῖον ἱστορικὸν πῶς ἂν ἔκρινε συγγνωστέον, πλανηθέντα περὶ τὴν ἱστορίαν τῶν Γραφῶν;). Καὶ *ἡμέτερα δὲ γράμματα* (τουτ. Ἰουδαϊκὰ) τὰς ἱερὰς γραφὰς ὁ Ἰώσηπος ἀποκαλῶν, παρίστησι ταῦτα σαφῶς ἀλλότρια τοῦ Ἕλληνος Δημητρίου, ὅστις ἐκ παιδός τε καὶ θρησκείας ἀπότροφος αὐτῶν ὢν, « οὐκ ἠδύνατο *μετὰ πάσης ἀκριβείας* αὐτοῖς παρακολουθεῖν » (α). — ε) Πρόσθες τούτοις καὶ τὸ προῤῥηθὲν, ὅτι τὸ

(α) Ὁ Ὑέτιος (ἔνθ. ἀνωτ. σελ. 55), καὶ ὁ Δεμάγιστρος (ἔνθ. ἀνωτ. σελ. 462) τὸ τοῦ Ἰωσήπου ἡ μ έ τ ε ρ α γ ρ ά μ μ α τ α ἐξέλαβον ἐπὶ τῶν ἑβραϊκῶν πρωτοτύπων, ὅπερ οὐκ ἀνέγνωσαν οἱ περὶ τὸν Δημήτριον (ὡς ἀμαθεῖς τῆς ἑβραϊκῆς). Ἀλλ' ἡμεῖς (ἐξαιτούμενοι συγγνώμην παρ' ἀμφοτέρων) νομίζομεν, ὅτι γράμματα ἡμέτερα τὰς ἑβραϊκὰς γραφὰς ὠνόμασεν ὁ Ἰώσηπος ἁπλῶς καὶ κοινῶς, αὐτάς τε τὰς ἀρχετύπους καὶ συνάμα τὴν ἑλληνικὴν αὐτῶν ἑρμηνείαν ἐννοῶν («ἀμφοτέρας γὰρ καθάπερ ἀδελφὰς, μᾶλλον δὲ ὡς μίαν καὶ τὴν αὐτὴν προσεκύνουν οἱ Ἰουδαῖοι». Φίλων. π. Μωσ. β. 140). Οὕτως εἶπεν ὁ Ἰώσηπος ἀλλαχοῦ τὸν Φιλάδελφον γενόμενον ἐ π ι θ υ μ η τ ὴ ν τ ῶ ν ἡ μ ε τ έ ρ ω ν ν ό μ ω ν, καὶ «τὸν ἡμέτερον νόμον ε ἰ ς τ ὴ ν Ἑ λ λ ά δ α φ ω ν ὴ ν μ ε τ α β α λ ε ῖ ν» (κ. Ἀπίων. β. 4: καὶ Ἀρχαιολ. προοιμ.). Ἀλλὰ καὶ μετὰ τὴν ἑρμηνείαν πάλιν ἔμειναν ἑ β ρ α ϊ κ α ὶ αἱ ἱεραὶ Γραφαὶ (ὡς ἐκ τῶν Ἑβραίων, οἷς ἐδόθησαν ἐξ ἀρχῆς. πρβλ. σελ. ὄπισθ. 45). Ὅτι δὲ τὰς ἐξελληνισθείσας μάλιστα Γραφὰς ἐννοεῖ ὁ Ἰώσηπος, μαρτυρεῖ τρανῶς τὸ « οὐ γὰρ ἐνῆν αὐτοῖς — μετὰ πάσης ἀκριβείας παρακολουθεῖν». Ὁ γλώσσης οἱασδήποτε παντελῶς ἀδαὴς (ὁποῖον καὶ τῆς ἑβραϊκῆς τὸν Δημήτριον οἱ περὶ τὸν Ὑέτιον ὡμολόγησαν) οὔτε μ ε τ ὰ π ά σ η ς, οὔτε μετ' ὀλίγης ἀκριβείας (εἴπερ ἡ ἀκρίβεια ἀντίκειται πρὸς τὴν ἄγνοιαν), οὔτε π α ρ α κ ο λ ο υ θ ῆ σ α ι, οὔτε ὅλως ἀναγνῶναι δύναται τὰ ἐν αὐτῇ γεγραμμένα. Οἱ δὲ περὶ τὸν Φαληρέα παρηκολούθησαν μὲν καὶ ἀνέγνωσαν τὰς ὑπὸ τῶν Ο, μεθηρμηνευμένας ἑ β ρ α ϊ κ ὰ ς γ ρ α φ ὰ ς, ἀλλ' οὐ μ ε τ ὰ π ά σ η ς ἀ κ ρ ι β ε ί α ς (καθότι περὶ τὴν χρονολογίαν μι-

παρὰ τῷ Ἰωσήπῳ μνημονευόμενον ἱστορικὸν βιβλίον τοῦ Φαληρέως ἐσῴζετο καὶ μέχρι Τερτυλλιανοῦ, καὶ Κλήμεντος, καὶ αὐτοῦ ἴσως τοῦ Εὐσεβίου, ὡς ἀποδείκνυται ἔκ τε τῆς ἑξῆς περικοπῆς, ἧς ὁ Κλήμης ἐμνημόνευσε (μήτε παρ᾽ Ἰωσήπῳ, μήτε παρ᾽ ἄλλῳ τινὶ σῳζομένης), καὶ πάλιν ἐξ ἄλλης, παρὰ μόνῳ κειμένης τῷ Εὐσεβίῳ (βλ. ἐν τοῖς ἐφεξῆς §. δ. σημ. σελ. 93). Ἐπειδὴ δὲ πάντως ἐσῴζετο καὶ κατὰ τοὺς χρόνους τοῦ Πολυΐστορος, ὅστις ἀνέγραψε μακρὰς ἐξ αὐτοῦ περικοπὰς, οἵας βλέπομεν παρ᾽ Εὐσεβίῳ, ἄρα — ς) καὶ ὁ Πολυΐστωρ ἐπικυροῖ ἐκείνου τοῦ Δημητρίου εἶναι τὴν ἱστορίαν, ὃν οἱ περὶ τὸν Ἰώσηπον καὶ τὸν Εὐσέβιον ἐπωνόμασαν Φαληρέα.

Τελευταῖον· ἀκούσωμεν καὶ αὐτοῦ Δημητρίου τοὺς παρὰ τῷ Κλήμεντι λόγους, τί ποτε καὶ αὐτὸς περὶ ἑαυτοῦ μαρτυρεῖ. « Δημήτριος δέ φησιν ἐν τῷ περὶ τῶν ἐν Ἰουδαίᾳ βασιλέων, τὴν Ἰούδα φυλὴν καὶ Βενιαμὶν καὶ Λευῒ μὴ αἰχμαλωτισθῆναι ὑπὸ τοῦ Σενναχηρείμ· ἀλλ᾽ εἶναι ἀπὸ τῆς αἰχμαλωσίας ταύτης εἰς τὴν ἐσχάτην, ἣν ἐποιήσατο Ναβουχοδονόσορ ἐξ Ἱεροσολύμων, ἔτη *ἑκατὸν εἰκοσιοκτὼ, μῆνας ἕξ*· ἀφ᾽ οὗ δὲ αἱ φυλαὶ αἱ δέκα ἐκ Σαμαρείας αἰχμάλωτοι γεγόνασιν ἕως ΠΤΟΛΕΜΑΙΟΥ ΤΕΤΑΡΤΟΥ, ἔτη *πεντακόσια*

---

κρὸν τῆς ἀληθείας διήμαρτον, ὡς φανήσεται ἐφεξῆς). Ταῦτα (νομίζομεν) λέγει ὁ Ἰώσηπος. Ὅτι δὲ καὶ τὸν Δημήτριον συνηρίθμησε μετὰ τῶν Ἑλλήνων συγγραφέων ὡς Ἰουδαῖον ἑλληνιστὴν (ὡς προσέθηκεν ὁ Ὑέτιος), τοῦτο ἐξελέγχεται οὐ μόνον ἐκ τοῦ ἐπιθέτου ὁ Φαληρεὺς (Ἰουδαῖος δὲ Φαληρεὺς ἑλληνιστὴς οὐδέποτ᾽ ἠκούσθη), ἀλλὰ καὶ ἀφ᾽ ὧν εἴπομεν ἀνωτέρω. Τοῦτ᾽ αὐτὸ λέγομεν καὶ περὶ τοῦ πρεσβυτέρου Φίλωνος καὶ Εὐπολέμου, οὓς καὶ τούτους ὁ Ὑέτιος (παίζων, ἴσως) εἶπεν Ἕλληνας ὠνομάσθαι ὑπὸ τοῦ Ἰωσήπου, καθὸ καὶ τούτους ἑλληνιστάς! (αὐτόθ.). Καὶ πῶς; μὴ γὰρ ὁ Ἰώσηπος ἠγνόει τ᾽ ὄνομα ἑλληνιστής; ἢ μήπως ἀντὶ τούτου ἠδύνατο χρήσασθαι τῷ Ἕλλην, ὡς συνωνύμῳ; Καὶ τίς ποτε τῶν ἀρχαίων εἶπε τοὺς Ἰουδαίους ἑλληνιστὰς, Ἕλληνας; Τίς δὲ καὶ τῶν Ἰουδαίων αὐτῶν τοὺς ἰδίους ὁμοθρήσκους καὶ ὁμογενεῖς ἐκάλεσεν, ἢ ἠδύνατο καλέσαι Ἕλληνας, ὡς ὠνόμαζον οὐ μόνον τοὺς ἐκ γένους τοιούτους, ἀλλὰ καὶ αὐτοὺς ἰδίως τοὺς εἰδωλολάτρας; βλ. Β. Μακκαβ. δ. 10, 13, 15 ς, 9. κτλ. πρβλ. καὶ Schleusn. Lex. N. T. λ. Ἕλλην. ὅπου ματαίαν ὁ σοφὸς οὗτος προσέθηκε τὴν σημασίαν τοῦ Ἕλλην ἀντὶ τοῦ Ἰουδαῖος τὸ γένος, ἑλληνίζων τὴν φωνὴν, ὡς δῆθεν ἐκ τοῦ Ἰωάν. ιβ, 20. Τοῦτο γὰρ, ὃ παρέθηκε τὸ παράδειγμα, αὐτὸς αὐτόθι πάλιν ἀναιρεῖ βλ. καὶ ὄπισθ. σελ. 76.

*ἑβδομήκοντα τρία, μῆνας ἐννέα·* ἀφ᾽ οὗ δὲ ἐξ Ἱεροσολύμων, *ἔτη τριακόσια τριάκοντα ὀκτὼ, μῆνας τρεῖς*» (α).

Τοῦτο τὸ *Πτολεμαίου τετάρτου* ὅ,τε Ὅδιος ἀνωτέρω (σελ. 45.) καὶ πάντες σχεδὸν (πλὴν ὀλίγων) οἱ κριτικοὶ ἐξέλαβον ἐπ᾽ αὐτοῦ τοῦ μεταξὺ τῶν Πτολεμαίων (ἀπὸ Πτολεμαίου τοῦ Α), *τετάρτου* κατὰ τάξιν ἀριθμουμένου Πτολεμαίου (τοῦ καὶ Φιλοπάτορος, υἱοῦ τοῦ Εὐεργέτου)· ἀλλ᾽ οἱ περὶ τὸν Οὐόσσιον ἐξήλεγξαν τὴν πλάνην ταύτην τῶν κριτικῶν, ἐκλαβόντες τὸ *τετάρτου* οὐχὶ τακτικῶς, ὡς ἐπίθετον τοῦ Πτολεμαίου, ἀλλ᾽ ὡς ἔτους ἀριθμητικόν. Καὶ ἀπέδειξαν τὸ πρᾶγμα διὰ τῆς συμψηφίσεως τῶν μνημονευομένων ἐτῶν, ὡς λέγομεν ἀκολούθως, προτάξαντες καί τινας ἄλλας ἡμετέρας σαφεῖς (ὡς νομίζομεν) ἀποδείξεις, τὰς ἐφεξῆς.

α) Τὰ τακτικὰ τῶν Πτολεμαίων ἐπίθετα ὀψέποτε ἦλθον εἰς χρῆσιν, καὶ μάλιστα μετὰ τὸν ἔσχατον Πτολεμαῖον, παρὰ τοῖς

---

(α) Δημήτρ. παρὰ Κλήμεντ. Στρωμάτ. σελ. 247 Lugd. Προσημειωτέον δ᾽ ἐν τούτοις, ὅτι ἀντὶ τοῦ 573 ὁ Δημήτριος, ἐξ αὐτοῦ δὲ καὶ ὁ Κλήμης, ἔγραψε πάντως (ὡς νομίζομεν) 473: ἢ ἐν στοιχείοις ἑλληνικοῖς, υογ, ἅπερ ἡ τῶν ἀντιγραφέων ἀβλεψία διαστρέψασα πρῶτον εἰς τὰ φογ, ἐχάραξεν ἔπειτα καὶ ὁλόγραφα, π ε ν τ α κ ό σ ι α ἑ β δ ο μ ή κ ο ν τ α τ ρ ί α, ἀντὶ τ ε τ ρ α κ ό σ ι α κτλ. Καὶ ἡ δεῖξις πρόδηλος. Ἀπὸ τῆς ὑπὸ Σαλμανασὰρ αἰχμαλωσίας τῶν ἐν Σαμαρείᾳ 10 φυλῶν τοῦ Ἰσραὴλ, μέχρι τῆς ὑπὸ Ναβουχοδονόσορος τῶν ἐξ Ἱεροσολύμων δύο φυλῶν τοῦ Ἰούδα, ὁ Ἰώσηπος (κατὰ τὰς κοινὰς ἐκδόσεις) ἀριθμεῖ ἔτη 130 καὶ μῆνας ἓξ (ὡς ἐξάγεται ἐξ ὧν λέγει Ἀρχαιολ. Θ, ιδ, 1: καὶ Ι, η, 5). Ἀλλ᾽ ὁ κλεινὸς Οὐόσσιος ἐν ᾗ μετὰ πολλῆς ἀκριβείας συνῆξεν ἐξ αὐτοῦ τοῦ Ἰωσήπου χρονολογίᾳ (περὶ ἧς καὶ ἐφεξῆς) ἀπέδειξε τὰ ἔτη ταῦτα 133, καὶ μῆνας ἕξ. Τὸν αὐτὸν ὡς ἔγγιστα, τοῦ χρόνου διορισμὸν ἐτήρησε καὶ ὁ Δημήτριος (ὡς εἴδομεν ἀνωτέρω) ἀριθμήσας «ἀπὸ τῆς ὑπὸ Σενναχηρεὶμ (Σαλμανασὰρ) αἰχμαλωσίας, εἰς τὴν ἐσχάτην ἣν ἐποιήσατο Ναβουχοδονόσορ ἐξ Ἱεροσολύμων, ἔτη 128, μῆνας ἓξ»· ἐν οἷς, εἴτ᾽ αὐτὸς, εἴτε ὁ μεταγραφεὺς ἀπελείφθη τῆς ἀκριβείας ἔτη μόνον πέντε. Τὸν αὐτὸν ἄρα τοῦ χρόνου διορισμὸν ὤφειλε τηρῆσαι (καὶ ἐτήρησεν ὁ Δημήτριος) καὶ ἐν οἷς ἐχρονολόγει τὰς δύω αἰχμαλωσίας μέχρι τοῦ δ, ἔτους τοῦ Φιλαδέλφου (ὡς δειχθήσεται εὐθὺς), ἤτοι μέχρι τοῦ 280: π. Χ. Τεθέντος γὰρ, ὅτι ἔγραψεν (ὡς προείπομεν) «ἀπὸ τῆς ἐκ Σαμαρείας αἰχμαλωσίας 473, ἀπὸ δὲ τῆς ἐξ Ἱερουσαλὴμ, 338», τὸ μεταξὺ τῶν δύω τούτων ἀριθμῶν εὑρεθήσεται ἔτη 135: τοσαῦτα (πλὴν δύω) καὶ ἐξ Ἰωσήπου συνήγαγεν ὁ Οὐόσσιος. Καὶ διορθούσθω ἄρα (εἰ δοκεῖ) παρὰ τῷ Κλήμεντι τὸ ἀνωτέρω 573, εἰς τὸ 473, ἵνα μὴ πρὸς ἑαυτὸν ὁ Δημήτριος ὅλην ἐτῶν ἑκατοντάδα διαφωνῇ.

τότε σύνεγγυς συγγραφεῦσιν, οἷον Διοδώρῳ, καὶ Στράβωνι, κτλ. καὶ τοῦτο, πρὸς ἀποφυγὴν πάσης περὶ τὴν ἱστορίαν συγχύσεως, προερχομένης ὡς ἐκ τῆς τῶν Πτολεμαίων ὁμωνυμίας, ἀφ' οὗ οὗτοι ἐγένοντο πολλοὶ κατὰ διαδοχήν· « πολλοὶ γὰρ ὠνομάσθησαν Πτολεμαῖοι διὰ τὴν τοῦ πρώτου δόξαν» κτλ. (Στράβ. βιβλ. ιβ, σελ. 563). Ἐπὶ δὲ τῶν πρώτων Πτολεμαίων (ὧν ὑπῆρχε πάντως καὶ ὁ Δ), ἀντὶ τῶν τακτικῶν μετεχειρίζοντο συνήθως τὰς τούτων ἐπωνυμίας· οἷον, Πτολεμαῖος ὁ Λάγου (ἢ ὁ Σωτὴρ), — ὁ Φιλάδελφος, — ὁ Εὐεργέτης κτλ. (καὶ οὗτος ὁ τύπος φαίνεται καὶ εἰς πολλὰ σωζόμενα νομίσματα τῶν Πτολεμαίων, καὶ εἰς ἄλλας ἐπιγραφὰς, καὶ παρ' αὐτοῖς δὲ τοῖς τῶν Πτολεμαίων συγχρόνοις ποιηταῖς καὶ συγγραφεῦσι) (α). Καὶ λοιπὸν, εἴπερ ὁ Δημήτριος ἔζη κατὰ τοὺς χρόνους Πτολεμαίου τοῦ δ, (καθὼς θέλουσιν) ὤφειλε καὶ οὗτος γράψαι, « ἕως *Πτολεμαίου* (οὐχὶ τετάρτου, ἀλλὰ) τοῦ Φιλοπάτορος.

β) Κἂν δ' ἐξ ὑποθέσεως ἔγραφεν ὡς τακτικὸν ἐπὶ τοῦ Πτολεμαίου τὸν ἀριθμὸν ὁ Δημήτριος, ἔμελλε γράφειν αὐτὸν ἐνάρθρως (ὡς τοῦτο μᾶλλον ἑλληνικὸν) Πτολεμαίου *τοῦ τετάρτου* (β). Καὶ ταῦτα μὲν ἐξακριβοῦσι παῖδες γραμματικῶν· ἡμεῖς δὲ σημειοῦμεν ἄλλο τι ἐπισημότερον.

---

(α) Οἷον, Θεόκριτ. εἰδ. κε. « ὁ Λ α γ ί δ α ς Π τ ο λ ε μ α ῖ ο ς » κτλ. Ἐνίοτε δὲ πάλιν οὐδὲ τὸ ἐπώνυμον τιθέασι, χάριν συντομίας, καὶ ὁπότε μάλιστα Πτολεμαῖος ἐκεῖνος ὑπάρχει καὶ ἐξ ἄλλων περιστατικῶν γνωστός. Οὕτω τὸν α, Πτολεμαῖον ἁπλῶς πολλάκις λέγουσι (χωρὶς μήτε τακτικοῦ, μήτ' ἐπωνύμου ἐπιθέτου). Καὶ ὁ Καλλίμαχος πολλάκις Πτολεμαῖον, τὸν (ἐφ' οὗ ἔζη) Φιλάδελφον (Ὕμν. εἰς Δῆλον). Οὕτω τὸν αὐτὸν καὶ Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ παρὰ τῷ Ἀριστέᾳ ἐπιστολῇ· « βασιλεῖ Πτολεμαίῳ » κτλ. Πολλὰ δὲ περὶ τούτου παραδείγματα προείπομεν καὶ ἐν τοῖς προλαβοῦσι. Βλ. Βιβλ. Α. Κεφ. ς. σελ. 181.

(β) Οὕτω καὶ Στράβων (ιζ, 795) ἀριθμήσας πρῶτον τοὺς Πτολεμαϊκοὺς βασιλεῖς ἐκ τῆς ἑκάστου προσωνυμίας, ἔπειτα, τυχούσης ἐπαναλήψεως, ὀνομάζει τούτους ἀπὸ τῶν τακτικῶν (ἐνάρθρως πάντας ἐκφέρων) « Μετὰ ΤΟΝ τρίτον Πτολεμαῖον χείριστα (ἐπολιτεύσαντο) — ὁ τέταρτος, καὶ ὁ ἕβδομος, καὶ ὁ ὕστατος, ὁ Αὐλητής ». Οὕτω καὶ Ἀθήναιος « Πτολεμαίου τοῦ ἑβδόμου βασιλέως » (ς, 252) καὶ, « Πτολεμ. ὁ ἕβδομος » (ιβ, 549), καὶ « τὸν ἕβδομον βασιλεύσαντα Πτολεμ. » (δ. 184), κτλ., πρβλ. καὶ Πορφύρ. παρ' Εὐσέβ. Χρονικ. Α. κεφ. λβ. σελ. 115, καὶ σελ. 123 (ἐκδ. Mediol.). βλ. καὶ Demagistr. l. c pag. 460.

γ) Ὁ Δημήτριος χρονολογεῖ· ἡ δὲ τῆς χρονολογίας ἀκρίβεια πάντως ἀπαιτεῖ σταθερῶς διωρισμένους καὶ τοὺς ἄκρους ἀριθμοὺς τῶν χρονικῶν περιοχῶν· ἀλλὰ τὸ *τετάρτου* τακτικῶς ἐπὶ τοῦ Πτολεμαίου λαμβανόμενον, ἀόριστον ἀποτελεῖ καὶ ἀτερμάτιστον τὸν ὅρον τῆς προθεσμίας τοῦ ζητουμένου τῶν ἐτῶν κεφαλαίου. Πόστον ἔτος τοῦ δι᾽ ὅλων ἐτῶν ιζ, βασιλεύσαντος τετάρτου Πτολεμαίου διώρισεν ὁ χρονολόγος, ὡς ἔσχατον ὅρον, εἰς συγκεφαλαίωσιν τῶν απαρτιζόντων τὴν χρονικὴν περιοχὴν ἐνιαυτῶν; Ἄδηλον (α)· ὅθεν καὶ ὁ ψηφισμὸς ἐξελέγχεται πλανώμενος καὶ ἄπρακτος, ἂν μὴ τὸ *τετάρτου* ἐκληφθῇ ἀριθμητικῶς, ὡς ἔτους σημαντικόν. Καὶ λέγει λοιπὸν ἐξ ἀνάγκης ὁ Δημήτριος ταῦτα. « Ἀφ᾽ οὗ δὲ [ΕΤΟΥΣ] αἱ φυλαὶ αἱ δέκα ἐκ Σαμαρείας (ἠχμαλωτίσθησαν) ἕως Πτολεμαίου τετάρτου (ΕΤΟΥΣ), ἔτη 573 (γρ. 473)· καὶ πάλιν. « Ἀφ᾽ οὗ δὲ (ΕΤΟΥΣ) ἐξ Ἱεροσολύμων, (ἕως τοῦ Πτολεμαίου Δ ΕΤΟΥΣ), ἔτη 338 κτλ.

δ) Καὶ ἄλλος ἱστορικὸς, πολὺ τοῦ Δημητρίου τούτου μεταγενέστερος, ὁ Εὐπόλεμος (οὗτινος τὴν ῥῆσιν ὁ Κλήμης εὐθὺς μετὰ τὴν Δημητρίου ἐπισυνάπτει), παρομοίως διορίζει τὰ τῶν βασιλέων ἔτη χρονολογῶν. « Ἔτι δὲ (λέγει) καὶ Εὐπόλεμος τὰ πάντα ἔτη φησὶν ἀπὸ Ἀδὰμ ἄχρι ΤΟΥ ΠΕΜΠΤΟΥ (τουτ. ἔτους) Δημητρίου (Συρίας Βασιλέως), Πτολεμαίου τὸ δωδέκατον (γρ. Πτολεμαίου ΔΕ δωδέκατον, τουτ. ἔτος), βασιλεύοντος Αἰγύπτου, συνάγεσθαι ἔτη, ερμθ. (5149), κτλ. (β). Καὶ περὶ μὲν τοῦ Εὐ-

---

(α) Ὅθεν ψέγεται δικαίως ὡς ἀήθης καὶ παράδοξος ἐκείνη τοῦ θείου Ἐπιφανίου ἡ φράσις « Ἀπὸ τοῦ α, Πτολεμαίου μέχρι Κλεοπάτρας » — « ἕως Ἀδριανοῦ » κτλ. (Περὶ Μέτρ. σελ. 169 τ. β. πρβλ. καὶ Animadv. Petav. p. 383), ἀντὶ τοῦ ἕως τέλους τῆς βασιλείας Κλεοπάτρας, κτλ. Καίτοι παρὰ τῷ πατρὶ, διορίζοντι τὰ ἔτη τῶν προηγηθέντων βασιλέων ῥητῶς, καὶ ἐπὶ τέλους συγκεφαλαιοῦντι τοὺς ἀριθμοὺς, συμπεραίνεται καὶ τῶν ἀορίστως ἐκφερομένων τούτων ὀνομάτων ὁ χρονικὸς διορισμός. Ἐπὶ δὲ τῆς ἀνωτέρω φράσεως τοῦ Δημητρίου οὔτε τι τοιοῦτο φαίνεται, καὶ ἡ φράσις τοῦ Φαληρέως παρὰ πολὺ διέφερε τῆς τοῦ Ἐπιφανίου.

(β) Δημητρίου τοῦ Σωτῆρος (Συρίας βασιλέως, βασιλεύσαντος ἔτη ιβ,) τὸ ἔτος τὸ πέμπτον συμπίπτει πρὸς τὸ δωδέκατον ἔτος Πτολεμαίου τοῦ Φιλομήτορος, Αἰγύ-

πολέμου λέγομεν καὶ ἐφεξῆς (§ ιη)· ὅτι δὲ ἡ φράσις, ἡ « ἄχρι τοῦ ΠΕΜΠΤΟΥ Δημητρίου », ἡ αὐτή ἐστι καὶ ἡ « ἕως Πτολεμαίου ΤΕΤΑΡΤΟΥ, οὐδεὶς πάντως ἀντερεῖ. (Πρόσθες ὅτι καὶ πέμπτος Δημήτριος Συρίας Βασιλεὺς οὐκ ἐγένετο πώποτε).

ε) Τελευταῖον, αὐτὸς ὁ συμψηφισμὸς τῶν ἐν τῇ τοῦ Δημητρίου ῥήσει μνημονευομένων ἐτῶν (σελ. 86.) ἀποδείκνυσι τοῦτον συγγράφοντα τὴν ἱστορίαν ἐπὶ τοῦ δ, ἔτους Πτολεμαίου τοῦ Φιλαδέλφου· καὶ ἑπομένως, αὐτὸν ἐκεῖνον ὄντα τὸν Φαληρόθεν σοφὸν, ἔτι τότε ζῶντα πάντως καὶ τιμώμενον παρὰ τῷ Φιλαδέλφῳ (κἄν τε βούλωνται καὶ θέλωσιν Ἕρμιππός τε καὶ Σκαλίγηρος, κἄν τε μή! βλ. Βιβλ. Α. κεφ. ε.). Ἰδοὺ ὁ ὑπολογισμός. Ἀπὸ τοῦ γ. ἔτους τῆς 38 Ὀλυμπιάδος (625 π. Χ.), ὁπότε τὰ Ἱεροσόλυμα κατέστρεψεν ὁ Ναβουχοδονόσορ, μέχρι τοῦ β. ἔτους τῆς 124 Ὀλυμπιάδος (280 π. Χ.), ὁπότε συμπίπτει τὸ *τέταρτον* ἔτος τῆς *Πτολεμαίου* τοῦ Φιλαδέλφου βασιλείας, διέδραμον ἔτη 344 (καὶ μῆνές τινες). Ὁ δὲ Δημήτριος ἀριθμήσας ἔτη 338 (καὶ μῆνας ἕξ), *πέντε* περίπου μόνον ἔτη διήμαρτε τῆς παρ' Ἰωσήπῳ χρονολογίας, καθὼς ὁ κλεινὸς Οὐόσσιος ἐσημείωσεν (α). Ἔστησε δὲ τῆς

---

πτου βασιλέως· συνεχρόνισαν δὲ οὗτοι ἀπὸ Ὀλυμπ. 154, τὸ γ, μέχρις Ὀλυμπ. 158 τὸ α, ἢ τὸ β. βλ. Εὐσεβ. Χρονικ. β. σελ. 353—356. ἐκδ. Mediol. πρβλ. καὶ Voss. Can. Chron. p. 226. in Diss. de LXX. βλ. καὶ τὸν Demagistr. Apolog. p. 470. (ὅστις ὅμως ἀντὶ τοῦ Φιλομήτορος τίθησι τὸν Φύσκωνα Πτολεμαῖον, οὔ τι πάνυ ἀκριβῶς, ὥς γε μοι δοκεῖ).

(α) Voss. Append. ad Lib. de LXX. praef. ad Lector. καὶ Canon Chronol. p. 210—222. Ἀλλ' ὁ Κλήμης (Στρωμ. α. σελ. 243. Lugd.) τίθησι τὴν ἐπὶ Ναβουχοδονόσορος αἰχμαλωσίαν τῷ α, τῆς μη. Ὀλυμπ. Καὶ ὁ Εὐσέβιος μετὰ τοῦ Ἱερωνύμου (Χρον. β) τῷ γ, τῆς μζ. (τῷ 589: π. Χ.)· ὃ καὶ ὁ Σκαλίγηρος ἐπιβεβαιοῖ (Animad. ad Chron. Eus. p. 89), καὶ ὁ Νεύτων (Brev. Chron. in Opuscul. T. 3: p. 29). Καὶ κατὰ ταῦτα ἄρα ἀπὸ τοῦ 589. π. Χ. μέχρι τοῦ δ, ἔτους τοῦ Φιλαδέλφου, ἤτοι τοῦ 280: π. Χ. διῆλθον ἔτη 309: Ὥστε ὁ Δημήτριος ἀριθμῶν 338, εὑρίσκεται πλεονάζων ἔτη περίπου 29. Πάλιν, ὁ Εὐσέβιος (αὐτόθ. σελ. 320. ἔκδ. Mediol.) καὶ τὸ Πασχάλιον τὸ Χρονικὸν (σελ. 204: Bon.) τὴν ἐκ Σαμαρείας τῶν 10: φυλῶν αἰχμαλωσίαν τάττουσι τῷ δ. ἔτει τῆς ζ. Ὀλυμπ. π. Χ. Ἔκτοτε δὲ μέχρι τοῦ 280: π. Χ. συνάγονται ἔτη 468. καὶ οὕτω πάλιν τὰ 473 τοῦ Δημητρίου εὑρίσκονται πλεονά-

προθεσμίας ὅρον ὁ Δημήτριος τὸ τέταρτον τῆς Φιλαδέλφου βασιλείας ἔτος, διότι κατ᾽ αὐτὸ συνέγραφε τὴν ἱστορίαν (α). Ἀριθμήτωσαν ἤδη παρελθόντες καὶ οἱ περὶ τὸν Ὅδιον κριτικοὶ τοὺς ἐκ τῆς Ἱεροσολύμων ἁλώσεως μέχρι τοῦ *τετάρτου τῇ τάξει* (καθὼς θέλουσι) *Πτολεμαίου* διαδραμόντας ἐνιαυτοὺς, καὶ εὑρήσουσιν ἔτη 422 (β), τουτέστιν ὅλας σχεδὸν ἐννέα δεκάδας ἐτῶν πλέον ἢ Δημήτριος ἔγραψε (338), ἐγγυτάτω τῆς ἀληθείας χρονολογῶν.

§. γ. Ἐκ τούτων ἁπάντων καταφαίνεται λαμπρῶς ὁ παρὰ τῷ Κλήμεντι Δημήτριος οὗτος ὁ αὐτὸς ὑπάρχων καὶ ὁ παρ' Εὐσεβίῳ, καὶ Τερτυλλιανῷ, καὶ Ἰωσήπῳ, κατὰ λέξιν ἐπονομαζόμενος *Φαληρεὺς*, εἰς ὃν οἱ ἄνδρες οὗτοι ῥητῶς ἀποδεδώκασι τὴν « *περὶ*

---

ζοντα κατὰ ἔτη 5. Ἀλλ᾽ ὅτι μὲν εἰσί τινα τῆς παλαιᾶς χρονολογίας δυσδιάλλακτα, καὶ ὅτι καὶ παρ᾽ Ἰωσήπῳ, καὶ παρὰ τοῖς ἄλλοις τοῖς ἀρχαίοις, ἁπαντᾷ πολλάκις σύγχυσις τῶν ἀριθμῶν (ἐξ ἀβλεψίας μάλιστα τῶν ἀντιγραφέων), σεσημείωται παρὰ τοῖς νεωτέροις. Ὁ δὲ κλεινὸς Οὐόσσιος, ἐν τῇ ἱερᾷ Χρονολογίᾳ, ἣν συνέταξεν ἔκ τε τῶν βιβλίων τῆς ὅλης Ἀρχαιολογίας τοῦ Ἰωσήπου, καὶ τῆς θείας τῶν Ο, Γραφῆς, ἀπέδειξεν ἀπὸ τῆς ἐκ Σαμαρείας μέχρι τῆς ἐξ Ἱερουσαλὴμ αἰχμαλωσίας διαδραμόντα ἔτη 133 (καθὼς προείπομεν σελ. 87). Ὅθεν ἡ μὲν ἐκ Σαμαρείας συμπίπτει τῷ ϛ, ἔτει τῆς ε, Ὀλυμπιάδος, ἤτοι τῷ 758· π. Χ., ἡ δ᾽ ἐξ Ἱερουσαλὴμ τῷ 625. βλ. Voss. Chronol. sacr. p. 128, 129, καὶ Can. Chronol. p. 206, 210.

(α) Voss. praefat. ad Lect. αὐτόθ. Ὁ δὲ Δεμάγιστρος (pag. 461) καὶ αὐτὸς τὸ τετάρτου ἐπὶ ἔτους (ὡς ἔδει) ἐκλαβὼν, ἄλλως ὅμως συγκεφαλαιοῖ τὰ 338 ἔτη τοῦ Δημητρίου. Ἄρχεται τοῦ ψηφισμοῦ ἀπὸ Ἰεχονίου τοῦ πρῶτον εἰς Ἀσσυρίαν μετοικισθέντος (Ματ. α, 11), μεθ' ὃν ἐβασίλευσεν ὁ Σεδεκίας, 11, ἔτη (μέχρι τῆς παντελοῦς ἐξ Ἱεροσολύμων αἰχμαλωσίας). Καὶ λοιπὸν ἀριθμεῖ, 11 τοῦ Σεδεκίου, +70 (ὅσα διήρκεσεν ἡ αἰχμαλωσία τῶν Ἰουδαίων), +247 (τῆς ἐφεξῆς ἐπικρατείας τῶν Περσῶν), +6 (τοῦ μεγάλου Ἀλεξάνδρου μετὰ τὴν τῶν Περσῶν καταστροφὴν), +4 (τοῦ Λαγίδου Πτολεμαίου, τοῦ διαδεξαμένου τὸν Ἀλέξανδρον), τὰ πάντα συμποσούμενα ἔτη 338 (ὅσα καὶ Δημήτριος φησίν). Ὅρον δὲ τῆς χρονολογίας ἔστησε τὸ δ, ἔτος τῆς Πτολεμαίου τοῦ Α, βασιλείας ὁ Δημήτριος, διότι τότε πρῶτον οἱ Ἰουδαῖοι τῷ Πτολεμαίῳ ὑπετάγησαν, κατὰ τὴν εἰς Συρίαν αὐτοῦ στρατείαν, ἐπὶ Νικάνορος στρατηγοῦντος (Διόδ. ιη. πρβλ. ὄπισθ. Βιβλ. Α. κεφ. ιδ. §. η.). Ταῦτα κρίνει ὁ Δεμάγιστρος. Ἀλλ' ἡμεῖς πολὺ προτιμητέον νομίζομεν τὸν Οὐοσσίου ψηφισμόν.

(β) Ὁ Β, Πτολεμαῖος (ὁ Φιλάδελφος) ἐβασίλευσεν ἔτη 40, +27 (τοῦ γ, Πτολεμαίου), +17 (τοῦ δ), τὰ πάντα ἔτη 84. Ταῦτα προστεθέντα εἰς τὰ ἀνωτέρω 338, ἀποδώσουσι κεφάλαιον 422.

*Ἰουδαίων ἱστορίαν* ». Εἰ δὲ καὶ ὁ Κλήμης χωρὶς ἐπωνυμίας ἀνέφερε τὸν πατέρα τῆς Συγγραφῆς, Δημήτριον ἁπλῶς ὀνομάσας, ἀλλ' οὗτος ὡσαύτως καὶ ἀλλαχοῦ τὸν αὐτὸν Φαληρέα ἐκ μόνης τῆς κυριωνυμίας ἐμνημόνευσε, καὶ ταῦτα μεταγράφων τὴν Ἀριστοβούλου ῥῆσιν, ἐν ᾗ γέγραπται καὶ τὸ *Φαληρεύς*. « Φανερὸν (λέγει ὁ Ἀριστόβουλος παρ' Εὐσεβίῳ ἐν Εὐαγγ. Προπαρ. Θ. σελ. 241), ὅτι κατηκολούθηκε Πλάτων τῇ καθ' ἡμᾶς νομοθεσίᾳ. —Διηρμήνευται γὰρ *πρὸ Δημητρίου τοῦ Φαληρέως*, δι' ἑτέρων κτλ. ». Ταῦτα δὲ παρὰ Κλήμεντι ἀναγινώσκονται οὕτω. « Κατηκολούθηκε δὲ καὶ ὁ Πλάτων τῇ καθ' ἡμᾶς νομοθεσίᾳ. — Διηρμήνευται γὰρ *πρὸ Δημητρίου*, ὑφ' ἑτέρου » (α). Καθὼς λοιπὸν ἐνταῦθα παρεῖδεν ὁ Στρωματεὺς τὸ ἐπώνυμον τοῦ Δημητρίου (διὰ τὸ περιώνυμον τοῦ ἀνδρὸς, καὶ μάλιστα διὰ τὸ πασίγνωστον τῆς περὶ τὴν ἑρμηνείαν τῶν Γραφῶν ἐπιστασίας), ὡσαύτως ὠνόμασεν αὐτὸν ἐκ μόνης τῆς κυριωνυμίας καὶ ἐν οἷς ἐμνημόνευσε τὴν περὶ τῶν Ἰουδαϊκῶν βασιλέων ἱστορικὴν αὐτοῦ συγγραφήν. Ἂν δέ τις λέγῃ καὶ ὧδε κἀκεῖ τὸ Φαληρεὺς ὑπὸ μὲν τοῦ Κλήμεντος γραφὲν (ὡς γέγραπται καὶ παρ' Εὐσεβίῳ), ὑπὸ δὲ τῆς ἀβλεψίας τῶν ἀντιγραφέων ἐκπεπτωκὸς, οὐδ' οὗτος ἂν ἀπίθανα λέγοι.

§. δ. Καὶ ὀρθῶς ἄρα καὶ δικαίως ὁ Ἰώσηπος ἔγραψε τὸν Δημήτριον Φαληρέα· σοφῶς δὲ καὶ Οὐόσσιος ὑπέμνησεν ἐν παρόδῳ περὶ τούτου τὸν Ὅδιον· ἀλλ' οὗτος ἔμεινεν ἀμετάπειστος, μήτ' αὐτὸς νοήσας, μήτε παρ' ἄλλου στέρξας μαθεῖν, ὅπερ οὐδόλως ὤφειλεν ἀγνοεῖν. *Ἀδύνατον* εἶναι, λέγει, τὸ *τετάρτου* ἐπὶ ἔτους εἰς ταύτην τὴν φράσιν ἐκλαβεῖν (ὡσανεὶ ὑπῆρχεν ἄλλο παρὰ τοῦτο δυνατώτερον, ἢ ὀρθότερον, καὶ ἀληθέστερον!)· καὶ καθόλου ταύτην τὴν ἐκδοχὴν *οὐδαμινὴν καὶ περιφρονητέαν* ἀποκαλεῖ. Καὶ δέχεται μὲν τὸν Δημήτριον, ὡς ἕλληνα συγγραφέα (καθὼς αὐτὸν παρίστησιν ὁ Ἰώσηπος), πλὴν ἀλλὰ τὸ *Φαληρεὺς* ἐπίθετον ἀποδιοπομπεῖται καὶ παραγράφει, σημειώσας μεταξὺ τῶν Ἰωσήπου λόγων διὰ

---

(α) Κλήμ. Στρωμ. α. σελ. 251. Lugd.

παρενθέσεως τὰ ἐφεξῆς. (« Οὕτω, *Φαληρέα*, τοῦτον ὁ Ἰώσηπος ἐπωνόμασε *μάτην*, ἢ *περπέρως*, perperam!)· ὡς ἂν εἴπερ ἐξήρκουν πρὸς ἀναίρεσιν τῆς Ἰωσήπου γνώμης δύω παρενθέσεως μηνίσκοι, καὶ εἷς *περπερισμός*! (α). Πλὴν, ἀλλ᾽ ἐπειδὴ καὶ τὸ *Φαληρεὺς* ἐπίθετον ἐνοχλεῖ τὸν Ὅδιον, παραλίπωμεν αὐτὸ πάνυ βεβαίως καὶ ἀραρότως κείμενον παρ᾽ Ἰωσήπῳ καὶ τοῖς λοιποῖς συγγραφεῦσι· καὶ δεδόσθω (χάριν τοῦ κριτικοῦ) σοφός τις, τὸ γένος ἕλλην, τοὔνομα *Δημήτριος*, ἐν Ἀλεξανδρείᾳ κάτοικος, (χωρὶς ἐπωνυμίας), τὴν ἱστορίαν τῶν ἐν Ἰουδαίᾳ βασιλέων συγγράφων, οὐκ *ἐπὶ τοῦ* Δ, *Πτολεμαίου* (οὐδὲ γὰρ αὐτὸς Ὅδιος, ἴσως, εἰς τὴν τοσαύτην ἀτοπίαν ἐπὶ πλέον ἐπιμενεῖ), ἀλλὰ *κατὰ τὸ δ, ἔτος Πτολεμαίου τοῦ* (καθὼς ἐκ τῆς χρονολογίας ἀποδείκνυται) *Φιλαδέλφου*. Οὗτος τοίνυν ὁ Δημήτριος, ὁ τοσοῦτον ἐπ᾽ ἀρχαιότητι διάσημος, ἅμα τε διαπερανθεῖσαν ὑπὸ τῶν Ο, τὴν τῶν Γραφῶν ἑρμηνείαν ἀνέγνω, καὶ ἐσεβάσθη, καὶ σύνοψιν τῆς ἰουδαϊκῆς ἀπήνθισεν ἱστορίας. Ἱστόρησε δὲ καθόλου μὲν *περὶ τῶν ἐν Ἰουδαίᾳ βασιλέων*· διελάμβανε δὲ ὅμως ἐν τῇ πραγματείᾳ χρονολογικώτερον (καθὼς ὕστερον καὶ Εὐπόλεμος) καὶ τὰ *ἀπὸ Ἀδὰμ μέχρι καὶ τῆς ὑπὸ Ναβουχοδονόσορος ἐσχάτης τῶν Ἰουδαίων αἰχμαλωσίας*, ὅσον γοῦν ἐμφαίνεται ἐκ τῶν παρὰ Κλήμεντι καὶ Εὐσεβίῳ σωζομένων αὐτοῦ περικοπῶν. (β). Ταῦτα περὶ Δημητρίου, τοῦ καθ᾽ Ὅδιον

(α) Hody p. 107, πρβλ. 199, 200.

(β) Τὴν Δημητρίου συγγραφὴν ὅ,τε Κλήμης καὶ Εὐσέβιος μνημονεύουσιν ἐπιγραφομένην « περὶ τῶν ἐν Ἰουδαίᾳ βασιλέων »· ἀλλ᾽ οὕτως ὑπῆρχεν ἐπιγεγραμμένη καὶ ἡ τοῦ Εὐπολέμου, ἐν ᾗ καὶ οὗτος ἀπὸ Ἀδὰμ χρονολογεῖ. « Ἔτι δὲ καὶ Εὐπόλεμος ἐν τῇ ὁμοίᾳ (τῇ τοῦ Δημητρίου) π ρ α γ μ α τ ε ί ᾳ τὰ πάντα ἔτη φησὶν ἀπὸ Ἀδὰμ » κτλ. Πρόσθες καὶ ὅσα ὁ Εὐσέβιος (Εὐαγγ. Προπ. Θ. σελ. 257 ἐκδ. Lutet. 1544) ἐκ τῆς αὐτῆς πραγματείας Δημητρίου τοῦ Φαληρέως μετέγραψεν αὐτὸς, ἴσως, ἀναγνοὺς, (οὐ γὰρ ἀναφέρει τὴν περικοπὴν εἰς τὸν Πολυΐστορα ὀνομαστὶ, καθὼς εἴωθεν ἐπὶ τῶν λοιπῶν)· « Δημήτριος δὲ περὶ τῆς (ὑ π ὸ Μ ω σ έ ω ς) ἀναιρέσεως τοῦ Αἰγυπτίου — ὁμοίως τῷ τὴν ἱερὰν Βίβλον (τὴν Ἔξοδον) γράψαντι ἱστόρησε. Φυγεῖν μέντοι γε τὸν Μωϋσῆν εἰς Μαδιὰν, καὶ συνοικῆσαι ἐκεῖ τῇ Ἰοθὸρ θυγατρὶ Σεπφώρᾳ, ἣν εἶναι, ὅσα στοχάζεσθαι ἀπὸ τῶν ὀνομάτων, τ ῶ ν γ ε ν ο μ έ ν ω ν ἐ κ Χ ε τ τ ο ύ ρ α ς » (ἴσως ταῦτα τὰ « τῶν γενομένων ἐκ Χεττούρας ». περιττεύουσι, πλανησθέντος τοῦ

ἀνεπονομάστου, κατὰ δὲ τὴν ἀλήθειαν καὶ μάλα ἐπωνύμου Φαληρέως, πλατύτερον ἴσως ἐκκεχυμένα, διὰ τὰς ποικίλας ἀντιλογίας.

§. ε. Β) Μετὰ τοῦ Φαληρέως συμπαρίσταται καί τις αὐτῷ γνώριμος καὶ φίλος φίλτατος, ὁ Ἀριστέας· αὐτὸς ἐκεῖνος ὁ τοῖς περὶ τὸν Ὅδιον ἔχθιστος, καὶ τὴν ἐχθίστην ἱστορίαν συγγράψας τὴν «*Περὶ τῆς ἑρμηνείας τοῦ τῶν Ἰουδαίων νόμου*». Οὗτος τοίνυν συνέγραψε καὶ ἰδίαν *περὶ τῶν Ἰουδαίων* συγγραφὴν, ἐξ ἧς ἡμῖν ὁ Πολυΐστωρ διέσωσε τὴν περὶ τοῦ Ἰὼβ ἱστορίαν, μεταγεγραμμένην σαφῶς ἐκ τῆς ἑρμηνείας τῶν Ο, καθὼς εἴπομεν ἐν τοῖς προλαβοῦσι (Βιβλ. Α. κεφ. β. §. η).

§. ϛ. Γ) Σύγχρονος τοῦ Φαληρέως καὶ φίλος ἐγένετο καὶ Μένανδρος ὁ Ἀθηναῖος, ὁ τῆς νέας καὶ σώφρονος κωμῳδίας ἀρχηγὸς, ὅστις, εἰ καὶ παρ' ὀλίγον ἐκινδύνευσε τὰ ἔσχατα διὰ τὴν Δημητρίου φιλίαν (α), ἀλλ' ὅμως καὶ τὰ μέγιστ' ἀπ' αὐτῆς ὠφελήθη, τήν τε περὶ τῶν Ἰουδαίων πραγματείαν τοῦ φίλου πάντως ἀναγνοὺς, καὶ αὐτὴν δὲ τὴν, αὐτοῦ ἐπιστατοῦντος, ἑρμηνείαν τῶν Γραφῶν, ὡς ἔδοξε Δεμαγίστρῳ (σελ. 404). Ἀλλ' ὅμως ὁ Μένανδρος ἀπέθανεν Ὀλυμ. ρκβ. τὸ α (Εὐσεβ. Χρον.), ἢ (κατὰ τὴν Ἱερω-

---

ἀντιγραφέως ἐκ τῶν ἑπομένων) «τοῦ Ἀβραὰμ γένους, ἐκ τοῦ Ἰεξὰν, τοῦ γενομένου [τῷ] Ἀβραὰμ ἐκ Χεττούρας. Ἐκ δὲ τοῦ Ἰεξὰν γενέσθαι Δαδάν· ἐκ δὲ Δαδὰν, Ῥαγουήλ. ἐκ δὲ Ῥαγουὴλ, Ἰοθὸρ καὶ Ἀβάβ· ἐκ δὲ τοῦ Ἰοθὸρ Σεπφώραν, ἣν γῆμαι Μωϋσῆν· καὶ τὰς γενεὰς δὲ συμφωνεῖν. Τὸν γὰρ Μωσῆν εἶναι ἀπὸ Ἀβραὰμ ἕβδομον, τὴν δὲ Σεπφώραν ἕκτην. Συνοικοῦντος γὰρ ἤδη τοῦ Ἰσαάκ» (ἴσ. γρ. Συνοικοῦντα γὰρ ἤδη ΤΗ ΣΑΡΡΑ, ΚΑΙ ΓΕΝΝΗΣΑΝΤΑ ΤΟΝ Ἰσαὰκ), «ἀφ' οὗ Μωσῆν εἶναι, γῆμαι Ἀβραὰμ τὴν Χεττούραν, ὄντα ἐτῶν, ρμ, καὶ γεννῆσαι Ἰσαὰρ (ἴσ. γρ. ΙΕΞΑΝ) ἐξ αὐτῆς δεύτερον· τὸν δὲ Ἰσαὰκ ὄντα ἐτῶν ἑκατὸν γεννῆσαι· ὥστε μβ, ἐτῶν ὕστερον γεγονέναι τὸν Ἰσαὰρ (γρ. ΙΕΞΑΝ), ἀφ' οὗ τὴν Σεπφώραν γεγενεαλογῆσθαι» κτλ. (πρβλ. Γενέσ. κε, 1—5. [κώδ. Κοτων. καὶ Ἀλεξ. βλ. καὶ Βατικ. ἐκδ. Bos.], καὶ Ἐξόδ. β, 16, 18, καὶ Ἰωσ. Ἀρχ. Β. θ. §. 6, καὶ ια. §. 1—2). Ὥστε ἡ τοῦ Φαληρέως περὶ τῶν ἐν Ἰουδαίᾳ βασιλέων πραγματεία σαφῶς ὑπῆρχεν ἀπηνθισμένη ἔκ τε τῆς Πεντατεύχου καὶ τῶν ἄλλων ἱστορικῶν βίβλων τῆς Γραφῆς. Ταῦτα προσασημειούσθωσαν διὰ τὰ ἐφεξῆς (κεφ. Ζ. §. ιε, λ.).

(α) «Ὁπηνίκα δ' ἐσυκοφαντεῖτο ἐν ταῖς Ἀθήναις (ὁ Δημήτριος)— Μένανδρος ὁ κωμικὸς παρ' ὀλίγον ἦλθε κριθῆναι δι' οὐδὲν ἄλλο, ἢ ὅτι φίλος ἦν αὐτῷ· ἀλλ' αὐτὸν παρῃτήσατο Τελεσφόρος ὁ ἀνεψιὸς τοῦ Δημητρίου». Λαέρτ. Ε, ε. 8.

νύμου μετάφρασιν ἐκδ. Σκαλιγ.). ρκα, τὸ δ. (τῷ 292: π. Χ.). Τοῦτον τὸν χρόνον βεβαιοῖ καὶ ἡ κατὰ Ῥώμην εὑρεθεῖσα παλαιὰ ἐπιγραφὴ, λέγουσα· « Μένανδρος Διοπείθους, Κηφισιεὺς, ἐγεννήθη ἐπὶ ἄρχοντος Σωσιγένους· ἐτελεύτησεν ἐτῶν Ν, καὶ Β (52), ἐπὶ ἄρχοντος Φιλίππου, κατὰ τὸ Β, καὶ Λ (32) ἔτος τῆς Πτολεμαίου τοῦ Σωτῆρος βασιλείας ». Συμφωνοῦσι μετὰ τῆς ἐπιγραφῆς καὶ Ἀνώνυμος ἐν τῷ περὶ Κωμῳδίας (σελ. 12), καὶ Ἀπολλόδωρος (παρὰ Γελλίῳ, Νυκτ. Ἀττ. ιζ, 4) λεγων· « *Ἐξέλιπε πεντήκοντα καὶ δυοῖν ἐτῶν* » (α). Καὶ κατὰ ταῦτα ἄρα ὁ Μένανδρος ἐτελεύτησεν ἔννατον σχεδὸν ἔτος πρὸ τῆς μετ᾽ αὐτὸν (τῷ 283) ἑρμηνείας τῶν Ο. Ἀλλ᾽ ἐν τούτοις ἀναφύεται καί τις ἀπορία. Μεταξὺ τῶν γνησιωτάτων ὡμολογημένων λειψάνων τοῦ Μενάνδρου εὑρίσκεται καὶ ἐπίγραμμα εἰς Θεμιστοκλῆν καὶ τὸν Ἐπίκουρον, τὸ ἐφεξῆς·

« Χαῖρε Νεοκλείδα (β) δίδυμον γένος, ὧν ὁ μὲν ὑμῶν
Ἑλλάδα δουλοσύνας ῥύσαθ᾽, ὁ δ᾽ ἀφροσύνας ».

Εἰ μὲν οὖν μετὰ θάνατον Ἐπικούρου πεποίηκε τὸ ἐπίγραμμα (ὡς παρέχει ὑπονοεῖν ὁ τρόπος τῆς πρὸς τὸν Θεμιστοκλέα συγκρίσεως αὐτοῦ), ἐτελεύτα δὲ ὁ Ἐπίκουρος Ὀλυμπ. ρκζ, τὸ β. (τῷ 270: π. Χ.), ἐπέζησε λοιπὸν καὶ μετὰ τὴν ἑρμηνείαν ὁ Μένανδρος ὅλην δεκαετίαν, καὶ εἶδε ταύτην παρὰ τοῦ φίλου Δημητρίου ἐξ Αἰγύπτου λαβὼν (οἰκείως δ᾽ εἶχε καὶ πρὸς Πτολεμαῖον τὸν Σωτῆρα, παρ᾽ οὗ καὶ προσκληθεὶς, οὐκ ἀπῆλθεν ὅμως εἰς Ἀλεξάνδρειαν. [Πλίν. Ζ, 29: Ἀλκίφρ. Ἐπιστ. 4]: ὁ δὲ Σουΐδας καὶ ἐπιστολὰς αὐτοῦ πρὸς Πτολεμαῖον μνημονεύει). Καὶ ἀπήνθισε λοιπὸν ὁ Μένανδρος οὐ μόνον γνώμας ἠθικὰς, καί τινας ὑψηλοτέρας περὶ Θεοῦ ἐννοίας ἐκ τῶν βίβλων

---

(α) Βλ. Champollion-Figeac Annal. des Lagid. T. I. p. 376, sq. et T. 2. p. 404. καὶ τὸν σοφὸν Meineke εἰς ἃ ἐξέδωκε Μενάνδρου καὶ Φιλήμονος Λείψανα praef. p. XXV. Berolin. 1823. ὅστις καὶ τὴν Μενάνδρου τελευτὴν τίθησιν Ὀλ. ρκβ, τὸ γ. Τὸ δὲ παρὰ τῷ Σκαλιγήρῳ (ἐν Ἱστοριῶν Συναγωγῇ) « Ὀλυμπ. ρκγ, τὸ β, ἐπὶ Φιλίππου ἄρχοντος, φαίνεται τεταραγμένον. (Scalig. Thes. Temp. p. 331).

(β) Ἴσ. γρ. Νεοκλειδᾶν (= -κλειδῶν). Νεοκλέα δ᾽ εἶχον πατέρα ἑκάτεροι ὅ,τε Θεμιστοκλῆς καὶ ὁ Ἐπίκουρος. Τὸ δ᾽ ἐπίγραμμα φαίνεται γενόμενον ἴσως εἰς ἀνδριάντας, ἢ εἰκόνας Θεμιστοκλέους καὶ Ἐπικούρου, παραλλήλους ἱσταμένας.

μάλιστα τῶν προφητικῶν (α), ἀλλὰ καὶ χρήσεις πολλὰς ὀνομάτων, ὅσα πρῶτος, ἴσως, τῶν Ἀττικῶν συγγραφέων υἱοθέτησε. Τοιαῦτα τὸ *ἀῤῥαβὼν* (β), τὸ *γινώσκειν γυναῖκα* (ἐπὶ μίξεως) (γ), τὸ *μετριάζειν* (ἐπὶ τοῦ ἀσθενεῖν) (δ), τὸ *μεγιστᾶνες* (ε), ὁ *γῦρος* (ζ), ἡ *ἄβρα* (η), καὶ ἄλλα πολλά (θ). Καὶ τίς οἶδεν, εἰ καὶ Ἀριστοφάνης ὁ γραμματικὸς, ἐν αἷς συνέγραψε « *παραλλήλοις Μενάνδρου τε καὶ ἀφ᾿ ὧν οὗτος ἔκλεψεν ἐκλογαῖς* », οὐκ ἐμνημόνευε πρὸς τοῖς ἄλλοις καὶ τοὺς Ο, (ι)· καὶ ταῦτα μὲν, ἂν δοθῇ τι βάρος εἰς τὴν ἐκ τοῦ ἐπιγράμματος ὑποψίαν. Εἰ δὲ, κατὰ τὰς μνημονευθείσας ἀποδείξεις πάλιν,

---

(α) Κλήμ. Στρωμάτ. ε. σελ. 441. πρβλ. καὶ Jo. Cleric. in dedicat. εἰς Μενάνδρου λείψανα.

(β) « Ὅταν ἐκ πονηροῦ πράγματος κέρδος λάβῃς,
Τοῦ δυστυχεῖν νόμιζε σ' ἀῤῥαβῶν' ἔχειν ».
Menandri et Philem. Reliquiae. p. 240, καὶ 259 ἐκδ. Meineke.

(γ) « Ἔπειτα φοιτῶν, καὶ κολακεύων [τὴν] μητέρα,
Ἔγνωμε » —. (Μενάνδρ. λείψ. σελ. 209). πρβλ. Γενέσ. δ. 1. 17, κτλ.

(δ) Μενάνδρ. Λείψ. 297. πρβλ. Νεεμ. β. 2 « μετριάζων » (ὅπου ἡ Κομπλουτ. ἔκδοσις ἔχει ἀῤῥωστῶν). Βλ. Sturz. de Dial. Maced. p. 183.

(ε) Μενάνδρ. Λείψαν. σελ. 297. καὶ Sturz. de Dial. Maced. p. 18. πρβλ. Ἰεζεκ. λ. 13: Ἱερεμ. ιδ. 3: Ναοὺμ β, 5: Ζαχ. ια, 2. κτλ.

(ζ) Μενάνδρ. Λείψαν. σελ. 297 καὶ Sturz. l. c. p. 157. πρβλ. Ἰὼβ κβ, 14 κτλ.

(η) Μενάνδρ. Λείψαν. σελ. 25, 155, καὶ Sturz. l. c. p. 142. πρβλ. Γενέσ. κδ, 61: Ἐξόδ. β, 5. κτλ.

(θ) Οἷον, σύσσημον, λαμπήνη (Ἡσαϊ. ε, 26: ξς, 20) καὶ Μένανδρ. σελ. 16, 297. Διαρτάω (Ἀριθ. κγ, 19) καὶ Μένανδρ. διαρτῆσαι (τὸ ἐξαπατῆσαι) σελ. 285. Κάδος (Ἡσ. μ.), καὶ Μένανδρ. σελ. 17: Πορνοκόπος (Παροιμ. κγ, 21) καὶ Μένανδρ. σελ. 297. κτλ. Πάλιν, εἶπεν ὁ Σολομὼν « Καὶ ἐγὼ γενόμενος, ἔσπασα τὸν κοινὸν ἀέρα » (Σ. Σολομ. ζ, η). Εἶπε καὶ Μένανδρος (παρὰ Πλουτάρχ. Παραμυθ. πρὸς Ἀπολλών. σελ. 302, Reisk.), « ἐπὶ τοῖς αὐτοῖς νόμοις, ἐφ' οἷσπερ ἡμεῖς, ἔσπασας τὸν ἀέρα τὸν κοινόν ». Ὅθεν καὶ Φιλήμων « Τὸν αὐτὸν ἀέρα ἑτέροις συνέλκειν » (παρὰ Στοβ. ς. πρβλ. καὶ Μάρκ. Ἀντων. τ. εἰς ἑαυτ. θ, 8) κτλ.

(ι) « Καὶ Μένανδρος τῆς ἀῤῥωστίας ταύτης (τῆς κλοπῆς) ἐπλήσθη, ὃν ἠρέμα μὲν ἤλεγξε, διὰ τὸ ἄγαν αὐτὸν φιλεῖν, Ἀριστοφάνης ὁ γραμματικὸς ἐν ταῖς παραλλήλοις αὐτοῦ τε καὶ ἀφ' ὧν ἔκλεψεν ἐκλογαῖς. Λατῖνος (ἴσ. γρ. Κρατῖνος) δὲ [ἐν] ἓξ βιβλίοις, ἃ ἐπέγραψε περὶ τῶν οὐκ ἰδίων Μενάνδρου, τὸ πλῆθος τῶν κλοπῶν αὐτοῦ ἐξέφηνε ». Πορφύρ. παρ' Εὐσεβ. Εὐαγ. Προπ. Ι. σελ. 273. Lutet

ἐτελεύτησεν ὁ Μένανδρος τῷ 292, πρὸ τῆς ἑρμηνείας, τὰς μὲν λοιπὸν λέξεις εἰσεποίησεν ἐκ τῶν ἐπ' αὐτοῦ μιχθέντων ἤδη μετὰ τῆς ἀττικῆς φωνῆς Μακεδονικῶν ὀνομάτων, ἢ καί τινων ἄλλων ἑλληνικῶν διαλέκτων, ἐξ ὧν συνέστη τὸ πλεῖστον καὶ ἡ Ἀλεξανδρινή. Ὅτι δὲ ὅμως μεταξὺ τῶν εἰς τὸν Μένανδρον ἐπιγραφομένων στίχων, καὶ μάλιστα γνωμῶν, ὑπάρχουσιν ἀναμεμιγμένα καί τινα ἄλλων ὀλίγῳ νεωτέρων αὐτοῦ ποιητῶν (οἷον τοῦ νεωτέρου Φιλήμονος, κτλ.), οἵτινες ἔλαβον τὰς ἀφορμὰς ἐκ τῆς ἑρμηνείας τῶν Ο, φαίνεται πρᾶγμα πιθανώτατον. Αὐτίκα τὰ, « Ἔλπιζε *τιμῶν* τοὺς γονεῖς *πράξειν καλῶς* »· καὶ, « *Ἱκανῶς βιώσεις γηροβοσκῶν τοὺς γονεῖς* » (α), προφανέστατα παρεφράσθησαν ἐκ τῆς Β. Ἐντολῆς, τῆς « *Τίμα* τὸν πατέρα σου καὶ τὴν μητέρα σου, *ἵνα εὖ σοι γένηται, καὶ μακροχρόνιος ἔσῃ ἐπὶ τῆς γῆς* ». Καὶ πάλιν ἐκ τῶν ἄλλων Ἐντολῶν καὶ τῆς Ι, ἄλλα τινα εἰς Μένανδρον καὶ Φιλήμονα ἀναφερόμενα· οἷον τὰ « Δεῖ γὰρ τὸν ἄνδρα χρήσιμον πεφυκέναι. Μὴ παρθένους φθείροντα καὶ μοιχώμενον. Κλέπτοντα, καὶ σφάττοντα, χρημάτων χάριν. Τ' ἀλλότρια βλέποντα, κἀπιθυμοῦντα (β), Ἤτοι γυναικὸς πολυτελοῦς, ἢ δώματος, Ἢ κτήσεως, παιδός τε, παιδίσκης θ' ἁπλῶς» κτλ. καὶ, «μηδὲ βελόνης, Ὦ φίλτατ', ἐπιθύμησον ἀλλοτρίας ποτέ ». Καὶ ὅσα τοιαῦτα Ἰουστῖνος καὶ Κλήμης καὶ Εὐσέβιος ἐμνημόνευσαν (γ). Ὅτι δὲ καὶ Φιλήμων ὁ κωμικὸς, πολὺ μετὰ τὸν Μένανδρον ἐπιζήσας, ὠφελήθη καὶ αὐτὸς ἐκ τῶν Ο, δηλοῦσιν ἄλλα τε, καὶ λέξεις τινες, ὡς τὸ *σαμβυκίστρια*, παρὰ τὸ *σαμβύκη*, καὶ ἡ *νάβλα* (καὶ ὁ νάβλας, εἶδος λύρας, ἢ κιθάρας, Φοινίκων εὕρημα) (δ). Πρόσθες καὶ τὸ « *Εἰ γὰρ δίκαιος κἀσεβὴς ἕξουσιν ἓν* » (τοῦ νεωτέρου, ἴσως,

---

(α) Γνώμ. μονός. Μενάνδρ. σελ. 318, καὶ 323. Mein. Καὶ ἄλλαι δὲ τῶν γνωμῶν συμφωνοῦσι πρὸς ἄλλα τινα. — (β) Ἴσ. γρ. κἀπιθυμοῦντ' ἂν τυχεῖν. — (γ) Βλ. Μένανδρ. σελ. 306—308. Mein. τούτων δὲ τὰ πλεῖστα νόθα κρίνουσιν οἱ αὐστηρότεροι τῶν νεωτέρων κριτικῶν. Εἰ δὲ δικαίως, ἄλλος ὁ περὶ τούτου λόγος.

(δ) Φιλήμ. παρ' Ἀθην. δ, 175. πρβλ. α, Βασιλ. 1, 12: Δαν. γ. 5—15: βλ. καὶ Bochart. Chauaan. Lib. II. c. 7. p. 808. — Demagistr. Apolog. p. 404—405.

Φιλήμονος. σελ. 433. Μ.) τὸ αὐτὸ καὶ « Καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής; (Γεν. ιη, 23). κτλ.

§. ζ. Δ) Καλλίμαχος ὁ Κυρηναῖος γραμματικὸς καὶ ποιητής, Φιλαδέλφου σύγχρονος καὶ οὗτος (280—270 π. Χ.), καὶ τῆς Ἀλεξανδρινῆς Βιβλιοθήκης φροντιστής, ἐδανείσατο καὶ γνώμας καὶ φράσεις ὁλοκλήρους ἐκ τῆς τότε νεωστὶ ἐν τῇ βιβλιοθήκῃ θησαυρισθείσης ἑρμηνείας τῶν Ο. Οἷον· εἶπεν ὁ Ἀββακοὺμ περὶ Θεοῦ, « *Καθαρὸς* ὀφθαλμὸς τοῦ μὴ ὁρᾷν πονηρά· καὶ ἐπιβλέπειν ἐπὶ πονηροὺς οὐ *δυνήσῃ* » (α, 13)· ἐστιχούργησε καὶ ὁ Καλλίμαχος συντομώτερον.

— — — « Ὅστις ἀλιτροὺς
Αὐγάζειν *καθαραῖς οὐ δύναται λοχάσι*. (α)

Πάλιν τὸ « Ἐπάρας Μωϋσῆς τὴν χεῖρα αὐτοῦ ἐπάταξε τὴν πέτραν τῇ ῥάβδῳ, καὶ ἐξῆλθεν ὕδωρ πολύ ». (Ἀριθμ. κ. 11: Ἐξόδ. ιζ. 6. πρβλ. καὶ ψαλμ. οζ, 15—16), παρομοίως ἐξέφρασε καὶ ὁ ποιητής.

« Εἶπε, καὶ ἀντανύσατα θεὰ μέγαν ὑψόθι πῆχυν,
Πλῆξεν ὄρος σκήπτρῳ· τὸ δὲ οἱ δίχα πουλὺ διέστη,
Ἐκ δ᾽ ἔχεεν μέγα χεῦμα » (β).

---

(α) Καλλιμ. λείψαν. ρλβ. σελ. 495 τόμ. α. Ern. καὶ Μ. Ἐτυμολ. λ. λογχάδες.

(β) Ὕμν. εἰς Δία στίχ. 30. Ὅπου σημειοῖ καὶ ὁ μακρῷ μὲν Ὀδίου, πολλῶν δὲ Βανδάλων περὶ τὰ τοιαῦτα κριτικώτερος Σπαγχέμιος « Haustum est id procul dubio è memoria similis patrati à Mose miraculi, de quo Exod. XVI, 6, et quod Callimacho, Alexanarinae, ut fertur, Bibliothecae praefecto haud ignotum esse potuit ex v e r s i o n e s e n i o r u m recenter in eadem reposita. Quod statui etiam potest de coaevo et Alexandrino itidem poëta Apollonio, qui simile patratum ab eadem Rhea in Cyziceno solo miraculum refert (Ἀπολλών. Ἀργον. α, 1146) «Ἐπεὶ οὔτε παροίτερον ὕδατι ναῖεν Δίνδυμον (ὄρος), ἀλλά σφιν τότ᾽ ἀνέβραχε διψάδος αὔτως Ἐκ κορυφῆς ἄλληκτον » κτλ. Τοιοῦτό τι καὶ περὶ Ἀταλάντης παρέδωκε Παυσανίας (γ, 2, 9). Βλ. E. Spanhem. Observ. in Callim. tom. 2. p. 41. ἐκδ. Ern. Τὰ δ᾽ αὐτὰ ἐπανέλαβε καὶ σελ. 264. Ὅπου καὶ τὸ « π ῦ ρ π α τ ρ ὸ ς ἀ π ο σ τ ά ζ ο υ σ ι κ ε ρ α υ ν ο ί » (Ὕμν. εἰς Ἄρτ. στίχ. 118) παραβάλλει ὁ Σπαγχέμιος πρὸς τὸ « π ῦ ρ, ὅ π ε ρ ἐ ξ ῆ λ θ ε π α ρ ὰ κ υ ρ ί ο υ », κτλ. (Λευϊτ. θ· 24)· διότι (λέγει) ὁ Κυρηναῖος ποιητὴς — ἐμελέτα καὶ τὴν ἐν τῇ Βιβλιοθήκῃ τεθησαυρισμένην ἑρμηνείαν τῶν Ο. Συνομολογεῖ τῷ Σπαγχεμίῳ καὶ ὁ πολὺς Οὐαλκενῆρος (Valcken. de Aristob. Jud. p. 125).

Τὸ δὲ, «Τίς λαλήσει τὰς δυναστείας Κυρίου. . . . τὰ ἔργα αὐτοῦ;» (Ψαλμ. ρε. 2: ρδ, 1) μετέφερεν εἰς τὸ

--- « Τεὰ δ' ἔργματα τίς κεν ἀείδοι;
Οὐ γένετ', οὐκ ἔσται· τίς κεν Διὸς ἔργματ' ἀείσει; ». (α)

Καὶ τὸ « Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω » (Ψαλμ. ριγ. 3) μετεποίησεν εἰς τὸ

— — « Φεῦγε δ' Ἄναυρος,
Φεῦγε δὲ καὶ Πηνειὸς, ἐλισσόμενος διὰ Τεμπέων,
— κ' οὐκ αὖθις ἐχάζετο ». (β)

Τὸ δὲ « Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί »· (Ψαλμ. αὐτ. 4), εἰς τὸ

— « Φόβῳ δ' ὠρχήσατο πᾶσα — Θεσσαλίη ». (γ)

Καὶ τὴν ὑπὸ Μωϋσέως διαίρεσιν τῆς Ἐρυθρᾶς (Ἐξόδ. ιδ, 16, 21) ἐμιμήσατο ὁ Κυρηναῖος ἀοιδός (δ). Καὶ τὸ « Ἐγὼ ἔσομαι αὐτῇ (λέγει κύριος) τεῖχος πυρὸς κυκλόθεν » (Ζαχ. β. 5), καὶ « πύργος ἰσχύος » (Ψαλμ. ξ. 3) ἐξέφρασε λέγων·

« Κεῖναι μὲν (πόλεις) πύργοισι περισκεπέεσσιν ἐρυμναὶ,
Δῆλος δ' Ἀπόλλωνι· τί δὲ στιβαρώτερον ἕρκος; » (ε).

*Ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ* τὸ πλῆθος τῶν Ἰσραηλιτῶν εἶπεν ἡ Γραφὴ (Γενέσ. ιε. 5: Δευτερ. α, 10)· οὕτω καὶ Καλλίμαχος τοὺς Γαλάτας « *ἰσαρίθμους τείρεσιν*, — ἡνίκα πλεῖστα κατ' ἠέρα βουκολέονται » (εἰς Δῆλ. 175). *Ἑπτὰ ἔτη* ἐμαστίζετο ὑπὸ λιμοῦ ἡ Αἴγυπτος, ἄκαρπος διατελοῦσα καὶ ξηρὰ (Γενέσ. μα, 54)· τοῦτο μετέφερε καὶ Καλλίμαχος, ἐννέα τὰ ἔτη εἰπὼν (ἀδείᾳ ποιητικῇ).

« Αἴγυπτος προπάροιθεν ἐπ' ἐννέα κάρφετο ποίας ». (ζ)

Ἑπτάκις ἐκύκλωσαν ἑπτὰ ἱερεῖς τὴν Ἱεριχὼ, σαλπίζοντες ἑπτὰ σάλπιγξιν ἱεραῖς (Ἰησ. ς. 7—16)· οὕτω καὶ παρὰ Καλλιμάχῳ

— « Κύκνοι θεοῦ μέλποντες ἀοιδοὶ
— ἐκυκλώσαντ' ἑβδομάκις περὶ Δῆλον. » κτλ. (η).

---

(α) Ὕμν. εἰς Δία στίχ. 95.—(β) Εἰς Δῆλ. 103, 105, 148. — (γ) Αὐτ. 139, 140. —(δ) Αὐτ. 31—35, Spanhem. l. c. p. 403. — (ε) Αὐτ. στίχ. 23. Παρ' Ὁμήρῳ δὲ μόνοι οἱ Ἥρωες παραβάλλονται πρὸς πύργον, ἢ τεῖχος, οἷον Ὀδυσ. λ. 555, κτλ. πρβλ. Εὐριπ. Μηδ. 390. Βλ. καὶ Ewald. Emblemat. Sacr. P. II. p. 525. — (ζ) Καλλιμ. λείψαν. ρπϐ. τόμ. α. σελ. 509. Ern. — (η) Ὕμν. εἰς Δῆλ. στίχ. 249—250.

Καὶ ἄλλως δὲ τὸν ἑπτὰ ἀριθμὸν ὡς ἱερὸν ὁ Καλλίμαχος πολλαχοῦ διαγράφει· ὅθεν εἶπε καὶ

« Τόν με παλαιστρίταν ὅμοσας θεὸν ἑπτάκις φιλήσειν » (α).

Πάλιν τὸ, « Οὐχὶ τοὺς μισοῦντάς σε κύριε ἐμίσησα ; — τέλειον μῖσος ἐμίσουν αὐτοὺς, εἰς ἐχθροὺς ἐγένοντό μοι » (Ψαλμ. ρλη, 21—22), καὶ τὸ « Τῷ μισουμένῳ ὑπὸ κυρίου μὴ φιλιάζειν » (Β. Παραλ. ιθ. 2), ἐμφαίνονται συντόμως εἰς ταῦτα τὰ Καλλιμάχεια

« Δάματερ, μὴ τῆνος ἐμὶν φίλος, ὅς τοι ἀπεχθὴς, εἴη. » κτλ. (β).

« Ἐκενώθη ἡ τίκτουσα ἑπτὰ » (δηλαδὴ, τῶν πολλῶν ἀπωρφανίσθη τέκνων), εἶπεν ὁ θρηνῳδὸς προφήτης (Ἱερεμ. ιε, 9)· « *Μητέρας ἐξεκένωσαν ἐκούφισαν, δὲ τιθήνας* » ἔγραψε καὶ ὁ ποιητὴς (ἐπὶ νηπίων ἀπολομένων), καταφρονήσας μικρολογίας γραμματικῶν (γ). Καὶ αὐτὸ δὲ τὸ πρὸς τὸν ὁμότιμον καὶ ὁμοδύναμον τῷ Θεῷ καὶ Πατρὶ θεάνθρωπον Κύριον ἐν τοῖς ψαλμοῖς εἰρημένον « *Κάθου ἐκ δεξιῶν μου* » (Ψαλμ. ρθ. 1 πρβλ. Ματθ. ιβ. κτλ), καὶ τοῦτο μετέφερεν ὁ ποιητὴς εἰς τὸν ἑαυτοῦ ψευδόθεον Ἀπόλλωνα. « Δύναται γάρ· ἐπεὶ *Διῒ δεξιὸς ἧσται* » (δ). Καὶ τὸ « Διερ-

(α) Καλλίμαχ. παρ' Ἡφαιστ. σελ. 3. πρβλ. Valcken. l. c.

(β) Εἰς Δήμητρ. 117. καὶ Spanhem. l. c. p. 809. ὅστις παραβάλλει καί τι παρόμοιον ἐκ τοῦ Αἰσχύλου. « Σέβει γὰρ οὔ τις τὸ δυσφιλὲς θεοῖς » (Χοηφορ. 635).

(γ) « Τῆς δὲ κακίας μέρος ἐστὶ καὶ ἡ ἀκυρολογία, ὡς παρὰ τῷ Καλλιμάχῳ ἐπὶ τῶν ἀπολομένων νηπίων, « Μητέρας ἐξεκένωσαν ». Ἀνώνυμ. περὶ Βαρβαρισμ. ἐν τοῖς Ἀμμωνίου, σελ. 197.

(δ) Ὕμν. εἰς Ἀπόλλων. 29. πρβλ. Spanhem. Observ. Tom. 2. 94. Τοιαύτην ῥῆσιν καὶ περὶ τῆς Ἀθηνᾶς ἐκ τοῦ Πινδάρου διέσωσεν ὁ ῥήτωρ Ἀριστείδης· « Πίνδαρος δ' αὖ φησὶ δεξιὰν κατὰ χεῖρα τοῦ πατρὸς αὐτὴν καθεζομένην, τὰς ἐντολὰς τοῖς θεοῖς ἀποδέχεσθαι » (Ἀριστείδ. λόγ. εἰς Ἀθην. σελ. 19). Ἀλλὰ τοῦτο μὲν ἁπλῶς ἐμφαίνει τὴν ἀνέκαθεν παρὰ τοῖς πλείστοις ἔθνεσιν ἐντιμοτέραν, καὶ πρὸς τούτοις αἴσιον λογιζομένην θέσιν τῆς δεξιᾶς (βλ. καὶ Γεν. μη, 13. 18. καὶ γ. Βασ. β. 19)· τὸ δὲ ψαλμικὸν (εἰ θέμις ἐπὶ πλέον ἐμφιλοχωρεῖν ἐν τῇ συγκρίσει τῶν βεβήλων πρὸς τὰ θειότατα), ἀσυγκρίτως ὑψηλότερον καὶ θεοπρεπέστερον, ὡς σχετικῶς ἐμφαῖνον τὸ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ὁμοδύναμον, καὶ τὸ τῆς δόξης ὁμότιμον (Μ. Βασίλ. π. τ. ἁγ. Πνεύμ. κεφ. ς: Θεοδώρ. εἰς Ἑβρ. α, 3. κτλ.). Καὶ τοῦτο δηλῶσαι βουλόμενος ὁ ποιητὴς ἐπὶ τοῦ ἰδίου αὐτοῦ θεοῦ, φαίνεται δανεισάμενος τὴν φράσιν μᾶλλον ἐκ τοῦ Ψαλμοῦ, ὡς ἔκρινεν ὅ,τε Σπαγχέμιος (αὐτόθ.), καὶ ὁ Valken. l. c. p. 125.

ῥαγκα τὴν κοίτην μου κροκίνῳ » (μύρῳ. Παροιμ. ζ. 17) παραβάλλεται πρὸς τὸ « Αἱ δὲ κόμαι *θυόεντα πέδῳ λείβουσιν ἔλαια* » (μύρα) (α). Ἀλλὰ καὶ τὸ « Ἐκ τοῦ *αὐτοῦ διηρτίσμεθα πηλοῦ* » (Ἰὼβ λγ, 6) ἐμφαίνεται εἰς τὸ (Εἴ σε Προμηθεὺς ἔπλασε), *καὶ πηλοῦ μὴ 'ξ ἑτέρου γέγονας* » (β). Ἴσως δὲ καὶ τὸ « Φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλά » (Ἐκκλ. ιβ. 12) ἀναγνοὺς ὁ Καλλίμαχος, συνεπέρανε χαριέντως τὸ « Μέγα βιβλίον, ἴσον μεγάλῳ κακῷ » (γ). Τελευταῖον (ἵνα πολλὰ καὶ ἄλλα παραλίπωμεν), κἀκεῖνο τὸ χάριεν « *ἵν᾽, ὃς ἄρσε, κεῖνος ἀμασεῖ* » (Ὕμν. εἰς Δήμητρ. 138), ὡς ἓν τῶν τῆς εἰρήνης καλῶν εἰρημένον, ἔχει πολλὴν σχέσιν πρὸς τὰς θείας εὐλογίας ἐκείνας. « Καὶ καταφυτεύσουσιν ἀμπελῶνας, *καὶ αὐτοὶ φάγονται τὰ γεννήματα αὐτῶν* » (Ἡσ. ξε, 21, 22). Καί, « Εἰ ἔτι » (τουτ. *οὐκέτι*) « δώσω τὸν σῖτόν σου καὶ τὰ βρώματά σου τοῖς ἐχθροῖς. ἀλλ᾽ *οἱ συναγαγόντες φάγονται αὐτά* (αὐτ. ξγ. 8)· οὗ τὸ ἐναντίον ἐπὶ κατάρας (Δευτερ. κη, 30)· ὅθεν καὶ ἡ παροιμία. « Ἄλλοι μὲν σπείρουσιν, ἄλλοι δ᾽ ἀμήσονται » (δ).

Καὶ λέξεις δέ τινας ἰδίως φαίνεται δανεισάμενος ὁ Καλλίμαχος ἐκ τῶν Ο, οἷον τὸ *ἐλεημοσύνη* (εἰς Δῆλ. 152)· ὡς τό, « ποιήσεις ἐπ᾽ ἐμὲ ἐλεημοσύνην » (ἀντὶ ἔλεος, τουτ. ἐλεήσεις, οἰκτειρήσεις με. Γενέσ. μζ, 29. Ἡσ. α, 27. κη, 17) (ε). Τὸ *ἄβροχος* (ἐκ τοῦ βρέχω = ὕω), βροχὴ (Ψαλμ. ξζ, 10) « ἄβροχος Ἀρκαδίη » (ζ). Ὅθεν

---

(α) Εἰς Ἀπόλλ. 38 καὶ Spanhem. καὶ Valcken. ibid. — (β) Καλλιμ. λείψ. ρλγ. σελ. 495. πρβλ. Κλήμ. Στρωμ. ε. σελ. 579: Εὐσεβ. Εὐαγ. Προπ. ιγ. 673.

(γ) Καλλιμάχ. Λείψ. 359. ἐκδ. Ernest. — (δ) Διογεν. Παροιμ. 6, 62, καὶ Spanhem. Observat. vol. 2. p 841—842 (Τὸ δὲ τοῦ Εὐαγγελιστοῦ Ἰωάννου, δ, 37. ἐῤῥέθη παραβολικώτερον, ἐπ᾽ ἄλλης ἐννοίας ὑψηλοτέρας).

(ε) Ὅθεν καὶ ἡ τοῖς *πένησι* διδομένη χρηματικὴ *εὐεργεσία*. (Λαέρτ. Ε, α, 11. πρβλ. Δανιὴλ. δ, 24: Λουκ. ια, 41: Πράξ. γ, θ, κτλ.). Ὁ δὲ Παραβάτης ἔψεγε τὴν λέξιν (ὡς ἀνάττικον δηλαδὴ) σκώπτων εἰς τοὺς χριστιανούς. « Ἴσως δὲ (λέγει) καὶ διὰ τὸ μηδὲν ὑμῖν εἶναι πρόσχημα τοῦ φορολογεῖν εὐπροσώπως, οἷον ἐκείνοις, ἣν λέγουσιν, οὐκ οἶδ᾽ ὅπως, *ἐλεημοσύνην* » Ἰουλιαν. λόγ. ζ. σελ. 417. πρβλ. Spanhem. l. c. p. 489.

(ζ) Καλλίμ. εἰς Δία. 19. τουτ. ἄνυδρος (ὡς τὸ « *γῆ μὴ βρεχομένη*. Ἰεζ. κβ. 24), καὶ « γῆ διψῶσα » (Ἡσ. νγ. 2), τὸ αὐτὸ καὶ « Ἄργους διψία χθὼν (Εὐριπ. Ἀλκ. 561), ἢ « πολυδίψιον Ἄργος » Ἰλ. δ, 171 κτλ.

καὶ ἡ *ἀβροχία* (Ἱερεμ. ιδ, 1: ιζ, 8). Τὸ ἀπέχω (ἀπολαμβάνω, ἢ ἀπειληφώς εἰμι, ἀπέλαβον) « *τὸ ἀργύριον* » (Γενέσ. 43, 23. πρβλ. Ἀριθμ. 32, 19), « *τὸ χρέος* » (Καλλίμαχ. ἐπιγρ. νη, 1), *χάριτας* (ἐπιγρ. νδ, 4). Τὸ « *ὄφελον* », ἐπίῤ. ἀντὶ εἴθε (Ψαλμ. ριη, 5), καὶ, « ὤφελε μηδ᾽ ἐγένοντο » (Καλλίμ. ἐπιγρ. ιη, 1)· Τὸ *κινύρεται* παρὰ τὸ κινύρα (Α. Βασ. ι, 5: ις, 16), (α). καὶ ἔτι τὸ συγκριτικὸν *κατώτερος* (β), κτλ. (γ). Ἴσως δὲ καὶ τὴν ἀφελεστέραν ὅλου λόγου ἐπανάληψιν, ἥτις φαίνεται διλογία τις, ἢ παλλιλογία παρὰ τοῖς Ο, καὶ ταύτην ἐμιμήθη που ὁ Καλλίμαχος (δ).

§. η. Ε) Μετὰ τοῦ Καλλιμάχου συνάπτομεν καὶ τὸν μαθητὴν Ἀπολλώνιον, ὅστις καὶ αὐτὸς ἐννοίας τινας καὶ λέξεις ἐκ τῶν Ο, μετεφύτευσεν ἐν τοῖς Ἀργοναυτικοῖς (βλ. ὄπισθ. σελ. 98. σημ. β.).

---

(α) Ὕμν. εἰς Ἀπόλλ. 20. — Εἶπε καὶ Ἀπολλώνιος « στενάχουσα κινύρετο » Ἀργον. α. 292. Spanhem. l. c. p. 91· ἡ δὲ κινύρα, κιθάρα οἰκτρά » (Ἡσύχ.).

(β) « Αἵτινες ἑξήκοντα (ἐτῶν) κατώτεραι » (Ὕμν. εἰς Δήμ. 131), τουτ. νεώτεραι τῶν 60, ὡς τὸ « ἀπὸ διετοῦς καὶ κατωτέρω » (Ματθ. β)· τὸ ὑπερθετικὸν κ α τ ώ τ α τ ο ς εὑρίσκεις ψαλμ. πζ, 6, κτλ. πρβλ. καὶ Γ. Βασιλ. θ, 17.

(γ) Περὶ τῶν ἐκ τῶν Ο, παρὰ τοῦ Καλλιμάχου δεδανεισμένων λέξεων, βλ. Valcken. ad Fragm. Callim. p. 28, καὶ ἐν Selectis e Schol. Valcken. ad N. T. à Wassemberg editis. T. I. p. 268, 273. Ὁ δὲ κλεινὸς Βέκχιος οὔ τοι πάνυ εὐλόγως ἀμφέβαλε περὶ τῶν δανεισμάτων τούτων. βλ. Beckij De philolog. saecul. Ptolemaeor. etc. pag. 9 Lipsiae, 1818.

(δ) « Ἵππω ἐπὶ κράνᾳ Ἑλικωνίδι, καλὰ ῥεοίσᾳ,
Λῶντο· μεσαμβρινὰ δ᾽ εἶχ᾽ ὄρος ἀσυχία.
Ἀμφότεραι λώοντο· μεσαμβριναὶ δ᾽ ἔσαν ὧραι·
Πολλὰ δ᾽ ἀσυχία τῆνο κατεῖχεν ὄρος » (εἰς Λουτρ. Παλλάδ. 71).

Τοῦτο ὁ Κυναῖός μὲν (Cunaeus ad Nonnum, p. 115) ὀρθῶς ἐσημείωσεν, ὡς εὐεπείας ἥδιστον σχῆμα, παρέχον διατριβὴν εἰς τὴν φαντασίαν τῆς διαγραφομένης ἐννοίας, πρὸς ἐνάργειαν καὶ σαφήνειαν, καὶ μάλιστα πρέπον εἰς τὸν ἀφελῆ χαρακτῆρα, τῆς δὲ βαττολόγου φλυαρίας πάντῃ διάφορον. Ὁ δὲ Ῥυγκένιος (Ruhnkenius), καὶ ἄλλοι, τοὺς δύω στίχους τοὺς ὑστέρους ὀβελιστέους ἔκριναν, ὡς νόθον ἐπανάληψιν ὑποπτεύσαντες (βλ. Καλλιμ. τόμ. α. σελ. 220, σημ. ἐκδ. Ernest.). Ἀλλὰ πρβλ. παρομοίαν σχεδὸν καὶ ἄλλην τοῦ Καλλιμάχου παλλιλογίαν, ἐξ ἐπανόδου τετεχνευμένην. « Δ ί δ ο υ δ᾽ ἀ ρ ε τ ή ν τ᾽ ἀ φ ε ν ό ς τ ε. Ο ὔ τ᾽ ἀ ρ ε τ ῆ ς ἄ τ ε ρ ὄ λ β ο ς ἐ π ί σ τ α τ α ι ἄ ν δ ρ α ς ἀ έ ξ ε ι ν, Ο ὔ τ᾽ ἀ ρ ε τ ὴ ἀ φ έ ν ο ι ο· δίδου δ᾽ ἀ ρ ε τ ή ν τ ε κ α ὶ ὄ λ β ο ν (εἰς Δία στίχ. 94, 96). πρβλ. καὶ τὰ ὄπισθ. σελ. 99. στίχ. 3: Τοιοῦτο καὶ τὸ « Ἐκ πηλοῦ διήρτησαι σὺ, ὡς καὶ ἐγώ· ἐκ τοῦ αὐτοῦ διηρτίσμεθα πηλοῦ » (Ἰὼβ λγ, 6)· καὶ τὸ « Καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ᾽ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον » (ψαλ. πθ, 17). κτλ.

Τούτων μία τις φαίνεται καὶ ἡ ἐφεξῆς παραβολή. Ἔγραψαν οἱ Ο, « πετεινὸν τοῦ οὐρανοῦ ἀποίσει τὴν φωνήν σου, καὶ ὁ ἔχων τὰς πτέρυγας ἀναγγελεῖ τὸν λόγον σου » (Ἐκκλ. Ι. 20). Ἐστιχούργησε καὶ ὁ Ἀπολλώνιος

———— Ἔλθοι δ' ἧμιν — ἠέ τις ὄσσα,
Ἠέ τις ἄγγελος ὄρνις, κτλ. (α).

§. θ. ϛ) Οὐδὲ Θεόκριτος, ὁ Φιλαδέλφῳ σύγχρονος καὶ φίλος ποιητὴς, ἔμεινεν ἀμύητος τῆς ἑρμηνείας τῶν Ο, (β). Δηλοῦσι δέ τινες τῶν αὐτοῦ παρομοιώσεων ἐκ τοῦ Ἄσματος μάλιστα μεμιμημέναι. Οἷον τὸ « Τῇ ἵππῳ μου ἐν ἅρμασι Φαραὼ ὡμοίωσά σε » (Ἀσμ. α, 9), μετέφερεν εἰς τὸ, « Ἀνέδραμεν (ὡς) ἅρματι Θεσσαλὸς ἵππος » (Εἰδ. ιη, 30). Καὶ τὸ « Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος; » (Ἀσμ. ϛ. 9), ἐπλάτυνεν εἰς τὸ,

« Ἀὼς (ἅτε) ἀντέλλοισα καλὸν διέφαινε πρόσωπον,
Ὧδε καὶ ἁ χρυσέα Ἑλένα διαφαίνετ' ἐν ἁμῖν » (γ).

(α) Ἀπολλων. Ἀργοναυτ. Γ. 1110.

(β) Καὶ ὁ ἄγγλος Λωῦθος (Lowth, de sacra poësi Hebraeor. p. 345 ed. Rosenmüller), καὶ ὁ γερμανὸς Porschberger (Theocritus Scriptur. Sacr. illustrans. Lipsiae, 1744), καὶ ὁ Στούδλην (Staeudlin, in Paulus Memorabilien St. II. p. 162), καὶ ὁ Μάττηρ (Matter, Essai histor. sur l'Ecole d'Alexandrie vol. 2. p. 30), καὶ Οὗγος (Hug. das hohe Lied in einer noch unversuchten Deutung p. 5 et 42), καὶ Αὐγοῦστις (Augusti, Practische Einleit. ins alt. Test. T. 4. p. 161—169) ἀπέδειξαν τὰ Θεοκρίτου εἰδύλλια (καὶ μάλιστα τὸ ἐπιθαλάμιον τῆς Ἑλένης), περιβεβλημένα ἐκ τοῦ Σολομῶντος Ἄσματος καὶ ἄλλας καλλονὰς, καὶ τὴν ἀνωτέρω παρομοίωσιν. Ἀνέγνω δὲ καὶ τὸν Σολομῶντος Ἐκκλησιαστὴν ὁ Θεόκριτος, ὡς ἐξ ἄλλων πάλιν ἀποδεικνύουσιν οἱ εἰρημένοι σοφοί. Εἰς μάτην δ' ἀντεῖπόν τινες πρὸς τούτους, ξηράς τινας καὶ πειναλέας ἀντιῤῥήσεις ἀντιτιθέντες· οἷον, ὅτι τυχαία τις εἴη σύμπτωσις τῶν αὐτῶν εἰκόνων καὶ διαγραφῶν· κἀκείνην δὲ τὴν ἕωλον ψευδολογίαν, ὅτι δῆθεν οἱ Ο, μόνην τὴν Πεντάτευχον ἡρμήνευσαν, οὐχὶ δὲ καὶ τὰς ἄλλας κανονικὰς βίβλους τῆς Γραφῆς· ὅθεν οὐδὲ τὰ Σολομώντεια τεύχη ὑπῆρχον ἐξηλληνισμένα ἐπὶ τοῦ τῷ Φιλαδέλφῳ συνακμάσαντος Θεοκρίτου!! βλ. Schoell Histoir. de la Litter. Grecq. Tom. 3. p. 147. καὶ τὸν Wuestemann in Theocrit. Reliq. praefat. p. XLVIII.

(γ) Εἰδ. ιη, 26 πρβλ. Valcken. anot. ibid. p. 150. βλ. καὶ Matter l. c. Casaubon Lect. καὶ J. Reisk. animadver. in Theocrit. Idyl. 18 p. 131, 263. — Schoell l. c.

Οὕτω καὶ τὸ, « Κηρίον ἀποστάζουσι τὰ χείλη σου,— μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου » (Ἀσμ. δ, 11) πολλὴν ἔχει τὴν ὁμοίωσιν πρὸς τό,

— — « Ἐκ στομάτων δὲ
Ἔῤῥεέ μοι φωνὰ γλυκερωτέρα, ἢ *μέλι κηρῷ* (α).

Εἶπε δὲ καὶ ἀλλαχοῦ « Καλὸν στόμα, *πλῆρες σχαδόνων* » (Εἰδ. α, 46). Καὶ τὸ, « Ὕδωρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην, καὶ ποταμοὶ οὐ συγκλύσουσιν αὐτήν » (Ἀσμ. η, 7) ἀπεμιμήθη εἰς τὸ, « Ἀλλὰ καὶ ἢν ὅλον » (τὸ φάρμακον, δηλονότι τὸ τῆς λήθης ὕδωρ) « αὐτὸ λαβὼν ποτὶ χεῖλος ἀμέλξω, Οὐδέ κε τὼς σβέσσω τὸν ἐμὸν πόθον » (Εἰδ. κγ, 24—25). Ἀλλὰ καὶ τὴν καλλίστην ἐκείνην τοῦ Ψαλμοῦ παραβολὴν « Ὕψωσα τὴν ψυχήν μου, ὡς τὸ ἀπογεγαλακτισμένον (*βρέφος, ἢ ἀρνίον)*, ἐπὶ τὴν μητέρα αὐτοῦ » (Ψαλμ. ρλ. 2) μετέφρασε χαριέντως εἰς τὸ,

« Πολλὰ τεοῦς — μεμναμέναι, ὡς γαλαθηναὶ
Ἄρνες γειναμένας ὄϊος μαστὸν ποθέοισαι » (ιη, 41).

Καὶ λέξεις δέ τινες τοῦ ποιητοῦ φαίνονται ἐκ τῶν Ο· οἷον τὸ *θερίστριον* (β) τὸ αὐτὸ καὶ *θέριστρον* (Ἆσμ. ε, 7: Ἡσ. γ, 21: Γενέσ. κδ, 41), καὶ τὸ *ἀριθμητὸς* (ἀντὶ *εὐάριθμος*)· « ἀριθματοὺς ἀπὸ

---

(α) Εἰδ. κ. 27. Ἄλλοι ἀναγινώσκουσι μελικήρῳ, θεωροῦντες ὡς παρέλκοντα τὸν Ἢ (Wuestem. l. c. p. 291. καὶ Kiessling ed. Theoc. p. 536)· ἀλλ' ἡ ἀνάγνωσις βεβιασμένη δοκεῖ. Ἐκ δὲ τούτου καὶ ὁ Ἐπιγραμματοποιὸς (Epigramm. Brod. p. 135).

« Λέσβιον Ἠρίννης τόδε κηρίον, ἁδύ τι, μικρὸν,
Ἀλλ' ὅλον ἐκ Μουσέων κιρνάμενον μέλιτι.

Τὸ δὲ « μέλιτος γλυκίων ῥέει αὐδὴ », (Ἰλιάδ. α, 24), καὶ τὸ « πέμπω μεμιγμένον μέλι λευκῷ Σὺν γάλακτι » κτλ. (τὸν ἑαυτοῦ ὕμνον ὁ Πίνδαρ. Νεμ. γ. 134. καὶ Ὀλυμ. ζ. 13, καὶ Θεόκριτ. ζ, 82), οὐκ ἔχουσι καὶ τὸ κηροῦ· καίτοι ἄλλως ἡ πρὸς τὸ μέλι παραβολὴ τῆς εὐφωνίας καὶ εὐεπείας ἀρχαία καὶ συνήθης παρ' ἔθνεσι πολλοῖς (ὅθεν καὶ τὸ μελιχρὸς, καὶ τὰ σύνθετα μελίγηρυς, μελίφθογγος, μελίγλωσσος κτλ.). βλ. Barth. ad Calpurn. Eclog. IV. 15. πρβλ. καὶ Graev. in Lection. Hesiod. c. 20. pag. 104. — Stanlejum in Aeschyl. Prometh. v. 172. — Ger. Horaei Animadv. sacr. et profan. p. 147.

(β) Εἰδ. ιε, 69. πρβλ. Valcken. ad Theocrit. Adoniaz. p. 368, καὶ Sturz. de Dial. Macedonic. p. 172.

πολλῶν (Εἰδ. ις, 87), τὸ αὐτὸ καὶ « ἔτη δὲ ἀριθμητὰ δεδομένα δυνάστῃ» (Ἰὼβ, ιε, 20) (α)· καὶ τὸ *μεσημβρινὸν* (ἐπίῤῥημ. ἀντὶ κατὰ μεσημβρίαν, τὸ *μεσημέριον*), οἷον· « Τὸ *μεσαμβρινὸν* συρίσδεν » (α, 15)· καί, « Φεύγειν τὸ *μεσαμβρινὸν ὕπνον* » (Ι, 48)· ὡς τό, « Τὸ μεσημβρινὸν ψηλαφίσαισαν ἴσα νυκτί » (Ἰὼβ, ε, 14) (β). Τοσαῦτα καὶ περὶ Θεοκρίτου (γ).

§. θ. Ζ) Καὶ Λυκόφρων ὁ Χαλκιδεύς, ἐξ Εὐβοίας, εἷς τῆς Φιλαδέλφῳ φίλης Πλειάδος (ἤτοι τῶν ἑπτὰ διασήμων Ἀλεξανδρινῶν τραγικῶν), πολλὰ τῆς ἑρμηνείας τῶν Ο, ἀπώνατο καὶ αὐτὸς εἰς τὴν σύνταξιν τοῦ πολυμαθεστάτου καὶ σκοτεινοῦ ποιήματος, τῆς

(α) Καὶ αὐτὸ τὸ ἀριθμὸς (ἑβραϊκώτερον ἐπὶ τοῦ εὐαρίθμου καὶ ὀλιγοστοῦ)· « Οἱ καταλειφθέντες — ἀριθμὸς ἔσονται» Ἡσ. Ι. 19. κτλ. πρβλ. Jacobs Animadv. in Anthol. Graec. vol. 2. P. 3. pag. 136, καὶ Casaubon. Lection. Theocrit. p. 124 ἐκδ. Reisk.

(β) Ἀλλαχοῦ δὲ εἶπε καὶ τὸ *μεσαμέριον* ὁ Θεόκριτος (*ἐπὶ μεσημβρίας, ὡς καὶ ἐν τῇ συνηθείᾳ τὸ μεσημέριον*) « Πᾶ δὴ τὺ *μεσαμέριον* πόδας ἕλκεις; (ζ, 21). Ὅπου *μάτην ὁ* Toupius *διορθοῖ εἰς τὸ ἀνάλατον μεσαμέριος, γράφων.* « Πᾶ δὴ τὺ *μεσαμέριος* » κτλ. (*κατὰ τὰ ἑῷος, ἠοῖος, ἑωθινὸς, ἑσπέριος, κτλ. ταῦτα μὲν συνήθη, ἐκεῖνο δὲ ἀνήκουστον*)· *ὅπερ καὶ Οὐαλκενῆρος φαίνεταί πως δοκιμάζων* (adnot. ibid.)· *ἀλλ' ἀκουστέος μᾶλλον αὐτὸς ὁ Θεόκριτος, ἐπιῤῥηματικῶς καὶ ἐνάρθρως γράφων «τὸ μεσαμβρινόν»· εἴη δ' ἂν καὶ ἀνάρθρως,* « *τὺ μεσαμέριον*· (Kiessling)· *τοιοῦτο καὶ τὰ ποθέσπερα* (Εἰδ, δ, 3. ε, 113), *καὶ μεσονύκτιον* (*ἐπιῤῥηματ.*)· *καὶ τοῦτο δὲ, καὶ ἀνάρθρως,* « *ἱστία-μεσονύκτιον ἐξεκάθαιρον* » (Εἰδ. ιγ, 69 : κδ, 11). *ὡς καὶ* « *μεσονύκτιον ἐξηγειρόμην* » (Ψαλμ. ριη, 62: Κριτ. 1ϛ, 3), *καὶ πληρέστερον μετὰ προθέσεως καὶ ἄρθρου* « *περὶ τὸ μεσονύκτιον* » (Λουκιαν. τόμ. α. σελ. 467) *ἀντὶ τοῦ ἀρχαιοτέρου* « *μέση νὺξ* » (*ὡς μέσον ἦμαρ*), *καὶ* « *μέσαι νύκτες* » *κτλ. βλ. καὶ* Hoeschel. not. ad Phrynich. pag. 16. *καὶ* Schwarz. Comment. L. Graec. p. 896.

(γ) *Ἀλλ' ἴσως ἂν εἴποι τις, ὅτι καὶ Θεόκριτος, καὶ ἄλλοι δὲ τῶν μνημονευομένων τῆς ἑλληνικῆς γλώσσης (μετ' Ἀλέξανδρον) συγγραφεῖς ἐλάμβανον τὰς λέξεις ἐκ τῆς ζώσης τῆς Μακεδονικῆς ἅμα καὶ Ἀλεξανδρινῆς, ἢ κοινῆς, διαλέκτου· ὅθεν αὐτὰς ἔλαβον καὶ οἱ Ο: — Ἔχει καὶ τοῦτο πιθανότητος μορφήν· ἀλλ' ὅμως πολὺ καὶ πιθανώτερον δοκεῖ, καὶ συγγραφεῦσι πρεπωδέστερον, τὸ καταχωρίζειν τινα λέξιν καινοτέραν ἐν τοῖς συγγράμμασιν, ἐν χρήσει τελοῦσαν ἤδη συγγραφικῇ, καὶ πρότερον ὑπ' ἄλλων τινων εἰς τὴν γραπτὴν διάλεκτον πολιτογραφεῖσαν, παρὰ τὸ πρῶτον αὐτὸν ἕκαστον χωρὶς ἀνάγκης καινοτομεῖν. Ὅτι δὲ πρῶτον αἱ λέξεις αὗται παρὰ τοῖς Ο, ἀπαντῶνται, φανερόν. Ἔπειτα, καθὼς τοσαύτας ἐννοίας καὶ γνώμας ἐδανείσθησαν οὗτοι προφανῶς παρὰ τῶν Ο, οὕτως ἐξ αὐτῶν μετέφερον καὶ λέξεις καὶ φράσεις, ὅσας ἔκριναν καλάς.*

*Ἀλεξάνδρας*. Τὸ ποίημα τοῦτο φαίνεται μοναδικὸν κατ᾽ εἶδος, καὶ ἰδιογενές. Περιέχει προῤῥήσεις μελλόντων, ὡς καὶ οἱ χρησμοί, ἄλλοι τε παντοῖοι τῶν χρηστηρίων, καὶ οἱ τῶν Σιβυλλῶν· ἀλλ᾽ οὗτοι μὲν ἐν ἔπεσι πολλάκις ὀλίγοις ἐξηγοῦσιν ἡσύχως, καὶ οἷον ἀπαριθμοῦσι τὰ μέλλοντα, χωρὶς σφοδροῦ φαντασίας ὀργώσης ῥεύματος, χωρὶς ἐκστάσεως, καὶ τόνου μανιώδους καὶ βακχικοῦ. Τὸ δὲ ποίημα δι᾽ ὅλων 1474 στίχων προβαίνει θερμὸν, καὶ πυρῶδες, καὶ πλῆρες ἐνθουσιασμοῦ μεγαληγόρου καὶ λυρικοῦ, διᾷττον ἀπὸ σκηνῶν εἰς σκηνὰς, καὶ πράξεις προδιαγράφον τραγικὰς, ὡς ἐπὶ τὸ πολὺ, καὶ μεγάλας, καὶ σκυθρωπὰς (οἵας καὶ παρ᾽ Αἰσχύλῳ [*Ἀγαμέμ.*] τὴν αὐτὴν Κασσάνδραν βλέπομεν ἄλλως ἐκτραγῳδοῦσαν, ἐν οἷς προλέγει τῆς Ἀγαμέμνονος οἰκίας τὰς συμφοράς). Ὅθεν οἱ μὲν αὐτὸ κατατάττουσιν εἰς τὸ τραγικὸν τῆς ποιήσεως εἶδος, οἱ δὲ εἰς τὸ λυρικὸν, καί τινες εἰς τὸ ἐπικὸν (α), οἱ δὲ, καὶ εἰς τὸ διδακτικὸν (ὡς ἱστορικὸν, διδάσκον πράξεις ἤδη παρελθούσας ἐν εἴδει χρησμῶν). Ἀλλὰ πολὺ μᾶλλον πιθανώτερον φαίνεται τὸ ποίημα τῆς ἐνθέου καὶ προφητικῆς ὑψηγορίας ἀπομίμημα, χαμαίζηλον (ὡς πρὸς ἐκείνην) καὶ πενιχρὸν, ἐν μύθοις ἀτάκτοις καὶ διανοίας ἀνωμάλου καὶ συγκεχυμένης παραφορᾷ, προφητεῦον δῆθεν τὰ ἐσόμενα. Αὐτίκα τὴν ἐνθουσιῶσαν μάντιν Κασσάνδραν εἰσάγει ὁ ποιητὴς φοιβάζουσαν, ἀπ᾽ ἀρχῆς τοῦ ποιήματος μέχρι τέλους, μονολογικῶς καὶ μονοπροσώπως, μιμούμενος μάλιστα τὸ ἐν ὅλοις κεφαλαίοις θεόπνευστον λῆμμα τῶν ἁγίων Προφητῶν. Μὴ δυνάμενος δὲ πρὸς τὸ ὕψος τῶν θείων ἐμφάσεων ἀναπτῆναι, μηδὲ χωρῶν τὴν δύναμιν τοῦ θαυμαστοῦ τῶν προφητικῶν διαγραφῶν, περιέβαλεν εἰς τὰς ἱστορικὰς αὐτοῦ προῤῥήσεις μέγεθος ψευδὲς, ἐξοιδαίνοντα χαρακτῆρα λόγου φιλοτεχνήσας, καὶ τὴν τῶν νοημάτων ἀσάφειαν ἐξυφάνας οὐ μόνον ἐκ τῆς ἀλλοκότου τερατείας τῶν μύθων, ἀλλὰ μάλιστα καὶ ἐξ ὧν μετεχειρίσθη σκοτεινῶν καὶ γλωσσηματικῶν, ἢ ἀπηρχαιωμέ-

(α) Βλ. Schoell. Hist. de la Literat. Grec. vol. 3. p. 96. (*παρ᾽ ᾧ καὶ τὸν ἡμαρτημένον ἀριθμὸν τῶν στίχων τοῦ ποιήματος* 430 [quatre cent trente vers] *διόρθου εἰς* 1474).

νων λέξεων (οἷον *κέλωρ*, *ἶνις*, *ἄμναμος*, ἀντὶ τοῦ *υἱός*, *ἀπόγονος*, κτλ.), καί τινων ὑπ' αὐτοῦ τραγικώτερον κεκαινοτομημένων (ὡς *ἀθεσμόλεκτρος*, *τριέσπερος*, *ἀποινόδορπος*, κτλ.). Πολλάκις ὅμως καταφαίνεται δανειζόμενος τὰς αἰνιγματώδεις εἰκόνας ἐκ τῶν ἁγίων Γραφῶν· οἷον, τὴν Μενελάου πλάνην προμαντευόμενος, λέγει·

« Ἐπόψεται μὲν πρῶτα *Τυφῶνος σκοπάς* (α),
Καὶ πέμπελον γραῦν *μαρμαρουμένην δέμας* (β),
Καὶ τὰς *Ἐρεμβῶν* ναυάταις ἠχθημένας
Προβλῆτας ἀκτάς » (γ), κτλ. (Λυκόφρ. ςίχ. 825—28).

---

(α) Τοὺς Ἀρίμους λέγει· (ἡφαίστεια, ἢ κεραυνόβολα ὄρη τῆς Κιλικίας ἐν τῇ κατακεκαυμένῃ τῆς Μυσίας, κατὰ δέ τινας ἐν Συρίᾳ. Στράβ. ιγ, 626) « Εἰν Ἀρίμοις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς » (Ἰλ. β. 783).

(β) Ἐννοεῖ τὴν νῆσον Κύπρον (ὡς ἐκ τοῦ περιεχομένου τὸ περιέχον), ἐν ᾗ μετεμόρφωσεν ἡ Ἀφροδίτη πετρώσασα γραῖάν τινα παλαιὰν, ἥτις αὐτὴν ἐκεῖ κεκρυμμένην ὑπέδειξε τοῖς ζητοῦσι θεοῖς (βλ. Ἐξηγ. Τζέτζ. εἰς Λυκόφρ. αὐτόθ. καὶ G. Canteri Annot. αὐτόθ. σελ. 21. ἐκδ. Potteri Oxon 1697). Μνημονεύει δὲ τοῦ μύθου καὶ Πλούταρχος, ἄλλως πως τὴν μεταμόρφωσιν τῆς γραίας αἰτιώμενος, ἣν καὶ Λευκομάντιδα καλεῖ, καὶ Παρακύπτουσαν ἐν Κύπρῳ προσαγορευομένην· ὅτι « παρακύπτουσα ἰδεῖν τὸν ἐραστὴν ἐκκομιζόμενον, ἀπελιθώθη ». « Καὶ Γοργὼ τὴν Κρῆσσαν (ἐν Κρήτῃ) λέγει παραπλήσια τῇ Παρακυπτούσῃ παθεῖν » (Πλούταρχ. ἐρωτικ.). Τοιαῦτα καὶ περὶ τῆς Ἀναξαρέτης ὁ Οὐΐδιος (Μεταμορφ.). Ἀρχαιότατος δὲ τούτων ὁ τῆς Νιόβης μῦθος (Ἰλ. ω, 617), ὃν οἱ Φρύγες ἴσως ἔπλασαν πρῶτοι, παραλαβόντες ἐκ φήμης τὴν ἱστορίαν τῆς εἰς στήλην ἅλατος ἀπολιθωθείσης γυναικὸς τοῦ Λώτ. (Κλήμ. προτρεπτ. σελ. 48). Τὴν δὲ τοιαύτην μεταμόρφωσιν καὶ ἄλλοι παραλαμβάνοντες λαοὶ, παρ' ἑαυτοῖς ἔπλαττον ἕκαστος τὸ συμβὰν (καὶ πάντες ἐπὶ γυναικῶν), καὶ μάλιστα ὅπου κατὰ τύχην ὑπῆρχον ἐκ φύσεως τοιαῦτα ἀνθρωπόμορφα πετρώματα, ἅτινα ἐνίοτε ἦσαν καὶ ὑδατοσταγῆ. Ὅθεν καὶ ἡ Νιόβη ἵστατο δακρύουσα, « μάρμαρον ἀντὶ γυναικὸς, πέτρος δακρυρόεις » (Καλλίμ. εἰς Ἀπόλλ. 22, 24). Τοιαῦτα δὲ λιθώματα μορφοῦνται συχνάκις καὶ ἀπὸ σταγόνων ἁλατώδους, ἢ τιτανώδους ὕδατος, ὡς οἱ λεγόμενοι σταλακτῖται. Καὶ ἄλλων δέ τινων (ζώων ἢ πραγμάτων) ἀπολίθωσιν ἔπλασεν ἐφεξῆς ἡ φαντασία, ὡς ἐκ τῆς ὁμοιότητος τῶν μορφῶν. Τοιαύτη ἡ τῶν Φαιάκων ναῦς (Ὀδύσ. ν. 163), καὶ ὁ παρὰ τὸν Πηνειὸν ἐν Θεσσαλίᾳ πετρωθεὶς λύκος (ὅθεν καὶ τὸ λύκειον, ἢ λύκου πεδίον, τὸ κοινῶς Λυκοστόμιον) κτλ. βλ. Λυκόφρον. στίχ. 901, καὶ Τζέτζ. αὐτ. πρβλ. καὶ Ovid. Metamorph. xl. 9.

(γ) Ἐρεμβοὶ, γένος Ἀράβων πρὸς τὰς Νείλου ῥοάς (Τζέτζ. αὐτόθ.). πρβλ. Ὀδυσ. Δ. 84. καὶ Στράβ. ιζ, 784.

Τίς οὐ βλέπει προφανῶς εἰς τὴν *μαρμαρουμένην γραῖαν* τὴν εἰς *στήλην ἁλὸς* ἀπολιθωθεῖσαν σύζυγον τοῦ Λώτ; ἥτις ποθοῦσα τὴν καταστρεφομένην, καὶ (κατὰ τοὺς εἰς πυρὰν καὶ ταφὴν ἐκκομιζομένους) θαπτομένην πατρίδα, *ἐστράφη* (τοῦτο δὲ *παρέκυψεν* εἶπεν ὁ παρὰ τῷ Πλουτάρχῳ μῦθος) «καὶ ἐπέβλεψεν εἰς τὰ ὀπίσω, καὶ ἐγένετο στήλη ἁλός»· (Γενέσ. ιθ, 24—28). Ἔταξε δὲ ταύτην ὁ ποιητὴς καὶ μεταξὺ τῶν *Τυφῶνος σκοπῶν* καὶ *τῶν Ἐρεμβῶν*, ὑπαινιττόμενος ἴσως, (ὡς ἔδοξε τῷ Δεμαγίστρῳ σελ. 402), τό,τε *πῦρ καὶ θεῖον*, ὑφ᾽ ὧν ἀπετεφρώθη *τυφωθεῖσα* ἡ Πεντάπολις, καὶ τὴν *ἐρεβώδη* καὶ κατακεκαυμένην χώραν τῆς Ἀσφαλτίτιδος, ἢ Σερβωνίδος λίμνης (α), ἧς οὐ μακρὰν ἐστάθη παγὲν μεμαρμαρωμένον τὸ δέμας τῆς γυναικὸς Λώτ (β). Πάλιν, διηγούμενος τὸν Ὁμήρῳ καὶ Ἡσιόδῳ παντάπασιν ἄγνωστον, καὶ μετὰ πολλούς, ἴσως, αἰῶνας πεπλασμένον μῦθον ἐκεῖνον, ὅτι *κατέπιε κῆτος τὸν Ἡρακλῆν*, ἐπωνόμασε τὸν *λεοντοφόνον* ἅμα *καὶ τὴν λεοντῆν ἐνδεδυμένον* τοῦτον ἥρωα, «Λέοντα *τριέσπερον*, ὅν ποτε γνάθοις, Τρίτωνος ἠμάλαψε κάρχαρος κύων» (τὸ κῆτος), κτλ. (στίχ. 34—38). Οὕτω προφανῶς προσαρμόζει τὸν μῦθον εἰς τὴν ἀφ᾽ ἧς μεταπεποίηται ἱερὰν ἱστορίαν τοῦ προφήτου Ἰωνᾶ, ὅστις ἦν «ἐν τῇ κοιλίᾳ τοῦ *κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας*». (Ἰων. β. 1). Δείκνυσι δὲ καὶ αὐτὸ τὸ *τριέσπερος*, ὅπερ ὁ Λυκόφρων πρῶτος φαίνεται τάξας ἐπὶ τῆς σημασίας τῆς ἐν τῷ κήτει τρινυχθημέρου τοῦ Ἡρακλέους διαμονῆς (ἴσως δὲ καὶ πρῶτος αὐτὸς ἔπλασε τὸ ἐπίθετον) (γ). Καὶ τοῦ Φαρὲς δὲ καὶ Ζαρὰ τὴν ἱστο-

---

(α) Στράβ. ιε, 764. πρβλ. Διόδ. ιθ. 98: Plin. V. 13, 15, 16: Tacit. V. 6: Justin. 36: Ἰώσηπ. Ἰουδ. πολ. ε, 5.— (β) Βλ. Ἰώσ. Ἀρχ. Α, ια, 4; Κλήμ. Κορινθ. Ἐπιστ. α: Εἰρην. κ. Αἱρ. Δ, 51: πρβλ. Cotel. PP. Ap. vol. 1, p. 152: *καὶ Κλέρικον ἄλλα τινὰ παράδοξα φρονοῦντα ἐν* Diss. De statua salina (Comment. in Genes. adjecta).

(γ) Ὅθεν πάλιν ὁ ἱερὸς Δαμασκηνὸς παρῴδησε τὰ Λυκόφρονος ἔπη, εἰς αὐτὸν τὸν προφήτην ἀναστρέψας οὑτωσί.

« Ἐκ ποντίου λέοντος ὁ τριέσπερος
Ξένως προφήτης, ἐγκάτοις φλοιδούμενος, Αὖθις προῆλθε» κτλ.

(Καν. Ἰανουαρ. ς. ᾠδ. ς). Ὁ δὲ Βαρῖνος ὁ Κάμερος, καὶ ὁ τὰ τούτου μεταγράψας

ρίαν (Γενέσ. λη, 28) ἐξέφρασεν εἰς τὰ περὶ τοῦ Πανοπέως καὶ Κρίσσου περιᾳδόμενα, λέγων οὕτω (περὶ τοῦ Πανοπέως)·

---

Πόττερος (in Lycophron. comment. p. 118), ἀγνοῶ, τί παθόντες, ἀνέμιξαν τὰ τοῦ θείου μελῳδοῦ πρὸς τὰ τοῦ Λυκόφρονος ἔπη, γράψαντες οὕτως «Ἠμάλαψεν, ἔλαψεν, ἐῤῥόφησε, Λυκόφρων· « Ἐκ ποντίου λέοντος, ὅν ποτε γνάθοις Τρίτωνος ἠμάλαψε » κτλ. καὶ ταῦτα μὲν οὗτοι. Τῆς δὲ τοῦ Λυκόφρονος περὶ τοῦ Ἡρακλέους μυθολογίας ταύτης μνημονεύει καὶ Σέξτος (π. Γραματ.), καὶ ὁ ἱερὸς Κύριλλος ὁ Ἀλεξανδρείας (εἰς Ἰωνᾶν κεφ. Β), καὶ Θεοφύλακτος (ἑρμην. εἰς Ἰωνᾶν)· Αὐτὸ δὲ τὸ τριέσπερος εὑρίσκεται καὶ εἰς τὸν Βωμὸν τοῦ Δωσιάδου (πολὺ μετὰ τὸν Λυκόφρονα μεταγενεστέρου)· γνωστὴ δὲ καὶ ἡ συνήθης τοῦ ἐπιθέτου σημασία, (ὅτι δηλαδὴ, τρεῖς ἑσπέρας εἰς μίαν μεταβαλὼν ὁ Ζεὺς, συνεκάθευδε τῇ Ἀλκμήνῃ. Εὐστάθ. πρβλ. Ἰουστίν. πρὸς τοὺς Ἕλλην: Stat. Thebaid. XII. κτλ.). Ἀλλ' ὁ Σενέκας (Trag. Agamemn.), καὶ ὁ Προπέρτιος (L. II), ἐξ αὐτῶν δὲ καὶ ὁ μακάριος Ἱερώνυμος (advers. Vigilant.), δύω λέγουσι τὰς νύκτας· ἄλλοι δὲ πάλιν ἐννέα (Κλημ. Προτρεπτ. σελ. 16, καὶ Ἀρνόβιος Libr. IV. πρβλ. Meursij Comment. in Lycophron. p. 43). Ἀλλ' ὅμως ὁ Ἡσίοδος μίαν λέγει τὴν νύκτα τῆς εὐνῆς (Ἀσπ. Ἡρακλ.). Καὶ ὀρθῶς ἄρα ὁ Τζέτζης· « Ἐγὼ δὲ (λέγει) τριέσπερον τὸν Ἡρακλέα λέγω καλεῖν τὸν Λυκόφρονα διὰ τὸ ἐν τῷ κήτει τρεῖς ἡμέρας ποιῆσαι, ἃς ἑσπέρας καλεῖ, διὰ τό ἀφώτιστον καὶ σκοτεινὴν εἶναι τὴν γαστέρα τοῦ κήτους » (εἰς Λυκόφρον. αὐτόθ.). Ὅτι δὲ πολὺ μεθ' Ὅμηρον ἐπλάσθη ὁ μῦθος οὗτος, δῆλον πολλαχόθεν. Ὁ Ὅμηρος εἰσάγει τὸν Ἡρακλῆν μαχόμενον πρὸς τὸ κῆτος ἐκ τοῦ τείχους τῆς Τρῳάδος, ὅπερ αὐτοὶ Τρῶες καὶ Παλλὰς ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέοιτο » (Ἰλ. υ. 147). Ὅθεν καὶ τῶν μεθ' Ὅμηρον οἱ μὲν εἶπον, ὅτι σώζων ὁ Ἡρακλῆς τὴν Ἡσιόνην κινδυνεύουσαν ἐκ τοῦ κήτους, κατετόξευσε τὸ θηρίον (Ἀπολλόδ. Β. 5. §. 12)· καὶ Φιλόστρατος ὁ νεώτερος διέγραψε γραφικώτατα ταύτην τὴν εἰκόνα (Φιλ. εἰκον. ιβ)· ἄλλοι δὲ ὅμως τῶν μυθοποιῶν προσέθηκαν ὕστερον, ὅτι καὶ ἐξεπήδησεν ἐκ τοῦ τείχους ὁ Ἡρακλῆς, καὶ εἰσδὺς εἰς τὴν κοιλίαν τοῦ κήτους διέφθειρεν αὐτοῦ τὰς λαγόνας (Ἑλλάνικ. ἐν Σχολ. εἰς Ἰλιαδ. υ)· κατέκοπτε δὲ τὰ ἔγκατα τοῦ θηρίου ἐπὶ τρεῖς ἡμέρας, καὶ πάλιν ἐξῆλθεν ἀβλαβὴς, ὡς εἶπεν ἄλλος, ἴσως, μυθογράφος (Τζέτζ. εἰς Λυκόφρ. αὐτόθ.). Οἱ δὲ πάλιν εἶπον, ὅτι ὁ Τελαμὼν καὶ Ἡρακλῆς προσπλέοντες ἐπὶ τῆς Ἀργοῦς, καὶ τῇ Τροίᾳ προσχόντες, ἔσωσαν ἐκ τοῦ κήτους τὴν Ἡσιόνην (Valer. II. 45. βλ. καὶ Heyne ad. Apollodor. Bibliothec. Tom. 2. p. 158)· Ὁ δὲ, τέλος, Αἰνείας ὁ Γαζαῖος, « Ἄδεται (λέγει) ὁ Ἡρακλῆς, διαῤῥαγείσης τῆς νηὸς ἐφ' ἧς ἔπλει, ὑπὸ τοῦ κήτους καταποθῆναι, καὶ διασωθῆναι » (βλ. Potter. Comment. in Lycophron. p. 118.). Ἐκ τούτων φαίνεται σαφῶς, ὅτι πρὸς τὸν τῆς ἁπλῆς κητομαχίας ἀρχαῖον μῦθον, προσέθηκαν ὕστερον καὶ τὴν ὑπὸ τοῦ κήτους κατάποσιν τοῦ Ἡρακλέους, παραλαβόντες σαφῶς ἐκ τῆς φήμης τῶν κατὰ τὸν Ἰωνᾶν συμβεβηκότων, ὅθεν καὶ τὸ πλοῖον ἐδανείσαντο, καὶ τὴν τριήμερον ἐν τῷ κήτει διαμονὴν, ἣν ὁ Λυκόφρων τριέσπερον εἶπε (βλ. καὶ H. Grotij de verit. Relig. Christ. I. §. 16). Σημείωσαι δὲ, ὅτι καὶ περὶ τοῦ Περσέως ἐθρυλλεῖτο παρόμοια διήγησις, ὅτι κἀκεῖνος (πρὸ τοῦ Ἡρακλέους) ἠγωνίσατο

« Ὁ μητρὸς ἐντὸς δελφύος στυγνὴν μάχην
Στήσας ἀραγμοῖς πρὸς κασίγνητον χεροῖν » (α).

Τελευταῖον (ἵνα καὶ ἄλλα παραδράμωμεν), ἡ δαφνηφάγος τοῦ Λυκόφρονος μάντις μετέφερεν εἰς τοὺς ἑαυτῆς χρησμοὺς ψιττακίζουσα καὶ τὴν περὶ τῶν Ῥωμαίων προφητείαν τοῦ Προφήτου Δανιήλ. «Καὶ εἰσελεύσονται» (προεῖπεν ὁ θεόπνευστος Προφήτης) « ἐν αὐτῷ *οἱ ἐκπορευόμενοι* *Κίτιοι*, καὶ ταπεινωθήσεται, καὶ ἐπιστρέψει, » κτλ. (β). Ἡ δὲ πρόῤῥησις ἐπληρώθη εἰς Ἀντίοχον

---

πρὸς κῆτος παρὰ τὴν Ἰόππην (Στράβ. ις, 759: Ἰώσ. Ἰουδ. Πολ. Γ, θ, 3.), ἢ ἐν Αἰθιοπίᾳ, παρὰ τὴν ἐρυθρὰν θάλασσαν, σῴζων Ἀνδρομέδαν [εἰς ἣν καὶ τραγῳδίαν ἐποίησε Σοφοκλῆς, Εὐριπίδης, Λυκόφρων αὐτός· βλ. Ἀπολλόδωρον, Φιλόστρατον, Ἐρατοσθένην ἐν Καταστερισμ. ιζ, Ἄρατον ἐν φαινομένοις, Ἀγαθαρχίδην, κτλ. πρβλ. καὶ Λυκόφρον. στιχ. 834]. Ὁ δὲ Λυκόφρων καὶ τὸν Περσέα καταποθέντα ὑπὸ τοῦ κήτους πρῶτος ἐποίησε (Λυκόφρ. Ἀλεξ. στιχ. 838, καὶ Τζετζ. αὐτόθ.) Καὶ τοῦτο δὲ σημειωτέον, ὅτι ἀμφότερα τὰ διηγήματα πλάττονται κατὰ τὴν Ἀσίαν συμβάντα, ὅπου τὸ πρῶτον ἡ φήμη τῶν κατὰ τὸν Ἰωνᾶν ἐκ τῆς θείας Γραφῆς διεδόθη· τινὲς δὲ καὶ τὸν Ἀρίωνος μῦθον εἶπον ἐκ τοῦ Ἰωνᾶ μεμιμημένον. (Huet. Dem. Evang. Pr. iv. p. 270). Καὶ παχεῖαν λοιπὸν μετὰ τῆς δυσσεβείας καὶ τὴν ἀμάθειαν οἱ περὶ τὸν Οὐολταῖρον ἐπεδείξαντο, ληρήσαντες, ὅτι ἡ ὑπ᾽ αὐτοῦ τοῦ Προφήτου Ἰωνᾶ (περὶ τὰ 800 π. χ.) συγγραφεῖσα τῶν καθ᾽ ἑαυτὸν ἱστορία φαίνεται δεδανεισμένη δῆθεν ἐκ τῆς Ἡρακλέους ὑπὸ τοῦ κήτους καταπόσεως, ἣν τ᾽ ἀνάπαλιν (ὡς προείπομεν) πολλοὺς αἰῶνας ὕστερον ἐκ τῆς Ἰωνᾶ ἱστορίας παραλαβόντες οἱ μυθογράφοι διεθρύλλησαν. βλ. Ἀνασκευὴν τῆς τελευτ. διερμηνευθ. Διαθήκης σελ. 106, 470.

(α) Λυκόφρ. στίχ. 939 καὶ Τζέτζ. αὐτόθ. ὅστις προστίθησιν, ὅτι καὶ ἄλλοι δύω δίδυμοι ἀδελφοί, Προῖτος καὶ Ἀκρίσιος, ὡσαύτως διεμάχοντο ἐν τῇ κοιλίᾳ τῆς μητρὸς (οὕτω καὶ τὰ κατὰ τὸν Φαρὲς καὶ Ζαρὰ παραλαβόντες πρῶτον ἐκ φήμης ἀρχαίας, εἶτα δὲ καὶ ἐκ τῆς ἑρμηνείας τῶν Ο, προσήρμοζον οἱ μυθογράφοι ἄλλοτ᾽ εἰς ἄλλους κατὰ τόπον γενναίους πύκτας). Ὁ δὲ μέγας Εὐστάθιος (μνήμης ἴσως ἁμαρτίᾳ) ἀντὶ Π α ν ο π έ ω ς ἔγραψεν Ἐ π ε ι ό ν. «Ἐπειὸς (λέγει) κατὰ γαστρὸς ἔτι ὢν ἔμβρυον, ἐπύκτευσέ πως τῷ διδύμῳ ἀδελφῷ, καὶ νικήσας προεξώδευσεν· ἱστορεῖ Λυκόφρων ».

(β) Δανιὴλ ια, 30. Καθ᾽ ὅλας τὰς ἐκδόσεις τῶν Ο. Ὁ δὲ κώδηξ, ὃν ἐξέδωκεν ὁ Δεμάγιστρος (Ῥώμη, 1772) «Δ α ν ι ή λ κ α τ ὰ τ ο ὺ ς Ο», ἔχει τὸ ῥητὸν οὕτω· «Καὶ ἥξουσι Ῥ ω μ α ῖ ο ι καὶ ἐξώσουσιν αὐτὸν, καὶ ἐμβριμήσονται αὐτῷ» (σελ. 68). Πότερον, εἰς τοῦτον ἆρα μόνον τὸν κώδηκα διεσώθη ἡ γνησία τῶν Ο, γραφή; (ὃ πιστεῦσαι σφόδρα δυσχερὲς), ἢ μήποτέ τινες ἀντὶ τῆς γνησίας γραφῆς τοῦ Κ ί τ ι ο ι εἰσήγαγον, ὡς ἰσοδύναμον, τὸ Ῥ ω μ α ῖ ο ι; (ὃ καὶ μάλα πιθανόν). Ἀλλὰ περὶ τούτου τοῦ κώδηκος (εἴπερ οὗτός ἐστιν ὄντως, κ α τ ὰ τ ο ὺ ς Ο, τὸ δ᾽ ἐν ταῖς κοιναῖς ἐκδόσεσι τεῦχος τοῦ Δανιὴλ, κ α τ ὰ Θ ε ο δ ο τ ί ω ν α), λέγομεν ἐφεξῆς

βασιλέα Συρίας, τὸν Ἐπιφανῆ, πολεμοῦντα πρὸς Πτολεμαῖον τὸν Ε. (τὸν Φιλομήτορα)· διότι τότε πέμψαντες οἱ Ῥωμαῖοι τοὺς περὶ Γ. Ποπίλλιον πρεσβευτὰς, ἐκέλευον Ἀντιόχῳ λύειν τὸν πρὸς Πτολεμαῖον πόλεμον. Γνωστὴ δὲ καὶ ἡ τοῦ Ποπιλλίου πρὸς Ἀντίοχον

---

ἐν τῷ οἰκείῳ τόπῳ. Κἂν δὲ Κίτιοι ἔγραψαν οἱ Ο, ὡς ἔχει καὶ τὸ ἑβραϊκὸν, «νῆες (ἢ τριήρεις) Κιττιεὶμ» (ἄλλ. Χεττιείμ, ἢ χετεὶμ, ἢ χεθὶμ), ἀλλὰ καὶ τοῦτο οἱ παλαιοὶ Ἑβραῖοι ἐξελάμβανον ἐπὶ τῶν Ῥωμαίων, καὶ ἀλλαχοῦ καὶ εἰς τὴν ῥῆσιν τοῦ Δανιήλ· ὅθεν καὶ ὁ Ἱερώνυμος Ῥωμαίων ἡρμήνευσεν « et veniant super eum trieres (τριήρεις) Romanorum » (ἢ, ὡς ἔχει ἡ Βουλγάτα, trieres et Romani. βλ. S. Hier. Com. in Daniel. XI. 27. p. 1086. Tom. 2. πρβλ. καὶ Grot. Comm. in Dan. XI). καὶ ἡρμήνευσεν ὀρθῶς. Κιτίους (διὰ τοῦ ι, Ἄλλοι δ' οἱ παρ' Ὁμήρῳ Κήτειοι. βλ. καὶ Στράβ. 616, 620, 678, 689), Κιτίους, καὶ Κιτιαίους οἱ παλαιοὶ Ἑβραῖοι ὑπελάμβανον οὐ μόνον τοὺς Κυπρίους, παρ' οἷς καὶ πόλις Κίτιον (Ἰώσηπ. Ἀρχ. Α. ς. ἑλ. καὶ Εὐσέβιον, Ἱερώνυμον, Προκόπιον). ἀλλὰ καὶ τοὺς Μακεδόνας ἰδίως, καὶ ἁπλῶς τοὺς Ἕλληνας. Οὕτως ὁ Μακεδὼν Ἀλέξανδρος γράφεται ἐκ χώρας Χεττιείμ (Α. Μακκ. α, ι. ὁ αὐτὸς καὶ Βασιλεὺς Ἑλλήνων» Δαν. η, 21)· καὶ ὁ Περσεὺς, «Κιτιέων βασιλεὺς» (Α. Μακκ. η, 5·)· Κιτίους ἔλεγον προσέτι καὶ τοὺς Ῥωμαίους καὶ Ἰταλοὺς, εἴτε (κατά τινας) τ' ὄνομα τιθέντες κοινῶς ἐπὶ πάντων τῶν ἐπέκεινα τῆς μεσογείου θαλάσσης λαῶν, εἴτε καὶ, τὸ πιθανώτερον, συνάπτοντες τοὺς Μακεδόνας καὶ τοὺς Ἕλληνας μετὰ τῶν κατοίκων τῆς μεγάλης Ἑλλάδος, ὡς ὁμοφύλους διὰ τὰς ἀποικίας. Ὑπῆρχε δὲ καὶ ἀρχαῖος παρ' Ἕλλησι λόγος, ὅτι καὶ Αἰνείας, ὁ Ῥώμου καὶ Ῥωμαίων προπάτωρ, πρὶν εἰς Ἰταλίαν ἐκ Τροίας ἀπέλθῃ, κατῴκησε πρῶτον τὰ περὶ Ῥαίκηλον, τὴν ὕστερον Αἶνον, καὶ τὴν Ἀλμωνίαν, πόλεις Μακεδονίας (Τζέτζ. εἰς Λυκόφρ. 1226). καὶ ὁ κλεινὸς Βοχάρτος (in Phaleg. l. III. c. 5.) Ἕλληνας λέγει τὸ γένος τοὺς πρώτους ἐν Λατίῳ τῆς Ἰταλίας κατοίκους (ὅθεν καὶ τὸ ἐν Ἱερεμ. β, 10, Χεττιείμ, ἑλλήνων ἐξηγοῦσιν ἄλλοι τε τῶν νεωτέρων, καὶ ὁ Bauer ἐν Schulz. Sch. in V. T. v. 10, p. 17). Σημειωτέον πρὸς τούτοις, ὅτι καὶ ἐν τῇ ἀρχαιοτάτῃ ἐκείνῃ προῤῥήσει (Ἀριθ. κδ, 24) Κιτιαῖοι κατὰ τοὺς Ο, (καὶ Ἑβρ. Χιττιείμ) ὠνομάσθησαν οἱ Ῥωμαῖοι, ὡς ἀπέδειξεν ἡ τῶν πραγματων ἔκβασις (πρβλ. καὶ Ἡσ. κγ, ι: Ἱερ. β. 10: Ἰεζεκ. κζ, 7.). Οὕτω καὶ ὁ θεῖος Δανιὴλ Κιτίους, ἢ Χιττιείμ, συνωνύμως τοῖς Μακεδόσι καὶ τοῖς Ἕλλησι, ἐπωνόμασε καὶ τοὺς Ῥωμαίους· ἴσως καὶ ὡς διαδόχους τούτους ἐσομένους τῆς ἑλληνικῆς βασιλείας (οἵους καὶ προεῖδε καὶ προδιέγραψε). Ἀλλ' ἡ μὲν αἰτία τῆς τῶν Ἑλλήνων καὶ Ῥωμαίων ἐν τῷ Χεττιείμ ὁμωνυμίας, κεῖται ἀόριστος· ὅτι δὲ ἡ ὁμωνυμία ὑπῆρχε, δείκνυται πολλαχόθεν. Ὅθεν καὶ Ἰώσηπος πάλιν τοὺς παρὰ τῷ Δανιὴλ Κιτίους Ῥωμαίους ἐξέλαβε (Ἀρχ. I, ια, 7). Καὶ τὸ προῤῥηθὲν ἐν Αριθμ. κδ, 24. ἀρχαιότατον Κιτιαίων (ἢ ἑβρ. Χιττιείμ) Ῥωμαίους ἡρμήνευσαν ὅ,τε παλαιὸς Χαλδαῖος παραφραστὴς, καὶ τὸ Ταλμοῦδον, καὶ Ἰώσηπος ὁ Γοριωνίδης. Καὶ πάλιν ὁ Ἱερώνυμος Ἰταλίαν ἡρμήνευσε (Comment.

ἐμβρίμησις, καὶ ἡ Ἀντιόχου *ταπείνωσις* καὶ ὑπακοὴ πρὸς τὰς Ῥωμαίων ἐπιταγὰς, «*βαρυνομένου καὶ στένοντος*»(α). Καὶ ταῦτα μὲν γεγόνασι κατὰ τὴν ρνγ, Ὀλυμπ. (ἤτοι 30, περίπου Ὀλυμπιάδας, ἢ 120 ἔτη, μετὰ τὸν Φιλάδελφον καὶ τὸν παρ' αὐτῷ συνακμάσαντα Λυκόφρονα. Τότε δὲ, ἐπὶ Φιλαδέλφου, τὸ κλέος τῆς ἀνδρίας τῶν πρὸς τοὺς γείτονας μαχομένων καὶ εὐδοκιμούντων Ῥωμαίων (Στράβ. ς, 287) μακρόθεν ἠκούετο μόνον, οὐδέπω ἦσαν ὑπερβάντες τὰ ὅρια τῆς Ἰταλίας οἱ τῶν Ῥωμαίων λεγεώνων ἀετοί· ἀλλ' οὐδὲ στόλους ναυτικῶν δυνάμεων ἰδίους εἶχον ἔτι τότε κατὰ θάλασσαν οἱ Ῥωμαῖοι. Καὶ ὅμως ὁ Λυκόφρων, ἀναγνοὺς τὴν τοῦ Δανιὴλ προφητείαν ἐκ τῆς ἑλληνικῆς πάντως ἑρμηνείας τῶν Ο, καὶ θεωρήσας ἐν κεφ. η, 20: σαφῶς ἐξηγούμενα τὰ εἰκονικῶς

---

in Ezech. 27)· καὶ πρὸ τούτου πάλιν ὁ Εὐσέβιος· «Κίτιοι, ἐξ οὗ Λατῖνοι καὶ Ῥωμαῖοι (Χρονικ. α. pag. 12. ἐκδ. Scalig. βλ. καὶ τοὺς νεωτέρους ὑπομνηματιστὰς Münster, Drusium, Grotium εἰς Ἀριθμ. κδ. καὶ εἰς Μακκαβ. καὶ ἰδίως τὰς Drusij Notas major. ad Genes. X. 4). Τοιαύτην οὖν τὴν σημασίαν τῶν παρὰ τῷ Δανιὴλ Κιτίων συνείκαζε καὶ ὁ Λυκόφρων, ἤδη κατ' αὐτὸν αὐξανομένων τῶν Ῥωμαίων (ὡς λέγομεν ἐν τοῖς ἀνωτέρω), Ἴσως δὲ καὶ παρὰ τῶν ἐν Ἀλεξανδρείᾳ λογίων ἑλληνιστῶν Ἰουδαίων ἐμάνθανε τὴν ἐκδοχήν· ὅθεν εἰσήγαγε τὴν Κασσάνδραν προφοιβάζουσαν τὰς τοῦ θείου Δανιὴλ προϋπαρχούσας προῤῥήσεις. Τοῦτο δὲ μὴ νοήσας ὁ πρὸ τοῦ Τζέτζου σχολιαστὴς τῆς Λυκόφρονος Ἀλεξάνδρας (ἴσ. ὁ Θέων), ὑπέλαβε τὸ ποίημα νεωτέρου τινος Λυκόφρονος· διότι τοὺς Ῥωμαίους οὕτως ηὐξημένους ἐπὶ Φιλαδέλφου παριστᾷ. «Ὁ δὲ Λυκόφρων (λέγει) συνήθης ὢν τῷ Φιλαδέλφῳ, οὐκ ἂν περὶ Ῥωμαίων διελέγετο». Ἀλλ' ἐπέπληξεν αὐτὸν ὁ Τζέτζης ὡς ληροῦντα, γνήσιον τοῦ Χαλκιδέως Λυκόφρονος ἀποφαινόμενος τὸ σκοτεινὸν ποίημα (Τζέτζ. εἰς Λυκόφρ. στιχ. 1226). Οἱ δὲ περὶ τὸν Ῥοδσμύλλερον (Rosenmüller, Handbuch für die Literatur etc. 2 Th. p. 419) μυκτηρίζοντες τοῦ Δεμαγίστρου τὴν συγγραφὴν, καὶ καθόλου, καὶ διότι εἶπεν ὅτι ὁ Λυκόφρων ἔλαβε τὰ περὶ τῶν Ῥωμαίων ἐκ τοῦ προφήτου Δανιὴλ, οὐδὲν αὐτοὶ ἠξίωσαν γενναῖον εἰπεῖν περὶ τοῦ, πόθεν ὁ Λυκόφρων μαθὼν προεῖπε τὴν μέλλουσαν ὑπὸ Ῥωμαίων καταστροφὴν τῆς βασιλείας τῶν Ἑλλήνων (Μακεδόνων). Ἀλλ' ἐν τοῖς τοιούτοις εὔκολος ἡ ψῆφος τῆς ὀρθολογώδους κριτικῆς· «τυχαία σύμπτωσις ἐννοιῶν»· ἤ, μωροῦ τινος σχολιαστοῦ, ἢ δολίου πλαστογράφου, ἢ φιλευσεβοῦς ἀπατεῶνος ὑστερόχρονον διασκεύασμα»!

(α) Βλ Πολύβ. Πρεσβ. Βιβλ. λ. λείψ. ϙβ. *καὶ* Πλουταρχ. Ἀποφθέγμ. *καὶ* S. Hieronym. ubi supra. — *Καὶ ἄλλην προφητείαν τοῦ θείου Δανιὴλ εἰς Ἀντίοχον τὸν Ἐπιφανῆ πληρωθεῖσαν ὡμολόγησε καὶ Ἰώσηπ. Ἀρχ.* Ι, ια, § 7.

ἐν κεφ. ζ, 6, 17, καὶ β, 39, περὶ τῶν δ, βασιλειῶν προφητευθέντα, καὶ ὅτι ταῦτα ἦσαν ἤδη ἐπ᾽ αὐτοῦ τοῦ Λυκόφρονος πάνυ πρώην τετελεσμένα, μέχρι καὶ τῆς εἰς Ἀσίαν ἀναβάσεως Ἀλεξάνδρου καὶ τῶν μετ᾽ αὐτοῦ Ἑλλήνων (ἥτις ἦν ἡ τρίτη τῶν παρὰ τῷ Προφήτῃ βασιλειῶν), συνείκασεν, ὅτι καὶ τὰ περὶ τῆς ἐπερχομένης τετάρτης βασιλείας προφητευόμενα τοὺς ἤδη ἐπ᾽ αὐτοῦ μεγαλυνομένους Ῥωμαίους ἐδήλουν. Ὅθεν πρῶτον μὲν εἰσάγει τὴν ἰδίαν αὐτοῦ μάντιν τάχα προφητεύουσαν (ὡς ὁ θεῖος Δανιὴλ) τὰ κατὰ τὸν Ἀλέξανδρον πληρωθέντα (στίχ. 1439—1445: ὅπου καὶ «Χαλαδραῖον *λέοντα*», καὶ « στρατηλάτην *λύκον* » τὸν Μακεδόνα καλεῖ· μιμούμενος καὶ ὧδε τὸ *πάρδαλις*, καὶ τὸ *τράγος*, ὡς ὠνόμασε συμβολικῶς ὁ Δανιὴλ τὸν Ἀλέξανδρον, ζ, 6 : η, 21). Ἔπειτα δ᾽ ἐμβάλλει εἰς τὸ στόμα τῆς χρησμῳδοῦ καὶ τὴν ἐπὶ τῆς Ἀσίας καὶ τῆς τῶν Ἑλλήνων βασιλείας μέλλουσαν ἐπικρατήσειν κατά τε γῆν καὶ κατὰ θάλασσαν μοναρχίαν τῶν Αἰνείου ἀπογόνων, Ῥωμαίων· οἵτινες (ἐπὶ Καίσαρος) ἠνώρθωσαν, τέλος, καὶ αὐτὴν τὴν ὑπὸ τῶν Ἑλλήνων ἀϊστωθεῖσαν αὐτῆς πατρίδα, τὸ Ἴλιον. Ἄκουε τὴν χρησμοποιόν·

« Γένους δὲ παππων τῶν ἐμῶν αὖθις κλέος
Μέγιστον αὐξήσουσιν ἄμνα μοί (ἀπόγονοι) ποτε,
Αἰχμαῖς τὸ πρωτόλειον ἄραντες στέφος·
*Γῆς καὶ θαλάττης σκῆπτρα καὶ μοναρχίαν*
Λαβόντες· οὐδ᾽ ἄμνηστον, ἀθλία πατρὶς,
Κῦδος μαρανθὲν ἐγκατακρύψεις ζόφῳ.
Τοιούσδ᾽ ἐμός τις σύγγονος λείψει διπλοῦς
*Σκύμνους λέοντος*, ἔξοχον Ῥώμης γένος » (στίχ. 1226).

Καὶ αὐτὸ δὲ τὸ *σκύμνους λέοντος* (ὡς ὀνομάζει σκοτεινότερον τοὺς ἀδελφοὺς Ῥῶμον καὶ Ῥωμύλον, οὐχ ὑπὸ λεαίνης, ἀλλ᾽ ὑπὸ *λυκαίνης* γαλακτοτροφηθέντας) ἐδανείσθη προφανῶς ὁ Λυκόφρων ἐκ τοῦ « *Σκύμνος λέοντος — υἱέ μου ἀνέβης* » (Γενεσ. μθ, 9). Καὶ τὸ *σκῆπτρα* (πληθυντικῶς) τῆς μοναρχίας φαίνεται φράσις γραφικὴ (ὡς «τὰ *σκῆπτρα τῆς Αἰγύπτου*». Ἰεζεκ. λ. 18) (α). Καὶ

(α) Παρ᾽ Ὁμήρῳ δὲ (καὶ πᾶσι τοῖς ἀρχαίοις Ἕλλησι) τὸ σκῆπτρον (ἑνικῶς

ἄλλας δέ τινας φράσεις καὶ λέξεις ἰδίως ἔχει κοινὰς ὁ Λυκόφρων πρὸς τοὺς Ο (α). Τὸν δὲ εἰς ο σ α ν σχηματισμὸν τῶν τοῦ παρατατικοῦ πληθυντικῶν (ἅπαξ, ἐν τῷ *ἐσχάζοσαν*), καὶ τῶν τοῦ παρακειμένου εἰς α ν (ἅπαξ, ἐν τῷ *πέφρικαν*, ἀντὶ πεφρίκασι) πάτριον ἔχει, Χαλκιδικὸν, ὁ Λυκόφρων, καὶ τοῖς Ο, κοινόν (β). Τελευταῖον, ὅτι ἐκ τοῦ Δανιὴλ ἠρύσατο τὰς περὶ τῶν Ῥωμαίων προῤῥήσεις ὁ ποιητὴς, οὐ σμικρὸν τεκμήριον ἔχομεν καὶ ἐκ τῆς ἱστορίας, ἥτις ἡμῖν παρέδωκε γνωστὴν τοῖς Ἕλλησι γενομένην, ἔτι καὶ πρὸ τῆς ἑρμηνείας, τὴν προφητικὴν τοῦ Δανιὴλ βίβλον, διὰ τὰς ἐν αὐτῇ προφητευθείσας διαδοχὰς τῶν βασιλειῶν, Ἀσσυρίων καὶ Περσῶν καὶ Ἑλλήνων καὶ Ῥωμαίων (Δαν. β, 37—44. ζ. 3—8). « Ἐδείχθη γὰρ ἡ βίβλος καὶ τῷ μεγάλῳ Ἀλεξάνδρῳ, κατὰ τὴν Ἱερουσαλὴμ » (ἐξηγουμένων τότε δηλαδὴ προφορικῶς τῶν καταλλήλων προφητικῶν χωρίων, καὶ μάλιστα τῶν ἐν κεφ. η. 5—21, καὶ κεφ. ια, 3), « ὡς δηλοῦσά τινα τῶν Ἑλλήνων καταλύσοντα τὴν τῶν Περσῶν ἀρχήν. ὁ δ᾽ Ἀλέξανδρος ἐνόμισεν αὐτὸς εἶναι ὁ σημαινόμενος » (γ). Πολὺ δὲ μᾶλλον

---

*καὶ μόνον ὡς σύμβολον τῆς βασιλικῆς ἀρχῆς*) Ἰλ. β. 101, 206. Ζ. 159. Ι. 38, 99.

(α) Οἷον, σ τ ρ ῆ ν ο ς, 438 (*καὶ δ.* Βασιλ. 19, 28) *κτλ. βλ* Sturz. de Dial. Macedon. et Alex. p. 195.

(β) Λυκόφρ. *στιχ.* 21 *καὶ* 252. *ὅπου ὁ Τζέτζης. « τὸ δ ὲ ἐ σ χ ά ζ ο σ α ν χ α λ δ α ϊ κ ὸ ν, ἤτοι τῆς Ἀττικῆς διαλέκτου »* (σελ. 5). *Ἀλλ ἀντὶ μὲν τοῦ χαλδαϊκὸν διόρθου, χαλκιδικὸν· ὡς εἶπεν ὁ αὐτὸς καὶ τὸ « π έ φ ρ ι κ α ν καὶ τὰ ὅμοια χ α λ κ ι δ ι κ ῆ ς διαλέκτου* (σελ. 34)· Οὕτω *δὲ καὶ παρ᾽ ἄλλοις ταῦτα συγχέονται· οἷον* « Βοττικὴ, *ἡ χαλδαϊκὴ γῆ » (γράφ. χ α λ κ ι δ ι κ ή)* Μ. Ἐτυμολ. *λ.* Βόττεια. (*βλ. καὶ* Maittair. de Dialect. p 226)· *καὶ τἀνάπαλιν,* Χ α λ κ ι δ α ί ω ν, *ἀντὶ* Χ α λ δ α ί ω ν (Διόδ. ιδ. 29. Sturz. de Dial. Maced. p. 57—62). Ἀ τ τ ι κ ῆ ς *δὲ διαλέκτου εἶπεν ὁ Τζέζης τὸν σχηματισμὸν ἀκυρώτερον, ἢ, καθότι καὶ ἡ* Ἀλεξανδρινὴ *διάλεκτος εἶχε καὶ ἀττικισμοὺς* (Μ. Ἐτυμολ. *λ. πυθαρίζειν*)· *ὁ δὲ τύπος,* Ἀλεξανδρινός· « Ἡ *λέξις παρ᾽ Ἀλεξανδρεῦσιν ἐ λ ή λ υ θ α ν, καὶ ἀ π ε λ ή λ υ θ α ν »* (Σέξτ. π. Γραμματικ.). Ἀλλ᾽ *ἦν καὶ παρὰ* Χαλκιδεῦσιν *ἡ λ έ ξ ι ς, ὡς εἴδομεν ἀνωτέρω.* Περὶ *τῆς Ἀλεξανδρέων διαλέκτου βλ. ἔμπροσθεν* (*κεφ. δ.* §. ιϛ).

(γ) Ἰώσηπ. *ια, η.* §. 5: *πρβλ. Δαν. η,* 21. *κτλ. βλ. καὶ* Χρυσόστ. *εἰς Δανιήλ. σελ.* 168, 173: S. Hieron. Comm. in Daniel II. *πρβλ. καὶ* Grot. annotat. ad Daniel XI, 3: *ὅπου προστίθησι καὶ ὅτι, τοῦτό ἐστι τὸ τοῦ Δανιὴλ χωρίον, ὃ μετ᾽ ἄλλων, ἴσως, ἐδείκνυεν ὁ ἀρχιερεὺς* Ἰαδδοὺς *τῷ* Ἀλεξάνδρῳ, *εἰσιόντι εἰς* Ἱεροσόλυμα. Ὁ *δὲ* Βανδάλης *καὶ ταῦτα μῦθον καλεῖ* (l c. p. 79.), *ὡς καὶ ὅλην τὴν εἰς* Ἱερουσαλὴμ

ἔμελλεν αὐτὴν ἰδεῖν μετὰ τὴν ἑρμηνείαν αὐτὸς, ὁ καὶ τῆς ἑρμηνείας φροντιστὴς, καὶ τρίτος ἀπ' Ἀλεξάνδρου βασιλεύσας (παρ' ᾧ καὶ Λυκόφρων ἤκμαζεν), ὁ Φιλάδελφος. Ὅθεν καὶ οὗτος ἤδη ὑπονοῶν τὴν μέλλουσαν ἔκτασιν τοῦ Ῥωμαίων κράτους, « ἐπειδὴ τόν τε Πύῤῥον κακῶς ἀπηλλαχότα, καὶ Ῥωμαίους αὐξανομένους ἔμαθε, δῶρά τε αὐτοῖς ἔπεμψε, καὶ ὁμολογίας ἐποιήσατο », καθὼς ἱστόρησε Δίων (α), καί τοι τὰ περὶ τὸν Πύῤῥον ἴσως παραχρονίζων (ὥς τινες ἐνόμισαν)· ἡ γὰρ τοῦ Πτολεμαίου πρεσβεία γέγονε (λέγουσιν), ἔτι πρότερον, καθ' ὃν ἔτι χρόνον διέτριβεν ὁ Πύῤῥος ἐν Ἰταλίᾳ (ἤτοι τῷ 481, ἀπὸ κτίσ. Ῥώμης, καὶ 272 π. Χ.) (β). Ἀλλὰ καὶ οὕτως οὐκ ἐλάνθανε τὸν Φιλάδελφον τὰ κατὰ τὸν Πύῤῥον, κακῶς πράσσοντα ἐν Ἰταλίᾳ. Εἰ δ', ὡς λέγει Δίων (ὃ καὶ πιθανώτερον), μετὰ τὴν ἄδοξον τοῦ Πύῤῥου ἀπαλλαγὴν ἐποιήσατο τὰς πρὸς Ῥωμαίους ὁμολογίας ὁ Φιλάδελφος, φαίνεται λοιπὸν, ὅτι πολὺ μᾶλλον ἐκ τούτου συνείκαζε τὴν περὶ τῶν Ῥωμαίων τοῦ Δανιὴλ προφητείαν, ἀρχομένην ἤδη πληροῦσθαι· διὸ καὶ τούτους ἐτίμησε, φιλίαν καὶ οἰκείωσιν τοῖς ἰδίοις ἀπογόνοις πρὸς τὸ κράτος ἐκεῖνο πόῤῥωθεν ἔτι προμνηστευόμενος, εἴ πως ἀποφύγοιεν τὰ μέλλοντα δεινά! (ἄλλως δὲ, τίνα φόβον εἶχεν ἐκ τῶν μήπω φοβερῶν τοῖς Ἕλλησι Ῥωμαίων αὐτὸς, ὁ διὰ πλείστου ἀπέχων,

---

ἀνάβασιν τοῦ Ἀλεξάνδρου (βλ. ὄπισθ. Βιβλ. Α. κεφ. κ. §. ιη). Ἀλλ' ἐξέστω Βανδάλαις διαπιστεῖν!

(α) « Πτολεμαῖος ὁ τῆς Αἰγύπτου βασιλεὺς, ὁ Φιλάδελφος ἐπικληθεὶς, ὥς τόν τε Πύῤῥον κακῶς ἀπηλλαχότα, καὶ τοὺς Ῥωμαίους αὐξανομένους ἔμαθε, δῶρά τε αὐτοῖς ἔπεμψε, καὶ ὁμολογίας ἐποιήσατο. Οἱ οὖν Ῥωμαῖοι ἡσθέντες ὅτι, καί τοι διὰ πλείστου ὢν, περὶ πολλοῦ σφᾶς ἐπεποίητο, πρέσβεις πρὸς αὐτὸν ἀνταπέστειλαν, » κτλ. Δίων Κάσ. ἐν λειψάν. τοῦ λδ. βιβλ. τόμ. α. σελ. 62. ἐκδ. Reimar. πρβλ. καὶ not. Ibid.

(β) Justin XVIII. 2. §. 9. Valer. Maxim. IV 3. 9. Ὁ δὲ Σκαλίγηρος τίθησι τῷ 480 Κτίσ. Ῥώμ. ἄλλοι τῷ 478, ἢ 477. Ὁ δ' Εὐτρόπιος (β. 9) σφάλλεται πολὺ, χρονολογῶν τὴν πρεσβείαν τῷ 461 ἀπὸ κτίσ. Ῥώμ. βλ. καὶ Ζωναρ. σελ. 379. πρβλ. καὶ Demagistr. l. c. p. 399, 407. Ἀλλ' ὁ κλεινὸς Χαμπολλιὼν τίθησι τὴν ἐν Ἰταλίᾳ τοῦ Πύῤῥου ἧτταν κατὰ τὸ β, τῆς ρκς. Ὀλυμπ. καὶ τῷ ἐφεξῆς ἔτει, τὴν πρὸς Ῥωμαίους συμμαχίαν τοῦ Φιλαδέλφου, τῷ 272. π. Χ. βλ. Champollion—Figeac. Annal. des Lagid. T. 2. p. 25. πρβλ καὶ ὄπισθ. Βιβλ Α. κεφ. ζ. σελ. 217.

καὶ παντοίαις δυνάμεσιν ἀκμάζων βασιλεὺς, εἰ καὶ πρὸς τὸν Πύῤῥον ἐκεῖνοι ἐντὸς τῆς ἰδίας αὐτῶν χώρας ἐφάνησαν ἀξιόμαχοι;). Τοσούτῳ δὲ μᾶλλον ἐτίμα τοὺς θείους τοῦ προφήτου χρησμοὺς, ὅσῳ φανερῶς εἶδεν αὐτοὺς πληρωθέντας καὶ εἰς τὸν Ἀλέξανδρον, καὶ εἰς τὸν ἑαυτοῦ πατέρα, καὶ αὐτὸς εἰς ἑαυτόν (α).

§. ι. Η) Σύγχρονος Λυκόφρονος ἐγένετο καὶ Ἄρατος ὁ Σολεὺς ἐκ Κιλικίας, ὅστις καὶ αὐτὸς, «*κοσμοποιῶν κατὰ Μωσέα*», λέγει (Φαινομ. στίχ. 10)·

Αὐτὸς γὰρ τάδε σήματ᾽ ἐν οὐρανῷ ἐ σ τ ή ρ ι ξ ε ν,
Ἄστρα διακρίνας· ἐσκέψατο δ᾽ εἰς ἐνιαυτὸν
Ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν» κτλ.

Οὕτω προφανῶς ἀντέγραψε ϛιχοποιῶν, τὰ « Καὶ ἔθετο ὁ θεὸς » (τοὺς φωστῆρας, καὶ τοὺς ἀστέρας) «*ἐν τῷ στερεώματι,* — *εἰς σημεῖα, καὶ εἰς καιροὺς,* καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς » (Γενέσ. α, 14—17)· τὰ λοιπὰ παρατρέχομεν, ὅσα καὶ οἱ θεῖοι πατέρες ἡμῶν ἐμνημόνευσαν (β).

§ ια. Θ.) Οὐδ᾽ ὁ Στωϊκὸς φιλόσοφος Κλεάνθης (τῷ 262 π. Χ.) φαίνεται τῶν προφητικῶν Γραφῶν ἀμελέτητος· ἀλλὰ μάλιϛ᾽ ἀπ᾽ αὐτῶν δρεψάμενος τὰς ὑψηλὰς περὶ Θεοῦ ἐννοίας, ἐστεφάνωσεν ἐκεῖνον τὸν κάλλιστον ὕμνον, ὁποῖον ἡ Στοὰ καὶ ὁ Ζήνων μήτ᾽ ἐμμέτρως ἠπίστατο, μήτε πεζῶς φιλοσοφεῖν· « Ζῶον ἔλε-

---

(α) S. Hieron. Comm. in Daniel. XI. 5. etc. πρβλ. καὶ Θεοδώρητ. ἑρμην. εἰς Δαν. ζ, η, καὶ ια, (ὅπου ὅμως ἄλλως πως διαιρεῖ τοὺς Πτολεμαίους ὁ ἱερὸς Θεοδώρητος)· βλ. καὶ Clarij καὶ Grotij annot. in Daniel XI, 5, 6 καὶ Hectoris Pinti Comment. in Daniel p. 159. Venetijs, 1583.

(β) Κλημ. Στρωμ. ε, 436. καὶ Προτρεπτικ. σελ. 35 Θεόφιλ. π. Αὐτόλυκ. β. 9. σελ. 106: Εὐσέβ. Εὐαγ. Προπ. ιγ. σελ. 394. Lutet. καὶ ὁ Ῥωμαῖος Λακτάντιος (ὅστις μνημονεύει καὶ τοῦ Ὀβιδίου στίχους, ἐν οἷς καὶ οὗτος, ὡς ὁ Ἄρατος, τὸν ποιητὴν τῶν ἄστρων ὑμνεῖ), κτλ. πρβλ. καὶ H. Grot. de verit Relig. Christ. I. §. 16. Ἀλλά τινες τῶν νεωτέρων νόθον εἶπεν τοῦτο τὸ προοίμιον τῶν Ἀράτου Φαινομένων (βλ. Petav. Uranolog. p. 222, Paris, 1630: καὶ Fabric. Bibl. Graec. vol. 4. p. 105 Harl.). Ἐξήλεγξε δὲ ὅμως τούτων τὴν ματαιοφροσύνην ὁ σοφὸς τῶν Ἀράτου Φαινομένων ἐκδότης F. C. Matthias (Annot. in Arat. p. 223. Francof 1817).

γον οἱ Στωϊκοὶ τὸν Θεὸν, ἀθάνατον καὶ λογικὸν καὶ τέλειον, ἢ νοερὸν ἐν εὐδαιμονίᾳ, κακοῦ τινος ἀνεπίδεκτον, προνοητικὸν κόσμου τε καὶ τῶν ἐν κόσμῳ». «Ζῶον ὥριζον καὶ τὸν κόσμον αὐτὸν, ἔμψυχον καὶ λογικόν· ἡγεμονικὸν δὲ τούτου ἐνόμιζον τὸν αἰθέρα, ἢ τὸν οὐρανὸν, αὐτὸς δὲ ὁ Κλεάνθης, τὸν ἥλιον (α). Ἀλλὰ πόσον ὑψηλότερα περὶ Θεοῦ ἐφρόνησεν ὁ ἀπὸ Στοᾶς ὑμνῳδὸς, ἀναγνοὺς τὰς θείας Γραφάς! ἄκουε·

«Σοὶ δὴ πᾶς ὅδε κόσμος, ἑλισσόμενος περὶ γαῖαν,
Πείθεται, ᾗ κεν ἄγῃς· καὶ ἑκὼν ὑπὸ σεῖο κρατεῖται·
Οὐδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῦ δίχα, δαῖμον,
Οὔτε κατ' αἰθέριον θεῖον πόλον, οὔτ' ἐνὶ πόντῳ» (β).

Τίς ἐν τούτοις οὐκ ἀκούει τὰ, «*Κύριε παντοκράτωρ, τὰ σύμπαντα δοῦλα σά.— Πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ,— καὶ ἐν πάσαις ταῖς ἀβύσσοις* (ψαλμ. ρλδ, 6) (γ).

§. ιβ. 1) Ἀλλὰ καὶ Μανέθων, ἢ Μανεθὼς, Αἰγύπτιος σοφὸς, Σεβεννίτης τὸ γένος, ἀρχιερεὺς Ἡλιουπολίτης, Φιλαδέλφῳ σύγχρονος καὶ γνώριμος, ἐχθρὸς δὲ τῶν Ἑβραίων (δ), ἐν ᾗ συνέγραψεν ἑλληνιστὶ ἱστορίᾳ τῶν Αἰγυπτίων, πολλὰ μὲν ἐτερατεύσατο, τὸ ἴδιον ἔθνος ἐξαρχαΐζων, πολλοὺς δὲ περὶ τῶν Ἰουδαίων ἀπιθάνους λόγους παρενέβαλε καὶ ψευδεῖς, ἀλλ' ὅμως ἀνέγνω καὶ οὗτος τὴν Μωσαϊκὴν ἱστορίαν ἐκ τῆς ἑρμηνείας τῶν Ο (ε)· καὶ δείκνυται σαφῶς ἐκ τῆς χρονολογικῆς αὐτοῦ πρὸς τοὺς Ο, συμφωνίας, ὡς

---

(α) Λαέρτ. Ζ. 70, 73. πρβλ. καὶ Πλούταρχ. π. Στωϊκ. ἐναντιωμ.

(β) Κλεάνθ. ὕμν. στίχ. 7, 15, κτλ. πρβλ. καὶ ἄλλα τοῦ Κλεάνθους ἐν Κλημεντ. Προτρεπτ. σελ. 53. — (γ) Βλ. J. F. Schwabe Specimen Theologiae comparativae exhibens Κλεάνθους ὕμνον εἰς Δία, cum Disciplina christiana comparatum etc. Jenae. 1819.

(δ) Ἰώσηπ. κ. Ἀπίων. α. 14. — Εὐσέβ. Εὐαγ. Προπ. I. σελ. 294. — Σύγκελ. Χρονογρ. σελ. 29. τομ. α. Bonn. Τοῦ Μανέθωνος· «ὡς εἰς ἄκρον σοφίας ἐληλακότος» ἐμνημόνευσε καὶ Αἰλιανὸς (π. Ζώων, Α. 16). Βλ. καὶ Fabr. Biblioth. Graec. vol 4. p. 128 Harl. — (ε) Huet. Demonst. Evang. Prop. IV. p. 54.

ὁ σοφὸς Οὐόσσιος παρετήρησε (α). Ἐν δὲ τοῖς *Ἀποτελεσματικοῖς*, ἅπερ αὐτῷ προσεφώνησε Φιλαδέλφῳ, πλαγίως μὲν καὶ ὑπούλως (πῶς γὰρ ἂν ἐτόλμησε φανερῶς;), ἀλλ' ὅμως ψέγει τοὺς Ἰουδαίων προφήτας, ὧν εἶδεν ἐξάπαντος τὰ βιβλία, τότε νεωστὶ μεθηρμηνευμένα.

« — — — Φῦλα (λέγει) βροτῶν
Ἔνσοφα, πολλὰ δ' ἄβουλα, καὶ ἀνθρώποις προλέγοντα
Φοιβητοῖς μύθοισιν ἀποφθεγκτήρια κρυπτὰ,
Ἐσσομένων ἔργων τε, βίου, ζωῆς τε κελεύθους » (β).

Οὐ γὰρ δήπου τῆς ἑαυτοῦ καὶ τῆς Φιλαδέλφου πατρῴας θρησκείας τοὺς μάντεις καὶ θεοπρόπους ὑπηνίττετο καὶ καθύβριζε, τοιαῦτα λέγων ὁ Μανεθώς. Καὶ ἄλλοι δὲ γόητες Αἰγύπτιοι καὶ ἱεροποιοὶ συντάξαντες ἑλληνιστὶ βιβλία ψευδεπίγραφα, ὡς ἄν τινων ἀρχεγόνων καὶ θείων ἀνθρώπων, ἢ θεῶν ἔργα (οἷον τὰ εἰς τὸν *Τρισμέγιστον Ἑρμῆν* ἐπωνομασμένα, καὶ *Ὅρους Ἀσκληπιοῦ πρὸς Ἄμμωνα Βασιλέα* κτλ.), πολλὰ καὶ οὗτοι ἐκ τῶν ἁγίων λαμβάνοντες Προφητῶν μετέγραφον, ὡς Ἀσκληπιοῦ προῤῥήσεις καὶ Ἑρμοῦ τοῦ Τρισμεγίστου (γ). βλ. ἐφεξῆς §. κζ.

§. ιγ. ΙΑ) Κατὰ δὲ τοὺς χρόνους Πτολεμαίου τοῦ Φιλοπάτορος (τῷ 215 π. Χ.) Φιλόχορος γενόμενος, Ἀθηναῖος, ἱστορικὸς, ἐμνημόνευσε καὶ οὗτος τοῦ Μωϋσέως, ὡς ἀρχαιοτάτου γενομένου τῶν Ἰουδαίων ἡγεμόνος, καθὼς μανθάνομεν ἐκ τοῦ φιλοσόφου καὶ μάρτυρος Ἰουστίνου (πρὸς Ἕλλην. σελ. 13).

---

(α) « Manetho potuit videre LXX interpretum translationem—, et p r o c u l d u b i o vidit ». J. Voss. de aetate mund. c. x. in Diss. de LXX. p. 270.

(β) Μανέθ. Ἀποτελεσμ. ϛ. στίχ. 549—551 ἐκδ. Coloniae ad Rhen. 1832. *Ἀλλά τινες τῶν νεωτέρων κριτικῶν ἀμφέβαλον καὶ περὶ τούτων τῶν Μανέθωνος* Ἀ π ο τ ε λ ε σ μ α τ ι κ ῶ ν· *καί τινες αὐτῶν, ἄγαν θερμοὶ, κατήγαγον τὸν πατέρα τοῦ ποιήματος μέχρι καὶ τῶν δυσμῶν τῆς* Ῥωμαϊκῆς *αὐτοκρατορίας! Ἄλλοι δὲ τοῦτο διεσκευασμένον καὶ παρέμβυστον ἐνέμισαν, καὶ διεφθαρμένον πολλαχῶς. Ἀλλ' οἱ μᾶλλον ἤπια καὶ δίκαια φρονοῦντες ἐθεώρησαν γνησίαν τοῦ* Μανέθωνος *τὴν βίβλον βλ. τὰ προλεγόμενα τῆς μνημονευθείσης ἐκδόσεως.* Commentatio etc. § 1—36.

(γ) Demagistr. l c. p. 408—409, καὶ pag. 360—366.

§. ιδ. ΙΒ) Ἀλλὰ καὶ Πτολεμαῖος ὁ Φιλομήτωρ (τῷ 175 π. Χ.) πρὸς ὃν ὁ διδάσκαλος Ἀριστόβουλος προσεφώνησε τὰς ἐξηγήσεις τῆς Μωσαϊκῆς Γραφῆς (βλ. ὄπισθ. βιβλ. Α. κεφ. ιβ. §. ς.), τίς ἀμφιβάλλει, ὅτι καὶ αὐτὸς ἀνέγνω τὴν ἑρμηνείαν τῶν Ο;

§. ιε. ΙΓ) Ἐπὶ δὲ Σελεύκου τοῦ Σωτῆρος, ἐν Συρίᾳ βασιλεύοντος (περὶ τὸ 170 π. Χ.), *Ἄρειος* (ὁ καὶ Ἀρεὺς), Λακεδαιμονίων βασιλεὺς, ἔγραφε πρὸς Ὀνίαν τὸν ἀρχιερέα, ὅτι « Εὑρέθη ἐν γραφῇ περί τε τῶν Σπαρτιατῶν καὶ Ἰουδαίων, ὅτι εἰσὶν ἀδελφοὶ, καὶ ὅτι *εἰσὶν ἐκ γένους Ἀβραάμ* » (α). Καὶ ὁ μὲν Ἀρεὺς ἀνώνυμον ἐκφέ-

---

(α) Α. Μακκαβ. ιβ. 21. ὅπου ἡ ἐπιγραφὴ, « ΟΝΙΑΡΗΣ βασιλεὺς Σπαρτιατῶν Ὀνίᾳ ἱερεῖ μεγάλῳ χαίρειν », ἔχει τὸ πρῶτον ὄνομα ἡμαρτημένον. Ὁ Οὐβιγάντης (Not. Critic. T. 1. p. 451) τὸ Ὀνιάρης διορθοῖ εἰς τὸ Ὀνίᾳ Ἄρειος· ἀλλ' ἡ δοτικὴ ἡ Ὀνίᾳ γράφεται καὶ αὖθις ἐν τοῖς ἐφεξῆς τῆς ἐπιγραφῆς, καὶ ἡ διττογραφία περιττεύει. Ἄλλως ἔμοι γε δοκεῖ θεραπευτέον τὸ τῶν ἀντιγραφέων καὶ τυπογράφων τοῦτο παράπτωμα (ὃ καὶ Δρούσιος καὶ Γρότιος, not. in loc. cit. συνεῖδον ὀρθῶς). Τὸ μὲν Ὀνιάρης διαιρετέον εἰς τὸ Ὀνίᾳ Ἄρειος, αὐτὸ δὲ τὸ Ὀνίᾳ συντακτέον πρὸς τὰ προηγούμενα, στίζοντας οὑτωσί. « Καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν, ὧν ἐπέστειλεν Ὀνίᾳ. Ἄρειος βασιλεὺς Σπαρτιατῶν Ὀνίᾳ ἱερεῖ » κτλ. τουτέστι ὧν ἀπέστειλεν Ἄρειος, ἢ (ὡς ἔχει τὸ Ἀλεξανδρ. χειρόγραφον) ὧν ἀπέστειλΑΝ (οἱ Σπαρτιᾶται δηλαδή). Ὅτι δὲ καὶ τὸ αὐτόθι (Α. Μακκαβ. ιβ. 7) « παρὰ Δαρείου » γραπτέον Ἀρείου, πρόδηλον καὶ ἀναντίῤῥητον. Οὕτως ἔχει καὶ ἡ Βουλγάτα (§. 19). Ἀρείου καὶ Ὀνίᾳ πανταχοῦ γράφει καὶ ὁ Ἰώσηπος (Ἀρχ. ιβ. δ. §. 10, καὶ ιγ, ε. §. 1). Ὁ δὲ Λουκᾶς ὁ Βυργήσιος (Luc. Burgensis not. in l. Maccab.) συνέφυρε τὰ πάντα, καὶ διήλλαξε καὶ τὸν Ὀνιάρην πρὸς τὸν Ἄρειον, καὶ τοῦτον πρὸς τὸν Δαρεῖον, ὡς γνήσια μεγαλοψύχως ἀποδεξάμενος καὶ αὐτὰ τὰ τυφλῷ δῆλα (καθὼς εἶπεν ὁ Δρούσιος) σφάλματα τῶν μεταγραφέων ἐν τοῖς Μακκαβαϊκοῖς (βλ. καὶ βιβλ. Α. κεφ. ιβ. τόμ. α. σελ. 426. 432). Τοιοῦτο μεταγραφέων παράπτωμα παλαιὸν (ὅθεν καὶ εἰς ἀρχαίας μεταφράσεις εἰσρυὲν) κἀκεῖνο τὸ (Α. Μακκαβ. η, 8). « Καὶ χώρας (ἔδωκαν οἱ Ῥωμαῖοι τῷ Εὐμένει) « Τὴν Ἰνδικὴν καὶ Μηδείαν καὶ Λυδίαν », ἀντὶ τὴν Ἰωνικὴν (ἢ Ἰωνίαν) καὶ Μυσίαν κτλ. ὡς ὅ,τε Δρούσιος καὶ Γρότιος καὶ Οὐβιγάντης διώρθωσαν. βεβαιοῦται δὲ τὸ ἱστόρημα καὶ ἐκ τοῦ Λιβίου (Liv. c. 38). Ὁ δὲ βαθύσοφος ἀνὴρ Wernsdorff (Commentatio histocieo-critica de fide historica libror. Maccabaicorum. p. 49—58. Vratislaviae, 1747) ἀντιλέγων πρὸς τὸν ἄλλα τινὰ μὴ πάντῃ κατάλληλα περὶ τούτου λέγοντα Φροίλιχον (Froelich), διαῤῥήγνυται κατὰ τοῦ συγγραφέως τῆς Α. τῶν Μακκαβαίων, ὡς ἐπὶ τοσοῦτον ἀμαθοῦς, ὥστε καὶ τὴν Ἰνδικὴν καὶ τὴν Μηδείαν συνάμα μετὰ τῆς Λυδίας, ὡς ἄντινας χώ-

ρει τὴν *γραφὴν*, ἢ συγγραφὴν, ἥτις διελάμβανε περὶ τῆς Ἰουδαίων καὶ Λακεδαιμονίων συγγενείας· τῶν δὲ νεωτέρων πολλοὶ πολλὰ συνέγραψαν περί τε τῆς συγγενείας, καὶ τῆς γραφῆς (α). Καὶ οἱ μέν τινες ἐνόμισαν τὴν συγγραφὴν Κλαυδίου τοῦ Ἰολάου (ἴσ. γρ. *Ἰουλίου*, ὡς ὁ Μοσχέμιος καὶ ἄλλοι διορθοῦσι· βλ. καὶ Γ. Οὐοσσίου Ἱστορ. Ἑλλήνων ἱστορικ. σελ. 416), ὅστις ἐμυθολόγει «τοὺς *Ἰουδαίους ἀπὸ Ἰουδαίου* (υἱοῦ) *Σπάρτωνος, ἐκ Θήβης*» (εἰς Παλαιστίνην πάντως) «*μετὰ Διονύσου ἐστρατευκότος*» (Στέφ. Βυζ. λ. Ἰουδαία) (β). Οἱ δὲ πάλιν (ὡς Κορνήλιος Ἀλάπιδος, καὶ Βαδύελ-

---

ρας γειτονικὰς, εἰς τὴν ἐπικράτειαν Εὐμένους (τοῦ Περγάμου βασιλέως) ὑπάγειν! Καὶ, τέλος, συγκαταβαίνει σ π ά θ ῃ τ ὸ ν δ ε σ μ ὸ ν (ὡς εἶπε) τ ε μ ε ῖ ν, διορθῶν αὐτὸς (τοὺς δὲ περὶ τὸν Δρούσιον καὶ Γρότιον σιωπᾷ) τ ό λ μ ῃ (καθὼς λέγει) κ ρ ι τ ι κ ῇ, εἰς τὸ «χώραν Ἰ ω ν ι κ ὴ ν κ α ὶ Φ ρ υ γ ί α ν (τοῦτο γὰρ τὸ Φ ρ υ γ ί α ν ἔδοξε τῷ κριτικῷ κατὰ τὰ γράμματα πλησιέστερον πρὸς τὸ ἐσφαλμένον Μ η δ ε ί α ν, παρὰ τὸ Μ υ σ ί α ν!). Ὁ δὲ Λούθηρος (οὐδ' οὗτος εὐτυχῶς) ἐν τῇ Γερμανικῇ μεταφράσει ἔγραψεν Ἀ σ ί α ν, ἀντὶ Μ υ σ ί α ν, ὡς διόρθωσιν τοῦ Μ η δ ε ί α ν!

(α) Βλ. Scalig. Can. Isagog. p. 340: — Bochart. Chanaan L. I. c. 22: — Cleric. Comp. hist. univ. p. 90: — Jablonski Symbolae liter. Bremenses. T. I. P. 3: p. 241: — Huet. Dem. Evang. pr. iv. c. 8. §. 10. p. 110, καὶ §. 15 p. 182: — Grot. ad. I. Maccab. c. 12. 7: — Drusij annot. ibid: — Boduelli annot. ibid. — Selden. de Synedr. L. II. c. 3. §. 5: — Calmet Dissert. de cognat. Jud. et Lacedaem.: — Demagistr. Diss. V. p. 516 κτλ. βλ. καὶ ὄπισθ. Βιβλ. Α. κεφ. κ. τομ. α. σελ. 585.

(β) Ὁ Berkelius (not. ad Steph. Byz. p. 420), Βοχάρτου πρῶτον ὑπονοήσαντος, ἀπεφήνατο τὴν Ἰουδαίων πρὸς τοὺς Σπαρτιάτας συγγένειαν πλαστουργηθεῖσαν ἐκ τῆς συγγγραφῆς Κλαυδίου τοῦ Ἰουλίου. Πότε δὲ ἤκμαζεν ὁ Κλαύδιος οὗτος, (ἐπὶ τῶν Καισάρων πάντως γενόμενος), καὶ πόσον ἀρχαιότερον ὁ Ἄρειος ἔγραφε τὴν ἐπιστολὴν, ταῦτα οὐδ' ἐνεθυμήθησαν οἱ περὶ τὸν Βερκέλιον. Ἔπειτα, ἡ μὲν ἐπιστολὴ λέγει ῥητῶς τὴν συγγένειαν ἐκ γένους Ἀ β ρ α ά μ. Ὁ δὲ Κλαύδιος, (ἐξ οὗ γενῶσι τὸν κατ' αὐτοὺς μῦθον τῆς συγγενείας οἱ Κριτικοὶ οὗτοι) πρόγονον τῶν Ἰουδαίων λέγει ἄνδρα Ἕλληνα, τὸν ἐκ Θηβῶν υἱὸν τοῦ Σπάρτωνος Ἰουδαῖον. Ποῦ δὲ καὶ αἱ Θῆβαι, ἐξ ὧν οὗτος ὁ Σπαρτωνίδης, καὶ ποῦ ἡ Σπάρτη, ἐξ ἧς ἡ τοῦ Ἀρείου ἐπιστολή; [πλὴν, εἰ μήπου ὁ Βερκέλιος ἐθεώρει τοὺς Σπαρτιάτας Θηβαίων τέκνα! κατὰ τὴν ἐτυμολογίαν ἐκείνην, ἥτις τὴν ἀπὸ Σπάρτης, θυγατρὸς Εὐρώτα, παρονομασθεῖσαν πόλιν (Ἀπολλόδωρ. Γ, 10: Παυσαν. γ. 1: Σχ. Πίνδ. Ἰσθμ. α, 41: ζ, 13) παρῆγεν ἀπὸ τῶν μετὰ Κάδμον Σπαρτῶν (Σέφ. Βυζ. λ. Σπάρτη)· ἢ μήπως συνέχεεν ὁ Βερκέλιος (ὡς καὶ ὁ Ὑέτιος, Dem. Ev. Pr. IV. c. 8. p. 110) τὸν Θηβαῖον τοῦτον Σπάρτωνα πρὸς τὸν Σπάρτωνα τοῦ Φορωνέως, ὃ ν (ὡς κτίστην

λος, καὶ ἄλλοι) τὸ *γραφὴν* ἐξέλαβον ἀντὶ βίβλου χρονικῶν, ἢ δημοσίας χρόνων ἀναγραφῆς. Οἱ δὲ περὶ τὸν Δρούσιον καὶ Γρότιον, καὶ ἀντ᾽ αὐτῆς τῆς ἁγίας Γραφῆς (scriptura Sacra), τῶν Ο, δηλονότι τὴν ἑρμηνείαν ὑπονοοῦντες (οἱ γὰρ περὶ τὸν Ἄρειον Λακεδαιμόνιοι πάντως οὐκ ἠπίσταντο ἑβραϊκά). Ἐκ ταύτης τῆς περιφανοῦς ἑρμηνείας γνωστοὺς μάλιστα καὶ τιμίους τοῖς Σπαρτιάταις γενομένους τοὺς Ἰουδαίους ἔκρινε καὶ ὁ σοφὸς Καλμέτης (διὸ καὶ ὁ σφόδρα μισομακκαβαῖος Βερνισδόρφιος χολωθεὶς, *κόλακα τῶν Ἰουδαίων* ἀνεκήρυξε τὸν Καλμέτην, καὶ τοὺς τούτου λόγους, *Ῥαββίνῳ μᾶλλον πρέποντας, ἢ ἀνδρὶ σοφῷ!*). Ἐκλαμβάνει δὲ ὁ Καλμέτης τὸ *γραφὴ* ἀντὶ τοῦ ἀρχαία παράδοσις (γραπτὴ), ἢ

---

τῆς Σπάρτης) οὐκ ἂν ἀποδέξαιντο Λακεδαιμόνιοι· θαυμάζοιεν δ᾽ ἂν καὶ ἀρχὴν ἀκούσαντες». Παυσαν. Β, 16]. Τελευταῖον· ὅτι καὶ αὐτὸ τὸ Ἰουδαῖος ὁ μυθολόγος Κλαύδιος ἐξέλαβεν ὡς κύριον ὄνομα Θηβαίου Ἕλληνος (πῶς σοι δοκεῖ;), οὐδὲ τοῦτο τοὺς περὶ τὸν Βερκέλιον ἐκίνησεν οὐδ᾽ ὁπωσοῦν (Ἰουδαῖος γὰρ πάντως οὐκ ἂν ἦν τὸ γένος ὁ τῶν Ἰουδαίων οὗτος ὑποτιθέμενος πατήρ!). Ὁ δὲ Μοσχέμιος προσεκτικώτερος φανεὶς (not. ad Calmet. l. c.) διορθοῖ τὸ ἀπὸ Ἰουδαίου εἰς τὸ «ἀπὸ Οὐδαίου», καὶ ὁ Ἰαμβλόσκυς τὸ Σπάρτωνος, εἰς τὸ Σπαρτῶν ἑνὸς» (ὅσοι ἀνεφύησαν ἐκ τῶν ὑπὸ Κάδμου σπαρέντων ὀδόντων τοῦ δράκοντος. Ἀπολλόδ. γ, 4.). Εὐφυεστάτη ἡ διόρθωσις, ἀλλ᾽ οὐχὶ καὶ πάμπαν ἀναντίῤῥητος· διότι καὶ ὁ Στέφανος ἀνέγνω καὶ ἔγραψεν Ἰουδαίου (ὡς ἐτυμολογῶν τὴν λέξιν Ἰουδαία), καὶ Σπαρτῶν ἑνὸς, οὐδέποτ᾽ ἂν ἔγραψεν ὁ Στέφανος ὑποβαρβαρίζων, ἀλλὰ, ΤΩΝ Σπαρτῶν ἑνός. Ὅτι δὲ καὶ τὸ Σπάρτων κύριον ὄνομα παρὰ τοῖς ἀρχαίοις (Παυσαν. β. 16. ζ, 6), τοῦτο παραλείπομεν. Ἀλλὰ κἂν ἀκριβὲς ἐκληφθῇ τὸ διόρθωμα, τί κοινὸν ἔχουσι τὰ τοῦ Θηβαγενοῦς Οὐδαίου τοῦ Σπαρτοῦ πρὸς τὰ τῆς ἐπιστολῆς τοῦ Λάκωνος Ἀρείου; Εἰδὲ καὶ ταῦτα πάντως συγχέουσι, πολὺ λοιπὸν πιθανώτερον ἄν τις εἴποι, ὅτι καὶ Ἰούλιος οὗτος ὁ Κλαύδιος ἐκαλλώπισε τὸν μῦθον, διαστρέψας εἰς τοὺς Θηβαίους τὰ τῶν Λακεδαιμονίων, ἀφ᾽ οὗ ἀνέγνω μάλιστα τὴν μακρῷ προγενεστέραν ἐπιστολὴν τοῦ Ἀρείου, ἢ καὶ τὴν γραφὴν αὐτὴν, ἣν καὶ οἱ περὶ τὸν Ἄρειον ἀνέγνωσαν. Οἱ δὲ περὶ τὸν Βερνισδόρφιον δωρεὰν ἐχθροὶ τῶν Μακκαβαϊκῶν, μήτ᾽ αὐτοὶ δίκαια κρίναντες, μήτε γοῦν τοὺς προγενεστέρους κριτικοὺς, Δρουσίους, καὶ Γροτίους, καὶ Μορίνους, καὶ τοσούτους ἄλλους αἰδεσθέντες, τὴν σύντομον καὶ πλατεῖαν ἐβάδισαν, νόθον ἐκκηρύξαντες τὴν ἐπιστολὴν (βλ. Wernsdorff l. c. p. 140—171). Λόγους δὲ προβάλλουσιν ἄλλους τε ληρώδεις καὶ σοφιστικοὺς, πολὺ πρότερον ὑπὸ τῶν περὶ τὸν Γρότιον ἀνασκευασθέντας, καὶ ὅτι οὐ σῴζει τὸν λακωνικὸν τοῦ λόγου χαρακτῆρα ἡ ἐπιστολή ὡσανεὶ ὑπῆρχεν αὐτὸ τὸ τοῦ Ἀρέως αὐτόγραφον! Οὐδὲ συνεῖδον οἱ ἄνδρες, ὅτι ἡ Α, βίβλος τῶν Μακκαβαίων (ἐν ᾗ

καὶ βίβλος ἱστορική (α). Καὶ τῷ ὄντι, ἐὰν παρατηρήσωμεν, τὸ ἀόριστον *ἐν γραφῇ* (τινι), οὐκ ἂν ἁρμόσειεν ἐπὶ τῆς ἁγίας τῶν Ἰουδαίων Γραφῆς· ὤφειλε γὰρ ὁ Ἄρειος γράφειν ὡρισμένως, ἐν τῇ *ὑμετέρᾳ γραφῇ*, κτλ. ἀντίκειται δὲ καὶ ἡ παρὰ τῶν Ἰουδαίων ἀπάντησις διαστέλλουσα τὰ παρ᾽ αὐτοῖς ἅγια *βιβλία* τῆς τοῦ Ἀρείου *γραφῆς*· (βλέπε παρακατιών)· ὥστε φαίνεται πιθανώτερον ἡ γραφὴ, χρονολογική τις βίβλος, ἢ ἱστορικὴ, ἐκ τῶν Ο, ἀπηνθισμένη (οἵα ἦν ἡ περὶ τῶν Ἰουδαίων Δημητρίου τοῦ Φαληρέως, καὶ ἡ τοῦ Εὐπολέμου, κτλ. βλ. ἐφεξῆς §. ις), καὶ μετ᾽ ἄλλων τινων, ἴσως, ἱστορικῶν παραδόσεων ἀνάμικτος. Ἀλλ᾽ ὁποιονδήποτ᾽ ἂν ὑποτεθῇ τὸ σύγγραμμα τοῦτο, φανερὸν, ὅτι ὁ τῆς συγγενείας μνημονεύων Ἕλλην ἐκεῖνος συγγραφεὺς εἶδε καὶ ἀνέγνω τὴν Γραφὴν ἐκ τῆς ἑρμηνείας τῶν Ο. Καὶ τὸ συγγενὲς ἐξάγων *ἐκ τοῦ γένους Ἀβραὰμ*, ἐθεώρει τὴν τοῦ γένους σειρὰν (τὸ πιθανώτερον, κατὰ τοὺς περὶ τὸν Γρότιον) ἀπὸ τοῦ *Φαλέγ* (υἱοῦ τοῦ Ἔβερ, καὶ προπάτορος τοῦ Ἀβραὰμ), ἐξ οὗ καὶ οἱ τὴν ἑβραϊκὴν καὶ φοινίκειον ὀνομασίαν (*Φαλεγὶ*) διασώσαντες *Πελασγοὶ* (οἷον Πελαγοὶ, κατὰ τὸ *Πελάγων*)· δηλοῖ δὲ τὸ *Φαλέγ* μερισμόν. Ὥστε καὶ οἱ

---

καὶ ἡ ἐπιστολὴ) μετεφράσθη ὅλη ἐκ τοῦ ἑβραϊκοῦ· ἑπομένως οὖν καὶ αὐτὴ ἡ ἐπιστολὴ, ἣν ἐξεβραΐσας ὁ συγγραφεὺς τοῦ Α, τῶν Μακκαβαίων κατεχώρισεν ἐν τῇ συγγραφῇ. Ἀλλὰ περὶ τῶν τοιούτων χαρακτήρων τοῦ λόγου προείπομεν (βιβλ. Α. κεφ. ις. §. ια. τόμ. α σελ. 513)- Ὁ δὲ περὶ τὴν λακωνικὴν διάλεκτον δεινὸς Βερνισδόρφιος ὑπέδειξεν ἡμῖν καὶ πῶς ὤφειλον οἱ Ἕλληνες γράφειν (εἴπερ ἦν γνησία ἡ ἐπιστολή). « Ἰδοὺ, λέγει, τὸ « Ε ὑ ρ έ θ η ἐ ν γ ρ α φ ῇ » κτλ. πῶς ἂν ἔγραψεν ἕλλην. « Ἐ γ ν ώ σ θ η ἡ μ ῖ ν ἐ κ σ υ γ γ ρ α φ έ ω ς τ ι ν ό ς (!) περὶ τῶν ἐκ (γρ. ἐν) Σπάρτῃ καὶ τῶν Ἰουδαίων, ὡ ς ε ἶ ν α ι α ὐ τ ο ὺ ς σ υ γ γ ε ν ε ῖ ς !! (σελ. 153)· Προϊὼν δὲ πάλιν (σελ. 157), καὶ μνημονεύων κᾀκείνου τοῦ Λακωνικοῦ « Αἰ μὲν ἐσσὶ τύ γε θεὸς, οὐδὲν μὴ πάθωμεν· οὐ γὰρ ἀδικεῦμεν· αἰ δὲ ἄνθρωπος, ἔσεται καὶ τεῦ κάῤῥων ἄλλος » (Πλούταρχ. Πύῤῥ. §. κς), καὶ τοῦτο ὁ χαρίεις Λακωνιστὴς μεταποιῶν εἰς τὸ Ἀττικώτερον, γράφει, « Εἰ μὲν οὖν ΕΙ̃Σ θεὸς, οὐδὲν ἊΝ μὴ π ά θ ω μ ε ν· οὐ γάρ τι ἀδικοῦμεν· εἰ δ᾽ ἄνθρωπος, ἜΣΗ καὶ ΠΟΥ κ α ρ π ο ύ μ ε ν ο ς ἄ λ λ ω ς » (ἐπειδὴ ἀντὶ τοῦ « τ ε ῦ κ ά ῤ ῥ ω ν ἄ λ λ ο ς » ἐν ἀρχαίᾳ ἐκδόσει ἔκειτο ἡμαρτημένως. « Καί ΠΕΥ ΚΑΡΤΩΝ ἄλλως » ! ). Ὅμοια καὶ γράφοιεν καὶ κρίνοιεν πάντες οἱ ἐχθροὶ τῶν Ο !

(α) Calmet. ubi supr. προλ. καὶ Wernsdorff l. c. pag. 152.

Φαλεγοὶ εἶεν ἂν μεμερισμένοι καὶ διεσπαρμένοι, ἢ *Σπαρτοί*, διὰ τὸ πολύπλανον (Στράβ. ιγ, 621), καὶ τὸ *σποράδην* εἶναι (ὅθεν προῆλθε καὶ ὁ μῦθος τῶν μετὰ τοῦ Φοίνικος Κάδμου *Σπαρτῶν*. Σχ. Πινδ. Ἰσθμ. ζ, 13: πρβ. Διόδωρ. ιθ, 54). Οὗτοι δὲ οἱ *Πελασγοί*, φαίνονται συγγενεῖς Δωριέων, ὧν ἀπόμοιρα καὶ οἱ Σπαρτιᾶται. Μαρτυρεῖ δὲ τούτοις Ἡρόδοτος λέγων· ὅτι « τὸ Πελασγικὸν ἔθνος ὕστερον ἐκλήθη καὶ Δωρικόν » (Α, 56)· καὶ ὅτι· « Οἱ Δωριέων ἡγεμόνες φαινοίατ' ἂν ἐόντες Αἰγύπτιοι, ἰθαγενέες » (α), (ἴσως, ὡς εἰς τὴν Ἑλλάδα μετοικήσαντες διὰ τῆς Αἰγύπτου, ὅπου τὸ πρῶτον μετέβησαν ἢ ἐκ τῆς Ἀσσυρίας, [ὅθεν ὁ Ἡρόδοτος καὶ τὸν Περσέα κατάγει], ἢ καὶ ἐκ Φοινίκης, ὅθεν καὶ τὸν Ἡρακλῆν) (β). Εἶπε πρὸς τούτοις ὁ αὐτὸς ἱστορικὸς (Α, 57), καὶ ὅτι «Ἦσαν οἱ Πελασγοὶ βάρβαρον γλῶσσαν ἱέντες» (ὡς ἂν μήπω τότε πρὸς τὸ γνήσιον ἑλληνικὸν τῆς αὐτῶν διαλέκτου σχηματισθείσης, μηδ' ἀποκαθαρθείσης ἐξ ὧν ἔφερον μεθ' ἑαυτῶν φοινικικῶν καὶ ἄλλων Ἀσιανῶν φωνῶν) (γ). Τοιαῦτά τινα ἴσως περὶ τῆς Ἰουδαίων καὶ Σπαρτιατῶν συγγενείας ὁ τῆς παρὰ Λάκωσι *γραφῆς* Ἕλλην πάντως συγγραφεὺς συνῆγεν ἐκ τῆς ἑρμηνείας τῶν Ο, συνεπιφέρων (ὡς προείπομεν) καί τινας ἄλλας, ἴσως, παραδόσεις ἱστορικὰς (ὡς ἀνέμιξε τοιαύτας καὶ Εὐπόλεμος, καὶ Ἀλέξανδρος ὁ Πολυΐστωρ, καὶ Ἀρτάπανος, κτλ. βλ. ἐφεξ. §. ιη, κβ, κγ). Εἰ δ' ἔξεστι καὶ γνώμην ἄλλην ἁπλουστέραν περὶ τῆς συγγενείας ταύτης εἰπεῖν, ἴσως ἡ παρὰ τοῖς Σπαρτιάταις *γραφὴ* ἄλλοθεν ἐθεώρει τὸ συγγενές. « *Ἐκ γένους*

(α) Ἡρόδ. ϛ, 53: πρβλ. καὶ τὸν ἐπὶ τούτοις ἀγανακτοῦντα Πλούταρχον ἐν τῷ περὶ τῆς Ἡροδότου κακοηθ. σελ. 404. τόμ. θ. Reisk. Καὶ τοὺς Ἀθηναίους Αἰγυπτίων ἀποίκους ὑπενόουν ἄλλοι τε, καὶ Θεόπομπος· παρ' Ἀφρικαν. ἐν Εὐσεβ. Εὐ. Προπ. I, σελ. 288.

(β) Φοίνικες, ἴσως, ἦσαν καὶ παλαιοί τινες βάρβαροι κάτοικοι τῆς Βοιωτίας Ὕαντες, Τέμμικες, Ἄονες, Λέλεγες (Στραβ. θ. 401: Heyn. observ. ad. Apollod. III. 41). Λέλεγες δὲ πάλιν καὶ οἱ Λάκωνες, ἀπὸ Λέλεγος αὐτόχθονος, καὶ Λελεγία ἡ Λακωνικὴ (Παυσ. γ. 1. δ, 1: Ἀπολλόδ. γ, 10). Λέλεγες καὶ οἱ Μεγαρεῖς, ἀπὸ Λέλεγος ἐλθόντος ἐξ Αἰγύπτου (Παυσ. α. 39), Λέλεγες καὶ μοῖρα Καρῶν (αὐτ. ζ. β. §. 4.), κτλ. Ὥστε φαίνονται καὶ οὗτοι πελασγικὸν φῦλον, ὡς καὶ οἱ Καύκωνες· (Στράβ. ιβ, 542. πρβ. 323. κτλ.) — (γ) βλ. Grot. annot ad. Maccab. I. 14.

*Ἁβραὰμ* » ἔλεγε τοὺς Σπαρτιάτας, ἀπὸ τῶν ἔτι ἀρχαιοτέρων προγόνων τοῦ Ἀβραὰμ κατάγουσα τὴν σειράν. Τοῦ μὲν γὰρ Ἔβερ (ἐξ οὗ Ἀβραὰμ καὶ οἱ Ἑβραῖοι) προπάτωρ ὁ Σὴμ, τῶν δὲ Σπαρτιατῶν (ἁπλῶς ὡς Ἑλλήνων θεωρουμένων) προπάτωρ, ὁ τοῦ Σὴμ ἀδελφὸς Ἰάφεθ (ὁ παρ' Ἕλλησιν *Ἰαπετός*), οὗ υἱὸς Ἰωυὰν (ὁ *Ἴων*, *ὁ καὶ Ἰάων*), οὗ Ἐλισσὰ (ὁ Ἕλλην). « Ἀπὸ γὰρ Ἰωυάνου Ἰωνία, καὶ πάντες Ἕλληνες γεγόνασιν » (α). Ὡς γοῦν ἐκ τῶν γεναρχῶν τοῦ Ἀβραὰμ καὶ τῆς προγονικῆς πρὸς τοῦτον οἰκειότητος οἱ Σπαρτιᾶται (καθὸ Ἕλληνες) ἦσαν τοῖς Ἰουδαίοις ἀδελφοί, δηλονότι συγγενεῖς καὶ γένει προσήκοντες. Καὶ τοῦτο διεσάφησεν ὁ Ἰώσηπος ἐκφράσας τὴν ῥῆσιν τῆς ἐπιστολῆς οὑτωσί. «Ἐντυχόντες γραφῇ τινι, εὕρομεν, ὡς *ἐξ ἑνὸς εἶεν γένους* Ἰουδαῖοι καὶ Λακεδαιμόνιοι, *ἐκ τῆς πρὸς Ἀβραὰμ οἰκειότητος*» (Ἀρχ. ιβ. δ. §. 10). Οὕτω καὶ οἱ Περγαμηνοὶ, παμπάλαιον αὐχοῦντες τὴν τοῦ γένους ἀρχὴν, ὡς ἀνέκαθεν Φρύγες (οἱ δὲ Φρύγες καὶ τῶν Αἰγυπτίων πρεσβύτεροι παρ' αὐτῶν ὡμολογήθησαν Αἰγυπτίων. βλ. Ἡρόδ. β. 2), ἐν ἰδίῳ ψηφίσματι ἀνεκήρυξαν, ὅτι, «ἐν τοῖς κατὰ Ἅβραμον καιροῖς, ὃς ἦν πάντων Ἑβραίων πατὴρ, οἱ πρόγονοι ἡμῶν ἦσαν αὐτοῖς (τοῖς Ἑβραίοις) φίλοι, *καθὼς ἐν τοῖς δημοσίοις εὑρίσκομεν γράμμασιν* » (β). Ἀλλ' ὁπωσδήποτ' ἂν ἐθεώρουν οἱ Περγαμηνοὶ τὴν

(α) Ἰώσηπ. Ἀρχ. Α, ς. 1. πρβλ. Drusij annot. in Gennes. X: Salmas. de Hellenist. p. 338—341. Καὶ Αἰσχύλος (Περσ. 178 καὶ 1030) « Ἰαόνων γῆν » (τὴν Ἑλλάδα. βλ. καὶ Σουΐδ. λ. Ἴωνες, καὶ Stanleji Comm. εἰς Αἰσχύλ.). Ὅθεν καὶ τὸ παρὰ τῷ προφήτῃ Ἡσαΐᾳ Javan οἱ Ο, ἡρμήνευσαν εἰς τὴν Ἑλλάδα (ξς. 19). Javanim καὶ παρὰ τοῖς ὕστερον Ἰουδαίοις οἱ Ἕλληνες, καὶ παρὰ τοῖς Ἄραψι δὲ καὶ ἄλλοις Junani (=Ἴωνες). Τοῦ Ἰάφεθ, ἢ Ἰαπετοῦ, ἄλλος υἱὸς ἱστορεῖται καὶ ὁ Θείρας (Γενεσ.), ὁ αὐτὸς καὶ ἑλληνιστὶ Θρὰξ· ὅθεν οἱ Θρᾷκες (Ἰώσηπ. αὐτόθ.). Ἐκ δὲ τούτου πάλιν φαίνεται καὶ πολλὴ ἡ μετὰ Θρᾳκῶν συγγένεια τῶν Πελασγῶν (βλ. τὸ ἡμέτερ. Δοκίμιον περὶ τῆς πλησιεστ. συγγεν. τῆς Σλαβονορωσσικ. γλώσσης πρὸς τὴν Ἑλλην. προλόγ. §. θ, καὶ ιδ).

(β) Ψήφισμ. Περγαμηνῶν περὶ τὸ 63: π. Χ. παρ' Ἰωσήπ. Ἀρχ. ΙΔ, ι, 22: Ὅπου ὁ σοφὸς Ὑδόσων (Hudson) ἀτόπως ὑπώπτευσε, μήπως, ἀντὶ Περγαμηνῶν, γραπτέον Λακεδαιμονίων, ἔχων δηλονότι κατὰ νοῦν τὴν ἀνωτέρω τῶν Λακεδαιμονίων ἐπιστολὴν, ἣν Ἰώσηπος ἀνέγραψε προηγουμένως (ιβ. δ, 10). πρβ· Haverc. καὶ Gronov. not. εἰς Ἰώσηπ. Ἀρχ. ιδ. 1. σελ. 711.

πρὸς Ἑβραίους ἀρχαίαν φιλίαν, τὸ κατ᾽ αὐτοὺς ψήφισμα συμμαρτυρεῖ τῇ τῶν Λακεδαιμονίων ἐπιστολῇ, καὶ ὅτι πολλαχοῦ παρ᾽ Ἕλλησιν ἐν *γραφαῖς*, καὶ *γράμμασι δημοσίοις*, ἦσαν γνωστὰ τὰ τῶν Ἰουδαίων (μετὰ τὴν ἑρμηνείαν πάντως τῶν Γραφῶν). Τὴν δ᾽ οὖν Λακεδαιμονίων συγγένειαν ἐμαρτύρησαν ὕστερον καὶ αὐτοὶ οἱ περὶ τὸν Μακκαβαῖον Ἰωνάθαν Ἰουδαῖοι ἐν τῇ πρὸς Σπαρτιάτας ἐπιστολῇ, λέγοντες, ὅτι· « Καὶ ἡμεῖς *ἀπροσδεεῖς τούτων ὄντες* (τῶν, ὧν λέγετε, δηλονότι περὶ τῆς συγγενείας διασαφήσεων ἀπὸ τῆς παρ᾽ ὑμῖν *εὑρεθείσης γραφῆς*), «παράκλησιν» (τουτέστι *παραίνεσιν* καὶ διδασκαλίαν, ἤ, ὡς ἐξέφρασεν ὁ Ἰώσηπος, *ἀπόδειξιν*) « ἔχομεν τὰ βιβλία τὰ ἅγια, τὰ ἐν ταῖς χερσὶν ἡμῶν « (Α᾽ Μακκαβ. ιβ. 9. πρβλ. Ἰωσήπ. Ἀρχ. ιγ. ε, 8) (α).

---

(α) Ἰδοὺ τὸ χωρίον τῆς ἐπιστολῆς ἐκτενέστερον. « Ἔτι πρότερον ἀπεστάλησαν ἐπιστολαὶ πρὸς Ὀνίαν τὸν ἀρχιερέα παρὰ Δαρείου (γρ. Ἀρείου) τοῦ βασιλεύοντος ἐν ὑμῖν, ὅτι ἐστὲ ἀδελφοὶ ἡμῶν· ὧν τὸ ἀντίγραφον ὑπόκειται. Καὶ ἀπεδέξατο Ὀνίας τὸν ἄνδρα τὸν ἀπεσταλμένον ἐνδόξως, καὶ ἔλαβε τὰς ἐπιστολάς, ἐν αἷς διεσαφεῖτο περὶ συμμαχίας καὶ φιλίας. Καὶ ἡμεῖς οὖν ἀπροδεεῖς τούτων ὄντες, παράκλησιν ἔχοντες τὰ βιβλία τὰ ἅγια, τὰ ἐν ταῖς χερσὶν ἡμῶν, ἐπειράθημεν ἀποστεῖλαι, τὴν πρὸς ἡμᾶς ἀδελφότητα καὶ φιλίαν ἀνανεώσασθαι, πρὸς τὸ μὴ ἐξαλλοτριωθῆναι ὑμῶν » κτλ. (Α Μακκ. ιβ. 7—10). Ταῦτα ὁ κλεινότατος Ὑέτιος ἑρμηνεύων, ἀποδίδωσι τὸ « ἀπροσδεεῖς τούτων ὄντες » εἰς τὸ σύνεγγυς « τῆς συμμαχίας καὶ φιλίας »· καὶ καταψέγει τὸν Ἰώσηπον, ὡς διασκευάσαντα καὶ νοθεύσαντα τὴν Ἰωνάθαν ἐπιστολήν, διότι ταύτην κατὰ πλάτος (ὡς εἶπεν ὁ Σκαλίγηρος, ἔνθ. ἀνωτ.) παραφράζων (Ἀρχ. ιγ. ε, 8), ἀνέφερε τὸ ἀπροσδεεῖς τούτων εἰς τὰ πρῶτα, τὰ ἐν ἀρχῇ τῆς ἐπιστολῆς (τά, ἀπεστάλησαν ὅτι ἐστὲ ἀδελφοὶ ἡμῶν)· ὅθεν, λέγει, καὶ τὰ ἑξῆς ὁ Ἰώσηπος παρηρμήνευσε, λέγων « οὐ δεόμεθα τῆς τοιαύτης ἀποδείξεως διὰ τὸ ἐκ τῶν ἱερῶν πεπιστεῦσθαι (ἄλλοι, πεπεῖσθαι) γραμμάτων » κτλ. Αὐτὸς δὲ ὁ Ὑέτιος ἑρμηνεύει τὸ χωρίον οὕτως· « Ἡμεῖς οὖν τούτων (τῆς συμμαχίας καὶ φιλίας) οὐ χρῄζοντες, παραμυθίαν (consolationem) ἔχοντες τὰ βιβλία τὰ ἅγια, τὰ ἐν ταῖς χερσὶν ἡμῶν, ἐπειράθημεν ἀποστεῖλαι πρὸς τὸ τὴν ἀδελφότητα καὶ φιλίαν ἀνανεώσασθαι » κτλ. (Huet. Dem. Evang. Pr. IV. c. 8. §. 11). Ἀλλ᾽ ἀδίκως ἔψεξε τὸν Ἰώσηπον ὁ ἔνδοξος τῆς Ἀβριγκίας ἐπίσκοπος, αὐτὸς μᾶλλον ἀποπλανηθεὶς τοῦ νοήματος τῆς τοῦ Ἰωνάθαν ἐπιστολῆς. Τὸ τούτων τῆς ἐπιστολῆς ταύτης ἀναφέρεται σαφῶς εἰς τὰ περὶ τῆς ἀδελφότητος τῶν Ἰουδαίων καὶ Σπαρτιατῶν περιεχόμενα ἐν τῇ τοῦ Ἀρείου ἐπιστολῇ (ἧς εἶχε καὶ τὸ ἀντίγραφον ὑποτεταγμένον, ἢ ἐπισυνημμέ-

§. ις. ΙΔ) Ἐν τῇ αὐτῇ Α, τῶν Μακκαβαίων βίβλῳ (κεφ. γ. 48) ἀναγινώσκομεν, καὶ ὅτι κατὰ τὸν ὑπ' Ἀντιόχου διωγμὸν (τῷ 169 π. Χ.) οἱ περὶ τὸν Μακκαβαῖον Ἰούδαν « συνήχθησαν εἰς Μασσηφὰ, καὶ ἐξεπέτασαν τὸ βιβλίον τοῦ νόμου, *περὶ ὧν ἐξηρεύνων τὰ ἔθνη τὰ ὁμοιώματα τῶν εἰδώλων αὐτῶν*»· τουτέστι, *διήνοιξαν* καὶ ἀνέπτυξαν ἀνελίξαντες, καὶ δεικνύοντες εἰς τὸν οὐρανὸν (βλ. αὐτόθ. § 49, 50) τὸ βιβλίον τοῦ νόμου (εἴτε τῆς Πεντατεύχου μόνον,

---

νον, ἡ τοῦ 'Ιωνάθαν ἐπιστολή). Καὶ πρόδηλον ἐκ τοῦ ἐφεξῆς ἐπιφερομένου, « ἀ ν α-νεώσασθαι τὴν πρὸς ἡμᾶς ἀδελφότητα καὶ φιλίαν», Ὁ δὲ σοφὸς 'Υέτιος ἐκλαβὼν, ὡς ἐξέλαβε, τὸ τ ο ύ τ ω ν, ἐξέπεσεν εἰς παράδοξον ἀντίφασιν. Εἰ γὰρ ἔλεγεν ὁ 'Ιωνάθαν πρὸς τοὺς Σπαρτιάτας « ἀ π ρ ο σ δ ε ῖ ς ἐ σ μ ὲ ν τ ῆ ς (παρ' ὑμῶν) σ υ μ μ α χ ί α ς κ α ὶ φ ι λ ί α ς, πῶς λοιπὸν ἔπειτα πάλιν ἀνενεοῦτο τὴν π ρ ὸ ς α ὐ τ ο ὺ ς ἀ δ ε λ φ ό τ η τ α κ α ὶ φ ι λ ί α ν; Τίς δὲ καὶ ὑπῆρχεν ἄλλος ὁ σκοπὸς τῆς ἐπιστολῆς, εἰμὴ τοῦτ' αὐτὸ, ἡ τῆς φιλίας ἀνανέωσις; (Α. Μακκ. ιβ. ι, 2). Καὶ τὸ π α ρ ά κ λ η σ ι ν πάντως οὐχὶ παραμυθίαν σημαίνει, ἀλλὰ π α ρ α ί ν ε σ ι ν καὶ δ ι δ α σ κ α λ ί α ν (Institutionem), ὅθεν καὶ πληροφορίαν βεβαίαν (ὡς τὸ « ἰ σ χ υ ρ ὰ ν π α ρ ά κ λ η σ ι ν» Ἑβρ. ς. 48), ἢ ἀ π ό δ ε ι ξ ι ν, ὡς ἡρμήνευσεν ὁ 'Ιώσηπος· ὡμολόγησε δὲ και Γρότιος· ὁ δὲ μάτην ἠρνήσατο, ὁ 'Υέτιος. Καὶ αὐτην δὲ τὴν συγγένειαν τῶν Σπαρτιατῶν, τὴν πρὸς τοὺς 'Ιουδαίους, ἄγαν ἀπιθάνως ἐθεώρησεν (αὐτόθ. σελ 119). Εἰσάγει τὸν Σπαρτιάτην 'Αρέα νομίζοντα τοὺς 'Ιουδαίους συγγενεῖς, διότι τῆς μὲν Κρήτης πόλεις τινὲς ὑπῆρχον ἀποικίαι Σπαρτιατῶν, τοὺς δὲ πάλιν 'Ιουδαίους ἐκ τῶν 'Ιδαίων Κρητῶν κατήγαγεν ὁ παρὰ τῷ Τακίτῳ μῦθος (βλ. ὄπισθ. σελ. 34)! Ταῦτα τοίνυν τὰ τοῦ περικλεοῦς 'Υετίου οὐκ ἐπαινοῦμεν. Ἐπισυνάπτομεν δὲ καὶ τὸ ἑξῆς. Ἐν τῇ παρ' Ἰωσήπῳ τοῦ Ἀρείου πρὸς Ὀνίαν ἐπιστολῇ πρὸς τῷ τέλει ἀναγινώσκονται καὶ ταῦτα. «Τὰ γ ε γ ρ α μ μ έ ν α ἐστι τετράγωνα »(ἄλλοι, τετραγώνῳ. ἔλλειπ. χάρτῃ· ἀλλ' ἴσ. γρ. ἐ ν τ ε τ ρ α γ ώ ν ῳ) ἡ σφραγίς ἐστιν ἀετὸς, δράκοντος ἐ π ε ι λ η μ μ έ ν ο ς» — Οὐδὲν τούτων κεῖται ἐν Α. Μακκαβ. ιβ, 7. 'Αλλὰ ταῦτα οὐκ ἀποτελοῦσι μέρος τῆς ἐπιστολῆς (ὡς συγχέονται ἔντισιν ἐκδόσεσι τοῦ 'Ιωσήπου), αὐτὸς δὲ ταῦτα λέγει ἐξ ἑαυτοῦ ὁ Ἰώσηπος (ὃ συνεῖδε καὶ ὁ Πετῖτος· ὁ δ' Ἀβερκάμπιος μάτην ἐδίστασε. Σημ. εἰς Ἰώσηπ. ἀρχ. ιβ. δ. 10. σελ. 606). Ἐκφράσας γὰρ τὰ τῆς ἐπιστολῆς, διαγράφει (πρὸς μείζονα πίστωσιν)καὶ τὸ εἶδος αὐτῆς, καὶ τὴν σφραγῖδα. Εἶδε δὲ πάντως καὶ ἀνέγνω τὴν ἐπιστολὴν, τηρουμένην ἔτι κατ' αὐτὸν ἐν τοῖς ἀρχείοις, ἐν οἷς, ὡς φαίνεται, κατεγέγραπτο ἱστορικῶς καὶ τὸ Δ η μ ο τ έ λ η ς ὄνομα τοῦ κομιστοῦ τῆς τῶν Λακεδαιμονίων ἐπιστολῆς (ὅπερ οὐ γέγραπται ἐν Α. Μακκ. ιβ). Ὅτι δὲ παράσημον εἶχον οἱ Λακεδαιμόνιοι καὶ δράκοντα, καὶ ἀετὸν, ἅλις ἀπέδειξαν οἱ νομισματογράφοι. Βλ. Mionnet Description de medailles antiques, etc. vol. 2. p. 223· Paris 1807: καὶ Rasche Lexicon universae rei numariae, vol. 7. p. 1074: Lips. 1785.

εἴτε καὶ ὅλον τὸ σῶμα τῶν κανονικῶν Γραφῶν· ὁ παλαιὸς Λατῖνος ἔχει πληθυντικῶς *τὰ βιβλία τοῦ νόμου*), ἀγανακτοῦντες, διότι οἱ ἐθνικοὶ (καθὼς ἔμαθον οἱ περὶ τὸν Ἰούδαν) ἐξεζήτουν καὶ ἐξεύρισκον ἐν αὐτοῖς ὁμοιώματά τινα καὶ παραδείγματα (πρόσωπα τουτέστι καὶ περιστατικὰ) παρόμοια τάχα τοῖς τῶν παρ᾽ αὐτοῖς εἰδωλολατρουμένων Θεῶν (ἵνα τοὺς Ἰουδαίους ἐξελέγχωσι βλασφημοῦντες καὶ μυκτηρίζοντες, ὅτι καὶ ἐν τοῖς αὐτῶν βιβλίοις περιέχονται θυσίαι, καὶ τελεταὶ, ἢ καὶ ὀνομασίαι καὶ πράξεις ἱστορικαὶ, παρόμοιαι ταῖς τῶν ἐθνικῶν Θεῶν, οὓς οὐκ ἤθελον αὐτοὶ προσκυνεῖν) (α). Ἐπειδὴ δὲ οἱ τὰς Γραφὰς κατατρέχοντες ἦσαν Συρομακεδόνες (Ἀντιόχου ϛρατηγοὶ καὶ ϛρατιῶται), ἑλληνίζοντες τὴν φωνὴν, φαίνεται πιθανώτατον, ὅτι τὰ τοιαῦτα ὁμοιώματα ἐξηρεύνων ἐν ταῖς Γραφαῖς, ἀναγινώσκοντες μάλιστα χειρόγραφα τῆς ἑλληνί-

---

(α) Οὕτω καὶ ἡ Βουλγάτα· «Et expanderunt libros legis, de quibus scrutabantur gentes similitudinem simulacrorum suorum». Ἀλλ᾽ ἐν τῇ τοῦ Ἄλδου, καὶ τῇ Κομπλουτ· ἐκδόσει τῶν Ο, γέγραπται «Περὶ ὧν ἐζήτει τὰ ἔθνη τοῦ ἐπιγράφειν ἐπ᾽ αὐτῶν τὰ ὁμοιώματα» κτλ. καὶ τὰς δύο ταύτας λέξεις ἔχει καὶ ἡ λατινικὴ μετάφρασις «ut in ejs idolorum suorum imagines exararerent (πρβλ. καὶ Calmet, καὶ Houbigant, not. in Maccab. 3, 48)· ἀλλ᾽ἡ σύμφωνος τῶν λοιπῶν ἐκδόσεων γραφὴ, προτιμοτέρα. Καὶ ὅλως δὲ ἡ ἐκ τῆς προσθήκης ἀποβαίνουσα σημασία φαίνεταί πως ἐπαρίστερος. Ἀλλὰ κἂν τοιαύτη τις γραφὴ καὶ σημασία δοθῇ, καὶ οὕτω πάλιν οἱ ἐθνικοὶ, ἐν ᾧ κατέτρεχον σχίζοντες καὶ κατακαίοντες τὰς ἱερὰς Γραφὰς, ἐξύβριζον καὶ ἄλλως ἔν τισιν ἀντιγράφοις, ἐξερευνῶντες ἐν αὐτοῖς καὶ διαλέγοντες κατάλληλά τινα καὶ πρόσφορα χωρία κατὰ σελίδας, ἐφ᾽ ὧν ἐπέγραφον τὰς εἰκόνας τῶν εἰδώλων αὐτῶν (λυποῦντες οὕτω τοὺς Ἰουδαίους, καὶ χαράσσοντες εἰς τὰς ἱερὰς αὐτῶν Γραφὰς ἅπερ οὗτοι ἔφριττον καὶ ἀπεστύγουν εἰδωλικὰ μορφώματα). Οὕτω δὲ καταστιγμένα δεικνύοντες τοῖς Ἰουδαίοις τὰ βιβλία, ἔπειτα, ἴσως, καὶ ταῦτα κατέκαιον. Παρομοίως καὶ Πτολεμαῖος ὕστερον ὁ Φιλοπάτωρ διώκων τοὺς Ἰουδαίους, ἔστιζεν οὐκ ἐπὶ τῶν βιβλίων, ἀλλ᾽ εἰς αὐτὰ τὰ σώματα αὐτῶν, Διονύσου παράσημον, κισσόφυλλον (Γ. Μακκ. β. 29). Ὁ δὲ σοφὸς Καλμέτης καὶ σολοικότερον τρέπει τὸ περὶ Ὧν εἰς τὸ περὶ Ὃν (καιρὸν), καὶ παντάπασι τὴν σημασίαν τοῦ χωρίου παραβιάζει. «Οἱ Ἰουδαῖοι (λέγει) ἐξεπέτασαν (ἀνέπτυξαν) τὸ βιβλίον τοῦ νόμου, καθ᾽ ἣν ἡμέραν, ἢ ὥραν, οἱ ἐθνικοὶ ἐπηρώτων τὰ εἴδωλα αὐτῶν». Τοιαῦτα καὶ Σαμουὴλ ὁ Πετῖτος (Var. Lection. c. 15). Ἀλλὰ ταῦτα ἀπεδοκίμασε καὶ ὁ Οὐβιγάντης (l. c.). πρβλ. καὶ τὸν (μηδ᾽ αὐτὸν ἑρμηνεύσαντα πιθανὰ) Δρούσιον (Drusij annot ibid.).

δος ἑρμηνείας τῶν Ο. Ὅτι δὲ τότε ὑπῆρχον ἤδη Ἑλληνισταὶ Ἰουδαῖοι οὐ μόνον κατὰ τὴν Ἀντιόχειαν καὶ τὴν ἄλλην Συρίαν, ἀλλὰ καὶ κατ' αὐτὴν τὴν Παλαιστίνην, ταῖς ἑλληνικαῖς χρώμενοι Γραφαῖς, πρόδηλον ἐκ τῆς ἱστορίας. Ὁ δ' Ἀντίοχος ἐμαίνετο οὐ μόνον κατὰ τῶν Ἑβραϊκῶν Γραφῶν, ἃς οἱ ἑβραΐζοντες ἀνεγίνωσκον, ἀλλὰ καθόλου κατὰ πάσης βίβλου τῆς Γραφῆς. « Ἠφανίζετο δὲ καὶ εἴ που βίβλος εὑρεθείη ἱερὰ, καὶ νόμος » κτλ. (Ἰώσηπ. Ἀρχ. ΙΒ, ε, 4: καὶ Α. Μακκαβ. α.)

§. ιζ. ΙΕ) Καὶ Πολέμων δὲ γενόμενος κατὰ τοὺς χρόνους Πτολεμαίου τοῦ Ἐπιφανοῦς (περὶ τὸ 190 π. Χ.), ἐπεμνήσθη τῆς ἐκ τῆς Αἰγύπτου τῶν Ἰουδαίων ἐξαγωγῆς ἐν τῇ ἑλληνικῇ αὐτοῦ ἱστορίᾳ· καὶ σώζεται τὸ χωρίον ἐν τοῖς χρονικοῖς κανόσιν (ἢ *χρονογραφίαις*) τοῦ Ἀφρικανοῦ, παρ' Εὐσεβίῳ (Εὐαγ. Προπαρ. Ι. σελ. 288). Ὅτι δὲ καὶ τὸν Μωσῆν ἡγεμόνα τοῦ Ἰουδαϊκοῦ λαοῦ ἱστόρησεν ὁ Πολέμων, μαρτυροῦσιν Ἰουστῖνος (Παραινετ.), καὶ Κύριλλος ὁ φωστὴρ τῆς Ἀλεξανδρείας (κατὰ Ἰουλιαν. α).

§. ιη. ΙϚ) Ἀλέξανδρος ὁ Πολυΐστωρ, καὶ Κλήμης, καὶ Εὐσέβιος μνημονεύουσιν Εὐπολέμου συγγραφὴν, *περὶ τῶν ἐν Ἰουδαίᾳ βασιλέων*· καὶ ἑτέραν, περὶ τῆς *Ἡλιοῦ προφητείας* (α). Τοῦτον οὖν τὸν Εὐπόλεμον ὁ μὲν Εὐσέβιος ἐν τῇ Ἐκκλησιαστικῇ ἱστορίᾳ (καθὼς ἀναγινώσκεται τὴν σήμερον) Ἰουδαῖον διαῤῥήδην ὠνόμασεν, ὡς προείπομεν (§. β. σελ. 78.). Ὅθεν ἄλλοι τε καὶ ὁ κλεινὸς Οὐόσσιος (β) ἐξέλαβον ὡς τὸν αὐτὸν, καὶ τὸν ἐπὶ Μακκαβαίων ἀκμάσαντα Εὐπόλεμον, τὸν Ἰωάννου τοῦ Ἀκκῶς, ὃν μετὰ τοῦ

---

(α) Βλ. Κλήμεντ. Στρωμ. α, σελ. 247, 252: Εὐσέβ. Εὐαγ. Προπ. Θ. σελ 262, πρβλ. 245, 252. κτλ· ὅστις μνημονεύει καὶ τὸ *περὶ Ἰουδαίων* τῆς Ἀσσυρίας (σελ. 245)· ὅπερ ἦν, ἴσως τὸ αὐτὸ, ἢ μέρος τοῦ παρὰ Κλήμεντι, *περὶ τῶν ἐν Ἰουδαίᾳ βασιλέων*. (πρβλ. καὶ Κύριλ. Ἀλεξ. κ. Ἰουλιαν. ζ. σελ. 331). Ὁ Εὐπόλεμος μνημονεύει καὶ ἄλλων προσώπων ἑλληνικώτερον, ὡς ὅταν λέγῃ « Βῆλον εἶναι τὸν Κρόνον. Ἄτλαντα τὸν Ἐνώχ » κτλ. Εὐσέβ. αὐτ. σελ. 245, 252, κτξ.). Ὥστε καὶ ἐκ τούτου φαίνεταί τις τῶν Ἀλεξανδρέων Ἑλλήνων ἱστορικῶν.

(β) Voss. de LXX. c. 27: Huet. Dem. Fv. Pr. IV. pag. 55. 55: Demagist. l. c. p. 470.

Ἰάσωνος ἀπέστειλεν εἰς Ῥώμην πρεσβευτὴν Ἰούδας ὁ Μακκαβαῖος (α). Συμπίπτει δὲ τοῖς Μακκαβαϊκοῖς, ὡς ἔγγιστα, καὶ ὁ χρόνος, ὃν διώρισεν ὁ Εὐπόλεμος· ὡς ἔσχατον ὅρον τῆς ὅλης τῶν ἐτῶν περιοχῆς, « Ἀπὸ Ἀδὰμ ἄχρι τοῦ ε, ἔτους Δημητρίου τοῦ Σωτῆρος » κτλ. (βλ. ἀνωτέρ. §. β. σελ. 89). Ἀλλ' ὅμως ὁ Ἰώσηπος διαῤῥήδην συναριθμεῖ τὸν Εὐπόλεμον μετὰ τῶν ἐθνικῶν Ἑλλήνων, οἵτινες συγγράψαντες περὶ τῶν Ἰουδαϊκῶν, « *οὐ πολὺ τῆς ἀληθείας διήμαρτον* » (βλ. ὄπισθ. σελ. 78). Τὸ δ' αὐτὸ ποιεῖ καὶ Κλήμης. Καὶ αὐτὸς δὲ πάλιν ὁ Εὐσέβιος ἐν τῇ Προπαρασκευῇ μετὰ Δημητρίου τοῦ Φαληρέως ὡς ἐθνικὸν συνεισάγει καὶ τὸν Εὐπόλεμον (ὄπισθ. σελ. 80). Ἐθνικὸν δὲ τοῦτον καὶ Ὅδιος (σελ. 107) ἐξάπαντος ἐθέλει καὶ ἀπαιτεῖ. Καὶ ξένον οὐδὲν, εἰ περὶ τοὺς χρόνους ἐκείνους ἤκμαζε κατὰ μὲν τὴν Ἰουδαίαν ὁ Ἰουδαῖος Εὐπόλεμος, ὁ τοῦ Ἀκκὼς, ἄλλος δέ τις Εὐπόλεμος, Ἕλλην τὸ γένος, κατὰ τὴν Ἀλεξάνδρειαν, ὅστις συνέγραψε περὶ τῶν ἐν Ἰουδαίᾳ βασιλέων (ὅτι δὲ καὶ τῶν ἀπὸ Ἀδὰμ ἄνωθεν ἐμνημόνευεν ἡ ἱστορία, δῆλον· ἐν ᾗ καὶ τὰ κατὰ τὸν Ἀβραὰμ καὶ τὸν Μελχισεδὲκ ἀκριβῶς ζωγραφεῖ). Καὶ οὗτος οὖν τὴν ἱστορίαν ἠρανίσατο ἐκ τῆς ἑρμηνείας τῶν Ο, ὡς φαίνεται λαμπρῶς ἐκ τῶν ἱστορικῶν αὐτοῦ ἐκλογῶν, ἃς ἀπήνθισε μὲν ὁ Πολυΐστωρ, διέσωσαν δὲ καὶ εἰς ἡμᾶς ὅ,τε Κλήμης καὶ Εὐσέβιος. (β).

---

(α) Α. Μακκ. η, 17. καὶ Β. Μακκ. δ, 11. Τὴν Ἰουδαίων πρὸς Ῥωμαίους πρεσβείαν ὁμολογεῖ καὶ ὁ ἱστορικὸς Justin. XXXVI. 3.

(β) Ἐκ τοῦ Εὐπολέμου ὁ Πολυΐστωρ Ἀλέξανδρος (περὶ οὗ λέγομεν ἐφεξῆς) ἀντέγραψε τὴν ἐπιστολὴν Σολομῶντος τὴν πρὸς τὸν Χ ι ρ ὰ μ, ἢ Χ ε ι ρ ὰ μ, Τύρου βασιλέα (ὃν αὐτὸς ἔγραψε Σούρωνα· ὁ δ' Ἰώσηπος Ε ἵ ρ α μ ο ν, ἐκ τοῦ Εἰρὰμ = Ἰρὰμ = Hiram. Ἀναγινώσκεται παρ' Ἑβρ. καὶ Χουρὰμ Huram, ἢ Churam [Schulz. Scholia. V. Test. T. 3. p. 37] ὅθεν ἴσ. καὶ Χουρῶν, καὶ Φοινικιστὶ Σουρῶν· εἰμὴ ψευδὴς ἡ τοῦ Σ. γραφὴ ἀντὶ τοῦ Χ.), καὶ τὴν τούτου πρὸς ἐκεῖνον. Ἐκ δὲ τοῦ Πολυΐστορος πάλιν μετέγραψεν ἀμφοτέρας τὰς ἐπιστολὰς ὁ Εὐσέβιος (Εὐαγ. Προπ. Βιβλ. Θ. σελ. 263). Ὁ δὲ σοφὸς Οὐαλκενῆρος καὶ ταύτας Ἰουδαϊκῆς εὐφυΐας γόνους ἀποκαλεῖ, παραβάλλων πρός τε τὴν ἐν Γ. Μακκαβ. (κεφ. ζ.) Πτολεμαίου τοῦ Φιλοπάτορος ἐπιστολὴν, καὶ τὰς ἐν Ἐσθὴρ (κεφ. γ, καὶ η) ἐπιστολὰς τοῦ Ἀρταξέρξου· καθότι καὶ ταύτας Ἰουδαϊκοῦ τινος ἐγκεφάλου φαντασιοσκοπίας ἄλλοι τε, καὶ αὐτὸς

§. ιθ. ΙΖ) Μετὰ τοῦ Εὐπολέμου καὶ *Φίλωνα τὸν πρεσβύτερον* συνῆψεν ὁ Ἰώσηπος, ὡς ἐθνικὸν καὶ τοῦτον εἰσάγων συνάμα τοῖς ἄλλοις Ἕλλησιν, ὅσοι περὶ τῶν Ἰουδαίων ἱστόρησαν, « *οὐ πολὺ τῆς ἀληθείας διαμαρτόντες* »· καὶ προτάσσει δὲ τοῦτον πρὸ τοῦ Εὐπολέμου (ἴσως ὡς προγενέστερον), λέγων· « Καὶ *Φίλων δὲ ὁ πρεσβύτερος, καὶ Εὐπόλεμος* ». κτλ. (βλ. ὄπισθεν σελ. 78). Συμφωνοῦσι δὲ τῷ Ἰωσήπῳ καί τινες τῶν νεωτέρων κριτικῶν, ἐθνικὸν μὲν ὁμολογοῦντες τὸν Φίλωνα τοῦτον, ἀλλ' ὅ-

---

ὑπέλαβεν ὁ κριτικὸς (De Aristobulo Jud. p. 17). Ἀλλὰ περὶ τούτων μὲν λέξομεν τὰ εἰκότα ἐν τῷ οἰκείῳ τόπῳ. Τὰς δὲ Σολομῶντος καὶ τοῦ Χιρὰμ ἐπιστολὰς βεβαιοῖ ἡ Γ. Βασιλ. (κεφ. ε. 2—9), καὶ ἡ Β, των Παραλειπομένων (β, 3—13), ὅθεν αὐτὰς καὶ ὁ Εὐπόλεμος ἀντέγραψε, πρὸς τὸν ἴδιον τοῦ λόγου χαρακτῆρα μεταποιήσας, καί τινα πλατυκώτερον ἀριθμήσας, τὰ δὲ πλεῖστα ἐπιτεμών. [Ἐν δὲ τούτοις σημειούσθω τυπογραφικὸν ἁμάρτημα τῆς τοῦ Χιρὰμ, ἢ Σούρωνος ἐπιστολῆς (παρ' Εὐσεβ. αὐτ. σελ. 264) «ἄνδρα Ἰουδαῖον (τὸν ἀρχιτέκτονα, ὃν ἀπέστειλε Χειρὰμ) ἐκ φυλῆς τῆς Δαβίδ». ὅπερ διορθωτέον εἰς τὸ, τῆς Δὰν « (ὡς καὶ Β, Παραλ. β, 14). Περὶ τοῦ αὐτοῦ προσώπου καὶ Ἰώσηπος ἱστορῶν (Ἀρχ. η, γ, 4. Hav.), λέγει τοῦτον « ἐκ τῆς Νεφθαλίτιδος φυλῆς », ὃ διορθωτέον οἶμαι, εἰς τὸ Δανίτιδος· ἢ γοῦν ὅλην τὴν παρ' Ἰωσήπῳ φράσιν ἐκείνην, τεταραγμένην πολλαχῶς ὑπὸ τῶν ἀντιγραφέων (ὡς νομίζομεν) διορθωτέον (εἴπερ ἔξεστιν) οὑτωσί. «Μητρὸς μὲν ὄντα ΔΑΝΙΤΙΔΟΣ τὸ γένος, ἐκ γὰρ ταύτης ὑπῆρχε τῆς φυλῆς, πατρὸς δὲ ΤΥΡΙΟΥ, γένος ἸσραηλίΤΟΥ, ΝΕΦΘΑΛΙΤΙΔΟΣ ΦΥΛΗΣ ». πρβ. Γ. Βασιλ. ζ, 14. καὶ Β. Παραλ. β, 14. ἀλλ' ἐπὶ τὸ προκείμενον]. Βεβαιοῖ τὰς ἐπιστολὰς καὶ Ἰώσηπος, εἴτ' ἐκ τῆς Γραφῆς ἀπανθίσας, εἴτε καὶ ἐκ τῶν Τυρίων ἀρχείων ἀντιγράψας, καὶ πρὸς τὸ ὕφος τῆς ἰδίας συνθέσεως καὶ αὐτὸς μεθαρμόσας· λέγει γάρ· « Διαμένει δ' ἄχρι τῆς σήμερον τὰ τῶν ἐπιστολῶν τούτων ἀντίγραφα, οὐκ ἐν τοῖς ἡμετέροις μόνον σῳζόμενα βιβλίοις, ἀλλὰ καὶ παρὰ τοῖς Τυρίοις » κτλ. (Ἀρχ. η, 2. §. 6—8, καὶ κ. Ἀπίων. α, § 17, ὅπου καὶ Δίον, Τύριον ἱστορικὸν, φέρει μάρτυρα τῶν παρὰ τοῖς Τυρίοις σῳζομένων πολλῶν τοῦ Σολομῶντος πρὸς Εἴραμον ἐπιστολῶν). Τούτων δὲ τῶν δύω ἐπιστολῶν ἐμνημόνευσε καὶ Θεόφιλος (πρὸς Αὐτόλυκ. γ, 22), καὶ Κλήμης (Στρωματ. Α. σελ. 239, πρβλ. καὶ Εὐσεβ. Χρονικ. Α. κεφ. ιζ, σελ. 80 ἐκδ. Mediol. καὶ Hieron. ad magn. orat. καὶ Fabric. Cod. Pseudepigr. V. Test. p. 1020, 1026). Ὁ δὲ σοφὸς κριτικὸς λίαν (ὡς ἂν εἴποι τις) ὑπερκριτικίζει, μὴ μόνον Ἰωσήπῳ καὶ Εὐσεβίῳ, καὶ προσέτι τῷ Πολυΐστορι ἀντιλέγων, ἀλλὰ καὶ πρὸς αὐτὴν, ἐν μέρει, τὴν θείαν Γραφὴν, ἵνα τὸν Εὐπόλεμον, κἂν θέμις κἂν μὴ θέμις, Ἰουδαῖον ἡμῖν ἀποφήνῃ. Εἰ δ' αἱ παρὰ τούτῳ ἐπιστολαὶ κατὰ τὴν φράσιν διαφέρουσι τῶν ἐν τῇ θείᾳ Γραφῇ, ἀλλὰ καὶ αἱ ἐν τῇ Γ. Βασιλ. ε, κατὰ πολλὰ διαφέρουσι τῶν ἐν Β. Παραλ. β. τὸ δὲ κύριον νόημα πανταχοῦ τετήρηται τὸ αὐτό. Ἢ μήπως καὶ τούτων τῶν ἐν τῇ Γραφῇ τὰς ἑτέ-

μως διαφωνοῦντες περὶ τοῦ προσώπου καὶ τῆς ἕξεως τοῦ ἀνδρός. Οἱ μὲν φιλόσοφόν τινα Πυθαγόρειον τοῦτον λέγουσιν· (ἀλλ' οὕτω συγχέουσιν αὐτὸν πρὸς τὸν γνωστότατον Φίλωνα τὸν Ἰουδαῖον, περὶ οὗ λέγομεν εὐθύς)· οἱ δέ τινες ὑπονοοῦσι, μήποτε οὗτος εἴη ὁ τὰ Αἰθιοπικὰ συγγραψάμενος Φίλων (ὁ παρ' Ἀντιγόνῳ τῷ Καρυστίῳ μνημονευόμενος, καὶ τῷ Στράβωνι, Β, 77), προγενέστερος Ἐρατοσθένους (α)· οἱ δὲ πάλιν τὸν αὐτὸν ἐθέλουσι καὶ τὸν ἐκ τῆς Βύβλου Φίλωνα τὸν Ἑρέννιον (β), λίαν ἄτοπα

ρας, ὁποτέρας, διανοηθεύσει ἡ δριμύτης ἡ κριτική;. Καὶ ὁ πολὺς Σκαλίγηρος (οὗ τὴν γνώμην, ὡς ἔοικεν, ἠσπάσθη ὁ Οὐαλκενῆρος) τὸν μὲν Εὐπόλεμον ἀρχαῖον συγγραφέα λέγει (Ἰουδαῖον δὲ οὐ λέγει)· τὴν δὲ Σολομῶντος πρὸς Σούρωνα ἐπιστολὴν νόθον ἔκρινε καὶ οὗτος, διότι μέμνηται καὶ τῆς Σαμαρείτιδος (χώρας). Ἡ δὲ Σαμάρεια ὠνομάσθη οὕτως ἐκ τοῦ Σεμὴρ, ἀνθρώπου κυρίου τοῦ ὄρους Σεμερὼν (ἐν τῇ φυλῇ τοῦ Ἐφραῒμ) ἐπὶ Ἀμβρὶ βασιλέως Ἰσραὴλ (Γ. Βασιλ. ις, 24), βασιλεύσαντος ἔτει 88, ἀπὸ τῆς οἰκοδομῆς τοῦ ναοῦ (Scalig. Fragment. p. 28. ad. calcem de Emendat. Temp.). Ἀλλ' ἐν τῇ αὐτῇ φυλῇ ὑπῆρχε καὶ ἄλλος τόπος πολὺ ἀρχαιότερον καλούμενος ὄρος Σομόρων (Β. Παρ. ιγ, 4.), ὅθεν ἰδίως καὶ ἐπὶ Σολομῶντος παρωνομάζετο καὶ ἡ χώρα Σαμαρεῖτις. Ὑπῆρχε δὲ καὶ ἄλλη παλαιὰ τῆς φυλῆς Βενιαμὶν πόλις Σεμρὶμ (Ἰησ. ιη. 23, κώδ. Ἀλεξ. Ἀλδ.), ἡ Σαμαρὶμ (ἐκδ. Κομπλ. καὶ ἑβρ. Samaraim), ἴσ. ἀπὸ Σαμαραίου (Γεν ι, 18, καὶ ἑβρ. Samari. πρβλ. Drusij anot. in Genes. x). Πρὸς ταύτην τὴν Σαμαρεῖτιν ἀπέβλεπεν ὁ Εὐπόλεμος, ἢ μᾶλλον ἀρχαία τις ἑβραϊκῶν παραδόσεων συγγραφὴ, ὅθεν ὁ Εὐπόλεμος δανεισάμενος προσέθηκε τὰ γεωγραφικὰ ὀνόματα «τὴν Γαλλιλαίαν, καὶ Σαμαρεῖτιν, καὶ Μωαβῖτιν, καὶ Ἀμανῖτιν, καὶ Γαλααδῖτιν», ἐκφράζων κατὰ πλάτος τὰς χώρας, ὅθεν ἔταξεν ὁ Σολομὼν διδόναι βρώματα τοῖς ἐργαζομένοις (Β. Παραλ. 6, 10). Ἐξ ἀρχαίων, ὡς ἔοικεν, ἀναγραφῶν ἀντέγραψεν ὁ Εὐπόλεμος καὶ τὴν Σολομῶντος πρὸς τὸν Αἰγύπτιον βασιλέα (Φαραὼ) Οὐαφρῆν, καὶ τὴν τούτου πρὸς Σολομῶντα ἐπιστολὴν (παρ' Εὐσεβ. Εὐαγ. Προπαρ. αὐτόθ.), περὶ ὧν ἐν ταῖς θείαις Γραφαῖς οὐ γίνεται μνεία· εἰμὴ μόνον ὅτι «ἔλαβεν ὁ Σολομὼν γυναῖκα τὴν θυγατέρα Φαραὼ», καὶ ὅτι «ἔξοδον (ἐξαγωγὴν) ἵππων εἶχεν ἐξ Αἰγύπτου» (Γ. Βασιλ. θ. 16. ια, ι: Β. Παραλ. α, 16. η. 11. πρβλ. Ἰωσήπ. Ἀρχ. Η. β. 1. κτλ.). Ὅσον δὲ περὶ τοῦ γένους τοῦ Εὐπολέμου, μετριώτερος Οὐαλκενήρου ἐφάνη ὁ Σκαλίγηρος· πολὺ δ' ἀμφοτέρων σεμνότερος ἐν τοῖς τοιούτοις, ὁ κλεινὸς Γρότιος, ὅστις καὶ τὸν Εὐπόλεμον, καὶ τὸν Ἀρτάπανον, καὶ Φίλωνα τὸν πρεσβύτερον, καὶ τοὺς ἄλλους (περὶ ὧν ἐφεξῆς) συνηρίθμησεν ὡς Ἕλληνας μετὰ Ἑκαταίου καὶ Δημητρίου (H. Grot. de verit. Rel Chr. I. not.)

(α) Voss. Hist. Graec. L. 3. pag. 486. Westerm. — (β) Calmet Diss. de aut. Libr. Sapient. πρβλ. καὶ Huetij Dem. Ev. IV. p. 228.

οὗτοι λέγοντες. Ἐθνικὸς μὲν γὰρ ὁ Βύβλιος ἦν, καὶ συνέγραψε *περὶ Ἰουδαίων*, ἀλλ᾽ ὅμως ἔχθιστος ἄλλως ὑπῆρχε τοῖς Ἰουδαίοις· καὶ ἑπομένως οὐδὲν ἂν εἶπε περὶ τῶν Ἰουδαίων καλὸν, ἀλλὰ καὶ τοῦ εἰπόντος Ἑκαταίου καθήψατο (βλ. Βιβλ. Α. κεφ. β. σελ. 34). Τοιοῦτον δὲ ὄντα τὸν Φίλωνα τοῦτον, πῶς ἂν ὁ Ἰώσηπος συνηρίθμει μετὰ τῶν ἄλλων, ὅσοι τὰ τῶν Ἰουδαίων ἱστοροῦντες, «οὐ πολὺ τῆς ἀληθείας διήμαρτον;» (ὄπισθ. σελ. 78). Πολλοὶ δὲ, τέλος, τῶν νεωτέρων σοφῶν ἀπαλλαττόμενοι πραγμάτων, ἄκρατον ἐθέλουσιν Ἰουδαῖον ἑλληνιστὴν τὸν παρ᾽ Ἰωσήπῳ τοῦτον Φίλωνα τὸν πρεσβύτερον (α), νεώτερον δὲ (πρὸς διαστολὴν) νομίζουσι τὸν ὕστερον ἐπὶ Γαΐου τοῦ αὐτοκράτορος (τῷ 40 μ. Χ.) ἀκμάσαντα Φίλωνα, τὸν οὐχ ἧττον Πυθαγορικὸν, ἢ Πλατωνικὸν φιλόσοφον, Ἀλεξανδρινὸν Ἰουδαῖον, οὗτινος τὰ συγγράμματα διεσώθησαν καὶ εἰς ἡμᾶς. Ἀλλὰ πρῶτον μὲν τὸν Φίλωνα τοῦτον ὁ Ἰώσηπος οὐδαμοῦ *νεώτερον* ἐπωνόμασεν, ἀλλ᾽ ἁπλῶς «ἄνδρα λέγει τοῦτον ἔνδοξον καὶ φιλοσοφίας οὐκ ἄπειρον» (Ἀρχ. ιη, η, 1). Ὥστε τὸν *πρεσβύτερον* λέγων, πρὸς ἄλλον τινὰ Φίλωνα *νεώτερον* (ὃν οὐκ ὠνόμασεν) ἀντιδιαστέλλει, καὶ τοῦτον πάντως ἐθνικὸν, μεταξὺ τοῦ τε παλαιοτέρου ἐκείνου καὶ αὐτοῦ τοῦ Ἰωσήπου γεγονότα. Ὁ δὲ *νεώτερος* οὗτος, ἴσως, ἂν εἴη αὐτὸς ὁ ἀνωτέρω Βύβλιος, ὁ Ἑρέννιος Φίλων (β), ὅστις (κατὰ τὸν Σουΐδαν) ἐγγὺς τῶν Νέρωνος χρόνων ἐγένετο, καὶ παρέτεινε τὸ ζῆν μέχρι καὶ τοῦ Ἀδριανοῦ (εἶδε δὲ τοῦτον, ἴσως, καὶ αὐτὸς ὁ Ἰώσηπος, ἐπέκεινα τοῦ α, αἰῶνος παρατείνας

(α) Βλ. Demagistr. Apolog. pag. 464, 470. Ἀλλ᾽ ὁ κλεινὸς Δεμάγιστρος φαίνεται νομίζων Ἰουδαῖον τὸν πρεσβύτερον τοῦτον Φίλωνα, διότι τινὲς τῶν Δυτικῶν εἰς τοῦτον ἐξ εἰκασίας ἀπέδωκαν τὴν σύνταξιν, ἢ μόνην γοῦν τὴν ἑρμηνείαν τῆς Σοφίας τοῦ Σολομῶντος· οἱ δὲ πάλιν οὐκ ὤκνησαν αὐτὴν ἀποδοῦναι καὶ εἰς αὐτὸν τὸν μεταγενέστερον Φίλωνα. Ἀλλὰ καὶ περὶ ταύτης τῆς παραλογίας λέγομεν ἐν τῷ οἰκείῳ τόπῳ, τὰ τοῦ Ἄγγλου Λωύθου μόνον ἐνταῦθα προσθέντες. Quem. (Josephum) si sequamur (inquit Lowthius), concidit illorum sententia qui Librum Sapientiae ipsi tanquam autore, aut saltem interprete tribuunt. Mangey not. in Ioseph. c. Apion. L. I. §. 43. pag. 458 vol. 2. ed. Havere.

(β) Fabric. Bibl. Graec. vol. 1. p. 226, Harl.

τὸ ζῆν). Καὶ παραβλάπτεται μὲν οὐδόλως τὸ τοῦ πρεσβυτέρου Φίλωνος ἀλλόφυλον, κἂν πρὸς τοῦτον ἀντιστοίχως ὡς νεώτερος ἐκληφθῇ ὁ γνωστὸς Ἰουδαῖος Φίλων, ὁ Πυθαγορικὸς καὶ Πλατωνικὸς (α), ἀλλ᾽ ὅμως, ἐπειδὴ καὶ τοῦτον ὁ μὲν Ἰώσηπος οὐκ ὠνόμασε *νεώτερον* (ὡς προείπομεν), τὰ δὲ πάλιν ἐπίθετα *πρεσβύτερος καὶ νεώτερος* ἀντιδιαστέλλονται συνήθως ἐπὶ προσώπων ὁμοταγῶν καὶ ὁμογενῶν (οἷον Κάτων ὁ πρεσβύτερος, καὶ Κάτων ὁ νεώτερος, καὶ οἱ δύω Διονύσιοι, καὶ οἱ δύω Πλάτωνες, καὶ ἄλλοι συχνοί), καὶ τὸν Φίλωνα λοιπὸν τὸν ἐθνικὸν εἶπε *πρεσβύτερον* ὁ Ἰώσηπος, ὡς πρὸς ἄλλον πάλιν ἐθνικὸν, νεώτερον, ἀντιστοιχοῦντα. Ἐθνικὸν παρίστησι τὸν πρεσβύτερον Φίλωνα καὶ ὁ Κλήμης, παραβάλλων αὐτὸν πρὸς Δημήτριον (τὸν Φαληρέα), καὶ τὸν Εὐπόλεμον (β). Ὡσαύτως καὶ Εὐσέβιος, διακρίνων αὐτὸν ἀπό τε τοῦ

(α) «Φίλων τὴν κατὰ Πλάτωνα καὶ Πυθαγόραν ἐζηλωκὼς ἀγωγὴν» (Εὐσέβ. Ἐκκλ. ἱστορ. β. 4). «Φίλων ὁ Πυθαγόρειος». Κλήμ. Στρωμ. α, καὶ Σωζόμ. Ἐκκλ. ἱστορ. ά. 12. κτλ. Ἐπωνόμασται δὲ Πυθαγόρειος ὁ Φίλων, καθὸ καὶ τῶν Πυθαγόρου τινὰ δογματίσας, καὶ μάλιστα τὸ ἀ λ λ η γ ο ρ ι κ ὸ ν, καί τοι ἄλλως ἐν πολλοῖς πλατωνίζων (βλ. Mangey praefat. ad Philon. p. 7—8). Ἀλλὰ καὶ αὐτὸς ὁ Φίλων ἱ ε ρ ώ τ α τ ο ν καλεῖ τὸν Π υ θ α γ ο ρ ε ί ω ν θ ί α σ ο ν (προοιμ. περὶ τοῦ π. σπουδ. ἐλευθ.). καὶ τὰς δυνάμεις τῶν ἀπὸ μονάδος ἀριθμῶν συμβολικῶς ἐξετάζει, ὃ καὶ πρώτιστον ἦν δόγμα τῆς πυθαγορικῆς φιλοσοφίας (βλ. Ἀριστοτ. π. οὐρανοῦ γ. ι. — Πορφύρ. ἐν βίῳ Πυθαγόρ. 47, καὶ π. Ἀποχῆς β. 36). Ὅθεν καὶ ὁ Πλωτῖνος ἐξήγει συνάμα τὰς Πυθαγορείους ἀρχὰς καὶ Πλατωνικὰς (Λογγῖν. πρὸς Πλωτῖν. σελ. LX. ἔκδ. Dresd. 1742). Οὕτω καὶ Νικόλαος ὁ Δαμασκηνὸς, περιπατητικὸς ὁ αὐτὸς καὶ Πλατωνικὸς ἐκαλεῖτο, ὡς ἑκατέρας τῆς φιλοσοφίας τὰ δόγματα πρεσβεύων καὶ διαλλάτων ἐν πολλοῖς (Σουΐδ. λ. Νικόλαος), καὶ Νουμήνιος ὁ Ἀπαμεὺς, Πυθαγορικὸς ἱστόρηται ἅμα καὶ Πλατωνικὸς, κτλ. Καὶ αὐτὴν δὲ, τέλος, τὴν Πλατωνικὴν φιλοσοφίαν, «τὰ πολλὰ τοῖς Πυθαγόρου δόγμασιν ἀκολουθοῦσαν», εἶπεν ὁ Ἀριστοτέλης (Μεταφ. α, β, πρβλ. Λαέρτ. γ. 8)· διὸ καὶ Εὐσέβιος Πυθαγορίζοντα καὶ Πυθαγόρειον προσεῖπε τὸν Πλάτωνα (Προπαρ. σελ. 725, 728 745), καὶ μεσεύοντα Πυθαγόρου καὶ Σωκράτους (σελ. 505. 729). Ἀδίκως λοιπὸν ἔψεξεν ὁ κλεινὸς Οὐαλκενῆρος τὸ Πυθαγόρειος ἐπίθετον, ὡς δῆθεν ὑ π ὸ τ ῶ ν μ ε τ α γ ε ν ε σ τ έ ρ ω ν χ ρ ι σ τ ι α ν ῶ ν ἀποδοθὲν τῷ Πλατωνίζοντι Φίλωνι, διὰ μόνην τὴν περὶ τὰς ἀλληγορικὰς ἐξηγήσεις σπουδὴν (Valckenaer. de Arist. Jud. pag. 18). Ὁ τοῦ Φίλωνος συμπολίτης καὶ σύνεγγυς τοῖς χρόνοις γενόμενος, Κλήμης ὁ Ἀλεξανδρεὺς, ἠπίστατο κάλλιον παρὰ τὸν Οὐαλκενῆρον, οἷος ἦν ὁ Φίλων, καὶ ὅπως ὑπὸ τῶν συγχρόνων ἐπωνομάζετο, ὡς ἐκ τῶν φιλοσοφικῶν αὐτοῦ δοξασιῶν.

(β) «Φίλων δὲ καὶ αὐτὸς ἀνέγραψε τοὺς βασιλεῖς τῶν Ἰουδαίων διαφώνως (πε-

γνωστοῦ, τοῦ Ἰουδαίου, καὶ τῶν ἄλλων τῶν ὁμωνύμων Φιλώνων, ἐν οἷς αὐτοῦ μνημονεύει καὶ τὴν περὶ Ἱεροσολύμων ἐν ἔπεσιν ἡρῴοις συγγραφὴν, ἀντιγράφων ἐκ τοῦ Πολυΐστορος (α).

§. κ. ΙΗ) Καὶ Κλεόδημος, ὁ καὶ *Μάλχος* ἐπιλεγόμενος, καὶ *προφήτης*, μνημονεύεται ὑπὸ τοῦ Πολυΐστορος, « ὡς ἱστορῶν καὶ αὐτὸς τὰ περὶ Ἰουδαίων, καθὼς καὶ Μωσῆς ἱστόρησεν ὁ νομοθέτης αὐτῶν » (6). Ἠρύσατο δὲ πάντως τὰ τῆς ἱστορίας ἐκ τῆς ἑρμηνείας

ρὶ τὴν χρονολογίαν δηλονότι) τῷ Δημητρίῳ· ἔτι δὲ καὶ Εὐπόλεμος » κτλ. Κλήμ. Στρωμ. α. πρβλ. καὶ τὰ ἀνωτέρω σημειωθέντα §. β, σελ. 78.

(α) Εὐσέβ· Εὐαγ. Προπ. Θ. σελ. 246, 251, 266, κτλ. Lut. Ἐκ ταύτης τῆς συγγραφῆς ἀντέγραψε τρεῖς στίχους καὶ ὁ κλεινὸς Βοχάρτος, ἐθνικὸν τὸν Φίλωνα τοῦτον καὶ αὐτὸς ὁμολογῶν, καὶ τοῦτε Βυβλίου, καὶ τοῦ Ἀλεξανδρινοῦ παλαιότερον (Bochart Hierozoic. P. l. L. 11, c. 4. p. 405.). Ὅθεν καὶ ὁ Φαβρίκιος τοῦτον δὴ τὸν ἐθνικὸν Φίλωνα ἐξέλαβεν ὡς τὸν παρ' Ἰωσήπῳ π ρ ε σ β ύ τ ε ρ ο ν (Fabric. Bibl. Gr. vol. 7 p. 356 Harl.), καί τοι ἀλλαχοῦ (τόμ. β. σελ. 756), σφόδρα περὶ τούτου διακυμανθεὶς καὶ διαπορήσας. Ὁ δὲ σοφὸς Οὐαλκενῆρος ἐκ τούτου τοῦ παρ' Εὐσεβίῳ ἡρῴου ποιήματος ἐσπούδασεν Ἰουδαῖον ἀποδεῖξαι τὸν Φίλωνα, ὁποῖος ἦν ὁμολογουμένως καὶ Ἰεζεκιῆλος ὁ τῶν τραγῳδιῶν ποιητής· διότι καὶ ὁ Φίλων μνημονεύει Ἀβραάμου καὶ Ἰσάκου. κτλ. Ἀλλὰ μήπως Ἑβραῖοι τότε μόνον ἐποίουν ἑλληνιστί; Ἕλληνες δ' οὐκέτι; Ἕλλην δὲ ὢν καὶ ἐθνικὸς ὁ ποιητὴς, μήπως ὤφειλε παντάπασι μεταβαλεῖν καὶ τὰ ἱστορικὰ ὀνόματα τῆς, ἧς ἐποίει, πράξεως, ἢ καὶ διηγήσεως Ἰουδαϊκῆς; οὐδ' ἔγραψεν ὡσαύτως καὶ Πλάτων, καὶ Ἡρόδοτος τὴν Ἄρμνην, καὶ Σιοὺφ, καὶ τὸν Θμοῦϊν, καὶ τὸν Θώθ, καὶ τ' ἄλλα τὰ ὀνόματα τῶν παρ' αὐτοῖς μνημονευομένων βαρβάρων ἐθνῶν; παράδοξα ταῦτα εἶπεν ὁ Κριτικὸς περὶ τοῦ Φίλωνος. Ταὐτὰ κρίνει καὶ περὶ Θεοδότου (ἐθνικοῦ καὶ τούτου ποιητοῦ τῶν Ἰουδαϊκῶν. βλ. ἐφεξῆς §. κα). προσέθηκε δὲ καὶ τοῦτο. « Εἴπερ ἦσαν οἱ ποιηταὶ οὗτοι ἐθνικοὶ, διὰ τί μηδὲν τῶν ποιημάτων τούτων ἀντέγραψεν ὁ Ἰώσηπος; ». Διότι (ἀπαντῶμεν) ἠρκέσθη τοσούτοις ἄλλοις, ὅσα μετέγραψεν. Εἰ δέ τινα κἀκείνων ἀντέγραφε, μήπως ἔμελλεν ὁ τάλας φανήσεσθαι πιστός; Μὴ γὰρ ἐπιστεύθη, ἀντιγράψας τὰ τοῦ Κλεοδήμου (βλ. ἐφεξῆς §. κ.), καὶ τὰς παρ' Εὐπολέμῳ Σολομοντείους ἐπιστολὰς, καὶ αὐτὰ τὰ τοῦ Ἑκαταίου; Οὐκ ἀνεκήρυξε καὶ τούτους Ἰουδαίους αὐτὸς οὗτος ὁ κριτικὸς, ὡς καὶ τὸν Δημήτριον, καὶ τὸν Ἀρτάπανον., καὶ τὸν Νουμήνιον αὐτόν; βλ. ἐφεξ. §. μγ.

(6) Πολυΐστ. παρ' Ἰωσήπ. Ἀρχ. α, ιε. — Εὐσεβ. Εὐαγ. Προπ. Θ, σελ. 246. Ὁ δὲ σοφὸς Οὐαλκενῆρος μνημονεύσας τοὺς Ἰωσήπου τούτους λόγους, ἔπειτα, (ἀδείᾳ καὶ ὧδε κριτικῇ) ψηφίζει παρευθὺς ἀντεπάγων· « ἀλλ' ὁ Κλεόδημος οὗτος, ὁ προφήτης, εἴπερ οὕτως (ὡς ὁ Μωϋσῆς), ἱστόρησε τὰ Μωσαϊκὰ, πάντως ἦν Ἰουδαῖος ». Valcken. de Aristob. Jud. p. 18. Ὡσανεὶ ὑπῆρχεν ἀδύνατον, ἵνα καὶ ὁ μὴ Ἰουδαῖος ἀναγράψῃ τὰ τῶν Ἰουδαίων κατὰ τὸν Μωϋσῆν, καθὼς ἔγραψαν καὶ ἄλλοι ἐθνικοὶ ἐκ τῶν Μωσαϊκῶν ἀρυσάμεναι Γραφῶν. Ἢ πολὺ προσῆκεν (οὐχ ὀρθῶς;) εἰς Ἰουδαῖον, ἀναμιγνύειν

τῶν Ο, καθὼς φαίνεται σαφῶς ἐξ ὧν ἀντιγράφει κυρίων ὀνομάτων τῶν Ἀβραὰμ ἀπογόνων, ἅπερ ἔστιν ὅτε καὶ πρὸς τὸ ἑλληνικώτερον μεταποιεῖ (βλ. ὄπισθ. κεφ. ϐ. σελ. 44, σημ.). Φαίνεται δὲ καὶ οὗτος ἀρχαιότερος τοῦ πρεσϐυτέρου Φίλωνος, ἢ γοῦν συγχρόνως ἀκμάσας σοφὸς ἐθνικὸς, Σύρος τις, ἢ Φοῖνιξ ἐκ Τύρου, καθὰ δηλοῖ τὸ Μάλχος, ἢ Μαλχᾶς, ἐπώνυμον (α). Ἐπελέγετο δὲ καὶ *προφήτης* ὁ Κλεόδημος, ἴσως καθὸ τῶν θείων τις ἑρμηνεὺς, καὶ ἐξηγητὴς, ὡς ἐξεδέχοντο τὸ προφήτης πολλάκις οἱ ἐθνικοὶ (Ἡρόδοτ. Η. 36, 135, Διονύσ. Ἀλικ. Ἀρχ. β. 73 κτλ.).

§. κα. ΙΘ) Καὶ Θεόδοτον ὁ Πολυΐστωρ ἐμνημόνευσεν ὡς ποιητήν· καὶ τούτου στίχους ἑξαμέτρους ἀπήνθισεν ἐκ τοῦ περὶ *Ἰουδαίων* ποιήματος, οὓς καὶ εἰς ἡμᾶς διέσωσεν ὁ Εὐσέϐιος (ϐ). Ἐν τούτοις δὲ τοῖς στίχοις ἱστορεῖται ἥτε πρὸς τὸν Λάϐαν ἄφιξις τοῦ Ἰακὼϐ, καὶ Λεία, καὶ Ῥαχὴλ, καὶ τὰ κατὰ τὸν Δεῖναν καὶ τοὺς ιβ. πατριάρχας, ἅπαντα κατὰ τὴν φράσιν τῶν Ο. Οὗτός ἐστιν ὁ Θεόδοτος, ὃν καὶ Ἰώσηπος συναριθμεῖ « μετὰ

---

μετὰ τῶν Ἀϐράμου ἀπογόνων καὶ τὰς Ἡρακλέους καὶ Ἀνταίου στρατείας! διὸ καὶ Ὅδιος ἀγανακτήσας μυθολόγον εἶπε τὸν Κλεόδημον, ἄλλως ὅμως ἐθνικὸν αὐτὸν ὁμολογῶν (βλ· ὄπισθεν σελ. 44). Μετὰ τῶν Ἑλλήνων ἱστορικῶν συνηρίθμησε τὸν Κλεόδημον καὶ Γεράρδος ὁ Οὐόσσιος (De Hist. Graec. L. III. pag. 417, West.).

(α) Οὕτω καὶ Πορφύριος, ὁ Τύριος φιλόσοφος, κατὰ τὴν πάτριον διάλεκτον ἐκαλεῖτο Μάλχος, ὃ σημαίνει βασιλεὺς (Πορφυρ. αὐτὸς ἐν βίῳ Πλωτίν.)· διὸ καὶ Λογγῖνος αὐτὸν Τύριον βασιλέα καλεῖ (Λογγ. π. Πλωτῖν. σελ. 62, ἐκδ. Dresd.). Πορφύριος δὲ πάλιν ὑπ' αὐτοῦ τοῦ Λογγίνου μετενωμάσθη (Εὐνάπ. βίῳ Πορφυρ.), ὡς ἰσοδύναμον τοῦ βασιλεὺς, ἢ βασίλειος, διὰ τὴν πορφύραν (βλ. καὶ Σουΐδ. Λ. Πορφύριος). Σύνηθες δὲ καὶ παρ' Ἰουδαίοις τὸ Μάλχος (Ἰωάνν. ιη, 10), ὃ καὶ Μαλοὺχ ἔγραφον (Νεεμ. ι, 27, ιϐ. 2), ἢ Μαλὼχ (Α. Παραλ. 4, 44). Ὁ δὲ Κλεόδημος ὁ Μάλχος τοῦ Ἰωσήπου γράφεται καὶ Μαλχᾶς (ὡς ἀνέγνωσαν Εὐσέϐιος καὶ Προκόπιος), κατὰ Συριακὴν τοῦ ὀνόματος προφορὰν (Malka. ϐλ. Bernard Σχόλ. εἰς Ἰωσήπ. Ἀρχ. η, 16). Ὅθεν ὁρμηθεὶς ὁ Δεμάγιστρος τὸν Κλεόδημον τοῦτον τὸν Μάλχον, ἢ Μαλχὰν, ἐξέλαϐεν ὡς τὸν αὐτὸν καὶ τὸν προφήτην Μαλαχίαν, ἢ τὸν αὐτὸν καὶ τὸν Ἔσδραν, Κλεόδημον δῆθεν ὑπὸ τοῦ Πολυΐστορος ἐξεπίτηδες μετονομασθέντα (Demagistr. Apol. Dissert. V. pag. 575—76)· ἀλλὰ ταῦτα ὁ κλεινὸς Δεμάγιστρος οὔτε σύμφωνα λέγει τῷ Ἰωσήπῳ καὶ Εὐσεϐίῳ, οὔτε ὅλως πιθανά.

(ϐ) Εὐαγ. Προπ. Θ. 249—250. Lutet. βλ. καὶ Grot. ad. Johan. IV. 5. καὶ Fabric. Bibl. Graec. vol. 7. pag. 313. Harl.

τῶν ἐθνικῶν, ὅσοι μὴ παρέργως ἐπεμνήσθησαν τῶν Ἰουδαίων» (βλ. ὄπισθεν σελ. 53. πρβλ. καὶ ἐφεξ. §. κδ). Ἦν δὲ τοῦ πρεσβυτέρου Φίλωνος, ὡς ἔοικε, προγενέστερος, καὶ Φοῖνιξ ἴσως καὶ οὗτος τὸ γένος. Ὁ γὰρ αὐτὸς Θεόδοτος, καὶ φοινικιστὶ συνέγραψε τὰ Φοινικικὰ, συνεχίσας τὴν Σαγχθωνιάθωνος ἱστορίαν· ταύτην δὲ τὴν Θεοδότου συνέχειαν ἐξελλήνισεν ὕστερον ὁ Λαῖτος, ὡς ἔγραψεν ὁ Τατιανὸς (ἐν τῷ πρὸς τοὺς Ἕλληνας §. λη)· μνημονεύει δὲ καὶ ταύτης τῆς Θεοδότου συγγραφῆς ὁ Εὐσέβιος (α).

§. κβ. Κ) Ἀρτάπανος (β), συγγραφεὺς ἐθνικὸς, συνέγραψεν

(α) Εὐσέβ. Προπαρ. I, 289. καὶ Voss. de Hist. Graec. III. 5. καὶ Bochart. Chan. II. 17. καὶ Huet. Dem. Evang. l. c. p. 56.

(β) Ἀρτάπανος γράφεται παρὰ Κλήμεντι, καὶ Εὐσεβίῳ, ἐκ τοῦ Πολυΐστορος. Ἐν δὲ τῷ Πασχαλίῳ Χρονικῷ Ἀ ρ τ ά β α ν ο ς (τόμ. α. σελ. 117.). Ὄνομα Ἀσιανὸν, τὸ αὐτὸ ἴσως καὶ τὸ παρὰ Μήδοις καὶ Πέρσαις Ἀ ρ τ ά β α ν ο ς (Ἡρόδ. ζ, 10: Ἰώσηπ. Ἀρχ. ιη, β. §. 4), καὶ ἴσως συγγενὲς τοῦ Ἀ ρ τ ά β α ζ ο ς, καὶ παρ' Ἀρμενίοις Ἀ ρ τ α β ά ζ η ς, ἢ Ἀ ρ τ α ο υ ά σ δ η ς (Πλούταρχ. Κράσ. §. ιθ. καὶ Ἀντων. λζ. καὶ Στράβ. ια, σελ. 524, 529, 532), καὶ ἐν νομίσματι Ἀ ρ τ α υ ά σ δ η ς. Εὑρίσκεται καὶ φρὺξ Ἀρτάβαζος (Στράβ. ιβ, 578). Ἐν δὲ τῷ καταλόγῳ τῶν Πάρθων βασιλέων (παρὰ Δεμαγίστρῳ, σελ. 575—578) γράφεται τὸ ὄνομα Ardavan (βλ. καὶ Voss. ad Justin. p. 327)· καὶ ἐν τῷ τῶν βασιλέων τῆς Ἀρμενίας, Arravan ἢ Ardwan (Schroed. I. 4. πρβλ. καὶ Bochart. Geogr. Sacr. IV. 10, καὶ Scalig. Emendat. Tempor. p. 585). Ἐκ τούτου τοῦ Arravan ὁ Δεμάγιστρος (αὐτόθ.) ἐνόμισεν, ὅτι καὶ Ἰώσηπος ἔγραψεν Ἀ ρ ι φ ά ν η ν, αὐτὸν δηλαδὴ τὸν ἱστορικὸν Ἀρτάπανον ἐννοῶν (τὸ γὰρ σύνηθες ὄνομα, τὸ Ἀρτάπανος, οὐχ' εὑρίσκεται μετὰ τῶν ἄλλων συγγραφέων, ὅσους ὁ Ἰώσηπος ἠρίθμησεν, ὡς μεμνημονευκότας τῶν Ἰουδαίων). Τὸ δὲ Ἀριφάνης (λέγει) ὕστερον μετεπλάσθη εἰς τὸ Ἀ ρ ι σ τ ο φ ά ν η ς. (Οὕτως ἀναγινώσκεται τὰ νῦν ἐν τῷ κατὰ Ἀπίων. α, § κγ· ἐκδ. Hav. Ἀριστοφάνην τοῦτον ἐξ Ἰωσήπου ἔγραψε καὶ Εὐσέβιος Εὐ. Πρ. Θ, 268. ὅπου, τινὲς ἔκριναν τρεπτέον εἰς τὸ Ἀριφάνης. βλ. Fabr. Bibl. Gr. vol. 7, p. 348). Ἀλλ' ἡ τοῦ ὀνόματος τροπὴ πάντῃ περιττὴ δοκεῖ μοι καὶ ἀπίθανος. Ἀ ρ ι σ τ ο φ ά ν ε ι ς μνημονεύονται καὶ ἄλλοι συγγραφεῖς, καὶ ὁ Βυζάντιος, Καλλιμάχου καὶ Ζηνοδότου μαθητὴς, ὅστις ἐν Ἀλεξανδρείᾳ παροικῶν, ἠδύνατο μνημονεῦσαι καὶ τὰ τῶν Ἰουδαίων ἔν τινι τῶν ἀπολομένων αὐτοῦ συγγραφῶν· καὶ τοῦτον, ἢ ἕνα τοιοῦτον Ἀριστοφάνην ὁ Ἰώσηπος ὠνόμασε. Τὸν δὲ Ἀρτάπανον ἀπαραλλάκτως ἔγραψε καὶ Κλήμης ἅπαξ, καὶ τρὶς ὁ Εὐσέβιος, ἐκ τοῦ Πολυΐστορος. Ἔπειτα αὐτὸς ὁ Ἰώσηπος ἔγραψεν ἀκριβῶς τὰ Ἀρταβάζης καὶ Ἀρτάβανος, ἐπ' ἄλλων προσώπων (τ. α. σελ. 874. καὶ τ. β. σελ. 99). Τί μὴ παρομοίως ἔγραφε καὶ τὸ αὐτὸ σχεδὸν Ἀρτάπανος ἐπὶ τοῦ συγ-

ἑλληνιστὶ, σύνταγμα περὶ *Ἰουδαίων*, οὗτινος ἀποσπάσματα μετωχέτευσαν καὶ εἰς ἡμᾶς ὅ,τε Κλήμης ὁ Ἀλεξανδρεὺς (Στρωματ. α, σελ. 252), καὶ μάλιστα ὁ Εὐσέβιος, ἐκ τοῦ Πολυΐστορος μνημονεύων Ἀρταπάνου τὰ *Ἰουδαϊκὰ*, ἢ τὸ *περὶ τῶν Ἰουδαίων* (Εὐαγ. Προπ. Θ, 245, 251, 252). Καὶ πότε μὲν ἤκμασεν ὁ Ἀρτάπανος οὗτος, φαίνεται ἀδιόριστον· εἰκάζεται δὲ ὅμως γενόμενος ἕνα περίπου καὶ ἥμισυν αἰῶνα π. Χ. (α). Οὗτος τοίνυν τὰ

---

γραφέως, μετέβαλε δὲ τοῦτο εἰς τὸ Ἀριφάνης; Ἢ μήπως προείλετο, ὡς ἀκριβεστέραν, τὴν λεγομένην ἀρμενικὴν τοῦ ὀνόματος γραφὴν, τὴν Arravan (εἴ γε καὶ αὕτη ἀκριβὴς), παρὰ τὴν ἔκπαλαι παρ' Ἕλλησιν εἰθισμένην, Ἀρτάβανος καὶ Ἀρτάβαζος, ὡς ἔγραφον οὗτοι (καὶ αὐτὸς, ὡς εἴπομεν, ὁ Ἰώσηπος) τὸ παρὰ Μήδοις καὶ Πέρσαις καὶ παρ' αὐτοῖς Ἀρμενίοις ὁμοιόφωνον Ardawan; Εἰ δὲ καὶ τὸν ἱστορικὸν Ἀρτάπανον οὐκ ἐμνημόνευσε ῥητῶς ὁ Ἰώσηπος (συμπεριλαβὼν ἴσως καὶ τοῦτον μετὰ τῶν ἄλλων, ὧν λέγει, «τῶν πολλῶν, ὧν αὐτὸς οὐ πᾶσιν ἐντετύχηκε τοῖς βιβλίοις» κ. Ἀπίων. α. §. 23)· ἀλλ' ὅμως ἀποχρῶσιν οἱ περὶ τὸν Πολυΐστορα, διασώσαντες εἰς ἡμᾶς καὶ τ' ὄνομα καὶ πολλὰ τῆς συγγραφῆς τοῦ Ἀρταπάνου.

(α) Ὁ Ὄδιος (pag. 106), καὶ αὐτὸς Ὑέτιος (Hut. Dem. Evang. pag. 56) ἐξιχνίασαν τοὺς Ἀρταπάνου χρόνους ἐκ τῆς ἐφεξῆς ἀναλογίας. «Αὐτὸς μὲν ὁ Ἀρτάπανος (λέγουσι) μνημονεύει τὸν κατὰ τὴν Ἡλιούπολιν τῆς Αἰγύπτου ναὸν, ὃν ἔκτισεν Ὀνίας τῷ λγ ἔτει τῆς Πτολεμαίου τοῦ Φιλομήτορος βασιλείας (τῷ 143 π. Χ.). Αὐτὸν δὲ πάλιν τὸν Ἀρτάπανον ἐμνημόνευσεν ὁ Πολυΐστωρ, ὅστις ἤκμαζεν ἐπὶ Πτολεμαίου τοῦ Λαθύρου, ἢ κατὰ τοὺς Σύλλα χρόνους (τῷ 112—96 π. Χ.). Ἐν τούτῳ γοῦν τῷ μεταξὺ συνέγραφεν Ἀρτάπανος (τῷ 140—120 π. Χ.)». Πιθανὸν μὲν ὅτι ἤκμασε κατὰ τοὺς χρόνους τούτους ὁ Ἀρτάπανος, πλὴν ἡ βάσις, ἐφ' ᾧ στηρίζουσι τὴν πιθανολογίαν ταύτην, ὑπάρχει πάντῃ ψευδής. Οὐδαμοῦ τῶν σωζομένων αὐτοῦ περικοπῶν ὁ Ἀρτάπανος ἐμνημόνευσε τὸν κατὰ τὴν Ἡλιούπολιν ναὸν τοῦ Ὀνίου. Τί δὲ λέγει; ἄκουε. «Καὶ κατοικισθῆναι (τὸν πατέρα καὶ τοὺς ἀδελφοὺς Ἰωσὴφ) ἐν τῇ πόλει Καισὰν (ἴσ. γρ. Γεσὰν, ἀντὶ Γεσὲμ, Γενεσ. μς. 34), «καὶ τοὺς Σύρους πλεονάσαι ἐν τῇ Αἰγύπτῳ· τούτους δὲ φησὶ καὶ τὸ ἐν Ἀθὼς (ἴσ. γρ. Πειθώ. Ἐξόδ. α, 11) «καὶ τὸ ἐν Ἡλιουπόλει ἱερὸν κατασκευάσαι τοὺς Ἑρμιοὺθ (τουτ. Ἑβραίους) ὀνομαζομένους». Καὶ πάλιν ὁ αὐτὸς παρακατιών· «Τοῦτον δὲ τὸν Παλμενώθην (Φαρεώθην) τοῖς Ἰουδαίοις φαύλως προφέρεσθαι· καὶ πρῶτον μὲν τὴν Κεσσὰν οἰκοδομῆσαι, τό, τε ἐπ' αὐτῇ ἱερὸν καθιδρύσασθαι· εἶτα τὸν ἐν Ἡλιουπόλει ναὸν κατασκευάσαι» κτλ. (Ἀρταπαν. παρ' Εὐσεβ. Προπαρ. Θ. σελ. 251, 252. πρβλ. καὶ 245. Lutet.) Ταῦτα δὲ λέγων ὁ Ἀρτάπανος, φανερὸν, ὅτι μεταγράφει τὰ «Καὶ ᾠκοδόμησαν οἱ υἱοὶ Ἰσραὴλ πόλεις ὀχυρὰς τῷ Φαραῷ τήν τε Πειθὼ, καὶ Ῥαμεσσῆ (ἐν γῇ Γεσὲμ), καὶ τὴν Ὢν, ἥ ἐστιν Ἡλιούπολις (Ἐξόδ. α, 11). Προσέθηκε δὲ καὶ τὸ ἱερὸν (εἰδωλεῖον πάντως

πλεῖστα τῆς ἱστορίας ἀντέγραψε προφανῶς ἐκ τῆς ἑρμηνείας τῶν Ο, τά τε κατὰ τὸν Ἀβραὰμ, καὶ τὸν Ἰωσὴφ, καὶ τὸν Μωϋσῆν (ὃν καὶ *Μώϋσον* σχηματίζει· ὀνομάζει δὲ καὶ τὸν ἀδελφὸν Ἀάρωνα, καὶ Ῥαγουῆλον τὸν πενθερὸν, κατὰ τοὺς Ο, τὰς ὀνομασίας ὁμοιογραφῶν). Διηγεῖται δὲ καὶ τὴν ὑπὸ τῆς θυγατρὸς τοῦ Φαραὼ (Νεχεφρῆν, ἢ Χενεφρῆν τοῦτον ὀνομάζει, καθὰ καὶ Κλήμης [Στρωματ. α.], τὴν δὲ θυγατέρα Μέῤῥιν), ἀνατροφὴν τοῦ Μωϋσέως (ὃν οἱ Ἕλληνες, λέγει, *Μουσαῖον* εἶπον, καὶ διδάσκαλον Ὀρφέως). Καὶ πόλεμον δὲ τοῦ Μωσέως κατὰ τῶν Αἰθιόπων ἱστορεῖ (ἐξ ἄλλων ἑβραϊκῶν παραδόσεων παραλαβὼν, ὡς καὶ Ἰώσηπος ὁμοίως ἱστόρησεν. Ἀρχ. β. 10). Καὶ ἄλλα δέ τινα τῶν ἔξω τῆς Γραφῆς ἀναμίγνυσι. Προστίθησι δὲ ὅμως (εἰ καὶ ἀτελῶς) τὸ ὅραμα τοῦ κατὰ τὴν βάτον πυρὸς, καὶ ὅτι θείας ἤκουσε φωνῆς ὁ Μωϋσῆς, κελευούσης αὐτὸν ἐλευθερῶσαι τοὺς Ἰουδαίους, καὶ τἄλλα τὰ τῆς Ἐξόδου παρασυνάπτει, τάς τε πληγὰς τῆς Αἰγύπτου, καὶ τὴν τερατουργὸν τοῦ Μωσέως ῥάβδον, καὶ τὴν τῆς Ἐρυθρᾶς διάβασιν, καὶ τὴν ἐν ἐρήμῳ διατριβὴν, καὶ τὸ μάννα (ὅπερ ἐξελληνίζει «*κρίμνον*, ἐλύμῳ ὅμοιον, χιόνι παραπλήσιον τὴν χρόαν»). Ζωγραφεῖ δὲ καὶ τὸν Μωϋσῆν (καὶ τοῦτο κατὰ παραδόσεις ἑβραϊκὰς) «μακρὸν, πυῤῥάκη, πολιὸν, κομήτην, ἀξιωματικόν» (Εὐσέβ. Προπαρ. αὐτόθι σελ. 255). Καὶ ταῦτα μὲν Ἀρτάπανος.

§. κγ. ΚΑ) Αὐτὸς δὲ ὁ Πολυΐστωρ Ἀλέξανδρος, ὁ Κορνήλιος, «ὁ πολύνους καὶ πολυμαθὴς ἀνὴρ, τοῖς τε μὴ πάρεργον τὸν ἀπὸ παιδείας καρπὸν πεποιημένοις Ἕλλησι γνωριμώτατος»(α), Ἕλλην

---

ἐννοῶν), ἐξ ἄλλων συγγραφέων (οὐδὲν γὰρ εἶπε περὶ ναῶν ἡ θεία Γραφὴ) παρεισαγαγὼν ὁ Ἀρτάπανος, ὡς εἶπε καὶ τὸ ἐν Ἀθὼς (ἢ Πειθὼ), καὶ τὸ ἐν Κεσὰν (ἢ Γεσὲμ), καὶ πρὸς τούτοις, ὅτι «καὶ τὸν ἐν Διὸς πόλει ναὸν λίθινον κατεσκεύασαν (οἱ Μωσέως συγγενεῖς Ἰουδαῖοι), τοῦ βασιλέως κελεύσαντος» (αὐτόθ. σελ. 253). Πάντας δὲ τοὺς ναοὺς τούτους καὶ αὐτὸν τὸν τῆς Ἡλιουπόλεως γράφει κτισθέντας δῆθεν ὑπὸ τῶν Ἰουδαίων ἐπὶ τοῦ Φαραώ. Ὥστε οἱ περὶ τὸν Ὄδιον εἰς μάτην ἐφαντάσθησαν ἐν τοῖς Ἀρταπάνου λόγοις τὴν ἐπὶ τοῦ Φιλομήτορος ὑπ' Ὀνίου κατὰ τὴν Ἡλιούπολιν οἰκοδομὴν τοῦ ναοῦ.

(α) Εὐσέβ. Προπαρ. Εὐαγ. Θ, σελ. 244.

ὑπῆρχεν ἐθνικὸς, Μιλήσιος, ἢ (κατ' ἄλλους) Κοτιαεὺς τὴν πατρίδα, σύγχρονος Ποσειδωνίου τοῦ Στωϊκοῦ, καὶ Ἀπολλοδώρου, καὶ ἄλλων περὶ τὴν 160, Ὀλυμπιάδα (τῷ 136—130, π. Χ.) γενομένων σοφῶν (α), ἢ καὶ μικρῷ νεώτερος (ὡς προείρηται σελ. 137: σημ.). Οἱ δὲ κατάγουσιν αὐτὸν μέχρι καὶ τῆς ρογ, Ὀλυμπ. (84, π. Χ.). Οὗτος « συνέγραψε μὲν βιβλία ἀριθμοῦ κρείσσω » (Σουΐδ. λ. Ἀλέδρος), συνέταξε δὲ καὶ τὴν περὶ *Ἰουδαίων Σύνταξιν*, ταμεῖον πολυμαθείας, ἐν ᾧ πολλῶν ἀρχαίων ἐθνικῶν συγγραφέων ἐθησαύρισε περὶ τῶν Ἰουδαίων περικοπάς· καὶ μάλιστα Δημητρίου τοῦ Φαληρέως (σελ. 79), καὶ Θεοδότου (σελ. 135), καὶ ἄλλων, ἐξ ὧν οὐκ ὀλίγας διέσωσαν καὶ εἰς ἡμᾶς, ὅ,τε Κλήμης, καὶ μάλιϛα ὁ Εὐσέβιος (Προπαρ. Θ.). Ἀντέγραψε δὲ καὶ στίχους ἱκανοὺς ἐκ τοῦ *Ἐξαγωγὴ* (τουτ. Ἔξοδος ἐξ Αἰγύπτου τῶν Ἰουδαίων) ἐπιγεγραμμένου δράματος τοῦ Ἰεζεκιὴλ, ἰουδαϊκῶν τραγῳδιῶν Ἰουδαίου ποιητοῦ, καὶ εἴθ' ἑνὸς τῶν Ο, (καθὼς τινες ἐνόμισαν), εἴτε καὶ (τὸ πιθανώτερον) ὀλίγῳ μεταγενεστέρου, καὶ τῇ τούτων ἑρμηνείᾳ χρησαμένου προφανῶς εἰς τοῦ δράματος τὴν κατασκευήν (β). Ἀλλὰ καὶ αὐτὸς ἰδίως συνεξυφαίνει τὴν ἱστορίαν, ἐκ τῆς τῶν Ο, ἑρμηνείας ἀριδήλως ἀνθολογῶν, ὡς μαρτυροῦσιν ἄλλα τε πολλὰ, καὶ αὐτοὶ τῶν κυρίων

---

(α) Βλ. Heyne ad Apollodor. Fragment. T. 1. p. 385. πρβλ. J. Voss. Hist. Graec. I. 22. καὶ Jons. II. 16. Τοῦ Πολυΐστορος μνημονεύει πολλάκις καὶ Λαέρτιος (Β. 10: §. 1. Γ, 5: Η, α, 24, κτλ. πρβλ. καὶ Menag. observ. ibid.), καὶ Κύριλ. ὁ Ἀλεξ. κ. Ἰουλιαν. Α. σελ. 8. Δ, 133, καὶ Ἐτυμολ. πολλαχοῦ, καὶ Στέφ. Βυζ. λ. Κοτιάειον, καὶ Πλούταρχ. π. Μουσικ. σελ. 654. τ. 10.

(β) Βλ. *ὄπισθ. κεφ. β. σελ.* 43. *πρβλ.* Demagistr. l. c. p. 510, *καὶ* Huet. l. c p. 54. *Ἀλλ' οἱ δριμύτατοι τῶν κριτικῶν, οἱ μὲν εἰς τὴν* 170 *Ὀλυμπ.* (*τῷ* 96, π. Χ.) *κατάγουσι τοῦτον τὸν Ἰεζεκιῆλον* (Saxe Onomastic. Liter. p. 143)· *οἱ δὲ καὶ πολὺ κατωτέρω, μέχρι καὶ εἰς αὐτούς τούς μετὰ τὴν ἅλωσιν τῶν Ἱεροσολύμων ἐξωθήσαντες χρόνους, περὶ τὸν β, αἰῶνα μ.* Χ.! (Le Moyen Varia Sacr. T. i. p. 336, *καὶ* Cave Hist. Lit. Script. Eccles. p. 38). *Ἀλλ' οὕτω λοιπὸν καὶ τὸν Πολυΐστορα, παρ' ᾧ πάμπολλοι φέρονται στίχοι τῆς Ἰεζεκιήλου Ἐξαγωγῆς, καταγέτωσαν ὡσαύτως (ἂν δυνηθῶσιν) εἰς τὸν β, αἰῶνα μ.* Χ.! *Ἐκ τῆς Ἰεζεκιήλου Ἐξαγωγῆς περικοπὴ σῴζεται καὶ παρὰ Κλήμεντι (Στρωματ. α),* *καὶ παρ'* Εὐσεβίῳ (Προπ. Θ. 259).

ὀνομάτων οἱ τύποι. Ἐμνημόνευσε δὲ καὶ τῆς Ἱερεμίου προφητείας (ἐκ τῶν Ο, πάντως) ὁ Πολυΐστωρ, ὡς Εὐσέβιος μαρτυρεῖ (α). Καὶ αὐτὴν *τὴν ἱερὰν βίβλον* δὶς ἀνέφερεν ἐξ ὀνόματος, τὴν ἁγίαν λέγων τῶν Ἰουδαίων Γραφήν (β). Καὶ φαίνεται λίαν ἄπορον, πῶς ἡ ἐπαφρόδιτος Ὀδίου σοφία τοσοῦτον ἀπέβη περὶ τὸν Πολυΐστορα τραχεῖα καὶ ἀπηνὴς, ὥστε, ἀφ᾽ οὗ τοῦτον ὡμολόγησε συνερανισθέντα τὰ περὶ Ἰουδαίων ἀπὸ πολλῶν συγγραφέων, προηγουμένως τὰ ἰουδαϊκὰ πραγματευσαμένων, ἔπειτα κατεδίκασεν, ὡς παντάπασιν ἀγροῖκον ἐν τοῖς Ἰουδαϊκοῖς, καὶ *ἀμαθῆ, καὶ τῶν βιβλίων τῶν Μωσαϊκῶν ἄγευστον!* (βλ. ὄπισθ. σελ. 43).

§. κδ. ΚΒ) Παραλείπομεν Ἀπολλώνιον τὸν Μόλωνα (γ), καὶ Λυσίμαχον τὸν Ἀλεξανδρέα (περὶ ὧν προείρηται, σελ. 53, 64, 69.), τοσοῦτον μόνον ἐνταῦθα περὶ τοῦ Μόλωνος ἰδίως προσθέντες. Ὁ Εὐσέ-

(α) «Ἐπὶ τούτοις καὶ τῆς Ἱερεμίου προφητείας τοῦ Πολυΐστορος μνήμην πεποιημένου, ἡμᾶς ἀποσιωπῆσαι ταύτην πάντως ἂν εἴη παραλογώτατον· κείσθω τοίνυν καὶ αὕτη· «Εἶτα (φησὶν ὁ Πολυΐστωρ) Ἰωακεὶμ [ἐβασίλευσεν]· ἐπὶ τούτου προφητεῦσαι Ἱερεμίαν τὸν προφήτην» κτλ. Εὐσέβ. Εὐ. Προπαρ. Θ. σελ. 266.

(β) «Δημήτριος δὲ» (λέγει, τὸν Φαληρέα λέγων) «ὁμοίως τῷ τὴν ἱ ε ρ ὰ ν β ί β λ ο ν γράψαντι ἱστόρησε». Καὶ πάλιν. «Ὡς αὐτός τε ὁ Δημήτριος λέγει, καὶ συμφώνως τούτῳ ἡ Ἱερὰ βίβλος». Πολυΐστ. παρ᾽ Εὐσεβ. Εὐ. Προπ. Θ. σελ. 262. Lutet.

(γ) Παρ᾽ Ἰωσήπ. κ. Ἀπίων. β. §. 14. — Τὸν Μ ό λ ω ν ο ς (υἱὸν δηλονότι, ἢ μαθητὴν) διορθοῖ ὁ Ὑέτιος (Dem. Ev. Prop. IV. p. 56), καὶ παραπέμπει εἰς τὸ ιδ, βιβλίον τοῦ Στράβωνος. Ἀλλ᾽ ὁ Στράβων δύω ῥήτορας Ἀλαβανδεῖς μνημονεύων, τὸν μὲν Ἀπολλώνιον καλεῖ, καὶ Μαλακὸν ἐπονομάζει, τὸν δὲ ἕτερον, Μόλωνα μόνον καλεῖ (βιβλ. ιδ. σελ. 655, 655, 661). Παρὰ δὲ τῷ Πλουτάρχῳ δὶς φέρεται γεγραμμένον, Ἀ π ο λ λ ώ ν ι ο ν τ ὸ ν τ ο ῦ Μ ό λ ω ν ο ς (Καίσαρ §. γ. καὶ Κικερ. §. δ), ὅπερ διορθοῦσιν ἐπιθετικῶς (ὡς ἔχει καὶ Ἰώσηπος) τὸν Μόλωνα (βλ. Ἑλληνικ. Βιβλιοθήκ. τόμ. ζ. σελ. 409, καὶ τόμ. ς. σελ. 469). Ὁ γὰρ Ἀπολλώνιος, οὗ διήκουσαν ἐν Ῥόδῳ Καῖσαρ καὶ Κικέρων, οὐκ ἦν Μόλωνος υἱὸς, ἀλλ᾽ αὐτὸς ἐπωνομάζετο Μόλων, ὡς ὅ,τε Κικέρων αὐτὸς, καὶ Συετώνιος, καὶ Κυντιλιανὸς μαρτυροῦσι· καὶ τοῦτον τὸν Μόλωνα φαίνεται καὶ Στράβων ἐννοῶν, ἀποσιωπήσας τὸ κύριον, τὸ Ἀπολλώνιος (πρβλ. καὶ G. Vossij de Hist. Graec. L 1. c. 23. — Salmas. praef. ad Achil. Tatium. — Casaub. ad Sueton. Jul. Caes. c 4. — J. Pearson. proleg. in comment. ad Hierocl. καὶ Olear. εἰς Φιλόστρατ. σελ. 417). Μαρτυρεῖ δὲ καὶ Εὐσέβιος Μόλωνα γράφων· «Μ ή λ ω ν (γρ. Μόλων) ὁ τὴν σ υ σ κ ε υ ὴ ν κατὰ Ἰουδαίων γράψας» (Προπαρ. Θ. 246), καὶ αὐτὸς πάλιν ὁ Ἰώσηπος ἔγραψεν ἁπλῶς (χωρὶς τοῦ Ἀπολλώνιος) ὁ Μόλων (κ. Ἀπίων. β. §. 2).

βιος (Εὐ. Πρ. Θ, 246) ἔσωσε περικοπὴν τῆς *κατὰ Ἰουδαίων* τοῦ Μόλωνος συσκευῆς. Ἐν δὲ ταύτῃ τῇ περικοπῇ γέγραπται τὰ ὀνόματα *Ἀβραὰμ*, *Ἰωσήφ*, *Μωσῆς*, ἀπαραλλάκτως, ὡς καὶ παρὰ τοῖς Ο (τὸν δὲ Ἰσαὰκ *Γέλωτα* ἐξελληνίζει, ὡς καὶ Φίλων ὕστερον, ἀρεσθεὶς τῇ μετωνυμίᾳ· περὶ Ἀβραὰμ τ. β. σελ. 19, καὶ 413: Μ. ἐκ τοῦ Γενέσ. ιη, 12), καὶ τὴν *Αἰγυπτίαν* (τὴν Ἄγαρ) σύζυγον τοῦ Ἀβραὰμ ὀνομάζει, καὶ τοὺς ιϐ, υἱοὺς τοῦ Ἰακὼϐ (οὐ τούτου, τοῦ δὲ *Γέλωτος* υἱοὺς αὐτοὺς ἀποκαλῶν κατὰ λάθος· εἰμὴ καὶ τὸ *Ἰακὼϐ* ἐξέπεσε τοῦ χωρίου κατὰ τὴν ἀντιγραφήν). Τοιοῦτός τις καὶ ὁ Χαιρήμων, Αἰγύπτιος ἱερογραμματεὺς (α), αἰγυπτιακῆς ἱστορίας συγγραφεὺς, ὅστις πολλὰ περὶ τῶν Ἰουδαίων μυθολογήσας (*δι’ ἃ* καὶ παρ Ἰωσήπῳ κατεξελέγχεται, κ. Ἀπίων. α, §. 32), φαίνεται ὅμως καὶ οὗτος ἀναγνοὺς τὴν ἑρμηνείαν τῶν Ο, ἐξ ἧς ἄλλα τε παραλαβὼν μεταπλάττει, καὶ ὅτι κατὰ τὴν Ἔξοδον τῶν Ἰουδαίων « ἡγοῦντο Μωϋσῆς τε καὶ Ἰώσηπος, ὁ *ἱερογραμματεὺς* » (ὡς σοφὸς δηλαδὴ καὶ ὀνειροκρίτης, ὁ *Ἰωσήφ*). Οὕτως ἔπλασεν ἔτι ζῶντα, τὸν ὅλα 145, ἔτη πρὸ τῆς ἐπὶ τοῦ Μωσέως Ἐξόδου τετελευτηκότα Ἰωσὴφ, διότι ἀνέγνω, « *ὅτι ἔλαβε Μωϋσῆς τὰ ὀστᾶ Ἰωσὴφ μεθ’ ἑαυτοῦ* » (Ἐξόδ. ιγ. 19). Ἀλλὰ παρὰ τοὺς Χαιρήμονας καὶ ἄλλους τοιούτους, οἵτινες διὰ τὸ πρὸς Ἰουδαίους ἔχθος πολλὰ παραδιηγήματα μετὰ τῆς ἱερᾶς συνανέφυραν ἱστορίας, πολὺ μᾶλλον ἀξιομνημόνευτοι φαίνονται ὅ,τε Κάστωρ, εἴτε Ῥόδιος οὗτος, εἴτε Γαλάτης, γαμϐρὸς τοῦ Δηϊοτάρου, συγγραφεὺς ἱστοριῶν, ὅστις ἐμνημόνευσε τοῦ Μωϋσέως, ὡς ἀρχαιοτάτου νομοθέτου (ϐ), καὶ οἱ λοιποὶ, ὅσους ἀπηρίθμησεν ὁ Ἰώσηπος, οἷον Θεόφιλος, καὶ Θεόδοτος, καὶ Μνασέας, καὶ Ἑρμογένης, Εὐήμερός τε καὶ Κόνων, καὶ

(α) Εὐσέϐ. Προπαρ. 198, 92, 102, 118. πρϐλ. Vossij de Hist. Graec L. II. c. 1. p. 209.—(ϐ) Ἰουστῖν. Παραινετ. π. τοὺς Ἕλλην. πρϐλ. καὶ Εὐσεϐ. Εὐαγ. Προπαρ. I, 287, καὶ Κύριλ. Ἀλεξ. κ. Ἰουλιαν. α, σελ. 15. Τοῦ Κάστορος μνημονεύει καὶ Ἰώσηπος (κ. Ἀπίων. α. §. 22. καὶ β. §. 7, ἐν τῇ Λατινιστὶ μόνον σῳζομένῃ τοῦ χωρίου μεταφράσει)· ϐλ. καὶ Voss. de Hist. Graec. p. 202. Ἕτερος δὲ Κάστωρ ὁ Ἰουδαῖος (Ἰώσηπ. Ἰουδ. πολεμ. ε. ζ. §. 4), ὃν πρὸς τὸν ἱστορικὸν συνέχεεν ὁ Σπαγχέμιος (not. in Joseph. l. c.).

Ζωπυρίων, οἵτινες *οὐ παρέργως τῶν Ἰουδαίων μεμνημονεύκασιν»* (α). Οἱ δὲ τοιοῦτοι, κἂν δῶμεν ὅτι ἦσαν ἐξ ἐκείνων, « *οἵτινες οὐ περιέτυχον ταῖς ἱεραῖς βίβλοις»*, ἀλλ' ὅμως, ἅτε μετὰ τὴν ἑρμηνείαν τῶν Ο, γεγονότες, πάντως ἔμαθον παρὰ τῶν ἐντυχόντων, ὅσα *μὴ περέργως* διέγραψαν (βλ. ὄπισθ. σελ. 53).

§. κε. ΚΓ) Παρίτω καὶ Πολύβιος, ὁ Μεγαλοπολίτης ἱστορικὸς (ἐτελεύτησε δὲ περὶ τὸ 120 π. Χ.), μηδ' αὐτὸς ἀμύητος δοκῶν τῆς ἀναγνώσεως τῶν Γραφῶν, καὶ αὐτῶν προσέτι τῶν μετὰ τοὺς Ο, Μακκαβαϊκῶν· διότι τὰ κατὰ τὸν Ἀντίοχον ἱστορῶν. καὶ « *ὅπως προσεχώρησαν αὐτῷ καὶ τῶν Ἰουδαίων οἱ περὶ τὸ ἱερὸν, τὸ προσαγορευόμενον Ἱεροσόλυμα κατοικοῦντες»* (προστίθησιν), « *ὑπὲρ οὗ καὶ πλείω λέγειν ἔχοντες, καὶ μάλιστα διὰ τὴν περὶ τὸ ἱερὸν ἐπιφάνειαν,* εἰς *ἕτερον καιρὸν ὑπερθήσομεν τὴν διήγησιν»* (6). Καὶ λέξεις δέ τινας ἀλεξανδρινὰς, ἢ τῆς κοινῆς διαλέκτου, ἀπαντῶμεν παρὰ τῷ Πολυβίῳ, τὸ πρῶτον ἐλθούσας εἰς χρῆσιν παρὰ τοῖς Ο, οἷον τὸ *μανιάκης* (Δαν. ε, 7, 29. καὶ Πολυϐ. β, 29, 31), καὶ τὸ *αἱρετιστὴς* (Πολυϐ. α, 79) ἐκ τοῦ αἱρετίζω,-ζομαι (Γεν. λ. 20), καὶ *αἱρέτις* (Σ. Σολ. η, 4) κτλ. (γ). Τὰ περὶ τοῦ Ἀντιόχου συνέγραψε καὶ Ἀπολλόδωρος (Πολυβίου σύγχρονος), ἱστορικὸς, παρόμοια καθὼς ἱστοροῦνται ἐν τοῖς βίβλοις τῶν Μακκαβαίων (δ).

§. κς. ΚΔ) Οὐδὲ τὸν Σικελιώτην Διόδωρον παρεῶμεν, οὕτω παχεῖαν ἄγνοιαν τῶν Μωσαϊκῶν Γραφῶν ἐν μέσῃ τῇ Ἀλεξανδρείᾳ ὑπὸ τοῦ Ὀδίου κατακριθέντα. Εἴπομεν καὶ περὶ αὐτοῦ ἐν τοῖς ἔμπροσθεν (σελ. 57).

---

(α) Ἰώσηπ. κ. Ἀπίων. α. §. κγ. πρϐλ. Εὐσεϐ. Προπ. Θ, 268, 269, ϐλ. καὶ Voss. de Hist. Graec. p, 178, 420, 450, 504, 505, ἐκδ. Westerm.

(6) Πολύϐ. Βιϐλ. ις. παρ' Ἰωσήπ. Ἀρχ. ιϐ. γ. § 3. σελ. 598. ϐλ. καὶ κατὰ Ἀπίων· β. §. 6. — (γ) Βλ. Sturtz. de Dial. Macedonic. §. 12. p. 144.

(δ) Βλ. Ἰώσηπ. κ. Ἀπίων· β. § 7. Τόμ. 2. σελ. 475. Hav. Ὅθεν καὶ ὁ σοφὸς Μαρκίνης ὁ Ἰταλὸς, « Apollodori scripris eadem de Antiocho Epiphane, quae in Maccabaeorum libris narrantur ». J. L. Marchini, De divinitate et canonicit. Sacror. libr. p. 22. Taurin. 1787.

§. κζ. ΚΕ) Καὶ οἱ εἰς *Ἑρμῆν τὸν Τρισμέγιστον* ἐπιγράψαντες τοὺς ἰδίους γόνους (βλ. ὄπισθ. §. ιβ) ἐθνικοί τινες, καὶ ἴσως Αἰγύπτιοι ἱερεῖς, οἵτινες εἴτε πρὸ Χριστοῦ, εἴτε καὶ μικρὸν ὕστερον συνέταξαν τὸν *περὶ Θεοῦ, καὶ ἀνθρώπου, καὶ κόσμου* διάλογον, ἀντέγραψαν ἐναργῶς ἐκ τῆς Σολομῶντος Σοφίας τὰ ἐν κεφ. ζ, 22, καὶ κεφ. θ, 15, 16. (α).

§. κη. ΚϚ) Ἐνταῦθα προστιθέμεθα καὶ τὰ καθ᾽ ἡμᾶς περιφερόμενα τοῦ *Ζωροάστρου Λόγια*, ἢ « *Μαγικὰ Λόγια τῶν ἀπὸ τοῦ Ζωροάστρου Μάγων* », λείψανα τῆς ἀρχαίας ἀνατολικῆς φιλοσοφίας (Χαλδαίων, Περσῶν, Αἰγυπτίων), ἐκ τοῦ χαλδαϊκοῦ, ἢ καὶ τοῦ Περσικοῦ ἐξελληνισθέντα κατὰ τὸν α, ἴσ. αἰῶνα (εἰ μὴ καὶ π. Χ.) ὑπ᾽ ἀνθρώπου ἐθνικοῦ, οὐκ ἀπείρου τῆς ἑλληνικῆς ἑρμηνείας τῶν Γραφῶν, ἀφ᾽ ἧς ἠρύσατο λέξεις ἱκανὰς, οἷον τὸ *στερέωμα* (Γενεσ. α) « Ἑπτὰ στερεώματα » (§. η)· καὶ « *Ὁ ποιητὴς κόσμου αὐτουργῶν* » (§. ζ), ὡς τὸ « *Ἐν ἀρχῇ ἐποίησε* » κτλ. καὶ, « *αὐτὸς ἐποίησεν ἡμᾶς* » (Ψαλμ.), καὶ *τὸν παράδεισον* (ὡς κατοικίαν τῶν μακαρίων), « Ζήτησον *παράδεισον* » (§. ι), καὶ, « Εὐσεβίης ἱερὸν παράδεισον ἀνοίγειν » κτλ. ὅτι δὲ τὸ παράδεισος ἔστι τὸ αὐτὸ καὶ τὸ Περσικὸν Phirdews, ἔκπαλαι ἐξελληνισθὲν, σεσημείωται καὶ ἄλλοις (β).

§. κθ. ΚΖ) Νικόλαον δὲ τὸν Δαμασκηνὸν, τὸν ἐκ Περιπάτου φιλόσοφον καὶ ἱστορικὸν, ποῦ θήσομεν; Οὗτος φίλος μὲν Αὐγού-

---

(α) Βλ. Moschem. Dissert. de studio Ethnicor. Christian. immitandi §. vi. in Dissert. ad Hist. Eccles. vol. i. p. 342. Alton. 1767. Περὶ τοῦ Ἑρμοῦ τούτου βλ. Fabric. Bib. Graec. T. 1. p. 46. Harl.

(β) Ζωροάστραι λέγονται πολλοὶ (περὶ τοὺς ἕξ), καὶ ἀόριστοι, καὶ κυρίως ἄγνωστοι· μᾶλλον ὡρισμένος νομίζεται ὁ Περσομῆδος Ζωροάστρης (τὸ δ᾽ αὐτὸ ὄνομα, καὶ Ζάρατος γράφεται, καὶ Ζάραδος, καὶ Ζαράδης· καὶ Περσ. Zardust, ἢ Zertuscht κτλ.). Ἤκμαζε δὲ ὁ Περσομῆδος Ζωροάστρης ἐπὶ Δαρείου τοῦ Ὑστάσπου (τῷ 530 : π. Χ.) Τούτου μνημονεύονται συγγράμματα Μαγικὰ, ἀστρολογικὰ, καὶ ἄλλα, καὶ περὶ Φύσεως βιβλ. Δ, ἐξ ὧν ἀποσπάσματα νομίζονται καὶ τὰ ἀνωτέρω Λόγια· ποικίλαι δὲ τούτων αἱ ἐκδόσεις, ἐν αἷς καὶ ἡ τοῦ Stanlei (ἐν Histor. Philosoph. p. 1176, sqq), ἐξ ἧς ἀναφέρομεν τὰ ἀνωτέρω χωρία. βλ. καὶ Fabr. Bibl. Graec. T. 1. p. 304 : sqq. Harl. καὶ Salmas. de Hellenist. p. 368.

στου, φίλος δὲ γενόμενος καὶ Ἡρώδου τοῦ βασιλέως τῆς Ἰουδαίας, ἐγίνωσκε πάντως καὶ τὴν ἀληθῆ τῶν Ἰουδαίων ἱστορίαν, καὶ πρὸς τούτους εἶχεν εὐνοϊκῶς. Ὅθεν καὶ δικαζομένοις αὐτοῖς ὑπὲρ τῆς πατρῴας θεοσεβείας, ἐπὶ Μάρκου τοῦ Ἀγρίππα, συνηγόρησε προθύμως ὁ Δαμασκηνὸς, καὶ ἐνίκησαν οἱ Ἰουδαῖοι (α). Ἐπεμνήσθη δὲ ῥητῶς καὶ τῶν Μωσέως βιβλίων ἐν τῇ καθολικῇ αὐτοῦ ἱστορίᾳ, τόν τε κατακλυσμὸν ἱστορῶν, καὶ τὴν λάρνακα (καθὼς ὀνομάζει τὴν κιβωτὸν), καθίσασαν εἰς τὸ μέγα τῆς Ἀρμενίας ὄρος, ὃ καλεῖ *Βάριν* (β). Καὶ τὸν Ἀβραάμην δὲ μνημονεύει, καὶ τὸν Δαυΐδην, καὶ ὅτι πόλεμον πρὸς τοῦτον ἐξήνεγκεν Ἄδαδος, ὁ βασιλεὺς Δαμασκοῦ καὶ Συρίας (βλ. Β. Βασιλ. η, 5: Παραλειπ. Α. ιη, 5· ὅπου ὁ βασιλεὺς ἀνωνύμως γράφεται *Σύρος ἐκ Δαμασκοῦ*. Ἀλλὰ καὶ τὸ *Ἄδαδος* κοινὸν ὑπῆρχεν ὄνομα πάντων τῶν τῆς Συρίας βασιλέων, κατὰ τὸ, *Φαραὼ* τῶν Αἰγυπτίων, κτλ.), καὶ πανταχόθεν ἐκ τῶν ὀλίγων περισωθέντων τῆς καθολικῆς ἱστορίας λειψάνων γίνεται δῆλος ὁ Δαμασκηνὸς ἱστορικὸς, οὐ παρέργως ἀναγνοὺς καὶ μελετήσας τὴν ἑρμηνείαν τῶν Ο.

§. λ. ΚΗ) Κατὰ τοὺς Αὐγούστου χρόνους φαίνεται γενόμενος καὶ Πτολεμαῖος ὁ Μενδήσιος, ὁ τὰς τῶν Αἰγυπτίων βασιλέων πράξεις συγγραψάμενος, ὅστις οὐδ᾽ αὐτὸς παρέλιπεν ἀμνημόνευτον τὴν ἐξ Αἰγύπτου πορείαν τῶν Ἰουδαίων, Μωϋσέως ἡγουμένου, ἐπὶ Ἀμάσιος Αἰγύπτου βασιλεύοντος, καθ᾽ ὃν χρόνον ἐβασίλευε καὶ Ἴναχος εἰς τὸ Ἄργος (γ).

§. λα. ΚΘ) Ἐνταῦθα καὶ Στράβωνα τὸν φιλόσοφον Γεωγράφον ἀριθμοῦμεν (καὶ ἄκοντος Ὁδίου), οὕτω καλὰ καὶ πρέποντα γράψαντα περὶ Μωϋσέως, περὶ οὗ προείπομεν (σελ. 62).

---

(α) Παρ᾽ Ἰωσήπ. Ἀρχ. ιβ. γ. ἐκ τῆς ρκγ. καὶ ρκδ συγγραφῆς τῆς καθολικῆς ἱστορίας τοῦ Νικολάου.

(β) Νικολ. Δαμασ. συγγρ. ις, παρ᾽ Ἰωσήπ. Ἀρχ. Α. 3. 6. πρβλ. καὶ Αρχ. α. 7· καὶ ζ, καὶ Κλήμ. Εὐαγ. Προπαρ. Θ. σελ. 243. βλ. καὶ ἐφεξῆς §. με.

(γ) Ἀπίων παρὰ Κλήμεντ. Στρωμ. α. πρβλ. Εὐσεβ. Προπαρ. Ι. 288, 290: Ἰουστιν. Παραινετ. π. τ. Ἕλλην: Τατιαν. πρὸς τ. Ἕλλην: Κύριλλ Ἀλεξ. κ. Ἰουλιαν. α. κτλ.

§. λϐ. Λ) Παρέστω καὶ Ἀπίων, ὁ *Πλειστονικης* ἐπικληθεὶς, καὶ *Μόχθος* (διὰ τὸ φιλόπονον), παρὰ δὲ τοῦ αὐτοκράτορος Τιϐερίου καὶ *Κύμβαλον κόσμου* ἀστειότερον προσαγορευθεὶς (διὰ τὸ περίφημον. βλ. Τόμ. Α. σελ. 35), καὶ, τέλος, ὑπὸ Ἰωσήπου διὰ τὰς κατὰ τῶν Ἰουδαίων συκοφαντίας καταθριαμβευθείς. Ἀλεξανδρεὺς οὗτος ἦν, ἢ μᾶλλον Αἰγύπτιος (Ὀασίτης) γραμματικὸς, καὶ συγγραφεὺς Αἰγυπτιακῶν ἱστοριῶν (τῷ 50 μ. Χ.). Οὕτω δ' ἐμίσει τοὺς Ἰουδαίους, ὥστε καὶ εἰς Ῥώμην ἐλθὼν κατηγόρησεν αὐτῶν πρὸς τὸν Καίσαρα, καὶ βιβλίον ὅλον συνέταξε *κατ' αὐτῶν*. Ὥστε καὶ ὡς *Μόχθος*, καὶ ὡς σφόδρα μισιουδαῖος, εἰκότως καὶ αὐτὸς *ὑπέμεινεν* (ὡς καὶ ὁ Κέλσος. βλ. ὄπισθεν σελ. 50), ἀναγνῶναι τὴν ἑρμηνείαν τῶν Γραφῶν, ὅπως ἂν εὐκόλως ἀντιλέγειν ἔχῃ, διαστρεϐλῶν καὶ διασύρων, ὅσον ἠδύνατο, τὴν ἰουδαϊκὴν ἱστορίαν. Δεῖγμα δὲ τούτου προφανὲς καὶ ἡ φράσις ἐκείνη μάλιστα· « ὡς ὀμνυόντων (τῶν Ἰουδαίων) « *τὸν Θεὸν τὸν ποιήσαντα, τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν* », ἣν ἀντέγραψεν ἐκ τοῦ ρμε, ψαλμοῦ (α).

§. λγ. ΛΑ) Ἑλένη, βασιλὶς Ἀδιαϐηνῶν (ἐν Ἀσσυρίᾳ) ἐπὶ Κλαυδίου Καίσαρος (48, μ. Χ.), καὶ ὁ παῖς αὐτῆς Ἰζάτης, εἰς τὰ Ἰουδαίων ἤθη τὸν βίον μετέϐαλον, γενόμενοι προσήλυτοι. Ὁ δὲ Ἰζάτης παρὰ τῷ βασιλεῖ τῶν Πάρθων κατὰ τὸν Σπασίνου χάρακα διατρίϐων, *ἀνεγίνωσκε τὸν Μωσέως νόμον* (Ἰώσηπ. Ἀρχ. Κ, β, 1—6). Ἑϐραϊκῶν δὲ γραμμάτων ἄπειρος ἦν. Εἴ γε πέντε τῶν υἱῶν αὐτοῦ ἀπέστειλεν ὕστερον (εἰς Ἱεροσόλυμα), τὴν ἑϐραϊκὴν γλῶσσαν καὶ παιδείαν μαθησομένους (αὐτ. Κ. γ, 3). Ἄλλη δέ τις ἑρμηνεία τῶν ἑϐραΐδων Γραφῶν οὐχ ὑπῆρχε τότε, πλὴν τῆς ἑλληνικῆς. Ταύτην λοιπὸν ἀνεγίνωσκε καὶ Ἰζάτης, καὶ ἡ τ' ὄνομα ἑλληνίζουσα μήτηρ αὐτοῦ Ἑλένη, ἧς καὶ Παυσανίας εἶδε καὶ ἱστόρησε τὸν ἐν Ἱεροσολύμοις περίϐλεπτον τάφον (Ἀρκαδ. ις), καὶ Εὐσέϐιος ἐμνημόνευσεν (Ἐκ. ἱς. β, ιϐ. πρϐλ. Ἰωσήπ. Ἀρχ. Κ, δ, 3). Ὅτι δὲ ἡ ἑλληνὶς

(α) Βλ. Ἰώσηπ. κ. Ἀπίων. β. §. ι: Αρχ. ιη, η, §. 1. πρϐλ. Εὐσεϐ. Εὐαγ. Προπαρ. Ι. σελ. 292: Ἐκκλ. ἱστορ. ϐ. 5. Πολλοὶ δὲ καὶ ἄλλοι τῶν ἀρχαίων τοῦ Ἀπίωνος τούτου μνημονεύουσι. βλ. G. Vossij de Hist. Graec. L. II. c. 7. pag. 234.

γλῶσσα καὶ πρὸ τῆς Ῥωμαίων ἐπικρατείας εἶχεν ἤδη διαβᾶσα καὶ τὸν Τίγριν, καὶ τὸν Εὐφράτην, μαρτυροῦσιν ἄλλα τε πολλά, καὶ Ἡρώδης, Πάρθων βασιλεύς, φωνῆς καὶ γραμμάτων ἑλληνικῶν ἔμπειρος, καὶ Ἀρταουάσδης Ἀρμενίων βασιλεύς, λόγους συγγράφων καὶ τραγῳδίας ποιῶν (Πλούτ. Κράσ. §. λγ)· δηλοῦσι δὲ καὶ αὐτὰ τὰ γεωγραφικὰ ὀνόματα, Σπασίνου Χάραξ κτλ. (βλ. Στέφ. Βυζ. λ. Ἀδιαβηνοί, καὶ Στράβ. 745) (α).

§. λδ. ΛΒ) Τὸν δὲ Σωκράτους δεύτερον τὴν ἀρετήν, καὶ φιλόσοφον ἱστορικὸν Πλούταρχον (βλ. ὄπισθ. σελ. 64) ὁ ἱερὸς Θεοδώρητος, πολλοὺς αἰῶνας ἤδη τὴν Ὀδίου πολυμάθειαν προλαβών, ἀπέδειξε λαμπρῶς πολλὰ δεδανεισμένον ἐκ τῶν θείων Γραφῶν, καὶ κοσμήσαντα τὰς κοινωφελεῖς αὐτοῦ συγγραφὰς (ὡς καὶ Πλωτῖνος καὶ Νουμήνιος ἐποίησαν) (β). Καί τοι ἄλλως οὐδ᾽ αὐτὸς ὁ χρηστότατος Χαιρωνεὺς διέφυγε τὰς πλεκτάνας τῶν ποικίλων τῆς εἰδωλικῆς θρησκείας μυθευμάτων, ἅτινα πάλιν αὐτὸς κάλλιστα παρέβαλλε « *πρὸς τὰ ἀραιὰ καὶ διάκενα πλάσματα τῆς ἀράχνης* » (ἐν τῷ περὶ Ἴσιδ. καὶ Ὀσίριδ. σελ. 415).

§. λε. ΛΓ. Περὶ τοὺς Πλουτάρχου χρόνους (ἢ τῷ 75 μ. Χ.) ἤκμαζε καὶ Φίλων ὁ Βύβλιος, ὁ τὴν Φοινικικὴν τοῦ παλαιοῦ Σαγχωνιάθωνος ἐξελληνίσας ἱστορίαν, πολλὰ περιέχουσαν ἀπὸ τῶν Μωσαϊκῶν ἀπηνθισμένα Γραφῶν (γ). Εἰ δ᾽ οὗτος ὁ Φίλων ὁ αὐτός ἐστι καὶ ὁ Ἑρέννιος, ὁ *περὶ Ἰουδαίων* συγγράψας ὡς προείπομεν (σελ. 132), εἶδε λοιπὸν ἐξάπαντος καὶ ἀνέγνω καὶ τὴν ἣν ἐμπαθέστατα κατέψεξεν ἱστορίαν αὐτῶν.

§. λς. ΛΔ.) Περὶ τὸ τέλος τοῦ α, αἰῶνος μ. Χ. τιθέασιν οἱ πλεῖστοι τῶν κριτικῶν τὴν ἣν θέλουσιν ἀνάμιξιν ἀρχαίων τινων Σιβυλλείων χρησμῶν πρὸς πολλὰ τῆς ἱερᾶς ἱστορίας, ὕστερον ἐν τοῖς χρησμοῖς παρεμβεβυσμένα, καθὼς περιφέρονται τὴν σήμερον

---

(α) «Quid sibi volunt in medijs Barbarorum regionibus G r a e c a e u r b e s? Quid inter Indos Persasque M a c e d o n i c u s s e r m o? (Senec. consol. ad Helv. c. 6).

(β) Θεοδώρητ. Ἑλληνικ. θεραπευτ. παθημ. λόγ. β: πρβλ. καὶ Huet. Dem. Ev. pag. 59. — (γ) Εὐσέβ. Προπαρ. α. σελ. 20—21, Lutet.: Huet. l. c. p. 45, 59.

τὰ ἔπη τὰ Σιβύλλεια. Οἱ δὲ καὶ πρὸ τῆς σωτηρίου ἐποχῆς ἐθέλουσιν ὑπό τινων Ἰουδαίων, ἢ προσηλύτων, ἐκ τῶν θείων Γραφῶν παραπεπλασμένα οὐκ ὀλίγα τῶν Σιβυλλείων ἐπῶν (ὡς καὶ ἄλλα πάλιν ὕστερον ὑπό τινων χριστιανῶν). Ἀλλὰ πολὺς ὁ περὶ τῶν Σιβυλλείων λόγος, καὶ δυσδιάκριτος (α). Τὸ δ' οὖν πρῶτον τούτων βιβλίον περιέχει τὴν κτίσιν τοῦ κόσμου, καὶ τὰ πλεῖστα τῆς Γενέσεως ἀναγεγραμμένα ὁμολογουμένως ἐκ τῆς ἑρμηνείας τῶν Ο.

§. λζ. ΛΕ) Κείσθω καὶ Πτολεμαῖος Ἡφαιστίωνος, Ἀλεξανδρεὺς γραμματικὸς, ὁ τοὐπίκλην Χέννος (ἐπὶ Τραϊανοῦ καὶ Ἀδριανοῦ), ὅστις ἐν τοῖς περὶ « *παραδόξου ἱστορίας* » (Σουΐδ.), ἴσως τοῖς αὐτοῖς καὶ « *τοῖς εἰς πολυμάθειαν καινῆς ἱστορίας λόγοις* » (Φώτ. ἀναγ. ρϥ) ἄλλα τε πολλὰ *τερατώδη καὶ κακόπλαστα* συνέγραψε, καὶ τοὺς περὶ Μωϋσέως λήρους (βλ. ὄπισθ. σελ. 39), διαστρέφων τὴν ἱερὰν ἱστορίαν· ὅθεν ὁ σοφὸς Ὅδιος ἐξήνεγκε τὰ τοῦ Χέννου πρὸς ἀπόδειξιν, ὅτι μηδ' ἐκεῖνος ἀνέγνω τὴν ἑλληνικὴν ἑρμηνείαν τῶν Γραφῶν· ὡς ἂν εἴπερ ἦν ἀδύνατον, ἵνα καὶ τὰ τοῦ Μωσέως ἀναγνῷ, καὶ πάλιν τὰς Μανέθωνος καὶ Λυσιμάχου καὶ Ἀπίωνος ψευδολογίας προτιμήσῃ, ῥοφῶν καὶ αὐτὸς τὸν τρυγίαν τῆς λέσχης τῶν ἰδίων αὐτοῦ συμπολιτῶν. Ἀλλὰ περὶ τῶν φιλάλφων τούτων καὶ ψωρολόγων, εἴπομεν ἐν τοῖς προηγηθεῖσι (σελ. 54). Εἰ δὲ καὶ ὁ κλεινὸς Ὅδιος ἀμελέτητον τῶν Ο, πάντως τὸν Χέννον ἐθέλει, ἐχέτω συνήγορον τὸν Χέννον.

§. λη. ΛϚ) Ἐνταῦθα τάττομεν καὶ τὸν Στωϊκὸν Ἐπίκτητον, Ἐπαφροδίτου δοῦλον, πολλὰ καρπολογήσαντα ἐκ τῆς μελέτης οὐ μόνον τῆς Καινῆς, ἀλλὰ καὶ τῆς Παλαιᾶς Διαθήκης, ὡς μαρτυ-

---

(α) Βλ. Fabric. Bibl. Graec. vol. i. p. 227—236, καὶ 238 sqq. Harl : J. Vossij. de Sibylin. oracul. c. 4: Demagist. l. c. p. 610. πρβλ. καὶ Bevereg. Cod. Can. Eccles. prim. illustr. c. 14. ὅπου ἀριθμοῦνται καὶ οἱ τῶν Σιβυλλείων χρησμῶν μνημονεύσαντες ἀρχαῖοι τῆς Ἐκκλησίας Πατέρες, κτλ. βλ. καὶ Coteler. Patr. Apost. vol. i. p. 78, 183. — Schoell, Hist. de la littératur. Grecq. etc. vol. i. pag. 56. καὶ Ἀνθ. Γαζῆ Ἑλλην. Βιβλιοθ. τ. α. σελ. 100.

ροῦσιν αἵ τε Διαριβαὶ αὐτοῦ (ἃς συνέταξεν ὁ Ἀῤῥιανὸς, «*αὐτοῖς ὀνόμασι γραψάμενος*» προοιμ.), καὶ τὸ χρυσοῦν Ἐγχειρίδιον· οἷον· « Μέγας ὁ Θεός » (α)· καὶ τὸ, *Κύριε* (ἐπὶ Θεοῦ, ὡς καὶ παρὰ Διοδώρῳ Α, §. 65. σελ. 76.), « *ἐν δεινοῖς εἰμὶ Κύριε* » (β), καὶ πάλιν « *Κύριε ὁ Θεός* » (γ)· καὶ « *Παρέβην σου* (τοῦ Θεοῦ) *τὰς ἐντολὰς* » (δ), καὶ ὅσα τοιαῦτα. Καὶ τὸ δέκατον δὲ τοῦ Ἐγχειριδίου κεφάλαιον ἐκφράζει τὸ, « Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο » (Ἰὼϐ α, 21)· καὶ ἄλλα παρ' αὐτῷ ἀπαντῶνται, τὰ μὲν κατὰ λέξιν, ἢ φράσιν, τὰ δὲ κατὰ νόημα τοῖς γραφικοῖς ῥητοῖς ταυτιζόμενα. Μετὰ τοῦ Ἐπικτήτου ἄσμενοι συνάπτομεν καὶ τὸν αὐτοῦ δεσπότην καὶ συμπατριώτην Ἐπαφρόδιτον (ἄμφω γὰρ ἦσαν Φρύγες, ὁ μὲν ἐξ Ἱεραπόλεως, ὁ δ' ἐκ Κολοσσῶν, ὁ Ἐπαφρόδιτος). Ὑπῆρχε δὲ οὗτος Νέρωνος ἀπελεύθερος (ε), μέχρι καὶ Δομιτιανοῦ παρατείνας τὸν βίον (ὑφ' οὗ καὶ ἀπεσφάγη). Τοῦτον τὸν Ἐπαφρόδιτον ὁ Ἰώσηπος ἐν προοιμίοις τῆς Ἀρχαιολογίας ἀνακηρύττει πρωταίτιον τῆς συγγραφῆς τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας, ἣν συνέγραψεν ὑπ' αὐτοῦ προτραπείς· διαγράφει δὲ τοῦτον « ἄνδρα πᾶσαν παιδείας ἰδέαν ἠγαπηκότα, — καὶ διαφερόντως χαίροντα ἐμπειρίαις πραγμάτων ». Τούτῳ προσεφώνησεν ὁ Ἀρχαιολόγος καὶ τὰ κατὰ Ἀπίωνος δύω βιβλία (κ. Ἀπίων. α. §. 1, καὶ β, πρὸς τῷ τέλει). Ὅτι δὲ ἐν τοῖς συντάγμασιν ἀμφοτέροις καὶ τὰ περὶ τῶν Ο, ἱστορεῖ, ἐν μὲν τῇ Ἀρχαιολογίᾳ πλατύτερον (ἀντιγράφων τὸν Ἀριστέαν), ἐν δὲ τοῖς κατὰ Ἀπίωνος οὐχ ἧττον συντόμως, ἢ σαφῶς, φανερόν. Καὶ φαίνεται ἄρα πρᾶγμα πιθανώτατον, ὅτι ὁ πᾶσαν ἰδέαν παιδείας ἠγαπηκὼς Ἐπαφρόδιτος, ἴσως μὲν καὶ πρότερον, πολὺ δὲ πλέον ἀφ' οὗ ἴδε τὴν Ἰωσήπου Ἀρχαιολογίαν, ἀνέγνω τὴν οὕτω κλεϊζομένην ἑρμηνείαν τῶν Γραφῶν (ἡ δὲ Ἀρχαιολογία ἐξεδόθη τῷ ιγ

---

(α) Διατριϐ. α, 16. §. 17. πρϐλ. ψαλμ. ος, 13. — (β) Διατριϐ. α, 29. §. 48. πρϐλ. Ψαλμ. ξη. — (γ) Διατριϐ. ϐ, 16. §. 13. — (δ) Διατριϐ. γ. 5. §. 8. πρϐλ. Ἀριθ. ιδ, 41. — (ε) Tacit. Annal. XV. p. 259. Sueton. Neron. S. 49. et Domit. S. 14. — Σουΐδ. λ. Ἐπαφρόδιτος: Δίων Κάσ. ΞΖ. σελ. 1113.

ἔτει τοῦ Δομιτιανοῦ, καὶ τῷ 99 μ. Χ. ἤτοι γ. ἔτει πρὸ τῆς Ἐπαφροδίτου τελευτῆς). Εἰ δὲ καὶ ὁ Ἐπαφρόδιτος οὗτος ὁ αὐτός ἐστι καὶ ὁ ὑπὸ τοῦ θείου Παύλου ἄλλα τε, καὶ *ἀδελφὸς*, καὶ *συνεργὸς*, καὶ *συστρατιώτης* καλούμενος (Φιλιππησ. β, 25: δ, 18: καὶ κατὰ συγκοπὴν Ἐπαφρᾶς; Κολοσ. α, 7: δ, 12: Φιλήμ. 23), ὡς ἱκανῶς ἀπέδειξεν ὁ Δαύβιζος (α), φαίνεται λοιπὸν, καὶ ὁ Ἐπαφρόδιτος εἷς « *τῶν ἁγίων* (πιστῶν), τῶν ἐκ *τῆς Καίσαρος* (τοῦ Νέρωνος) *οἰκίας* » (Φιλιπ. δ, 22). Καὶ πρὶν ἢ ἴδῃ τὴν Ἀρχαιολογίαν, ἴδε καὶ ἀνέγνω τὰς Γραφὰς ὁ Ἐπαφρόδιτος, ἐν Ῥώμῃ διδασκόμενος ὑπὸ τοῦ θείου Παύλου (τῷ 67 μ. Χ.). Ὅθεν καὶ ὁ κλεινὸς Βερκέλιος συνείκασε περὶ τοῦ Ἐπικτήτου, ὅτι ἄρα παρὰ τοῦ ἰδίου δεσπότου, τοῦ Ἐπαφροδίτου, παρέλαβε πάντα ὅσα ἔγραψε πρὸς τὸ χριστιανικώτερον (β).

§. λθ. ΛΖ) Ἐπὶ Τίτου Αἰλίου, Ἀντωνίνου, τοῦ αὐτοκράτορος (τῷ 139 μ. Χ.) ὑπῆρχε προεκδεδομένος ὑπὸ τῶν Καισάρων νόμος, ἀπαγορεύων πᾶσι τὴν ἀνάγνωσιν τῶν Ὑστάσπου, καὶ τῶν τῆς Σιβύλλης περιφερομένων χρησμῶν, καὶ προσέτι τῶν θείων Προφητῶν (διότι ἐν τούτοις ἐκηρύττετο ἡ ἔλευσις τοῦ μέλλοντος αἰωνίου παμβασιλέως. Τοιαῦτα δέ τινα ἦσαν γεγραμμένα καὶ ἐν τοῖς Σιβυλλείοις, ὡς βλέπομεν ἐν τούτοις καὶ τὴν σήμερον, οἷον· « *Ἥξει δ' ἁγνὸς ἄναξ, πάσης γῆς σκῆπτρα κρατέων* » κτλ.). Καὶ ὑπῆρχον ἄρα γνωστὰ καὶ πρὸ τοῦ Ἀντωνίνου τὰ βιβλία τῶν θείων Προφητῶν, ἀναγινωσκόμενα μὴ μόνον ὑπὸ τῶν Χριστιανῶν, ἀλλὰ καὶ ὑπὸ ἐθνικῶν. Μάρτυς ἀναντίῤῥητος ὁ θεῖος Ἰουστῖνος, λέγων πρὸς τὸν εἰρημένον Αὐτοκράτορα, ἐν τῇ Ά. ἀπολογίᾳ, ταῦτα ἐπὶ λέξεως· « Κατ' ἐνέργειαν δὲ τῶν φαύλων δαιμόνων θάνατος ὡρίσθη κατὰ τῶν τὰς Ὑστάσπου, ἢ Σιβύλλης, ἢ *τῶν Προφητῶν βίβλους* ἀναγινωσκόντων· ὅπως διὰ τοῦ φόβου ἀποστρέψωσιν *ἐντυγχάνοντας τοὺς ἀνθρώπους τῶν καλῶν*

(α) Car. Daubuz de testimon. Christi apud Josephum Lib. II. §. 8—11 pag. 210. in addendis Josephi. T. 2, Haverc. — (β) Abr. Berkel. praef. in Epict. Ἐγχειρίδιον.

*γνῶσιν λαβεῖν, αὐτοῖς δὲ δουλεύοντας κατέχωσιν* » (οἱ δαίμονες)· « ὅπερ εἰς τέλος οὐκ ἴσχυσαν πρᾶξαι· ἀφόβως μὲν γὰρ οὐ μόνον ἐντυγχάνομεν *αὐταῖς* (δηλαδὴ ταῖς *τῶν Προφητῶν βίβλοις*, περὶ ὧν διὰ πολλῶν σελίδων μέχρι τῆς ἀνωτέρω περικοπῆς διαλέγεται, καὶ μεθ' ὧν συμφωνοῦντας, ἔν γε τοῖς περὶ Θεοῦ, καὶ τοὺς Ὑστάσπου καὶ Σιβύλλης χρησμοὺς ἀποδείκνυσιν), « ἀλλὰ καὶ ὑμῖν ὡς *ὁρᾶτε* (ἐν τῇ Ἀπολογίᾳ) εἰς ἐπίσκεψιν φέρομεν, ἐπιστάμενοι πᾶσιν εὐάρεστα φανήσεσθαι » (α).

§. μ. ΛΗ) Καλοῦμεν καὶ Μάρκον Ἀντωνῖνον, τὸν φιλόσοφον Αὐτοκράτορα (τῷ 160 μ. Χ.), ὅστις, καὶ αὐτὸς ἐκ τῆς ἀναγνώσεως τῶν Γραφῶν ὠφελήθη, πολλὰ δρεψάμενος, καὶ κατακοσμήσας τὴν φιλόσοφον αὐτοῦ συγγραφήν (β). Μαρτυρεῖ δὲ

---

(α) Α. Ἀπολογ. Ἰουστ. §. 44. σελ. 72. πρβλ. § 20: σελ. 56, καὶ §. 31 σελ. 63—72 ἐκδ. Venet. 1747. βλ. αὐτόθ. καὶ Praef. P. 3. c. VI. pag. 77 καὶ Vossij Var. Observ. p. 241, καὶ G, Lumper Histor. theologico-crit. etc. part. 2. p. 70. Ὁ δὲ Φαβρίκιος (Bibl. Graec. Tom. 1. p. 282 Harl.) πολλαχῶς πλανᾶται ἀντιλέγων, ὅτι οὐδεὶς τῶν ἱστορικῶν ἐμνημόνευσε τοιοῦτον νόμον τῶν αὐτοκρατόρων, κωλύοντα τῶν Σιβυλλείων τὴν ἀνάγνωσιν· ὡσανεὶ ἠδύνατο ψευδῆ γράφειν πρὸς τὸν αὐτοκράτορα ὁ μακάριος Ἰουστῖνος, μηδὲν βέβαιον εἰδώς, καὶ ταῦτα ἐν Ῥώμῃ διατρίβων! Συγχέει δὲ ὁ Φαβρίκιος καὶ τὰ παλαιὰ καὶ ἀπόθετα παρὰ τοῖς Ῥωμαίοις Σιβύλλεια πρὸς τὰ νεώτερα τῆς Ἐρυθραίας Σιβύλλης, περὶ ὧν λαλεῖ ὁ Ἰουστῖνος. Καὶ (τὸ παραδοξότερον) παρεξηγεῖ τὸ προφητῶν ἐκλαμβάνων ἀντὶ μαντιπόλων ἐθνικῶν (fatidicum). Οὕτως ὤκνησεν ὁ σοφὸς ἀνὴρ ἀναγνῶναι τὴν σελίδα τοῦ φιλοσόφου μάρτυρος, ἐν ᾗ κεῖται ἡ ἀνωτέρω περικοπή, καὶ τὸν νοῦν εἰς αὐτὴν ἐπιστῆσαι προσεκτικώτερον, ἵνα πληροφορηθῇ ποίους προφήτας ὁ μάρτυς λέγει, ὧν τὴν ἀνάγνωσιν ἀπηγόρευσαν οἱ Καίσαρες ἐκ συνεργείας τοῦ δαίμονος!

(β) Οἷον· « Θεοῖς μὲν ἐπίτρεψον τὰ σαυτοῦ πάντα. (Μάρκ. Ἀντων. Βιβλ. δ. 31) τὸ αὐτὸ καὶ «Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου» (ψαλμ. νδ. 22. Παροιμ. ις. 3. πρβλ. Α. Πέτρ. ε, 7). « Ὁ βίος ἐστὶ πόλεμος καὶ ξένη ἐπιδημία » (Μαρκ. β. 17), καὶ Ἐπίκτητος « στρατεία τις ἐστὶν ὁ βίος ἑκάστου » (Διατριβ. γ. 24. §. 34). Οὕτω καὶ, « Πειρατήριον » (= στρατεία, militia, ὡς ἔχει καὶ ἡ Βουλγ. καὶ τὸ Ἑβρ. ὡς ἂν εἴποις, στρατείας καὶ ἀγῶνος χρόνος, καὶ οἷον ἀγωνιστήριον, δοκιμαστήριον) « ὁ βίος τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς » (Ἰὼβ ζ, ι, πρβλ. Ἐφεσ. ς, 12), « Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος » (ψαλμ. λη, 12. πρβλ. Ἑβρ. ια, 13) κτλ. Βλ. τὴν ὑπὸ Γατακήρου ἔκδοσιν Τῶν εἰς ἑαυτὸν τοῦ Μάρκου, ἐν ᾗ πολλαχοῦ πολλὰς αὐτοῦ φράσεις ὁ σοφὸς ἐκδότης παρέβαλε πρὸς ὁμοίας Γραφικάς. Ὁ Μάρκος μνημονεύει καὶ τὰ Ὑπομνήματα τοῦ Ἐπικτήτου (Α. 7).

τοῦτο λαμπρῶς καὶ Ἀθηναγόρας ὁ φιλόσοφος, ὅστις τὴν περὶ τὰς Γραφὰς αὐτοῦ φιλομάθειαν ἀνεκήρυξεν ἐν τῇ πρὸς αὐτὸν τὸν Μάρκον, καὶ τὸν αὐτῷ συμβασιλεύοντα (εἴτ' ἀδελφὸν, εἴτε καὶ, κατ' ἄλλους, υἱὸν) Λούκιον Κόμμοδον, ὑπὲρ τῶν χριστιανῶν Ἀπολογίᾳ, λέγων· « Νομίζω δὲ καὶ ὑμᾶς φιλομαθεστάτους καὶ ἐπιστημονεστάτους ὄντας, οὐκ ἀνοήτους γεγονέναι οὔτε τῶν Μωσέως, οὔτε τῶν Ἡσαΐου καὶ Ἱερεμίου καὶ τῶν λοιπῶν Προφητῶν ». κτλ. καὶ, « Καταλείπω δὲ ὑμῖν, ἐπ' αὐτῶν τῶν βιβλίων γενομένοις, ἀκριβέστερον τὰς ἐκείνων ἐξετάσαι προφητείας » (α). Ἐγνώριζον λοιπὸν οἱ αὐτοκράτορες οὗτοι τὰς προφητικὰς βίβλους, ἃς ὁ Ἀθηναγόρας παρώτρυνεν αὐτοὺς *ἀκριβέστερον ἐξετάσαι*. Καὶ πῶς ἂν ἠμέλησαν ἐκεῖνοι (καὶ μάλιστα ὁ φιλολογώτατος Μάρκος) μελετῆσαι τὴν περίφημον ἑρμηνείαν τοῦ ἑβραϊκοῦ νόμου, οὗτινος τὸ ἐπισημότατον ἑβραϊκὸν χειρόγραφον ἐτηρεῖτο φυλαττόμενον ὡς κειμήλιον ἐν τοῖς βασιλείοις τῆς Ῥώμης; Αὐτοῦ γὰρ ὁ ἱερὸς ἀπετέθη κώδηξ, ἀφ' οὗ καὶ οὗτος ἐκόσμησε τὸν Οὐεσπασιανοῦ καὶ Τίτου θρίαμβον, διασωθεὶς ἐκ τοῦ πυρποληθέντος ναοῦ καὶ τῆς Ἱεροσολύμων καταστροφῆς (β). Καὶ μετέπειτα δὲ ἐν τῇ *τῶν Καισάρων οἰκίᾳ* φαίνεταί πως διαυγάζον τὸ σέλας τῶν Ἑλληνίδων θείων Γραφῶν. Δομιτιανὸς ὁ αὐτοκράτωρ (τῷ 95 μ. Χ.) κατέσφαξε Φλάβιον Κλήμεντα, τὸν ἑαυτοῦ ἀνεψιὸν, καὶ τὴν ἰδίαν ἀδελφιδῆν, γυναῖκα δ' ἐκείνου, Φλαβίαν Δομιτίλλαν ἐξώρισεν, ὡς χριστιανίσαντας (Δίων Κάσσ. ξζ. σελ. 1112:), δηλονότι ὡς μαθητὰς τοῦ κηρύγματος τῶν Προφητῶν καὶ Ἀποστόλων. Μαμμαία δὲ ἡ μήτηρ τοῦ αὐτοκράτορος Ἀλεξάνδρου (τῷ 223 μ. Χ.) « γυνὴ θεοσεβεστάτη, εἰ καί τις ἄλλη, γεγονυῖα, καὶ εὐλαβὴς τὸν τρόπον» (Εὐσέβ. Ἐκκλησ. ἱς. ς, κα), εἶχεν ἑπομένως καὶ τὴν γνῶσιν τῶν προφητικῶν Γραφῶν. Ὅθεν καὶ ἐν Ἀντιοχείᾳ διατρίβουσα, μετεκαλέσατο ἐξ Ἀλεξαν-

---

(α) Ἀθηναγ. Πρεσβ. περὶ Χριστιαν. §. 1—3. σελ. 49, 51. Longosalis. 1774. βλ. καὶ Moshem. de vera aetat. Apologetic. Athenagorae in Dissertat. ad Hist. Eccl. vol. i. p. 272. sqq. — (β) Ἰώσηπ. Ἰουδ. πολεμ. ζ. ε. §. 7.

δρείας τὸν ἐπὶ σοφίᾳ περιώνυμον ἐξηγητὴν τῶν Γραφῶν Ὠριγένην, «καὶ τῆς περὶ τὰ θεῖα συνέσεως αὐτοῦ πεῖραν ἔλαβε· παρ' ᾗ καὶ χρόνον διέτριψεν Ὠριγένης» κτλ. (αὐτ. αὐτόθι).

§. μα. ΛΘ) Σύγχρονος τῷ αὐτοκράτορι Μάρκῳ καὶ γνώριμος ἐγένετο καὶ Γαληνὸς, ὁ ἐκ Περγάμου φιλόλογος καὶ φιλόσοφος ἰατρός· ὅστις τὸ «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς» καὶ τὰ λοιπὰ τῆς Γενέσεως ἀναγνοὺς ἐκ τῆς ἑρμηνείας τῶν Ο, κατενόησε τὰς εὐσεβεῖς περὶ τοῦ Θεοῦ καὶ θεοπρεπεῖς ἐννοίας τοῦ νομοθέτου τῶν Ἰουδαίων, καὶ ὡμολόγησε μὲν «Ἄριστον τὴν ἐκ τοῦ δημιουργοῦ φυλάττειν *ἀρχὴν γενέσεως* καὶ ἐν ἅπασι τοῖς γενησομένοις, *ὁμοίως Μωσεῖ*»· συνεῖδε δὲ καὶ ὅτι «Ἀρκεῖ τῷ Μωσεῖ τὸ βουληθῆναι τὸν Θεὸν κοσμῆσαι τὴν ὕλην, ἡ δ' εὐθὺς κεκόσμηται· πάντα γὰρ εἶναι τῷ Θεῷ δυνατὰ νομίζει» (α), κατὰ τὸ «*εἶπε καὶ ἐγένετο*» δηλονότι. Καί τοι δ' ἄλλως αὐτὸς (ἅτε διὰ χρόνων ἐν ταῖς ἀμβλυωπούσαις καὶ πτωχαῖς δοξασίαις τῆς ἑλληνικῆς φιλοσοφίας ἐντεθραμμένος) ἀπῄτει καὶ τὴν ὕλην ἀφ' ἑαυτῆς εὔθετον εἰς τὰ εἴδη τῶν δημιουργημάτων, καὶ οἷον ἀναγκαίαν συνεργὸν τῆς τοῦ Θεοῦ παντοδυναμίας, ἀλλ' ὅμως καὶ ταύτην πάλιν ἀλλαχοῦ πολὺ πρεπωδέστερον ἐξύμνησε. Θεωρῶν γὰρ τὴν σοφίαν τῆς τοῦ ἀνθρωπίνου σώματος κατασκευῆς, ἔνθους ὅλος ὑπὸ θάμβους ὁ Περγαμηνὸς ἰατροφιλόσοφος, καταλιπὼν τὴν ἀνατομικὴν σμίλην, ἀνέκραξεν· «Ὅν (τὸν ἱερὸν λόγον) ἐγὼ τοῦ δημιουργήσαντος ἡμᾶς *ὕμνον ἀληθινὸν* συντίθημι, καὶ νομίζω τοῦτ' εἶναι τὴν ὄντως εὐσέβειαν! *οὐχὶ εἰ ταύρων ἑκατόμβας αὐτοῦ παμπόλλας καταθύσαιμι*, — ἀλλ' εἰ γνοίην μὲν αὐτὸς πρῶτος, ἔπειτα καὶ τοῖς ἄλλοις ἐξηγησαίμην, οἷός *μέν ἐστι τὴν σοφίαν*, οἷος *δὲ τὴν δύναμιν*, ὁποῖος *δὲ τὴν χρηστότητα*· Τὸ μὲν γὰρ ἐθέλειν κοσμεῖν ἅπαντα τὸν κόσμον, καὶ μηδενὶ φθονεῖν τῶν ἀγαθῶν, τῆς τελειοτάτης χρηστότητος ἐγὼ δεῖγμα

---

α) Γαλην. περὶ χρείας τῶν ἐν ἀνθρωπίν. σώματ. μορίων. βιβλ. ΙΑ. ιδ. σελ. 576 Τ. 4. Lut. Paris

τίθεμαι, καὶ ταύτῃ μὲν ὡς ἀγαθὸς ἡμῖν ὑμνείσθω· τὸ δ' ὡς ἂν μάλιστα κοσμηθείη, πᾶν ἐξευρεῖν, ἄκρας σοφίας· τὸ δὲ καὶ δρᾶσαι πάνθ' ὅσα προείλετο, δυνάμεως ἀηττήτου» (α)· Μῶν οὐ δοκεῖς ἀκούειν ἐν τούτοις ἐκεῖνα σχεδὸν τὰ προφητικά; «Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως» κτλ. καὶ, «Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου κύριε. — πάντα ἐν σοφίᾳ ἐποίησας. — δύνασαι γὰρ πάντα, ἀδυνατεῖ δέ σοι οὐδέν. — Μέγας κύριος ὁ Θεὸς ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ. — πάντα ὅσα ἠθέλησεν ἐποίησε» (Ψαλμ. καὶ Ἰὼϐ, μβ.). Γνωρίζει δὲ ὁ Γαληνὸς καὶ τὴν ἑτέραν, καὶ μάλιστα παρὰ τοῖς Ο, συνήθη τρισύλλαβον γραφὴν τοῦ ὀνόματος Μωϋσῆς, καί τοι κλίνων αὐτὸ κατὰ γενικὴν ἰσοσυλλάϐως (ὡς ἑλληνικώτερον)· οἷον, ὁπόταν ὡς παράδειγμα τῆς ἀκλονήτου περὶ τὰ δόγματα σταθερότητος φέρῃ «*τοὺς ἀπὸ Μωϋσοῦ καὶ* τοῦ Χριϛοῦ» (ϐ).

§. μϐ. Μ) Περὶ τὸ 165 μ. Χ. ἤνθει καὶ Λουκιανὸς ὁ Σύρος, ὁ Σαμοσατεύς· ὅστις αὐτοῦ μὲν τοῦ Μωσέως τὸ κύριον ὄνομα παρεσιώπησεν, ἤρτυσεν ὅμως τὰς ἑαυτοῦ συγγραφὰς νῦν μὲν ἐκ τῆς Γενέσεως (κεφ. ζ) μεταγράψας τὰ κατὰ τὸν κατακλυσμὸν, καὶ τὴν κιϐωτὸν, καὶ τὴν ἐν αὐτῇ τῶν παντοίων ζώων κατὰ ζεύγη συναγωγὴν (γ), νῦν δὲ ἐκ τῆς Ἐξόδου (κεφ. ιδ, 22) τὴν τῆς ἐρυθρᾶς θαλάσσης διάστασιν· «Εἱστήκει γὰρ (φησὶ) τὸ ὕδωρ μεμερισμένον» (δ). Ἐκ δὲ τῶν Ἀριθμῶν (κεφ. ιζ, 8) παραλαϐὼν

(α) Γαλην. αὐτόθ. Γ. ι. σελ. 361. Τοῦτον τὸν ὕμνον τοῦ Γαληνοῦ καί τις τῶν καθ' ἡμᾶς σοφῶν μετὰ θαύματος ἐμνημόνευσεν, ὁ κλεινότατος Βυκλάνδος, ἐκ τῆς φυσικῆς θεωρίας τῶν ὄντων θεολογῶν. Βλ. Buckland, La Géologie et la Minéralogie dans leurs rapporpts avec la Théologie naturelle, traduct. de l'Anglais par Doyère. Paris 1838. Tom. 1.

(ϐ) Γαλην. *περὶ διαφόρ. σφυγμ.* Γ. *γ. σελ.* 68. Τομ. 8. — (γ) Λουκιαν. *περὶ τῆς* Συρίης Θεοῦ §. 13, *σελ.* 458, *τόμ. γ.* Reitz. *πρϐλ. καὶ περὶ* 'Ορχ. §. 39. *καὶ* Διάλογ. Τίμων. §. 3. *βλ. καὶ* Huet. Dem. Ev. Pr. IV. pag. 59.

(δ) Λουκιαν. π. 'Αληθ. *ἱστορ. β.* §. 43. *σελ.* 136 Τόμ. Β. Reitz. *ὅπου καὶ ὁ* Σχολιαστής· «Τάχα ὁ *κενολόγος εἰς* Μωσέα *καὶ τὴν ἐρυθρὰν θάλασσαν διασᾶσιν* (*γρ. διαστᾶσαν*) *ἐπισκώπτων αἰνίττεται*»·

τὴν ῥάβδον Ἀαρὼν *τὴν βλαστήσασαν*, κτλ. μετέπλασεν εἰς τὸν παρ' αὐτῷ ἱστὸν τῆς νηός, «ὅστις *ἐξεβλάστησε*, καὶ κλάδους ἀνέφυσε, καὶ ἐκαρποφόρησε» (α). Εἰς δὲ, τέλος, τὸν Φιλόπατριν ἐπιγεγραμμένον διάλογον (εἴτ' αὐτοῦ τοῦ Σαμωσατέως ἐστιν, εἴτε καὶ, τὸ πιθανώτατον, ἄλλου τινὸς μισοχρίστου παλαιοτέρου, περὶ τοὺς Τραϊανοῦ χρόνους γενομένου (β), βλέπομεν καὶ τὴν γένεσιν τοῦ κόσμου, καὶ ἄλλα τῶν προφητῶν, ἐκφραζόμενα σχεδὸν κατὰ λέξιν ἀπὸ τῶν Ο, (γ), καὶ τὸν Μωϋσῆν αὐτὸν ἐπονομαζόμενον *βραδύγλωσσον* (ὡς Ἐξόδ. δ, 10). Καὶ αὐτὰ δὲ τὰ ἐν τῇ Γραφῇ τῶν Ο, ἄκλιτα ἑβραϊκὰ (οἷον τὰ Σαβαὼθ, Ἀδωναΐ, Ἐλωΐ κτλ.) ὑπῃνίξατο, *φωνὰς ἀσήμους* εἰπών· (δ).

§. μγ. ΜΑ) Σύγχρονος Λουκιανοῦ καὶ Νουμήνιος ἐγένετο, Ἀπαμεὺς τὴν πατρίδα, Πυθαγόρειος καὶ Πλατωνικὸς φιλόσοφος εὐκλεής. Οὗτος οὐ μόνον ὀνομαστὶ τοῦ Μωσέως πολλάκις ἐμνημόνευσεν, ἀλλὰ καὶ τὰς φιλοσόφους αὐτοῦ βίβλους ἐπλήρωσεν ἐκ τῆς ἱερᾶς τοῦ προφήτου διδασκαλίας. Μνημονεύουσι δὲ τούτου Κλήμης (Στρωμ. α, 251), καὶ Ὠριγένης (κ. Κέλσ. α, 15: δ, 51), καὶ Εὐσέβιος (Εὐαγ. Προπ. θ, σελ. 241: ια, 309, 315), πολλὰ τοῦ Νουμηνίου μεταγράφων χωρία, καὶ πρὸ τούτου ἔτι καὶ αὐτὸς ὁ χριστομάχος Πορφύριος (ε). Ἀποδέχεται δὲ ταῦτα καὶ ὁ κλεινὸς

---

(α) *Λουκιαν. αὐτ.* §. 41. *καὶ Σχολ. αὐτόθ.*

(β) *Ὁ δὲ Γεσνῆρος καὶ λίαν φαίνεταί τις ὑπερβολικὸς, ἔτι πόῤῥωτέρω κατάγων τὸν χρόνον τῆς τοῦ Φιλοπάτριδος συγγραφῆς, ἐπὶ τῆς τοῦ Ἰουλιανοῦ αὐτοκρατορίας!* (βλ. Gesner. Dissertatio de aetate et auctor. Philopatrid. *πρβλ. καὶ* Reitz. *εἰς Λουκιαν. τόμ. γ. σελ. σελ.* 584. *καὶ* Grot. de ver. Relig. Chr. 1, 16.

(γ) *Οἷον· « οὐρανὸν ὡς δέῤῥιν ἐξήπλωσε » Τριεφ.* §. 17 (*πρβλ. ψαλμ. ργ.* 2: *Ἡσαΐ. λδ.* 4. *μδ*, 24). *«Γῆν ἔπηξεν ἐφ' ὕδασι » Τριεφ.* 13 (*πρβλ. ψαλμ. κγ*, 2. *ρα*, 25). *« Ἐν βίβλοις τὰς πράξεις ἀπογραφόμενος »· Τριεφ.* §. 13. (*πρβλ. Δανιὴλ ζ*, 10. *Ἀποκαλ. κ*, 12 *κτλ.*)

(δ) *« Φωνάς τινας ἀσήμους φθεγγόμενος, οἷαι γένοιντ' ἂν Ἑβραίων, ἢ Φοινίκων ». Ἀλεξ. ἢ ψευδ.* § 13, *πρβλ.* Grot. de ver. Relig. Chr. 1. c. 15. not. 1.

(ε) *« Ἡγοῦντο (γὰρ οἱ περὶ Πλάτωνα καὶ Πυθαγόραν θεολόγοι) προσιζάνειν τῷ ὕδατι τὰς ψυχὰς, θεοπνόῳ ὄντι, ὡς φησὶ Νουμήνιος· διὰ τοῦτο λέγων καὶ τὸν Προφήτην εἰρηκέναι, ἐμφέρεσθαι ἐ π ά ν ω τ ο ῦ ὕ δ α τ ο ς θ ε ο ῦ π ν ε ῦ μ α » Πορφύρ. περὶ τοῦ ἐν Ὀδυσ. τῶν Νυμφῶν ἄντρου, σελ.* 256. Cantabr. *Τοῦ Νουμηνίου μνημονεύει ὁ Πορφύριος καὶ ἐν βίῳ Πλωτίνου.*

δδιος (α). Μία τῶν λαμπρῶν ἀποδείξεων τῆς εἰς τὰς ἡρμηνευμένας Γραφὰς μελέτης τοῦ Νουμηνίου περιλαλεῖται καὶ ἡ χαρίεσσα ἐκείνη ὁμολογία, ἣν αὐτὸς ὡμολόγησεν, εἰπών· « Τί γάρ ἐστι Πλάτων, ἢ Μωσῆς ἀττικίζων; ». (β). Οὕτως ὁ ἐθνικὸς φιλόσοφος ἀνεκήρυξεν εἰλικρινῶς καὶ αὐτὸν τὸν θεῖον παρ' αὐτῷ Πλάτωνα, πολλὰ τῶν ἑαυτοῦ δογμάτων ἐκ τῆς Μωσαϊκῆς ἀποδρεψάμενον

---

(α) Βλ. ὄπισθ. σελ. 46.—Ὁ δὲ σοφὸς Οὐαλκενῆρος Ἰουδαῖον ἐθέλει καὶ τὸν Νουμήνιον τοῦτον, ὡς καὶ τὸν Εὐπόλεμον, καὶ τοὺς ἄλλους περὶ ὧν προείπομεν (σελ. 134). συνεπάγεται δὲ σύμψηφον καὶ τὸν ἔνδοξον Ἰόνσιον, ὅστις οἴεται μᾶλλον ὑπό τινος Ἰουδαίου συγγραφέντα τὰ ἐπ' ὀνόματι τοῦ ἐθνικοῦ φιλοσόφου Νουμηνίου περιφερόμενα (Jons. Hist. Phil. III. ç. 10. §. 4.). Πρόσθες (λέγει ὁ Οὐαλκενῆρος) ὅτι καὶ τὰ ὀνόματα Νουμήνιος καὶ Εὐπόλεμος ἦσαν καὶ παρ' Ἰουδαίοις συνήθη (βλ. Α. Μακκ. ιβ. 16. ιε, 15: η, 17). Εἰς Ἰουδαῖον (λέγει) ἑλληνιστὴν ἁρμόζουσι μάλιστα καὶ αἱ ἀλληγορικαὶ τῶν Μωσαϊκῶν νόμων ἐξηγήσεις, ὁποίας (κατὰ τὸν Ὠριγένην) ἐξέδωκεν ὁ Νουμήνιος » κτλ. (Valcken. de Aristob. p. 18 καὶ 23). Τοιαῦτα (τίς ἂν ἤλπιζεν;) ὁ σοφὸς κριτικός. Ὡσανεὶ ἡ ἀλληγορία ὑπῆρχεν ἄγνωστος παρ' Ἕλλησιν! ἢ ὡς ἂν εἴπερ οὐκ ἠδύνατο καὶ ὁ ἐθνικὸς Νουμήνιος μιμήσασθαι καὶ αὐτοὺς τοὺς φιλοσόφους Ἰουδαίους, τοὺς τὰ Μωσαϊκὰ πολὺ πρότερον αὐτοῦ ἀλληγορήσαντας, τὸν Ἀριστόβουλον, καὶ τὸν (παρὰ τῷ Ἀριστέᾳ) Ἐλεάζαρον, καὶ αὐτόν, τέλος, τὸν ἀλληγορικώτατον Φίλωνα! ἢ ὡσανεί, τέλος, οὐκ ἀπῄτει ἐξ ἀνάγκης τὴν ἀλληγορικὴν ἑρμηνείαν καὶ αὐτὴ τοῦ Μωϋσέως (ἣν ὁ Νουμήνιος ἐθαύμασεν) ἱερὰ θεολογία, « τὰ μὲν αἰνιττομένου δεξιῶς, τὰ δὲ ἀλληγοροῦντος μετὰ σεμνότητος » (Ἰώσηπ. Ἀρχ. α. προοιμ.). Ὁποῖον δὲ καὶ τὸ τῶν ὀνομάτων! Οὐ μόνον Νουμήνιον, καὶ Εὐπόλεμον, Ἰουδαίοις εὑρίσκομεν ἐν τοῖς Μακκαβαικοῖς χρόνοις καλουμένους, ἀλλὰ καὶ Ἀντίοχον, καὶ Ἀντίπατρον, καὶ Ἰάσωνα κτλ. (Μακκαβ. ιβ. 16 κτλ.)· Ἀλλὰ μή τοι παρὰ τοῦτο συμπερανοῦμεν, ὅτι μόνον οἱ Ἰουδαῖοι, οὐχὶ δὲ καὶ Ἕλληνες ἐγένοντο Ἰάσωνες, καὶ Ἀντίοχοι, κτλ. καὶ πρότερον, καὶ κατὰ τοὺς Νουμηνίου τούτους χρόνους; παρά τίνων γὰρ ἄλλων εἰμὴ παρὰ τῶν Ἑλλήνων ἐδανείσθησαν οἱ Ἰουδαῖοι μετὰ τῆς ἑλληνικῆς φωνῆς καὶ τὰ ὀνόματα, ἀφ' οὗ τοῖς Μακεδόσιν ὑπετάγησαν; Τελευταῖον, ὦ βέλτιστοι κριτικοί, τίνα θέλετε προτιμήσωμεν, τὸν σύγχρονον τῷ Νουμηνίῳ γενόμενον Κλήμεντα τὸν Ἀλεξανδρέα, καὶ τὸν Ὠριγένην, καὶ τὸν Εὐσέβιον, καὶ αὐτὸν τὸν μισόχριστον Πορφύριον, τοὺς ἀνεγνωκότας τὰ τοῦ Νουμηνίου, καὶ καλῶς ἐξηκριβωκότας, ἢ τὰς ὑμετέρας πυῤῥωνείους ὑπονοίας, αἵτινες ἐπαίρουσι πολλάκις ὑψηλὸν καὶ ὑπερβάθμιον πόδα πλάνης κενεμβατούσης, ὁπότε μάλιστα κρίνετε τὰ περὶ τῶν Ο; Καὶ δικαίως ἄρα καὶ ὁ σοφὸς Σχοῖλλος ἀπεκλαίετο κατὰ τοῦ τοιούτου καινοφανοῦς πυῤῥωνισμοῦ, «contre le Pyrrhonisme, qui, à force de raisonnemens, veut nous enlever, l'un après l'autre, les plus précieux trésors de l'antiquité » Schoell. Histor. de la littérat. Grec. Tom. 3. pag. 57.

(β) Παρὰ Κλήμεντ. Στρωμ. α, 251. — Εὐσέβ. Προπαρ. Θ, 241, ια, 309 — Θεοδώρητ. Θεραπευτ. — Σουΐδ. λ. Νουμήνιος

ἀρχαιοτάτης φιλοσοφίας. Αὐτὸν δὲ τὸν Μωϋσῆν οὐ μόνον *προφήτην* ὁ Νουμήνιος ὁμολογεῖ (καθὼς καὶ Πορφύριος ἐμαρτύρησεν), ἀλλὰ καὶ « *θεολόγον, καὶ νόμων ἱερῶν ἑρμηνέα, καὶ ἄνδρα γενόμενον θεῷ εὔξασθαι δυνατώτατον* » (α). Ἐκ δὲ τούτων οὐ φαίνεται σαφῶς ὁ Νουμήνιος πᾶσαν τὴν Πεντάτευχον καὶ τοὺς Προφήτας διεξελθὼν, ὅθεν ἔσχεν ἐννοίας εὐκρινεῖς ἄλλων τε πολλῶν καὶ αὐτῆς τῆς ἀξίας τοῦ Μωϋσέως; Καθὼς δὲ ὁ Ἀρτάπανος (§ κβ), ὡσαύτως καὶ αὐτὸς ἐνόμισε τὸν Μωϋσῆν, Μουσαῖον ὑπὸ τῶν παλαιῶν Ἑλλήνων ὀνομασθέντα (β).

§. μδ. ΜΒ) Κατὰ τοὺς χρόνους τούτους (175 μ. Χ.) ἤκμαζε καὶ Κέλσος ὁ Ἐπικούρειος καὶ δριμὺς ἐχθρὸς τῶν Χριστιανῶν, ὅστις πολλὰ καὶ τοῦ Μωσέως κατεῖπε, τὰ τῆς θείας Γραφῆς παραναγινώσκων, καὶ διαστρεβλῶν· πρὸς δὲ τοῦτον ὁ θαυμάσιος Ὠριγένης ἀπήντησε πληρέστατα ἐν τοῖς καὶ παρ' ἡμῖν σῳζομένοις ὀκτὼ βιβλίοις. (βλ. ὄπισθ. κεφ. β. §. ια. σελ. 50).

§. με. ΜΓ) Εὑρίσκονται ἑπτὰ μεταλλόσημα τῆς ἐν Φρυγίᾳ πόλεως τῶν Ἀπαμέων, ἐκδεδομένα ἐπὶ τῶν αὐτοκρατόρων Σεβήρου, καὶ Μακρίνου, καὶ Φιλίππου (τῷ 193—244 μ. Χ.), ἅτινα φέρουσι τὸν τύπον τῆς τοῦ Νῶε κιβωτοῦ, καὶ ἐπ' αὐτῆς ἐπιγεγραμμένον ΝΩ, τουτέστι ΝΩΕ (καθὼς ἀπέδειξεν ἀκριβῶς ὁ ἔνδοξος νομισματικὸς Ἔκχελος). Καὶ αὐτὴ δὲ ἡ Ἀπάμεια ἐκαλεῖτο καὶ ΚΙΒΩΤΟΣ (Στράβ. ιβ, 576: Πτολεμ. Γεωγρ. Ε, 2: Πλίν. Ε, 29). Οὕτως ἐπιγράφεται καὶ ἔν τινι τῶν ἐπ' Ἀδριανοῦ νομισμάτων αὐτῆς, « *Κιβωτὸς Ἀπαμέων* ». Ἐκαλεῖτο δὲ τὸ πρότερον καὶ *Κελαιναὶ* (Στέφ. Βυζ. λ. Ἀπάμεια. βλ. καὶ Σημ. Λουκᾶ Ὀλστενίου, σελ. 39). Δημώδης δέ τις ἀρχαία φήμη, τὸν ἐπὶ Νῶε μνημονεύουσα κατακλυσμὸν, ἐτίθη τὰ ὄρη τὰ Ἀραρὰτ (ἐφ' ὧν ἡ κιβωτὸς ἐκάθισεν) οὐκ ἐπὶ τῆς Ἀρμενίας, ἀλλ' ἐπὶ τῆς Φρυγίας, παρὰ τὴν Ἀπάμειαν, ἢ τὰς *Κελαινὰς* (ὡς φαίνεται καὶ ἐν τοῖς σῳζομένοις Σιβυλλείοις χρησμοῖς). Συνήργησε δὲ πρὸς τὴν φήμην

---

(α) Παρ' Εὐσεβ. Προπαρ. Θ. σελ. 241. πρβλ. καὶ Κλήμεντ. ἔνθ. ἀνωτ.

(β) Εὐσεβ. αὐτ. πρβλ. Huet. Dem. Evang. Prop. iv. vol i. p. 117.

ταύτην καὶ ἡ παλαιὰ ἐκείνη γνώμη, ὅτι « Ἀρμένιοι τὸ μὲν γένος ἐκ Φρυγίας, καὶ τῇ φωνῇ τὰ πολλὰ φρυγίζουσι » κτλ. (Στέφ. Βυζ.). Οἱ δὲ καὶ τὴν μεγάλην Φρυγίαν μέρος τῆς Ἀρμενίας ἐτίθουν, ὅθεν καὶ τὴν κιβωτὸν ἱστόρησε Νικόλαος ὁ Δαμασκηνὸς (Α, 4) ἐπικαθῆσαι « Εἰς τὸ ὑπὲρ τὴν Μινυάδα (γρ. Μιλυάδα) μέγα ὄρος τῆς *Ἀρμενίας* καλούμενον Βάριν. ». Ἀλλ' ἡ Μιλυὰς ὕστερον ἦν χώρα Λυκίας (Ἡρόδ. α, 173), ὅμορος Πισιδίας (Στράβ. ιγ, 631), καὶ κυρίως μέρος τῆς μεγάλης Φρυγίας (Ἀῤῥιαν. Ἀλ. Ἀναβ. α, σελ. 50), ἐν ᾗ καὶ ἡ Ἀπάμεια. Ἐντεῦθεν καὶ τῆς Ἀρμενίας τὰ Ἀραρὰτ ἐξελήφθησαν τὰ αὐτὰ καὶ ἡ Βάρις (ὡς ὠνομάζετο παλαιόθεν ἴσως τὸ παρὰ τὴν Ἀπάμειαν ὄρος)· καὶ οἱ Ἀπαμεῖς τὸ ὄρος τοῦτο πρῶτον προσηγόρευσαν καὶ *Κιβωτὸν* (καὶ αὐτὸ τὸ *βάρις*, *πλοῖον* σημαίνει καὶ τεῖχος, κτλ.) (α), ἔπειτα δὲ καὶ τὴν πόλιν αὐτήν· καὶ ἐν τοῖς νομίσμασιν ἐπέγραφον τὸ ΝΩΕ, καὶ τὸ ΚΙΒΩΤΟΣ (β). Ἀλλὰ ταῦτα τὰ ὀνόματα προφανῶς ἀντεγράφησαν ἐκ τῆς ἑρμηνείας τῶν Ο. Οὐδ' ἂν εἴποι τις ἐξ Ἰωσήπου. Οὗτος γὰρ οὔτε *Κιβωτὸν*, ἀλλὰ *λάρνακα* γράφει· οὔτε *Νῶε*, ἀλλὰ *Νώεον*, καὶ (κατ' ἄλλ. γρ.) *Νῶχον* (Ἀρχ. Α, γ, 5. κτλ.). Ἔπειτα καὶ τὸ παρὰ Στράβωνι *Κιβωτὸς* ὑπῆρχεν ὄνομα τῆς πόλεως πολλῷ τῷ χρόνῳ προγενέστερον οὐ μόνον Ἰωσήπου, ἀλλὰ καὶ Στράβωνος αὐτοῦ. Ὥστε τὰ ἐν τοῖς ἐκδεδομένοις ἐπὶ τῶν Αὐτοκρατόρων μεταλλοσήμοις Γραφικὰ ὀνόματα ἀνήκουσιν εἰς παλαιοτέραν πρὸ Χριστοῦ Σωτῆρος ἐποχήν.

§. μς. ΜΔ) Ο δὲ κριτικὸς Διονύσιος, ὁ Λογγῖνος, « ἡ ἔμψυχος βιβλιοθήκη, τὸ Μουσεῖον τὸ ζῶν καὶ περιπατοῦν » (γ), Ἀμ-

---

(α) Ἡσύχ. πρβλ. Sturz. de Dial. Maced. p. 89.

(β) Βλ. Winckelman Monumenti antichi inediti, Rom. 1767. Tom. II. p. 258: Eckhel. Doctrin. Numor. vet. p. 132, 139; — J. Voss. Var. Observ. p. 252. sq: καὶ τὸν σοφὸν Horne. An introduct. to the crit. Study and Knowledge of the Holy Script. vol. i. p. 191. καὶ τὸν κλεινὸν Wiseman, Discours sur les rapports entre la Science et la Religion révélée etc. p. 330—333. — (γ) Εὐνάπ. ἐν βίῳ Πορφυρ. σελ. 323: βλ. καὶ Σουΐδ. λ. Λογγῖνος: Φωτ· Ἀναγ. 265.

μωνίου τοῦ Σακκᾶ, καὶ Ὠριγένους (ἄλλου παρὰ τὸν ἡμέτερον) γενόμενος μαθητὴς (α), καὶ καθηγητὴς μὲν Ἀθήνησι τῆς φιλοσοφίας καὶ γραμματικῆς καὶ κριτικῆς, ἐν δὲ Παλμύρᾳ τῆς Συρίας καὶ σύμβουλος Ζηνοβίας τῆς βασιλίσσης (καὶ ταύτης οὐκ ἀπείρου τῶν Γραφῶν), καὶ τῶν τέκνων αὐτῆς διδάσκαλος (περὶ τὸ 260 μ. Χ.) (β), οὐ μόνον ἀνέγνω καὶ οὗτος τὴν ἑρμηνείαν τῶν Ο, μετ' ἐπιστασίας, ἀλλὰ καὶ μετὰ πολλῆς αἰδοῦς καὶ τιμῆς ἐμνημόνευσε « *τοῦ θεσμοθέτου τῶν Ἰουδαίων, ὡς ἀνδρὸς οὐ τοῦ τυχόντος* »· καὶ τὸ ὕψος τῆς αὐτοῦ διανοίας ἐθαύμασεν. « Ἐπειδὴ γὰρ (λέγει) κατὰ τὴν ἀξίαν τὴν τοῦ θείου δύναμιν ἐχώρησε » (γ), « κἀξέφηνεν εὐθὺς ἐν τῇ εἰσβολῇ *(τῇ ἀρχῇ)* γράψας τῶν νόμων· « *Εἶπεν ὁ Θεὸς, φησί·* τί; *Γενέσθω, φῶς, καὶ ἐγένετο·* γενέσθω γῆ, καὶ

(α) Αὐτὸς ὁ Λογγῖν. ἐπιστ. πρὸς Πλωτῖν. πρβλ. Ζώσιμ. Α. 56. — Vopisc. vit. Aelian. 27—30. — Tan. Fabr. ad Λογγίν. περὶ ὕψ. σελ. 18 ἐκδ. Toll. — Vales. ad Εὐσεβ. Ἐκκλ. ἱστορ. ς, 19. — Ruhnken. Diss. de Longin. 8—9. — Fabric. Bibl. Gr. Tom. 6. pag. 79. Harl.

(β) « Τὴν δὲ Ζηνοβίαν καὶ μεταβαλεῖν εἰς τὰ Ἰουδαίων ἔθη ἀπὸ τῆς ἑλληνικῆς δεισιδαιμονίας παλαιὸς ἀναγράφει λόγος » (Φώτ. ἀναγ. 265). « Ἰουδαία ἦν ἡ Ζηνοβία, καὶ Παύλου προέστη τοῦ Σαμωσατέως, ἀλλ' οὐ δέδωκε τὰς Ἐκκλησίας τοῖς Ἰουδαίοις εἰς συναγωγάς ». Μ. Ἀθανασ. ἐπιστ. π. τοὺς μονάζοντ. σελ. 663. Τομ. α. ἐκδ. Commel.

(γ) Τουτ. ἐχώρησεν ἐν νῷ, κατενόησε. κτλ. (ἐκ τοῦ χωρῶ). Ὁ δὲ πάσης Ἑλληνίδος Μούσης ἀνάπλεως Οὐαλκενῆρος (de Aristob. p. 66.) (εἰ δεῖ καὶ τῶν τοιούτων ἐπιμνησθῆναι) τοῦτο τὸ τοῦ Λογγίνου ἐ χ ώ ρ η σ ε συνέχεε κατὰ λάθος πρὸς τὸ μεταβατικὸν κ α τ ε χ ώ ρ ι σ ε (καταχωρίζω). Ὅθεν καὶ τὸ, « Πυθαγόρας πολλὰ εἰς τὴν ἑαυτοῦ δογματοποιΐαν κ α τ ε χ ώ ρ Η σ ε ν » (ὡς γράφετ' ἐσφαλμένως παρὰ Κλήμεντ. Στρ. α. 410) ἐνόμισε γνησιώτερον μᾶλλον, ἢ τῷ παρ' Εὐσεβίῳ (Εὐαγ. Προπ. σελ. 666) κ α τ ε χ ώ ρ Ι σ ε ν· ἀλλὰ τὸ πρᾶγμα ἔχει τ' ἀνάπαλιν. Τὸ καταχωρίζω εἴ ς τ ι, ἢ, ἔ ν τ ι ν ι (ἐν χώρᾳ τινι τίθημι, ἐντοπίζω, ἐγγράφω, ἐγκατατάσσω, κτλ.) τοῦτο μόνον γνήσιον καὶ σύνηθες παρ' Ἕλλησιν ἐν τοῖς τοιούτοις: οἷον· « Κατεχώρισεν ἐν τοῖς ποιήμασι τούσδε τοὺς στίχους » (Διόδ. Ε. σελ. 33.4 Τ. α. Wes.). καὶ, « ἐν ταῖς ἀναγραφαῖς καταχεχωρισμένον » (αὐτ. σελ. 36 πρβλ. καὶ σελ. 635, καὶ σημ. Wes.) καὶ « τὴν ἐπιστολὴν κατεχωρίσαμεν εἰς τὰ δημόσια γράμματα » (Ἰωσ. Ἀρχ. ιδ, 10, § 20). « καταχώρισον εἰς τὴν ἔκληψιν (νομίσματα) χαλκοῦ ΖΘΔ. »· Πάπυρ. Αἰγύπτ. ἐν Papyri Graeco-Egizi illustr. da Petrettini p. 37.

ἐγένετο » (α). Ὅθεν καί τις τῶν νεωτέρων ἡμιχριστιανὸν ἐνόμισε διὰ τοῦτο μάλιστα τὸν Λογγῖνον (ϐ).

§. μζ. ΜΕ) Τοῦ Λογγίνου, χρηστοῦ διδασκάλου μοχθηρὸς μαθητὴς, ἀκουστὴς δὲ καὶ Πλωτίνου καὶ θερμὸς ὀπαδὸς ἐγένετο καὶ Πορφύριος, ὁ καὶ Μάλχος (βλ. ὄπισθ. §. κ. σελ. 135), ὁ Τύριος φιλόσοφος (τῷ 265—300 μ. Χ.). Ὅστις, καί τοι λυττήσας κατὰ χριστιανῶν, ὡμολόγησεν ὅμως τὸν Μωϋσῆν ἀληθῆ περὶ τῶν Ἰουδαίων ἱστορηκότα, παραβάλλων ἃς ἀνέγνω Μωσαϊκὰς βίϐλους πρὸς τὰς τοῦ Σαγχουνιάθωνος (γ). Καὶ τὰς βίϐλους δὲ τῶν Προφη-

(α) Λογγῖν. π. Ὕψους, τμ. θ. Τὸ δὲ γενέσθω γῆ, καὶ ἐγένετο, μετέπλασεν ὁ Λογγῖνος ἐκ τοῦ «Ἐν ἀρχῇ ἐποίησε... καὶ τὴν γῆν», συμπεράνας ὀρθῶς, ὅτι λόγῳ μόνῳ παρομοίως, ὡς τὸ φῶς, ἐποίησεν ὁ Θεὸς καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν, κατὰ τὸ «εἶπε, καὶ ἐγένετο». Ὁ δὲ κλεινὸς Ὑέτιος (ζητῶν, ὡς φαίνεται, τὸ ὕψος, οὐχὶ περὶ τὴν ἐκφαντορικὴν τῆς θείας παντοδυναμίας ἔννοιαν, ἀλλ' ἁπλῶς καὶ μόνον περὶ τὸ σύντομον τῆς φράσεως) οὐδὲν εὗρεν ὑψηλὸν ἐν τούτῳ τῷ χωρίῳ! (Huet. Dem. Ev. P. iv. §. 55)· καὶ τὴν Ὑετίου γνώμην ἀπεδέξατο καὶ ὁ Κλέρικος (Le Clerc Bibliothéque choisie, Tom. x. p. 211)· ἀλλ' ἀπήντησαν πρὸς αὐτοὺς γενναίως ὁ Βοϊλὼς (Boileau Tom. 3. pag. 290), καὶ ἄλλοι. Βλ. M. Christ. Woll, Disputat. etc. Lips. 1741· καὶ Lowth, de sacra poës. Hebr. p. 305. Goetting. 1758.

(ϐ) Casaub. in Vopisc. c. 30. p. 512. *Ὁ Λογγῖνος μνημονεύει καὶ τοῦ θείου Παύλου, μετὰ τῶν ἐνδόξων ῥητόρων συναριθμῶν ἐν τοῖς Κριτικοῖς. « Κορωνὶς δὲ (λέγει) λόγου παντὸς καὶ φρονήματος ἑλληνικοῦ Δημοσθένης, Λυσίας, Αἰσχύνης, Ἰσαῖος, Ξενοφῶν. Πρὸς τούτοις Παῦλος ὁ Ταρσεὺς, ὅντινα καὶ πρῶτόν φημι προϊστάμενον δόγματος ἀναποδείκτου «* (Λογγῖν. Λειψ. 22. σελ. XXXII. ἐκδ. Dresd 1742). *Ἀλλ' ὁ κλεινὸς Φαβρίκιος ὡς χριστιανοῦ τινος προσθήκην ὑπέλαβε τὰ περὶ τοῦ Παύλου! καλῶς εἰδώς. Τίς γὰρ τῶν χριστιανῶν ἐνόμισέ ποτε τὸν Παῦλον πρῶτον προστάτην καὶ ἀρχηγὸν δόγματος ἀναποδείκτου (τῆς εἰς Χριστὸν πίστεως δηλαδή); ἢ καὶ τοῦτο πάλιν τὸ δόγμα, οὕτως ἐπισεσυρμένως καὶ ὀλιγώρως ἐκάλεσεν ἀναπόδεικτον; Ἔπειτα, ὁ τὸ Μωσαϊκὸν ὕψος ἀποθαυμάσας κριτικὸς μήπως οὐχ εὗρε καὶ παρὰ τῷ θείῳ Παύλῳ κάλλη φράσεως ποικίλα, ἅπερ ἄλλος πάλιν κριτικὸς (πολὺ πάντως παρὰ τὸν Φαβρίκιον κριτικώτερος), ὁ Φώτιος (ἐπιστ. ρξε) οὐχ' ἧττον εὐσεβῶς, ἢ εὐφραδῶς, καὶ φιλολογικῶς συνεῖδέ τε καὶ ἐξέφρασεν; Ἀλλὰ πρὸς τὸν ἔνδοξον Βιβλιοθηκογράφον ἠναντιώθη συντόμως ἅμα καὶ σοφῶς καὶ ὁ Εἰνέκην* (H. Heineken. Leben des Longin. p. 33).

(γ) Βλ. Εὐσεϐ. Εὐ. Προπ. Α. 9. καὶ Ι. 9. καὶ Θεοδώρητ. Θεραπευτ. ζ. — πρβλ. καὶ Luc. Holsten. de vita et script. Porphyr. c. x.

τῶν ἀνέγνω προφανῶς ὁ Πορφύριος, ἐξ ὧν μάλιστα πρὸς τὸν θεῖον Δανιὴλ ἐπεχείρησεν ὁ ματαιόσχολος πολεμῆσαι (α).

§. μη. ΜϚ) Τὴν κατὰ χριστιανῶν μανίαν τοῦ Πορφυρίου νοσήσας καὶ Πρόκλος ὁ Λύκιος, ἀνέγνω τὰς Μωσέως βίβλους καὶ αὐτὸς, ὡς φαίνετ᾽ ἐξ ὧν κατεῖπε κατὰ τοῦ θείου τούτου προφήτου ἐν τῇ ἐκθέσει τῆς Πτολεμαίου Τετραβίβλου· ἀπήντησε δὲ πρὸς τὰς αὐτοῦ ἐρεσχελίας Ἰωάννης ὁ Φιλόπονος (β). Οὐ μόνον δὲ τὰς θείας Γραφὰς, ἀλλὰ καὶ τοὺς ἀρχαίους ἱεροὺς πατέρας ἀνεγίνωσκον οἱ νεοπλατωνίζοντες οὗτοι, σπουδάζοντες, ὅπως περιβάλλωσιν αἰθέρια πτερώματα τὸν κραγέτην τῆς ἰδίας αὐτῶν πλάνης κολοιόν. « Οὕτως οἱ ἔξω οὗτοι σοφοὶ, καὶ μάλιστα Πρόκλος » (ὁ περὶ οὗ ὁ λόγος) « θεωρήμασι πολλάκις τοῦ μακαρίου Διονυσίου (τοῦ Ἀρειοπαγίτου) κέχρηται, καὶ αὐταῖς δὲ ξηραῖς ταῖς λέξεσιν » (ὡς ὁ ἱερώτατος Μάξιμος ἐν τοῖς εἰς Διονύσιον σημειώσεσιν, ἐξ αὐτοῦ δὲ καὶ Σουΐδας σημειοῖ, λ. Διονύσιος) (γ).

§. μθ. ΜΖ) Μετὰ Πρόκλου καὶ Πορφυρίου συντακτέον ἴσως καὶ τοὺς ἄλλους τοὺς Νεοπλατωνικοὺς, οἷον Πλωτῖνον, καὶ Ἰάμβλιχον, καὶ Ἀμέλιον, καὶ Σώπατρον, καὶ τὸν Καππαδόκην Εὐστάθιον μετὰ τῆς καλῆς συζύγου Σωσιπάτρας (μυηθείσης τῆς Χαλδαϊκῆς σοφίας τὰ μυστήρια!), καὶ τοὺς τὸν ἀποστάτην Ἰουλιανὸν ἐκπαιδεύσαντας, ἢ τυφλώσαντας, τέσσαρας διδασκάλους, Αἰδέσιον καὶ Χρυσάνθιον καὶ Εὐσέβιον καὶ Μάξιμον· προστεθείσθω καὶ Εὐνάπιος, καὶ Ἱεροκλῆς, καὶ Συριανὸς, καὶ Μαριανὸς, καὶ Ἰσίδωρος, καὶ Δαμάσκιος, καὶ ὅσοι ἄλλοι τῆς *ἱερᾶς* παρ᾽ αὐτοῖς λεγομένης *γενεᾶς*, οἵτινες ἐκλεκτικήν τινα φιλοσοφίαν ἐπαγγελλόμενοι, καὶ τὰ Πυθαγόρου καὶ Πλάτωνος πρὸς τὰ τοῦ Ἀριστοτέλους διαλλάττειν ἐπιχειροῦντες (ἀπὸ Ποτάμωνος, ἢ μᾶλλον, ἀπὸ

---

(α) S. Hieronym. Comm. in Proph. Daniel. prooem. et ad cap. XI.

(β) Βλ. Φιλοπόνου τὸ Κατὰ Πρόκλου, περὶ ἀϊδιότητος κόσμου· Venet. 1535.

(γ) Συνομολογοῦσι καὶ τῶν νεωτέρων ἄλλοι τε καὶ ὁ Ἄγγλος Stanlei. Hist. Philosoph. pag. 1210, καὶ 1220.

Ἀμμωνίου τοῦ Σακκᾶ, χριστιανοῦ φιλοσόφου, τοῦ πρώτου τὴν τοιαύτην διαλλαγὴν κοσμίως ἐπιχειρήσαντος), ἐξέπεσαν εἰς κατάχρησιν καὶ παράνοιαν, συγκλώθοντες τὰ ἀσύγκλωστα, καὶ πρὸς τὰ τῆς Ἀκαδημίας καὶ τοῦ Περιπάτου φιλοσοφήματα συνάπτοντες οὐ μόνον τὰ Χαλδαϊκὰ καὶ Αἰγύπτια, ἀλλὰ (τὸ παραλογώτατον) καὶ ἐξ αὐτῶν τῶν Χριστιανῶν δογμάτων πολλὰ (τὸ μὲν πρὸς ὑπέρεισμα τῆς ἤδη καταπιπτούσης εἰδωλοθρησκείας, τὸ δὲ, καὶ πρὸς ἐπιπρόσθησιν καὶ συσκιασμὸν τοῦ φεγγοβολοῦντος ἀπλέτου τῆς εὐσεβείας φωτός). Οὗτοι τοίνυν ἀνεγίνωσκον πάντως οὐ μόνον τὴν Καινὴν, ἀλλὰ καὶ τὴν Παλαιὰν Διαθήκην, ὅθεν καὶ τὰς προσφυεῖς αὐτοῖς δοκούσας ἐννοίας καὶ λέξεις ἐσύλουν, ὡς ἄνθρακας οὐρανίου πυρὸς, συγκρύπτοντες εἰς τὸν ξυλώδη καὶ σαπρὸν νάρθηκα τῆς κατ᾽ αὐτοὺς τερατομόρφου φιλοσοφίας (α).

§. ν. ΜΗ) Προστεθείσθω τούτοις καὶ Χαλκίδιος, ὁ σεμνὸς τοῦ Πλατωνικοῦ Τιμαίου ὑπομνηματιστὴς (τῷ 330 μ. Χ.), ὅστις πολλάκις οὐ μόνον τοὺς Ο, μνημονεύει, ἀλλὰ καὶ τὸν Ἀκύλαν, καὶ τὸν Σύμμαχον. Λέγει δὲ καὶ τὸν Μωϋσῆν σοφώτατον τῶν Ἑβραίων, καὶ θείας ἐπιπνοίας ἔμπλεων· καὶ τοῦ Σολομῶντος μέμνηται (β). Διὰ ταῦτα καὶ χριστιανόν τινες ἐνόμισαν τὸν Πλα-

---

(α) Qui (Neoplatonici) cum divinae veritatis gustum ex Sacris literis, et nascentis Ecclesiae doctoribus, aut praeceptorum christianorum ore percepissent, purissimos veritatis rivulos in Pythagorae et Platonis derivarunt lacunas: et igniculos divinae lucis mendaciorum fumo ac tenebris obscurarunt ». Luc. Holsten. de vita et script. Porphyrij Philos. Dissert, c. vi. πρβλ. καὶ Olearij Dissert. de Philosoph. Eclectica ad calcem Stanleij Hist. Philosoph. p. 1205 sq. Lips. 1711. καὶ Moshem. Dissertat. ad hist. Eccles. vol. 1· p. 339, 373. Ὁ δὲ ἐκδότης τοῦ περὶ Μυστηρίων τοῦ Ἰαμβλίχου Thom. Gale (Oxon. 1678) ἐσημειώσατο καὶ ῥητῶς τὸν Ἰάμβλιχον οὐχ ἅπαξ δεδανεισμένον ἐκ τῆς παλαιᾶς Γραφῆς· οἷον· τὸ, « Τὰ εἴδωλα τῶν ἐθνῶν· — ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς » (ψαλμ. ριγ) ὁ θεουργικὸς καυχώμενος Ἰάμβλιχος μικρῷ παρατρέψας, μετέβαλεν εἰς τὸ «ἀφομοιωθῆναι τοῖς εἰδώλοις ἐφ᾽ οἷς τὴν πίστιν ἐν αὐτοῖς ἵδρυσε » (Τμήμ. γ. κεφ. κθ. σελ. 100)· καὶ ἄλλα μετέφερεν ἐκ τοῦ Ἰὼβ (Δ. 13—16), καὶ τὰ τοῦ Δανιὴλ (Ι, 7—9) μετέπλασεν εἰς τὰ ἑαυτοῦ (σελ. 60) κτλ. — (β) Βλ. Χαλκιδ. εἰς Τίμαιον ὑπόμνημα. Lugd. 1617.

τωνικώτατον Χαλκίδιον, καὶ προσέτι *διάκονον* τῆς ἐν Καρχηδόνι ἐκκλησίας! (α), οὐκ ὀρθῶς ὑπολαβόντες, ὡς ἀπέδειξαν ἄλλοι (β). Παραλείπομεν τὸν *Σύμμαχον*, καὶ Θεμίστιον τὸν Εὐφραδῆ, καὶ ῥήτορα καὶ Πλατωνικὸν φιλόσοφον, ὧν ὁ μὲν πρῶτος ἕνα τῶν θεῶν ὕπατον, κύδιστον, μέγιστον ὁμολογῶν, ὀνομάζει τοὺς ἄλλους δαίμονας, ἢ θεοὺς, ἐθνῶν καὶ πόλεων φύλακας (ὡς καὶ ἄλλοι πρὸ αὐτοῦ), μιμούμενος ἐκεῖνο τὸ Γραφικὸν, «Ἔστησεν ὅρια ἐθνῶν, κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ» (Δευτερ.). Ὁ δὲ Θεμίστιος καὶ φράσιν ὅλην τοῦ Σολομῶντος ἐξύμνησε (γ). Καὶ Σιμπλίκιος, Νεοπλατωνικὸς καὶ οὗτος, ἢ Ἐκλεκτικὸς (§. μδ) οὐ μόνον ἀνέγνω τὰ τοῦ Μωσέως, ἀλλὰ καὶ τὴν κατ᾽ αὐτὸν κοσμογονίαν (εὖ καὶ ἐπισταμένως φιλοσοφῶν!) κατεδίκασεν, ὅτι «μυθική τις ἐστι παράδοσις, καὶ ἀπὸ μύθων Αἰγυπτίων εἱλκυσμένη» (εἰς Ἀριστοτ. Φυσικ. Η, σελ. 268) (δ).

§. να. ΜΘ) Τελευταῖον τάττομεν τὸ *Νουθετικὸν ποίημα*, τὸ συνήθως μὲν ἐπιγραφόμενον εἰς τὸν Φωκυλίδην (τῷ 535 π. Χ.), παρὰ δὲ τοῖς κριτικοῖς Ἰουδαίου τινος ποίημα κρινόμενον ἑλληνιστοῦ, ἢ καὶ (κατ᾽ ἄλλους λίαν ἀπιθάνους) χριστιανοῦ· καὶ παρά τινων μὲν εἰς τὸν γ, αἰῶνα μετὰ Χ. παρ᾽ ἄλλων δὲ καὶ εἰς τὸν δ, μόλις χρονοθετεῖται (οὐδὲν γὰρ ἔπος περιέχει τῶν, ὅσα Πλάτων καὶ Ἀριστοτέλης καὶ ἄλλοι τῶν παλαιῶν Φωκυλίδεια μνη-

---

(α) Βλ. Fabric. Bibl. Latin. L. III. c. VII. Tom. 3. pag. 105. ed. Ernesti.

(β) Moshem. l. c. p. 165 sqq. πρβλ. καὶ Cave Scr. Eccles. Hist. litter. p. 106.

(γ) Βλ. Θεμίστ. λόγ. πρὸς Οὐάλ. καὶ Moshem. l. c. p. 168—169, καὶ Th. Gale ubi supr. p. 291.

(δ) Τοῦ Σιμπλικίου τὴν γνώμην κατησπάθησαν καὶ τῶν καθ᾽ ἡμᾶς τινες κριτικῶν, ὑπεράγαν φιλοσοφοῦντες, οἷον ὁ Hezel, Ueber die Quell. der Mos. Urgesch. Lemgo. 1780, καὶ ὁ Hasse, in d. Entdeckungen. im Felde etc. l. p. 71. sq. καὶ εἴτινες ἄλλοι, ἀκολουθοῦντες κατόπιν ἀνθρώπου τυφλοῦ, βλέποντες (ἂν βλέπωσιν) αὐτοί. Βεβηλοῦσι δὲ καὶ τὸ «Ἐπαιδεύθη δὲ Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων» (Πράξ. ζ, 22), διαστρέφοντες πρὸς τὴν ἑαυτῶν κακεντρέχειαν, καὶ παράγοντες μάρτυρα κατὰ τοῦ θεοπνεύστου Προφήτου, τίνα; τὸν θεόπνευστον Εὐαγγελιστήν! πρβλ. Rosenmüller, Scholia in Vet. Testament. in compend. redacta. Tom. 1. p. 26. Lipsiae. 1828.

μονεύουσι· καὶ τῶν ἀρχαίων δὲ πατέρων οὐδεὶς τοῦ ποιήματος ἐπεμνήσθη) (α)· ἀλλ' ὑπῆρξαν καί τινες νομίσαντες τὸ ποίημα πρὸ Χριστοῦ Σωτῆρος ἔτι κατὰ τὸν ἐπὶ Πτολεμαίων χρυσοῦν αἰῶνα τῶν Ἑλληνιστῶν συντεταγμένον ὑπό τινος ἑλληνίζοντος Ἰουδαίου, Φωκυλίδου κἀκείνου καλουμένου (β). Ἀρχαιοτάτου τινὸς Ἰουδαίου τὸ πόνημα κρίνουσι καὶ οἱ περὶ τὸν Οὐόσσιον (γ). Κἂν δέ τις προσηλύτου τινος Ἕλληνος ἐκ τῶν Ἀλεξανδρινῶν σοφῶν ὑπολάβῃ τὸ καλὸν τοῦτο Νουθέτημα, οὐδ' οὗτος ἂν παντελῶς ἀπίθανα λέγοι (διότι περιέχει καί τινα φρονήματα διανοίας ἐθνικῆς, ὡς λέγομεν ἐφεξῆς). Οἱ δὲ καὶ κέντρωνά τινα λέγουσι τὸ ποίημα, ἐκ διαφόρων ἀρχαίων γνωμολογιῶν (ἐν αἷς, ἴσως, καί τινες αὐτοῦ τοῦ Φωκυλίδου), ἑλληνικῶν τε καὶ ἰουδαϊκῶν συγκεκραμένον, εἰς ἃς παρεισήχθησαν ἴσως καί τινες ὀλίγαι χριστιανικαί (δ). Ἀλλ' ὅπως ἂν ἔχῃ, βλέπομεν καὶ ὧδε τῆς τῶν Ο, ἑρμηνείας παλαιὰ μαρτύρια. Αὐτίκα τὸ,

« Αἰδεῖσθαι *πολιοκροτάφους*· εἴκειν δὲ *γέρουσιν*
Ἕδρης καὶ γεράων πάντων » (στίχ. 207),

ἐκφράζει τὸ· « Ἀπὸ προσώπου *πολιοῦ* ἐξαναστήσῃ, καὶ τιμήσεις πρόσωπον *πρεσβυτέρου* » (Λευϊτ. ιθ. 32). Καὶ τὸ,

« Μὴ κτήνους *θνητοῖο* βορὴν κατὰ μέτρον ἕληαι,
Μηδέ τι θηριβόρον δαίσῃ κρέας » (στίχ. 132),

---

(α) Βλ. J. Scaliger. Animadvers. in Euseb. Chron. p. 96, ὅστις οὐ μόνον ἁπλῶς ἀνωνύμου χριστιανοῦ, ἀλλὰ καὶ ῥητῶς τοῦ Ναυμαχίου ὑπέλαβε τὸ ποίημα! πρβλ. Huet. Dem. Evang. IV. p. 62. etc. καὶ Fabric. Bibl. Gr. vol. 1. p. 720 Harl.

(β) Demagistr. Diss. V. pag. 512—514.—(γ) Voss. de oracul. Sibyl. c. 5. Ὁ δὲ Σχιῆρος, Schier (οὗτινος χρώμεθα τῇ ἐκδόσει, Lipsiæ, 1751) Ἕλληνα φαίνεται νομίζων τὸν ποιητὴν τοῦτον, καὶ πρὸς τοὺς χριστιανὸν αὐτὸν ἐθέλοντας ἀντιλέγει μετὰ τοῦ Βασναγίου (βλ. Schier. Adnot. in Phocyl. p. 106)· Ἀνακηρύττει δὲ καὶ οὗτος, ὅτι «οἱ ἀρχαῖοι ποιηταὶ καὶ οἱ φιλόσοφοι ἀνέγνωσαν τὰς ἱερὰς Γραφάς, καί τινα ἐξ αὐτῶν μετήνεγκαν εἰς τὰς ἰδίας αὐτῶν συγγραφάς » (σελ. 68).

(δ) M. Ludov. Wachler, Disput. de Pseudophocylid. Rinteliae, 1788. καὶ Fabr. Bibl. Graec. vol. 1. p. 720. not.

τὸ αὐτό ἐστι καὶ τὸ « Οὐ φάγεται κρέας *θνησιμαῖον, ἢ θηριάλωτον* » (Λευΐτ. ιζ, 15). Τοῦτο δὲ καὶ Πυθαγόρας αὐτὸς ἐκ τῶν Μωσέως δογμάτων ἔκπαλαι παραλαβὼν, ἐγνωμάτευε (Λαερτ. Η, α, 19). Καὶ τὸ, «Στίγματα μὴ γράψῃς» (στίχ. 212), ἐκ τοῦ « Γράμματα στικτὰ οὐ ποιήσετε ἐν ὑμῖν » (Λευΐτ. ιθ, 28). Καὶ τὸ, « Ἔστωσαν ὁμότιμοι *ἐπήλυδες* ἐν πολιήταις » (στίχ. 35), ἐκ τοῦ « Ὡς ὁ αὐτόχθων ἐν ὑμῖν, ἔσται καὶ ὁ *προσήλυτος* » (Λευΐ. ιθ, 34). Καὶ πάλιν τὸ, « Κτῆνος δ' ἢν ἐχθροῖο πέσῃ καθ' ὁδὸν, συνέγειρον » (στίχ, 133), τὸ αὐτὸ καὶ ἐν Ἐξόδ. κγ. 5 (πρβλ. καὶ Δευτερ. κβ. 4). Καὶ τὰ πρῶτα δὲ τοῦ ποιήματος παραγγέλματα συμφωνοῦσι πρὸς τοῦ Δεκαλόγου τὰς ἐντολὰς (Ἐξόδ. κ, 12—15: Λευΐτ ιη, 22)· καὶ τὰ στίχ. 168—175, πρὸς τὰ Λευΐτ. ιη, 8—22. Τὸ δὲ,

« Μηδέ τις ὄρνιθας καλιῆς ἅμα πάντας ἑλέσθω,

Μητέρα δ' ἐκπρολίπῃς, ἵν' ἔχῃς πάλι τῆςδε νεοσσοὺς » (στίχ. 80)

οὐδέν ἐστιν ἕτερον, ἢ τὸ Δευτερ. κβ. 6. Καὶ τὸ « Μὴ γαυροῦ σοφίῃ, μήτ' ἀλκῇ, μήτ' ἐνὶ πλούτῳ » (ςίχ. 48) ἐλήφθη ἐκ τῆς ᾠδῆς τῆς προφήτιδος Ἄννης· « Μὴ καυχάσθω ὁ φρόνιμος ἐν τῇ φρονήσει αὐτοῦ, καὶ ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, κτλ. » (Α. Βασιλ. β, 10). Καὶ τὸ, « Πτωχῷ δ' εὐθὺ δίδου, μηδ' αὔριον ἐλθέμεν εἴπῃς » (στίχ. 20) τὸ αὐτὸ καὶ « Μὴ εἴπῃς, ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω σοι » (Παροιμ. γ, 28)· καὶ τὸ, «Μισθὸν μοχθήσαντι δίδου » (στίχ. 17), ὡς τὸ Λευΐτ. ιθ, 13, Δευτ. κδ, 15· καὶ τὸ « Μὴ πλουτεῖν ἀδίκως (στίχ. 3), ὡς τὸ Παροιμ. κθ. 22· καὶ τὸ παράδειγμα τοῦ μύρμηκος καὶ τῆς μελίσσης (ςίχ. 153—163), ὡς τὸ Παροιμ. κεφ. ς, 6, κτλ. Ἐκεῖνα δὲ, τέλος, τὰ

« Πνεῦμα γάρ ἐστι θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών.
Σῶμα μὲν ἐκ γαίης ἔχομεν καὶ πάντες εἰς αὐτὴν
Λυόμενοι, κόνις ἐσμέν » (στίχ. 101)

περεπλάσθησαν ἐκ τῶν τῆς Γενέσεως (α, 27: β, 7: γ, 19), κατὰ τὴν ἑρμηνείαν τῶν Ο, (δηλοῦσι δὲ καὶ τὸ *εἰκὼν*, καὶ τὸ *γῆ*)· τὸ δὲ « Καὶ τάχα δ' ἐκ γαίης ἐλπίζομεν εἰς φάος ἐλθεῖν

Λείψαν' ἀποιχομένων » (ςίχ. 98), ἐκφράζον σαφῶς τὸ δόγμα τῆς τῶν νεκρῶν ἀναστάσεως, οὔτε πρὸς τὴν Πυθαγόρειον μετεμψύχωσιν ἁρμόζει, οὔτε πρὸς ἃ παρέβαλον Εὐριπίδεια καὶ Ἐπιχάρμεια (Σχιῆρ. σελ. 84, καὶ Φαβρίκ. Ἑλλην. Βιβλιοθήκ. τόμ. α. σελ. 722. Ἀρλεσ.)· ἀλλ' οὐδὲ χριστιανὸν πάλιν ἀποδείκνυσι τὸν ποιητὴν (ὡς ἄλλοι ὑπέλαβον)· ἀντεγράφη δὲ προφανῶς ἐκ τοῦ Ἰὼβ (ιθ, 26: μβ, 17, πρβλ. καὶ ψαλμ. ργ, 30). Ἀλλ' ὅμως ἔχει τὸ ποίημα καί τινα παραγγέλματα γνώμης ἐθνικῆς ἐχόμενα, οἷον τὰ, « Ἄφθονοι *οὐρανίδαι* καὶ ἐν ἀλλήλοις τελέθουσι »· καὶ, « Εἰ γὰρ ἔρις *μακάρεσσιν* ἔην »· (ςίχ. 67, 71). καὶ, « *Μέτρα δὲ τεῦχε* Θεοῖσι (ςίχ. 93. ὅπου ἴσ. γρ. *Μέτρια δ' ἔρδε* Θεοῖσι »· κατὰ τὸ « *Καδδύναμιν δ' ἔρδειν* ») κτλ. Ἄλλα δέ τινα πάλιν ἀνήκουσι μόλις εἰς Ἰουδαῖον, εἰς δὲ χριστιανὸν οὐδαμῶς, ὁποῖον μάλιστα φαίνεται τὸ, « Μὴ κακὸν εὖ ἔρξῃς » (ςίχ. 142), καὶ τὸ « Οὐχ ὅσιον, κρύπτειν τὸν ἀτάσθαλον ἄνδρα ἄτιτον »(ςίχ. 125). Τοιαῦτα καὶ τὸ « Κοινὴ πατρὶς *ᾅδης* » (ςίχ. 107), καὶ τὸ « Μὴ μείνῃς ἄγαμος » (ςίχ. 164. πρβλ. καὶ Πλάτων. Νόμ. ς, σελ. 869), καὶ αὐτὸ δὲ τὸ τέλος, μικρὰ καὶ γηρὰ τὰ βραβεῖα τῆς ἀρετῆς ὑποσχόμενον·

« Ταῦτα δικαιοσύνης μυστήρια, οἷσι βιεῦντες,
Ζωὴν ἐκτελέοιτ' ἀγαθὴν *μέχρι γήραος οὐδοῦ* » (ςίχ. 217).

Διὰ ταῦτα τὸ ποίημα φαίνεται ἢ τέκνον πατρὸς Ἕλληνος, ἐζηλωκότος καὶ τὰ παρ' Ἰουδαίοις καλὰ, ἢ γνωμῶν ἑλληνικῶν καὶ ἰουδαϊκῶν ἀρχαία συναγωγὴ καὶ συνένωσις. Ἀλλὰ περὶ μὲν τῆς τούτου γενέθλης κρατείτω τὰ δοκοῦντα τῇ (καθ' ὅσον οἷόν τε) ὑγιαινούσῃ κριτικῇ. Κείσθω δὲ ὅμως καὶ τοῦτο μετὰ τῶν ἄλλων τῶν παρὰ τοῖς ἐθνικοῖς περὶ τῆς ἑρμηνείας τῶν Ο, μαρτυριῶν συναριθμηθὲν, εἰ μὴ καὶ διὰ λόγους ἄλλους ἰσχυροὺς, ἀλλὰ χάριν τῆς ἑλληνιζούσης αὐτοῦ μορφῆς, καὶ τοῦ ὀνόματος τοῦ Φωκυλίδου, εἰς ὃν συνήθως ἐπιγράφεται.

§. νϐ. Ἐκ τῶν εἰρημένων ἀποδείκνυται σαφῶς, ὅτι καὶ παρὰ τοῖς ἀρχαίοις ἐθνικοῖς σοφοῖς ὑπῆρχε γνωστὴ καὶ περιφανὴς ἡ τῶν Ο, ἑρμηνεία· ὁ δὲ κλεινὸς Ὅδιος εἰς μάτην ἐπειράθη ἄγνωστον

αὐτὴν ἀποδεῖξαι, ὡς ἂν οὖσαν ἀκλεῆ καὶ ἄσημον καὶ παντάπασιν οὐδενόσωρον. Καί τοι, καὶ εἴγε (καθ' ὑπόθεσιν) ἠλήθευεν ἡ ἐπίνοια τοῦ κριτικοῦ, πάλιν οὐδὲν ἂν ἐβλάπτετο παρὰ τοῦτο ἡ περὶ τῆς ἑρμηνείας ἱστορικὴ ἀλήθεια· τί παράδοξον, εἰ παντάπασιν ἠγνόουν οἱ ἐθνικοὶ σοφοὶ (ὅσων τὰ συγγράμματα καὶ εἰς ἡμᾶς διεσφθησαν), ἢ καὶ γνωρίζοντες κατεφρόνουν τὰ παρ' Ἰουδαίοις καλὰ καὶ θεῖα; Κατὰ τοὺς Ἡροδότου καὶ Θουκυδίδου χρόνους, καὶ πολὺ πρότερον, ἐχώρει τὸ τῆς Ῥώμης ὄνομα διὰ πλείστων ἀνθρώπων περιθρυλλούμενον. Καὶ ὅμως οὐδέτερος τούτων, οὔτε τῶν ἄλλων συγχρόνων ἱστορικῶν οὐδεὶς ἐπεμνήσθη τῆς Ῥωμαίων πόλεως (καί τοι τὴν εἰς Ἰταλίαν τῶν ἀρχαίων Ἑλλήνων ἀποικίαν ἀνέφερε παροδικῶς ὁ Θουκυδίδης, Α, 12). Τί λοιπόν; οὔτε πράξεις ἐπιφανεῖς, οὔτε νόμοι παρὰ Ῥωμαίοις ὑπῆρχον, οὔτε βίβλοι ἱεροφαντικαὶ κατὰ τοὺς χρόνους τῶν εἰρημένων συγγραφέων, διότι περὶ τούτων οὗτοι ἐσιώπησαν; (α). Ἀλλ' ὅμως τῶν ἑβραϊκῶν Γραφῶν, « ὧν τὸ κλέος ἐφοίτα πανταχόσε » (Φίλων βίῳ Μωσ. Β), τὴν περίφημον ἑρμηνείαν καὶ εἶδον καὶ ἀνέγνωσαν, ἅμα φανεῖσαν, πλεῖστοι καὶ σεμνότατοι τῶν Ἑλλήνων σοφῶν, ἀπ' αὐτῆς ἀπανθίζοντες καὶ δόγματα καὶ γνώμας καὶ κάλλη νοημάτων, δι' ὧν ἐκόσμουν τὰς ἑαυτῶν συγγραφάς (β). Καὶ αὐτοὶ δὲ τῆς τῶν Ἑβραίων

---

(α) Βλ. Πλούταρχ. Νουμ. §. κϐ. πρβλ. Ἰώσηπ. κ. 'Απίων. α. §. 12.

(ϐ) Ταῦτα πολλοὶ καὶ ἄλλοι τῶν νεωτέρων ἄνδρες ἐπίσημοι διεκήρυξαν. «Ἀφ' οὗ ἐξηλληνίσθη τῶν θείων γραφῶν ὁ κώδηξ (λέγει ὁ κλεινὸς Βύλλος), πάμπολλα τῇ ἑβραϊκῇ θρησκείᾳ συνᾴδοντα παρὰ τοῖς ἐθνικοῖς εὑρίσκονται συγγραφεῦσι». Βλ. Georg. Bulli Primit. et Apostol. trad, c, 4, § 3, pag. 19. πρβλ. G. Lumper Histor. Theologico-Critic. etc. Part, 2. p, 30: — Vockerod. Dissert. de notitia S. Script. inter. Gentes. — Schier adnotat. in Phocyl. pag. 68. D'Orville, praef. in Χαρίτων. 'Αφροδισ. p. XX. κτλ. Πρόσθες καὶ τὸν Ῥοδομύλλερον, ὅστις, ἐν οἷς θεωρεῖ τὸ, κατὰ τοὺς Ο, «καὶ εἶδον τὸν τόπον, οὗ εἱστήκει ἐκεῖ ὁ Θεὸς (Ἐξόδ. κδ. 10, ὅπου τὸ νῦν ἑβρ. ἔχει, «καὶ εἶδον τὸν Θεόν), «οὕτω (λέγει) μετέφρασαν οἱ Ο, ἵνα μὴ τοῖς Ἕλλησιν ἀναγνώσταις καταγέλαστος εἴη ὁ Μωϋσῆς» (Rosenmüller, Schol. in Exod. h. l.). Ἀλλ' ὅτι μὲν οἱ Ο, μετέφρασαν κατὰ τὸ παρ' αὐτοῖς ἀδιάφθορον κείμενον, ὁ δ' ἐπιφερόμενος λόγος οὐδόλως τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ τὴν ἔλλειψιν θεραπεύει, πρόδηλον· (μὴ

θεοσοφίας οἱ διακαεῖς ἐχθροὶ, προμαχοῦντες ὑπὲρ τῆς εἰδωλοθρησκείας, ἀνεγίνωσκον τὰς θείας Γραφάς. Ὁ γὰρ τὴν εἰδωλολατρείαν ὑποστηρίζων ἄρχων τοῦ σκότους, ὅστις καὶ πρὸς αὐτὸν τὸν Ὕψιστον Νομοθέτην ἐτόλμησεν ἐκ τῆς Γραφῆς μαρτυρίας ἐξενεγκεῖν· (Ματθ. δ, 6), ὑπέβαλλε πολλάκις καὶ τοῖς ἑαυτοῦ ὑποφήταις φιλοτιμίαν καὶ ζῆλον εἰς μελέτην τῶν θείων λογίων, ὅπως ἐξ αὐτῶν ἀποσυλῶσιν ἐννοίας ὑψηλὰς, πρὸς ἐπίχρωσιν τῆς ἰδίας αὐτῶν πλάνης καὶ τοῦ ψεύδους καλλωπισμόν. Καὶ ἐποίουν καὶ οὗτοι, ὅ,τι καὶ οἱ τὰ τῶν θείων Εὐαγγελίων δολίως ἀποδρέποντες ἐθνικοὶ, περὶ ὧν ὁ μέγας Βασίλειος, ὁ οὐρανοφάντωρ, ἔγραψε τὰ ἐφεξῆς. « Ταῦτα (τὰ τοῦ Εὐαγγελιστοῦ Ἰωάννου) οἶδα πολλοὺς καὶ τῶν ἔξω τοῦ λόγου τῆς ἀληθείας μέγα φρονούντων ἐπὶ σοφίᾳ κοσμικῇ καὶ θαυμάσαντας, καὶ τοῖς ἑαυτῶν συντάγμασιν ἐγκαταλέξαι τολμήσαντας. Κλέπτης γὰρ ὁ διάβολος, καὶ τὰ ἡμέτερα ἐκφερομυθῶν πρὸς τοὺς ἑαυτοῦ ὑποφήτας. Εἰ οὖν ἡ σαρκίνη σοφία τοσοῦτον ἐθαύμασε τῶν ῥημάτων τὴν δύναμιν, τί ποιήσομεν ἡμεῖς οἱ μαθηταὶ τοῦ Πνεύματος » ; κτλ. (α).

## ΚΕΦΑΛΑΙΟΝ Δ΄.

### *Ποῖοί τινες ἦσαν, καὶ πόθεν, οἱ τῶν Γραφῶν μεταφρασταί.*

§. α. Ἰδιωτικήν τινα καὶ φαύλην ἐξ ἀρχῆς τὴν τῶν Γραφῶν ἑρμηνείαν ἀποφαίνοντες οἱ περὶ τὸν Ὄδιον (ὡς προείπομεν ἐν

---

γὰρ οὐκ εἶχον καὶ οἱ Ἕλληνες τὰς κατ᾽ αὐτοὺς πιστευομένας θεοφανείας ;). Ὁ δ᾽ οὖν ἔνδοξος κριτικὸς ἐφρόνει πάντως, ὅτι τὴν ἑρμηνείαν τῶν Ο, ἔμελλον καὶ Ἕλληνες (ἐθνικοὶ) ἀναγινώσκειν. Συνομολογεῖ δὲ καὶ ὁ πολυμαθὴς Ἐρνέστης, ὅτι « τῶν πεπαιδευμένων Ἑλλήνων πολλοὶ τὰς ἡμετέρας ἱερὰς βίβλους ἀνεγίνωσκον, καὶ τὰ ἀρέσκοντα συλλέγοντες, ἐμιμοῦντο » κτλ. J. Ernesti de Vestig. Lingu. Hebr. in Lingu. Graeca Disputatio (περὶ τὸ τέλος). πρβλ. καὶ J. Glaire Introduct. histor. et crit. aux Liv. de l'Ancien. et du Nouv. Test. T. 3. p. 27.

(α) M. Βασιλ. Ὁμιλ. ις (εἰς τὸ Ἐν ἀρχῇ ἦν ὁ Λόγος) τόμ. β. σελ. 134. ἐκδ. Maur. βλ. καὶ Εὐσεβ. Εὐαγγ. Προπαρ. ια, σελ. 317 Lutet., ὅπου μεταγράφει τὰ τοῦ Ἀμελίου (νεοπλατωνικοῦ φιλοσόφου), μνημονεύοντος καὶ ἀποδεχομένου τὸ « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, » κτλ. πρβλ καὶ Moshem. Dissert. vol. I. p. 133.

κεφ. β. §. σελ. 48), ἐπιχειροῦσιν ἐφεξῆς καὶ τοὺς ἑρμηνεῖς ἀποδεῖξαι μὴ μετακληθέντας ἐξ Ἱεροσολύμων, ἀλλ᾽ ἐξ αὐτῆς Ἀλεξανδρείας ἐγχωρίους τινας ὄντας Ἰουδαίους ἑλληνιστάς. Οὐ χεῖρον δὲ ἴσως καὶ ὅσα περὶ τούτου προβάλλουσιν ἐπιχειρήματα μακρότερον διεξελθεῖν.

§. β. « Ἀλλά, τέλος, (λέγουσιν) οὐδὲν, ἢ ὀλίγον διαφέρει, εἴτε τοῦ βασιλέως κελεύσαντος, εἴτε καὶ παρ᾽ αὐτῶν τῶν Ἰουδαίων αὐτοβούλων ἐγένετο ἡ μετάφρασις. Ἐκεῖνο δὲ μάλιστα διαφέρει· πότερον ἄρα, τὸ ἑβραϊκὸν πρωτότυπον τῶν Γραφῶν καὶ οἱ ἑρμηνεῖς ἐξ Ἱεροσολύμων ἀπεστάλησαν εἰς τὴν Ἀλεξάνδρειαν (ὡς ἱστόρησεν ὁ Ψευδαριστέας), ἢ οὔ; Ἀλλ᾽ ἐγὼ (φησὶν Ὅδιος) καὶ τοῦτο ὡς πάντῃ ψευδὲς ἀποῤῥίπτω, καὶ μηδὲν αἰδούμενος, διαβεβαιῶ καὶ διατείνομαι πεποιθότως, ὅτι ἡ μετάφρασις (εἴτε κατ᾽ ἐπιταγὴν τοῦ βασιλέως, εἴτ᾽ αὐτῶν τῶν Ἰουδαίων βουληθέντων) ἐφιλοπονήθη πάντως ὑπὸ Ἰουδαίων Ἀλεξανδρινῶν· καὶ αἱ δείξεις ἐγγύς.

§. γ. Α) Ἀπίθανον (λέγουσι) φαίνεται πρᾶγμα καὶ κωφὸν, ὅτι δῆθεν ὁ βασιλεὺς μετεπέμψατο τό,τε χειρόγραφον τὸ ἑβραϊκὸν καὶ τοὺς ἑρμηνεῖς ἐκ τῶν Ἱεροσολύμων (ὡς ἂν εἴπερ ἐν τοσαύταις μυριάσι τῶν κατ᾽ Ἀλεξάδρειαν Ἰουδαίων οὔτ᾽ ἀντίγραφον τῶν νόμων ἓν γοῦν εὑρίσκετο τότε, οὔτε κἂν εἷς ἔμπειρος μεταφραστής!). Πόσον δὲ γελοῖον κἀκεῖνο τὸ τοῦ Ψευδαριστέου! Ὅτε πρὸς τὸν Πτολεμαῖον εἶπεν ὁ Δημήτριος, ὅτι « τὰ τῶν Ἰουδαίων νόμιμα μεταγραφῆς ἄξια, καὶ τῆς παρὰ σοὶ βιβλιοθήκης, ἀλλ᾽ ἑρμηνείας προσδεῖται », — ἀπεκρίθη ὁ βασιλεὺς, ὅτι γράψει πρὸς τὸν ἀρχιερέα τῶν Ἰουδαίων, « *ὅπως ἀντίγραφον τοῦ νόμου καὶ τοὺς ἑρμηνεύσοντας ἀποστείλῃ πρὸς αὐτὸν ἐξ Ἱεροσολύμων* » (α). Καὶ πῶς; (ὑποβάλλουσι) μὴ γὰρ ὁ βασιλεὺς Πτο-

(α) «Demetrio Phaler. dicente «Iudaeorum leges dignas esse quae describantur, et in Bibliothecam reponantur, sed interpretatione indigere,» respondisse Regem, se scripturum ad summum Iudaeorum Pontificem, ut legis exemplar, et qui eam interpretarentur, Hierosolymis ad se mitterentur».

λεμαῖος ἠγνόει τὴν ἐν τῇ ἰδίᾳ μητροπόλει, τῇ Ἀλεξανδρείᾳ, μυριάριθμον ἀνθοῦσαν τῶν Ἰουδαίων πληθύν; ἢ μήπως ἀδίστακτον εἶχε πληροφορίαν, ὅτι μεταξὺ τούτων οὐδὲν οὐδόλως εὑρίσκετο τοῦ νόμου χειρόγραφον, οὐδέ τις εἰδήμων τῆς ἑβραΐδος ἅμα καὶ ἑλληνίδος φωνῆς; Εἰ δὲ καὶ ἤθελεν ὁ βασιλεὺς, ἵνα καὶ τὰς ἑβραϊκὰς γραφὰς ἐξελληνισθείσας εἰς τὴν ἰδίαν ἀποθησαυρίσῃ βιβλιοθήκην, τί ποτ᾽ ἄλλο πρότερον ἔμελλεν αὐτῷ κατὰ νοῦν ἐπελθεῖν, εἰ μὴ τὸ παραδοῦναι τὴν φροντίδα τῆς ἑρμηνείας εἰς ἕνα τινα, ἢ καὶ πλείονας Ἀλεξανδρινοὺς Ἰουδαίους, ἐγκρατεῖς τῆς ἑλληνικῆς;

§. δ. Β) Τὸ ψεῦδος (λέγουσι) τῆς μεταπέμψεως ἐξελέγχεται καὶ ἐκ τῆς τῶν ἀρχαίων διαφωνίας, ὅσοι περὶ τούτου διέλαβον. Οἱ μὲν γὰρ αὐτῶν (ὡς ὁ Ἀριστέας) ἱστοροῦσι τὸν Πτολεμαῖον ὑπὸ τὸν αὐτὸν χρόνον, καὶ διὰ μιᾶς καὶ μόνης ἐπιστολῆς, μεταπεμψάμενον τό, τε βιβλίον τοῦ Νόμου καὶ τοὺς ἑρμηνεῖς ἐκ τῶν Ἱεροσολύμων. Ἄλλοι δὲ τἀνάπαλιν λέγουσιν, ὅτι πρῶτον μετεπέμψατο τὸ βιβλίον, καὶ ἔπειτα τοὺς μεταφραστάς. Οὕτως Ἰουστῖνος ὁ μάρτυς καὶ φιλόσοφος· « Καὶ ὁ μὲν *βασιλεὺς Ἡρώδης* (β) τῇ προειρημένῃ ἑβραΐδι αὐτῶν φωνῇ γεγραμμένας διεπέμψατο (τὰς Γραφάς)· ἐπειδὴ δὲ οὐκ ἦν γνώριμα τὰ ἐν αὐταῖς γεγραμμένα τοῖς Αἰγυπτίοις, πάλιν αὐτὸν (τὸν ἀρχιερέα) ἠξίωσε πέμψας, τοὺς μεταβαλοῦντας αὐτὰς εἰς τὴν ἑλλάδα φωνὴν ἀνθρώπους ἀποστεῖλαι ». Τοιαῦτα καὶ Αὐγουστῖνος· « Πτολεμαῖος, ὁ Φιλάδελφος ἐπωνυμούμενος, ᾐτήσατο παρ᾽ Ἐλεαζάρου τοῦ τηνικαῦτα ἀρχιερέως ἐπιδοθῆναι αὐτῷ τὰς Γραφὰς, ἃς παρὰ τῆς φήμης κηρυττούσης ἤκουσεν εἶναι θείας· καὶ διὰ τοῦτο ταύτας ἐπεθύμησεν ἔχειν, ἐν ᾗ κατεσκεύασε βιβλιοθήκῃ. — Ἐπειδὴ δὲ ταύ-

---

(Hody pag. 110). Οὕτως Ὅδιος ἡρμήνευσεν, ἀναγνῶστα, τὴν Ἀριστέου φράσιν, κολοβώσας ἐν τῷ μεταξὺ πολλὰ καὶ μεταβαλὼν, ἵνα τῷ ὄντι γελοίαν αὐτὴν ἀποφήνῃ. Τί δὲ λέγει ὁ Ἀριστέας αὐτολεξεὶ, βλέπεις ἐφεξῆς τοῦ κεφαλαίου (§. ιβ, ἐν τῇ ἀπαντήσει, ἄρθρ. Α). Σημ. ἡμετ.

(β) Γράφ. «β α σ ι λ ε ύ ω ν ἱ ε ρ ε ὺ ς» (βλ. ἐφεξῆς τοῦ κεφαλ. §. ιγ.). Σημ. ἡμετ.

τας ἀπέστειλε πρὸς αὐτὸν ὁ Ἀρχιερεὺς ἑβραϊστὶ γεγραμμένας, προσητήσατο καὶ τοὺς ἑρμηνεύσοντας ὁ βασιλεύς· καὶ ἐδόθησαν αὐτῷ ἄνδρες οβ, σοφώτατοι κατ' ἀμφοτέρας τὰς γλώσσας, τὴν ἑβραΐδα καὶ τὴν ἑλληνικήν» (α). Τὸν αὐτὸν εὑρίσκεις μῦθον κἀν τῷ παρ' Ἐπιφανίῳ διηγηματίῳ τοῦ Ἀριστέου, ὅπου βλέπεις καὶ τὰς δύω τοῦ Πτολεμαίου πρὸς τὸν ἀρχιερέα ἐπιστολὰς, τὴν μὲν πρώτην ἀντίγραφον αἰτοῦσαν τοῦ νόμου, τὴν δὲ δευτέραν, τοὺς ἑρμηνεῖς (β). Τελευταῖον, καί τις Ἄραψ βίους ἰατρῶν συντάξας, ἀνέκδοτος συγγραφεὺς (γ), διπλῆν ἱστορεῖ τὴν πρὸς Ἰουδαίους παρὰ τοῦ Φιλαδέλφου ἀποστολὴν, τὴν μὲν πρώτην ἕνεκα τῆς βίβλου, τὴν δὲ δευτέραν ὑπὲρ τῶν ἑρμηνευτῶν (ὡς καὶ ὁ παρ' Ἐπιφανίῳ Ψευδαριστέας). — Οὐδὲ λείπουσι μεταξὺ τῶν Ἀράβων ἱστορικοὶ (καὶ πρῶτος αὐτὸς οὗτος ὁ βιογράφος) παραδιδόντες, ὅτι, πρὶν ἢ μετακαλέσῃ τοὺς Ο, πρεσβυτέρους ὁ Πτολεμαῖος ἐξ Ἱεροσολύμων, ἡρμήνευσε τὰς Γραφὰς ἐν Ἀλεξανδρείᾳ (δι' Ἀλεξανδρινῶν Ἰουδαίων), τοὺς δὲ Ο, μετεκάλεσεν ὕστερον, ὅπως ἐπιθεωρήσαντες διορθώσωσι τὴν ἑρμηνείαν· καὶ περὶ τούτου φέρουσιν οἱ Ἄραβες οὗτοι μάρτυρα τὸν Καισαρείας Εὐσέβιον· ἀλλὰ ψευδῶς· καθὼς εἰώθασι! Πρόσθες (λέγουσι) καὶ ὅσα *οἱ νεώτεροι Γραικύλοι παρὰ Ματθαίῳ τῷ Κιγάλᾳ* (ἢ Τζιγάλᾳ) πλάσαντες διεμυθολόγησαν (δ)· Ὅτι δῆθεν ὁ Πτολεμαῖος *πρῶτον* μὲν ἐπέστειλε τοῖς ἐν Ἱεροσολύμοις Ἰουδαίοις, τὰς ἱερὰς βίβλους ζητῶν. Ἐπειδὴ δὲ πρὸς αὐτὸν ἀντέγραψαν οἱ Ἰουδαῖοι, ὅτι «οὐ θέμις αὐτοῖς τὰς βίβλους διακοινοῦσθαι πρὸς ἐθνικοὺς, ἅτε δὴ προφητικαῖς ἀραῖς ἀπηγορευμένον», θυμωθεὶς ὁ Πτολεμαῖος, ἔγραψεν αὐτοῖς καὶ *δευτέραν* ἐπιστολὴν, ὀργῆς καὶ ἀπειλῶν πλήρη. Καὶ οἱ Ἰουδαῖοι φοβηθέντες, αὐτίκα τὰς βίβλους ἀπέστειλαν. Ὁ δὲ καὶ αὖθις,

---

(α) S. August. de Civit. Dei, XVIII. c. 42. βλ. καὶ ὄπισθ. Τόμ. α, σελ. 47, 56.

(β) Ἐπιφ. π. μέτρ. §. 9, 10. 11.

(γ) Apud Hottinger. Thesaur. Philologic. p. 347.

(δ) «Finxerunt r e c e n t i o r e s G r a e c u l i apud Matthaeum Cigalam.» (sic!). Hody l. c. pag. 112.

ὁ Πτολεμαῖος, ἔγραψεν αὐτοῖς καὶ *τρίτην* ἐπιστολὴν, μεταστελλόμενος καὶ τοὺς ἑρμηνεῖς ». Καὶ τοιαῦτα μὲν ὁ Κιγάλας (α).

§. ε. Γ) Καὶ αὐτὴ δὲ (λέγουσιν) ἡ διάλεκτος τῆς Γραφῆς ἀποδείκνυσι τοὺς ἑρμηνεῖς Ἀλεξανδρινοὺς, καὶ οὐχ Ἱεροσολυμίτας, μετακληθέντας δῆθεν εἰς Ἀλεξάνδρειαν. Μαρτυρεῖ δὲ τοῦτο Λεξικὸν Ἑλληνικὸν ἐκδεδομένον ἐν Λουτετίᾳ (1532), φέρον ἐπιγραφὴν ταύτην, « *ΤΩΝ ὀνομάτων Ἀττικῶν* (β) *ξυλλογή*· ἐκλεγεῖσα ἀπὸ τῆς τεχνολογίας τῶν εἰκόνων τοῦ Φιλοστράτου, ἣν ἐξέδοτο ὁ σοφώτατος Κύριος Μανουὴλ ὁ Μοσχόπουλος, καὶ ἀπὸ τῶν βιβλίων τῶν ποιητῶν· συνετέθη δὲ ἐνταῦθα κατὰ στοιχεῖον ». — Ἐν τούτῳ τοίνυν τῷ λεξικῷ περιέχονται καὶ ταῦτα· « ΤΟ (γρφ. ΤΩ) *καθὰ* οἱ Ἀττικοὶ χρῶνται, ΤΟ δὲ (γρφ. ΤΩ δὲ) *καθὼς*, οὐδέποτε· *ἀλλ' ἡ τῶν Ἀλεξανδρέων διάλεκτος, καθ' ἣν ἡ Θεία Γραφὴ γέγραπται* » (γ).

§. ϛ. Δ) Ἀλεξανδρινοὺς (ἐπισυνείρουσι) τοὺς ἑρμηνεῖς ἅλις ἐξελέγχουσι καί τινα τῆς ἑρμηνείας ὀνόματα, συνήθη παρὰ τοῖς Ἀλεξανδρεῦσι, τὰ ἐφεξῆς.

1) Τὸν ἑβραϊκὸν *σίκλον* μεταφράζουσι καὶ *δίδραχμον* (Γεν. κγ, 15. Ἀριθμ. γ, 47. Ἰησ. ζ, 21. Νεεμ. ζ, 21, κτλ.)· δίδραχμον

---

(α) Βλ. τὴν εἰς χυδαίαν διάλεκτον ἐκδοθεῖσαν Νέαν Σύνοψιν διαφόρων ἱστοριῶν Ματθαίου τοῦ Τζιγάλα, Κυπρίου τὴν πατρίδα. Ἑνετίῃσι, 1637. Τούτου φέρεται καὶ Συνταγμάτιον περιέχον εὐχὰς ἱκετηρίους καὶ κανόνας εἰς τὴν Θεοτόκον κτλ. Ἑνετ. 1681, καὶ ἄλλα. βλ. Car. Patinj Lyceum Patavinum etc. p. 58, καὶ Helladij de statu Eccles. Graec. pag. 8. καὶ Fabric. Bibl. Gr. Tom. XI. p. 680 Harl. Σημ. ἡμετ.

(β) Γράφε Ὀ ν ο μ ά τ ω ν κτλ. (χωρὶς τοῦ ΤΩΝ). Ἡ βάρβαρος τοῦ ἄρθρου προσθήκη προσεπισέσακται κατὰ λάθος οὐχ ὑπὸ τοῦ Ὁδίου, ἐξ οὗ ἀντιγράφομεν τὴν ἐπιγραφὴν, ἀλλ' ὑπ' αὐτοῦ τοῦ ἐκδότου τοῦ Λεξικοῦ Misch. Vascosani (Paris, 1532), ἢ καὶ τοῦ πρώτου ἐκδόντος Fransc. Asulani (Venet. 1524). Πάσχουσι τοιαῦτα περὶ τὴν ἄτοπον χρῆσιν τῶν ἑλληνικῶν ἄρθρων πολλοὶ τῶν Εὐρωπαίων ἑλληνιστῶν, παρασυρόμενοι τὸ μὲν, ὑπὸ τῆς (εἰς ἣν τὸ πρῶτον ἐκπαιδεύονται) ἀνάρθρου λατινικῆς, τὸ δὲ πλεῖστον, καὶ ὑπ' αὐτῆς τῆς μὴ καθ' Ἕλληνας εἰς τὰς οἰκείας αὐτοῖς διαλέκτους χρήσεως τῶν ἄρθρων. Οὕτως οἱ Γάλλοι λέγουσι les noms attiques (τὰ ὀνόματα ἀττικὰ, ἀντὶ τ ὰ ἀ τ τ ι κ ὰ ὀνόματα), καὶ Ἰταλοὶ ὡσαύτως, καὶ ἄλλοι συχνοί. Σημ. ἡμετ. — (γ) Ἡ ἡμαρτημένη γραφὴ τῶν δύω ΤΟ, ἀντὶ ΤΩ, παρεισέδυ κατὰ λάθος καὶ παρὰ τῷ κλεινῷ Στουρζίῳ (Sturz. de Dial. Maced. pag. 75). Σημ. ἡμετ.

δὲ νοοῦσιν οὐχὶ πάντως τὸ κοινὸν, ἢ ἀττικὸν, ἀλλὰ τὸ Ἀλεξανδρινόν. Καὶ μαρτυροῦσιν Ἰώσηπος (Ἀρχ. γ. 9), καὶ Ἱερώνυμος (Εἰς Ἰεζεκ. κεφ. δ.), λέγοντες τὸν σίκλον ἰσοδύναμον τῷ Ἀττικῷ τετραδράχμῳ· τούτῳ δὲ πάλιν ἰσοδυναμεῖ τὸ Ἀλεξανδρινὸν δίδραχμον (οὕτω καὶ τὸ τάλαντον τῶν Ἀλεξανδρέων ὑπῆρχε διπλάσιον τοῦ ἀττικοῦ ταλάντου, κατὰ τὸν Πολυδεύκην). Ὅθεν ὁ Ἀκύλας μετέφρασε τὸν σίκλον, *τετράδραχμον*, οὐχὶ δίδραχμον· διότι ὁ Ἀκύλας οὐκ ἦν Ἀλεξανδρεύς.

2) Τὸ Ἑβραϊκὸν Ephah (μέτρον τι, τετραχοίνικον, Αἰγύπτιον) ἐκφέρουσιν οὐχὶ κατὰ τὴν ἑβραίαν προφορὰν, ἀλλὰ κατὰ τοὺς Αἰγυπτίους, γράφοντες *οἰφὶ* (Λευϊτ. ε, 11: ϛ, 20: Ἀριθμ. ε, 15: κε, 5: Ῥοὺθ β, 17, κτλ.). Ἀπέμεινε δὲ καὶ παρὰ τοῖς καθ' ἡμᾶς Κόπταις ἡ λέξις *οἰφὶ* (μέτρον τι σημαίνουσα). Ὁ δὲ μακάριος Ἱερώνυμος μὴ κατανοήσας τὴν αἰτίαν, δι' ἣν οἱ ἑρμηνεῖς ἔγραψαν οἰφὶ, λέγει ταῦτα. « Τὸ Epha κατὰ τὴν ἑλληνικὴν φωνὴν λέγεται παρεφθαρμένως ὕφι» (ἴσ. γρ. οἰφὶ) (α). Καὶ αὐτὸς δὲ τὸ πλεῖστον ἔγραψεν οὐκ Epha, ἀλλ' Ephi (τουτέστιν Oephi, ἀντὶ οἰφὶ), παρακολουθῶν τῆς ἑλληνικῆς ἑρμηνείας τὴν ἀνάγνωσιν. Οὕτως ἔχει καὶ ἡ παλαιὰ λατινικὴ ἐκ τοῦ ἑλληνικοῦ μετάφρασις (ἡ Ἰτάλα).

3) Ἐπὶ τοῦ *Λογείου τῆς κρίσεως* (β), ὅπερ ὁ τῶν Ἰουδαίων ἀρχιερεὺς ἔφερεν ἐπὶ τοῦ στήθους, ἔκειτο καὶ τὸ ἑβραϊστὶ λεγό-

---

(α) S. Hieron. Com. in Ezech. LXV. 13, 46. Zachar. V. 6 κτλ. Οὕτω καὶ Eucherius Lugdunens. « Ephi, sive Opha, modij tres » (Nom. Hebr. interpret.). Hody.

(β) Παρὰ τοῖς Ο (κατὰ τοὺς πλείστους κώδηκας, ὡς καὶ παρὰ Φίλωνι) γράφεται τὸ λογεῖον (κατά τινας δὲ κώδηκας) καὶ λόγιον τῆς κρίσεως (καὶ τῶν κρίσεων). Ἐξόδ. κη, 23, 24, 26. καὶ κθ, 26: Λευϊτ. η, 8. Λόγιον εἶπε τοῦτο καὶ Ἰώσηπος (Ἀρχ. Γ. ζ, 5, καὶ η, 9) ἑρμηνεύων τὸ ἑβραϊκὸν chossen, ἢ hossen, ὅπερ ἔγραψε καὶ ἔκλινεν ἑλληνικώτερον ἐσσὴν, ἐσσῆνος, ἢ (κατ' ἄλλους κώδηκας) ἐσσήνης (ὡς ἐκ τοῦ Συριακοῦ Chosna. ϐλ. Bernard. not. εἰς Ἰωσήπ. Ἀρχ. σελ. 144. πρϐλ. καὶ Spanhem. observat. in Callimach. hymn. in Jovem Tom. 2. p 56. Ern.). Τὸ δ' αὐτὸ λογεῖον οἱ Ο, καὶ περιστήθιον (Ἐξόδ. κη 4). ϐλ. ἐφεξῆς § ιζ. ἄρθρ. η. Κατὰ τοὺς Ο, ἔχει καὶ ἡ Βουλγάτα ἀμφότερα τὰ ὀνόματα pectorale, καὶ rationale. Σημ. ἡμετ,

μενον Thummim (Θουμμίμ.)· σημαίνει δὲ ἡ λέξις *τελειότητα*, ἢ *τελείωσιν*· ἀλλ᾽ οἱ ἑρμηνεῖς τῆς Πεντατεύχου τὸ Θουμμὶμ ἡρμήνευσαν *Ἀλήθειαν* (Ἐξόδ. κη, 26: Λευΐτ. η, 8: Δευτερ. λγ. 8). Ἐρωτᾷς τὴν αἰτίαν; ἔχε ταύτην μαθὼν παρ᾽ Αἰλιανοῦ. « Δικασταὶ (λέγει οὗτος) τὸ ἀρχαῖον παρ᾽ Αἰγυπτίοις ἱερεῖς ἦσαν. Ἦν δὲ τούτων ἄρχων ὁ πρεσβύτατος, καὶ ἐδίκαζεν ἅπαντας. Ἔδει δὲ αὐτὸν εἶναι δικαιότατον ἀνθρώπων καὶ ἀφειδέστατον. Εἶχε δὲ καὶ ἄγαλμα περὶ τὸν αὐχένα ἐκ σαπφείρου λίθου, καὶ ἐκαλεῖτο τὸ ἄγαλμα *Ἀλήθεια* » (Ποικίλ. ἱϛορ. ιδ, 34). Τοῦτο καὶ Διόδωρος ἱστόρησε λέγων· « Ἐπεὶ δὲ συνέλθοιεν οἱ τριάκοντα (κοινοὶ δικασταὶ), ἐπέκρινον ἐξ ἑαυτῶν ἕνα, τὸν ἄριστον, καὶ τοῦτον μὲν ἀρχιδικαστὴν καθίσταντο· — ἐφόρει δὲ οὗτος περὶ τὸν τράχηλον ἐκ χρυσῆς ἁλύσεως ἠρτημένον ζῴδιον τῶν πολυτελῶν λίθων, ὃ προσηγόρευον *Ἀλήθειαν*. Τῶν δ᾽ ἀμφισβητήσεων ἤρχοντο, ἐπειδὰν τὴν τῆς ἀληθείας εἰκόνα ὁ ἀρχιδικαστὴς προσθεῖτο » (Διόδωρ. Α. σελ. 68). Βλέπεις ἐκ τούτων πόσον συμφωνεῖ τὸ τοῦ Ἑβραίου ἀρχιερέως *Θουμμὶμ* πρὸς τὴν *Ἀλήθειαν* τοῦ Αἰγυπτίου ἀρχιδικαστοῦ. Καὶ ἔστιν ἀναμφίβολον, ὅτι διὰ τοῦτο καὶ οἱ ἑρμηνεῖς τὸ Θουμμὶμ (τουτ. τὴν τελείωσιν) μετέφρασαν Ἀλήθειαν, διότι παρομοίως ἐκαλεῖτο καὶ παρ᾽ Αἰγυπτίοις τὸ ἐπιστήθιον. Ἐκ δὲ τούτου γίνεται καταφανὲς, ὅτι ἦσαν οὐκ ἐπήλυδες, ἐξ Ἱεροσολύμων εἰς Ἀλεξάνδρειαν ἐπιξενωθέντες, ἀλλ᾽ Αἰγύπτιοι ἑβραῖοι, ἔχοντες πρὸ ὀφθαλμῶν τὰ ἤθη καὶ τὰ ἔθιμα τῶν Αἰγυπτίων ἐθνικῶν.

4) Ἡ τοῦ Ἰωσὴφ Αἰγυπτιακὴ προσηγορία (Γενέσ. μα, 45) ἑβραϊστὶ μὲν (κατὰ τὴν στίξιν τῶν Μασοριτῶν) γράφεται *Τσαφνὰθ-Παανεὰχ* (α). ἐν δὲ τῇ ἑλληνικῇ μεταφράσει γράφεται *Ψονθομφανήχ*. Καὶ τοῦ μὲν *φανὴχ* τὸν φθόγγον στέργουσιν ὁπωσδήποτε τὰ ἀντιστοιχοῦντα ἑβραϊκὰ στοιχεῖα (Paaneah), τὸ δὲ

---

(α) Tsaphnath Paaneah, ἢ Paaneach, ἢ καθὼς ὁ Ἱερώνυμος ἀνέγνω Saphanathphaneth, ἢ Zaphanath Phaanecha, ἢ Zaphanetphanc (S. Hieronym. Comm. in Daniel c. i. et Quaest. in Genes. et De loc. Hebr.).

*ψονθὸμ* οὐκ ἂν γένοιτο παρὰ τὸ *Τσαφνὰθ* (Tsaphnath). Καὶ λοιπὸν δυοῖν θάτερον, ἢ οἱ ἑρμηνεῖς μετέβαλον ὀλίγῳ τὸν φθόγγον τοῦ ὀνόματος, ἢ ἄλλως μὲν εἶχε τ᾽ὄνομα γεγραμμένον ὁ κώδηξ, ᾧ ἐκεῖνοι ἐχρῶντο, ὁ ἑβραϊκὸς, ἄλλως δὲ γράφεται τανῦν ἐν τοῖς καθ᾽ ἡμᾶς. Ἀλλ᾽ εἰ μὲν μετέβαλον τὸν φθόγγον, διὰ τί ἄρα καὶ μετέβαλον; Ἰδοὺ ποίαν ἐγὼ (φησὶν Ὅδιος) νομίζω τὴν αἰτίαν. Κατοικοῦντες ἐν Αἰγύπτῳ, καὶ τῆς Αἰγυπτίων γλώσσης ὄντες ἐγκρατεῖς οἱ ἑρμηνεῖς, ἠπίσταντο τὸ ὄνομα γεγραμμένον ἐν τῇ ἑβραΐδι γραφῇ ἄλλως πως, ἢ κατὰ τὴν χρῆσιν καὶ συνήθειαν τῶν αὐτοῖς συγχρόνων Αἰγυπτίων· ὅθεν καὶ παρέτρεψαν ὀλίγῳ τὴν φωνὴν ἐξεπίτηδες πρὸς τὴν τότε συνήθη προφοράν (α). Οὕτω καὶ Ἰώσηπος, (καίτοι δι᾽ ὅλης τῆς ἱστορίας οὐχὶ τὴν ἑλληνικὴν ἑρμηνείαν, ἀλλὰ τὸ κείμενον μάλιστα παρακολουθῶν) (β), ἔγραψεν ὅμως καὶ αὐτὸς (ὡς καὶ ἄλλα τινὰ ὀνόματα) κατὰ τὴν γραφὴν τῆς ἑρμηνείας, *ψονθομφάνηχον*· « σημαίνει δὲ τὸ ὄνομα

---

(α) Τοσοῦτόν ἐστιν ὀλίγη καὶ ἀνεπαίσθητος ἡ τοῦ Τ σ α φ ν ὰ θ εἰς τὸ Ψ ο ν θ ὸ μ μεταβολὴ, ὥστε πλὴν δύω γραμμάτων (τοῦ ν καὶ θ) οὐδὲν ἕτερον ἔχουσι κοινὸν πρὸς ἀλλήλας αἱ δύο λέξεις αὗται! καὶ ὁ φθόγγος δὲ παρὰ πολὺ καὶ λίαν ὁμοιόφωνος! Πλὴν ἀλλ᾽ ἔστω καὶ ὀλιγοστὸν, καὶ ὀ λ ί γ ι σ τ ο ν (ὡς λέγει Ὅδιος, paululum) τὸ διάφορον αὐτῶν. Τὸ δὲ ἕτερον τοῦ προτεθέντος ἀνωτέρω διλήμματος μέρος πῶς ἀπεσιώπησεν ὁ σοφὸς κριτικός; Εἰ μὲν γὰρ ἡ μεταβολὴ γέγονεν ὡς εἶπεν, ἴτω, ἀγαθῇ τύχῃ! εἰ δὲ (τὸ προφανέστατον) ἄλλως πως ἀνέγνωσαν οἱ ἑρμηνεῖς, ἢ ὡς ἔχει τὸ σημερινὸν ἑβραϊκὸν (τουτέστιν, εἴπερ ἀνέγνωσαν καὶ ἑβραϊστὶ, καθὼς ἔγραψαν ἑλληνιστὶ, Ψ ο ν θ ὸ μ), ποία λοιπὸν μένει τοῦ προκειμένου ἐπιχειρήματος ἡ ἰσχύς; Σημ. ἡμετ.

(β) Πόσον ὀλίγον ἐν τοῖς πλείστοις ὁ Ἰώπηπος συμφωνεῖ πρὸς τὸ σημερινὸν ἑβραϊκὸν κείμενον, καὶ πόσον ἐπιμελῶς καὶ κατὰ πόδα παρακολουθεῖ τοῖς Ο, καὶ ἐν ἄλλοις ἐπισήμοις καὶ εἰς τὰ κύρια τῶν ὀνομάτων, ἀρκεῖ πρὸς ἀπόδειξιν καὶ μόνη ἡ ἁπλῆ ἀντιπαράθεσις πολλῶν τοῦ Ἰωσήπου σελίδων πρὸς τὰς ἀντιστοιχούσας τῶν Ο. (βλ. Lud. Spittler de usu version. Alexandrin. apud Iosephum. Gotting. 1779. πρβλ. καὶ I. Sibrandae notul. in Libr. I. Joseph. Antiquit. pag. 60 ed. Hav.). Ἡ δὲ περὶ τοῦ Ἰωσήπου γνώμη τοῦ περικλεοῦς Ὁδίου ὀλίγον ἀληθεύει· τοιαῦτα καὶ ἄλλοι πρὸ αὐτοῦ ἐφρόνησαν· ὁ δὲ σοφὸς Ἐρνέστης ἐξεπήδησε καὶ πολὺ μακρότερον. Ὅσα χωρία τοῦ Ἰωσήπου συμφωνοῦσιν οὐχὶ πρὸς τὸ σημερινὸν ἑβραϊκὸν, ἀλλὰ πρὸς τοὺς Ο, ταῦτα, λέγει, διεσκεύασαν παρεμβύσαντες οἱ ἀρχαῖοι τῆς Ἐκκλησίας Πατέρες!!! Ernesti de stylo Josephi etc. n. 2. πρβλ. καὶ Rosenmül. Schol. ad Exod. 12, 40. Σημ. ἡμετ.

κρυπτῶν εὑρέτην » (Ἀρχ. β. ϛ)· ψονθομφανὴχ ἔγραψε καὶ Φίλων (περὶ τῶν Μετονομαζομένων), καὶ Θεοδώρητος (α). Παρὰ δὲ Σουΐδᾳ γράφεται ἡμαρτημένως *ψανθεοφάνιχος*. Ὡσαύτως καὶ ἐν τῷ Ἀλεξανδρινῷ χρονικῷ, *ψονθομφαγχθῆ* (ὅπου καὶ ἄλλο προστίθεται σφάλμα· « ὅτι οὕτω προσηγόρευσαν οἱ Αἰγύπτιοι *τὸν Μωϋσῆν* »! ).

5) Ἐν Γενέσ. κεφαλ. μη, 7, ἀναγινώσκομεν. « Ἀπέθανε Ῥαχὴλ ἡ μήτηρ σου ἐν γῇ Χαναάν, ἐγγίζοντός μου κατὰ τὸν ἱππόδρομον, χαβραθὰ τῆς γῆς, τοῦ ἐλθεῖν Ἐφραθᾶ· καὶ κατώρυξα αὐτὴν ἐν τῇ ὁδῷ τοῦ ἱπποδρόμου· αὕτη ἐστι Βηθλεέμ ». Πρὸς ταῦτα δικαίως ὁ Ἱερώνυμος ἠπόρησε λέγων· « Τὸ ἑβραϊκὸν Chibrath (τὸ αὐτὸ καὶ χαβραθὰ) ἀγνοῶ, τί ποτε βουλόμενοι οἱ Ο, μετέφρασαν *ἱππόδρομον*· καὶ καθεξῆς (Γενέσ. αὐτόθ. ), ὅπου τὸ ἑβραϊκὸν κείμενον ἔχει, « *καὶ ἔθαψαν αὐτὴν ἐν τῇ ὁδῷ Ἐφραθᾶ, αὕτη ἐστι Βηθλεὲμ*, οἱ Ο, πάλιν ἀντὶ τοῦ Ἐφραθᾶ ἔγραψαν *ἱππόδρομον* (« κατώρυξα ἐν τῇ ὁδῷ τοῦ ἱπποδρόμου »). Ἐὰν τὸ *χαβραθὰ* σημαίνῃ ἱππόδρομον, τὸ *Ἐφραθᾶ* λοιπὸν οὐκ ἂν εἴη ἱππόδρομος ». Ταῦτα ὁ Ἱερώνυμος (β). Ἀλλὰ ταύτην τοῦ πατρὸς τὴν ἀπορίαν ἔλυσε

---

(α) Θεοδώρ. εἰς τὰ Ἄπορ. Γενέσ. ρϐ. ἐρωτ. τομ. α. σελ. 54. ἐκδ. Εὐγεν. (ὅπου ἐτυπογραφήθη ἡμαρτημένως ψ ο μ ι θ ὸ μ φ α μ ν ὲ χ), Ὁ δ' Ἀκύλας (ἔχει) Ἀ σ α μ φ α ν ὴ (ἴσ. Σ α θ α μ φ.). «Σύμαχος· Σ α φ α θ φ α ν ή» (Ὠριγ. Σχόλ. εἰς Ὀκτακτ. τ. α. σελ. 462). πρϐλ. καὶ Ὠριγέν. Ἑξαπλ. (ἐν χωρίῳ Ὁ Εὖρος), καὶ ὁμιλ. κε. εἰς Ἀριθμ. καὶ Χρυσόστομ. εἰς Γένεσ. μα. Σημ. ἡμετ.

(ϐ) Hieronym. Quaest. sive. Tradit. Hebr. in Genes. Σημείωσαι δὲ (ὃ παρέλιπεν Ὅδιος), ὅτι ὁ μακάριος Ἱερώνυμος ἠπατήθη λέγων, ὅτι οἱ Ο, ἀντὶ Ἐ φ ρ α θ ᾶ ἔγραψαν ἱ π π ό δ ρ ο μ ο ν· διότι παρὰ τοῖς Ο (Γενέσ. λε, 19, ἐκδ. Βατικαν.) γέγραπται « ἐτάφη ἐ ν τ ῇ ὁ δ ῷ τ ο ῦ ἱ π π ο δ ρ ό μ ο υ Ἐ φ ρ α θ ᾶ » (καὶ χω ρ ὶ ς τοῦ ἱπποδρόμου, κατὰ τὴν Ἀλεξ. καὶ Ἄλδ. καὶ Κομπλουτ ἔκδοσιν « ἐ ν τ ῇ ὁδῷ Ἐ φ ρ α θ ᾶ), «αὕτη ἐστὶ Βηθλεέμ » Ἀλλὰ τὴν πρώτην (κατὰ τὸ Βατικανόν ) ἀνάγνωσιν μαρτυρεῖ καὶ τὸ Γενέσ. μη, 7. «Ἐν τῇ ὁδῷ τοῦ ἱπποδρόμου» (Βατικ. Ἀλεξ. κτλ. ὅπου λείπει τὸ Ἐφρ.). Ὡσαύτως καί τις ἄλλη παρ' Εὐσεβίῳ ἐλλειπὴς κᾀκείνη γραφὴ « Καὶ ἔθαψαν αὐτὴν ἐ ν τ ῷ ἱ π π ο δ ρ ό μ ῳ (ἴσ. γ ρ. ἐ ν τ ῇ ὁ δ ῷ τ ο ῦ ἱ π π ο δ ρ ό μ ο υ) Ἐ φ ρ α θ ᾶ» κτλ. (Εὐαγγελ. Ἀποδ. ζ. σελ. 215 Lutet.). Ὁ δ' Ἀκύλας ἑρμηνεύσας «καθ' ὁ δ ὸ ν τ ῆ ς γ ῆ ς Ἐ φ ρ α θ ᾶ», φαίνεται καὶ οὗτος ἐκλαϐὼν τὸ ὁ δ ὸ ν ὡρισμένως, ἀντὶ μ έ τ ρ ο ν ὁ δ ο ῦ, ὡς τὸ Chibrath, ἢ τὸ ἱππόδρομος, καθὰ καὶ ὁ Πέρσης π α ρ α σ ά γ γ η ν ἡρμήνευσεν. ϐλ. Rosenmüller Schol. ad. Gen.

μετὰ Βομφρέριον ὁ Δεσπειρήσιος (α). Οὗτος ἀπέδειξεν ἐκ πολλῶν Ῥαββίνων, ὅτι τὸ *χαβραθὰ* σημαίνει μέτρον γῆς ἰσόμηκες τῷ ἑβραϊκῷ μιλλίῳ, « *σαββάτου ἔχον ὁδόν* »· καὶ ἑπομένως ποδῶν 3000, ἤτοι, πήχεων 2000, ἤτοι βημάτων μικρῶν μὲν 1000, μεγάλων δὲ 500, ἤτοι σταδίων 5 (ἴσον τῷ ἱπποδρόμῳ). Ὅθεν οἱ ἑρμηνευταὶ προσέθηκαν τὸ ἱππόδρομος, οἷον ἐπεξήγησιν τοῦ *χαβραθὰ*, ἵνα ᾖ ὁ λόγος· « ἐγγίζοντός μου πρὸς Ἐφραθᾶ, καὶ ἀπέχοντος ὅσον ἱπποδρόμου διάστημα, μέτρον γῆς, τὸ ἑβραϊστὶ χαβραθά » κτλ. Ταῦτα δὲ πρὸς τί γράφομεν; ὅπως ἀποδείξωμεν ὅτι τὸν ἱππόδρομον οὐκ ἂν ἐμνημόνευσεν ὁ ἑλληνιστὴς ἑρμηνεὺς (!), εἰ μὴ διέτριβεν ἐν Ἀλεξανδρείᾳ κατοικῶν, καὶ βλέπων συνεχῶς τὸν κατ᾽ αὐτὴν ἱππόδρομον (ὑπὸ Πτολεμαίου τοῦ Λαγίδου κατεσκευασμένον). Τούτου δὲ καὶ ἄλλοι μνημονεύουσι συγγραφεῖς (βλ. Γ, Μακκ. δ. 11: Ἐπιφ. π. μέτρ. 12)· γνωστὴ δὲ καὶ τῶν Ἀλεξανδρέων ἡ περὶ τὰ θεάματα καὶ τοὺς ἱπποδρομικοὺς ἀγῶνας

---

35, 16, πρβλ. Schleusn. λ. *ἱππόδρομος*). Ἄξιον δ᾽ ἐνταῦθα προσσημειῶσαι καὶ τὰς περὶ τοῦ Chibrath πολλὰς καὶ ποικίλας ἀντιφάσεις τῶν Ῥαββίνων καὶ κριτικῶν. Οἱ μὲν τοῦτο *στάδιον* ἑρμηνεύουσιν· οἱ δὲ, *μιλλιάριον* (1000 βήματα). οἱ δὲ, *πλέθρον γῆς* (Jugerum), ὅσον ἄν τις ἀρόσοι μιᾶς ἡμέρας· οἱ δ᾽ ὀλίγιστον γῆς (paululum terrae, ὡς Ὄγκελος)· οἱ δὲ, παρασάγγην (ἢ λεύγαν)· οἱ δ᾽ ἁπλῶς, *μέτρον ὁδοῦ*· οἱ δὲ, *πολλὴν ὁδόν*· οἱ δὲ, *μικρὸν μέτρον γῆς*· οἱ δὲ, *κεκαλλιεργημένην γῆν*· οἱ δὲ, *χρόνον ἐαρινὸν* (ὡς ἔχει καὶ ἡ Βουλγάτα, verno tempore)· οἱ δὲ, (ἐξ ὧν καὶ Ἱερώνυμος) « *χρόνον γῆς ἐκλεκτὸν* (τουτ. *ἐπὶ γῆς*, καθ᾽ ὃν ἡ γῆ ἀνθεῖ — ἐαρινόν· ὅθεν πάλιν ἡ Βουλγάτα ἐν Δ, Βασ. 5. 19, electo tempore· οἱ δὲ Ο, κἀκεῖ Χαβραθὰ)· οἱ δὲ, δίαιταν, ἢ *χρόνον διαίτης* (circiter diaetam terrae, τουτέστι, ὅσον ὁδίτης ἀνύει ἀπὸ τοῦ ἀκρατίσματος μέχρις ἀρίστου, ἢ ἀπὸ τούτου μέχρι τοῦ δείπνου). Ὁ δὲ πάντα ταῦτα φιλοπόνως συναθροίσας Καρτόβριχθος συνεπέρανεν ἐκ τούτων, ὅτι τὸ Chibrath, ἢ χαβραθὰ, μέτρον μέν ἐστιν ὁδοῦ, μικρὸν δὲ ὅμως, καὶ ἡμῖν ἄγνωστον! (Cartwright in Gen. 35, 16). Ταῦτα πρῶτον ὤφειλε, νομίζομεν, διαλλάξαι ὁ σοφὸς Ὅδιος, καὶ ἔπειτα ἐξαιγυπτιάσαι τοὺς Ο, ἐκ τοῦ ἱπποδρόμου. Ὁ δὲ θεῖος Ἱερώνυμος καὶ ἀλλαχοῦ ἠγάπησε τῶν Ο, τὸν ἱππόδρομον « Rachel in via erat, et in hippodromo » (Mich. c. 4. πρβλ. καὶ Drusij adnot. in Genes. 35). Σημ. ἡμετ.

(α) Bonfrer. ad Genes. 48. p. 284—. J. D'Espieresius de LXX. Interp. Dis. p. 3. Dub. 5.

ἀκρασία (Δίων Προυσαεὺς, ὁ καὶ Χρυσόστομος, λόγ. λβ. §. 19). Παρὰ δὲ τοῖς Ἱεροσολυμίταις ὁ ἱππόδρομος ὑπῆρχεν ἄγνωστος πιθανώτατα κατὰ τοὺς χρόνους τῆς μεταφράσεως. Εἰ δὲ καὶ παρ' Ἰωσήπῳ φαίνεταί τις ἐν Ἱεροσολύμοις ἱππόδρομος ἐπὶ τῆς Ἡρώδου βασιλείας (Ἰώσηπ. περὶ Ἰουδ. πολ. α, 21), ἀλλ' ὅμως ἐκ τῆς ἱστορίας τῶν Μακκαβαίων (Β, δ, 9) εἰκάζεται πιθανώτατον, ὅτι τοιοῦτοι ἑλληνικοὶ ἀγῶνες συνέστησαν ἐν Ἱεροσολύμοις ὕστερον μετὰ τοὺς Φιλαδέλφου χρόνους, εἴτε ὑπ' αὐτοῦ τοῦ Ἡρώδου, εἴτε καὶ μετὰ τῶν ἄλλων ἑλληνικῶν γυμνασίων, ἃ συνέστησεν Ἰάσων ὁ ἀρχιερεύς (Β. Μακ. δ).

6) *Κόνδυ* (Γενέσ. μδ, 2, 12, 16, 17. Ἡσ. να, 17), εἶδος ποτηρίου περσικοῦ, χρησίμου δὲ ὅμως καὶ παρὰ τοῖς Αἰγυπτίοις, ὡς συνάγεται ἐκ τῶν Νικομάχου· ὅστις « ἐν τῷ πρώτῳ *περὶ ἑορτῶν Αἰγυπτίων* φησί· Τὸ δὲ κόνδυ ἔστι μὲν περσικὸν» κτλ. (παρ' Ἀθην. ια, σελ. 477). Τίς λοιπὸν ἀμφιβάλλει, ὅτι καὶ οἱ τὴν Γένεσιν καὶ τὸν Ἡσαΐαν ἐξελληνίσαντες μετεχειρίσθησαν τὴν λέξιν, ὡς Ἀλεξανδρινοί;

7) Καὶ αὐτὴ τοῦ πρώτου τῆς Πεντατεύχου βιβλίου ἡ *Γένεσις* ἐπιγραφὴ βεβαιοῖ τοὺς ἑρμηνεῖς τὸ γένος Ἀλεξανδρεῖς. Ἡ λέξις ὑπῆρχεν ἰδία τῆς Αἰγυπτιαζούσης τῶν Ἀλεξανδρέων φιλοσοφίας, οἵτινες ἔλεγον οὐχὶ *κτίσιν*, ἀλλὰ *γένεσιν* κόσμου· καὶ περὶ τούτου διηνεκῶς ἤριζον, ὡς συμπεραίνεται ἐκ τοῦ Ἰαμβλίχου, ὅστις τὴν Αἰγυπτιακὴν φιλοσοφίαν ἐξελληνίζων, ἀντὶ τοῦ *κτίσις* κέχρηται τῷ *γένεσις*· μαρτυρεῖ δὲ καὶ ὁ τοῦ Πτολεμαίου σχολιαστὴς, λέγων· « *περιττῶς εἰώθασι λέγειν γένεσιν Αἰγύπτιοι κόσμον* » (α).

---

(α) Πρόσθες, ἀναγνῶστα, καὶ τὰ λοιπὰ τῆς τοῦ Σχολιαστοῦ περικοπῆς, ὅσα τὴν ἔννοιαν ἀπαρτίζουσι μετὰ τὸ « γένεσιν κόσμου»· «Καὶ γὰρ ἀρχὴν μίαν οὐκ ἔχει· πολλὰς δέ· τὰ δὲ μερικὰ, καὶ πολλὰς καὶ μίαν· μίαν μὲν τὴν ἐξ ἀρχῆς καὶ ἐν τῇ γενέσει τῶν ἀστέρων σύγκρασιν» κτλ. (πρβλ. Scaliger. not in Manil. p. 32. Lugd. Bat. 1600). Ἐκ δὲ τούτων βλέπεις, ἀναγνῶστα, ὅτι ὁ Σχολιαστὴς ἐννοεῖ, οὐχὶ (κατὰ τὸν Ὅδιον) ὅτι γένεσιν οὐ κτίσιν ἔλεγον οἱ Αἰγύπτιοι, οὐδ' ὅτι τοῖς Αἰγυπτίοις ἦν ἡ λέξις ἰδιάζουσα· ἀλλ' ὅτι περιττῶς ἔλεγον γένεσιν, ἐν ᾧ (κατὰ τὸν Σχολιαστὴν) ὁ κόσμος ἔχει πολλὰς ἀρχὰς, ἤτοι γενέσεις (origines). Ὥστε περιττῶς

Εἰ δ' ἦσαν Ἱεροσολυμῖται οἱ ἑρμηνεῖς, ἐπέγραφον ἂν οὐχὶ *Γένεσιν*, ἀλλὰ *Κτίσιν*. Τοῦτο δὲ κυρίως σημαίνει καὶ ἡ ἑβραϊκὴ τοῦ βιβλίου ἐπιγραφή.

8) Τούτοις προστεθείσθω καὶ τὸ « *κατὰ ἀριθμὸν ΑΓΓΕΛΩΝ ΘΕΟΥ* » (Δευτερ. λβ. 8), ἀντὶ τοῦ ἑβραϊκοῦ, « *κατὰ ἀριθμὸν* ΥΙΩΝ ΙΣΡΑΗΛ ». Πότερον ἆρα, τὸ ἀντίγραφον, ἐξ οὗ μετέφρασεν ὁ ἑρμηνεὺς (!), ὑπῆρχεν ἡμαρτημένον, ἢ αὐτὸς, ὡς Ἀλεξανδρινὸς, μετήλλαξε τὴν λέξιν, χαριζόμενος τοῖς Αἰγυπτίοις, οἵτινες διήρουν τὴν οἰκουμένην εἰς ἔθνη οϐ, καὶ τούτοις ἰσαρίθμους ἀγγέλους ἐφεστῶτας φύλακας ἐνόμιζον; Περὶ τούτου ἄλλοι κρινέτωσαν. Περὶ δὲ τῆς τοιαύτης δόξης τῶν Αἰγυπτίων, ἣν ἐδανείσθησαν καὶ οἱ Ἰουδαῖοι, λέγομεν ἐφεξῆς.

9) Ἀναγινώσκομεν ἐν Ἀμὼς κεφ. ε, 26. « Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν *Ῥεφὰν* » (ἐν δὲ τῷ Βατικανῷ κώδ. γράφεται *Ῥαιφὰν*, ἐν τῷ Κομπλουτ. *Ῥομφᾶ*, παρ' Ἱερωνύμῳ *Ῥαιφφὰν*, ἐν δὲ Πράξ. ζ, 43, *Ῥεμφάν*). Τὸ δ' ἑβραϊκὸν κείμενον τοῦ Ἀμὼς ἀντὶ τοῦ *ῥεφὰν* ἔχει Kijun, ἢ Kiun, *Κιοὺν*, ὃ δηλοῖ τὸν Κρόνον (Kevan, ἢ Chevan αὐτὸν καὶ Πέρσαι καλοῦσι καὶ Ἄραβες· οἱ δὲ Σύροι, Καιϐάν). Ἡμαρτημένην τὴν ἑβραϊκὴν γραφὴν τοῦ *Κιοὺν* ὑπέλαβε καὶ Οὐόσσιος, καὶ ἄλλοι σοφοὶ, καὶ τὸ Ῥεφὰν ἀντικαθιστῶσιν (α). Ἀλλ' ὁ Δρούσιος καὶ εἰς τὸν Ἀμὼς καὶ εἰς τὰς Πράξεις ἀντὶ *Ῥεφὰν* κρίνει γραπτέον *Κεφὰν*, ἵνα (λέγει) συμφωνῇ πρὸς τὸ ἑβραϊκὸν, ὅπερ αὐτὸς ἀνέγνω Chevan (ἀντὶ Ciun, ἢ Κιούν). Οὕτως ἐκεῖνος ἥμαρτε διπλῶς! Ὁ δὲ, τέλος, Σελδῆνος ἀγνοεῖ (λέγει), πῶς οἱ ἑρμηνεῖς ἀντὶ *Κιοὺν* ἔγραψαν Ῥεμφάν (β)· ἀλλ' ἔμοιγε πρόχειρος ὁ λόγος καὶ προφανής. Ὁ *Κιοὺν* (ὁ Κρόνος) παρ' Αἰγυπτίοις λέγεται *Ῥεφάν*·

---

τῷ ὄντι προσετέθησαν καὶ περιεχάρησαν οἱ λόγοι τοῦ Σχολιαστοῦ. Ὁ δὲ πάλιν Ἰάμϐλιχος οὐκ αἰγυπτιάζων, ἀλλὰ μᾶλλον ἑλληνίζων κέχρηται τῷ γένεσις. Βλέπε ἐν τῇ ἀπαντήσει. Σημ. ἡμετ.

(α) Js. Voss. de LXX. Interpr. c. 23. — Lud. Capel. ad Act. 7, 43.

(ϐ) Selden. De Dijs Syris, L. 2, c. 14

ὅθεν καὶ ὁ τοῦ Ἀμὼς μεταφραστὴς, ὡς Αἰγύπτιος, ἔγραψε τὸ ἐγχώριον ὄνομα. Εἰ δ' ἦσαν ἐξ Ἱεροσολύμων οἱ ἑρμηνεῖς, ἔγραφον ἂν, ἢ τὸ παρ' αὐτοῖς σύνηθες *Κιοὺν*, ἢ τὸ ἑλληνικὸν *Κρόνος*.

10) Γῆς Αἰγύπτου γέννημα φαίνεται καὶ ὁ τοῦ Ἡσαΐου ἑρμηνεὺς, ὡς συνάγεται ἐκ τῆς λέξεως *Ἀρτάβη* (Ἡσ. ε, 10), δι' οὗ μετέφρασε τὸ ἑβραϊκὸν Γομὲρ (Homer). Ἔστι δὲ ἡ ἀρτάβη εἶδος μέτρου σιτηρῶν, αἰγύπτιον, σύνηθες εἰς χρῆσιν κοινὴν παρὰ τοῖς Ἀλεξανδρεῦσιν, ὡς μαρτυροῦσιν Ἱερώνυμος (α), καὶ Σουΐδας (λ. Ἀχάνη)· καὶ Πολύβιος δὲ μνημονεύει τῶν ἀρταβῶν τῆς Ἀλεξανδρείας (ε, 89), καὶ Πτολεμαῖος ὁ Εὐεργέτης (παρ' Ἀθηναίῳ, ιβ. σελ. 549), καὶ Μέμνων ὁ Ἡρακλεώτης, λέγων· « Ἔπεμψεν ὁ Πτολεμαῖος τοῖς Ἡρακλεώταις ἀρτάβας πυροῦ πεντακοσίας » (παρὰ Φωτ. κώδ. 224. κεφ. 26). Καὶ λέγει μὲν Ἡρόδοτος τὴν ἀρτάβην *μέτρον περσικὸν* (α, 192), οἱ δὲ, *μηδικὸν* (Ἡσύχ. καὶ Σουΐδ. λ. ἀρτάβη), οἱ δὲ, περσικὸν καὶ αἰγύπτιον (β)· ἀλλ' ὅμως οὐδεὶς τῶν Ἑλλήνων, πλὴν τῶν Ἀλεξανδρέων, μετεχειρίζετο τὴν λέξιν ἁπλῶς ὡς ἑλληνικὴν, καθὼς ἔπραξεν ὁ τοῦ Ἡσαΐου μεταφραστὴς, ἐν ᾧ μήτε περὶ περσικῶν, μήτε περὶ αἰγυπτίων πραγμάτων ὑπῆρχε λόγος. Ὁ δὲ Γόλιος ἑρμηνεύσας τὴν ἀρτάβην Αἰγυπτίων μέτρον καὶ Σύρων (γ), ἢ ἐπλανήθη, ἢ τοὺς νεωτέρους ἐνόησε Σύρους· ὁ γάρ τοι παλαιὸς Σύρος Ἐπιφάνιος Αἰγύπτιον μέτρον ἔκρινε καὶ αὐτὸς τὴν ἀρτάβην, εἰπὼν, ὅτι « τοῦτο τὸ μέτρον παρ' Αἰγυπτίοις ἐκλήθη » (Περὶ Μέτρ. §. 24) (δ).

---

(α) S. Hieronym. in Esai. V. et Nom. Hebr. interp.

(β) « Τὸ ψευδαρτάβας ἐποίησε παρὰ τὴν ἀρτάβην, τὸ μέτρον· περσικὸν δὲ καὶ αἰγύπτιον τὸ ὄνομα » (Σχ. Ἀριστοφ. Ἀχαρ. 108). Ὁ δὲ Πολύαινος (Δ, 32) φαίνεται διακρίνων τὴν μηδικὴν, ἢ περσικὴν ἀρτάβην τῆς αἰγυπτίας, λέγων· « ἡ μηδικὴ ἀρτάβη μέδιμνος ἐστὶν ἀττικός ». Hody.

(γ) Jac. Golius Lexic. Arabic. λέξ. Artab.

(δ) Ἐκλήθη εἶπεν ὁ πατὴρ, ἀντὶ τοῦ κέκληται, ἢ καλεῖται, ὀνομάζεται οὕτως (ἀρτάβη) παρ' Αἰγυπτίοις, καθὸ σύνηθες παρ' αὐτοῖς καὶ τ' ὄνομα καὶ τὸ μέτρον (ὡς εἶπεν ἀνωτέρω καὶ ὁ Σχολ. τοῦ Ἀριστοφάνους)· ἀλλὰ τοῦτο μήπως σημαίνει καὶ ὅτι πρῶτον ἐκλήθη παρ' Αἰγυπτίων; καὶ ὅτι τούτοις εἴθιστο μόνοις; Σημ. ἡμετ.

11) Ἐκ τῆς αὐτῆς λέξεως, τῆς *Ἀρτάβη*, καὶ τὸ μεταξὺ τῶν ἐν τῷ Προφήτῃ Δανιὴλ παρεγγράπτων ἀποκρύφων ἀριθμούμενον διηγημάτιον, «*Βὴλ καὶ Δράκων*», Ἀλεξανδρινοῦ τινος ἀποδείκνυται ἔργον, ἢ ἑλληνιστὶ τὸ πρῶτον συγγραφὲν, ἢ ἐκ τῆς Χαλδαϊκῆς φωνῆς ἐξελληνισθέν. (Μετηνέχθη δὲ πιθανῶς καὶ εἰς τὴν Χαλδαίαν γλῶσσαν τὸ μέτρον ὑπὸ Μήδων καὶ Περσῶν, ὁπότε Κῦρος ὁ Πέρσης, καὶ πρὸ τούτου Ἀστυάγης ὁ Μῆδος ἐβασίλευσαν Βαβυλῶνος). Πλὴν ἀλλ' ὅμως τ' ἀληθέστερον, Ἀλεξανδρινοῦ τινος ἑλληνιστοῦ πλάσμα φαίνεται τὸ Βὴλ καὶ Δράκων ἱστορίδιον, ὡς καὶ ὅλη ἡ ἐν τῇ προφητείᾳ τοῦ Δανιὴλ προσκολληθεῖσα ἀπόκρυφος ἱστορία τῆς Σωσάννης, ἔργον οὖσα πάντως Ἀλεξανδρινοῦ ἑλληνιστοῦ, καθὼς ἀποδείκνυται βεβαίως ἐκ τῶν ἐν αὐτῇ λεκτικῶν παιγνιδίων ἐκείνων, «*σχῖνον σχίσαι*», καὶ, «*πρῖνον πρίσαι*» (α).

12) Ἐν τῷ Ἰὼβ (η, 11) ἀναγινώσκομεν· «Μὴ θάλλει *πάπυρος* ἄνευ ὕδατος;» (οὕτω καὶ Ἡσαΐ. ιθ, 6)· ἀλλ' ἡ πρὸς τὸ πάπυρος ἀντιστοιχοῦσα ἑβραϊκὴ λέξις (Gome) σημαίνει σχοῖνον (juncum), ὡς καὶ Ἱερώνυμος ἐσημείωσεν (εἰς Ἡσ. ιθ). Ὁ δὲ τοῦ Ἡσαΐου, καὶ ὁ τοῦ Ἰὼβ μεταφραστὴς, ἡρμήνευσαν *πάπυρον*, ὡς Αἰγύπτιοι. Ἔστι γὰρ καὶ τ' ὄνομα καὶ τὸ φυτὸν αἰγύπτιον· καὶ μαρτυροῦσιν ὅ,τε Ὀβίδιος, μνημονεύων «τοῦ *παπυροφόρου Νείλου* τὰ ῥεῖθρα τὰ *ἑπτάστομα*» (β), καὶ Λουκανὸς (γ), καὶ Θεόφραστος (ἱστ. φυτ. δ, 9), καὶ Διοσκορίδης (α, 115), καὶ Ἀπουλήϊος, καὶ ὁ σχολιαστὴς Αἰσχύλου (Ἱκέτ.). Ὁ δὲ Πλίνιος καὶ τὴν ἐκ παπύρου τοῦ χάρτου κατασκευὴν ἱστορεῖ συνειθισθεῖσαν ἐν Αἰγύπτῳ μετὰ τὴν ἀνάβασιν Ἀλεξάνδρου, κατὰ τὴν Οὐάῤῥωνος μαρτυρίαν, ὡς μήπω πρότερον οὔσης ἐκεῖ γνωστῆς τῆς χρήσεως τῶν χαρτῶν (δ).—

(α) Τούτων τῶν ἐν τῷ Δανιὴλ λεγομένων Ἀ π ο κ ρ ύ φ ω ν μνημονεύσει πάλιν Ὅδιος καὶ ἐν τοῖς ἐφεξῆς· κἀκεῖ ἀπαντήσομεν τὰ εἰκότα (Κεφ. Ζ. §. ιβ, κθ.). Σημ. ἡμετ.

(β) «Perque papyriphori septemflua flumina Nili». Ovid. Metamorph. XV.

(γ) «Cum tenet omnia Nilus,-Conseritur bibula Memphitis cymba papyro». Lucan. IV.

(δ) Ἀλλ' ἡ β ί β λ ο ς καὶ τὰ β ι β λ ί α πολὺ παλαιοτέραν ἀποδεικνύουσι τὴν

Προστίθησι δὲ καὶ ὅτι « *φύεται τὸ φυτὸν οὐ μόνον ἐν τοῖς ἕλεσι τῆς Αἰγύπτου, ἀλλὰ καὶ ἐν Συρίᾳ παρὰ τὴν λίμνην, ἐν ᾗ καὶ κάλαμος ὁ εὐώδης· ὅθεν καὶ Ἀντίγονος ὁ βασιλεὺς παπυρίνοις σχοινίοις ἐχρῆτο εἰς τὰ πλοῖα.* — Νεωστὶ δὲ (λέγει) καὶ παρὰ τὸν Εὐφράτην ἤκουσται πάπυρος φυόμενος, ἐξ οὗ καὶ χάρτην κατασκευάζουσιν. Οἱ δὲ Πάρθοι μᾶλλον ἔτι καὶ νῦν ἀγαπῶσιν ἱματίοις (ἢ παννίοις) ἐνυφαίνειν τὰ γράμματα » (α). Καὶ τοιαῦτα μὲν ὁ Πλίνιος. Ἀλλ' ὅμως παρὰ τοῖς Σύροις ἡ πάπυρος ὀλίγον ὑπῆρχε γνωστὴ καὶ κοινή· οὐδὲ πιστευτέον, ὅτι πάπυρος ἐκαλεῖτο καὶ παρ' ἐκείνοις τὸ φυτὸν, ἄλλῳ δέ τινι ὀνόματι ἰδίως παρ' αὐτοῖς ἐπιχωριάζοντι. Ὁ δὲ μέγας Σαλμάσιος ἐσημείωσεν, ὅτι οὐ μόνον τὴν αἰγυπτίαν *πάπυρον*, ἀλλὰ καὶ τὸν *φλοῦν* (scirpum vulgarem) Ἕλληνές τε καὶ Ῥωμαῖοι (παρ' Ἀλεξανδρέων δήπου παραλαβόντες), ὡσαύτως *πάπυρον* ὀνομάζουσιν (β), οἷον, ὅτε λέγουσι *λαμπάδας ἐκ παπύρου*, ὡς Ἀντίπατρος ἐν ἐπιγράμματι (Ἀνάλ. Βρυγκ. Τόμ. β).

« Λαμπάδα κηροχίτωνα, Κρόνου τυφήρεα λύχνον,
Σχοίνῳ καὶ λεπτῇ σφιγγόμενον παπύρῳ ».

Καὶ Μαρτιάλις ὁ Ῥωμαῖος ὁμοίως (γ). Ἀλλὰ καὶ Στράβων λέγων, ὅτι κατὰ τὴν Περουσίαν τῆς Ἰταλίας « τύφη τε καὶ πάπυρος, ἀνθήλη τε πολλὴ » (ε, 226), φαίνεται καταχρηστικώτερον πάπυρον ὀνομάσας τὸν φλοῦν (scirpum)· ὁ γὰρ Πλίνιος οὐδόλως

---

*ἐκ βίβλου (τῆς αὐτῆς καὶ παπύρου) κατασκευὴν τοῦ χάρτου·* Βλ. M. Spies Dissert. de papyr. veter. art. 2. Witeberg. 1666. *Σημ. ἡμετ.*

(α) Plin. XIII, 11. *πρβλ. καὶ* Solinum. c. 33.

(β) Salmas. ad Solin. p. 1003. *ἔχουσι καὶ τὰ* Γλωσσάρια. Scirpus *φλοῦς, πάπυρος. καὶ ἄλλο* Scirpus, *πάπυρος.* Hody.

(γ) «Fartus papyro dum tibi torus crescit.» Mart. Epigr. lib. 8. 1. Hody. [*Πάπυρον δ' ἐνταῦθα λέγει ὁ Μαρτιάλις τὰς εἰς καῦσιν τῶν νεκρῶν ἐπιτηδείας ξυλώδεις τοῦ παπύρου ῥίζας, αἷς ἐχρῶντο πρὸς τὸ καίειν καὶ Αἰγύπτιοι (Θεοφρ. ἱσ. φυτ. δ, 9). τίθεται δὲ ἡ λέξις οὐ μόνον καθ' ὅλου τοῦ φυτοῦ, ἀλλὰ καὶ ἐπὶ τῶν ῥιζῶν, καὶ ἐπὶ τοῦ φλοιοῦ, καὶ τῶν ἐκ τούτου σκευῶν, οἷον σχοινίων, χάρτου, κτλ.* Ἀνακρέων, Θεόφραστος, Γαληνὸς, Ὀριβάσιος, Παῦλος Αἰγινήτης, Πλίνιος, *κτλ. βλ. τὰς μαρτυρίας παρὰ τῷ* Spies de papyr. l. c. *Σημ. ἡμετ.*

ἐμνημόνευσε παπύρου φυομένης ἐν Ἰταλίᾳ. Ἀλλὰ περὶ τούτων μὲν κρινέτω καὶ ὁ ἀναγνώστης, εἴπερ ὅλως πιθανὸν, ὅτι, καὶ κατὰ τοὺς χρόνους τῆς Ἡσαΐου καὶ τοῦ Ἰὼϐ ἑρμηνείας, ὡσαύτως ἐξελάμϐανον τὸν πάπυρον κοινῶς καὶ ἀντὶ τοῦ σχοίνου, ἢ τοῦ φλοῦ. Ἐμοί δέ (φησιν Ὅδιος) ἅλις ἐχέτω, ὅτι τὰ πάντα εἰλικρινῶς ἐξεθέμην, μηδὲν ἀποκρύψας τὸν ἀναγνώστην· ὅπερ εἴωθε γίνεσθαι.

13) Ἄλλην αἰγυπτίαν λέξιν, μηδέποτε παρ᾽ Ἕλλησι παραδεδεγμένην, τὴν *Ἄχι*, ἔγραψεν ὁ τοῦ Ἡσαΐου μεταφραστὴς, λέγων· «Καὶ τὸ ἄχι τὸ χλωρόν» (Ἡσ. ιθ, 7). Τί δὲ τοῦτο τὸ *ἄχι*; ἄκουε τὸν Ἱερώνυμον· «Οἱ Ο, προσέθηκαν ἀφ᾽ ἑαυτῶν *ἄχι τὸ χλωρὸν*, ὅπερ ἐν τῷ ἑϐραϊκῷ οὐχ εὑρίσκεται. Ἤκουσα δὲ παρὰ τῶν Αἰγυπτίων ὅτι τῆς γλώσσης αὐτῶν ἐστιν ἡ φωνὴ, σημαίνουσα πᾶν τὸ ἐν ἕλει φυόμενον χλωρόν» (α). Τὴν αὐτὴν λέξιν *ἄχι* ἀναγινώσκομεν καὶ ἐν τῇ κατ᾽ Αἴγυπτον ἐξελληνισθείσῃ Σοφίᾳ τοῦ Σειρὰχ (μ, 16). Ἄχι, ἢ Ἄχει, ἀναγινώσκεται καὶ Γενέσ. μα, 2, καὶ 18 (ϐ), ὅπου τὸ ἑϐραϊκὸν ἔχει ahu. Ἔστι δὲ ἡ λέξις ἡ αὐτὴ, μεταϐᾶσα παρὰ τῶν Αἰγυπτίων καὶ εἰς τοὺς Ἑϐραίους, κατὰ μικρὰν τῆς ληγούσης διαφοράν. Ὁ δ᾽ Αἰγύπτιος τῆς Γενέσεως ἑρμηνεὺς ἔγραψε τὴν φωνὴν κατὰ τὴν κυρίαν προφορὰν τῶν Αἰγυπτίων, οὐδὲ μετέφρασεν αὐτὴν ἑλληνιστὶ, καθὸ συνήθη δηλαδὴ καὶ γνωστὴν παρὰ τοῖς Ἀλεξανδρινοῖς Ἕλλησιν. Ἡ αὐτὴ λέξις εὑρίσκεται (παρ᾽ ἑϐραίοις) καὶ ἐν Ἰὼϐ η, 11, ὅπου ὅμως ἐξηλληνίσθη *βούτομον*.

14) Ἐν Ἡσαΐ. κεφ. ιθ, 10, τὸ ἑϐραϊκὸν Scheker, ὃ σημαίνει μισθὸν, ἢ φραγμὸν (ἢ τὸ λατινίζον *κλεισοῦραν*, clausuram· κατὰ δὲ τὴν Βουλγάταν, lacunas, λάκκους λιμνώδεις εἰς ἰχθυοθηρίαν, ζω-

(α) S. Hieron Com. in Esái. 18, 5.

(ϐ) Κώδηκές τινες (ὡς ὁ τοῦ Ἄλδου) ἀντὶ ἄχει ἔχουσιν ὄχθη — «Παρὰ ταῖς ὄχθαις» ἔγραψε καὶ Φίλων (βίῳ πολιτ. ἢ π. Ἰωσὴφ σελ. 55. τόμ. 2. Μ.), ἀλλὰ τὰ ἀρχαιότατα χειρόγραφα, τὸ Ἀλεξανδρινὸν καὶ Βατικανὸν, ἔχουσιν ἄχι· καὶ αὐτὴ ἡ σύγχρονος σχεδὸν τῷ Φίλωνι λατινὶς τῶν Ο, μετάφρασις (ἡ Ἰτάλα) ἔχει achi. Ὁ δὲ Φίλων ἐκφράζει πολλάκις μᾶλλον τὸ νόημα παρὰ τὰς λέξεις τῶν Ο. Hody.

γρεῖα, ἢ *βιβάρια*), ἡ ἑλληνικὴ μετάφρασις ἡρμήνευσε *ζύθον* (ὡς ἂν ἐκ τοῦ ἑβραϊκοῦ Sechar). Ὁ δὲ ζύθος πάλιν, Αἰγυπτίων πόμα ἐκ κριθῆς (Ἱερώνυμ. ὑπόμνημ. εἰς Ἠσαΐ. ιθ). Αἰγύπτιον ποτὸν εἶπε τοῦτο καὶ Πλίνιος (ιβ, 25)· καὶ ὁ Κολουμέλλας ἐμνημόνευσε « *ζύθου πηλουσιακοῦ τὰ κύπελλα* (α). « Οἶνον ἐκ κριθέων » εἶπε τὸν παρ' Αἰγυπτίοις ζύθον καὶ Ἡρόδοτος (Β, 77). Ὁ δὲ Διόδωρος (α, 34), καὶ οὐδετέρως λέγει τ' ὄνομα, λέγων· «Κατασκευάζουσιν Αἰγύπτιοι πόμα λειπόμενον οὐ πολὺ τῆς περὶ τὸν οἶνον εὐωδίας, ὃ καλοῦσι ζύθος » (τό). Καὶ ὁ Γαληνὸς τῆς Ἀλεξανδρέων διαίτης εἶπε τὸ « ταρίχη τε καὶ πράσα ἐσθίειν, ἐπιπίνειν τε ζύθον » (εἰς τοὺς Ἱπποκρ. Ἀφορισμ. Βιβλ. β)· « κατεσκευάσθη δὲ τὸ πρῶτον παρ' Αἰγυπτίοις ὁ ζύθος» (Σχολ. εἰς Αἰσχύλ. Ἱκέτ.). Ἀλλ' οἱ Ἐτυμολόγοι (μωραίνοντες, ὡς εἰώθασι), τὴν αἰγυπτίαν ταύτην λέξιν, ὡς ἂν οὖσαν ἑλληνικήν, παράγουσιν ἐκ τοῦ *ζέω!* Πλὴν ἀλλ' ὅμως ἐγώ (φησιν Ὅδιος) οὐδ' ἐκεῖνο παρασιωπήσω, ὅτι τὸ ζύθος εὑρίσκεται καὶ παρά τισι τῶν πρὸ τῆς ἑρμηνείας τῶν Γραφῶν ἀκμασάντων Ἑλλήνων, οἷον παρὰ Θεοφράστῳ, καὶ τῷ Ἀριστοτέλει.

15) Σαφὴς Αἰγυπτιασμός ἐστι καὶ τὸ « τὴν *σχοῖνόν μου* σὺ ἐξιχνίασας » (Ψαλμ. ρλη, 3. ὅπου τὸ ἑβρ. ἔχει *κοίτην*). Ἔστι δὲ ἡ (καὶ ὁ) *σχοῖνος* μέτρον Αἰγυπτίων ἴδιον (δι' οὗ μετροῦσιν ὡρισμένα διαστήματα, τὸν Νεῖλον ἀναπλέοντες). Οὕτω καὶ Λατῖνοι ἔχουσιν ἰδιάζον τὸ ἑαυτῶν *μίλιον*, καὶ Γάλλοι τὰς *λεύγας*, καὶ Πέρσαι τοὺς *παρασάγγας*, κτλ. (Ἱερώνυμ. ὑπόμν. εἰς Ἰωὴλ, γ. 18). Ὅτι δὲ καὶ τῶν Αἰγυπτίων (*πλανῶνται* ὅσοι λέγουσι *Περσῶν*) ἴδιον μέτρον ὁ σχοῖνος, μαρτυρεῖ καὶ Ἡρόδοτος. « Ὁ δὲ σχοῖνος ἕκαστος, *μέτρον ἐὸν Αἰγύπτιον*, (δύναται) ἑξήκοντα στάδια » (Β. 6). Ὁ δὲ Στράβων (ιζ, 804, καὶ ια, 508) διάφορα παρ' Αἰγυπτίοις διαγράφει τὰ μέτρα τῶν σχοίνων, καθ' οὓς ἐμέτρων τὰ διαστήματα.

---

(α) Columella de Re rustic. X. 135. p. 125.

16) Τὸ «*τὴν θήραν αὐτῆς*» κτλ. (ψαλμ. ρλα, 16) ὁ μὲν τῆς Βουλγάτας ἀρχαῖος μεταφραστὴς, ἡμαρτημένως ἀναγνοὺς *χήραν*, ὡσαύτως ἡρμήνευσε καὶ λατινιστὶ (viduam)· αὐτὴ δὲ ἡ ὀρθὴ ἀνάγνωσις, ἡ *θήρα*, λέξις ἐστὶν αἰγύπτιος, σημαίνουσα ζειὰν (far, ὡς καὶ τὸ ἀντίστοιχον ἑβραϊκὸν Zeda δηλοῖ *ἐπισιτισμόν*). Καὶ μαρτυρεῖ ὁ Ἱερώνυμος (Ζητήμ. Ἑβρ. εἰς Γένεσ.), ὅτι «*θήραν* τὴν ζειὰν Αἰγύπτιοι καλοῦσιν», ὃ καὶ κατὰ τοὺς αὐτοῦ χρόνους ἡμαρτημένως ἐξέφερον *ἀθήραν*, ἢ *ἀθέραν* (Atheram). Μνημονεύει δὲ καὶ Πλίνιος τὴν αἰγυπτιακὴν *ἀθάραν*, ἢ *ἀθήραν* (α). Πλὴν ἀλλ' ὅμως ὁμολογῶ (προστίθησιν Ὅδιος), ὅτι τὸ Ἑβραϊκὸν Zeda ἐνίοτε σημαίνει καὶ τὴν *θήραν* (τὸ κυνήγιον), καὶ τὰ ἐξ αὐτῆς βρώματα (Γενέσ. κε, 28: κζ, 4, 5). Καὶ ταῦτα μὲν περὶ τῶν κατὰ μέρος λέξεων.

17) Ὅτι δὲ καὶ ὅλον τὸ βιβλίον τῆς Ἐσθὴρ ὑπ' Ἀλεξανδρινοῦ μεθηρμηνεύθη, συνάγεται ἐκ τῶν (κεφ. 10) μνημονευομένων ὀνομάτων Πτολεμαίου καὶ Κλεοπάτρας, καὶ τῆς ἐπιστολῆς τῶν *φρουραὶ*, ἣν μετέφρασέ τις Λυσίμαχος.

§. ζ. Ε) «Ἄκουε (προστίθησιν Ὅδιος) καὶ ὅσα περὶ τῆς Ἀλεξανδρινῆς διαλέκτου (ᾗπερ ἐχρήσαντο οἱ ἑρμηνεῖς) ὁ σοφώτατος ἐγνωμάτευσε Κρόϊος (β). «Τοὺς τὰς ἱερὰς βίβλους ἐξελληνίσαντας ὀνομαστέον Ἑβραϊστὰς, Χαλδαϊστὰς, Ἀλεξανδρινιστάς. *Πανταχοῦ* ἑβραΐζουσι, *πανταχοῦ* χαλδαΐζουσι, *πανταχοῦ* Ἀλεξανδρινίζουσι (γ). πανταχοῦ τούτων ἡ ἑρμηνεία βρύει φωνῶν τε καὶ φρά-

---

(α) «Haec (olyra) decocta fit medicamentum, quod Aegyptii a t h a r a m.» (al. atheram legunt τουτ. ἀθήραν) «vocant, infantibus utilissimum» etc. Plin. H. N. XXII. c. 25· [Ταῦτα ὁ Πλίνιος περὶ τῆς ὀλύρας (εἴδους καὶ τούτου ζειᾶς), ὡς ἰατρικὸν μόνον θεωρῶν τὸ ὄσπριον, ἀλλ' ὅτι καὶ ὡς βρώματι τούτῳ συνήθως ἐχρῶντο (σκευάζοντες ἀθάραν) μαρτυρεῖ Διοσκορίδης (Β, 114) ἀμφοτέρας αὐτοῦ τὰς χρήσεις δηλῶν. «Ἀ θ ή ρ α δὲ ἐκ τῆς ἀληλεσμένης εἰς λεπτὴν ζειᾶς σκευάζεται· ἔστι δὲ ῥόφημα ὥσπερ πολτάριον, ὑγρὸν, παιδίοις ἁρμόδιον· ποιεῖ δὲ καὶ εἰς τὰ κ α τ α π λ ά σ μ α τ α» βλ. καὶ ἐφεξῆς §. ιζ. ἄρθρ. ιϛ. Σημ. ἡμετ.]

(β) J. Crojus Observat. in N. T. c. 33.

(γ) Ὁ Κρόϊος *γράφει τὴν λέξιν ἑλληνιστὶ*, Ἀ λ ε ξ α ν δ ρ ί ζ ο υ σ ι ν (*ὡς εἶπε καὶ* Alexandristas)· *ἀλλ' ἐπειδὴ παρ' Ἕλλησι τὸ* ἀ λ ε ξ α ν δ ρ ί ζ ω *σημαίνει τὸ*

σεων ἑβραϊκῶν, χαλδαϊκῶν, ἀλεξανδρινῶν. Λέξιν ἀποδιδοῦσι πρὸς λέξιν· καὶ τὰς ἑβραϊκὰς φωνὰς καὶ φράσεις οὐ σταθμίζουσιν, ἀλλ' ἐξαριθμοῦσι. Καὶ τὰ μὲν ὀνόματα καὶ ῥήματα παρ' αὐτοῖς εἰσιν, ὡς ἐπὶ τὸ πλεῖστον, ἑλληνικά, ἀλλ' ἡ τούτων σημασία καὶ κατασκευὴ ἢ ἑβραϊκή ἐστιν, ἢ χαλδαϊκή, ἢ ἀλεξανδρινή »! — Καὶ καθεξῆς ὀλίγα παρενείρας περὶ λέξεων ἀλεξανδρινῶν, ὑποσυνάπτει· « Παρὰ τοῖς Ο τοιαῦται λέξεις κεῖνται ἀναρίθμητοι! Τὰ « *ἐξηγηταί*, *σοφοί*, *σοφισταὶ* (ἐπὶ θεοπρόπων καὶ μάγων λεγόμενα) λέξεις εἰσὶν ἀλεξανδριναί. Καὶ τὸ *σισόη* δὲ (κρώβυλον τοῦτό τινες ἡρμήνευσαν) καὶ αἱ *ἐντομίδες*, ἀλεξανδρινά. Τοιοῦτο καὶ τὸ *ἄθυτον* (ἀντὶ βέβηλον)· ἄλλο γάρ τι παρ' Ἕλλησιν ἡ λέξις ἐμφαίνει· οἷον, « Ἀθύτων καὶ ἀκαλλιερήτων τῶν ἱερῶν ὄντων, ἐξέπεμψε τοὺς στρατιώτας» (Αἰσχίν. κ. Κτησιφ. §. 35)· καί, « Ἀλλ' ἀνάγκη, ἐὰν αὐτὸν ἀποδοκιμάσητε, ἄθυτα τὰ ἱερὰ γίγνεσθαι » (Λυσίας π. Εὐάνδ. δοκιμ.) (α). Παρὰ δὲ τοῖς Ο, τὸ *ἄθυτον* ἐπὶ βρώμα-

---

*μιμοῦμαι τὸν Ἀλέξανδρον, οὐχὶ τοὺς Ἀλεξανδρεῖς, ἢ Ἀλεξανδρινούς, (ὡς καὶ τ' ἄλλα τὰ ἐκ τῶν κυρίων ὀνομάτων εἰς ιζω· οἷον Φιλιππίζω, Ὁμηρίζω κτλ.), ἕως ἂν λάβῃ τὸ ῥῆμα καὶ τὴν κατὰ Κροΐον σημασίαν, ἡμεῖς πρὸς τὸ παρὸν ἠναγκάσθημεν (χάριν τοῦ κριτικοῦ) γράψαι τὰ τετραγῳδημένα ἀ λ ε ξ α ν δ ρ ι ν ί ζ ω καὶ ἀ λ ε ξ α ν δ ρ ι ν ι σ τ ή ς! (δηλονότι ὁ μιμούμενος τὸ ἀλεξανδρινὸν ἰδίωμα τὸ καὶ Ἀ λ ε ξ α ν δ ρ ε ω τ ι κ ὸ ν, ὡς ἐκ τοῦ Ἀ λ ε ξ α ν δ ρ ε ώ τ η ς, κατὰ τὸν σχηματισμὸν τοῦ Σ ι κ ε λ ι ώ τ η ς, Θ ε σ σ α λ ι ώ τ η ς, κτλ. βλ.* Sturz. de Dial. Macedon. p. 64). *Εἰδὲ τυχὸν ὁ κριτικὸς αὐτοῦ τοῦ Ἀλεξάνδρου (κατὰ διάλεκτον) μιμητὰς βούλεται τοὺς ἑρμηνεῖς ἀποφαίνειν, ἀ λ ε ξ α ν δ ρ ι ζ έ τ ω σ α ν λοιπὸν καὶ οἱ Ο, καὶ περιλαλείσθω καὶ ὧδε τὸ τοῦ Μενάνδρου ἀ λ ε ξ α ν δ ρ ῶ δ ε ς! (βλ. Πλούταρχ. Ἀλεξ. §. ιζ). Ἐκεῖνο δὲ μάλιστα φαίνεται παράδοξον. Εἴπερ οἱ Ο, ἑβραΐζουσι, χαλδαΐζουσιν, ἀλεξανδρίζουσι π α ν τ α χ ο ῦ* (ubique, *λέγει κατὰ λέξιν*), *π α ν τ α χ ο ῦ λοιπὸν τὰς λέξεις καὶ φράσεις τ ρ ι γ λ ώ σ σ ο υ ς ἔγραψαν; ἢ ἑλληνικὰς μὲν τὸ δοκοῦν, ἀλλ' ὅμως τῶν τ ρ ι ῶ ν τ ο ύ τ ω ν γ λ ω σ σ ῶ ν σημασίαν καὶ κατασκευὴν π ά σ α ς ἐχούσας καὶ π α ν τ α χ ο ῦ; ἢ τί ἄλλο σημαίνει τὸ Κροϊακὸν τοῦτο σχῆμα τῆς ὑπερβολῆς; Σημ. ἡμετ.*

(α) *Τὸ ἄ θ υ τ α (τὰ ἱερὰ) ἐν ἀμφοτέροις τοῖς ἀνωτέρω χωρίοις ἐκλατινίζεται ἐπίσης* **n o n l i t a t a** [*ἐκ τοῦ* litare, *τὸ αὐτὸ καὶ (λίτω, λ ι τ ά ω) λιταίνω, λίτομαι (λιτή), ὡς ἂν εἴποις ἄλιτα, ἢ ἄλλιστα, ἀλιτάνευτα, ἄπρακτα καὶ ἀσυντελῆ πρὸς τὴν λιτήν, ἢ ἀπρόσδεκτα*]· *καὶ παρὰ μὲν τῷ Λυσίᾳ τοῦτο πάντως σημαίνει τὸ ἄ θ υ τ α (ὅπερ καὶ ὁ* Wolf *ὀρθῶς ἡρμήνευσεν* infecta, *ἄπρακτα, ἀτέλεστα*).

τος εἰρημένον (Λευΐτ. ιθ, 7) σημαίνει τὸ *ἀπόβλητον* (ὡς ἡρμήνευσε καὶ Ἀκύλας) καὶ ἀποῤῥίψιμον· οὐχὶ τῷ λόγῳ τῆς θυσίας (ἥτις ἤδη ἐθυσιάσθη, ὡς εὐάρεστος καὶ δεκτὴ), ἀλλὰ τῷ λόγῳ τῆς χρήσεως τῆς τοῦ θύματος μερίδος, ἣν ὁ θεὸς ἀπηγόρευσεν (ἐὰν ἀπομείνῃ εἰς τὴν τρίτην ἀπὸ τῆς θυσίας ἡμέραν), ὡς βρῶμα ἁπλῶς βέβηλον καὶ ἄβρωτον. Ὅθεν ἀλλαχοῦ τὴν αὐτὴν ἀντιστοιχοῦσαν ἑβραϊκὴν λέξιν (figul) ἡρμήνευσαν *μεμολυσμένον* (Ἡσ. ξε, 4), καὶ βέβηλον (Ἰεζ. δ, 14). Τοιαῦται δὲ λέξεις καὶ φράσεις τοσαῦται κεῖνται παρὰ τοῖς ἑρμηνευταῖς τῆς Γραφῆς, ὥστε τὸ ταύτας ἀριθμεῖν καὶ διαγράφειν ἀμήχανον ». Καὶ τοιαῦτα μὲν ὁ Κρόϊος, πολὺς ῥέων καὶ βαθύς! Ἡμεῖς δὲ (προστίθησιν Ὅδιος μετριοφρονέστερον), καί τοι μηδ᾽ αὐτοὶ περὶ τῶν λέξεων ἀμφιβάλλοντες, ὅτι τῆς Ἀλεξανδρινῆς εἰσι διαλέκτου, ἀλλ᾽ ὅμως, ἐπειδὴ καὶ μαρτυρίας οὐκ ἔχομεν ἀπὸ συγγραφέων, οὐδὲ πρὸς ἀπόδειξιν αὐτὰς ἐπάγομεν (περὶ τῆς αἰγυπτίας γενέθλης τῶν ἑρμηνέων). Ἴσως γὰρ ἦσαν ἐν χρήσει καὶ παρ᾽ ἄλλοις Ἕλλησιν ἐν Συρίᾳ κατοικοῦσιν. Αὐτίκα τὴν *Σισόην* ὁ Ἡσύχιος λέγει λέξιν Φασηλιτῶν. Ἡ δὲ Φάσηλις (ἢ Φασηλὶς), Κιλικίας, ἢ μᾶλλον Λυ-

---

τὸ δὲ τοῦ Αἰσχίνου « ἀθύτων ὄντων » μᾶλλον ἴσως δηλοῖ τὸ μήπω, ἢ μηδόλως γεγονότων, μὴ φανέντων ἐν τῇ θυσίᾳ (κατὰ τὸ γίνεται, τὰ ἱερά. Πλούταρχ. Ἀριστ. §. ιη), δι᾽ ὧν δηλονότι μηδὲν μήτε καλὸν, μήτε κακὸν φανερῶς ἐν τῇ θυσίᾳ προσημαίνεται (ὡς τὸ λατ. exta tristitia). Ὁ δὲ σοφὸς Κρόϊος (ἐπειδὴ τὴν λέξιν διορίζει) ὤφειλε προσθεῖναι καὶ τὰς ἄλλας, τὰς γοῦν κυριωτέρας αὐτῆς σημασίας, ἐν αἷς καὶ τὸ ὅλως ἀθυσίαστον (ἄῤῥεκτον), ἢ θυσίας ἄμοιρον, ὡς « ἄθυτος γάμος » (ὁ μὴ καθαγιασθεὶς διὰ θυσίας), « ἄθυτα ἡμῖν τὰ ἐκ τῆς γῆς » (οὐ θύουσιν οἱ ἐν τῇ γῇ· Λουκ. Ζ. Τραγ.). τοιοῦτό τι καὶ τὸ, « ἄθυτα παλλακῶν σπέρματα » (Πλάτ. Νόμ. η. σελ. 481), τουτέστιν, ἀπευκτὰ, (ἢ κάλλιον, ὑπὲρ ὧν οὐ θύουσιν, ἢ θυσίας ἀνάξια, ὑπὲρ ὧν, ἢ ὧν τυχεῖν, οὐχὶ θυτέον)· καὶ, « ἄθυτοι γίνονται ἐπὶ τῇ νίκῃ » (ἐνεργ. = οὐ θύουσι, Δίων Κασ.). Ἔτι δὲ καὶ τὸ μήπω τεθυμένον, ἢ μήπω διὰ θυσίας τετελειωμένον, ὡς τὸ (περὶ γυναικὸς ἀκόσμου) « ἄθυτα δ᾽ ἱερὰ πολλάκις κατεσθίει ». (Σιμωνίδ. παρ᾽ Ἀθήν. ε, 179), καθιερωμένα μὲν εἰς θυσίαν, ἀλλὰ μήπω τετελειωμένα δι᾽ ἁγνισμῶν, καὶ εὐχῶν, καὶ οὐλῶν, καὶ τῆς ὅλης ἱεροτελεστίας· ὅθεν (κατ᾽ ἐπακολούθησιν, ἢ ἐπισύναψιν τῆς ἐννοίας), καὶ οὐχ ὅσια, οὐ θεμιτὰ πρὸς βρῶσιν. Καὶ, τέλος, τὸ μὴ θύσιμον, μὴ νενομισμένον, ἢ ἀνεπιτήδειον εἰς θυσίαν (βλ. ἐφεξῆς §. ιη). πρβλ. Sturz de Dial. Macedon. p. 144, και Θησαυρ. Στεφ. Ἑῤῥίκ. λ. ἄθυτον. Σημ. ἡμετ.

κίας (Στρϐ. ιδ. 166) πόλις παράλιος· ὅθεν ἡ φωνὴ μετῴκησε καὶ παρὰ τοὺς Ἀλεξανδρεῖς (ὡς εἶπε καὶ Σοπίγγιος, ἐξ Ἀλεξανδρείας καὶ οὗτος κατάγων τοὺς ἑρμηνεῖς. σημ. εἰς Ἡσύχ. λ. Σισοκούρα)».

§. η. ϛ) « Καὶ ἄλλο (φησὶν Ὅδιος) ἔχομεν ἐπιχείρημα, τὸ ἐφεξῆς. Παρά τισιν ἀρχαίοις Ῥαϐϐίνοις οὕτω ϛυγητὴ καὶ ἀποτρόπαιος ὑπῆρχεν ἡ ἑλληνικὴ μετάφρασις τῶν Γραφῶν, ὥστε καὶ νηστείαν ἐπ᾽ αὐτῇ, ὡς ἐπὶ μεγάλῃ συμφορᾷ, ταχθῆναι διεμυθολόγησαν, καὶ σκότος εἰς πᾶσαν τὴν γῆν κατ᾽ ἐκεῖνον τὸν χρόνον ψηλαφητὸν ἐπὶ τρεῖς ἡμέρας περιχυθῆναι (α), κτλ. Μῦθος ταῦτα καὶ πλάσμα Ῥαϐϐίνων, ὁμολογῶ (φησιν Ὅδιος), ἀλλ᾽ ὅμως καὶ ἐκ τούτου συνάγεται σαφῶς, ὅτι κἀκεῖνοι τοὺς ἑρμηνεῖς ἐνόμιζον Ἀλεξανδρινούς· ἄλλως γὰρ, οὐκ ἂν ἐτόλμων τοιαῦτα πλάττειν καὶ πιστεύειν, εἴπερ ἐπίστευον τὴν ἑρμηνείαν ὑπὸ πρεσϐυτέρων ἱεροσολυμιτῶν γενομένην βουλῇ τοῦ Ἀρχιερέως. Καὶ ἄλλοι δὲ παλαιοὶ ῥαϐϐῖνοι, Γεμαρισταὶ, κατά τινα παράδοσιν, ἀλεξανδρινοὺς ὑπελάμϐανον τοὺς μεταφραστὰς, ὡς ἀναγινώσκεται ἐν τῷ Ταλμουδίῳ (τμ. Μεγιλλᾷ), ὅτι « συνήγαγεν ὁ Πτολεμαῖος 72 πρεσϐυτέρους, καὶ εἰσήγαγεν εἰς 72 δωμάτια (πρὸς μετάφρασιν τῶν Γραφῶν) ». Ἐκ δὲ τούτων φαίνονται καὶ οὗτοι σαφέστατα νομίζοντες ἐν Ἀλεξανδρείᾳ κατοικοῦντας τοὺς πρεσϐυτέρους, κἀκεῖθεν συναθροισθέντας. Τοῦτο δὲ καὶ Ἄρμιος, Ἄραψ χρονολόγος, ὡσαύτως ὁμολογεῖ λέγων· « Ἐκέλευσεν ὁ βασιλεὺς Πτολεμαῖος, ἵνα *συγκαλέσωσι* τοὺς πρεσϐυτέρους τῶν υἱῶν Ἰσραὴλ ». κτλ.

§. θ. Ζ) « Πρόσθες τούτοις, καὶ ὅτι οὐδ᾽ αὐτοὶ οἱ μετὰ ταῦτα

---

(α) Ταῦτα πολὺ πρὸ τοῦ Ὁδίου διεκήρυξεν ὁ Σκαλίγηρος, μεταλλεύσας ἐκ τοῦ μηνολογίου τῶν νεωτέρων Ἑϐραίων, ἐν ᾧ ἡ τοιαύτη νηστεία διατάσσεται τῇ η, τοῦ μηνὸς Τιϐέθ. Καὶ λοιδορεῖ τὸν Φίλωνα ὁ Σκαλίγηρος ἀποφαινόμενος, ὅτι τερατολογεῖ, τὰ περὶ τῆς ἐν Φάρῳ πανηγύρεως παραπλάττων, καὶ παριστάνων ὡς ἑόρτιον π α ν ή γ υ ρ ι ν, τὴν ἐπὶ τῇ μεταφράσει, ὡς ἐπὶ θεομηνίᾳ, διαταχθεῖσαν παρὰ τοῖς ἑϐραΐζουσιν ἑϐραίοις πένθιμον νηστείαν. Αὐτὸς δὲ δήπου ὁ πολὺς ἀνὴρ ἀποδέχεται ὡς ἀλήθειαν τὰ τοσούτους αἰῶνας μετὰ τὸν Φίλωνα πεπλασμένα ῥαϐϐινικὰ μυθολόγια! (βλ. Scalig. Animadv. ad Euseb. p. 134, καὶ ἐν Isagog. Canon.). Ὅθεν ὁ Πεταύϊος « ἐν τούτοις καὶ ἄλλοις τοιούτοις τοῦ Σκαλιγήρου δικαίως ἐζήτει κ ρ ί σ ι ν κ α ὶ ν ο ῦ ν » (Petav. Animad. ad S. Epiph. T. 2 p. 380). Σημ. ἡμετ.

τὰς Γραφὰς ἐξελληνίσαντες Ἰουδαῖοι, οἷον Ἀκύλας, καὶ οἱ λοιποὶ, οὐδόλως ἂν ἐτόλμησαν ἐπιχειρῆσαι νέαν τῆς Γραφῆς ἑρμηνείαν, εἴπερ ἐπίστευον τὴν προτέραν ὑπ᾽ ἀνδρῶν ΟΒ, βουλῇ καὶ προστασίᾳ τοῦ μεγάλου συνεδρίου γεγενημένην ».

§. ι. « Ἐκ τῶν προτεθέντων ἐπιχειρημάτων (συμπεραίνει Ὅδιος) ἅλις ἐμφανῶς ἀποδείκνυται ἡ μετάφρασις ὑπ᾽ αὐτῶν φιλοπονηθεῖσα τῶν Ἀλεξανδρινῶν. Τὸν δὲ μῦθον τῆς ἐξ Ἱεροσολύμων μεταπέμψεως τοῦ τε κώδηκος καὶ τῶν ἑρμηνέων ἔπλασαν οἱ ἑλληνίζοντες ἰουδαῖοι διὰ λόγους διττούς. Πρῶτον μὲν, κλέος ἑαυτοῖς περιποιοῦντες καὶ φαντασίαν ἐπιδεικτικὴν πρὸς τοὺς ἐθνικοὺς, ὅσον ἐκ τῶν φιλοτιμοτάτων τοῦ Πτολεμαίου δωρεῶν, ἃς ἱστόρησεν ὁ Ψευδαριστέας. Ἔπειτα δὲ, καὶ πρὸς αὐτοὺς τοὺς ἑβραΐζοντας Ἰουδαίους ἤθελον συστῆσαι τὴν ἑρμηνείαν, προλαμβάνοντες, μή τις ὑποψία παρ᾽ ἐκείνοις ἀναδοθῇ καὶ ἀμφιβολία περί τε τῆς ἐμπειρίας τῶν ἑρμηνευτῶν, καὶ τῆς καθαρότητος τῶν χειρογράφων, οἷς ἐχρήσαντο περὶ τὴν μετάφρασιν » (α).

§. ια. Ἐνταῦθα καταπαύουσιν οἱ κριτικοὶ τὰς ἀποδείξεις, ὅσας ἐπάγουσιν, ἐξελέγχοντες τοὺς ἑρμηνεῖς τῆς Γραφῆς Ἀλεξανδρινοὺς καὶ Αἰγυπτίους ὄντας, οὐκ ἐξ Ἱεροσολύμων μετακληθέντας. Πρὸς ταῦτα ἀπαντῶμεν, καθ᾽ ἕκαστον τῶν προτεθέντων ἄρθρων ἀντιτάσσοντες ἰδίως τὰς ἀντιῤῥήσεις.

*Ἀπαντῶμεν.*

§. ιβ. Α) (§. γ). Εἴπερ ἤθελον οἱ Ὀδιακοὶ μετὰ γοῦν μετριωτέρας ὑπεροψίας ἀναγνῶναι τὸν, ὃν διασαλπίζουσιν, ἀμφοτέρας φυσῶντες τὰς γνάθους, *Ψευδαριστέαν*, πάντως ἂν ἐμάνθανον παρ᾽ αὐτοῦ τὸν ἀποχρῶντα λόγον, δι᾽ ὃν ὁ Πτολεμαῖος ἐκέλευσε μεταπέμψασθαι καὶ τοὺς ἑρμηνεῖς καὶ τὸ τοῦ Νόμου βιβλίον ἐξ Ἱερο-

---

(α) Βλ. Hody pag. 113—123. Τὰ αὐτὰ ἐπιχειρήματα συντόμως ἐπανέλαβε καὶ Carpzov· Crit. Sacr. p. 493. καὶ ἄλλοι, καὶ ἐκ τῶν νεωτέρων Morus, Acroases in Ernesti, tom. 2, p. 67—72:—Baurer, Crit. Sacr. p. 244, 245.—Schoell, Histor. de la Littérat. Gr· vol. 3, p. 441—446. — Jahn bibl. Archaeol. I. p. 154. — Herbst. p. 153 — Horne, An Introduction etc. vol. 2. p. 207.

σολύμων. Ἴδε τὶ λέγει ὁ Ἀριστέας· «Προσαγγέλλεται δέ μοι (φησὶν ὁ Δημήτριος πρὸς τὸν Πτολεμαῖον) καὶ [τὰ] τῶν Ἰουδαίων νόμιμα μεταγραφῆς ἄξια, καὶ τῆς παρὰ σοὶ βιβλιοθήκης εἶναι·— ἀλλ' ἑρμηνείας προσδεῖται· χαρακτῆρσι γὰρ ἰδίοις κατὰ τὴν Ἰουδαίαν χρῶνται, καθάπερ Αἰγύπτιοι· τῇ τῶν (ἴσ. γρ. τῇ ΔΕ τῶν) γραμμάτων θέσει, *καθὸ καὶ φωνὴν ἰδίαν ἔχουσιν*, ὑπολαμβάνονται Συριακῇ χρῆσθαι (α)· τὸ δὲ οὐκ ἔστιν, ἀλλ' ἕτερος τρόπος. Μεταλαβὼν δὲ ἕκαστα ὁ βασιλεὺς, εἶπε γραφῆναι πρὸς τὸν ἀρχιερέα τῶν Ἰουδαίων, ὅπως τὰ προειρημένα τελείωσιν λάβωσι» (σελ. 2. ἐκδ. Ὀδίου. πρβλ. καὶ ὄπισθ. §. γ. σημ.). Ἐκ τῶν λόγων τούτων ὁρμωμένοις φανήσεται λαμπρῶς ἡ αἰτία, δι' ἣν ἐγένετο ἡ μετάπεμψις καὶ τοῦ χειρογράφου καὶ τῶν ἑρμηνευτῶν ἐκ τῆς Ἱερουσαλήμ. «Καθὼς εἰς τὴν Αἴγυπτον (λέγει πρὸς τὸν Πτολεμαῖον ὁ Δημήτριος), οὕτω καὶ εἰς τὴν Ἰουδαίαν μεταχειρίζονται χάρακτῆρας γραμμάτων ἰδιάζοντας» (εἰς τὴν Ἰουδαϊκὴν δηλονότι γλῶσσαν). Τῶν δὲ γραμμάτων τούτων *θέσιν* (διάθεσιν, ἢ διάταξιν), καθὼς καὶ προφορὰν (ἣν ἔχουσιν ἰδίαν οἱ Ἰουδαῖοι), νομίζονται ὅτι μεταχειρίζονται τὴν αὐτὴν καὶ οἱ Σύροι· τὸ δὲ πρᾶγμα οὐκ ἔχει οὕτως, ἀλλ' ἔστιν ἰδιότροπος (ἡ τῶν Ἰουδαϊκῶν γραμμάτων ἐκφώνησις καὶ γραφή)» κτλ. Ταῦτα δὲ γράφων ὁ Ἀριστέας ἐννοεῖ τοὺς χαρακτῆρας τῶν χαλδαϊκῶν, ἢ ἀσσυρίων γραμμάτων, δι' ὧν ἐξέδωκε πρῶτος ὁ Ἔσδρας τὰ τοῦ Νόμου

---

(α) Ἴσ. γρ. «ΚαθΑ καὶ φωνΗ, ΗΝ ἰδίαν ἔχουσι,» κτλ. Οὕτω φαίνεται καὶ Ἰώσηπος ἀναγνοὺς, μεταφράζων οὑτωσί. «Δοκεῖ μὲν γὰρ εἶναι τῇ ἰδιότητι τῶν Σύρων γραμμάτων ἐμφερὴς ὁ χαρακτὴρ αὐτῶν, καὶ τὴν φωνὴν ὁμοίαν αὐτοῖς ἀπηχεῖν, ἰδιότροπον δὲ αὐτὴν εἶναι συμβέβηκε» (Ἰώσηπ. Ἀρχ. ιβ. 2. §. 1. τομ. α. Hav.). Ὅθεν καὶ Οὐόσσιος ἄριστα μετέφρασε καὶ ἔστιξε τὸ τοῦ Ἀριστέου χωρίον τοῦτο, «Quem ad modum enim in Aegypto, sic quoque in Judaea peculiaribus utuntur characteribus· si linquam ac vocem illorum spectes, videntur literis et scriptura Syriaca uti· hoc vero minime sic est» etc. (J. Voss. de LXX. c. VI). Οὕτω δ' ἀκριβῶς κατανοήσας τὰ χωρίον ὁ σοφὸς ἀνὴρ, ἄπορον, πῶς οὐκ ἔκρινε διορθωτέαν τὴν (ὡς ἔδοξεν ἡμῖν) ἡμαρτημένην τῶν εἰρημένων λέξεων γραφήν.

βιβλία, ἀντιτάξας τὴν τούτων γραφὴν (ὡς ἤδη συνειθισθεῖσαν τοῖς Ἰουδαίοις) ἀντὶ τῶν ἀρχαίων ἑβραϊκῶν, ἢ Μωσαϊκῶν, ἐν οἷς τὸ πρῶτον ἐγράφησαν αἱ Γραφαί (α). Διὰ τούτων τῶν ἀσσυρίων γραμ-

(α) Ὁ Εὐπόλεμος ἱστόρησε «τὸν Μωσῆν πρῶτον σοφὸν γενέσθαι, καὶ γράμματα παραδοῦναι τοῖς Ἰουδαίοις πρῶτον· παρὰ δὲ Ἰουδαίων Φοίνικας παραλαβεῖν· Ἕλληνας δὲ, παρὰ Φοινίκων» (Κλήμ. Στρωμ. Α. — Εὐσέβ. Εὐ. Προπ. Θ, 252). Ὁ δὲ ἱερὸς Θεοδώρητος τὴν Ἑβραίαν γλῶσσαν «ἱερὰν εἶναι φωνήν» ὑπέλαβεν (ἐν Ἀπόρ. εἰς Γέν. Ἐρωτ. ξα.). Ὁ δὲ Ὠριγένης «ἑτέραν παρὰ τὴν τῶν Σύρων καὶ Φοινίκων» (κ. Κέλσ. Γ. 6, σελ. 451. βλ. καὶ Spencer. not. ibid.). Καὶ φαίνεται τῆς ἑβραΐδος πρὸς τὴν Σύρων διάλεκτον ἀρχαιοτάτη διαφορὰ ἐν Γεν. λα, 47 (ἑβρ.), ὅπου τὸν βουνὸν ὁ μὲν Ἰακὼβ ἑβραΐζων ὠνόμασε Galeed (=Gal, ed) τουτ. βουνὸς μάρτυς, ὁ δὲ Σύρος Λάβαν, Jegar Sahadutha, βουνὸς μαρτυρίας (ἐκ τοῦ Sahid ὁ μάρτυς). Ὡσαύτως καὶ ἐκ τῶν κατὰ τὸν Σύρον Ῥαψάκην (Δ, Βασ. ιη, 26: Ἡσαΐ. λς, 11) κτλ. Ὅτι δὲ μετὰ τῆς Φοινίκων φωνῆς ὑπῆρχε μάλιστα συγγενὴς ἡ ἀρχαία Ἑβραϊκὴ διὰ πολλῶν ἀποδείκνυσιν ὁ Βοχάρτος (Chronol. sacr. P. II. lib. 2. c. 1). Ὅθεν καὶ τὰ ἀρχαῖα Ἑβραϊκὰ γράμματα νομίζονται τὰ αὐτὰ καὶ Χαναναῖα, ἢ Φοινίκεια καὶ Σαμαρειτικά· (διὰ τούτων γέγραπται ἡ Σαμαρειτικὴ Πεντάτευχος). Καὶ νομίσματα κοπέντα ἐπὶ τοῦ Μακκαβαίου Σίμωνος φέρουσι τοῦτο τὸ εἶδος τῆς γραφῆς. (βλ. ταύτης τὸ ἀλφάβητον παρὰ Γεσενίῳ im Lehrgebäude der hedr. Spr.). Τοῖς Φοινικείοις γράμμασιν ἐχρήσατο τὸ πάλαι καὶ ὁ θεῖος Μωϋσῆς, καὶ πάντες ἐφεξῆς οἱ Προφῆται, μέχρι καὶ τῆς ἐκ τῆς αἰχμαλωσίας τῶν Ἰουδαίων ἐπὶ τοῦ Ἔσδρα ἐπιστροφῆς, ὅστις πρῶτος εἰσήγαγεν εἰς τὰς θείας Γραφὰς τὰ Χαλδαϊκὰ, ἢ Ἀσσύρια (καὶ νῦν Ἰουδαϊκὰ, τὰ τετραγωνόμορφα) γράμματα, καθὸ μάλιστα γενόμενα συνήθη τοῖς ἤδη πολὺν χρόνον ἐν Ἀσσυρίᾳ παροικήσασιν αἰχμαλώτοις Ἰουδαίοις, ἢ καὶ (καθὼς εἶπεν ὁ Εὐσέβιος) «ἵνα μὴ συμμιγῶσι τοῖς Σαμαρείταις,» (τὴν ἀρχαίαν τηρήσασι γραφήν)· «Τὸ γὰρ τῶν Σαμαρειτῶν ἀντίγραφον ἀρχαιότατον, καὶ τοῖς χαρακτῆρσι διαλλάττον, ὃ καὶ ἀληθὲς εἶναι, καὶ πρῶτον οἱ Ἑβραῖοι καθομολογοῦσιν» (Ἀφρικαν. παρὰ Συγκέλ. σελ. 156. Β.). Παράβλ. S. Heronym. prol. Geleat. et Com. in Ez. 9. et 24 §. 21.—S. August. Quaest. in Jud. 6, 16. etc.—J. Voss. de LXX.—G. Voss. de Art. Gr. I. 9. 31. — J. Scalig. not. ad Euseb. chron. pag. 62, 103. καὶ Libr. VII. De emend. temp. pag. 685. — J. Casaub. Exercit. cont. Baron. — Huet. Dem. E. IV. c. 13. — Walton Prol. III. 29—30, κτλ. Ὁμολογοῦσι δὲ ταῦτα καὶ οἱ Ταλμουδισταὶ (apud Walt. ibid.). Ἀλλ' ὑπάρχουσι καί τινες τῶν νεωτέρων μάτην μὲν, ἀλλ' ὅμως ἀντιλέγοντες. βλ. Pfeif. Cr. Sacr. c. 4. §. 2. — Carpzov. Crit. Sacr. I. c. 5. §. 6. — Lightfoot. Hor. Hebr. in Math. c. 5. etc. Καὶ τούτων ἄλλοι πάλιν καὶ νεώτεροι καὶ ματαιότεροι (βλ. Herbst. Historich—krit. Einleitung in die heilg. Schrift. etc. I. B. p. 55 — 63: Frankel, l. c. p. 211). Ὁ δ' εὔπω πάνυ πρῴην καταφρυαξάμενος τῆς θείας Πεντατεύχου κακόσχολος ὀρθολογιστὴς Βόλην

μάτων, ἀπὸ τοῦ Ἔσδρα καὶ ἐφεξῆς (καθὼς καὶ τὴν σήμερον), ἔγραφον οἱ Ἰουδαῖοι τὰς ἱερὰς βίβλους, κατὰ τὸ Ἐσδραϊκὸν ἀρχέτυπον, ὅπερ καὶ ἐπὶ τοῦ Φιλαδέλφου (μόλις 230 ἔτη μετὰ τὸν Ἔσδραν) ἐσῴζετο πάντως, τηρούμενον ἐν τῷ ναῷ. Ἑπομένως οὖν καὶ τὰ κατὰ τὴν Ἱερουσαλὴμ καὶ τὴν Ἰουδαίαν ἀντίγραφα τοῦ νόμου ὑπῆρχον ἀκριβέστατα, καθὸ μεταγραφόμενα ἐκ τοῦ πρωτοτύπου (ἢ καὶ ἄλλων ἐξ αὐτοῦ ἀμέσως ἀπογράφων), καὶ ὑπὸ τὴν ἐποπτείαν τῶν ἐκεῖ μάλιστα ἀνθούντων νομοδιδασκάλων, καὶ τοῦ μεγάλου Συνεδρίου. Ταῦτα καλῶς ἐγίνωσκεν ὁ Δημήτριος, παρ᾽ αὐτῶν τῶν κατ᾽ Αἴγυπτον Ἰουδαίων μαθών. Καὶ ὑπῆρχον μὲν ἐν Ἀλεξανδρείᾳ (τίς ἀντιλέγει;), καὶ κατὰ τὴν ἄλλην Αἴγυπτον, ἀντίγραφα τοῦ Νόμου πολλὰ, καθὼς ἦσαν καὶ οἱ τούτοις χρώμενοι μυριάριθμοι Ἰουδαῖοι. Τοῦτο δὲ πάντως καὶ αὐτὸς ἐγνώριζεν ὁ Ἀριστέας, οὐδ᾽ ἦν ἐπὶ τοσοῦτον ἐγκεφάλου καὶ φρενῶν ἔρημος, ὁποῖον Ὅδιος αὐτὸν παριστᾷ. Πλὴν ἀλλ᾽ ὤφειλεν ὁ κριτικὸς ἐξ αὐτοῦ πάλιν μαθεῖν, ὁποῖα ἦσαν ταῦτα τὰ κατ᾽ Αἴγυπτον χειρόγραφα. « Τὰ τοῦ νόμου τῶν Ἰουδαίων βιβλία » (λέγει πάλιν ὁ Δημήτριος ἐν τῇ πρὸς τὸν Πτολεμαῖον ἀναφορᾷ) » τυγχάνει ἑβραϊκοῖς γράμμασι καὶ φωνῇ λεγόμενα· *ἀμελέστερον δὲ, καὶ οὐχ ὡς ὑπάρχει, σεσήμανται, καθὼς ὑπὸ τῶν εἰδότων προσαναφέρεται·* προνοίας γὰρ βασιλικῆς οὐ τέτευχε· δέον δέ ἐστι καὶ ταῦτα ὑπάρχειν παρὰ σοι *διηκριβωμένα.* — Εἰ οὖν φανεῖται, βασιλεῦ, γραφήσεται πρὸς τὸν ἀρχιερέα τὸν ἐν Ἱεροσολύμοις » κτλ. (σελ. 5, ἐκδ. Ὁδίου). Ἰδοὺ ἡ αἰτία τῆς μεταπέμψεως· ἡ τῶν κατ᾽ Αἴγυπτον τοῦ Νόμου βιβλίων ἠμελημένη γραφή· ταύτην ὡμολόγουν μὲν καὶ οἱ *εἰδότες* (αὐτοὶ

---

(Bohlen, Einleit. zur. Genes.) μετὰ θράσους ἀμαθίας ἀναλόγου τῆς κατὰ τῶν θείων Γραφῶν παραφορᾶς, (ἧς αὐτὸς, ἴσως, ἔσται τὸ ἔσχατον παράδειγμα), καὶ αὐτὴν τὴν ἐπὶ τοῦ θείου Μωϋσέως χρῆσιν τῶν γραμμάτων ἠρνήσατο, νεωτέραν οὕτω τὴν Πεντάτευχον πειρώμενος ἀποδεῖξαι· Ἀλλ᾽ ἀπήντησε τὰ εἰκότα πρὸς αὐτὸν ὁ σοφώτατος Λέων ὁ Δελαβόρδης (Leon De Labord, Commentaire Géographique sur l'Exodc et les Nombres, p. 116. Paris, 1841. πρβλ. καὶ Introduct. pag. VIII.

δηλονότι οἱ Ἀλεξανδρινοὶ Ἰουδαῖοι), ἀπαιτεῖ δὲ καὶ αὐτὸς ὁ παρ' Ὀδίῳ μάλιστα τιμώμενος *ὀρθὸς λόγος*. Ἐν τῇ κατ' Αἴγυπτον μακρᾷ τῶν Ἰουδαίων μετοικεσίᾳ, μεταξὺ τῆς ἐγχωρίου καὶ τῆς βασιλευούσης τῶν Ἑλλήνων φωνῆς, ἡ ἑβραϊκὴ παιδεία (ὅσον ἂν εἶχε *λογιωτάτους* τοὺς ἐκεῖ ἀρχιερεῖς, κατὰ τὸν Ἀριστέαν), πάντως ὅμως ἐμαραίνετο ὁπωσδήποτε, καὶ ἠσθένει, οὐδ' ἴσχυον ἀκμάζουσαι κατὰ τὴν Μέμφιν καὶ παρὰ τὸν Νεῖλον καὶ τὰς ἐκεῖ Συναγωγὰς αἱ Σιωνίτιδες ἀηδόνες, καθὼς ἤνθουν κατ' αὐτὴν τὴν Σιὼν καὶ παρὰ τὰ ῥεῖθρα τοῦ Σιλωάμ, « ἐν αὐλαῖς οἴκου Κυρίου », ἐν μέσῳ τοῦ Ναοῦ τῶν Ἱεροσολύμων. Ἐκεῖθεν οὖν ἔπρεπεν, ἵνα ζητηθῇ καὶ τὸ τελειότατον ἀντίγραφον τοῦ Νόμου, καὶ οἱ δεξιώτατοι μεταφρασταί. Ταῦτα ἦσαν ἄξια τῆς ἀκριβείας τοῦ Φαληρέως σοφοῦ. Ταῦτα τῆς φιλομούσου τοῦ Πτολεμαίου φιλοτιμίας· ὅστις ἐζήτει πάντοτε καὶ πανταχοῦ τὰ παλαιὰ καὶ κάλλιστα τῶν ἀντιγράφων, καὶ ἐπ' αὐτῶν τῶν ἑλληνικῶν συγγραφέων. «Ὃς καὶ τὰ τοῦ Ἀριστοτέλους πάντα πριάμενος παρὰ τοῦ Νηλέως — μετὰ τῶν Ἀθήνηθεν καὶ τῶν ἀπὸ Ῥόδου εἰς τὴν καλὴν Ἀλεξάνδρειαν μετήγαγε» (βλ. ὄπισθ. Βιβλ. Α. κεφαλ. Θ. §. θ. σελ. 246). Ταῦτα δὲ καὶ Ὄδιος ὤφειλεν ἐνθυμηθῆναι, καὶ τὸν Ἀριστέαν ἀκριβέστερον καὶ ἀπαθέστερον μελετᾷν, ἵνα μή, σπουδάζων ἐκ παντὸς τρόπου ψεύστην τὸν ἱστορικὸν ἀποφαίνειν, ἐξηλέγχετο μᾶλλον αὐτὸς περί τε τοῦ πράγματος ἐψευσμένος, καὶ τὸν Ἀριστέαν παρανοῶν.

§. ιγ. Β) (§. δ) Περὶ δὲ τῆς διαφωνίας, ἥτις θεωρεῖται μεταξὺ τῆς Ἀριστέου συγγραφῆς καὶ τῆς παρ' Ἐπιφανίῳ διηγήσεως, ἔτι δὲ καὶ τῆς μαρτυρίας Ἰουστίνου, καὶ τοῦ τἀκείνου μεταγράψαντος Αὐγουστίνου, εἴπομεν ἐν τοῖς προλαβοῦσι (βιβλ. Α. κεφ. γ. §. ε—ζ). Ἓν ἐνταῦθα προστιθέμεθα μόνον, ὅτι τὸ παρ' Ἰουστίνῳ σφάλμα τῶν μεταγραφέων « βασιλεύοντι *Ἡρώδῃ* (βλ. ὄπισθ. σελ. 169) καὶ αὐτὸς Ὄδιος εἰδὼς ἐκ τοῦ Γραβίου διορθωτέον πάντως εἰς τό, « βασιλεύοντι *ἱερεῖ* » (ὡς ἔγραψε καὶ αὐτὸς οὗτος ἀλλαχοῦ τῆς συγγραφῆς, σελ. 198), ὁ δὲ μᾶλλον προείλετο καὶ ἔγραψεν ἐνταῦθα τὴν ἡμαρτημένην γραφήν, ὅπως ἀποφήνῃ μείζονα τάχα καὶ τρανωτέραν τὴν

ἣν λέγει διαφωνίαν. Προχωρῶν δὲ καὶ τὸν Ἄραβα τὸν βιογράφον ἐπέστησεν ἡμῖν, ὡς ἀξιόπιστον μάρτυρα τῆς περὶ τὴν μετάπεμψιν διαφωνίας! ἀλλ᾽ ὅμως αὐτὸς πάλιν μετ᾽ ὀλίγον καὶ τοῦτον τὸν βιογράφον, καὶ πάντας ὅσους ἀνωνύμως ἐμνημόνευσεν Ἄραβας ἱστορικοὺς (μυσαχθεὶς ἴσως τῆς ἀραβικῆς ἀμαθίας τὴν μελανίαν) ἀπεκάλεσε *ψεύστας ἐκ συνηθείας!* Τελευταῖον δὲ, καὶ τὸν ἡμέτερον Κιγάλαν διέσυρε καὶ νῦν, καθὼς καὶ πρότερον (βλ. τόμ. Α. σελ. 15), ἀλλ᾽ ὅμως ἀνδρικώτερον ἤδη, καὶ σφοδρότερος ἐπιπεσών· διότι μετ᾽ αὐτοῦ συμπεριλαμβάνει καὶ πάντας τοὺς ἐκείνου ὁμογενεῖς (τοὺς κατ᾽ αὐτὸν Γραικύλους), συνένοχον ἀμέλει καὶ μέτοχον τοῦ παρὰ τῷ Κιγάλᾳ πλάσματος δημοσίως ἀνακηρύττων ὅλον τὸ νεώτερον Ἑλληνικόν! (ὄπισθ. σελ. 170). Εὐδαιμονοίης, ὦ καλὸν Ὀξωνίου ἄστρον, ὅτι καὶ τῶν νεωτέρων Ἑλλήνων ὁπωσδήποτε ἐπεμνήσθης! πλὴν ἀλλ᾽, ἵνα τούτους δικαιότερον ἔψεγες (ὧν ἀλλαχοῦ ἐπήνεσας τοὺς πατέρας. βλ. τόμ. Α. σελ. 371), ὤφειλες ἐξετάσαι τίποτ᾽ ἐφρόνουν ἀληθῶς περὶ τῆς θρυλλουμένης *μεταπομπῆς* οἵ τε τῷ Κιγάλᾳ συγχρονίσαντες, καὶ αὐτοὶ οἱ κατὰ σὲ ζῶντες *Γραικύλοι*, καὶ πόσον γενναίως ὑπερασπίζοντο τὸ γνήσιον τῆς Ἀριστέου συγγραφῆς, πρὸς ἄλλους σοι ὁμόφρονας ἀντιλέγοντες. Ἔγνως δ᾽ ἂν, εἴπερ ἐνετύγχανες τοῖς μόλις δεκαετίαν μετὰ τὴν σὴν πολύκροτον συγγραφὴν ἐκδοθεῖσιν *Ἰουδαϊκοῖς* Ἀλεξάνδρου τοῦ Μαυροκορδάτου (α), ἀνδρὸς περὶ τὰς θείας Γραφὰς καὶ τὴν ἄλλην τὴν ἐγκύκλιον παιδείαν πολὺ παρὰ σὲ (δὸς εἰπεῖν τ᾽ ἀληθὲς) ἐμβριθεστέρου γενομένου καὶ πολυμαθεστέρου (β). Εἰ δὲ περιέπιπτεν εἰς χεῖρας ἐκείνων καὶ ἡ σοφή σου συγγραφὴ, μὴ ἀμφίβαλλε, ὦ φίλ᾽ Ὄδιε, ὅτι ἔκτοτ᾽ ἂν ὑπῆρχον ἐξεληλεγμένα, οὐδ᾽ ἐπεῖχον μέχρι

(α) Βλ. Ἀλεξάνδρ. Μαυροκορδάτου Ἱστορίαν ἱερὰν, ἢ Ἐπιτομὴν Ἰουδαϊκῶν, βιβλ. ε. τμημ. β. §. ς. σελ. τια—τιδ. ἐκδ. Βουκορεστίοις, αψις.

(β) Βλ. τὴν βιογραφίαν αὐτοῦ παρὰ N. Comnen. Papadopoli in Histor. Gymn. Patav. vol. 2. p. 319: Venet. 1726. — καὶ Δημήτριον Προκοπίου παρὰ Fabr. Bibl. Graec. T. 1. p. 774.

σήμερον παρ' ἀνδράσι κριτικοῖς τόπον γεωμετρικῶν ἀποδείξεων, τὰ μεγάλαυχα λάθη τῆς φιλοψόγου σου σοφίας, σταθμισθείσης ἔκτοτε δικαίως ὑπὸ τῶν ἐπισταμένων τὰ γοῦν οἰκεῖα μετὰ λόγου διατηρεῖν, καίπερ ἄλλως ἀγροίκων σοι Γραικυλλίων!

§. ιδ. Γ) (§. ε) Ἀλλ' εὗρε, τέλος, ἀνιχνεύσας ὁ κριτικὸς καὶ τὴν περὶ τῆς Ἀλεξανδρέων διάλεκτου Μοσχοπούλειον μαρτυρίαν· καὶ δὴ καὶ μετέγραψεν αὐτὴν κακῶς μὲν ὁπωσδήποτε καὶ βαρβαρικῶς (βλ. §. ε. καὶ σημ.), ἀλλ' ὅμως, ὅσον πρὸς ἀπόδειξιν τῆς ἰδίας αὐτοῦ γνώμης, — κάκιστα καὶ τρισεπαρίστερα! Καὶ ποία μέν τις ὑπῆρχεν ἡ Ἀλεξανδρινὴ διάλεκτος λέγομεν ἐφεξῆς. Αὐτὸν δὲ τὸν Μοσχόπουλον παρενόησεν ὁ σοφώτατος Ὅδιος. Ἐκεῖνος γὰρ λέγων ὅτι « κατὰ τὴν Ἀλεξανδρέων διάλεκτον ἡ *θεία Γραφὴ* γέγραπται », θείαν Γραφὴν ἐννοεῖ καθόλου *καὶ τὴν Παλαιὰν καὶ τὴν Καινὴν Διαθήκην* (διότι καὶ ταύτης ὁ λεκτικὸς χαρακτὴρ εἰς τὴν Ἀλεξανδρινὴν ἀνήκει διάλεκτον)· καὶ τοῦτο φρονοῦντα τὸν γραμματικὸν μαρτυρεῖ σαφῶς αὐτὸ τὸ *καθὼς* ἐπίῤῥημα (περὶ οὗ κυρίως ὁ λόγος αὐτῷ), πολλαχοῦ καὶ τῆς Καινῆς Διαθήκης ἀπαντῶν. Ὥστε, εἴπερ ἐκ τῆς Μοσχοπούλου μαρτυρίας οἱ μεταφρασταὶ τῆς Παλαιᾶς Διαθήκης φαίνονται τὸ γένος Ἀλεξανδρινοὶ (καθὼς Ὅδιος ἀξιοῖ), καὶ Παῦλος ἄρα ὁ Ταρσεύς, καὶ Πέτρος ὁ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ Λουκᾶς ὁ Ἀντιοχεύς, καὶ πάντες οἱ λοιποὶ θεόπνευστοι τῆς Νέας Διαθήκης συγγραφεῖς, « *ἄνδρες* (ὄντες) *Γαλιλαῖοι* » (Πράξ. α), διὰ τὸν αὐτὸν λόγον ἀναδείκνυνται κἀκεῖνοι Ἀλεξανδρινοὶ τὴν πατρίδα! Κατὰ δὲ ταῦτα, καὶ Ἱπποκράτης ὁ Κῷος γέρων, καὶ Ἡρόδοτος ὁ Ἁλικαρνασσεύς, ἀμφότεροι τὸ γένος Δωριεῖς, ἦσαν Ἴωνες καὶ οὗτοι, διότι συνέγραψαν ἰωνιστί! Εἶπον δὲ καὶ περὶ τούτων ἄλλοι πάλιν γραμματικοὶ (ἀπαραλλάκτως, καθὼς ὁ Μοσχόπουλος, ἐκφραζόμενοι), ὅτι « κατὰ τὴν Ἰωνικὴν διάλεκτον καὶ Ἱπποκράτης ἔγραψεν »! Ἀλλὰ καὶ ἐφεξῆς Ἀρεταῖος ὁ Καππαδόκης (ἐπὶ Νέρωνος) ἰώνιζε, καὶ Λουκιανὸς ὁ Σύρος (ἐν τῷ περὶ τῆς Συρίης θεοῦ)· καὶ Πρωταγόρας, ἀττικὸς ἀνὴρ, Ἀθηναῖος (ἐπὶ τοῦ Μ. Κωνσταντίνου) συνέγραφεν Ἰωνικῇ διαλέκτῳ (Φώτ. κώδ. ξε). Καὶ ἐπλα-

νήθησαν μὲν πάντως οἱ περὶ τὸν Οὐόσσιον, εἴπερ ὑπετόπαζον, ὅτι καὶ παρὰ τοῖς εὐπαιδεύτοις Ἕλλησιν ἀπέσβεστο παντελῶς *πολὺ πρὸ τῶν Καισάρων* ἡ Ἰωνικὴ διάλεκτος (α). Ἀλλὰ πόσον βαρυτέρα πλάνη λογισμῶν ἐξελέγχεται τὸ συμπεραίνειν ἐκ τῆς διαλέκτου καὶ τὴν πατρίδα τῶν συγγραφέων; Οἱ δὲ περὶ τὸν Ὅδιον καὶ Κρόϊον Ἀλεξανδρινοὺς, ἢ Αἰγυπτίους, ὡς ἐκ τῆς διαλέκτου παριστῶντες τοὺς ἑρμηνεῖς τῶν Γραφῶν, ἄλλο τι ποιοῦσιν, ἢ εἴπερ ἀνεκήρυττον Ἴωνας τὴν πατρίδα τοὺς Ἀττικοὺς καὶ Δωριεῖς καὶ Σύρους καὶ Καππαδόκας, διότι συνέγραψαν ἰωνιστί; Τελευταῖον· ὁ Μοσχόπουλος λέγει, ὅτι κατὰ τὴν Ἀλεξανδρέων διάλεκτον ἡ *θεία Γραφὴ* γέγραπται, καὶ ὁ Ὅδιος ἐκ τούτου συνάγει βεβαίως, ὅτι *τῆς Παλαιᾶς Γραφῆς* οἱ ἑρμηνεῖς ἦσαν Ἀλεξανδρινοὶ, κατοικοῦντες Αἴγυπτον, « *Νείλου ἐπὶ προχοῇσι, Κανωβίδος ἐγγύθεν ἀκτῆς* »! Ἀλλὰ διὰ τί πάλιν ὁ αὐτὸς Ὅδιος ἀντιστρατεύεται πρὸς τὴν αὐτὴν Μοσχοπούλειον μαρτυρίαν, λέγων ἀλλαχοῦ τὰ ἐφεξῆς; « Ἂν δέ τινι μᾶλλον ἀρέσκῃ μὴ πάντα τὰ τεύχη τῆς Γραφῆς ὑπ᾽ Ἀλεξανδρινῶν ἐξελληνισθῆναι, ἀλλά τινα καὶ παρ᾽ ἄλλων ἐξ ἄλλης πατρίδος Ἰουδαίων ἑλληνιστῶν, Παλαιστινῶν, τυχὸν, ἢ Ἀντιοχέων, εἰς χρῆσιν τῶν ἰδίων αὐτῶν συμπολιτῶν, οὐδὲ πρὸς ταύτην τὴν γνώμην ἀντιλέγομεν » (Ὅδιος, σελ. 191). Οὕτως ὁ κλεινὸς ἀνὴρ παρεξηγῶν τὸν Μοσχόπουλον, ἀντιλέγων πάλιν πρὸς τοῦτον, ἀντιφάσκων, τέλος, καὶ αὐτὸς πρὸς ἑαυτὸν, διάζεται ἀράχνης ἱστόν·

§. ιε. Δ) Ἐρχόμεθα ἤδη καὶ εἰς τὰς κατὰ μέρος ἐκ τῶν λέξεων ἀποδείξεις τοῦ τεθέντος Ἀλεξανδρινισμοῦ τῶν ἑρμηνευτῶν, ἀφ᾽ οὗ προτάξωμεν ὀλίγα τινὰ καθόλου περὶ τῆς Ἀλεξανδρινῆς διαλέκτου. Σοφῶς ὁ σοφὸς Στούρζιος (β) τὴν Μακεδονικὴν διάλεκτον εἰς δύω διαιρεῖ, παλαιὰν (ὀλίγῳ τῆς Δωρικῆς διαφέρουσαν), καὶ νεωτέραν, σύμμικτον οὖσαν οὐ μόνον ἐκ τῆς Ἀττικῆς καὶ τῶν ἄλλων ἑλληνικῶν διαλέκτων (εὐθὺς μετὰ τοὺς Ἀλεξάνδρου χρόνους πολλαχοῦ συνταραχθεισῶν, ὅθεν ἐγεννήθη ἡ κοινὴ λεγομένη διά-

(α) J. Voss. de vitiis sermon.

(β) Βλ. Sturz de Dialect. Macedon. §. 7—9. κτλ.

λεκτος)· ἀλλὰ καὶ ἐξ ἄλλων φωνῶν ξενικῶν (κατὰ τὴν Ἀλεξάνδρειαν μάλιστα) παραμεμιγμένων, οἷον Αἰγυπτίων, Σύρων, Περσῶν, καὶ ἄλλων Ἀσιανῶν ἐθνῶν, οἵτινες ὑπὸ μίαν, τὴν Μακεδονικὴν, ἐπικράτειαν ζῶντες, εἶχον πρὸς ἀλλήλους συχνὴν ἐπιπλοκὴν καὶ ἐπιμιξίαν. Ἐκ τῆς νεωτέρας ταύτης Μακεδονικῆς ἐγεννήθη ἡ κοινὴ καὶ δημώδης διάλεκτος τῶν Ἀλεξανδρέων ἰδιωτῶν. Ταύτης δὲ πολὺ διέφερε πάντως ἡ τῶν πεπαιδευμένων, οἵτινες σπουδάζοντες τοὺς ἐνδόξους Ἕλληνας συγγραφεῖς, καὶ πρὸ πάντων τοὺς γνησίους ἀττικοὺς (ὡς οἱ τῆς Ἀλεξανδρινῆς Σχολῆς παντοίας σοφίας ἐργάται), διετήρουν τὴν καθαρότητα καὶ ἀκρίβειαν τῆς ἑλληνίδος φωνῆς, οἱ μὲν μᾶλλον κατορθοῦντες (οἱ ἀρχαιότεροι), οἱ δὲ καὶ ἧττον. Τούτων τῶν Ἀλεξανδρινῶν συγγραφέων ἔχομεν συγγράμματα καὶ εἰς ἡμᾶς ἀποσωθέντα, ἄλλα τε, καὶ τὰ τοῦ Πτολεμαίου, καὶ τοῦ ἱεροῦ Κλήμεντος, καὶ τοῦ μάλιστα πλατωνίζοντος Φίλωνος (καί τοι καὶ τούτου, καὶ πολὺ μᾶλλον ἡ τοῦ Κλήμεντος διάλεκτος ἔχει καί τινα βαφὴν ἐκ τῆς ἣν μετὰ χεῖρας εἶχον ἑρμηνείας τῶν θείων Γραφῶν). Ἡ δὲ τῆς Παλαιᾶς Διαθήκης μετάφρασις, ὡς γενομένη μάλιστα διὰ τοὺς κοινολαΐτας καὶ ἰδιώτας, φαίνεται ὅτι ἀνήκει εἰς τὸ σύνηθες ἰδίωμα τῶν Ἀλεξανδρινῶν Ἑβραίων, οἵτινες ἐλάλουν μὲν καὶ αὐτοὶ τὴν ἐπιχώριον Ἀλεξανδρινὴν, ἀλλ᾿ ὅμως μετά τινος ποιᾶς διαφορᾶς, προστιθέντες καί τινας ἰδιωτισμοὺς ἑβραϊκοὺς ἢ Συριακούς. Τοιαῦτα συντόμως τὰ τοῦ Στουρζίου, πολλὰ καὶ ἄλλα προσεπιμετροῦντος σοφὰ, καὶ πλήρη πολυμαθείας, (ὧν τινα καὶ ἰδίας χρῄζουσιν ἐπιστασίας)· ἡμεῖς δ᾿ ἐκ τούτων ὁρμώμενοι, σημειοῦμεν μόνον τὰ ἐφεξῆς πρὸς ἀπάντησιν τῶν Ὀδιακῶν.

§. ιϛ. α) Ὅτι μὲν οἱ κάτοικοι τῆς Ἀλεξανδρείας Ἰουδαῖοι (οἵτινες καὶ Ἀλεξανδρεῖς ἐκαλοῦντο, καὶ ἰδίως *Ἀλεξανδρινοὶ* Ἰώσηπ. Ἀρχ. ιθ. 5, 2) παρεμίγνυον μετὰ τῆς ἐπιχωρίου τῶν Ἀλεξανδρέων διαλέκτου καί τινας τῆς πατρίου γλώσσης αὐτῶν ἰδιωτισμοὺς, κακῶς ἑλληνίζοντες (καὶ μάλιστα καθ᾿ ὃν χρόνον εἰσήγοντο τὸ πρῶτον ἐκ τῆς, ἣν ἐθήλασαν, ἑβραΐδος φωνῆς εἰς

τὴν Ἀλεξανδρινὴν), τοῦτο λίαν πιθανὸν καὶ τοῦ βεβαίου ἐγγύς. Ἀλλ' ὅτι καὶ εἰς τούτων κυρίως τὴν διάλεκτον, καὶ παρὰ τούτων αὐτῶν ἡ Γραφὴ μετεφράσθη, ποίαν ἔχομεν ἀπόδειξιν; οὐδεμίαν, οὐδὲ σκιάν. Ποῖον ἄλλο παρόμοιον σύγγραμμα τῆς Ἀλεξανδρινῆς ἐκείνης, τῆς ἰδιωτικῆς καὶ χυδαίας, διαλέκτου διεσώθη καὶ εἰς ἡμᾶς, ἵνα τὸ ταὐτὸν τῆς φράσεως παραβαλλόμενον ἀποδείξῃ τὴν ἀλήθειαν; Ἡ φράσις τῆς θείας Γραφῆς ὑπάρχει κατὰ μέγα μέρος Ἀλεξανδρινὴ, ἢ (καθὼς εἶπεν ὁ Μοσχόπουλος) « κατὰ τὴν *Ἀλεξανδρέων διάλεκτον* », καὶ λέξεις ἔχει πολλὰς ἰδιωτικὰς καὶ τετριμμένας· ἀλλ' ἔχει καί τινας ἐξαιρέτους τῆς Ἀττικῆς ἰδιωτισμοὺς (οἷον τὰ εἰς ϕην εὐκτικὰ, καὶ τῶν μέσων ῥημάτων χρῆσιν πολλάκις ἀττικωτάτην, κτλ.), οἵτινες μήτε κοινοὶ (νομίζομεν) ἦσαν, μήτε λίαν εὔκολοι εἰς τὴν χυδαίαν τῶν Ἀλεξανδρινῶν ἐκείνων λαλιὰν (ὡς ὑπέλαβεν ὁ Στούρζιος, σελ. 52). Τῆς Ἀττικῆς διαλέκτου τὰ λεπτότατα ἄνθη ἐξέπεσαν πρώϊμα μαρανθέντα καὶ κατ' αὐτὴν τῶν Ἀττικῶν τὴν συνήθη γλῶσσαν, παρευθὺς μετὰ τὴν ἐπ' Ἀλεξάνδρου σύγχυσιν τῶν διαλέκτων, ὁπότε «*πολλοὶ καὶ τῶν ἀττικῶν ἐμακεδόνιζον, διὰ τὴν ἐπιμιξίαν*» (Ἀθήν. γ. 122). Πῶς λοιπὸν ἔμελλον ἀνθήσειν εἰς τὴν ἐν Αἰγύπτῳ μεταφυτευθεῖσαν, καὶ πολλαχῶς ἀσιανίζουσαν χυδαίαν Μακεδονικὴν, ἢ Ἀλεξανδρινὴν, καὶ μάλιστα τὴν παρὰ τοῖς Ἑβραίοις τότε συνειθισμένην; Τοῦτο, καὶ ἄλλα τοιαῦτα, λίαν ἀπίθανον ποιοῦσι τὸ δόγμα τῶν θελόντων τὴν διάλεκτον τῶν Γραφῶν πάντῃ πάντως ἐγχώριον μόνον τῶν Ἀλεξανδρινῶν. Ὅθεν καὶ αὐτὸς ὁ Στούρζιος παρήγγειλεν, « ἵνα μηδεὶς αὐτὸν ἀπαιτήσῃ τὴν ἀπόδειξιν, ὅτι τῆς θείας Γραφῆς ἡ φράσις ὑπάρχει πάντως Ἀλεξανδρινή » (τῆς κοινῆς δηλαδὴ καὶ τοπικῆς τῶν Ἀλεξανδρινῶν διαλέκτου)· « ἀρκεῖται δὲ (λέγει) μόνον, ἐὰν ἀποδείξῃ, ὅτι περιέχει τινα τῆς Ἀλεξανδρινῆς καὶ Μακεδονικῆς ἀνάμικτα ἰδιώματα, καὶ ταῦτα σταθερώτερα καὶ πλείονα, παρὰ πᾶσαν ἄλλην συγγραφὴν τῶν μεταγενεστέρων (Ἀλεξανδρινῶν) συγγραφέων » (α).

(α) Sturz l. c. §. 2. pag. 7.

ϐ) Οὐ μόνον μιᾶς τινος γενικῆς διαλέκτου διακρίνονται διάφοροι εἰδικαὶ, ἢ τοπικαὶ ὑποδιαιρέσεις (ὡς τῆς Δωρικῆς ἀριθμοῦνται κατὰ τόπους ἰδιώματα πολλὰ, οἷον Λακεδαιμονίων, Σικυωνίων, Ἀμυκλαίων, Ἐρετριέων, Μεγαρέων, Κυπρίων, Ῥοδίων, Σικελῶν, Συρακουσίων, Ταραντίνων, καὶ ὅσα ἄλλα Δωρικὰ) (α), ἀλλὰ καὶ αὐτῶν πάλιν τῶν τοπικῶν ἰδιωμάτων θεωροῦνται ποικίλαι τινες κατὰ πόλεις, ἢ χώρας, εἰδικώταται γλωσσηματικαὶ διαφοραί. Οὕτως οἱ ἐν Σικελίᾳ Ταραντῖνοι, λαλοῦντες καὶ αὐτοὶ τὸ δωρικὸν ἰδίωμα τῶν ἄλλων Σικελῶν, εἶχον ὅμως καί τινα γλωσσήματα λακωνικώτερα (καθὸ Λακώνων ἄποικοι), καὶ οἱ Γορτύνιοι κατὰ τὴν Κρήτην ὡσαύτως, καὶ αὐτοὶ δὲ οἱ δωρίζοντες Θηβαῖοι πολλάκις ἐλακώνιζον, *ἐττὰν*, λέγοντες, καὶ *ἐττὸν* (ἀντὶ ἐς τὸν, ἐς τὰν), καθὼς οἱ Σπαρτιᾶται (Ἀριστοφ. Ἀχαρν. στίχ. 860, 911). Παραλείπομεν τὰ Θεσσαλικὰ, τὰ Ἠπειρωτικὰ, καὶ ἄλλα πάμπολλα ἰδιώματα, καὶ αὐτὰ τὰ τῆς ἀρχαίας Μακεδονικῆς. Ἀλλ' ὅμως αἱ τοιαῦται κατὰ πόλεις εἰδικώταται διαφοραὶ, καὶ αἱ λοιπαὶ τοπικαὶ ὑποδιαιρέσεις, οὐδόλως μεταϐάλλουσι τὸν καθόλου χαρακτῆρα τῆς ἐθνικῆς διαλέκτου· καὶ ὁ Δωρισμὸς (φέρ' εἰπεῖν) διατηρεῖ πανταχοῦ τὸν γενικὸν αὐτοῦ τύπον (ἢ πῶς ἂν ἄλλως διεκρίνοντο ἀπ' ἀλλήλων αἱ καθολικαὶ διάλεκτοι τῆς ἑλληνικῆς;). Τούτων οὕτως ἐχόντων, θεωρήσωμεν καὶ τὴν Ἀλεξανδρινήν. Τὸ δεύτερον ἔτος μετὰ τὸν Ἀλεξάνδρου θάνατον μεγάλη τῶν Ἰουδαίων πληθὺς μετῴκησεν οὐ μόνον εἰς τὴν Αἴγυπτον, καὶ τὴν Ἀλεξάνδρειαν, ἀλλὰ καὶ εἰς τὴν Φοινίκην (καὶ περαιτέρω, εἰς τὴν Κυρήνην) ἐπὶ τοῦ Λαγίδου Πτολεμαίου, ὅστις καὶ τὴν Κοίλην Συρίαν εἶχεν ὑποτάξας, καὶ τὴν Παλαιστίνην αὐτήν. Τότε (καθὼς νομίζουσι) καὶ οἱ Ἰουδαῖοι οὗτοι ἔμαθον τὴν ὑπὸ τῶν Μακεδόνων ἤδη διὰ πάσης τῆς

---

(α) Βλ. τοὺς Σχολ. εἰς Θεοκρίτ. Εἰδ. δ, 28. ε, 25. ιϐ, 13. καὶ εἰς Ἀπολλων. Ἀργον. β. 1176.— Ἀριστοτ. ποιητ. κα.— Στράϐ. η, 333.— Μ. Ἐτυμολ. καὶ Ἡσύχ. πολλαχοῦ. — Salmas. de Hellenist. p. 460, sqq. — Sturz. l. c. p. 19, 20. Περὶ δὲ τῶν ἰδιωμάτων τῆς Λακωνικῆς ἰδίως ϐλ. Valcken. ad Thoerit. Adoniaz. in disgresion. pag. 257—299, καὶ Ruhnk. Epist. erit. pag. 214, sqq.

Ἀσίας ἐφαπλωθεῖσαν *Ἑλληνικὴν*, ἢ *Μακεδονικὴν* (α). Ἡ αὐτὴ διάλεκτος ἐπεκράτησε καὶ εἰς τὸ ἰδιαίτερον ἐν Συρίᾳ βασίλειον τῶν Μακεδόνων Σελευκιδῶν, ὅπου « Σέλευκος ὁ Νικάτωρ ἐν αἷς ἔκτισε πόλεσιν ἐν Ἀσίᾳ, καὶ τῇ κάτω Συρίᾳ (ἀριθμοῦνται δὲ ιϛ. παρ᾽ Ἀππιανῷ, Συριακ.), καὶ ἐν αὐτῇ δὲ τῇ μητροπόλει Ἀντιοχείᾳ, πολιτείας αὐτοὺς (τοὺς ἐν Συρίᾳ Ἰουδαίους) ἠξίωσε, καὶ τοῖς ἐνοικισθεῖσιν ἰσοτίμους ἀπέδειξε Μακεδόσι καὶ Ἕλλησι » (β). Καὶ ἔσωζε μὲν πάντως ἡ κοινὴ διάλεκτος αὕτη τὸν περὶ τὰ καθόλου Μακεδονικὸν αὐτῆς χαρακτῆρα. Εἶχε δὲ ὅμως καὶ γλωσσηματικά τινα κατὰ τόπον ἰδιώματα, παρά τε τοῖς ἄλλοις, καὶ τοῖς ἑλληνίζουσιν Ἰουδαίοις· ὅθεν καὶ τὸ ἰδίωμα φέρ᾽ εἰπεῖν τῶν Ἀλεξανδρινῶν Ἰουδαίων διέφερε τοῦ τῶν Σύρων, ἢ Φοινίκων, καὶ Παλαιστινῶν ἑλληνιστῶν, ὡς καὶ τὸ τῶν Συρακουσίων παρήλλαττε τοῦ τῶν Λακώνων, καὶ τὸ τῶν Γορτυνίων, τοῦ συγγενοῦς τῶν ἄλλων Κρητῶν. Ἀλλὰ τῶν μὲν τοιούτων Δωρισμῶν ἔχομεν πολλὰς διαφορὰς σεσημειωμένας μάλιστα παρὰ τοῖς ἀρχαίοις Σχολιασταῖς καὶ λεξικογράφοις, καὶ τοῖς περὶ διαλέκτων ἰδίως πραγματευσαμένοις (γ). Τῶν δὲ παρὰ τοῖς ὁπωσδήποτε κατὰ τόπον ἑλληνίζουσιν Ἰουδαίοις γλωσσηματικῶν ἰδιωμάτων (κατὰ τὴν γραπτὴν δηλονότι τῶν εὐπαιδεύτων διάλεκτον) οὐδεμίαν οὐδόλως ἔχομεν διάγνωσιν, ἢ χαρακτηριστικὴν διαστολήν. (Οἱ δὲ μέχρις ἡμῶν εὑρεθέντες ἐν Αἰγύπτῳ *πάπυροι* τῶν μὲν Ἀλεξανδρέων Ἑλλήνων τὴν κοινήν, καὶ ἀγοραίαν, καὶ ἔν τισιν αἰγυπτιάζουσαν, διάλεκτον

---

(α) Sturz. l. c. §. 1. p. 3. βλ. καὶ H. Thiersch. de Pentateuchi versione etc. p. 68. sqq.

(β) Ἰώσ. Ἀρχ. ιϐ. 3. — Καὶ ὀρθῶς ἄρα ἔκρινεν ὁ Σχοῖλλος, ὅτι ἡ Μακεδονικὴ διάλεκτος μεταδοθεῖσα εἰς τὴν Αἴγυπτον, καὶ τὴν Φοινίκην (πρόσθες καὶ τὴν Συρίαν), ἀνεμίχθη μετὰ τῶν ἰδιωμάτων τούτων τῶν χωρῶν· τὸ δ᾽ ἐξ αὐτῶν προελθὸν ἀνάμιγμα, ὠνόμασαν (οὐκ ὀρθὴν ὅμως ἐπωνομασίαν) διάλεκτον ἑλληνιστικήν. Schoell, Histoir. de la Littérat. Gr. vol. 3. p. 44.

(γ) Βλ. τὸ περὶ διαλέκτων Γρηγορίου τοῦ Κορίνθου (ed. Koen.), καὶ Ἰωάννου τοῦ Φιλοπόνου, (ἐξ οὗ τινα καὶ Λάσκαρις ἀντέγραψεν ἐν τῇ γραμματικῇ). Μνημονεύονται δὲ καὶ ἄλλοι παλαιοὶ περὶ διαλέκτων συγγράψαντες, ὧν ἀπώλοντο τὰ βιβλία. βλ. Sturz. l. c. p. 7. καὶ τὸ De Dialectis τοῦ περικλεοῦς Maittairj.

ἐμφαίνουσιν, ἀλλ᾽ οὐχὶ καὶ τὴν ἰδιάζουσαν εἰς τοὺς Ἀλεξανδρινοὺς ἑλληνιστὰς Ἰουδαίους) (α). Μόνη τῆς Γραφῆς ἡ ἑρμηνεία σώζεται μνημεῖον ἐκείνης τῆς τότε παρὰ τοῖς κατὰ τόπους ἑλληνίζουσιν Ἑβραίοις ἐπικρατούσης Ἀσιανο-Μακεδονικῆς διαλέκτου. Καὶ αὕτη πάλιν οὐχὶ τῆς ἐκ τριόδου καὶ χυδαίας τοῦ ὄχλου λαλιᾶς, ἀλλὰ, τὸ πλεῖστον, ὑπ᾽ αὐτῶν τῶν ἐπιστημόνων ἑρμηνευτῶν μετὰ τέχνης λογικῆς κατεσκευασμένη, καὶ πρὸς τὸ σεμνότερον τῆς φράσεως κεκαλλιεπημένη (β). Ἐπειδὴ δὲ αὕτη ἡ ἑρμηνεία γέγονεν ἐν Ἀλεξανδρείᾳ, διὰ τοῦτο, πᾶν ὅ,τι Συριακὸν, ἢ Ἑβραϊκὸν, ἢ Αἰγύπτιον, ἢ ὁτιδήποτ᾽ ἄλλο τῶν Ἀσιανῶν ἰδίωμα κατ᾽ αὐτὴν ἀπαντῶσιν οἱ πλεῖστοι τῶν φιλολόγων, πάντα ταῦτα παρευθὺς εἰς τὴν τοπικὴν τῶν Ἀλεξανδρινῶν διάλεκτον ἀναφέρουσιν. Ἀλλὰ τοῦτο τότε μόνον ἐφαίνετο πιστὸν, ὁπότε καὶ σαφῆ τινα τεκμήρια τῶν τοιούτων ἀπεδείκνυον ἰδιωτισμῶν· ὅτι τοῦτο μὲν ὑπῆρχε μόνης, φέρ᾽ εἰπεῖν, τῆς κατ᾽ Αἴγυπτον καὶ τὴν Ἀλεξάνδρειαν ἰδιαζούσης τῶν ἑλληνιστῶν Ἰουδαίων φωνῆς, ἐκεῖνο δὲ μόνης τῶν ἐν Φοινίκῃ, ἄλλο δέ τι τῶν Σύρων μόνων, ἢ τῶν Παλαιστινῶν. Ταῦτα πρῶτον ὤφειλον οἱ περὶ τὸν Ὅδιον ἀποδεῖξαι διωρισμένως, ἵνα γοῦν ἔπειτα καὶ περὶ τῆς πατρίδος τῶν τῆς Γραφῆς ἑρμηνέων εἶχόν τι λέγειν ὁπωσοῦν πιθανόν· (καί τοι καὶ τότε πάλιν ἔμενεν ἄλυτον τὸ ζήτημα· διότι καὶ Σύροι τινες ὄντες, ἢ ἄλλης πατρίδος, οἱ ἑρμηνεῖς, ἠδύναντο γράφειν κατὰ τὸ ἰδίωμα τῶν Ἀλεξανδρέων, εἴτε νέοι διατρίψαντες ἐν Ἀλεξανδρείᾳ, εἴτε καὶ, τυχὸν, ἐν ταῖς

(α) Πάπυρον Αἰγύπτου γεγραμμένον τῷ 104 π. Χ. ἐξέδωκε μετὰ σχολίων ἑρμηνευτικῶν ὁ κλεινότατος Βοίκχιος (Boeckh. ἐν Βερολίνῳ 1821)· εἰς οὗ τὴν ἑρμηνίαν ἠσχολήθησαν ὕστερον καὶ Jomard, καὶ Champollion—Figeac, καὶ ὁ Ἄγγλος Joung, καὶ ὁ ἔνδοξος Ἀλέξιος Ὠλένην μετὰ σημειώσεων Ῥωσσιστὶ, (Πετρουπόλει 1822). Ἄλλους παπύρους ἐξέδωκαν ὁ St. Martin, (ἐν Journal des Savans, 1822), ὁ Buttmann, (Erklaerung der griechis. Beyschrift, etc. Berlin. 1824), ὁ Letronne, καὶ ὁ ἡμέτερος Πετρεττίνης (Βιένν. 1826).

(β) Τοῦτο κάλλιστα ἐσημειώσατο καὶ ὁ σοφὸς Ἐρ. ὁ Θήρσιος· « Phrasis hebraizans — in Versione Alexandrina, maxima ex parte ne natura quidem et sponte in ore vulgi videtur orta, sed cum arte à peritis interpretibus quaesita et efformata ». De Pentateuchi versione etc. p. 69. πρβλ. καὶ pag. 74·

ἰδίαις πατρίσιν ὑπ' Ἀλεξανδρινῶν τινων διδαχθέντες, καὶ διὰ μακρᾶς καὶ συνεχοῦς ὁμιλίας ἀπομαξάμενοι τοὺς ἐκείνων ἰδιωτισμούς). Ἐφ' ὅσον δὲ ταῦτα μένουσιν ὁλοτελῶς ἀναπόδεικτα καὶ ἄγνωστα, συγχωρείτωσαν ἡμῖν οἱ περὶ τὸν Ὅδιον, ὅπως ὑπὸ τ' ὄνομα τῆς Ἀλεξανδρινῆς διαλέκτου συμπεριλαμβάνωμεν γενικώτερον καὶ πάντα τὰ τοπικὰ ἰδιώματα τῶν κατὰ τὴν Ἀσίαν ἑλληνιστῶν Ἰουδαίων, ἄλλων τε πολλῶν, καὶ τῶν ἐν τῇ κοίλῃ Συρίᾳ, καὶ κατ' αὐτὴν τὴν Παλαιστίνην ἑλληνιζόντων (ἐξ ὧν μετεκλήθησαν καὶ οἱ Ο). Ὅτι δὲ παρευθὺς μετὰ τὴν Ἀλεξάνδρου ἀνάβασιν ὑπῆρχον καὶ εἰς τὴν Ἰουδαίαν καὶ τὴν κοίλην Συρίαν ἑλληνίζοντες Ἰουδαῖοι, μαρτυρεῖ μὲν ὁ Κλέαρχος (ἢ ὁ δι αὐτοῦ λαλῶν Ἀριστοτέλης), ἐν' οἷς ἱστορεῖ τὸν Ἰουδαῖον ἐκεῖνον, « ᾧ περ ἐκ τῶν ἄνω τόπων εἰς τοὺς ἐπιθαλαττίους ὑποκαταβάντι περιέτυχε περὶ τὴν Ἀσίαν, ἐπαινῶν αὐτὸν ὡς *ἑλληνικὸν οὐ τῇ διαλέκτῳ μόνον*, ἀλλὰ καὶ τῇ ψυχῇ » (Ἰώσηπ. κ. Ἀπίων. α. §. κβ), μαρτυρεῖ δὲ μάλιστα καὶ Ἑκαταῖος ὁ Ἀβδηρίτης, διαγράφων τὸν μετὰ Πτολεμαίου τοῦ Λαγίδου συνομιλήσαντα ἀρχιερέα τῶν Ἰουδαίων Ἐζεκίαν « ὡς ἔμπειρον πραγμάτων *καὶ λέγειν δυνατὸν* » (Ἰώσηπ. αὐτ.). Τὴν δὲ παρὰ τῷ Ἀριστέᾳ πρὸς τὸν Φιλάδελφον ἑλληνικὴν τοῦ ἀρχιερέως Ἐλεαζάρου ἐπιστολὴν παραλείπομεν, ἵνα μή τι κατὰ τοῦτο παροξύνωμεν τὸν Ὅδιον. Προστιθέμεθα δὲ μόνον, ὅτι καὶ πόλεις ἦσαν ἔκπαλαι κατὰ τὴν Παλαιστίνην *Ἑλληνίδες*, οἷον Ἄζωτος, καὶ Γαδαρὶς, ἢ Γάδαρα, καὶ Γάζα, καὶ Ἀσκάλων, καὶ Ἰόππη, καὶ ἡ Φιλαδέλφεια, Πτολεμαίου τοῦ Φιλαδέλφου ἐπώνυμος (α). Πολλὴν δὲ καὶ μετὰ τούτων ἐπιμιξίαν εἶχον εἰκότως οἱ Ἰουδαῖοι.

γ) Ἐν δὲ τῇ Β, τῶν Μακκαβαίων (κεφ. α καὶ β) σῴζονται δύω τῶν Ἱεροσολυμιτῶν Ἰουδαίων πρὸς τοὺς ἐν Αἰγύπτῳ ἐπιστολαὶ (μόλις 100, ἢ 130, ἐνιαυτοὺς μετὰ τὴν μετάφρασιν γεγραμμέναι). Τούτων δὲ τὸ ὕφος καὶ ὅλος ὁ τοῦ λόγου χαρακτὴρ ὑπάρχει παν-

---

(α) Ἰώσ. Ἰουδ. πολ. Β, ϛ, 5: ιη, ι. — Στέφ. Βυζ. — Στράβ. ις, 759, 760.

τάπασιν ὅμοιος καὶ ἀπαράλλακτος πρὸς τὸν χαρακτῆρα τῶν Ο, καὶ πρὸς αὐτὸ τὸ Α, βιβλίον τῶν Μακκαβαίων, « Ὅπερ κατὰ τὸ τῆς θείας Γραφῆς ἀρχαϊκὸν ἰδίωμα τὸν χαρακτῆρα φέρει » (α). Τοῦτο δὲ τὸ ἀρχαϊκὸν ἰδίωμα τῆς τε Α, τῶν Μακκαβαίων καὶ τῶν ἐν τῇ Β, προειρημένων ἐπιστολῶν πόσον διαφέρει παρὰ τὰ λοιπὰ τῆς Β, τῶν Μακκαβαίων (ἥτις συνεγράφη ὑπό τινος Ἀλεξανδρινοῦ Ἰουδαίου, ὡς ἐπιτομὴ τῶν ε, βιβλίων Ἰάσωνός τινος Ἰουδαίου Κυρηναίου ἑλληνιστοῦ), φανερὸν καὶ τοῖς ὀλίγον ἐπιστήσασιν. Ὡμολόγησε δὲ καὶ αὐτὸς ὁ κριτικὸς (καί τοι μὴ πάνυ πρὸς τοὺς Ο, εὐμενὴς) Οὐαλκενῆρος, ὅτι « Ὁ συνταξάμενος τὴν Β, βίβλον τῶν Μακκαβαίων (ὁ δ' αὐτός, φησι, συνέταξε καὶ τὴν Γ), Ἰουδαῖός τις ἦν Ἀλεξανδρινὸς, τὰ ἑλληνικὰ πεπαιδευμένος. Συνέταξε δὲ ταύτην οὐχὶ πάντως κατὰ τὴν *Ἀλεξανδρινὴν διάλεκτον* τῆς Α, τῶν Μακκαβαίων· αὕτη γὰρ *κατὰ τὸ ἀρχαϊκὸν ἰδίωμα τῆς θείας Γραφῆς τὸν χαρακτῆρα φέρει*, συγγραφεῖσα ὑπό τινος (ἂν μὴ σφάλλωμαι) Παλαιστινοῦ, *ἑλληνιστικῶς*, δηλονότι κατὰ τὸ ἰδίωμα τῶν *ἐν Συρίᾳ* ἑλληνιζόντων Ἰουδαίων. Οὐδ' ἂν συμφωνήσαιμι (λέγει) τῷ Βαϋέρῳ, ὅστις πάντα τὰ βιβλία ταῦτα κρίνει συγγεγραμμένα κατὰ τὴν Αἴγυπτον (β). Ἐν Ἱεροσολύμοις πάντως ἐξεδόθησαν καὶ αἱ δύω (αἱ προειρημέναι) παρὰ τῶν Ἱεροσολυμιτῶν πρὸς τοὺς Ἀλεξανδρινοὺς Ἰουδαίους ἐπιστολαὶ, κατὰ τὸν τότε χυδαῖον τῶν Ἰουδαίων ἑλληνισμὸν, ἢ κατὰ τὸν χαρακτῆρα τῆς Α, τῶν Μακκαβαίων συγγεγραμμέναι » (γ). Ταῦτα ὁ πολυΐδμων κριτικὸς φιλολογικώτατα. Σημείωσαι δὲ, καὶ ὅπως τὴν *Ἀλεξανδρινὴν διάλεκτον* πλατυκώτερον καὶ αὐτὸς ἐκλαμβάνει, οὐ μόνον ἐπὶ τῶν κατοίκων τῆς Ἀλεξανδρείας ἑλληνιστῶν, ἀλλὰ καὶ ὡς ἰδίωμα τῶν ἐν Παλαιστίνῃ καὶ Συρίᾳ ἑλληνιζόντων Ἰουδαίων, καθ' ὃ (λέγει) συνεγράφη ἡ Α, βίβλος τῶν Μακκαβαίων καὶ τῆς

---

(α) Σημείωσ. ἀρχαιοτάτη εἰς τὸν ος. κανόνα τῶν Ἀποστόλων, παρὰ τῷ Coteler. Patr. Apost. Tom. 1. p. 448.

(β) Th. S. Bayer. in Thes. Epistol. Lacroz. I. p. 33.

(γ) Valcken. de Aristob. Jud. p. 34.

Β, αἱ δύω ἐπιστολαί. Ἐπειδὴ δὲ ἡ ὑπὸ τοῦ Παλαιστινοῦ τινος γραφεῖσα Α, τῶν Μακκαβαίων « *κατὰ τὸ ἀρχαϊκὸν ἰδίωμα τῆς θείας Γραφῆς τὸν χαρακτῆρα φέρει* » (καθὼς εἶπεν ἡ χρυσῆ σημείωσις), ἄρα καὶ πάσης τῆς ἑρμηνείας τῶν θείων Γραφῶν ἡ διάλεκτος φέρει καὶ αὐτὴ τῶν ἐν Παλαιστίνῃ καὶ Συρίᾳ ἑλληνιζόντων Ἰουδαίων τὸν χαρακτῆρα, ὑπό τινων Παλαιστινῶν (αὐτῶν δηλαδὴ τῶν ἐξ Ἱερουσαλὴμ μετακληθέντων Ο, πρεσβυτέρων) ἐξελληνισθεισῶν τῶν θείων Γραφῶν. Ἐξηλληνίσθησαν δὲ πάντως, εἰ καὶ μὴ κατὰ τὴν ἀγοραίαν καὶ παντάπασιν ἰδιωτικὴν καὶ φλύαρον λαλιὰν τῶν Σύρων ἑλληνιστῶν (διότι, καθὼς ἀνωτέρω προείπομεν, ἡ φράσις τῶν Γραφῶν ἔχει καὶ κατασκευὴν ἔντεχνον, καὶ τύπον ἴδιον ἑρμηνευτικοῦ χαρακτῆρος), ἀλλ' ὅμως τὰ πλεῖστα μετεφράσθησαν κοινολεκτικῶς, καὶ σαφῶς, καὶ καταληπτῶς πρός τε τοὺς Σύρους αὐτοὺς καὶ πρὸς ἄλλους ἑλληνίζοντας ἀλλαχοῦ καὶ κατ' αὐτὴν τὴν Ἀλεξάνδρειαν (εἴγε καὶ οἱ Ἀλεξανδρινοὶ τὴν αὐτὴν τοῖς ἄλλοις ἑλληνισταῖς περὶ τὰ καθόλου διάλεκτον εἶχον, δηλονότι τὴν πολλαχῶς κατὰ τόπους ἀσιανίζουσαν Μακεδονικὴν, ἢ κοινὴν ἑλληνικήν). Οὕτω καὶ ἡ Σοφία τοῦ Σειρὰχ ὑπὸ Ἰησοῦ τοῦ ἐγγόνου αὐτοῦ (95 περίπου ἐνιαυτοὺς μετὰ τοὺς Ο) μεθηρμηνεύθη ἑλληνιστὶ κατὰ τὴν Ἀλεξάνδρειαν (α), καὶ ὅμως σῴζει καὶ αὕτη τὸ ἀρχαϊκὸν ἰδίωμα τῶν κατὰ τοὺς Ο, Γραφῶν (ὅπερ καὶ Θεοδοτίων ὕστερον, ἐν μέρει δὲ καὶ Σύμμαχος καὶ Ἀκύλας ἐμιμήθησαν) (β). Καὶ φαίνεται λοιπὸν ἡ διάλεκτος τῆς τῶν Γραφῶν ἑρμηνείας οὔτε *Ἑλληνιστικὴ* (καθὼς οἱ περὶ τὸν Ἑΐνσιον βαρβαροφωνότερον εἶπον, καὶ παντάπασι ψευδῶς), οὔτε τις *ἑβραιοελληνικὴ* (καθὼς ἄλλοι πάλιν καὶ κατὰ νοῦν καὶ κατὰ λέξιν ἐχασμῴδησαν) (γ), ἀλλ' ἡ κατὰ πλατυτέραν σημασίαν Ἀλεξανδρινὴ

---

(α) Σοφ. Σειρ· προοίμ.. — (β) Βλ. Salmas. de Hellenist. pag. 248.

(γ) Ὁ σοφὸς Δ. Ἑΐνσιος (ἐξ Ἐράσμου καὶ Σκαλιγήρου καὶ Δρουσίου τὸ ἐνδόσιμον λαβὼν) ὀρθῶς μὲν ὠνόμασεν ἑλληνιστὰς τοὺς ἔξω τῆς Παλαιστίνης ἐν τῇ διασπορᾷ ἑλληνίζοντας Ἰουδαίους. Ἀλλ' ἐσφάλη, διότι τούτους ἐξέλαβεν ὡς ἴδιόν τι γένος ἑλληνιστῶν συνιστῶντας, καὶ οἷον ἀποκεκριμένους εἰς ἓν ἀντίπαλον ὄνομα, τοὺς ἑλληνιστὰς, πρὸς τοὺς ἑβραΐζοντας Ἰουδαίους! Ἀλλὰ καὶ διάλεκτον αὐτῶν ἔπλασε κοινὴν καὶ μίαν

(συμπεριλαμβανομένου δηλονότι καὶ τοῦ συγγενοῦς Παλαιστινοῦ, ἢ Συριακοῦ ἰδιώματος) (α). Προτιμᾶται δὲ πρὸς τὴν ἐπωνυμίαν ἡ Ἀλεξάνδρεια, καθὸ καὶ τῆς Ἑλληνικῆς παιδείας ἔξοχος ἐπὶ τῶν Πτολεμαίων ἑστία γενομένη καὶ τροφὸς, καὶ αὐτῶν τῶν γενεθλίων τῆς τῶν Γραφῶν ἑρμηνείας βασίλειος θάλαμος. Εἰ δέ τις καὶ ἄλλη συγχωρεῖται ὀνομασία, μᾶλλον (ὡς νομίζομεν) χαρακτηριστικὴ, καὶ πρὸς ἀμφοτέρας ἁρμόζουσα τὰς συγγενεῖς τοῦ Θεοῦ Διαθή-

πανταχοῦ (κατὰ τὰς λοιπὰς, τὰς ἐθνικὰς τῆς ἑλληνικῆς διαλέκτους)· καὶ ταύτην (ὡς καὶ Σκαλίγηρος) ὠνόμασεν ἑλληνιστικὴν [ἐπίσης ἀτόπως, ὡς καὶ ἄν τις ἐκ τοῦ ἀττικιστὴς (καθ' ὃ ἐπλάσθη καὶ τὸ ἑλληνιστὴς) ποιήσῃ καὶ παράγωγον διάλεκτον ἀττικιστικήν!]. Ἐσφάλη προσέτι, καὶ διότι κατὰ Συρίαν καὶ Παλαιστίνην οὐδόλως εὕρηκεν ἑλληνιστὰς περὶ τὰς γραφάς! (βλ. Heins. Aristarch. pr. I. c. 10. p. 894 sqq. et 898 etc.). Ὁ δὲ περικλεὴς Σαλμάσιος ἀντέστη γενναίως πρὸς τὸν Εἵνσιον, καὶ καθεῖλε, σχεδὸν, ἐκ θεμελίων τὴν γνώμην τῶν ἑλληνιστικαρίων (ὡς αὐτοὺς ἀποκαλεῖ), πλάσμα τὴν ἑλληνιστικὴν ἀποδείξας, ἧς καὶ «τὴν ἐκφορὰν», καὶ «τὴν τῶν ὀστέων ἐκ τῆς πυρᾶς συλλογὴν» ἀστείως ἐπανηγύρησε. (βλ. Salmasij de Hellenistica Commentarius, Lugd. 1643, et Funus Linguae Hellenist. et Ossilegium Ling. Hellenistic. Lugd. 1643). Πλὴν ἀλλ' ἐσφάλη καὶ ὁ μέγας οὗτος ἀνὴρ, ἄλλα τέτινα, καὶ ἐν οἷς διεγνωμάτευσεν, ὅτι παρὰ τοῖς ἀνέκαθεν ἐκ γένους Ἰουδαίοις (καίτοι κατὰ τόπους ἑλληνίζουσιν) οὐδέποτ' ἀνεγινώσκετο δημοσίως ἐν ταῖς συναγωγαῖς ἡ ἑρμηνεία τῶν Ο, παρὰ μόνοις δὲ τοῖς ἐξ Ἑλλήνων προσηλύτοις καὶ τοῖς τούτων ἀπογόνοις, οὓς καὶ προσηλύτιδας, ἢ ἀποπροσηλύτους, ἐπονομάζει κτλ. (βλ. Hottinger. Thesaur. Philol. p. 351. καὶ Carpzov. Crit. Sacr. pag. 505—508. καὶ Horne, An Introduction to the critical Study etc. vol. 2. pag. 20). — Ἑβραιοελληνικὴν (Hebraeograecam) δὲ πάλιν εἶπον τὴν φράσιν τῆς Γραφῆς οὐ μόνον τῆς Παλαιᾶς ἀλλὰ καὶ τῆς Καινῆς, (καθότι καὶ αὕτη, καίτοι καθαρωτέρα, ἀλλ' ὅμως ὑπάρχει συγγενεστάτη περὶ τὰ καθόλου πρὸς τὴν τῶν Ο,) οἱ περὶ τὸν παραδοξολόγον Ἀμάμαν (Sixtinus Amama, Antibarbar. p. 14. βλ. καὶ τὸν Ἄγγλον Stuart, A Grammar of the new Test. Dialect. p. 12. Andover, 1834). ἀλλὰ καὶ πρὸς τούτους ἀντεῖπον τὰ δέοντα ἄλλοι τε, καὶ ὁ κλεινὸς Ὀλεάριος (J. Olearij de Stylo. N. T. Lips 1677. Coburg. 1721. ἐκδ. Schwartz, ὅστις προσέθηκε καὶ ἰδίας παρατηρήσεις περὶ τοῦ ὕφους τῶν Ο. σελ. 294 κτλ.).

(α) Ὅθεν καὶ ὁ Φίλων ἑλληνικὴν διάλεκτον ἁπλῶς ὠνόμασε τὴν τῶν Ο (βίῳ Μωσ. β. σελ. 140 Mang.)· καὶ Ἰώσηπος ὡσαύτως, λέγων, «Ἕλληνες, οἱ τὰ ἡμέτερα τιμῶντες ἔθη διὰ τὸ μηδὲν ἀντιλέγειν δύνασθαι τούτοις, τὸν ἐσσήνην λόγιον καλοῦσι» (Ἀρχ. γ. η, 9). Λόγιον δὲ τοῦτον οἱ Ο, μετέφρασαν πρῶτοι. (βλ. ἐφεξῆς ἄρθρ. 3. Οὐρὶμ καὶ Θουμμίμ).

κας, ἡ τούτων ἑλληνίζουσα *φράσις* δικαίως ἂν, ἴσως, κληθείη *Ἁγιογραφική* (α).

δ) Τελευταῖον. Ἐκ μιᾶς καὶ μόνης λέξεως αἰολικῆς, τῆς *πέμπε* (ἀντὶ πέντε), καὶ *πεμπόβολον*, ἐνόμισάν τινες τῶν ἀρχαίων Αἰολέα τὸν Ὅμηρον, προστιθέντες, καὶ ὅτι διαγράφων τὴν θυσίαν ὁ ποιητὴς, οὐδεμίαν τῆς ὀσφύος τοῦ ἱερείου μνείαν ποιεῖται· « μονώτατον γὰρ Ἑλλήνων τὸ αἰολικὸν ἔθνος οὐ καίει ὀσφύν » (β). Καὶ ὅμως ἡ τοιαύτη παρατήρησις οὐδόλως ἀπέδειξεν Αἰολέα τὸν Ὅμηρον, ἀλλὰ πάλιν

« Ἑπτὰ πόλεις ἤριζον ἱερὰν διὰ ῥίζαν Ὁμήρου ».

καὶ πολλοὶ τῶν ἀρχαίων οὐ μόνον Ἕλληνα κυρίως τὸ γένος (Σμυρναῖον, Χῖον, Κολοφώνιον, Κυμαῖον, Ῥόδιον, Ἰήτην, Ἰθακήσιον, Κνώσσιον, Σαλαμίνιον, Ἀθηναῖον, Θετταλὸν), ἀλλὰ καὶ Τρῶα, καὶ Λυδὸν, οἱ δὲ καὶ Ἰταλιώτην, ἢ Λευκανὸν, ἢ Γρύνιον, οἱ δὲ Ῥωμαῖον, οἱ δὲ καὶ Αἰγύπτιον ἔλεγον τὸν ποιητήν (γ). Τὸ δ᾽ ἐκ τῆς μιᾶς αἰολικῆς ἐκείνης λέξεως ὑπογελῶν καὶ διαφαῖνον γνώρισμα τῆς Ὁμήρου γενέθλης καταγελῶντες ἀπέῤῥιπτον. Τοιοῦτό τι πάσχει καὶ τὸ γνώρισμα τῆς πατρίδος τῶν ἑρμηνευτῶν τῆς θείας Γραφῆς, ὃ προβάλλουσιν ὡς ἐκ τῶν λέξεων οἱ κριτικοί· καίτοι μὴ μίαν, ἢ δύω φωνὰς ἀλεξανδρινὰς, ἀλλὰ δεκαπέντε, ἢ καὶ εἴκοσιν ὅλων

---

(α) Ὁ δὲ Γερμανὸς Ῥόστος (Rost, Grammat.), καὶ Φρ. ὁ Θήρσιος, εἶπον τὴν διάλεκτον ἐκκλησιαστικήν· διότι ταύτην μετεχειρίσθησαν καὶ οἱ πρῶτοι τῶν Πατέρων τῆς ἐκκλησίας (πρβλ. Stuart. l. c.). Ἀλλ᾽ ἡ διάλεκτος τῶν πατέρων ἔχει μὲν πολὺ τὸ χρῶμα τῆς Γραφικῆς φράσεως, τὸ δὲ πλεῖστον ὅμως ἑλληνίζει πολὺ καθαρώτερον παρὰ τοῖς ἐπισημοτέροις μάλιστα πατράσιν, οἷον Κλήμεντι, Ὠριγένει, Βασιλείῳ, Χρυσοστόμῳ κτλ. Ὁ δὲ Ἐῤῥῖκος ὁ Θήρσιος (De Pentateuchi version. p. 69) ὀρθῶς ἐσημειώσατο, ὅτι οὐδὲ διάλεκτος κυρίως ἂν εἴη, ἡ τῶν Ο, ἀλλ᾽ ἰδέα τις, ἢ χαρακτὴρ λόγου (stylus, seu character elocutionis).

(β) Ἡρόδοτ. περὶ τῆς Ὁμήρου βιοτῆς §. ιε. Καὶ αὐτὸ τὸ Ὅμηρος, αἰολικόν τινες διώρισαν· « τοὺς γὰρ τυφλοὺς ὑπὸ Αἰολέων Ὁμήρους καλεῖσθαι» (Πρόκλ. γέν. Ὁμήρ.). Ἀλλ᾽ ὁ Ἔφορος εἶπεν, ὅτι καὶ Κυμαῖοι καὶ Ἴωνες καλοῦσιν ὁμήρους τοὺς τυφλούς (παρὰ Πλουτάρχ. π. βίου καὶ ποιήσ. Ὁμήρ.). Ὁ δὲ πάλιν Ἀριστοτέλης (αὐτόθ.) ἐτυμολογεῖ τὴν λέξιν παρὰ τὸ ὁμηρεῖν (βλ. τὰ περὶ Ὁμήρ. καὶ Ἰλιάδ. ἐν ἐκδ. Barnes. p. I. — CXXVI. Cantabr. 1711) — (γ) Βλ. Σουΐδ. λ. Ὅμηρος, καὶ Εὐσταθ. (προοιμ. τῶν εἰς τὴν Ἰλιάδα Παρεκβολ.), καὶ Κλήμεντ. Στρωμ. κτλ. πρβλ. Fabric. Bibl. Graec. Tom. I. p. 327, 336. Harl.

ὁρμαθὸν παρατιθέντες! (οὐδὲ γὰρ φράσεως ἀπομίμησιν ἐξετάζουσιν, ἀλλὰ πατρίδα συγγραφέων ἰχνηλατοῦσιν). Ἀλλ' εἰ μὲν αἱ προβαλλόμεναι λέξεις εἰσὶ κυρίως τοῦ χαρακτῆρος τῆς ἀλεξανδρινῆς διαλέκτου, βλέπομεν εὐθύς· ἤδη δὲ τοσαῦτα μόνον ἐπισυνείρομεν. Δῶμεν, ὦ σοφώτατοι ἀνδρῶν, ἀλεξανδρινὰς εἶναι τὰς προκειμένας λέξεις, εἴτ' αὐτῶν ἐκείνων τῶν γνησίων Ἑλλήνων Ἀλεξανδρέων, εἴτε καὶ τῶν παρ' αὐτοῖς ὑπ' Ἀλεξάνδρου τὸ πρῶτον πολιτογραφηθέντων καὶ ἑλληνισθέντων Ἰουδαίων. Ἀλλὰ μήπως αἱ λέξεις αὗται οὐκ ἦσαν καὶ αὐταὶ (καθὼς ἅπαντες οἱ λόγοι) *πτερόεσσαι*; οὐδ' ἠδύναντο πώποτε, « *λαιψηρὰ κυκλώσασαι πτερὰ* », μεταπτῆναι ταχέως ἐκ τῆς Ἀλεξανδρείας καὶ εἰς τὴν γειτονικὴν Φοινίκην, καὶ τὴν Συρίαν, διὰ τὴν ἐπιμιξίαν τῶν ἐθνῶν; ἢ μήπως μεταξὺ τῆς Αἰγύπτου καὶ τῶν ὁμόρων ἐπαρχιῶν ἐστήσατε *κλισιάδας ἀδαμαντίνας*, καὶ *χάλκεον οὐδὸν*, ἀποκλείοντες τὴν ἐπιπλοκὴν καὶ κοινωνίαν τῶν διὰ ξηρᾶς καὶ θαλάσσης ἐξιόντων καὶ εἰσιόντων εἰς τὴν Ἀλεξάνδρου μάλιστα μεγαλόπολιν; ἀλλ' ὑμεῖς αὐτοὶ μικρὸν ἀνωτέρω (§. ζ) τὴν *σισόην*, λέξιν τῶν Φασηλιτῶν, καὶ ἄλλας παρὰ τοῖς Σύροις Ἕλλησιν εἰθισμένας, εἴπατε μετοικισθείσας ἐκεῖθεν καὶ εἰς τὴν Ἀλεξάνδρειαν· τί μὴ συμπεραίνετε καὶ τἀνάπαλιν; Οἱ κατὰ τοὺς Σόλους (τῆς Κιλικίας, ἢ τῆς Κύπρου) ὑπὸ Σόλωνος ἐγκατοικισθέντες Ἀθηναῖοι, διὰ τὴν πρὸς τοὺς προσοίκους βαρβάρους ἐπιμιξίαν νοθεύσαντες τῷ χρόνῳ τὴν φωνὴν, *ἐσολοίκιζον*, λαλοῦντες ἀκατάλληλα καὶ διεφθαρμένα (α). Οἱ δὲ Κᾶρες πάλιν καίτοι καρίζοντες, εἶχον ὅμως καταμεμιγμένα καὶ πλεῖστα ἑλληνικὰ ὀνόματα (Στράβ. 662). Καὶ αὐτοὶ δὲ, τέλος, οἱ αὐτόχθονες καὶ γηγενεῖς, καὶ ὕστερον μελίγλωσσοι Ἀθηναῖοι « φωνὴν τὴν πᾶσαν ἀκούοντες, ἐξελέξαντο τοῦτο μὲν ἐκ τῆς, τοῦτο δὲ ἐκ τῆς· καὶ οἱ μὲν Ἕλληνες ἰδίᾳ μᾶλλον καὶ φωνῇ καὶ διαίτῃ καὶ σχήματι χρῶνται, Ἀθηναῖοι δὲ κεκραμένῃ ἐξ ἁπάντων τῶν Ἑλλήνων καὶ

---

(α) Διογέν. Λαέρτ. Α, 6. 4. καὶ Observ. Menag. ibid. πρβλ. Πλούταρχ. Σόλ. § κϛ. Εὐστάθ. εἰς Διονύσ. Περιηγ. 875 — Στεφ. Βυζ. λ. Σόλοι — Μ. Ἐτυμολ. — Σουΐδ. λ. Σόλων. — Ἀχιλλ. Τάτ. Εἰσαγωγ. εἰς τὰ Φαινόμ. Ἀράτου.

βαρβάρων» (Ξενοφ. Ἀθην. Πολιτ. β, 8). Τί μὴ παρομοίως ἐλάμβανον παρ' ἀλλήλων ὀνόματα καὶ οἱ κατ' Ἀλεξάνδρειαν, καὶ οἱ κατὰ Συρίαν καὶ Παλαιστίνην ἑλληνίζοντες; ἢ μήπως ὁ Ἀλεξανδρεὺς, καὶ ὁ Φοῖνιξ, καὶ ὁ Σύρος ἑλληνιστὴς ἦσαν ἄγαν εὐλαβεῖς καὶ ἐγκρατεῖς πρὸς τὸ παρ' ἀλλήλων δανείζεσθαι λέξεις, καὶ μᾶλλον Αἰσχύλου πεφυλαγμένοι, ὅστις εἰς τὴν ἀττικὴν αὐτοῦ διάλεκτον ἐγκατέμιξε καί τινας φωνὰς Σικελικὰς, καὶ τὸ Περσικὸν *ἄγγαρος*, ἄλλος δ' ἄλλα τῶν βαρβαρικῶν; (α). Ἀλλὰ ταῦτα μὲν καὶ τὰ τοιαῦτα σκέψασθε πάλιν, ὦ ἄνδρες, ὑμεῖς, ἵνα μήτ' αὐτοὶ πράγματα ἔχητε, καὶ τοὺς ἄλλους ἀπαλλάττητε. Ἡμεῖς δὲ θεωροῦμεν ἤδη καὶ τὰς προβεβλημένας λέξεις, διακωδωνίζοντες ἑκάστην (ὅσον τὸ ἐφ' ἡμῖν), ἂν ἠχῇ φθόγγον ἄκρατον Ἀλεξανδρινὸν, ἢ καὶ Αἰγύπτιόν τινα τῶν ἑκατονταπύλων Θηβῶν, ἔνθα τὸ Μεμνόνειον ἄγαλμα « *βαρὺν καθ' ἡμέραν ἐκπέμπει φθόγγον* »!

§. ιζ. ΣΙΚΛΟΣ. Τοῦτο καὶ *δίδραχμον* εἶπον οἱ ἑρμηνεῖς οὐχὶ τὸ κοινὸν, ἢ ἀττικὸν, ἀλλὰ τὸ *ἀλεξανδρινόν*· ὀρθῶς· διότι τοῦτο ὑπῆρχε γνωστὸν εἰς πᾶσαν τὴν Πτολεμαίων ἐπικράτειαν (ἧς μέρος ἀπετέλουν τότε καὶ Φοινίκη καὶ Συρία καὶ Παλαιστίνη), ὡς ἰσοδύναμον τοῦ σίκλου χωροῦν. Ὥστε καὶ Παλαιστινοὶ ὄντες οἱ ἑρμηνεῖς, ἐγνώριζον τοῦ νομίσματος τὴν ἀξίαν οὐχ ἧττον, ἢ οἱ Ἀλεξανδρεῖς· ἢ μήπως ἐπὶ Φιλαδέλφου κατὰ τὴν Παλαιστίνην ὑπῆρχε μᾶλλον τοῦ Ἀλεξανδρινοῦ διδράχμου γνωστότερον τὸ *ἀττικὸν*, ὅπως ἂν οἱ Ο, τούτῳ χρησάμενοι, δόξωσιν Ὁδίῳ Παλαιστινοί; Καὶ ἄλλως δὲ, κατὰ πολλὰς ἀνθρώπων χώρας αὐτονόμους, καὶ πάλαι καὶ νῦν ἤδη καθ' ἡμᾶς, χωροῦσι συνήθως κυκλοφορούμενα καὶ νομίσματα ξενικά. Καὶ παρ' αὐτοῖς τοῖς παλαιοῖς Ἕλλησι, καί τοι Δαρείου καὶ Περσῶν πολεμίοις, ἀλλ' ὅμως ἐχώρουν συνήθως καὶ ὠνομάζοντο οἱ *Δαρεικοὶ* (τούτους δὲ πρὸς ὑπολογισμὸν ἀνέ-

(α) Ἀθήν. γ. 122. θ. 402. Καὶ Θεόφραστος δὲ ἐν τοῖς περὶ νόμων ἔγραψε καὶ τὸ Ἑβραϊκὸν κορβᾶν (Βλ. Ἰώσηπ. Α. κ. Ἀπίων· §. κϐ. πρβλ. καὶ Εὐσέϐ. Προπαρ. σελ. 404. ὅπου καὶ ἰδίως περὶ τῶν Ἰουδαίων μαρτυρίαν τοῦ Θεοφράστου ἀντέγραψεν ἐκ Πορφυρίου ὁ Εὐσέβιος).

φερε καὶ Ἰώσηπος. Ἀρχ. γ, η. 10). Ἀλλὰ καὶ αὐτὸ τὸ Ἀλεξανδρινὸν δίδραχμον ὑπῆρχεν (ἐπὶ τοῦ Φιλαδέλφου) γνωστὸν καὶ τοῖς Ἀθηναίοις. Ὅθεν καὶ Ζήνων ὁ φιλόσοφος διαλεγόμενος πρὸς αὐτοὺς, ἔλεγε· « Τοὺς μὲν ἀσολοίκων λόγους — ὁμοίους εἶναι τῷ *ἀργυρίῳ τῷ Ἀλεξανδρινῷ*, — τοὺς δὲ τοὐναντίον ἀφωμοίου *τοῖς ἀττικοῖς τετραδράχμοις* (α). Καὶ Πλάτων δὲ, τέλος, ἐν Σικελίᾳ ὠνήσατο τὸ Φιλολάου βιβλίον *ἀργυρίου Ἀλεξανδρινῶν μνῶν μ* » (β). Καὶ ὅμως οὔτε Πλάτων, οὔτε Ζήνων ἦσαν Ἀλεξανδρεῖς, διότι ἐγνώριζον τῶν Ἀλεξανδρινῶν νομισμάτων τὰ εἴδη καὶ τὴν ἀξίαν. — Ἀλλά (φησιν Ὅδιος) ὁ Ἀκύλας, ὡς μὴ Ἀλεξανδρινὸς, ἡρμήνευσε τὸν σίκλον *τετράδραχμον* (τὸ ἀττικόν) ». — Δικαίως, ὦ βέλτιστε, ὁ Ποντικὸς Ἀκύλας τὸ τῶν Ἀθηναίων τετράδραχμον ὤφειλεν ἀντιτάξαι, καθὸ τότε κατ' αὐτὸν συνηθέστερον, καὶ μᾶλλον ἐν χρήσει καὶ παρ' αὐτῷ, καὶ παρὰ τοῖς αὐτοῦ συμπολίταις, τοῖς Ποντικοῖς· καθὼς πάλιν οἱ Ο, μεταφράζοντες ἐν Ἀλεξανδρείᾳ, ἀντέταξαν τὸ ἐγχώριον, ἀφέντες τὰς Λαυριωτικὰς γλαῦκας χωρούσας συνηθέστερον εἰς τὴν Ἀττικήν. Κἂν δῶμεν (ἐξ ὑποθέσεως), ὅτι ὁ Ἀκύλας ἐν Συρίᾳ καὶ κατὰ τὴν Παλαιστίνην ἐξεπόνησε τὴν μετάφρασιν, ἀλλὰ κᾀκεῖ τότε (κατὰ τοὺς Καισάρων χρόνους) ἐχώρει συνηθέστερον τὸ ἀττικὸν τετράδραχμον (ὡς λέγομεν εὐθὺς), εἰσαχθὲν ἀντὶ τοῦ κατὰ τοὺς χρόνους τῶν Ο, καὶ τῶν Πτολεμαίων ἐπικρατοῦντος Ἀλεξανδρινοῦ διδράχμου. Σὺ δὲ ταῦτα παριδὼν, ὦ ἀγαθὲ, μάχῃ πως ἀντιπεριπίπτων καὶ πρὸς σεαυτόν. Εἰ γὰρ διὰ τὸ δίδραχμον τῶν Ἀλεξανδρέων Ἀλεξανδρινοὺς ἐθέλεις τοὺς Ο, τῆς Γραφῆς ἑρμηνεῖς· ἔσται σοι λοιπὸν καὶ ὁ Ποντικὸς Ἀκύλας ἀττικὸς ἀνὴρ, ἀστὸς τεττιγοφόρος, δι' ὃ μετεχειρίσθη ἀττικὸν *τετράδραχμον*. Ἀθηναῖος δέ τις ἂν εἴη κατὰ ταῦτα καὶ αὐτὸς ὁ θεῖος Ματθαῖος, ὅστις εἶπε *δίδραχμον* (τὸ ἥμισυ τοῦ ἀττικοῦ τετραδράχμου) (γ). Ἀλλὰ περὶ

---

(α) Λαέρτ. Ζ. α. 19.

(β) Λαέρτ. Η. ζ. 4. πρβλ. καὶ σημ. Altob. καὶ Observ. Menagij ibid.

(γ) « Οἱ τὰ δίδραχμα λαμβάνοντες » (Ματθ. ιζ. 24) δύω δηλονότι δραχμὰς Ἀττικὰς κατὰ κεφαλὴν, ἤτοι (κατὰ τοὺς Ο,) « τὸ ἥμισυ τοῦ σίκλου, δραχμὴν μίαν

τοῦ *σικλαίου* τούτου παραδοξολογήματος, ὡς καὶ περὶ τῶν ἄλλων ἐφεξῆς, ἀντεῖπε πρὸς τὸν Ὄδιον καὶ ὁ Φράγκελος (σελ. 41), ὁμολογήσας, ὅτι οἱ Ο, μετὰ τοῦ Ἰωσήπου ἠπίσταντο πάντως τὴν ἀξίαν τοῦ σίκλου.

2) ΟἸΦΊ, ἢ οἴφι, καὶ οἰφεὶ (Ῥοὺθ, β, 17) (α) ἔγραψαν οἱ Ο, τὸ ἑβραϊστὶ λεγόμενον Ephah, διότι ταύτην εἶχεν ἡ λέξις τότε τὴν προφορὰν οὐ μόνον παρ' Αἰγυπτίοις, ἀλλὰ καὶ παρὰ Σύροις καὶ ἄλλοις ἐπικρατοῦσαν. Ὅτι μὲν γὰρ αἰγύπτιον καὶ τ' ὄνομα καὶ τὸ μέτρον μαρτυροῦσι καὶ οἱ σχολιασταὶ (β), καὶ ἡ εἰς ἰῶτα κατάληξις τῆς φωνῆς (ὡς τὰ, ἄχι, ἴρι, κῦφι, ἀθυρὶ, κτλ.). Οὐδὲν λοιπὸν ἄτοπον, οὐδ' *ἀλεξανδρινῶδες*, ἢ ἀλεξανδρεωτικὸν, ἔπραξαν οἱ Ο, γράψαντες τὴν ἔκπαλαι καὶ τότε παρὰ πᾶσι τοῖς τῷ μέτρῳ

---

(ἀλεξανδρινὴν) τῇ κεφαλῇ» (Ἐξόδ. λθ. ἐν ἐκδ. Κομπλουτ. λη, 24), ἢ «τὸ ἥμισυ τοῦ (ἀλεξανδρινοῦ) διδράχμου» (Ἐξόδ. λ. 13, 14). Ὁ γὰρ σίκλος=2 δραχμαῖς ἀλεξανδριναῖς, ἢ 4 ἀττικαῖς. Τοῦτο δὲ τὸ ἀττικὸν τετράδραχμον ἐπὶ τῶν Καισάρων ὑπῆρχε μᾶλλον εὔχρηστον καὶ σύνηθες κατὰ τὴν Συρίαν, ὡς καὶ ὁ σ τ α τ ὴ ρ (Ματθ. ιζ, 28) ὁ ἀργυροῦς, ἰσοστάσιος ὢν καὶ αὐτὸς πρὸς τὸ ἀττικὸν τετράδραχμον, ἢ τὸ δίδραχμον τῶν Ἀλεξανδρέων, ἢ τὸν ἑβραϊκὸν σίκλον. Ὅθεν πάλιν ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος ἡρμήνευσαν στατῆρα (ἐν Ἐξόδ. λη, 24, Ἀριθ. γ, 47), ὅπου οἱ Ο, ἔγραψαν τὸ ἑβραϊκὸν, σίκλον (πρβλ. Θεοδώρ. εἰς τὰ Ἄπορ. ἐν Α. Βασιλ. ἐρωτ. κθ.). Περὶ στατῆρος καὶ διδράχμου· βλ. Πολυδ. θ. 6.—E. Spanhem. de usu Numism. XIII p. 571.—Grot. et Wolf. ad Math. 17, 27.—Bernard. not. εἰς Ἰωσήπ. Ἀρχ. γ. 8. σελ. 159. τόμ. α. Hav. πρβλ. καὶ Gaspar. Waseri. De Antiquis numis Hebraeor. etc. L. 2 c. 3. καὶ Ariae Montan. Antiqu. Jud. L. VII. Ephron, sive de Siclo, vol. III. 1. καὶ Schleusn. Lexic. N. Test. et Thes. V. T. λ. Δίδραχμον, Στατὴρ, Σίκλος.

(α) Γράφεται καὶ ο ἶ φ ι ν (Ἡσύχ.), καὶ ο ἶ φ ι ς (Σουΐδ.), καὶ ο ἴ φ ι ο ν (Φαβωρ.)· ἀλλ' αἱ τοιαῦται γραφαὶ φαίνονται ἡμαρτημέναι, ὡς καὶ τὸ ὗ φ ι ν (Ἱερώνυμ.). καί τοι πολλάκις εὑρίσκεται τὸ υ, ἀντὶ τῆς οι, κατὰ διάλεκτον, ὡς, ὗδνον, ὕαξ, ἀντὶ οἶδνον, οἴαξ, κτλ.

(β) «Οἶφιν, μέτρον τι τετραχοίνικον Αἰγύπτιον». Ἡσύχ. καὶ σημ. Κριτικ. αὐτόθ. Jablonsk. Panth. Aegyptiac. II. p. 229.—Sturz. l. c. p. 92. Ὁ δὲ Φράγγελος, (Frankel, l. c.) ἐπιπλήττει μὲν καὶ αὐτὸς τὴν Ὀδίου παραδοξολογίαν, μὴ δεχόμενος δὲ ὅμως τὸν Ἡσύχιον καὶ Σουΐδαν, ὡς ἀξιοχρέους μάρτυρας περὶ τῆς γραφῆς τοῦ Οἰφὶ, νομίζει τοῦτο σφάλμα τῶν μεταγραφέων, ἀντὶ τοῦ Οἰφά! Ἀλλ' ἐρωτῶμεν τὸν ἀρχιραββῖνον, μήπως καὶ οἱ ἀρχαιότατοι τῶν καθ' ἡμᾶς ἁγίων Πατέρων γράφοντες ο ἰ φ ὶ, (Κλημ. Στρωμ. Β. 280, Ὠριγένης, Κύριλλος Ἀλεξανδρ. κτλ.), ἐπλανήθησαν καὶ οὗτοι ὑπὸ μεταγραφέων; ἢ καὶ ὑπὸ τοῦ Ἡσυχίου καὶ Σουΐδα;

χρωμένοις λαοῖς συνήθη λήγουσαν τοῦ ὀνόματος. Ἄξιον δὲ σημειώσεως, ὅτι καὶ τὴν ἀρκτικὴν συλλαβὴν ἔγραψαν διὰ τῆς οι διφθόγγου· διότι καὶ τοῦ ἑβραϊστὶ Epha τὸ ἀρκτικὸν *ἄλεφ* γράφεται μετὰ τοῦ ἀνεκφωνήτου *Ἰὸδ* (ὡς ἂν εἴποις, κατὰ τὴν γραφὴν τῆς αι). Ὁ δὲ μακάριος Ἱερώνυμος, καί τοι τὸ Epha *παρεφθαρμένον* νομίσας εἰς τὸ *οἰφί*, αὐτὸς ὅμως τὴν ἑλληνικὴν ἐκράτησε γραφὴν, γράφων πανταχοῦ σχεδὸν Ephi (ἀντὶ Oephi = οἰφί)· διότι καὶ αὐτὸς, ἴσως, οὕτως ἤκουε τ' ὄνομα προφερόμενον παρὰ τοῖς συγχρόνοις Ἰουδαίοις καὶ Αἰγυπτίοις (ὡς καὶ νῦν παρὰ τοῖς Κόπταις). Οἰφὶ ἔγραψαν καὶ ἄλλοι τῆς γραφῆς ἑρμηνεῖς (α). Πλὴν ἀλλ' ἐν τούτοις ὤφειλον οἱ περὶ τὸν Ὅδιον ἐπιλῦσαι τὴν ἐφεξῆς ἀπορίαν. Εἴπερ ἡ γνησία καὶ κυρία τῆς Αἰγυπτίας λέξεως γραφὴ καὶ προφορά ἐστιν ἡ οἰφὶ, πότερον ἄρα, Μωσῆς ὁ θεῖος ἐπλανήθη τὸ πρῶτον γράψας Ἑβραϊστὶ Epha; ἢ μετέπειτα Ἔσδρας, ἐφ' οὗ μετεστοιχειώθησαν αἱ γραφαί; ἢ τ' ἀνάπαλιν, τότε μὲν καὶ οἱ Αἰγύπτιοι προφέροντες ἔγραφον Epha, ὕστερον δέ ποτε παρ' αὐτοῖς ἡ φωνὴ μετεπλάσθη εἰς τὸ οἰφί; Ἀλλὰ ταῦτα πάλιν ἴδια τῆς Ὁδίου μαντικῆς (βλ. καὶ ἐφεξῆς λ. Ἄχι). Ἡμεῖς δὲ κἀκεῖνο κρίνομεν προσθετέον, ὅτι, κἂν Epha τὴν λέξιν ἀνεγίνωσκον ἐν ταῖς Γραφαῖς οἱ παλαιοὶ τῶν Ἱεροσολύμων νομοδιδάσκαλοι, πιθανὸν ὅμως, ὅτι κατὰ τὰς ἰδίας φιλολογικὰς αὐτῶν μελέτας ἔγραφον συνήθως οἰφὶ, παρ' Αἰγυπτίων παραλαβόντες τὴν συνήθη προφορὰν, ὡς ἐποίουν καὶ εἰς ἄλλας λέξεις ἐθνικάς. Οὕτω (λέγει ὁ Ἰώσηπος περὶ τῆς ζώνης τοῦ ἀρχιερέως) « Μωσῆς μὲν *Ἀβανὴθ* αὐτὴν ἐκάλεσεν (ἑβραϊστὶ), ἡμεῖς δὲ (οἱ ἱεροσολυμῖται ἱερογραμματεῖς), παρὰ Βαβυλωνίων μεμαθηκότες, *ἐμίαν* αὐτὴν καλοῦμεν· οὕτω γὰρ προσαγορεύεται παρ' αὐτοῖς » (β).

3) ΟΥΡΙΜ καὶ ΘΟΥΜΜΙΜ, *Δήλωσιν καὶ Ἀλήθειαν* ἡρμη-

---

(α) Βλ. Schleusn. Thesaur. Vet. Test. Part. 4. p. 66.

(β) Ἰώσηπ. Ἀρχ. Γ. ζ. 2. σελ. 140. τόμ. α. ἐκδ. Hav. βλ. καὶ τῶν Κριτικ. σημ. αὐτόθ. καὶ Voss. de LXX.

νευσαν ταῦτα οἱ Ο (α), καίτοι κυρίως δηλοῦντα, τὸ μὲν Οὐρὶμ *φωτισμοὺς* (ἐκ τοῦ ur, ἢ or, τὸ φῶς), τὸ δὲ *Θουμμὶμ τελειώσεις*, ἢ *τελειότητας* (ἐκ τοῦ thom, ἡ τελειότης)· καὶ ταύτην εἶναι τὴν κυρίαν τῶν φωνῶν μετάφρασιν μαρτυροῦσιν αὐτοὶ πάλιν οἱ Ο, μεταφράσαντες αὐτὰς ἀλλαχοῦ «*τοῖς φωτίζουσι καὶ τοῖς τελείοις*» (Ἔσδρ. β. 63: πρβλ. καὶ Νεεμ. ζ. 65, ὅπου ἀντὶ τοῦ *φωτίσων*, ἡ Κομπλ. ἔκδοσις ἔχει «*τοῖς φωτισμοῖς καὶ ταῖς τελειώσεσι*»). *Φωτισμοὺς καὶ τελειώσεις* ἐξέδωκαν καὶ Ἀκύλας καὶ Θεοδοτίων· ὁ δὲ μακάριος Ἱερώνυμος ἐτήρησεν αὐτὰ τὰ *δήλωσις καὶ ἀλήθεια* (β). Ἀλλὰ τί ποτε κυρίως ὑπῆρχον ταῦτα τὰ *Οὐρὶμ βὲ Θουμμὶμ* ἐπὶ τοῦ λογείου, καὶ πῶς ἐγίνετο δι᾽ αὐτῶν ἡ τοῦ μέλλοντος δήλωσις, οὐδεὶς τῶν ἀρχαίων διώρισεν ἀκριβῶς. Ὁ Ὄγκελος (ἀρχαῖος ἑβραῖος παραφραστὴς) ἀφῆκε τὰς λέξεις ἀνεξηγήτους· ἄλλοι δὲ τῶν *Ταργουμιστῶν* ἄλλα λέγουσιν, ἀντιφάσκοντες πρὸς ἀλλήλους, καὶ πολὺ χεῖρον οἱ *Ταλμουδισταὶ* (γ). Ὁ δὲ Φίλων (τόμ. β. σελ. 226. πρβλ. καὶ σελ. 152) «Ἐπὶ τοῦ λογείου (φησι) *διττὰ ὑφάσματα* καταποικίλλει (Μωϋσῆς), προσαγορεύων τὸ μὲν δήλωσιν, τὸ δὲ ἀλήθειαν». Ἀλλ᾽ ὅμως ὁ Ἰώσηπος τὴν ἀλήθειαν καὶ τὴν δήλωσιν τοῦ μέλλοντος φαίνεται τιθεὶς εἰς μόνην τὴν ἔκλαμψιν,

---

(α) Ἀντὶ Δήλωσις ἔγραψαν καὶ Δήλους (Ἀριθ. κζ. 21. Α, Βασ. κη, 6. πρβλ. Σοφ. Σειρ. με. 10). Τούτου δὲ τοῦ Δήλους ἐλλειπτικὸν ὑπακουόμενον τὸ λίθους ὑπέλαβεν ὁ Schleusner — «Οἱ δὲ ἄλλοι Ἑρμηνευταὶ τὸ τῶν δήλων, φωτισμοὺς ἐκδεδώκασι» (Σχολ. εἰς Ἀριθ- κζ. 21). Καὶ ἐν Ὠσηὲ γ. 4. «οἱ μὲν Ο, δήλων, ὁ δ᾽ Ἀκύλας φωτισμῶν» πρβλ. καὶ Σχ. εἰς Ὠσηὲ γ. ἐκδ. Bos., καὶ Schleusn. Thes. V. Test. λ. Δῆλος. — Δήλους δὲ καὶ Φωτισμοὺς πληθυντικῶς, κατὰ τὸν πληθυντ. τύπον τῶν Οὐρὶμ καὶ Θουμμίμ.

(β) «Manifestatio atque doctrina, vel veritas». S. Hieron. Epist. 128 (de vesto sacerdotali), καὶ Comm. in Osee III. 4. «Ἀλήθεια καὶ φωτισμοί, veritas, atque doctrina· οὕτω καὶ ἐν τῇ Βουλγάτᾳ ἀναγινώσκεται veritas atque doctrina».

(γ) βλ. Cahen La Bible in not. Supplement. in Pentateuch. Tom. 2. p. 186. πρβλ. καὶ Fabric. Opuscul. Sylloge p. 173, καὶ C. Sigonij, de Republ. Judaeor. Lib. V. c. IX. p. 369. Οἱ δέ τινες τῶν νεωτέρων ἑρμηνεύουσι τὸ Urim λάμψιν, ἢ σέλας splendorem, ἀμφότερα δὲ τὰ Urim ve Thummim, σέλας τελειότατον, spendorem perfectissimum. Βλ. Rosenmüler. Schol. in Ex. 28, 30.

ἥτις ἐξήστραπτεν ἀπό τε τοῦ κατὰ τὸν δεξιὸν ὦμον τοῦ ἀρχιερέως σαρδόνυχος λίθου (καὶ τοῦτο ἐν ταῖς ἱερουργίαις, *ὁπότε ὁ Θεὸς παρείη*, καὶ ἡ θυσία ἐγίνετο δεκτή), καὶ ἀπὸ τῶν δώδεκα τοῦ λογείου λίθων (καὶ τοῦτο μάλιστα ἐπὶ πολέμου), « δι' ὧν νίκην (τοῖς Ἰουδαίοις) μέλλουσι πολεμεῖν προεμήνυεν ὁ Θεός » (α). Οὕτω καὶ ὁ θεῖος Χρυσόστομος (κατὰ Ἰουδ. λόγ. γ), καὶ ὁ γραφικώτατος Θεοδώρητος (ἐν Ἀπόρ. εἰς Ἔξοδ. ἐρωτ. ξ.), λέγων· « Διὰ δὲ τούτων (τῶν ιβ, λίθων) ἐδηλοῦτο, πολέμου συγκροτηθέντος, ἢ νίκη, ἢ ἧττα· καὶ *δήλωσιν* μὲν ἐκάλεσε τὰ ἐκεῖθεν μηνύματα, *ἀλήθειαν* δὲ τῶν μηνυμάτων τὸ ἀψευδές ». Ὁ δὲ φωστὴρ τῆς Ἀλεξανδρείας Κύριλλος διαπορεῖ λέγων· « Δήλωσιν μὲν ὀνομάζει καὶ ἀλήθειαν, οὐ μὴν ἔτι καὶ διαμεμήνυκεν ἐναργῶς, πότερον δή, λίθους, ἢ ὡς ἐν μικρῷ πινακίῳ γραφὴν γενέσθαι προστέταχεν. — Εἴτ' οὖν εἶεν ταῦτα λίθοι, εἴθ' ὡς ἐν πίνακι χρυσῇ τῶν ὀνομάτων γραφή, πολυπραγμονήσει οὐ λίαν ὁ λόγος » (β). Ἀλλαχοῦ δὲ (εἰς Ὠσηὲ κεφ. γ.) σαφέστερον εἶπε « Δύω λίθους ἑτέρους μεταξὺ τῶν ἄλλων (τῶν ιβ), οἷς ὀνόματα, ἡ δήλωσις καὶ ἡ ἀλήθεια ». Ὁ δὲ μακάριος Ἐπιφάνιος (ἐν τῷ εἰς αὐτὸν ἐπιγραφομένῳ περὶ τῶν ιβ λίθων) ἕνα τὸν λίθον, *ἀδάμαντα*, λέγει, *ὃς ἦν ἡ δήλωσις*»· περὶ δὲ τῆς ἀληθείας οὐδὲν μνημονεύει (γ). Ὡσαύτως καὶ Αὐγουστῖνος ταὐτὰ σχεδὸν εἰπὼν τῷ Ἐπιφανίῳ, ἐπάγει καὶ ὅτι « ἡ δήλωσις καὶ ἀλήθεια ἴσως καὶ διὰ γραμμάτων ἐπετέθειντο τῷ λογείῳ »· διορίζει δὲ

---

(α) Ἰώσηπ. Ἀρχ. γ. η, 9. πρβλ. καὶ Συγκέλ. Χρονογρ. σελ. 253 τόμ. α. Bon. καὶ Νικηφ. ἐκλογ.

(β) Κύριλλ. π. τ. ἐν πνεύματ. προσκυν. βιβλ. ια. (βλ. καὶ τὴν εἰς Ὀκτάτευχ. Σειρὰν, τόμ. α. Ἐξόδ. κη.). Οὕτω καὶ Προκόπιος διαπορεῖ. Βλ. Σχόλ. εἰς Ἐξόδ. κη.

(γ) Ἐπιφάν. τόμ. β. σελ. 230. (περὶ τῶν ιβ λίθων. πρβλ· καὶ Ἀναστάσιον Σιναΐτην, ἐρωτ. 40: ἐκδ. Tigur. 1566). Οὕτω καὶ Κύριλλος Λεξικ. « Ἡ δὲ δήλωσις λίθος ἦν ἀδάμας, ἐπάνω κείμενος, ἀπαλλάττων (γράφ. ὃς ἐπαλλάττων) τὴν χροιὰν, ἐδήλου τῷ λαῷ» κτλ. Τοιαῦτα καὶ παρὰ Σουΐδ. λ. ἐφούδ· ὅπου τὸ ἐφοὺδ, ἡ ἐπωμὶς, συγχέεται πρὸς τὸ παρ' αὐτὴν ἐξηρτημένον καὶ συνημμένον λογεῖον (Ἐξόδ. κη, 25). Φαίνεται δέ που καὶ τὸ ἐφοὺδ ἀντὶ τοῦ λογείου. Κριτ. η, 27· καὶ Α. Βασ. ιδ. 18. πρβλ. Θεοδώρητ, ἐν Ἀπόρ. εἰς Κριτ. ιζ. καὶ εἰς Ἐξόδ. ἐρωτ. ξ.

βέβαιον οὐδὲν, ὡς οὐδ᾽ ὁ μακάριος Ἱερώνυμος (α). Ὁ δὲ παλαιὸς Ὠριγένης μόνον συμβολικῶς (ὡς εἴωθε πολλάκις) ἀλληγορεῖ τὴν δήλωσιν καὶ ἀλήθειαν (β). « *Οὕτω βαθὺ τοῦ Λογείου τὸ χρῆμα* » (Κύριλλ. αὐτόθ.), καὶ δυσεξήγητον παρὰ τοῖς ἀρχαίοις ἅπασι, καὶ χριστιανοῖς καὶ τοῖς Ἑβραίοις αὐτοῖς! Τῶν δέ τις νεωτέρων ῥαββίνων, ὁ Ἀβενέσδρας, (Ἐσδρίδης), καί τοι ἄλλως ἀγνοεῖν ὁμολογῶν, ἐξέλαβεν ὅμως τὰ Οὐρὶμ καὶ Θουμμὶμ, ὡς ἂν δύω τινα μορφώματα, ἢ εἴδωλα (Θεραφὶμ), κρεμάμενα ἐπὶ τοῦ λογείου. Καὶ ταύτην τοῦ καββαλιστοῦ ῥαββίνου τὴν γνώμην ἀπεδέξαντο (τὸ παραδοξότερον) καὶ χριστιανοί τινες σοφοὶ, ὡς ὁ Σπέγκερος καὶ Μάρσαμος καὶ Ὄββης (γ), παραβάλλοντες καὶ τὴν παρ᾽ Αἰλιανῷ καὶ Διοδώρῳ σαπφειρίνην Ἀλήθειαν τῶν Αἰγυπτίων. (διότι πάντα τὰ τεθεσπισμένα τοῖς Ἑβραίοις ἔθιμα καὶ νόμιμα θέλουσιν οἱ περὶ τὸν Σπέγκερον ματαιόσχολοι δεδανεισμένα παρὰ τῶν Αἰγυπτίων! ). Ἀλλ᾽ ἀντεῖπον ἄλλοι πρὸς τούτους ἐξελέγχοντες αὐτῶν τὴν κακόσοφον ἐπίνοιαν (δ).

---

(α) S. Augustin. Quaest· sup. Exod·—S. Hieronym. ubi supra.

(β) Ὠριγέν. Homil. IV. in Levit.

(γ) Spencerus Dissert. de Urim et Thummim. Cantabrig. 1669.—καὶ De legib. Hebr. ritual. L. 3. Diss. 7. Cantabr. 1685.— Thom. Hobbes Hist. Eccles. X. 215.— J. Marsham. Canon Chron. pag. 316. Amstelod. 1698. Καὶ ὁ Gesenius (Lex. Hebr.), καὶ ὁ De-Wette (Lehrb. der hebr. Archaeol.) δύω λέγουσιν εἰκονίδρια τὰ Οὐρὶμ καὶ Θουμμὶμ, δηλοῦντα, τὸ μὲν, τὴν θεόθεν ἀποκαλυπτομένην διδασκαλίαν, τὸ δὲ, τὴν ἀλήθειαν.

(δ) Βλ. Witsij Aegyptiacor. Libr. I. c. 8. II. c· 10. II. 11.— J. Carpzov. ad Schikardi Jus. Hebr. p. 44. seq.— Wesseling εἰς Διόδωρ. α, 75. σελ. 86. τόμ. α. Amstelod. 1755. καὶ τὸν μεγάτιμον Ed. Bernardum εἰς Ἰωσήπ. Ἀρχ. γ, η. §. 9. σελ. 205—210. (Oxon. 1700. καὶ ἐκδ. Haverc. τόμ. α. σελ. 165)· ὅστις περὶ τοῦ Οὐρὶμ καὶ Θουμμὶμ τὴν Ἰωσήπου γνώμην ἀποδέχεται μᾶλλον. Ἄλλοι τῶν νεωτέρων ἄλλα περὶ τούτων ἐδόξασαν· οἱ μὲν, ὅτι ἦσαν δύο πινάκια, ὡς ἔκτυπα τῶν ἀρχετύπων δύο τοῦ Νόμου πλακῶν· οἱ δὲ, στρεπτὸν (περιτραχήλιον) ἐκ μαργάρων καὶ λίθων ἀνθράκων, κτλ. (J. Cleric. ad Exod. 28), ἢ ἐκ μόνου τινος λίθου πολυτίμου, διαφόρου παρὰ τοὺς ιβ· οἱ δὲ (ὡς Braun, Dathius, Schroeder) αὐτοὺς νομίζουσι τοὺς ιβ, λίθους καὶ τὴν ἐξ αὐτῶν ἔκλαμψιν, (διότι, λέγουσιν, ὁ θεῖος Μωσῆς χρῆται ἐξ ὑπαλλαγῆς τοῖς τε ιβ. λίθοις, καὶ τῷ Οὐρὶμ καὶ Θουμμίμ· οἷον,

Τὴν σαπφειρίνην, τέλος, Ἀλήθειαν ἐπανέλαβε καὶ ὁ κλεινὸς Ἀρχιδιάκονος, ὅπως ἂν καὶ δι' αὐτῆς Αἰγυπτίους ἀποδείξῃ τοὺς ἑρμηνεῖς (α)· ἀλλ' ἐπλανήθη πάντως ὁ σοφὸς ἀνὴρ καὶ κατὰ τοῦτο, πορευθὺς ὀπίσω Μαρσάμων καὶ Σπεγκέρων. Ἐπειδή·

α) Τὸ γνωστὸν ἐκ τῶν ἱστορικῶν Αἰλιανοῦ καὶ Διοδώρου (καί τοι καὶ τούτων μὴ πάντη συμφωνούντων ἀλλήλοις τε καὶ πρὸς ἄλλους, ὡς λέγομεν ἐφεξῆς), καὶ διωρισμένον ζῴδιον τῆς σαπφειρίνης Ἀληθείας οὐδεμίαν εἶχε κατὰ τὸ εἶδος ὁμοιότητα πρὸς τὰ Οὐρὶμ καὶ Θουμμίμ. Ἐκεῖνο, ζῴδιον γλυπτὸν, *ἐπιμύον τοὺς ὀφθαλμούς*. Ταῦτα ἐπὶ τοῦ ὑφαντοῦ δωδεκαλίθου λογείου, εἴτε *λίθοι πολύτιμοι* (χωρίς τινος εἰδωλομόρφου γλυφῆς), εἴτε πινάκια καὶ γράμματα, εἴτε καὶ αὐτὴ (κατὰ τὸν Ἰώσηπον) ἡ ἐκ τῶν λίθων ἐξαίφνης ἀπαστράπτουσα αἴγλη εἰς δήλωσιν τῆς τοῦ μέλλοντος ἀληθείας.

β) Ταῦτα ἦσαν δύω· οἱ δὲ λογιώτατοι κριτικοὶ μετουσιώσαντες ἀμφότερα, συνεχώνευσαν εἰς ἓν ἄγαλμα σαπφείρινον! Ἀλλ' ἐπειδὴ τὴν ἐπὶ τοῦ λογείου ἄῤῥητον *Ἀλήθειαν* παρέβαλον ὡς μίμημα πρὸς τὴν ἐκ σαπφείρου γλυπτὴν τῶν Αἰγυπτίων, ὤφειλον ἴσως, ἵνα καὶ τὴν *Δήλωσιν* παραβάλωσιν ὁμοίως πρὸς ἄλλο τι διοπετὲς, ἢ καὶ ἄλλως ἱερόγλυφον αἰγύπτιον ἀγαλμάτιον (οἷον τὸ τῆς Ἴσιδος, ἢ τοῦ Ὥρου), ἢ καὶ (μᾶλλον προσφυέστερον διὰ τὴν

---

ἐν μὲν Ἐξόδ. λθ. 8. (ἑβρ.) ὅπου πᾶσα ἡ κατασκευὴ τοῦ περιστηθίου κατ' ἐπανάληψιν, οὐδεμία τῶν Οὐρὶμ καὶ Θουμμὶμ γίνεται μνεία· ἐν δὲ Λευϊτ. η, 8, ὀνομάζων ὁ θεόπτης τὰ Οὐρὶμ καὶ Θουμμὶμ, περὶ τῶν ιϐ, λίθων σιωπᾷ). Οἱ δέ τινες εἶπον, ὅτι μόνας τὰς ἐν τῇ διανοίᾳ τοῦ ἀρχιερέως ἐναστραπτούσας θείας περὶ τῶν μελλόντων ἀποκαλύψεις ἐσήμαινον τὸ Οὐρὶμ καὶ Θουμμίμ· (J. Stiebritz Dissert. Halae, 1783). Ὁ δὲ Μιχαῆλος ἄλλο τι ἐφαντάσθη (ϐλ. ἐφεξῆς σελ. 215. σημ.). Ἀλλὰ τὰς τῶν νεωτέρων περὶ τοῦ Οὐρὶμ καὶ Θουμμὶμ παντοίας, καί τινας πάντῃ παραδόξους γνώμας καὶ συγγραφὰς, ϐλ. ἐν Fabric. Bibliograph. Antiquar. c. XI. p. 502. Hamb. 1740· πρϐλ. Cartwright Annot. ad Exod. l. c.— Drusij not. major. ibid.— Rosenmüll. Schol. l. c.— Schulz Schol. in V. T. vol. 1. p. 438.

(α) Τὴν Ὀδίου γνώμην ἐπεκύρωσε καὶ ὁ πάντα σχεδὸν τὰ Ὀδιακὰ θαυμάζων περικλεὴς Στούρζιος (Sturz, Dialect. Maced. p. 97). Εἰς τὸν Ὅδιον παραπέμπει (καθὼς καὶ ἐν ἄλλοις ἐνίοτε φιλεῖ) καὶ ὁ Schleusn. Thes. V. T. λέξ. Ἀλήθεια.

ὁμωνυμίαν) πρὸς τὸν *Δήλιον* καὶ Φαναῖον Ἀπόλλωνα τῶν Ἑλλήνων! Εἰ δὲ τὸ τοιοῦτον ἄτοπόν ἐστι καὶ γελοῖον, καὶ ἡ *Δήλωσις* (ἢ οἱ *Δῆλοι* καὶ *Φωτισμοὶ*) ἀνῆκεν ἰδίως εἰς τὴν θεοτύπωτον στολὴν τοῦ ἀρχιερέως, ἄτοπον λοιπὸν ὁμοίως ἐξελέγχεται καὶ τὸ διὰ μόνην τὴν ὁμωνυμίαν παραβάλλειν τὸ τῶν Αἰγυπτίων ἀληθώνυμον ἄγαλμα πρὸς τὴν θεοπρεπῆ *Ἀλήθειαν* καὶ *Τελείωσιν*.

γ) Τὸ σαπφείρινον εἴδωλον ἐφόρει μόνον κατὰ τὰς δημοσίους δίκας ὁ αἰγύπτιος ἀρχιδικαστὴς, ὡς αἴνιγμα καὶ σύμβολον οὐ μόνον τῆς ἀληθείας, ἀλλὰ καὶ τῆς εὐθύτητος καὶ δικαιοσύνης (α)· διὰ ταῦτα καὶ *τοὺς ὀφθαλμοὺς εἶχεν ἐπιμύοντας* (ὡς μηδαμῶς εἰς πρόσωπα καὶ δῶρα ἀποβλέποντος τοῦ δικαστοῦ). Ὁ δ' ἀρχιερεὺς ἐφόρει τὴν Δήλωσιν καὶ Ἀλήθειαν μετὰ τοῦ λογείου καὶ τῆς ἐπωμίδος (τοῦ Ἐφοὺδ), καὶ τῆς ἄλλης ἱερᾶς στολῆς, οὔτε δίκας ἀγοραίας « *ἐπὶ θύραις* » δικάζων, οὔτ' ἐν συνεδρίῳ προκαθήμενος συνήθως μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων, ἐπόπτης τῶν ἀμφισβητουμένων, ἀλλ' εἰσερχόμενος εἰς τὰ Ἅγια, καὶ παριστάμενος ἐνώπιον Κυρίου, καὶ ἱερουργῶν, ἢ καὶ μόνον (μετὰ τοῦ Ἐφοὺδ) ἐπερωτῶν τὸν Θεὸν περὶ τῶν μελλόντων καὶ τῶν πρακτέων, ὅσα πολλάκις ἀπέβλεπον τοὺς βασιλεῖς καὶ ὅλον τὸ ἔθνος (β).

---

(α) Sturz. loc. cit. πρβλ. καὶ Διόδωρ. α. §. 48. σελ. 58. Wessel.

(β) Ἐξόδ, κη, 26. Ἀριθ. κζ. 21. Α. Βασιλ. κη. 6. κτλ· Τῶν δὲ νεωτέρων ὁ Μιχαῆλος (not. in Exod. 38: καὶ Jur. Mosaic. p. i. §. 52, καὶ p. 6. §. 304. πρβλ. καὶ Schulz ubi supr.) παράδοξός τις φαίνεται νομίζων τὰ Οὐρὶμ καὶ Θουμμὶμ κλήρους τρεῖς (τὸν μὲν καταφατικὸν, τὸν δ' ἀρνητικὸν, τὸν δὲ οὐδέτερον), φερομένους ἐν τῷ λογείῳ, ὥσπερ ἐν μαρσυπίῳ, δι' ὧν ὁ ἀρχιερεὺς ἀνεκάλυπτε τοὺς ἐνόχους, καὶ διέκρινε τὰς διαφοράς. Οὕτως ὁ κλεινὸς Μιχαῆλος τὰ μὲν δύω (τὰ Οὐρὶμ καὶ Θουμμὶμ) ποιεῖ τρία (κλήρους τρεῖς!), εἰκοτολογεῖ δὲ τὴν αὐτοῦ φαντασίαν ἔκ τε τοῦ Ἰησοῦ, Ζ, 10—18 (ὅπου περὶ κλήρου λόγος οὐδείς· ῥαββῖνοι δέ τινες ὠνειρεύθησαν, ὅτι διὰ κλήρων ἐξεῦρεν ὁ Ἰησοῦς τὸν κλέπτην Ἄχαρ. βλ. Amama annot. ad h. l.), καὶ ἐκ τοῦ Α. Βασ. ιδ, 37—42· ὅπου ὁ Σαοὺλ ἐρωτήσας πρότερον τὸν θεὸν (διὰ τοῦ ἀρχιερέως πάντως καὶ τοῦ λογείου), καὶ τοῦ θεοῦ μὴ ἀποκριθέντος, τότε φανερῶς ἀνέκραξε, « Λάβετε (ἢ βάλλετε) κλῆρον » (Α. Βασ. αὐτ. ἐκδ. Ἀλ. Ἀλδ. Κομπλ.). Τὸ δὲ δὸς δήλους (αὐτ. §. 41)

Αὐτὸς δὲ περὶ τούτων ἐψήφιζεν οὐδὲν, ἀλλ' εἰς μόνον τὸν θεὸν ἀνέφερε « *τὰς κρίσεις τῶν υἱῶν Ἰσραὴλ* » (Ἐξόδ. κη. 26. τουτέστιν ἃς ὁ Θεὸς ἔκρινε καὶ ἐδηλοποίει ἐρωτήσεις· « *τὰ ἐρωτήματα δήλων* » Σ. Σειρ. λγ. 4), καὶ παρ' αὐτοῦ τὴν ψῆφον ἀνέμενεν. Ὅθεν καὶ *λογεῖον* (ἢ λόγιον) τῆς *κρίσεως*, ἢ *τῶν κρίσεων*, ὠνομάσθη (Ἐξ. κη, 15, 26) ἐξαιρέτως, διὰ τὸ ἀκριβὲς καὶ ἀλάνθαστον τῆς κρίσεως τοῦ Θεοῦ (α). Ποία τούτων ὁμοιότης πρὸς τὸν αἰγύπτιον ἀρχιδικαστὴν, ὅστις καθήμενος ἐν τῷ συνεδρίῳ μετὰ τῶν 30 δικαστῶν, « ἀποφαινομένων τούτων τὰς γνώμας, φέρων προσετίθει τὸ ζῴδιον τῆς ἀληθείας τῇ ἑτέρᾳ τῶν ἀμφισβητήσεων » ; (Διόδωρ. Α, §. 75, σελ. 87).

δ) Ἀπὸ τῶν Ἀλεξάνδρου χρόνων καὶ ἐφεξῆς δι' ὅλων τῶν διαδόχων, καὶ ἐπ' αὐτῶν δὲ τῶν Ῥωμαίων Αὐτοκρατόρων, οἱ κατὰ τὴν Ἀλεξάνδρειαν καὶ τὴν Αἴγυπτον Ἰουδαῖοι εἶχον πολιτικὰ δίκαια· καὶ γερουσίαν εἶχον ἐν Ἀλεξανδρείᾳ, « καὶ ἐθνάρχης ἴδιος αὐτῶν καθίστατο διοικῶν τὸ ἔθνος, καὶ κρίσεις διαιτῶν, καὶ συμβολαίων ἐπιμελούμενος, καὶ προσταγμάτων, ὡς ἂν πολιτείας ἄρχων αὐτοτελοῦς » (β). Οὕτω δὲ ἐν τοῖς ἰδίοις δικαστηρίοις κρινόμενοι κατὰ τὰ πάτρια νόμιμα (γ), καὶ τὴν δίαιταν ἄλλως ἀνεπίμικτον, ὅσον οἷόν τε, πρὸς τοὺς ἀλλοφύλους διατηροῦντες οἱ κατ' Αἴγυπτον Ἰουδαῖοι, οὐδεμίαν εἶχον ἀνάγκην, οὔτ' εἰς τ' ἄλλα δικαστήρια τῶν Αἰγυπτίων, οὔτ' εἰς αὐτὸ τὸ μέγα συνέδριον

---

οὐχὶ πάντως τὴν τοῦ λογείου δήλωσιν σημαίνει, ἀλλ' ἁπλῶς τὸ « πάρασχε (ἢ ποίησον) ἡμᾶς δήλους — δήλωσον (εἰ ἐν ἐμοὶ ἡ ἀδικία, ἢ ἐν τῷ Ἰωνάθαν). Καὶ τὸ Ἑβρ. Thumim ἀναγινώσκεται καὶ Thamim (ἀκέραιον, ἀθῶον,)=δεῖξον τὸν ἀθῷον· βλ. Houbig. not. in h. l. καὶ Schleusn. Thes V. T. λ. Δῆλος.

(α) « Λόγιον κρίσεων, κρίσις ἀκριβής ». Κύριλ. λεξικ· καὶ Γλωσσάρ. εἰς τὴν Ὀκτάτευχ. παρὰ Schleusner Thes. V. Test. λ. κρίσις.

(β) Στράβ. παρ' Ἰωσήπ. Ἀρχ. ιδ, ζ. 2, πρβλ. καὶ ις. ϛ, κτλ. καὶ κ. Ἀπίων. β. §. 4. βλ. καὶ Φίλ. εἰς Φλάκ. σελ. 525 κτλ. τόμ. β. ἐκδ. Mang.

(γ) Δευτερ. ις, 18. βλ. καὶ Ἔσδρ. ζ, 25.—Σωσάν. 5.—Ἰώσηπ. Ἀρχ. δ, 8, 14. καὶ Ἰουδ. πολ. Β. κ, 5. πρβλ. Krebs. Observ. Flav, p. 19.—Sigon. de Rep. Hebr. VII. c. 7.

ἀνατρέχειν· ὅθεν οὐδὲ τοῦ ἀρχιδικαστοῦ τὴν σαπφειρίνην Ἀλήθειαν ἐγνώριζον· καὶ γνωρίσαντες, οὐκ ἂν ποτ' ἐζήλωσαν, ἀλλὰ καὶ μᾶλλον (ὡς εἴδωλον) ἐβδελύξαντο. Ἐὰν δὲ τούτοις προσθῶμεν, καὶ ὅτι κατὰ τοὺς πρώτους χρόνους τῆς Φιλαδέλφου βασιλείας τοῦτο τὸ Συνέδριον τῶν Αἰγυπτίων δικαστῶν συνήδρευε κατὰ τὴν μεγάλην Διόσπολιν, ἢ τὰς Θήβας (ὡς συμπεραίνεται πιθανῶς ἐκ τοῦ Διοδώρου, α. §. 47 πρλβ. §. 75), τότε καὶ αὐτὴ τῶν τόπων ἡ ἀπόστασις ἀφῄρει τὴν γνῶσιν τῆς σαπφειρογλυφοῦς Ἀληθείας τοὺς τὴν Ἀλεξάνδρειαν, καὶ ἀλλαχοῦ, μακρὰν τῆς Διοσπόλεως κατοικοῦντας Ἰουδαίους. Πῶς λοιπὸν ὁ Ὅδιος εὕρηκεν Αἰγύπτου τέκνα τοὺς ἑρμηνεῖς, ὡς θεωροὺς καὶ ζηλωτὰς τοῦ τοιούτου ἐθίμου τῶν Αἰγυπτίων ἐθνικῶν;

ε) Τὸ πάνσεπτον ἐκεῖνο καὶ θεοπρεπὲς τοῦ ἀρχιερέως ἐγκόλπιον, δι' οὗ περ αὐτὸς ὁ Θεὸς ἐδήλου τὰ μέλλοντα, θείου φωτὸς ἀκηράτους ἐκπέμπον αὐγὰς, καὶ ῥοῦν ἀκτίνων χρησμολαμπῶν ἐξαίφνης προχέον, πῶς ἂν κατεσκευάσθη παρόμοιον πρὸς τὰ γλυπτὰ καὶ χωνευτὰ περίαπτα καὶ τελέσματα καὶ ζῴδια τῶν Αἰγυπτίων καὶ Χαλδαίων, ἐναντίον τῆς, « *Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ πᾶν ὁμοίωμα* », θείας ἐντολῆς; Ἀλλ' οἱ μὲν ἐθνικοὶ καλῶς εἰδότες ἐκήρυξαν, « ὅτι θεῶν ἄγαλμα Μωσῆς οὐ κατεσκεύασεν· ἀλλ' ἐκέλευσεν ἐᾷν δεῖν πᾶσαν ξοανοποιΐαν » (Στράβων καὶ Διόδωρος)· οἱ δὲ περὶ τὸν Σπέγκερον, « δύστηνόν τινα σοφίαν ἐπ' ἐκφαυλισμῷ τῶν θείων ἠσκηκότες » (ὡς εἶπε περὶ τῶν τοιούτων ὁ Ἰώσηπος Ἀρχ. γ. η. 9), πᾶν τοὐναντίον ὠνειροπόλησαν, εἰσάγοντες καὶ αὐτὸν τὸν Ἰουδαῖον Φίλωνα μάρτυρα τῆς αὐτῶν παραδοξολογίας, διότι εἶπεν, ὅτι « τὸ λογεῖον *ἀγαλματοφορεῖ* δύω ἀρετὰς, τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν » (βίῳ Μωσέως) (α). Οὕτω

---

(α) Τὸ ἀγαλματοφορεῖν, φέρειν ὡς ἂν ἄγαλμα, τουτ. ἀγαλλίαμα, καλλώπισμα, κόσμον (Ἡσύχ. Μ. Ἐτυμ: Σουΐδ: Εὐστάθ. εἰς Ἰλιαδ δ. πρβλ. Ὀδυσ. γ, 274. μ, 374 κτλ.) καὶ ἀλλαχοῦ χαριέντως ὁ Φίλων εἶπε μεταφορικῶς· οἷον, « Πρὸς γὰρ ἕνα τὸν τῶν ὅλων ἐκεῖνον (ἡγεμόνα νοῦν, τὸν Θεὸν), ὁ ἐν ἑκάστῳ τῶν κατὰ μέρος (ἀνθρώπων νοῦς) ἀπεικονίσθη, τρόπον τινα θεὸς ὢν τοῦ φέροντος καὶ

μετὰ τῆς κακοφροσύνης ὀφλισκάνουσι καὶ ποιάν τινα τῆς ἑλληνικῆς φωνῆς ἀδαημοσύνην, ὡς μὴ κατανοήσαντες τὴν Φιλώνειον τῆς λέξεως μεταφοράν. Καὶ φαίνονται ἄρα καὶ αὐτὸν τὸν Φίλωνα διαστρέφοντες, ἢ διελθόντες *ἀβρόχοις καὶ ποσὶ καὶ φρεσί.*

ς) Αὐτὸς οὗτος ὁ Φίλων, ὁ Ἀλεξανδρινὸς, καὶ τὸ γένος ἱερατικὸς, ἐν οἷς ἀνέφερε τὴν τοῦ λογείου Δήλωσιν καὶ Ἀλήθειαν, εἴπερ εἶχεν αὕτη καὶ ποιάν τινα παρομοίωσιν πρὸς τὴν Αἰγυπτιακὴν, οὐδόλως ἂν αὐτὴν ἀπεσιώπησεν· ἀλλὰ τίς ὁμοίωσις τῶν ὧν εἶπε *διττῶν ὑφασμάτων* πρὸς τὸ ζῴδιον τὸ σαπφείρινον; Ὁ δὲ τοῦ ναοῦ τῶν Ἱεροσολύμων ἱερεὺς Ἰώσηπος οὐδὲ κἂν ὑφάσματα ταῦτα διέγραψεν, ἢ πινάκια, ἢ λίθους ἄλλους, κεχωρισμένους τῶν τοῦ λογείου· ἀλλ' ἁπλῶς ἐξέλαβεν αὐτὰ καὶ μόνα τὰ ἐκ τῶν λίθων θαυμαστῶς ἐξαστράπτοντα φέγγη, δι' ὧν τὸ μέλλον διεδηλοῦτο. Τούτων δὲ τῶν θεοσεβῶν καὶ παλαιῶν Ἰουδαίων αἱ μαρτυρίαι καθαρεύουσαι πάσης ἐννοίας εἰδωλοπλαστικῆς, βεβηλούσης τὴν θεόπεμπτον ἐκείνην χρησμοφάνειαν, ὑπάρχουσι (νομίζομεν) ἀξιοπιστότεραι παρὰ μυρίους Ἀβενέσδρας καὶ Σπεγκέρους.

ζ) Πρόσθες, ὅτι καὶ αὐτοὶ τῆς Γραφῆς οἱ ἑρμηνεῖς ἔβλεπον συχνάκις τὴν Δήλωσιν καὶ Ἀλήθειαν, ἔτι φεγγοβολούσας ἐν ταῖς ἡμέραις αὐτῶν (περὶ τὸ 280 π. Χ.), καθὼς πάλιν αὐτὸς ὁ Ἰώσηπος μαρτυρεῖ λέγων· ὅτι ὁ *Ἑσσήνης* (τὸ δωδεκάλιθον λογεῖον), καὶ ὁ σαρδόνυξ ἐπαύσαντο τοῦ λάμπειν *ἔτεσι διακοσίοις* πρότερον, ἢ αὐτὸς συντάξῃ τὴν συγγραφὴν τῆς Ἀρχαιολογίας (α)· συνέγραψε

---

ἀγαλματοφοροῦντος αὐτὸν» (π. Κόσμου σελ. 16. τόμ. α. καὶ ἐν ἄλλοις χωρίοις, βλ. τόμ. β. σελ. 154. Mang. καὶ E. Bernard. σημ. εἰς Ἰώσηπ. Ἀρχαιολ. γ, η. σελ. 167). Ἀλλὰ καὶ τοῦτ' αὐτὸ τὸ προβαλλόμενον χωρίον ὅλον ὁ Φίλων αὐτὸς πάλιν ἀλλαχοῦ σαφέστατα ἐξέφρασεν, εἰπὼν, ὅτι ἐπὶ τοῦ λογείου διττὰ ὑφάσματα κατεποικίλλει (Μωσῆς), προσαγορεύων τὸ μὲν δήλωσιν, τὸ δ' ἀλήθειαν»· βλ. ἀνωτέρω σελ. 211.

(α) Ἰώσηπ. Ἀρχ. γ. η. 9. Ὁ δὲ Σπέγγερος (ἐνθ. ἀνωτέρω) καὶ ὁ Braunius (de Vestit. Sacerd. Jud. L. II. c. 7. Amstelod. 1680) πολὺ πρότερον, ἔτι, κατὰ τὴν εἰς Βαβυλῶνα μετοικεσίαν ἀφανισθῆναι τὴν λάμψιν εἰκάζουσι, προτιμῶντες Ἰωσήπου νεωτέρας μαρτυρίας, ἢ μωρολογίας ῥαββινικάς. Ἀλλ' ἀντεῖπον πρὸς αὐτοὺς ἄλλοι τε καὶ Ed. Bernard. Σχ. εἰς Ἰώσηπ. αὐτόθ.

δὲ ταύτην περὶ τὸ 80 μ. Χ. ὥστε ἡ τῶν λίθων λάμψις ἐπαύσατο (περὶ τὸ 120 π. Χ.). Οὐδεμίαν τοιγαροῦν εἶχον ἀνάγκην οἱ ἑρμηνεῖς πρὸς τὴν Αἰγυπτίων ἀλήθειαν ἀποβλέπειν. Ἀλλ᾽ οὐδ᾽ ἠδύναντο (κἂν ἦσαν Ἀλεξανδρινοὶ τὴν πατρίδα, κατὰ τὸν Ὅδιον), ἀφέντες τὴν ἔννοιαν τῆς θείας ἐκείνης χρησμοφανείας, ἀποθαυμάζειν τὸ σαπφείρινον γλυπτὸν τῶν ἐθνικῶν (ἢ μήπως οὐκ ἦσαν ἑβραῖοι τὸ θρήσκευμα καὶ αὐτοί; ). Εἰ δὲ μή, κατάρατοί τινες καὶ μιαροὶ δικαίως ἂν ἐφάνησαν καὶ παρ᾽ αὐτοῖς αὐτῶν τοῖς ὁμογενέσι (δι᾽ οὓς ἡρμήνευον τὴν Γραφήν), καταχραίνοντες καὶ βεβηλοῦντες τὸ ἁγιώτατον λογεῖον διὰ τῆς κυριωνυμίας τοῦ αἰγυπτιακοῦ ξοανιδίου, καὶ καθιεροῦντες ἐν ταῖς Συναγωγαῖς τῆς θείας λατρείας τὴν ἰδέαν τοῦ *βδελύγματος* ἐκείνου τῶν εἰδωλολατρῶν, ἐναντίον οὐ μόνον τῆς τοῦ Δεκαλόγου ἐντολῆς, ἀλλὰ καὶ τῆς προφητικῆς παραγγελίας ἐκείνης, ἣν ἔγραφεν ὁ Ἱερεμίας πρὸς πάντας τοὺς ἐν Αἰγύπτῳ καὶ ἀλλαχοῦ διάγοντας αἰχμαλώτους Ἰουδαίους, ἵνα, ὅταν « ἴδωσι θεοὺς χρυσοῦς καὶ ἀργυροῦς» (τί δ᾽ οὐχὶ καὶ σαπφειρίνους ; ) « καὶ ὄχλον ἔμπροσθεν καὶ ὄπισθεν αὐτῶν, λέγωσι· *Σοὶ δεῖ προσκυνεῖν δέσποτα* » (Ἱερεμ. Ἐπιστολ. 4—7).

η) Καὶ ἐξ αὐτῆς τῆς τῶν Οὐρὶμ καὶ Θουμμὶμ πρὸς τὰ Δήλωσις καὶ Ἀλήθεια λεκτικῆς ἀναλογίας ἐξελέγχονται οἱ περὶ τὸν Ὅδιον μάτην ταῦτα συνάψαντες πρὸς τὸ σαπφείρινον παράδειγμα τῆς Αἰγύπτου. Τὸ Οὐρὶμ, ἢ ὁ *φωτισμὸς* (ὡς ἐκ τῆς λάμψεως) ὑπάρχει τὸ αὐτὸ καὶ οἱ *δῆλοι*, ἢ *δήλωσις* (ὡς ἐκ τῆς ἐνεργείας). Ὁ *φωτισμὸς* ἐδήλου τὸ μέλλον, καὶ ἡ *δήλωσις* ἐγίνετο ἐκ τοῦ φωτισμοῦ. Οὕτω καὶ τὸ φωτίζω σημαίνει πολλάκις καὶ τὸ δῆλον ποιῶ, φανερῶ, (Δ. Βασ. ιβ. 2: Κριτ. ιγ. 8. κώδ. Ἀλεξ. Κομπλ. κτλ.). Καὶ ὡς ἐκ τῆς ἐτυμολογίας δὲ, τὸ *δῆλος* γίνεται παρὰ τοῦ δάω, δαίω, (τὸ καίω, λάμπω, φαίνω, φωτίζω)· ὑπέμνησε δὲ περὶ τούτου τὸν Ὅδιον καὶ Οὐόσσιος (α). Ὡσαύτως καὶ τὸ *Θουμμὶμ*, ἡ *τελείωσις*, ἀναλογεῖ πρὸς τὴν *ἀλήθειαν*, καθ᾽ ἣν *τελήεντα* ἐγί-

(α) J. Voss. de LXX. p. 50. Καὶ ὁ Gesenius (Lex. Hebr. p. 29) τὸ Οὐρὶμ ἐξηγεῖ μεταφορικῶς ἀποκάλυψιν, δήλωσιν, ἐπιφέρων «Ἄριστα οἱ Ο, Δήλωσιν καὶ Ἀλήθειαν».

νοντο καὶ πλήρη τὰ *δηλούμενα*. « Οὐ γὰρ *ἀτέλεστον*, οὐδ᾽ ἀκράαντον πᾶν ὅ,τι Θεὸς κατανεύσοι », ἀλλ᾽ ἀψευδὲς καὶ βέβαιον καὶ ἀτρεκὲς, ἢ *ἀληθὲς*, καὶ δὴ καὶ *τετελεσμένον* ἔσται· κατὰ τὸ, « Ἀληθές ἐστι τὸ ῥῆμα τὸ παρὰ τοῦ Θεοῦ » (α). Εἶπον δὲ καὶ ἀλλαχοῦ οἱ Ο, « *ἀληθινὰ* τὰ ἔργα αὐτοῦ » (Δευτερ. λβ. 4), ὅπου τὸ ἑβραϊκὸν ἔχει θαμμὶμ, δηλονότι *τέλεια* (β). Μὴ ζήτει λοιπὸν, ὦ φίλ᾽ Ὅδιε, μήτε τὴν μορφὴν τοῦ Θουμμὶμ, μήτε τὴν ἀντίστοιχον ἑλληνίδα λέξιν, τὴν *Ἀλήθειαν*, εἰς τὴν σαπφειρίνην τῶν Αἰγυπτίων. Ἄλλως τὰ ὀνόματα συνέπεσαν κατὰ συγκυρείαν· μὴ ἀμφίβαλλε. Οὕτω καὶ ἐπὶ τοῦ βωμοῦ τοῦ Ἀναξαγόρου ἐπέγραφον, οἱ μὲν Νοῦ, οἱ δὲ, *Ἀληθείας* (Αἰλιαν. ποικ. ἱστ. η, 19). Εἰ δ᾽ ἀπιστεῖς, ὥρα σοι λοιπὸν καὶ Δελφοὺς τοὺς ἑρμηνεῖς ἀποφαίνειν, ἢ ἄλλου τινος ἑλληνικοῦ μαντείου ὑποφήτας, διότι εἶπον καὶ *λόγιον*, ἢ *λογεῖον* (χρησμὸν, χρηστήριον) τὸ ἑβραϊκὸν ἐσσὴν (chossen), ὃ καὶ *περιστήθιον* ἀλλαχοῦ (ἐξ ἄλλου πάλιν, ἴσως, θέματος) ἐξελλήνισαν (γ).

θ) Ἐπειδὴ προείπομεν, ὅτι τυχαίως συνέπεσαν τὰ ὀνόματα (τῆς τῶν Ο, καὶ τῆς αἰγυπτίας Ἀληθείας), οὐ χεῖρον, ἴσως, προσθεῖναι καὶ τὰ ἐφεξῆς. Ἄλυσιν χρυσῆν (ἢ στρεπτὸν, ὅρμον, περιδέραιον) περὶ τὸν τράχηλον ἐφόρουν τὸ πάλαι παρ᾽ Αἰγυπτίοις οἱ ἐπισημότατοι τῶν ἐν τέλει. Τοιοῦτον ἔδωκε Φαραὼ τῷ Ἰωσὴφ (δ). Ἐμ-

---

(α) Γενέσ. *μα*, 32. ὅπου ὁ Σχολ. « *ἕτοιμον* (γρ. *ἔτυμον*) τὸ ῥῆμα· βέβαιος ὁ λόγος ».— Οὕτω καὶ τὸ ἀτρεκὲς (συνών. τοῦ ἀληθὲς) ἐπὶ τοῦ βεβαίου καὶ ἀσφαλοῦς ἔταξεν ὁ Πίνδαρος « ἀτρεκέϊ κατέβα ποδί ». (Νεμ. γ, α, 72). πρβλ. καὶ Schleusn. Thes. V. T. λ. ἀληθινὸς καὶ ἀλήθεια, ὅπου τὸ *ἀλήθεια* ὡς ἀνάλογον τοῦ Ἑβρ. Thom, ἑρμηνεύεται *ὁλοκληρία*, *τελειότης*.

(β) Ὁ Ἡσύχ. ἔχει, « Ἀληθὴς, δικαία καὶ δίκαιος »—Δίκαιον δὲ καὶ τὸ *τέλειον* (ἐπὶ μέτρων καὶ σταθμῶν). Οὕτω καὶ τὸ Thamim (καὶ Τουρκ. *ταμὰμ*) = τέλειον.

(γ) Ἐξόδ. κη, 4. βλ. καὶ Bernard. σχόλ. εἰς Ἰωσήπ. Ἀρχ. γ. ζ. §. 5. σελ. 144. τόμ. α Haverc.

(δ) Γενέσ. *μα*, 42. Τοιοῦτον *ὁρμίσκον* ἐφόρει καὶ Ἰούδας (Γενέσ. λη, 18), « κόσμημα περὶ τὴν δέρην, *ἔθει Χαλδαϊκῷ*· — χρυσῷ γὰρ οὗτοι *καὶ χεῖρα καὶ δέρην* καταλαμπρύνουσι » (Κύριλλ. Σχόλ. αὐτ.). Καὶ Βαλτάσαρ ἔδωκε τῷ Δανιὴλ *μανιάκην* (Δαν. ε, 7, 29. πρβλ. Ἰωσήπ. Ἀρχ. I. ια. γ. §. 3), καὶ Δαρεῖος τῷ σοφωτέρῳ (Δ. Ἐσδρ. γ. 6. πρβλ. Ἰωσήπ. Ἀρχ. ια. γ. §. 2. καὶ

φαίνουσι δὲ τὸ ἔθος καί τινα τῶν περισωθέντων Αἰγυπτίων ἱερογλυφικῶν (α)· ἄγαλμα δὲ, ἢ ζῴδιον, ἐξηρτημένον τῆς ἁλύσεως (οἷον ἱστορεῖται φορῶν ὁ τῶν Αἰγυπτίων ἀρχιδικαστὴς), οὐδεὶς τῶν ἀρχαίων ἐμνημόνευσεν ἱστορικῶν. Τοιαῦτα πρὸς τοῖς ὅρμοις ἐξαρτήματα φαίνονται τῶν Πατριαρχικῶν καὶ Μωσαϊκῶν ἐκείνων χρόνων μεταγενέστερα (β). Καὶ αὐτὸς δὲ τῶν Αἰγυπτίων ὁ βασιλεὺς ἅλυσιν μὲν ἐφόρει τότε κόσμημα περιτραχήλιον, ζῴδιον δὲ ταύτης ἐξηρτημένον φορῶν οὐδαμοῦ μνημονεύεται. Ἐφόρει δὲ καὶ εἶδός τι ψελλίου, καθὼς πάλιν αὐτὸς ἱστόρησεν ὁ Αἰλιανός (γ). Ὥστε (ἂν ταῦτα βεβαίως ἀληθεύωσι), φαίνεται λοιπὸν καὶ ἐξ αὐτῆς τῆς τῶν παλαιῶν περιδεραίων μορφῆς ἀσύνηθες τὸ τοῦ ζῳδίου παράρτημα. Ἀλλὰ ταῦτα μὲν ἐῶμεν· ἄλλο δὲ παρατηροῦμεν, τὸ ἐφεξῆς. Μόνος ὁ Διόδωρος ἐξ Ἑκαταίου παραλαβὼν, ἐμνημόνευσε τῆς αἰγυπτιακῆς Ἀληθείας τὸ ζῴδιον κατὰ πρῶτον, ἐν οἷς διαγράφει τὸν ἐν Θήβαις τάφον Ὀσυμανδύου τοῦ βασι-

---

ϛ. §. 10). Ἀρχαῖον δὲ τὸ ἔθος παρὰ Χαλδαίοις, καὶ Αἰγυπτίοις, καὶ Πέρσαις, καὶ Ῥωμαίοις, καὶ Κελτοῖς, ἢ Γαλάταις, καὶ Ἀρμενίοις, κτλ. ὅθεν καὶ τὸ λατινικ. τορκουάτος (torquatus) ὁ στρεπτοφόρος (Ἡρόδ. η, 113)· παρ' Ἕλλησι δὲ μόναι αἱ γυναῖκες φαίνονται ἔκπαλαι φοροῦσαι στρεπτὸν, ἢ ὅρμον (Ὀδυσ. Σ. 294. Ο. 459. Ὁμήρ. ὕμν. ἐν Ἀφροδ. στίχ. 88.). βλ· Scheffer. De antiquor. torquib. Syntagm. pag. 25—54. 125. Hamburg. 1707.

(α) Βλ. Fabric. Bibl. Gr. I. c. 7—13. καὶ Laur. Pignori Mensa Isiaca. Amstelod. 1669. πρβλ. καὶ Montfaucon Antiq. explic. tom. 2. pr. 2. c. 1—3, κτλ.

(β) Scheffer l. c. p. 60. Τοιοῦτον ἐξάρτημα παρὰ τοῖς Ῥωμαίοις ὑπῆρχεν ἡ βοῦλλα (φακοειδὴς τὸ σχῆμα), ἣν οἱ παῖδες μόνοι ἐφόρουν (Πλούταρχ. Ῥωμύλ. §. κε. καὶ Κεφ. Ῥωμ. καταγρ. §. 53).

(γ) « Παρ' οὐδὲν θέμενος τὴν τοῦ ἱεροῦ γράμματος συμβουλήν· ὅπερ οὖν (ἱερὸν γραμμα), οἷα δήπου ψέλλιον, τῷ βασιλεῖ τῶν Αἰγυπτίων ἐκ τοῦ νόμου προσήρτητο, ἀναστέλλον τῶν ἀδικημάτων» (Αἰλιαν. π. προνοίας, παρὰ Σουΐδ. λ. ψελλίῳ). Τοῦτο δὲ τὸ χωρίον τοῦ Αἰλιανοῦ συνέχεόν τινες κατὰ λάθος πρὸς τὸ περὶ τοῦ ζῳδίου τῆς σαπφειρίνης ἀληθείας ἱστόρημα τοῦ αὐτοῦ. Ἀλλὰ πολὺ τὸ μεταξὺ τούτων διάφορον. Οὔτε βασιλεὺς τῶν Αἰγυπτίων ὑπῆρχεν ὁ ἀρχιδικαστὴς, καὶ τὸ περὶ τὸν βραχίονα ψέλλιον (ἢ περιβραχιόνιον) διέφερε πολὺ τοῦ περιαυχενίου ἢ περιτραχηλίου στρεπτοῦ. Τὸ οἷα ψέλλιον, τουτ. τὸ φέρον (ἔγγραφον) τὴν τοῦ ἱεροῦ γράμματος συμβουλὴν, καὶ κατὰ νόμον τῷ Βασιλεῖ (ἐκ τῆς χειρὸς) προσηρτημένον, ὑπάρχει σαφῶς ἀπομίμημα τῆς Μωσαϊκῆς ἐκείνης θείας ἐντολῆς, « Καὶ ἀφάψεις αὐτὰ (τὰ ἐντάλματα) εἰς σημεῖον ἐπὶ τῆς χειρός σου » (Δευτερ. ϛ, 8; ια, 18. πρβλ. ιζ, 18).

λέως, καὶ τοὺς παρ᾽ αὐτῷ παντοδαποὺς οἴκους, ποικίλας περιέχοντας εἰκόνας καὶ γλυφάς. Ἐν ταύταις γοῦν ἱστορεῖ γεγλυμμένους καὶ τοὺς τὰς δίκας κρίνοντας τριάκοντα τὸν ἀριθμόν· ἐν μέσῳ δὲ τὸν ἀρχιδικαστὴν, ἔχοντα τὴν Ἀλήθειαν ἐξηρτημένην ἐκ τοῦ τραχήλου, καὶ τοὺς *ὀφθαλμοὺς ἐπιμύουσαν* (Α. §. 48). Ταῦτα δὲ τὰ περὶ τὸ μνῆμα τοῦ Ὀσυμανδίου κατασκευάσματα πότε κατεσκευάσθησαν, εἴτ᾽ εὐθὺς μετ᾽ αὐτὸν, εἴτε καὶ πολλοὺς ἐνιαυτοὺς ὕστερον, ἄδηλον. Καὶ αὐτὸς δὲ οὗτος ὁ Ὀσυμανδύας, ποῖός τις ἦν κυρίως, καὶ πόστος μεταξὺ τῶν τῆς Αἰγύπτου βασιλέων, ἀδιόριστον (α). Ὁ δὲ Διόδωρος, καθ᾽ ἃς προέγραψεν εἰκόνας, παρέστησεν ἐφεξῆς (Α. §. 75) καὶ τοὺς δικαστὰς αὐτοὺς, τοὺς 30, καὶ τὸν ἀρχιδικαστὴν πάλιν φοροῦντα περὶ τὸν τράχηλον « ἐκ χρυσῆς ἁλύσεως ἠρτημένον ζῴδιον τῶν πολυτελῶν λίθων » κτλ. Ἐκ τοῦ Διοδώρου (ἴσως) μετέγραψε τὸ ἱστόρημα καὶ Αἰλιανὸς (ὄπισθ. σελ. 173 ), καί τοι μὴ πάντῃ συμφωνῶν· Ὁ μὲν γὰρ Διόδωρος ἱστορεῖ τοὺς δικαστὰς ἐκλεγομένους ἐκ τῶν ἐπιφανεστάτων πόλεων τοὺς ἀρίστους, ἐκ δὲ τούτων πάλιν τὸν ἄριστον ἐπικρινόμενον ἀρχιδικαστήν (αὐτόθ.)· ὁ δ᾽ Αἰλιανὸς *ἱερεῖς* λέγει τοὺς δικαστὰς, καὶ τούτων ἄρχοντα τὸν *πρεσβύτατον* (κατὰ τὴν ἡλικίαν)· ἀλλ᾽ ἐν τούτοις μὲν ἡ διαφορὰ σμικρά (β). Ὁ δὲ Πλούταρχος (περὶ Ἴσιδος καὶ Ὀσίριδος· τόμ. ζ. σελ. 398) πάντῃ διαφόρους ἱστορεῖ τὰς ἀρχαίας ταύτας εἰκόνας τῶν Αἰγυπτίων δικαστῶν. « Ἐν δὲ Θήβαις (λέγει) εἰκόνες ἦσαν τῶν δικαστῶν ἄχειρες· ἡ δὲ τοῦ ἀρχιδικαστοῦ *καταμύουσα τοῖς ὄμμασιν*, ὡς ἄδωρον ἅμα τὴν δικαιοσύνην καὶ ἀνέντευκτον οὖσαν »· ὥστε κατὰ τὸν Πλούταρχον, οὐδὲν ἐφόρει ζῴδιον ὁ ἀρχιδικαστής· αὐτὸς δὲ *καταμύων τοὺς ὀφθαλμοὺς* ἐν τῷ δικάζειν (ὁποῖον παρίστανεν αὐτὸν ἡ εἰ-

---

(α) Ἰσμάνδην ὁ Στράβων (ιζ. 813) τὸν παρὰ Διοδώρῳ τοῦτον Ὀσυμανδύαν καλεῖ, κατὰ τοὺς Αἰγυπτίους ὄντα τὸν αὐτὸν καὶ Μέμνονα. [ὁ δὲ Μέμνων ἦν ἐπὶ τῶν Τρωϊκῶν (Διόδωρ. β. §. 22), τουτέστι 300 περίπου χρόνους Μωσέως νεώτερος]. Βλ. Wesseling. σημ. εἰς Διοδώρ. α. §. 47 καὶ 50. πρβ. Jablonsk. l. c. p. 94. — (β) Βλ. Wesseling. σημ. εἰς Διοδώρ. αὐτόθ.

κῶν), ἐνέφαινε τὴν δικαιοσύνην (οἱ δὲ δικασταὶ, τὰς χεῖρας ἴσως ἔχοντες καθειμένας ἐν τῷ δικάζειν, ἐφαίνοντο ὡς *ἄχειρες*)· ἀλλ᾽ οὐδ᾽ *ἀληθείας* ὅλως ἐν τούτοις γίνεται μνεία. Ἄλλο δὲ ζώδιον, ἢ περίαπτον *ἀληθείας* ὁ Πλούταρχος ἱστορεῖ παρ᾽ Αἰγυπτίοις λέγων· « Ἑρμῇ ἑορτάζοντες (οἱ Αἰγύπτιοι), μέλι καὶ σῦκον ἐσθίουσιν ἐπιλέγοντες, *γλυκὺ ἡ ἀλήθεια*· τὸ δὲ τῆς Ἴσιδος *φυλακτήριον*, ὃ περικεῖσθαι μυθολογοῦσιν αὐτὴν, ἐξερμηνεύεται *φωνὴ ἀληθής* » (αὐτ. σελ. 487). Ἐκ τῶν ἐναντιωμάτων τούτων φαίνονταί πως συγκεχυμένα τὰ περὶ τῆς σαπφειρίνης ἀληθείας ἱστορούμενα παρ Αἰλιανῷ καὶ τῷ Διοδώρῳ. Καὶ αὐτὸ δὲ τὸ μυωπάζον σχῆμα τοῦ ἀγάλματος ἁρμόζει κυρίως οὐκ εἰς τὴν ἀνύστακτον Ἀλήθειαν, ἀλλὰ μᾶλλον εἰς τὴν Δίκην, ἥτις εἰκονίζεται πολλάκις μεμυκότας, ἢ καλύπτρᾳ περιδεδεμένους, ἔχουσα τοὺς ὀφθαλμούς. Καὶ φαίνεται λοιπὸν, εἰ μὴ καὶ πάντῃ πεπλασμένη, ἀλλ᾽ ἴσως γοῦν συγκεχυμένη πρὸς τὸ τῆς Ἴσιδος *ἀληθόφωνον φυλακτήριον* ἡ περὶ τὸν τράχηλον τοῦ Ἀρχιδικαστοῦ σαπφείρινος εἰκὼν, *δίκης* οὖσα μᾶλλον σύμβολον, ὅπερ ὁ πολὺς λόγος *Ἀλήθειαν* μετωνόμασεν.

ι) Ἐν τοῖς ἐξορυττομένοις νεκρῶν Αἰγυπτίων ταρίχοις (*μουμμίαις*) οὐ πρὸ πολλῶν ἐτῶν εὕρηται τάριχος, φέρον ἐπὶ στήθους τὸ ἐπίσημον τοῦ ἀνωτάτου δικαστοῦ (καθὼς ὑπέλαβον)· Ὑπάρχει δὲ τοῦτο παρόμοιον ἀσπιδίσκῃ ἐπιστηθίῳ (οἷον λοχαγοί τινες ἢ ἄλλοι ἐφημερινοὶ φρουροὶ καθ᾽ ἡμᾶς φέρουσι κόσμημα), δύω λαβὰς ἔχον ἑκατέρωθεν, αἷς, ὡς ἔοικεν, ἁλυσιδίων προσαπτομένων, ἐξήρτητο δι αὐτῶν τὸ ἀσπιδίσκιον ἀπὸ τοῦ τραχήλου. Τοῦτο δ᾽ ἔστιν οὐ μετάλλινον, ἀλλὰ πρασίνου λίθου μαγατίμου (α). Ὥστε καὶ ἐκ τούτου φαίνεται ἄλλο τι τοῦ ἀρχιδικαστοῦ τὸ ἐπίσημον, πάντῃ διάφορον παρὰ τὸ λεγόμενον ζώδιον τῆς ἀληθείας.

ια) Ἐὰν δὲ πρὸς ταῦτα πάντα στρυφνοί τινες ἀπαρέσκωνται, λέγομεν ἄλλο, καὶ τοῦτο μάλιστα πιθανώτατον, καὶ σοφοῖς ἀνδράσι

---

(α) **Hoffmann, Observat. in diffililiora V. T. loca. par. I. p. 23. Jenae 1813. βλ. καὶ Rosenmüll. Sch. in Ex. u. s.**

κεκριμένον. Αὐτοὶ τῶν Αἰγυπτίων οἱ λογάδες ἀκούσαντες ἐκ φήμης τὸ ἐπὶ τοῦ στήθους τοῦ τῶν Ἑβραίων ἀρχιερέως λιθοκόλλητον Λογεῖον τῆς κρίσεως, καὶ τῆς ἐπ' αὐτοῦ χρησμοφανείας τὴν τελειοτάτην ἀλήθειαν, ἐκόσμησαν καὶ αὐτοὶ τὸν ἑαυτῶν ἀρχιδικαστὴν διὰ τοῦ περιτραχηλίου τῆς Ἀληθείας, πλάσαντες αὐτῆς καὶ ἄγαλμα πρὸς τὸ δοκοῦν. Πτωχὸν καὶ παιδαριῶδες *απομίμημα* τῆς ἐπὶ τοῦ Λογείου τὴν αἰγυπτιακὴν Ἀλήθειαν ἀνεκήρυξαν ἄλλοι τε καὶ Γρότιος, καὶ Σχέφερος, καὶ Οὐόσσιος, καὶ Βερνάρδος, οἱ περικλεέστατοι (α), οὐχὶ διότι ξόανον παρόμοιον τῆς σαπφειρίνης Ἀληθείας ἐξέλαβον οἱ ἄνδρες καὶ τὴν ἐπὶ τοῦ Λογείου (πῶς γὰρ ἂν ἐφρόνησαν ἐκεῖνοι τοιαῦτα; ), ἀλλὰ τοῦτο πάντως νοοῦντες, ὃ καὶ προείπομεν. Ὅτι τὸ τοῦ Ἀρχιερέως Λογεῖον μαθόντες οἱ Αἰγύπτιοι λίθους πολυτίμους (ἐν οἷς καὶ σάπφειρος) εἶχεν ἐνυφασμένους, ἐμιμήθησαν καὶ αὐτοὶ κατὰ μέρος καὶ τὴν ὕλην τοῦ κοσμήματος, καὶ τὸ ὄνομα τῆς τῶν χρησμῶν ἀληθείας, καὶ γλύψαντες ἐκ σαπφειρίνου λίθου τὴν ἀλήθειαν ἀνθρωπόμορφον (κατὰ τὸ ἔθος τῆς παρ' αὐτοῖς ξοανολατρείας), περιέθηκαν εἰς τὸν ἑαυτῶν ἀρχιδικαστὴν, ὡς σύμβολον καλὸν πρὸς ὑπόμνησιν τοῦ καθήκοντος. Οὕτω καὶ τὸ *ψέλλιον*

---

(α) Grot. in Exod. 28, *καὶ ἐν τῷ* De veritat. Relig. Christ. — J. Scheffer. de antiquor. torquib. p. 58. — J. Voss. de LXX. interpr. p. 51. — Bernard. not. *εἰς Ἰωσήπ. Ἀρχ. γ. η*, 9. *καὶ ζ*, 5. (*σελ.* 144)· *ὅπου σημειοῖ τὰ ἐφεξῆς* (*ἐξ ἀνωνύμου*). « Τούτου *δὲ* (*τοῦ λογείου*) *μίμημα ἦν παρ'* Αἰγυπτίοις *ἡ* Ἀλήθεια, *ἐπιχωρίως μ έ θ μ η ἵ λεγομένη, ζώδιόν τι τῶν πολυτελῶν λίθων, περὶ τὸν τράχηλον τοῦ ἀρχιδικαστοῦ, ὃς [ἦν] καὶ ἀρχιερεὺς, ἐκ χρυσῆς ἁλύσεως ἠρτημένον* ». *κτλ.* Πολλὰ *δὲ τῶν θρησκευτικῶν ἐθίμων οἱ* Αἰγύπτιοι *παρέλαβον παρὰ τῶν* Χαλδαίων, *δηλαδὴ τῶν* Ἑβραίων. Καὶ *αὐτὴν δὲ τὴν ἐκ τοῦ λογείου θαυμαστὴν τοῦ θείου φωτὸς ἔκλαμψιν* (*δηλοῦντος, ὅτι ὁ Θ ε ὸ ς π α ρ ε ί η*) *πλαστῶς καὶ τεχνηέντως μιμηθέντες, ἐῤῥᾳδιούργουν ἐν ταῖς θυσίαις φέγγη τινα καὶ οἱ* Αἰγύπτιοι, *περὶ ὧν καυχᾶται* ὁ Ἰάμβλιχος! Βλ. Voss. ibid. καὶ Huet. Dem. Ev. pr. IV. c. 4. Πρβλ. καὶ Demagistr. Diss. V. p. 522. ὅστις καὶ αὐτὸ τὸ Αἰγυπτιακὸν μέθμηϊ παράγει ἐκ τοῦ ἑβραϊκοῦ methim (ἀλήθεια), καὶ τὸ Αἰγυπτιακὸν δὲ θμῆϊ (ἡ δικαιοσύνη) ἐξάγει (εἴ τῳ πιστὸς) ἐκ τοῦ ἑβραϊκοῦ Thmim, ἢ Thumim. Ὁ δὲ Βελλαρμῖνος ὁ Καρδινάλιος, παράγων τὸ μὲν Urim ἐκ τοῦ Jaran (δήλωσις), τὸ δὲ Thumim ἐκ τοῦ aman (ἀλήθεια), πάντων μακρότατα ἠκόντισεν ὑπὲρ τὸν σκοπὸν, ὡς ἔκρινεν ὁ Dilher. παρὰ Cartwrigtht. annot. ad Exod. h. l.

τῷ Αἰγυπτίῳ βασιλεῖ προσετέθη, μίμημα καὶ τοῦτο τοῦ νόμου τοῦ Μωσαϊκοῦ, καὶ τ' ἄλλα, περὶ ὧν ἀνωτέρω σεσημείωται. Καὶ ταῦτα μὲν ἴσως περιττότερον· ἀποδείκνυται δὲ ὅμως καὶ ἐκ τούτων, ὅτι οἱ ἑρμηνεῖς οὐκ ἦσαν Αἰγύπτιοι.

ιβ) Οὐκ ἦσαν Αἰγύπτιοι, τελευταῖον, καὶ διότι οἱ αὐτοὶ τὰ Οὐρὶμ καὶ Θουμμὶμ εἶπον οὐ μόνον *δήλωσις* καὶ *ἀλήθεια*, ἀλλὰ καὶ (κατὰ λέξιν) *φωτισμοὺς* καὶ *τελειώσεις* (ὡς προείπομεν ἐν ἀρχῇ). Οὕτω καὶ ὁ Σειραχίδης *δήλους ἀληθείας* εἰπὼν (Σ. Σειρ. με, 10), οὐκ Αἰγύπτιος ἦν, ἀλλ' ἀστὸς καὶ γνήσιος ἱεροσολυμίτης. Καὶ ἐν τῷ ἀποκρύφῳ Α. Ἔσδρα (ᾧ καὶ Ἰώσηπος ἐχρήσατο, Ἀρχαιολογ. ια, 4. πρβλ. Α. Ἔσδρ. κεφ. γ. καὶ δ.) « *δήλωσις καὶ ἀλήθεια* » φέρεται γεγραμμένον (ε, 40).

4) ΨΟΝΘΟΜΦΑΝΗΧ. Τούτου τὴν ὀρθὴν ἀνάγνωσιν εὐκόλως ἂν εὕρισκεν Ὅδιος, εἴ γε μὴ τοὺς ἑρμηνεῖς ἀνέπλαττε διορθοῦντας τὸ κείμενον τὸ ἑβραϊκὸν, διώρθου δὲ μᾶλλον αὐτὸς κατὰ τούτους τὴν ἔτι κατὰ τοὺς Ἱερωνύμου χρόνους διεφθαρμένην ἑβραϊκὴν τοῦ ὀνόματος γραφὴν, ἣν καὶ τῶν Μασοριτῶν ἡ στίξις προσδιέφθειρε (καθὰ καὶ ἄλλα τῶν ἀρχαίων ὀνομάτων πολλά) (α). Καὶ Λεμοῦνος δὲ ὁ σοφὸς, καί τοι καὶ αὐτὸς Ὀδίῳ κατὰ τῶν Ο, συμμαχῶν, κακὴν ὅμως ὁμολογεῖ τὴν (κατὰ τοὺς Μασορίτας) ἀνάγνωσιν τοῦ Ζαφνὰτ-Πανεὰχ, προτιμῶν τὴν κατὰ τοὺς Ο, γραφὴν, ὡς ὀρθῶς ἔχουσαν· διότι (λέγει) καὶ νῦν οἱ Κόπται λέγουσι *ψοντόμ* τὰ κρυπτὰ, *πενήχ* δὲ (ἢ *φανήχ*) τὸν μάντιν, ὡς καὶ Ἰώσηπος ἡρμήνευσε τὸ ψονθομ-φανὴχ, *κρυπτῶν εὑρέτην* (ἢ κατὰ τοὺς περὶ τὸν Ὄγκελον, *κρυπτῶν* ἑρμηνέα). Ὁ δὲ Φίλων *ὀνειροκρίτην*, καὶ, « ἐν *ἀποκρίσει στόμα κρίνον* » (β). Ταῦτα ὁ Λε-

---

(α) L. Capell. Crit. Sacr. Libr. IV. cap. 2. pag. 217. Lut. Paris. 1650.

(β) Φίλ. περὶ Μετονομαζομ. τόμ. α, σελ. 592, ἐκδ. Mang. ὅπου ὁ ἐκδότης διορθοῖ « ἐν ἀποκρύψει στόμα ἀποκρινόμενον· Ἀλλ' ἴσως μᾶλλον τὸ πρῶτον διορθωτέον ἐν ἀποκρύφοις· τὸ δὲ στόμα κρίνον ἐατέον, ὡς ὀρθῶς ἔχον, (οἷον κρυπτῶν κριτὴς, τουτ. ἐξηγητὴς, κατὰ τὸ « κρίνειν ὀνείρους ». Εὐριπίδ. Ἑκ. 89: Ἰλ. Ε, 150. κτλ.), ὅθεν καὶ τὸ ὀνειροκρίτης. Καὶ ὁ Σύρος ἔχει, « ὁ εἰδὼς τὰ κρυπτὰ » (Σχόλ. εἰς Γέν. αὐτόθ.).

μοῦνος (α). Ὁ δὲ πολυμαθέστατος Βερνάρδος καὶ αὐτοῦ τοῦ μακαρίου Ἱερωνύμου τὴν τόλμην οὐκ ἐπῄνεσε, θαυμάζων δικαίως, πῶς ἔστερξεν ὁ πατὴρ ἄλλην τοῦ ὀνόματος γραφὴν πάντῃ διάφορον, ἢ ὡς ἀνέγνω Φίλων ὁ Ἀλεξανδρινὸς, καὶ αὐτὸς Ἰώσηπος καὶ οἱ Ο, οἵτινες τὴν Αἰγυπτιακὴν τοῦ Ἰωσὴφ προσηγορίαν ἔγραψαν ἐν Αἰγύπτῳ, καὶ 700 ὅλους ἐνιαυτοὺς πρότερον Ἱερωνύμου. Οὗτος δὲ τούτοις μὴ ἀρκεσθεὶς, προσέθηκε καὶ νέαν τοῦ ὀνόματος ἑρμηνείαν (ἐκ τῶν κατ' αὐτὸν Αἰγυπτίων, ὡς λέγει, μαθὼν) τὴν « *Σωτῆρα κόσμου*, ἣν οὐδ' αὐτοὶ οἱ Ῥαββῖνοι ὠνειρεύθησαν (β).

---

(α) Le Moyen Varia Sacr. vol· 2. pag. 130—131. πρβλ Grot. καὶ Drus. annot. in Genes. h. l. καὶ Demagist. Diss. V. p. 524.

(β) Ed. Bernardi not. εἰς Ἰωσήπου Ἀρχ. Β. ς. 1. σελ. 79. τόμ. α. Hav. Ἐκ τοῦ Ἱερωνύμου ἐξέδωκαν καὶ ἐν τῇ Ὀξωνικῇ ἐκδόσει, τῶν Ο, «Ψονθομφανὴχ, ὅ ἐστι σωτῆρα κόσμου» (βλ. καὶ σημ. ἐκδ. Vatic. Lam. Bos.). Ταύτην δὲ τὴν Ἱερωνύμειον ἑρμηνείαν ὡς μόνην ἀληθινὴν καὶ κυρίαν ἐσπούδασεν εἰς μάτην ἀποδεῖξαι καὶ ὁ Jablonsky (Opuscul. T. 1. p. 207—211), παραβάλλων δύο λέξεις Κοπτικὰς, μήτε ταυτοφώνους μήτε ταυτοσημάντους (τὰς ΠΣΩΤ — ΜΦΕΝΕΧ = Σωτὴρ αἰῶνος). προτιμᾷ δὲ τῆς ἑβραϊκῆς τὴν ἀνάγνωσιν τῶν Ο. πρβ. καὶ Sturz. de Dial. Maced. p, 96. καὶ Rosenmüller, schol. in Genes. h. l. καὶ τοῦ Fabric. Cod. Pseudepigraph. V. T. p. 786. — Ἀλλ' ὁ δεινὸς Ἀμάμας ἀστείως ἐρωτᾷ· Ἄγε μοί τις εἰπάτω δεικνὺς, ἐξ αὐτῆς τῆς γλώσσης τῆς Αἰγυπτιακῆς, ποτέρα τῶν δύω τούτων φωνῶν, ἡ προτέρα, ἢ ὑστέρα σημαίνει τὸν κ ό σ μ ο ν, ἢ τὸν σ ω τ ῆ ρ α; (Annot. ad Gen· ibid. h. l.). Ὁ δὲ Δρούσιος (ibid.) διορθοῖ τὸ Ψ ο μ θ ὸ μ εἰς τὸ Σ α φ ε ν ὰ θ, ἢ Σ ο φ ν ὰ θ, ἵνα τοῦτο καὶ ἄκον ὁμοφωνήσῃ πρὸς τὸ Μασοριτικὸν Τ ζ α φ ν ά θ! Ὁ δὲ, τέλος, Φράγγελος (Frankel, l. c. p. 192) προὔβη καὶ πολὺ περαιτέρω. Ψέγει τοὺς Ο, διότι καὶ τὸ Ψ ο ν θ ο μ φ α ν ὴ χ (ὡς καὶ ἄλλας λέξεις ἑβραϊκὰς) κατέλιπον ἀνερμήνευτον! Αὐτὸς δ' ἀποφαίνεται γενναίως, ὅτι σύγκειται ἡ λέξις ἐκ δύω φωνῶν ἑβραϊκῶν· καὶ ὅτι γράφεται καὶ φονθομφανήχ· ἐπειδὴ (λέγει) τὸ ψ ο ν θ ὸ μ, ἢ ψονθὸ (τὸ δὲ μ, πρόσκειται εὐφωνικὸν) = σ φ ο ν θ ὸ (τὸ γὰρ ψ = σφ, κατὰ διάλεκτον ἑλληνικὴν, ὡς ψὲ = σφέ), καὶ φ ο ν θ ὸ (ὡς καὶ φὶν = σφὶν)» κτλ. Ὥστε κατὰ ταῦτα, ὁ μὲν Φαραὼ, κατὰ τοὺς χρόνους τοῦ Ἰωσὴφ καὶ Ἰακὼβ, ἐλάλει ἑβραϊστί! Ἐπωνόμαζε δὲ τὸν Ἰωσὴφ ἐπώνυμον ἐπίσημον καὶ γνωστὸν οὐχὶ τοῖς Αἰγυπτίοις, ἀλλὰ μόνοις τοῖς ἀδελφοῖς καὶ τῷ πατρὶ τοῦ Ἰωσὴφ, (καὶ τούτοις μήπω παροῦσιν!). Οἱ δὲ τρέψαντες τὸ φ, εἰς σφ, καὶ ψ, ἦσαν ἄρα Δωριεῖς τινες ἢ Αἰολεῖς! Καὶ τέλος οἱ περὶ τὸν Φίλωνα, καὶ τὸν Ἰώσηπον, καὶ πάμπολλοι ἄλλοι καὶ παλαιοὶ καὶ νεώτεροι σοφοὶ, θεωροῦντες Αἰγυπτιακὴν φωνὴν τὴν Ἰωσὴφ ἐπωνυμίαν, ληροῦσιν! Ἐτυμηγορεῖ δὲ μόνος ὁ ἀρχιραββῖνος οὗτος! Ὄγκελον δὲ καὶ τοὺς ἄλλους αὐτοῦ ῥαββίνους, Αἰγυπτίαν λέγοντας τὴν λέξιν, « ἀπὸ ταῤῥοῦ περιφρονεῖ ».

5) ΙΠΠΟΔΡΟΜΟΣ. Ὅτι μὲν παρὰ τῶν ἑρμηνέων προσετέθη τ᾽ὄνομα, ὡς ἐπεξήγησις τοῦ μὴ παρὰ πολλοῖς ἑλληνισταῖς ἑβραίοις γνωστοῦ καὶ συνήθους *χαβραθὰ* (Γενέσ. μη, 7), τοῦτο πάνυ καλῶς καὶ σοφῶς ὁ σοφὸς συνεῖδεν Ὅδιος (α)· ἀλλ᾽ ἐπλανήθη, παραβιάσας καὶ τοῦτο πρὸς ὃν ἀκίχητα διώκει σκοπόν. Οὔτε πρῶτον ἐν Ἀλεξανδρείᾳ συνέστη ἱππόδρομος, οὔτε πάλιν οἱ ἑρμηνεῖς ἦσαν παντελῶς ἀπότροφοι τῶν Ἑλλήνων συγγραφέων, παρ᾽ οἷς καὶ ἱππόδρομοι τῶν ἀρχαίων ἱστοροῦνται, καὶ τὸ κατὰ τόπους

(α) Ὁ δὲ Δημήτριος ὁ Φαληρεὺς (παρὰ τῷ Πολυΐστορι) διαγράφων ἐκ τῶν Ο, τὴν ἐκ τῆς Βαιθὴλ εἰς Εὐφραθὰ ἄφιξιν τοῦ Ἰακὼβ, ἐξέλαβεν ἐσφαλμένως τὸ Χ α β ρ α θ ά, ὡς ὄνομα τόπου (βλ. Εὐσεβ. Εὐ. προπ· Θ. 248)· ἀντέγραφε γὰρ, ὡς ἔοικεν, ἐκ τοῦ Γεν. λε, 16, ὅπου κεῖται μόνον τὸ Χ α β ρ α θ ά, χωρὶς ἐπεξηγήσεως, τῆς, ἱ π π ό δ ρ ο μ ο ς. Ἄλλην δέ τινα πλάνην ὁ Θήρσιος ἐπλανήθη περὶ τὸ χωρίον τοῦτο τῶν Ο, τὴν ἐφεξῆς. «Τὸ ἱππόδρομος (λέγει) δ ὶ ς ἀ ν α γ ι ν ώ σ κ ε τ α ι ἐ ν τ ῇ Γ ε ν έ σ ε ι. κ ε φ. λ ε, 16, κ α ὶ μ η, 7. καὶ καλῶς ἂν εἶχεν, εἰ μὴ προσέκειτο καὶ τὸ Χ α β ρ α θ ά. Ἐκ δὲ τούτου πρόδηλον, ὅτι οἱ Ο, μὴ κατανοήσαντες τὴν ἑβραΐδα λέξιν (ἴσως δὲ κ α ὶ ὡ ς ὄ ν ο μ α κ ύ ρ ι ο ν ἐ κ λ α β ό ν τ ε ς), ἀφῆκαν ἀνερμήνευτον. Οἱ δὲ μετὰ ταῦτα συνιδόντες τὸ σφάλμα τῆς ἑρμηνείας, προσέθηκαν καὶ τὸ ἱ π π ό δ ρ ο μ ο ς τ ῆ ς γ ῆ ς»· ἡ δὲ προσθήκη φαίνεται καὶ Ὠριγένους ἀρχαιοτέρα» κτλ. Ταῦτα ὁ πολλῶν ἄλλων δικαιότερος ἐν ἄλλοις πολλοῖς φανεὶς περὶ τοὺς Ο, Θήρσιος (de Pentat. version. etc. p. 79—80). Ἀλλ᾽ ὁ σοφὸς ἀνὴρ ἠπατήθη· α) Ἐν Γεν. λε, 16, οὐ γέγραπται τὸ ἱππόδρομος (κατὰ πάσας τὰς ἐκδόσεις τῶν Ο), αὐτὸ δὲ μόνον τὸ Χ α β ρ α θ ά· ἰδοὺ ὁ παράγραφος. «Ἡνίκα ἤγγισεν εἰς Χαβραθὰ τοῦ ἐλθεῖν εἰς Ἐφραθά». (Ἄλ. ἤγγισε Χ α β ρ α θ ὰ εἰς γῆν ἐλθεῖν Ἐφρ.) — β). Τὸ ἱππόδρομος γέγραπται μόνον χωρὶς τοῦ Χ α β ρ α θ ὰ ἐν Γεν. λε, 19 (Βατικ.) «Ἐν τῇ ὁδῷ τοῦ ἱ π π ο δ ρ ό μ ο υ Ἐφραθά». Ὡσαύτως καὶ ἐν Γεν. μη, 7. (Βατικ. καὶ Ἀλεξ. κτλ. βλ. καὶ ὄπισθ. σελ. 175).—γ) Καὶ τρίτον γέγραπται τὸ ἱππόδρομος ἐν Γεν. μη. 7. καὶ μόνον ὧδε συνημμένον μετὰ τοῦ Χαβραθά, ὡς ἐπεξήγησις, «Κ α τ ὰ τ ὸ ν ἱ π π ό δ ρ ο μ ο ν Χ α β ρ α θ ὰ τ ῆ ς γ ῆ ν (ἑβρ. Chibrath haaretz) τ ο ῦ ἐ λ θ ε ῖ ν Ἐ φ ρ α θ ά». Ἐκ δὲ τούτων πρόδηλον, ὅτι οἱ Ο, γράψαντες πρῶτον αὐτὸ τὸ Χαβραθὰ (ὡς σύνηθες ἴσως τοῖς τότε μᾶλλον ἑβραΐζουσιν ἑλληνισταῖς), ἔγραψαν ἔπειτα καὶ τὸ ἰσοδύναμον ἑλληνικὸν ἱππόδρομος (Γενέσ. λε. 19: μη, 7.), διορίζοντες ἀκριβῶς τὸ ὁ δ ὸ ς (ὡς ἐν τούτοις τοῖς τόποις ἔχει τὸ νῦν ἑβραϊκ. εἰ μὴ καὶ ὧδε ἀνέγνωσαν Chibrath ἐν τῷ τότε κειμένῳ), καὶ ἔπειτα συνῆψαν ἀμφότερα τὰ ὀνόματα, σαφηνίζοντες τὸ ἕτερον διὰ τοῦ ἑτέρου. Οὕτως ἐναργῶς ἐνόουν καὶ διώριζον οἱ ἑρμηνεῖς ἐκεῖνοι τὸ Χ α β ρ α θ ά! Χωρὶς δὲ τῆς παρ᾽ αὐτῶν ὁδηγίας οἱ νεώτεροι ῥαββῖνοι καὶ ῥαββινισταὶ οὐδ᾽ ἂν κατενόουν ὅλως τὴν σημασίαν τῆς φωνῆς· οἵ γε καὶ μετὰ τὴν ἑρμηνείαν οὕτω πρὸς ἀλλήλους περὶ ταύτης διεφώνησαν, «ἀ ν ή ν υ τ α κ ω τ ί λ λ ο ν τ ε ς» (βλ. ὄπισθ. σελ. 176).

μῆκος τοῦ ἱπποδρόμου διορίζεται, πρὸς ὃ καὶ λίαν ἀκριβῶς παρέβαλον τὸ ἀνάλογον *χαβραθά*. Εἰ δὲ καὶ παντάπασι Μούσης ἑλληνίδος ἀγεύστους ὑπέλαβεν αὐτοὺς ὁ κριτικὸς, ἀλλ᾽ ἔπρεπε κἂν, ἵνα μὴ κατατάξῃ τούτους καὶ ἐν μοίρᾳ τυφλῶν καὶ κωφῶν· διότι (εἴπερ ἀκουστικοὶ καὶ ὠμματωμένοι κατέβησαν ἐκ τῆς Ἱερουσαλὴμ εἰς τὴν Ἀλεξάνδρειαν) ἠδύναντο παρευθὺς, κατὰ τὰς πρώτας τῆς ἀφίξεως ἡμέρας (ὁπότε τούτους εἱστία φιλοξενῶν ὁ βασιλεὺς, πρὶν ἐπιχειρήσωσι τὴν ἑρμηνείαν, ὡς Ἀριστέας καὶ Φίλων καὶ Ἰώσηπος μαρτυροῦσιν), ἠδύναντο, λέγω, τὰ κατὰ τὸν Ἱππόδρομον ἀκριβῶς καταμαθεῖν, καὶ θεάσασθαι τὸ χωρίον, καὶ αὐτοὺς (τί δ᾽ οὐχί;) τοὺς ἱππικοὺς ἀγῶνας θεωρῆσαι μετὰ τῶν ἄλλων θεωρῶν τοῦ Δίωνος τοῦ Προυσαέως! Πρὸς δὲ τὰ κατὰ τοῦ ἱπποδρόμου τῶν Ο, προβαλλόμενα ὡς ἐκ τοῦ θείου Ἱερωνύμου, ἀπηντήσαμεν ἐκεῖ παρὰ πόδας (σελ. 175 σημ.). Ὁ δὲ κριτικὸς ἐπισυνῆψε καί τινα περὶ Ἱπποδρόμου συνεστῶτος δῆθεν ἐν Ἱεροσολύμοις μετὰ τοὺς Φιλαδέλφου χρόνους, ὡς ἂν ἐξ Ἰωσήπου καὶ τῆς Β. τῶν Μακκαβαίων ταῦτα παραλαβών. Ἀλλὰ « *στέλεχος ἂν εἴην*, ἀναγνῶστα (φησὶν ὁ κωμικὸς), ἐὰν εὕρῃς ἐν τοῖς μνημονευομένοις χωρίοις ἴχνος γοῦν ἀγῶνος *ἱπποδρομικοῦ*, κατὰ τοὺς Ἡρώδου χρόνους συνεστῶτος ἐν Ἱεροσολύμοις. Ὁ Ἰώσηπος, ἀπαριθμῶν τὰς παντοδαπὰς ἐν πολλαῖς πόλεσι μεγαλουργίας τοῦ Ἡρώδου (Ἰουδ. πολεμ. Α. κα, 1—13), ἐν μόνῃ τῇ Ἱεριχοῦντι κατασκευασθέντος ἱπποδρόμου μνημονεύει (Ἀρχ. ιζ. ς. §. 5. καὶ η. §. 2). Κατὰ δὲ τὴν Ἱερουσαλὴμ οὔτε γυμνικοὺς, ἢ ἱππικοὺς ἀγῶνας, οὔτ᾽ ἄλλο τι θεατρικὸν ἐθνικῶν γυμνασμάτων εἶδος ἱστόρησεν ὁ Ἰώσηπος συσταθὲν ὑπὸ τοῦ Ἡρώδου, μόνας δὲ τὰς τοῦ ναοῦ, καὶ τοῦ φρουρίου, καὶ τὰς ἄλλας τὰς λαμπρὰς τῆς πόλεως οἰκοδομὰς (Ἰουδ. πολεμ. αὐτόθ.). Ἐν δὲ τῇ Β. τῶν Μακκαβ. ὁ μιαρὸς τῶν πατρίων προδότης Ἰάσων ἱστορεῖται συστήσας ἐν Ἱεροσολύμοις *γυμνάσιον καὶ ἐφηβίαν* (ἢ ἐφηβεῖον) « καὶ τοὺς ἐφήβους ὑπὸ πέτασον ἄγων » (α). Πόσον δὲ ταῦτα διαφέρουσιν

(α) Βλ. Schleusn. Thes. V. T. λ. Γυμνάσιον, Ἐφηβία, Πέτασος· (ὁ δὲ πέτασος

*ἱπποδρόμου*, καὶ αὐτὸς Ὄδιος ἀκριβῶς ἠπίστατο· καὶ θαυμαςὸν, πῶς συνέχεε τὸ γυμνάσιον καὶ τὴν παλαίστραν πρὸς τὸν ἱππόδρομον, συμφύρας «*ἀναμὶξ, ἀνδρῶν τε πάλην, καὶ δρόμον ἵππων*».

6) ΚΟΝΔΥ. Τοῦτο λέγει *περσικὸν ποτήριον*· περσικὸν δὲ δήπου καὶ τὸ ὄνομα· καὶ Πέρσαι λοιπὸν ἦσαν οἱ χρησάμενοι τῇ λέξει μεταφρασταί. Τοῦτο πάντως ὤφειλεν Ὄδιος συμπεράναι, κατὰ τὴν φίλην αὐτῷ μέθοδον τοῦ διορίζειν ἔκ τινων φωνῶν ἐθνικῶν τὰ γενέθλια γνωρίσματα τῶν ἑρμηνέων. Ἀλλ᾽ αὐτὸς ἐβάδισεν ἄλλην, Αἰγυπτίους αὐτοὺς ἀποδείξας, ὅτι (κατὰ τὸν Νικόμαχον) καὶ παρ᾽ Αἰγυπτίοις ἦν σύνηθες τὸ κόνδυ. Ἀλλὰ τοῦτ᾽ ἂν εἴη τὸ αὐτὸ, ὡς καὶ ἄν τις συμπεραίνῃ, ὅτι καὶ Μένανδρος ὁ Ἀθηναῖος, καὶ Παγκράτης ὁ Ἀρκὰς, χρησάμενοι καὶ οὗτοι τῇ λέξει (παρ᾽ Ἀθην. ια, 478· καὶ α, 13), ἦσαν καὶ αὐτοὶ Αἰγύπτιοι! Κᾀκεῖνο δὲ σημειωτέον, ὅτι ὁ Νικόμαχος οὐκ εἶπε κατὰ λέξιν *Αἰγύπτιον* τὸ κόνδυ (διότι πάντως ἂν ὁ τὴν Νικομάχου ῥῆσιν διασώσας Ἀθήναιος προσέθηκεν ἂν καὶ τοῦτο), αὐτὸς δὲ τοῦτο συνεπέρανεν ὁ Ὄδιος, ἐπειδὴ καὶ μνημονεύεται τὸ ποτήριον ὡς περσικὸν *ἐκ τῆς περὶ τῶν Αἰγυπτίων ἑορτῶν συγγραφῆς* τοῦ Νικομάχου. τοῦτο δὲ τὸ συμπέρασμα καὶ Στούρζιος παραδόξως ἐκύρωσεν, ὡς *ὀρθόν!* (α). Θαυμάσοι δ᾽ ἄν τις κᾀκεῖνο μάλιστα· πῶς ἡ τοῦ Ὀδίου ἀκρίβεια ἐλλειπῆ περὶ τὰ καίρια καὶ κολοβὴν ἐξήνεγκε τὴν Ἀθηναίου χρῆσιν, ἐν ᾗ περιέχεται καὶ τὸ μόνον ἀποσωθὲν χωρίον τοῦ Νικομάχου. Ἰδοὺ τί λέγει ὁ Ἀθήναιος (ια, σελ. 477, 478). «Κόνδυ, ποτήριον ΑΣΙΑΤΙΚΟΝ. Μένανδρος Κόλακι· «*Κοτύλας χωροῦν δέκα ἐν Καππαδοκίᾳ κόνδυ χρυσοῦν*».— Ἵππαρχος Ἀνασῳζομένοις· «*Δαπίδιον ἓν ἀγαπητὸν, ποικίλον, Πέρσας ἔχον καὶ γρύπας ἐξώλεις τινας τῶν Περσικῶν.— Καὶ κόνδυ, καὶ ψυκτῆρα, καὶ κυμβίον*». Νικόμαχος δ᾽ ἐν πρώτῳ

---

εἶδος ἀγῶνος γυμνικοῦ, ἢ μέρος παλαίστρας, ἢ τὸ σκιάδιον, σύνηθες ἐφήβων φόρεμα. Βλ. Ῥειμέρ. καὶ Σνεϊδέρ. λεξικ.).

(α) Sturz. Dial. Maced. p. 91. ὅπου καὶ προστίθησιν, ὅτι ὁ Jablonsky παρέλιπε τὴν λέξιν, οὐκ Αἰγυπτίαν ἴσως ὑπολαβών.

περὶ ἑορτῶν Αἰγυπτίων, φησί· « *Τὸ δὲ κόνδυ ἔστι μὲν περσικόν· τὴν δὲ ἀρχὴν, ἣν Ἕρμιππος ὁ ἀστρολογικὸς, ὡς ὁ κόσμος* » κτλ. Καὶ λοιπὸν τὸ κόνδυ ὑπῆρχε ποτήριον *ἀσιατικὸν*, σύνηθες καὶ *Πέρσαις*, καὶ *Καππαδόκαις*, καὶ ἄλλοις ἀσιανοῖς Ἕλλησιν, ἢ ἑλληνισταῖς. Ὅθεν καὶ Ἡσύχιος· « Κόνδυ, ποτήριον βαρβαρικόν» (α). Εἰδικώτερον δὲ ὁ Πολυδεύκης· «Κόνδυ Καππαδοκικὸν, καὶ Βησιακόν· περσικὸν δ' ἦν τὸ ἔκπωμα» (β). Ἔστω (χάριν Ὀδίου) καὶ παρ' Αἰγυπτίοις σύνηθες. Ὑπῆρχε λοιπὸν τ' ὄνομα ἐν χρήσει εἴς τε τὴν ἐπὶ Μενάνδρου ἀττικὴν διάλεκτον, καὶ παρὰ τοῖς Ἀρκάσι (διὰ τὸν Παγκράτην), καὶ τοῖς ἐν Θρᾳξὶ Βησσοῖς (κατὰ τὸν Πολυδεύκην). Ὥστε καὶ Ἕλληνες, καὶ Ἀσιανοὶ, ἐν δὲ τούτοις καὶ Σύροι, καὶ Παλαιστινοὶ ἑλληνισταὶ (ἐξ ὧν καὶ οἱ Ο), ἐγνώριζον τὴν λέξιν καὶ μὴ αἰγυπτιάζοντες! Τὸ δὲ κράτιστον, ὅτι καὶ αὐτὸς ὁ κτίστης τῆς Ἀλεξανδρείας, ὁ Μακεδὼν Ἀλέξανδρος, ἐγίνωσκεν,

(α) Ὁ κλεινὸς Ed. Bernard. (Σημ. εἰς Ἡσύχ. αὐτ. σελ. 311. Albert.) ἐτυμολογεῖ τὸ κόνδυ ἐκ τοῦ περσικοῦ conde (τὸ στρογγύλον, διὰ τὸ σχῆμα), ἢ ἐκ τοῦ ἀραβικοῦ condan (τὸ κοῖλον. πρβλ. καὶ Schleusn. Thes. V. T. λ. κόνδυ). Φαίνεται δὲ συγγενὲς καὶ τοῦ ἑλληνικοῦ κόνδος, τὸ αὐτὸ καὶ κόττος, κόττα, καὶ κόδδα (ἡ κεφαλὴ, διὰ τὸ κοῖλον), ὅθεν καὶ κώθων, κοτύλη, κτλ. (Ῥείμερ. Ἑλληνογερ. λεξικ.). Τὸ δὲ, «Κόνδυ ποτήριον βασιλικὸν», (Λεξικ. εἰς τὴν Ὀκτάτευχ.), ἀποτείνεται πρὸς τὰ Γενέσ. μβ. 2.

(β) Πολυδ. ς. ις. Τὸ δὲ **Βησιακὸν** (ἢ Βησσιακὸν) ἐκ τοῦ Βησσὸς, πόλις Θρᾳκικὴ (L. Holsten. not. εἰς Στέφ. Βυζάντ. σελ. 66). Βησσοὶ δὲ, ἴσως, οἱ αὐτοὶ καὶ Βέσσοι (Στράβ. ζ. 318). Τούτων τῶν Βησσῶν ἐνόμισε τὸ κόνδυ ὁ Falckenberg (εἰς Πολυδ. σελ. 624. Hemst.). Ἔστι δὲ καὶ Βῆσα (δι' ἑνὸς σ) δῆμος Ἀττικῆς (Ἁρποκρατ.). καὶ Βῆσσα πόλις Λοκρῶν (Στέφ. Βυζ. Στράβ. σελ. 426), καὶ ἄλλη Βῆσα (δι' ἑνὸς σ), πόλις Αἰγύπτου (ἡ καὶ Ἀντινόεια, καὶ Βησαντινόεια. Ἡλιόδωρ. ς. σελ. 225). Ἀλλ' ἐκ τῶν πόλεων τούτων οὐ δοκεῖ τὸ Βησιακὸν τοῦ **Πολυδεύκους**. Ὁ δὲ Kühn (εἰς Πολυδ. αὐτ. Hemst.) παράγει παρὰ τὸ «**Βήσιον**, ποτήριον» (Ἡσύχ.), ἢ Βήσα, ποτηρίου εἶδος· ὡς «Βήσαν Αἰγύπτιον» (Ἡδύλ. ἐπιγρ. παρ' Ἀθην. ια, 497. ἐν δὲ σελ. 465 καὶ Βήσσα διὰ δύω σ.)· ἀλλὰ καὶ τοῦτο θέλουσί τινες ἐκ τῶν ἐν Θράκῃ Βησσῶν (ὡς καὶ τὸ **Βησιακὸν**)· οἱ δὲ, ἐκ τοῦ ἑλληνικοῦ βήσσα (κοῖλος τόπος)· οἱ δὲ, χαλδαϊκὸν (Sturz. l. c. p. 71). Ὁ δὲ Λετρὼν αἰγυπτιακὴν οἴεται τὴν βῆσαν, προβάλλων τὸ Κοπτικὸν **πί-βασσα** (Letronne Fragm. inedits de poët. Grec. p. 23). Ὁ δὲ, τέλος, Schweigh. (εἰς Ἀθήν. αὐτόθ.) τὸ ἀνωτέρω τοῦ Πουλοδεύχους **Βησιακὸν** διορθοῖ εἰς τὸ **Βατιάκιον**, καὶ ἀναφέρει τοῦτο εἰς τὸ **περσικόν**.

Ὅδιε, τὴν φωνήν· ἔγραφε γὰρ κἀκεῖνος (ἐν μιᾷ τινι τῶν πρὸς τοὺς ἐν Ἀσίᾳ σατράπας φερομένων αὐτοῦ ἐπιστολῶν) « Βατιάκαι ἀργυραῖ κατάχρυσοι τρεῖς. ΚΟΝΔΥΑ ἀργυρᾶ ρος, τούτων ἐπίχρυσα λγ » (παρ' Ἀθην. ια, 784).

7) ΓΕΝΕΣΙΣ. Γνώρισμα καὶ τοῦτο τοῦ αἰγυπτιασμοῦ τῶν Ο, κατηρίθμησεν Ὅδιος. Φέρει δὲ πρὸς ἀπόδειξιν καὶ μάρτυρας δισσούς· ποίους; τὸν Ἰάμβλιχον, καὶ τὸν Πτολεμαίου σχολιαστήν· ἀμφοτέρους πολλοῖς αἰῶσι νεωτέρους τῶν Ο, (ὃ καὶ Θήρσιος παρετήρησε σελ. 78). Ἀλλὰ περὶ μὲν τοῦ Πτολεμαίου σχολιαστοῦ προείπομεν (σελ. 177. σημ.). Ἤδη δὲ θεωροῦμεν καὶ τὰ τοῦ Ἰαμβλίχου. Οὐ μόνον ἡ αἰγυπτιάζουσα *Νεοπλατωνικὴ* φιλοσοφία, ἀλλὰ καὶ αὐτὸς πολὺ πρότερον ὁ Πλάτων εἶπε « *κόσμου γένεσιν* », καὶ « *γένεσιν οὐρανοῦ* », καὶ « *γένεσιν τοῦ παντός* » (α). Καὶ Ἀριστοτέλης ὡσαύτως. Καὶ Ὤκελλος ὁ Λευκανὸς, δωρίζων τῇ φωνῇ· « Ἐπεὶ δ' ἐν τῷ περίπαντι τὸ *μὲν γένεσις*, τὸ δὲ αἰτία *γενέσιος* » κτλ. καὶ Φιλόλαος ὁ Πυθαγορικὸς « Κόσμον (εἶπεν) ἦμεν ἐνέργειαν, Θεῶ τε καὶ *γενέσιος* » κτλ. καὶ Πυθαγόρας αὐτὸς, « *γένεσιν κόσμου* » (β)· ὅθεν καὶ οἱ περὶ τὸν Ἰάμβλιχον οὐκ αἰγυπτιάζοντες, ἀλλὰ μᾶλλον πλατωνίζοντες καὶ πυθαγορίζοντες, εἶπον κἀκεῖνοι *γένεσιν κόσμου*. Τὴν αὐτὴν φράσιν, ὡς ἔκπαλαι συνήθη παρ' Ἕλλησι, μετεχειρίσθησαν καὶ οἱ Ο. Καὶ κινδυνεύουσιν ἄρα (κατὰ τὴν Ὀδιακὴν μέθοδον) οὐ μᾶλλον Αἰγύπτιοι φαίνεσθαι διὰ ταύτην, ἢ Κεκροπίδαι, Πλάτωνος ὁμόγνιοι, κεραμεύοντες τὰς λέξεις ἐκ τῆς *ἀττικῆς κωλιάδος*· ἢ γοῦν Σάμιοι (καθὼς ὁ Πυθαγόρας), καὶ Λευκανοὶ καὶ Σταγειρῖται τινες (ὡς Ὤκελλος καὶ Ἀριστοτέλης)· καὶ τέλος, Ἡσιόδου συγγενεῖς· ἐπειδὴ καὶ ὁ Ἀσκραῖος ποιητὴς εἶπεν, ὅτι « *πρώτιστα χάος γένετο* ». Εἶπε δὲ καὶ Ὅμηρος, « Ὠκεανὸν Θεῶν *γένεσιν* (Ἰλ. ξ, 201), καὶ πάλιν (246) « *γένεσιν* πάντεσσι » (τουτ. γενάρχην, γενέσεως ἀρχήν· ὅπερ ὁ κλεινὸς

(α) Πλάτ. Τιμ. σελ. 27, 29, 48, κτλ. πρβλ. Sturz. Dial. Maced. p. 99.

(β) Παρὰ Στοβ. Ἐκλογ. φυσικ. Α. κδ. σελ. 44, 45. πρβλ. Demagistr. l. c. p. 528.

Μενάγιος παραδόξως ἤθελε διορθοῦν εἰς τὸ *γενέτην*! Σημειώσ. εἰς Λαέρτ. γ, 75). Ἀλλ᾽ ἀφέντες ταῦτα, λέγομεν, ὅτι *κτίσιν* κόσμου ἔλεγον καὶ οἱ Αἰγύπτιοι (α), μᾶλλον ἑβραΐζοντες· Εἶπον καὶ αὐτοὶ οἱ Ο, «αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν» (ψαλμ. λϐ, 10: πη, 12. πρβ. καὶ Ἀποκαλ. δ, 11). Ὡσαύτως καὶ Ἀκύλας καὶ οἱ λοιποὶ, καὶ αὐτὸς Ἰώσηπος, ἔγραψαν· «Ἐν ἀρχῇ *ἔκτισεν* ὁ Θεὸς» κτλ. (ϐ). Σὺ δὲ σημείωσαι, ἀναγνῶστα, ὅτι οὐ μόνον ἐν τῇ ἐπιγραφῇ τοῦ τεύχους (ὡς εἶπεν Ὅδιος) κεῖται ἡ λέξις *Γένεσις*, ἀλλὰ καὶ ἐν τῷ κειμένῳ. «βίϐλος *γενέσεως* οὐρανοῦ καὶ γῆς» (Γενέσ. β, 4. ε, 1. ὅπου καὶ τὸ ἑϐραϊκὸν Toledoth γενέσεις σημαίνει καὶ γενεάς). Ὅθεν καὶ τὸ τεῦχος *Γένεσιν* ἐπέγραψαν. Αὐτοῦ δὲ τοῦ ἑϐραϊκοῦ ἡ ἐπιγραφὴ (titulus Hebraicus) οὐ *Κτίσις* ἐστι (κατὰ τὸν Ὅδιον), ἀλλ᾽ ἡ πρώτη τοῦ πρώτου κεφαλαίου λέξις, ἡ, «*Ἐν ἀρχῇ*» (Beresith) (γ).

---

(α) «Τὴν τοῦ δημιουργοῦ κτίσιν» (Ποίμανδρ.). Βλ. Demagistr. p. 529.

(ϐ) Ὁ δὲ συγγραφεὺς τῶν Κλημεντίων «Γένεσιν κόσμου» λέγει πολλαχοῦ, (ἐκ τῶν Ο, πάντως παραλαϐών). βλ. Ὁμιλ. ς, §. 3, κτλ. Ἐκ δὲ τούτου καὶ Μοσχέμιος Ἀλεξανδρινὸν Ἰουδαῖον αὐτὸν ἐπεχείρησεν ἀποδεῖξαι, προσθεὶς, ὅτι «Καὶ Ὅδιος ὁ μέγας ἀνὴρ τοῦτο (τὸ γνώρισμα) παρετήρησε» (Moshem. Dissert. ad Histor. Eccles. vol. I. p. 176). Ἀλλ᾽ οὕτως ὁ Μοσχέμιος ἠδύνατο ῥᾳδίως καὶ πάντας τοὺς τῇ λέξει Γένεσις χρησαμένους ἀρχαίους Πατέρας τῆς Ἐκκλησίας Ἀλεξανδρινοὺς ἀποφῆναι, καὶ αὐτὸν τὸν Ῥώμης Κλήμεντα, διότι κἀκεῖνος εἶπε παλιγγενεσίαν (Α. ἐπιστ. Κορινθ. πρβλ. Ματθ. ιθ, 28: τουτ. πάλιν γένεσιν, ὡς τὸ, πάλιν γενέσθαι· Ἰὼϐ, ιδ, 14). Ὁ συγγραφεὺς τῶν Κλημεντίων εἶπε καὶ «ὁ Θεὸς ἔκτισε τὰ σύμπαντα» (Ὁμιλ. ζ, §. 1)· μήπως διὰ τοῦτο πάλιν ὑπῆρχεν Ἰεροσολυμίτης;

(γ) Καὶ τῶν ἄλλων τῆς Πεντατεύχου βιϐλίων αἱ ἐπιγραφαὶ παρ᾽ Ἑϐραίοις κεῖνται παρομοίως ἐκ τῶν πρώτων λέξεων ἑκάστου τεύχους· οἷον τῆς Ἐξόδου Veelle Semoth (Καὶ ταῦτα τὰ ὀνόματα). Τοῦ Λευϊτικοῦ, Vaicra (Καὶ ἐκάλεσε). Τῶν Ἀριθμῶν, Vajedabber (Καὶ ἐλάλησε). Τοῦ Δευτερονομίου, Elle Hadebarim (Οὗτοι οἱ λόγοι). Βλ. Ὠριγέν. παρ᾽ Εὐσεϐ. Ἐκκλ. ἱστορ. ς, κε. (πρϐλ. καὶ τῶν νεωτέρων κριτικῶν τὰς σημειώσεις, εἰς ἕκαστον βιϐλίον τῆς Πεντατεύχου). Καὶ ὅτι μὲν αἱ ἐπιγραφαὶ αὗται οὐκ εἰσὶ τοῦ Μωϋσέως, παλαιαὶ δὲ ὅμως, ὑπὸ τῶν Ἑϐραίων εἰς διάκρισιν τῶν τευχῶν ἐπιγραφεῖσαι, δῆλον αὐτόθεν. (Εἰς τὸν Ἔσδραν τινὲς ἐξ εἰκασίας ἀπονέμουσι καὶ τὴν εἰς πέντε βιϐλία διαίρεσιν τῆς Πεντατεύχου, καὶ τὰς τούτων ἐπιγραφάς· ἀλλ᾽ ἄπορον, εἰ μέχρι τοῦ Ἔσδρα ὁ Μωσαϊκὸς νόμος ὑπῆρχεν ἐν χρήσει, παντάπασιν εἰς τεύχη ἀδιαίρετος. (Βλ. Horne, An Introduction etc. vol. 2. p. 1. pag. 68. πρϐλ. ἑφεξῆς κεφ. Ζ. §. 25). Οἱ δὲ Ο, ὅπως

8) *Κατὰ ἀριθμὸν* ΑΓΓΕΛΩΝ ΘΕΟΥ, ἀντὶ τοῦ ἑβραϊκοῦ κατὰ ἀριθμὸν *υἱῶν Ἰσραὴλ* (Δευτερ. λβ. 8). Περὶ τούτου λέγομεν ἐν τοῖς ἑπομένοις (κεφ. ε. §. ιδ), ὅπου πλατύτερον ὁ κριτικὸς ἀπο-

---

*μὲν ἀνέγνωσαν ἐν τῷ κειμένῳ, ἄδηλον· αὐτοὶ δὲ, τὸ μὲν* Γένεσις *ἐπέγραψαν ἐκ τοῦ* Γενέσ. Β. 4. *(ὡς εἴπομεν ἀνωτέρω).* Ὡσαύτως *καὶ τὸ* Δευτερονόμιον *ἐκ τοῦ* Δευτερ. ιζ, 18· *καὶ τὸ* Ἀριθμοὶ *ἐκ τοῦ* Ἀριθμ. α, 2. Τὸ δὲ Λευϊτικὸν *ἰδίως ἐπέγραψαν, ὡς νομοθετοῦν τὰ καθήκοντα τῶν ἐκ τῆς* Λευϊτικῆς *φυλῆς ἱερέων.* Καὶ, *τέλος, τὸ* Ἔξοδος *ἐκ τῶν ἐν* Ἐξόδ. *ιβ,* 41, *κτλ.* (Ὅθεν καὶ Ψαλμ. ριγ, 1. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, *αὐτοὶ οἱ* Ο, *ἔγραψαν).* Ἀμφιβάλλουσί *τινες, εἰ καὶ τὰς ἐπιγραφὰς τῶν βιβλίων ἐπέγραψαν οἱ* Ο. Ἡ Γένεσις *(λέγουσιν) ἐν τῷ* Ἀλεξανδρινῷ *κώδηκι ἐπιγέγραπται* Γένεσις κόσμου. Τὸ δὲ *κόσμος ἐπὶ τῆς συνήθους σημασίας* τοῦ συστήματος τῶν ὄντων, *οὐχ εὑρίσκεται ἐν τοῖς κανονικοῖς βιβλίοις τῆς* Γραφῆς. (Βλ. Thiersch. de Pentat. vers. Alexandr. p. 79). *Ἀλλὰ πρῶτον μὲν, οὐδ᾽ εἰς τὴν ἀρχαίαν ἑβραϊκὴν εὑρίσκεται λέξις ἀντιστοιχοῦσα πρὸς τὸ* κόσμος, *κατὰ τὴν εἰρημένην αὐτοῦ σημασίαν* (Thiersch l. c.). *Ἔπειτα, τὸ* Βατικανὸν *ἀπόγραφον τῶν* Ο, *ἔχει μόνον* Γένεσις *ἁπλῶς τὴν ἐπιγραφήν· ὡς καὶ* Ἔξοδος, *κτλ.* Τὸ δ᾽ Ἀλεξανδρινὸν *ἀπόγραφον ἔχει καὶ ὧδε,* Ἔξοδος Αἰγύπτου· *καὶ πάλιν ἐν τῷ τέλει τοῦ τεύχους,* « Ἔξοδος τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου. Ὥστε *καὶ ταῦτα πρὸς τῷ* Ἔξοδος, *καὶ τὸ* Κόσμου *πρὸς τῷ* Γένεσις *φαίνονται ἐν τῷ* Ἀλεξανδρινῷ *κώδηκι προσθῆκαι μεταγενέστεραι τῶν* Ο. Μαρτυρεῖ δὲ *καὶ* Φίλων *(περὶ* Κόσμ. Τ. 2. *σελ.* 610), « *Εἰσὶ δὲ πέντε (αἱ ἱεραὶ βίβλοι τοῦ* Μωσέως), *ὧν τὴν πρώτην ἐπέγραψε* Γένεσιν » *(ἀπονέμει δηλονότι τὰ τῶν* Ο, *εἰς αὐτὸν τὸν* Μωϋσῆν *διὰ τὴν τῆς ἑρμηνείας πρὸς τὸ πρωτότυπον ἰσότητα· ὅθεν καὶ τῶν νεωτέρων ἄνδρες ἐπίσημοι τὰς ἁπλᾶς τῶν βιβλίων ἐπιγραφὰς ἀπεδέξαντο ὁμαλῶς ὡς ὑπὸ τῶν* Ο. (Βλ. Drusij. not. major. Vatable, Cartwright, Clarij Annot. ad Genes. ll, 4. ad Exod. etc. *πρβλ. καὶ* Rosenmüll. Schol. h. l.). Ὁ δ᾽ Ἀρχιραββῖνος Φράγκελος (l. c. p. 41 *καὶ* 219), *ψέγων τὴν κατὰ τοὺς* Ο, *σειρὰν καὶ διάταξιν τῶν βιβλίων τῆς* Γραφῆς, *ὡς ἔργον ἐκκλησιαστικῶν τινων* Πατέρων ! *(βλ. ἐφεξῆς κεφ.* Ζ), *θέλει καὶ τὴν* Γένεσιν, *καὶ τὰς ἄλλας τούτων ἐπιγραφὰς ὑπό τινων ἄλλων πολὺ μετὰ τοὺς* Ο, *προστεθειμένας.* Ἀλλ᾽ *ὤφειλεν ὁ ἀνὴρ καὶ ὀνομαστὶ διορίσαι τούτους δὴ τοὺς ἄλλους, ἢ καὶ τοὺς πρὸ τοῦ* Φίλωνος Πατέρας, *(ἂν καὶ ὧδε τοὺς* Πατέρας *ἐννοῇ), καὶ πῶς μέχρι τῶν ἄλλων τούτων ἐπεγράφοντο τὰ τεύχη· ἐκ ποίας δ᾽ ἐπωνυμίας ἐγνωρίζοντο καὶ παρ᾽ αὐτοῖς αὐτοῦ τοῖς ἀρχαίοις προγόνοις ἑλληνισταῖς, οἵτινες καὶ πρὸ* Χριστοῦ Σωτῆρος *ἀνεγίνωσκον τὴν ἑρμηνείαν τῶν* Ο, *(ἢ μήπως ἀνωνόμαστα καὶ τότε περιεφέροντο ;)* Ἴσως *δ᾽ ἂν μᾶλλον ἔπραττεν ὁ ῥαββῖνος τὰ ἑαυτοῦ, εἴ γε πρῶτον ὥριζεν ἀκριβῶς, τίς ὁ πρῶτος ἐπιγράψας εἰς τὰ τεύχη τὰ ἑβραϊκὰ ἃς φέρουσι καὶ νῦν ἐπιγραφὰς, καὶ εἴπερ εἶχον τὰς αὐτὰς καὶ ἐπὶ τῶν* Ο, *καὶ ἐπὶ* Ἔσδρα, *καὶ τούτου πρότερον.* Ἀλλ᾽, *ὡς ἔοικεν, ὁ* Φράγκελος *παρεῖδε ταῦτα τὰ οἰκεῖα, ὡς πασιφανῆ καὶ πανομολόγητα !*

δείξει τοὺς Ἰουδαίους παρ᾽ Αἰγυπτίων δεδανεισμένους τὴν περὶ τῶν ἐφόρων ἀγγέλων δοξασίαν. Εἰ δὲ καὶ προδιέβαλεν ἐνταῦθα τοὺς ἑρμηνεῖς, ὡς διαφθείραντας καὶ τὸ θεῖον κείμενον κατὰ *χάριν τῶν ἐθνικῶν Αἰγυπτίων*, οὐδὲν, ἢ ὀλίγον ἡ κρίσις αὕτη διαφέρει τῆς ἀνωτέρω, δι᾽ ἧς κατεδίκασε τοὺς αὐτοὺς, ὅτι καὶ τὸ Θουμμὶμ ἐξελλήνισαν *ἀλήθειαν*, ἀποβλέποντες πρὸς τὴν εἰδωλικὴν Ἀλήθειαν τῶν Αἰγυπτίων! Καὶ ταῦτα, τοῦ Ἰωσήπου μέγα βοῶντος (συνεπιμαρτυροῦντος δὲ καὶ τοῦ Ἑκαταίου), ὅτι «καὶ σωτηρίας, καὶ πατρίδος, νόμων φυλακὴν καὶ τὴν πρὸς Θεὸν εὐσέβειαν ἀεὶ προτιμῶσιν οἱ Ἰουδαῖοι» (α). Πλὴν ἀλλ᾽ ἐν τούτοις φαίνεταί πως καὶ πρὸς ἑαυτὸν ἀντιπαλαίων ὁ κριτικός. Εἴπερ οἱ ἑρμηνεῖς ἐφιλοπόνουν τὴν ἑρμηνείαν μόνον διὰ τοὺς ἰδίους αὐτῶν ὁμογενεῖς πρὸς χρῆσιν ἰδιωτικὴν (ὡς διατείνεται πανταχοῦ σχεδὸν τῆς συγγραφῆς), καὶ μήτε διὰ τὴν Πτολεμαίου βιβλιοθήκην, μήτε πάντως εἰς χρῆσιν τῶν δυσμενεστάτων τοῖς Ἰουδαίοις Αἰγυπτίων, πῶς πάλιν οἱ ἑρμηνεῖς οὗτοι, Αἰγυπτίοις ἀρεσκεύοντες καὶ χαριζόμενοι, μετεφύτευον ἓν τῶν παρ᾽ ἐκείνοις βεβήλων δογμάτων εἰς Ἰουδαϊκῶν νομίμων συγγραφὴν, ἣν οὐδέποτ᾽ ἂν οὐδὲ προσιδεῖν ἠξίωσε θρῆσκος Αἰγύπτιος ἀνήρ; Ἢ μήπως ὀλίγας ἐπλήρωσε σελίδας ἐν τοῖς προηγουμένοις ὁ κριτικὸς, ἄγνωστον παντάπασιν ἀποδεικνύων τὴν Ἑλληνικὴν μετάφρασιν ἄλλοις τε παντοίοις καὶ τοῖς Αἰγυπτίοις ἐθνικοῖς; Καὶ τοῦτο δὲ προσσεσημειώσθω· ὅτι ὁ σοφὸς Ὅδιος δύω τάξας τὰς αἰτίας τῆς, περὶ ἧς ὁ λόγος, κατὰ τοὺς Ο, γραφῆς (ἢ τὸ τοῖς Αἰγυπτίοις αὐτοὺς χαρίσασθαι, ἢ τὸ ἐξ ἡμαρτημένου ἀντιγράφου μεθηρμηνεῦσαι), ἀτελῆ πεποίηκε τὴν ἀπαρίθμησιν τῶν αἰτιῶν τῆς διαφορᾶς· ὤφειλε γὰρ προσθεῖναι καὶ τρίτην, τὴν διαφθορὰν τοῦ χωρίου κατὰ τὸ σημερινὸν κείμενον τὸ ἑβραϊκόν.

9) ΡΕΜΦΑΝ, ἢ Ῥεφὰν, καὶ Ῥαιφὰν, ἀντιγράφων μικραὶ διαφοραὶ, μηδὲν παραβλάπτουσαι τὴν σημασίαν τῆς φωνῆς (παρὰ Κόπταις γράφεται *Ῥηφὰν*, ἔν τισι δὲ λίθων γλυφαῖς εὕρηται *Ῥιμφέ*).

(α) Ἰώσ. κ. Ἀπίων. α, 22, πρβλ. Φίλων. τ. β. σελ. 557, Mang.

Τὸ δὲ καθ' ἡμᾶς ἐν τῷ ἑβραϊκῷ κειμένῳ *Κιοὺν*, ἢ *Κιΐοὺν*, ὅτι παλαιόθεν ὑπάρχει διεφθαρμένη καὶ κατάστρεβλος ἀνάγνωσις καὶ γραφὴ, καὶ ὅτι ἀντ' αὐτῆς ἀντικαταστέον τὸ Ῥεφὰν (ὡς ἔχουσι καὶ οἱ Ο), ἐδίδαξε σαφῶς ὁ κλεινὸς Οὐόσσιος, καὶ ἄλλοι μετ' αὐτοῦ (δηλοῖ δὲ τὸ Ῥεμφὰν παρ' Αἰγυπτίοις τὸν Κρόνον, ἢ, κατ' ἄλλους, *οὐρανοῦ βασιλέα*, τὸν ἥλιον) (α). Ὀρθῶς δὲ καὶ αὐτὸς Ὅδιος ἐξήλεγξε τὸ Δρουσίου πάντολμον θράσος σελ. 178). Ἀλλ' ὤφειλεν ὁ εὐκλεὴς ἀρχιδιάκονος, ἵνα καί τι γοῦν ἐκ τούτου κερδάνῃ, διδάσκοντος, «ὅτι τὸ Kiun, καὶ ἄλλως ἀναγινωσκόμενον Kevan, ἐτράπη εἰς τὸ Revan, ἢ Ῥεφὰν, διὰ τὴν ὁμοίωσιν τοῦ ἑβρ. ἀρκτικοῦ K (Caph), πρὸς τὸ P (Resch), τοῦτο ἀντ' ἐκείνου» (τἀνάπαλιν· μᾶλλον τὸ K, ἀντὶ P), «γράψαντος τοῦ ἑβραίου μεταγραφέως» (β). Ὤφειλε πρὸς τούτοις, ἵνα κἀκεῖνο ἐνθυμηθῇ τὸ ἐν Δ. Βασιλ. ε, 18. «εἰς οἶκον Ῥεμμὰν» (ἀντὶ Ῥεμφὰν, κατὰ τὴν ἐν πολλαῖς διαλέκτοις συνήθη τροπὴν τοῦ β, ἢ φ, εἰς μ), ὅπερ ἔχει καὶ τὸ σημερινὸν ἑβραϊ-

---

(α) Jablonsky de Rempha Aegyptior. Deo, Lips. 1731. καὶ in Opuscul. Tom. 1. p. 230. καὶ Tom. 2. p. 372. ὅπου παράγει τὴν λέξιν ἐκ τοῦ Κοπτικοῦ Ου ρ ω (κύριος) καὶ φα (οὐρανὸς). πρβλ. Schulz Schol. in V. Test. vol. 7. pag. 246.— Sturz. Dial. Maced. p. 92.— Schleusn. Lex. N. T. καὶ Thes. V. T. λ. Ῥεμφάν — Demagistr. p. 530. Ἀλλ' Ἀθανάσιος ὁ Κίρχερος Rephan (λέγει) καλοῦσι τὸν Κρόνον οἱ Κόπται καὶ τὴν σήμερον, (βλ. Stanlej. Histor. Philos. p. 1156). Ὁ δὲ μακάριος Ἱερώνυμος, Κ ι ο ὺ ν καὶ αὐτὸς ἀναγνοὺς, ὡς ἔχει (λέγει) καὶ Ἀκύλας καὶ Σύμμαχος, (ὁ δὲ Θεοδοτίων ἡρμήνευσεν ἀ μ α ύ ρ ω σ ι ν), ἐν μὲν τῷ κειμένῳ παρέλιπε τὴν λέξιν παντάπασι, γράψας μόνον Sidus Dei vestri, (οὕτω καὶ ἡ Βουλγάτα) «τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν». (Hieron. Tom. 3. p. 176. Paris 1609). Ἐν δὲ τῷ ὑπομνήματι ἐξηγεῖ τὸ Κιοὺν, ἑ ω σ φ ό ρ ο ν! προστιθεὶς καὶ ὡς γενικὸν ἐ ν π ά σ α ι ς τ α ῖ ς ἁ γ ί α ι ς Γ ρ α φ α ῖ ς τὸ ἐφεξῆς παρατήρημα, «Ὅτι οἱ Ἀπόστολοι τιθέντες μαρτυρίας ἐκ τῆς Παλαιᾶς Διαθήκης οὐ τὰς λέξεις αὐτὰς, ἀλλὰ τὴν ἔννοιαν ἀποβλέπουσι» (ibid. p. 177). ὡσανεὶ οἱ Ο, ἀντὶ Κ ι ο ὺ ν γράψαντες Ῥ ε μ φ ά ν, ἀπέδωκαν τὸ νόημα δι' ἄλλης τινος λέξεως ἑλληνικῆς! ἢ ὡς ἂν εἴπερ ἠπίστατο βεβαίως καὶ αὐτὸς ὁ θεῖος πατὴρ, ποῖον τὸ νόημα τοῦ Κ ι ο ὺ ν, καὶ ποῖον τὸ τοῦ Ῥ ε μ φ ά ν!

(β) Βλ. Drusij annot. ad Amos. ε, 26: πρβλ. Liveleum. ibid. καὶ Grot. ibid. καὶ εἰς Πράξ. ζ. 43· καί L. Cappell. αὐτόθ. ὅστις φαίνεται προτιμῶν τὸ Ῥεφὰν, φέρων καὶ ἐκ Διοδώρου (βιβ. α, §. 62) Αἰγυπτίου βασιλέως ὄνομα Ῥέμφις.

κὸν (οὐχὶ Kevan, ἢ Kiun). Τοῦτο δὲ, καὶ Γρότιος ἐσημείωσεν. Ἐκ δὲ τούτου βεβαιοῦται καὶ ἡ ἐν Ἀμὼς ε, 26, ὀρθὴ γραφὴ τοῦ *Ῥεμφάν*. Κατὰ ταῦτα τοίνυν ὤφειλε καὶ Ὅδιος, ἵνα καὶ αὐτὸς τοῖς ἑαυτοῦ νόθοις λογισμοῖς χαίρειν εἰπὼν, ἀποδεχθῇ τὴν παρὰ τοῖς Ο, γνησίαν φωνὴν, καθὼς αὐτὴν ἐξέφερε καὶ τὸ θεόπνευστον στόμα Στεφάνου τοῦ πρωτομάρτυρος πρὸς τὸ μέγα τῶν Ἰουδαίων συνέδριον, οὐκ Αἰγυπτίου πρὸς Αἰγυπτίους ἀγορεύοντος, ἀλλ' Ἱεροσολυμίτου πρὸς Ἱεροσολυμίτας, οἵτινες ὡσαύτως τότε κἀκεῖνοι πάντως ἀνεγίνωσκον τὴν λέξιν ἐν τῷ ἑβραϊκῷ.— «Φεῦ» (ἔλεγεν Οὐόσσιος αὐτόθι) « εἰς τοιοῦτον αἰῶνα ζῶμεν· καθ' ὃν πολλοὶ προτιμῶσιν ὡς πιστοτέρους τοὺς Ἰουδαίους βιβλιογράφους παρὰ τὸ θεῖον κῦρος τοῦ Στεφάνου καὶ Λουκᾶ τοῦ Εὐαγγελιστοῦ! καὶ τούτους μᾶλλον σφαλέντας κρίνουσιν, ὅπως μὴ ὁμολογήσωσι πλανηθεῖσαν περὶ τὸ γράφειν Ἰουδαίου χεῖρα μεταγραφέως ».

10) ΑΡΤΑΒΗ. Ἀρτάβας ὅλας ἐπῶν ἐμέτρησεν ἡμῖν περὶ τῆς ἀρτάβης ὁ *ψευδαρτάβας οὑτοσὶ* (τὸ τοῦ κωμικοῦ)! Ἀλλ' εἴπερ ὁ τοῦ Ἡσαΐου μεταφραστὴς (*ἕνα* τοῦτον ὁ Δόκτωρ θέλει, καὶ *μόνον*, καθὼς καὶ ἄλλον ἄλλου τινὸς τεύχους τῆς Γραφῆς, ὡς εἶπε πολλάκις καὶ ἀλλαχοῦ, καὶ πλατύτερον ἐν τοῖς ἐφεξῆς), εἴπερ ἐκεῖνος ἦν Αἰγύπτιος, διότι τὸ ἑβρ. *Γομὲρ* ἔγραψεν *ἀρτάβην*, πάντες ἄρα οἱ λοιποὶ μεταφρασταὶ γράψαντες αὐτὸ τὸ *Γομὲρ* ἀλλαχοῦ πολλαχοῦ (Ἐξόδ. ις. 16, 18, κτλ. Ἰεζ. με, 11: Ὠσ. γ. 2) ἦσαν Ἱεροσολυμῖται! Ἀλλὰ περὶ τῶν τοιούτων παραδοξασμάτων, καὶ ἐν τοῖς ἐφεξῆς. Αὐτὴν δὲ τὴν Ἀρτάβην λίαν ἡμαρτημένως Ὅδιος ὑπέλαβεν ὄνομα καὶ μέτρον κυρίως Αἰγύπτιον, ἀντειπὼν καὶ πρὸς τοὺς ἄλλους καὶ πρὸς αὐτὸν Ἡρόδοτον, ὡρισμένως λέγοντα τὸ μέτρον *Περσικόν*. Καθὼς δὲ μετῆλθε τὸ μέτρον εἰς τοὺς Βαβυλωνίους καὶ Χαλδαίους ἀπὸ τῶν ἐπικρατησάντων Περσῶν (ὡς αὐτὸς Ὅδιος ὡμολόγησεν), οὕτω μετέβη μὲν καὶ εἰς Αἰγυπτίους (οἵτινες ἔλεγον τὴν λέξιν *Ἐρτώβ*) (α), μετέβη δὲ καὶ εἰς τοὺς Σύρους καὶ

(α) Βλ. Sturz. Dial. Macedon. p. 87 καὶ τοὺς παρ' αὐτῷ μνημονευομένους νεωτέρους συγγραφεῖς.

τοὺς Παλαιστινούς. Καὶ μάρτυς ἡ παρ᾽ Ἰωσήπῳ τοῦ Κύρου πρὸς τοὺς ἐν Συρίᾳ σατράπας ἐπιστολή, ὅπου μνημονεύεται τὸ μέτρον, « Συγχωρῶ (τοῖς Ἰουδαίοις) πυρῶν *ἀρτάβας* 2500 » (α). Εἰ δὲ καὶ οἱ σατράπαι, πρὸς οὓς ἔγραφεν, ἦσαν Πέρσαι, ἀλλ᾽ οἱ τὴν χάριν λαμβάνοντες ἦσαν Ἰουδαῖοι, Συρίας κάτοικοι· (καὶ πάντως ᾔδεσαν τὸ μέτρον, δι᾽ οὗ περ ἐμετρεῖτο τ᾽ *ἄλφιτα σφίσι καὶ τοῖς παιδίοις!* ). Ὥστε καὶ ἀπὸ τῶν Κύρου χρόνων ἔτι τὴν λέξιν ἐγνώριζον οἱ ἐν Ἰουδαίᾳ (ὡς ἰσοδύναμον τοῦ Γομὲρ), παρ᾽ αὐτῶν ἀκούσαντες τῶν Περσῶν. Μὴ γὰρ οὐκ ἐπεστράτευσαν καὶ Σύροις καὶ Παλαιστινοῖς αὐτοῖς, καθὰ καὶ τοῖς Χαλδαίοις, οἱ Πέρσαι; Τῶν δὲ πάλιν εἰς Βαβυλῶνα μετῳκισμένων μυριάδων Ἑβραίων μήπως ὀλίγοι τινες ἐπανῆλθον εἰς Παλαιστίνην, συνεπαγόμενοι καὶ τὴν φωνὴν καὶ τὴν ἔννοιαν τῆς ἀρτάβης; Οἱ δὲ, τέλος, τῆς Συρίας τὸ πρῶτον βασιλεύσαντες Μακεδόνες μῶν οὐκ ἠδύναντο δανείσασθαι τὸ μέτρον καὶ τὴν φωνὴν καὶ παρ᾽ αὐτῶν (ὡς Ὅδιος θέλει) τῶν γεννητόρων αὐτῆς Αἰγυπτίων, καθὼς αὐτὴν ἐδανείσαντο καὶ οἱ κατ᾽ Αἴγυπτον ὁμόφυλοι καὶ συγγενεῖς αὐτῶν, οἱ Ἀλεξανδρεῖς; — Οὐδεὶς (λέγει) τῶν Ἑλλήνων ἔγραψε τὴν λέξιν, εἰ μὴ μόνον ἐν οἷς ὁ λόγος ὑπῆρχε περὶ Περσικῶν, ἢ Αἰγυπτίων πραγμάτων (ὡς παρ᾽ ἐκείνοις δηλονότι τοῦ μέτρου συνειθισμένου!) — Καὶ ὅμως ἔγραψαν οἱ Ἕλληνες τὴν λέξιν (περὶ λέξεως γὰρ ὁ λόγος), πολλῷ χρόνῳ καὶ πρὸ τῶν Ο, καὶ πρὸ τοῦ Ἀλεξάνδρου! Ἔπειτα, μήπως πάλιν οἱ Ο, μετεχειρίσθησαν τὴν φωνὴν ἐπὶ Δωρικῶν τινων πραγμάτων, ἢ Ἀττικῶν; οὐχὶ δὲ περὶ Ἰουδαϊκῶν, παρ᾽ οἷς τὸ μέτρον ὑπῆρχε τότε γνωστὸν οὐχ ἧττον, ἢ παρὰ Πέρσαις καὶ Αἰγυπτίοις; Ἢ μήπως Ἀθηναῖοι μὲν καὶ Ἴωνες, ἐπ᾽ Ἀριστοφάνους καὶ Ἡροδότου, καίτοι μὴ ἔχοντες τὴν χρῆσιν τῆς Περσικῆς καὶ Αἰγυπτίας ἀρτάβης, ἀλλ᾽ ὅμως ἐγνώριζον καὶ τ᾽ ὄνομα καὶ τὸ μέτρον· ὡσαύτως ὕστερον καὶ Ἡρακλεῶται, καὶ Ῥόδιοι (Διόδωρ. Κ. 96), καὶ

---

(α) Ἰώσηπ. Ἀρχ. ια, α. 3. πρβλ. Ἔσδρ. Α. ς. 27—30. Ὀρθῶς λοιπὸν ὁ Γόλιος εἶπε τὴν ἀρτάβην καὶ Σύρων μέτρον (βλ. ὄπισθεν σελ. 179).

ἄλλοι Ἕλληνες· καὶ τὸ πρᾶγμα πρόδηλον· (ὅ,τε γὰρ Μέμνων τὰ τῆς Ἡρακλείας ἱστορῶν, καὶ Πολύβιος δὲ καὶ Διόδωρος κοινὸν τοῖς Ἕλλησιν ἀνάγνωσμα προτιθέντες τὰς ἑαυτῶν συγγραφὰς, ἐμνημόνευσαν τὸ μέτρον ὡς γνωςὸν, μηδεμίαν ἐξήγησιν ἐπενεγκόντες) (α). Σύροι δὲ καὶ Φοίνικες καὶ Ἰουδαῖοι, Περσῶν καὶ Αἰγυπτίων ἔκπαλαι συνήθεις καὶ γνωριμότατοι, μηδ᾽ ἐπ᾽ αὐτῶν τῶν Ἀλεξάνδρου διαδόχων ἐγνώριζον τὴν ἀρτάβην; Οὐκ ἦν (λέγει) τὸ μέτρον ἐν χρήσει παρὰ τοῖς Ἀττικοῖς! ἀλλ᾽ οὐδὲ *σατράπας*, ὦ φίλ᾽ Ὄδιε, εἶχον οἱ Ἕλληνες, οὐδ᾽ *ἀγγάρους*, ἢ *παρασάγγας*, οὐδ᾽ *ἀχάνας* περσικὰς (ὅπερ εἶπεν Ἀριστοφάνης ἐπὶ θεάτρου, καθὸ γνωστὸν καὶ ἰσοδύναμον τοῦ *ἀρτάβῃ*. Ἀχαρν. ςίχ. 108), οὐδ᾽ *ἐλέφαντας* καὶ *καμήλους*· ἀλλ᾽ οὐδὲ *τιάραν* ἐφόρουν, ἢ *κίδαριν*, ἢ *ἀναξυρίδας*, καὶ *ἀκινάκην*· καὶ ὅμως οὐδεὶς εἶπε Πέρσας τὸν Αἰσχύλον, ἢ τὸν Ἡρόδοτον καὶ τὸν Ξενοφῶντα, διότι καὶ ταῦτα τὰ περσικὰ πολιτείας ἠξίωσαν ἑλληνικῆς, ὡς ἤδη γνωστὰ γενόμενα διὰ τὴν ἐπιμιξίαν τῶν ἐθνῶν. Ἀλλὰ παύομεν, μήπως δόξωμεν καὶ ἡμεῖς ἀρτάβας ὅλας πρὸς ἀπάντησιν ἀντιμετροῦντες. Ἓν ἔτι μόνον προστίθεμεν ὡς ἐπίμετρον, ὅτι καὶ Ἀριστοτέλης (ὃς ἔλαθε τὸν Ὄδιον), ἐν οἷς *περὶ Οἰκονομίας* ἐδίδαξε τοὺς Ἕλληνας, μνημονεύει καὶ τῆς ἀρτάβης ὡς γνωστῆς· « Τοῦ σίτου τε πωλουμένου » (ἐκέλευσεν ὁ Αἰγύπτιος Ταὼς, κατὰ συμβουλὴν Χαβρίου τοῦ Ἀθηναίου) « διδόναι *ἀπὸ τῆς ἀρτάβης* ὀβολόν » (β).

11) ΠΑΠΥΡΟΣ. Αἰγύπτιον ἀπέδειξε καὶ τοῦτο ὁ κριτικὸς, πολλὰ καὶ καλὰ προσφιλολογήσας· « *Μεγάλα χάρις αὐτῷ* ». Ὁ δὲ Φρύνιχος ὁ ἡμέτερος λίαν εὐλαβῶς καὶ δειλῶς εἴκασε περὶ τούτου (γ). Καὶ τοὺς ἑρμηνεῖς αὐστηρῶς ἐξήλεγξεν ὁ Δόκτωρ οὐ μό-

---

(α) Καὶ ὁ Πολυδεύκης ἀριθμῶν τὰ μέτρα τὰ Ἑλληνικὰ, συναριθμεῖ καὶ τὴν ἀρτάβην (Δ. κγ, 2).

(β) Ἀριστ. Οἰκονομ. β. σελ. 394. τόμ. β. ἐκδ. Aurel. πρβλ. Sturz. l. c. p. 87.

(γ) «Πάπυρος· τοπάσειεν ἄν τις Αἰγύπτιον εἶναι τοὔνομα· πολὺ γὰρ κατ᾽ Αἴγυπτον πλάζεται» (τοῦτο, μηδὲν δέον, ὁ Pauw διώρθωσεν, ἢ μᾶλλον ἐστρέβλωσεν εἰς τὸ πλάττεται), « ἡμεῖς δὲ βίβλον ἐροῦμεν » (Φρύνιχ. σελ. 132. καὶ Sturz. l. c p. 93). Ὁ δὲ πάλιν ἀττικιστὴς Μοῖρις ἐσημείωσε καὶ τὴν παρ᾽ Ἀττικοῖς

νον Αἰγυπτίους, ὡς χρησαμένους τῇ φωνῇ, ἀλλὰ καὶ ἀμαθεῖς τοῦ ἐν Ἰὼβ (η, 11) ἀντιστοιχοῦντος ἑβραϊκοῦ ὀνόματος (Gome), ὅπερ οὐχὶ *πάπυρον*, ἀλλὰ *σχοῖνον* σημαίνει, κατὰ τὸν Ἱερώνυμον, ὡς καὶ τὸ Suf (Ἡσ. ιθ, 6). Ἀλλ' ὁ μὲν φερώνυμος οὗτος πατὴρ οὐ πάνυ τοι ἐχέγγυος περὶ τούτου φαίνεται μάρτυς. Ὁ γὰρ τὴν ἑβραϊκὴν διδάξας αὐτὸν ῥαββῖνος Βαραβανῖνος οὔτε τὴν ἑλληνικὴν, ἢ λατινικὴν ἠδύνατο γινώσκειν ἐντελῶς, καὶ αὐτὰς τὰς ἀρχαίας ἑβραϊκὰς φωνὰς (καὶ μάλιστα τὰς περὶ τὴν φυσικὴν ἱστορίαν) οὐκ ἂν εἶχεν οὕτως ἀκριβῶς διορίζειν, ὅσον οἱ χρόνους ὅλους 700, προτερήσαντες Ο. Αὐτίκα τὸ *Θίβην* (κιβωτὸν *ἐκ παπύρου*), ὡς ἔχουσιν οἱ Ο· (Ἐξόδ. β, 3, ὅπου τὸ ἑβρ. ἔχει Gome), ὁ μὲν Ἱερώνυμος ἡρμήνευσεν « *ἐκ σχοίνου* » (scirpeam), ὁ δ' ἑλληνικώτατος ἑβραῖος Ἰώσηπος ἔγραψε *βύβλινον*, ἤτοι *παπύρινον* (Ἀρχ. β, θ, 4)· γνωστὰ δὲ πολλαχόθεν τὰ παρ' Αἰγυπτίοις συνήθη « *βύβλινα*, ἢ *παπύρινα σκάφη* » (Πλούτ. περὶ Ἴσιδ. καὶ Ὀσίρ. §. 18). Ὅτι δὲ πάλιν τὸ πάπυρος παρ' Ἕλλησί τε καὶ Ῥωμαίοις σημαίνει καὶ τὸν φλοῦν, αὐτὸς Ὅδιος ὡμολόγησεν ἐκ τοῦ Στράβωνος καὶ τοῦ Σαλμασίου· ὁ δὲ φλοῦς (καὶ ἀττικ. φλέως) ταυτίζεται πολλάκις καὶ πρὸς τὸν σχοῖνον (α). Ὅθεν πάλιν εἶπον τὰ

---

*συνήθη ποσότητα τοῦ ῦ:* « Πάπυρος *μακρῶς, ἀττικῶς· βραχέως, ἑλληνικῶς* ». Ἡ *δὲ βύβλος, ἢ βίβλος, τίθεται μὲν καὶ ἐπὶ τοῦ παπύρου (ὅλου τοῦ φυτοῦ), σημαίνει δὲ ἰδίως καὶ τὸν ἐξ αὐτοῦ φλοιόν.* « *Ἐκ τῆς βύβλου ἱστία τε πλέκουσι, καὶ ψιάθους, καὶ σχοινία* » (*ὅθεν καὶ* « *β ύ β λ ι ν ο ν  ν έ ο ν  ὅ π λ ο ν* » Ὀδυσ. Φ. 391) « *καὶ ἄλλα πλείω· ἐμφανέστατα δὲ τοῖς ἔξω καὶ τὰ βιβλία* » (*Θεόφρ. ἱστ. φυτ. δ.* 9. *τουτ. αἱ ἐκ τοῦ παπυρίνου φλοιοῦ πρὸς γραφὴν τεμνόμεναι χάρται.* Ἀριστοτ. *προβλημ. ιϛ.*). Βλ. Spies de [papyr.] veter. art. 2. — Mantfauc. Palaeogr. Gr. p. 13. — Memoir. des Jnscript. T. X. 302. — Haneraw. Manuel. Bibliq. T. I. p. 311.

(α) Σχοῖνος (*λατιν.* juncus) *τὸ βροῦλον, ἢ βρύλλον, (ἰδιωτικῶς, ὡς καὶ ἐν τῇ συνηθείᾳ· βλ.* Τζέτζ. *εἰς* Λυκόφρ: 665. Σχολ. *Θεοκρ. α,* 53: Σχ. Πινδ. *κτλ. ἴσ. ἐκ τοῦ βρύω, βρύον*). Τὸ *δὲ βροῦλον τὸ αὐτὸ καὶ τὸ ἑλληνικώτερον ῥίψ, ῥιπὸς, καὶ αἰολ. ῥίπος (ὁ), καὶ (μετὰ διγάμματος), γ ρ ί π ο ς (ὁ)· ὅθεν πάλιν τὸ λατ. (μετὰ τοῦ συριστικοῦ σ)* scirpus (Fest.). Τὸ *αὐτὸ καὶ* juncus (*ὁ σχοῖνος, ὡς ἓν τῶν τούτου εἰδῶν*). Τοῦ *σχοίνου* (junci), *ἢ τοῦ ῥίπου* (scirpi) *εἶδος καὶ ὁ φλοῦς, ἢ φλέως· ὁ καὶ ἄλλως* scirpus vulgaris. *βλ. ὄπισθ. σελ.* 181. *πρβ. καὶ* Στέφ. Ἑῤῥ. *Θησαυρ. σελ.* 10144. Lond.)· *ὅθεν πάλιν καὶ ἄλλως ὁ σχοῖνος* scirpus maritimus *ἑρμηνεύεται* (Sprengel, Geschichte

ἀρχαῖα γλωσσάρια scirpus (σχοῖνος) φλοῦς, πάπυρος». Ἀμφιϐάλλει Ὅδιος, εἴ γε καὶ ἐπὶ τῶν Ο, ὑπῆρχε συνήθης ἡ κατάχρησις τοῦ παπύρου ἀντὶ τοῦ φλοῦ, καὶ σχοίνου· ἀλλ᾿ οὐκ ἂν ἀμφέϐαλλεν, ἴσως, εἴπερ ἐθεώρει, ὅτι ὁ ἑλληνικώτατος Στράϐων, διακρίνων τὴν ἐν Ἰταλίᾳ πάπυρον (*τὸν φλοῦν*) τῆς ἐν Αἰγύπτῳ παπύρου, ταύτην (πρὸς διάκρισιν μάλιστα τῆς ἔκπαλαι καὶ ἐπ᾿ αὐτοῦ κρατούσης ὁμωνυμίας) ὠνόμασε *βίϐλον*, προστιθεὶς καὶ ὅτι «ἐνταῦθα (ἐν Αἰγύπτῳ) καὶ *παρ᾿ Ἰνδοῖς* φύεται μόνον» (βιϐλ. ιζ, σελ. 823. βλ. καὶ 799 καὶ 800) (α). Ὥστε, καὶ εἴπερ ἡ ἑϐραῒς λέξις ἐσήμαινε κυρίως τὸν σχοῖνον (κατὰ τὸν Ἱερώνυμον) ὀρθῶς λοιπὸν οἱ Ο, τὸν πάπυρον ἀντέταξαν, ὡς συνώνυμον. Οὕτως ἐποίησαν καὶ Σύμμαχος καὶ Ἀκύλας (ὡς σημειώσομεν εὐθύς). Ὁ δὲ δόκτωρ (μίαν ἴσως καὶ μόνην ἐκδεχόμενος πάπυρον, τὴν τῆς Αἰγύπτου), ἀποδείκνυσι καὶ ὡς ἐκ τῆς λέξεως Αἰγυπτίους τοὺς Ο· ἀλλ᾿ αὐτὸς πάλιν εἰσάγει τὸν Πλίνιον ἱστοροῦντα καὶ *παρὰ Σύροις* φύεσθαι πάπυρον (ὡς ἐφύετο καὶ παρ᾿ Ἰνδοῖς, κατὰ τὸν Στράϐωνα). Καὶ εἰ μὲν ἡ πάπυρος ὀλίγον ἦν τοῖς Σύροις γνωστὴ (καθὼς λέγει, πόθεν τοῦτο τὸ *ὀλίγον* μαθών; ), καὶ εἰ προσέτι παῤ

---

der Botanik I. Bd. p. 60). Τὸν δὲ φλοῦν τινες καλοῦσι καὶ σ τ ο ι ϐ ὴ ν (Θεόφρ. ἱστ. φυτ. ϛ. α). Φλοῦς δὲ καὶ σ τ ο ι ϐ ὴ κυρίως ἂν εἴη τὸ τῆς Συνηθ. παρ᾿ ἄλλοις μὲν ῥαγάζιον (Σλαϐον. rogoz, ἐκ τοῦ ῥάχις, ῥάχος καὶ ῥαχός. «ῥαχοί, στοιϐαί, σάγματα». Ἡσύχ. βλ. καὶ τὸ ἡμέτερ. Δοκίμ. περὶ συγγεν. τῆς Σλαϐον. γλώσσης πρὸς τὴν Ἑλλ. τόμ. γ. σελ. 18), παρὰ δὲ Πελοποννησίοις β ο ύ τ ο μ ο ν (καὶ τούτου λεπτομερέστερον εἶδος, ῥ ά π ι = ῥάπις, ῥαπὶς, συγγεν. τοῦ ῥίψ, ῥιπός). Βούτομον εἶπον καὶ οἱ Ο, (βλ. ἐφεξ. λ. Ἄχι). Οὕτως ἡ σχοῖνος διὰ τὸ πολυειδὲς, καὶ τὰς κατὰ τόπους γλώσσας, ὁμωνυμεῖ καὶ πρὸς ἄλλα παρομοίως ἑλειόθρεπτα καὶ ὁμοειδῆ φυτὰ, τὰ ῥ ά χ ο ς, β ο ύ τ ο μ ο ν, ῥ ί π ο ς, φ λ ο ῦ ς, καὶ τοῦτο πάλιν πρὸς τὸ πάπυρος, (τὸν Scirpum italicum. Ῥείμ. Λεξ.). Ὅθεν καὶ ὁ Γαληνὸς (Λεξ.) «Σχοῖνος, φλογμῶδες (ἴσ. γρ. φλομῶδες, ἐκ τοῦ φλόμος), ἢ παπυρῶδες φυτόν». πρϐλ. [καὶ Schleusn. Thes. V. T. λ. Σχοῖνος.

(α) Παπύρῳ παραπλήσιον Νειλῷον φυτὸν ἱστόρησε Θεόφραστος (δ, ζ.) καὶ τὸ Σ ά ρ ι (λέξις ἴσ. Αἰγυπτιακὴ, βλ. καὶ Πλίνιον ιγ, 13. δ, 9), καὶ τοῦτό τινες ἐνόμισαν τὸν παρὰ Στράϐωνι πάπυρον, τὸν φλοῦν· (Spies l. c. art· 2). Ἀλλὰ τοῦτο κυρίως ἐστὶ τὸ τῶν φυτολόγων Cyperus fastigiatus· ὡς καὶ ὁ κυρίως πάπυρος, Cyperus Papyrus. (Sprengel. l. c.). πρϐ. Στεφ. Θησαυρ. p. cclxvi.

αὐτοῖς ἄλλως πως ἰδιωτικώτερον ἐκαλεῖτο, ταῦτα οὐδὲν πρὸς ἔπος. Οἱ Σύροι Ο, ἑλληνισταὶ ἐγνώριζον τὴν ὀνομασίαν οὕτως ἀκριβῶς, ὅσῳ καὶ οἱ κατὰ τὴν ἄλλην Συρίαν συγχρονίζοντες αὐτοῖς Ἕλληνες· ὅσῳ καὶ Θεόφραστος αὐτὸς, οὗτινος ἡ κυριωτάτη ῥῆσις ἔλαθε τὸν Ὄδιον! Ὅσα γὰρ ἐκ τοῦ Πλινίου μετέγραψεν ὁ κριτικὸς (περὶ τῆς ἐν Συρίᾳ παπύρου), ταῦτα κατὰ λέξιν ὁ Πλίνιος ἀντέγραψεν ἐκ τοῦ τέσσαρας αἰῶνας ὅλους ἀρχαιοτέρου Θεοφράστου, λέγοντος· « Γίνεται ἡ πάπυρος καὶ ἐν Συρίᾳ περὶ τὴν λίμνην, ἐν ᾗ καὶ κάλαμος ὁ εὐώδης· ὅθεν καὶ Ἀντίγονος εἰς τὰς ναῦς — ἐποιεῖτο τὰ σχοινία» (α). Καὶ λοιπὸν, οὐδ᾽ ἐκ τῆς παπύρου λέξεως φαίνονται Αἰγύπτιοι οἱ ἑρμηνεῖς, ὡς οὐδ᾽ ὁ Σινωπεὺς Ἀκύλας (ὅστις « ἐν Ἱεροσολύμοις ἐπαιδεύθη τὰ Ἑβραϊκά »· Ἐπιφ. π. Μέτρ.), οὐδ᾽ ὁ Σαμαρείτης Σύμμαχος, ἀμφότεροι χρησάμενοι τῷ *πάπυρος*, καὶ *παπυρὼν*, ἢ *παπυρεὼν* (περιεκτικῶς) (β), οὐδ᾽ αὐτὸς ὁ τοῖς Ο, σύγχρονος Θεόφραστος, τοσάκις τὸ πάπυρος ὀνομάσας ὡς γνωστὸν τοῖς Ἕλλησιν, οἵτινες (κατὰ τὸν Στράβωνα) πάπυρον ἐκάλουν καὶ τὸν φλοῦν! Ἀλλὰ τί τὰ πολλά; « *Πάντα* (φησὶν ὁ κριτικὸς) *ἐξέθετο μετὰ πάσης εἰλικρινείας* »· καὶ πιστεύομεν· ἀλλ᾽ ὅμως ἀπέκρυψέ τινα καὶ ἄκων, διὰ μνήμης ἁμαρτίαν ἀνθρώπινα παθών! Παρέδραμε μάρτυρα παπύρου παλαιὸν, καὶ αὐτοῦ τοῦ Θεοφράστου περίπου τρεῖς αἰῶνας ἀρχαιότερον, τὸν Τήϊον κύκνον, τὸν Ἀνακρέοντα (γ).

---

(α) Θεόφρ. ἱστ. φυτ. Δ. 9. βλέπ. καὶ τὰ τοῦ Πλινίου ἐν τοῖς προηγηθεῖσι, σελ. 181.

(β) Ἐν Ἐξόδ. β. 3. ὅπου οἱ Ο, ἔχουσιν ἕ λ ο ς· βλ. ἐφεξῆς σημ. ἐν τῷ Ἄχι.

(γ) — — — Χιτῶνα δήσας

Ὑπερ αὐχένος π α π ύ ρ ῳ, Μέθυ μοι διακονείτω »

(ᾠδ. δ. σελ. 19 ἐκδ. Fisch.). — Τὸ δὲ π ά π υ ρ ο ς ἐνταῦθα, δέμα πλεκόμενον ἐκ π α π ύ ρ ο υ (ὡς καὶ σ χ ο ι ν ί ο ν καὶ σ χ ο ι ν ὶ ς, ἐκ τοῦ σχοίνου· Θεόφρ. α, καὶ δ, 9), δι᾽ οὗ διακονοῦντες ἀνέστελλον εἰς τὰ ὀπίσω δεσμεύοντες τὰ πλατύτερα τοῦ χιτῶνος, ἵνα μὴ παρεμποδίζωνται περὶ τὴν διακονίαν (οὕτω καὶ τὸ π ε ρ ι ζ ώ ν ν υ σ θ α ι, διὰ τῆς ζώνης περιστέλλειν καὶ συσφίγγειν τὰ πλατύτερα τοῦ ἐνδύματος πρὸς ὑπηρεσίαν). πρβλ. Fischer, in Anacr. pag. 21· καὶ Spanhem. ad Callimach. Hymn. εἰς Ἀπόλλ: στίχ. 32.

12) ΑΧΙ, ἢ ἄχει (α), παλαιὸν Αἰγύπτιον ὄνομα, καὶ εἰς αὐτὴν τὴν Μωσαϊκὴν γλῶσσαν πολιτογραφηθέν. Ἔγραψαν δὲ τοῦτο τρὶς οἱ Ο, πρῶτον μὲν ἐν τῇ Γενέσει δὶς (μα, §. 2, καὶ §. 18), ὅπου καὶ τὸ ἑβραϊκὸν ἔχει *ἀχοῦ* (ahu), (καθὼς ἀνεγινώσκετο κατὰ τοὺς Ἱερωνύμου χρόνους, καὶ νῦν ἤδη καθ' ἡμᾶς, κατὰ τὴν στίξιν τῶν Μασοριτῶν). Ἐντεῦθεν Ὄδιος ἐξελέγχει τὸν αἰγυπτιασμὸν τῶν Ἑρμηνέων, ὡς ἐξενεγκόντων τὴν λήγουσαν τῆς λέξεως οὐχὶ κατὰ τὴν ἑβραϊκήν, ἀλλὰ κατ' αἰγυπτιακὴν προφοράν· (Πι—*ἀχί*, λέγουσι καὶ οἱ Κόπται). Ἀλλὰ πρῶτον μὲν οὕτως ἐξελέγχεται τῆς Αἰγυπτίων φωνῆς ἀμαθὴς αὐτὸς « *ὁ πάσῃ σοφίᾳ Αἰγυπτίων πεπαιδευμένος* » Μωϋσῆς, εἴπερ οὕτως ἔγραψεν ἀχοῦ τὸ γνήσιον Αἰγύπτιον ἄχι! στέργει τοῦτο Ὄδιος; Ἔπειτα αὐτὸς ὁ Ἱερώνυμος εἶπε τὸ ἑβραϊκὸν *ἀχοῦ διεφθαρμένον* (β) (ὑπὸ τῶν μεταγραφέων δηλονότι) διὰ τὴν ὁμοιότητα τῶν δύω γραμμάτων (τοῦ *βάβ* = ου, καὶ τοῦ *'Ιὸδ* = ἰῶτα), ἐξ ὧν, τούτου τεθέντος, ἢ ἐκείνου, προκύπτει ἡ τῆς ληγούσης διαφορά. Ὥστε καὶ οἱ Ο, ἀνέγνωσαν Achi (διὰ τοῦ Ἰὸδ), καὶ τοσοῦτον ἀπεῖχον Αἰγυπτίας γενέθλης καὶ ῥίζης, ὅσον καὶ οἱ πατέρες αὐτῶν, οἱ υἱοὶ Ἰσραήλ, ὡσαύτως κἀκεῖνοι πάντες ἐν τῇ Γενέσει ἀναγινώσκοντες. Τελευταῖον· κἂν (Ὀδίου χάριν) ὑποτεθῇ, ὅτι καὶ ὁ Μωϋσῆς ἔγραψεν *ἀχοῦ* (οὕτω δηλαδὴ καὶ παρ' Αἰγυπτίοις κατ' ἐκείνους τοὺς χρόνους τῆς ληγούσης ἐκφερομένης), αὐτοὶ δὲ οἱ Ο, ἔγραψαν ἄχΙ, οὐδ' ἐκ τούτου φαίνονται Αἰγύπτιοι, οὐδ' ὁπωστιοῦν· ἐξέφερον γὰρ τὴν λέξιν κατὰ τὴν τότε παρ' Αἰγυπτίοις καὶ Σύροις καὶ τοῖς Ἀλεξανδρινοῖς αὐτοῖς κοινῶς ἐπικρατοῦσαν προφοράν. (Ὅτι δὲ τῆς αὐτῆς

---

(α) Τὸ ἄχι ἐκφέρεται καὶ καθ' ἑλληνικὸν σχηματισμόν. « Ἄχος, τὸ λεπτὸν καὶ βοτανῶδες φυτάριον » (Σχ. εἰς Γένεσ. μα). Ἄχει (ὡς δοτικὴ), πόᾳ, ἢ χόρτῳ χλωρῷ » (Ἡσύχ.) Καί, « Ἄχει, (ἄκλιτ.) χορτογενὲς πεδίον ». Κυρίλ. Λεξ. (ὡς τὸ τῆς συνειθείας λιβάδιον. Βλ. Schleusn. Thes. V. T. λ. Ἄχει, καὶ Sturz. l. c. p. 88. Καὶ τὸ Ἀραβικὸν A c h i a τὴν αὐτὴν ἔχει σημασίαν (Bochart. Hieroz part. I. L. 2. c. 4. p. 403· πρβλ. καὶ Grot. annot. ad Genes. l. c.).

(β) « Hebraeus ipse corruptus est. Dicitur enim in a h u, hoc est in palude » etc. S. Hier. Quaest. Hebr. in Genes. (καὶ παρ' Ὀδίῳ, pag. 118.).

φωνῆς τὰ γράμματα μεταβάλλονται πολλάκις διὰ χρόνου, ἢ καὶ κατὰ τόπους, εἰς τὰ στόματα τῶν αὐτῶν ὁμογενῶν, φανερὸν ἐκ τῶν διαλεκτικῶν ἰδιωμάτων, ἄλλων τε καὶ τῶν Ἐφραθιτῶν) (α). Οὕτω καὶ ὁ Σειραχίδης (ὃν ἔλαθεν ὁ κριτικὸς αὐτὸς καθ' ἑαυτοῦ μάρτυρα παραγαγὼν) ἐξελληνίζων ἐν Αἰγύπτῳ (κατὰ τὸ ἰδίωμα τῆς τῶν Ο, διαλέκτου) τὴν Σοφίαν τοῦ πάπου Σειρὰχ, ἔγραψε τὸ *ἄχι* (Σ. Σειρ. μ, 16), καὶ οὐκ ἦν Αἰγύπτιος, ἀλλὰ Παλαιστινός· ὡς οὐδ' ὁ Σινωπεὺς Θεοδοτίων, γράψας *ἄχι* καὶ αὐτὸς ἐν Ἰὼϐ η, 11, (ὅπου καὶ τὸ ἑβρ. ἔχει ahu· οἱ δὲ Ο, *βούτομον*). Τρίτον καὶ τελευταῖον ἔγραψαν οἱ Ο, *τὸ ἄχι τὸ χλωρὸν* καὶ ἐν Ἡσαΐᾳ ιθ, 7, ὅπου ὁ θεῖος Ἱερώνυμος ἐνόμισε τὰς λέξεις ὑπὸ τῶν Ο, προστεθείσας, ὡς μὴ κειμένας δῆθεν ἐν τῷ ἑβραϊκῷ· ἀλλ' ὁ πατὴρ ἐλανθάσθη, ἄλλως ἴσως ἀναγνοὺς, ἢ παρερμηνεύσας ἐν τῷ κατ' αὐτὸν κώδηκι τοῦ Ἡσαΐου τὴν καθ' ἡμᾶς ἑβραϊκὴν τοῦ κειμένου φωνὴν, ἣν ἐκλατινίζουσι gramina ἢ gramineta, δηλαδὴ χορτάρια, βοτάνην ἀγρίαν (β)· καὶ ἄλλοι (ὡς ὁ Βατάϐλης, σημ. εἰς Ἡσαΐ. αὐτ.) « v i r e n t i a, s u b. o l e r a » τουτέστι «*χλωρὰ*, ὑπακουομένου *λάχανα*», χλοάζοντα χόρτα· τοῦτο οἱ Ο, ἀπέδωκαν *ἄχι χλωρὸν*, διὰ δύω λέξεων ἐκφράσαντες ὀρθότατα τὸ περὶ τὸν ποταμὸν *βοτανῶδες καὶ ποάζον* ἐν ὑδρηλῷ τόπῳ, ἢ παραποτάμιον ἰλὺν, χλοηφόρον (βοτανώδη καὶ δονακώδη)· ὅθεν καὶ ὁ μακάριος Θεοδώρητος ἐτήρησεν ἐν τῇ ἑρμηνείᾳ τὰς λέξεις τὰς αὐτάς· « Τὴν ἀσέβειαν καλάμῳ—καὶ ἄχι (ἴσ. γρ. ἄχει) παρεικάζει τῷ χλωρῷ » (εἰς Ἡσ. ιθ). Ἀλλὰ (λέγουσιν) οἱ Ο, ἐν Ἰὼϐ η, 11,

---

(α) Βλ. Κριτ. ιϐ. 6. Καὶ τοὺς Γαλιλαίους ὕστερον « δ ή λ ο υ ς ἐ π ο ί ε ι ἡ λ α λ ι ά. » Ματθ. κς. 73.

(β) Ἰδοὺ τὸ κείμενον κατὰ τοὺς Ο, « Καὶ τ ὸ ἄ χ ι τ ὸ χ λ ω ρ ὸ ν πᾶν τὸ κύκλῳ τοῦ ποταμοῦ — ξηρανθήσεται» (Ἡσ. ιθ. 7.). Ὁ Ἱερώνυμος « Nudabitur alveus rivi a fonte suo (γ υ μ ν ω θ ή σ ε τ α ι δ ι ώ ρ υ ξ ῥ ύ α κ ο ς ἀπὸ τῆς πηγῆς αὐτοῦ κτλ.). Κατὰ δὲ τὴν νεωτέραν ἐκ τοῦ ἑβραϊκοῦ ἑρμηνείαν « Gramina juxta rivum à fonte istius — arescet» (Βλ. Hody pag. 118.), τουτ. « ἄ γ ρ ω σ τ ι ς, (ἀγρία βοτάνη) π α ρ ὰ τ ὸ ν ῥ ύ α κ α ἀπὸ τῆς πηγῆς αὐτοῦ—ξηρανθήσεται »· αἱ δὲ λοιπαὶ περὶ τὸ χωρίον διαφοραὶ τῶν μεταφράσεων ἐκτὸς τοῦ προκειμένου.

τὸ αὐτὸ ahu μετέφρασαν *βούτομον* » — Ὀρθῶς· διότι τὸ ἄχι, σημαῖνον καθόλου ἕλος, καὶ πᾶν τὸ ἐν ἕλει φυόμενον χλωρὸν (α), ἐξελαμβάνετο κατὰ μετωνυμίαν, ἢ συνεκδοχὴν, καὶ εἰδικώτερον ἐπὶ τοῦ βουτόμου, ὡς καὶ τούτου τυγχάνοντος ἐκ τῶν ἐλειοθρέπτων φυτῶν (ὁποῖα καὶ *σχοῖνος*, καὶ *φλοῦς*, καὶ *πάπυρος*, καὶ *δόναξ*, κτλ. βλ. σελ. 240). (β).

13) ΖΥΘΟΣ. Οὕτως ἡρμήνευσαν οἱ Ο, ἐν Ἠσ. ιθ. 10 (« πάντες οἱ ποιοῦντες τὸν ζύθον»), ἀντὶ τοῦ *ἰχθυοτροφείου*, ἢ ζωγρείου

---

(α) «Ἕλος, τελματώδης καὶ σύμφυτος τόπος, ἢ χ ε ῖ λ ο ς π ο τ α μ ο ῦ » (Ἡσύχ.), ἐκ τοῦ Σειρὰχ (μ, 16) « Ἄχει ἐπὶ χεῖλος ποταμοῦ ». Χεῖλος δὲ τὸ αὐτὸ καὶ ὄχθη· ὅθεν ὁ τραγῳδοποιὸς Ἰεζεκιὴλ τὸ, « εἰς τὸ ἕλος παρὰ τὸν ποταμόν » (Ἐξόδ. β, 3) ἐξέφρασε « Π α ρ' ὄ χ θ η ν π ο τ α μ ο ῦ λ ά σ ι ο ν, ε ἰ ς ἕ λ ο ς δ α σ ύ » (παρ' Εὐσεβ. Εὐ. Προπ. θ. 255). Καὶ Φίλων, « ἐν τῷ δασυτάτῳ τῶν ἑλῶν ». Ὁ δ' αὐτὸς καὶ τὸ (Γεν. μα, 2) ἄ χ ε ι, ἐξήγησεν ἐν τ α ῖ ς ὄ χ θ α ι ς· ὅθεν παρεισέδυ τὸ ὄ χ θ η ἐν τῇ τοῦ Ἄλδου ἐκδ. τῶν Ο, ἀντὶ τοῦ ἄ χ ε ι, (βλ. ὄπισθ. σελ. 182). Ὁ δὲ Σουΐδ. «Ἕλος, δίϋλον δάσος, ἢ ὕδατος ἰλὺς, ἐπικεχυμένου πηλοῦ καὶ βαθείας ὕλης, ἢ παπύρου, ἢ καλάμου, ἐκφυομένης ἀεὶ (γρ. ἐ π ὶ) τοῦ πηλοῦ, καὶ ὑπερανεστηκυίας τοῦ ὕδατος » (τοιοῦτο καὶ τὸ χυδαῖον β ά λ τ ο ς· καὶ αὐτὸ δὲ τὸ ἄ λ σ ο ς ἐκ τοῦ ἄ λ δ ω). Ὅθεν ὁ Ἰώσηπος (Ἀρχ. Β. ε. 5) τὸ Γενέσ. μα. 2. ἄχι (ahu) ἕλος ἐξελληνίζει· « τοὺς βόας — χ ω ρ ε ῖ ν ἐ π ὶ τ ὸ ἕ λ ο ς » (οἱ Ο, ἐ β ό σ κ ο ν τ ο ἐ ν τ ῷ ἄ χ ι) [πρβλ. τὸ (νέμονται βόες) « ἕ λ ε ο ς ἐ ν ε ἰ α μ ε ν ῇ. » Ἰλιάδ. Ο. 631]. Ὁ δὲ Φράγγελος ψέγων καὶ ὧδε τὴν Ὀδίου περιέργειαν (σελ. 41), ἔκρινεν, ὅτι « τ ὸ ἄ χ ι τ ὸ χ λ ω ρ ὸ ν » (Ἠσ. ιθ. 7) ἔχει τὴν ἑτέραν τῶν δύω λέξεων γλώσσημα, δηλονότι ἐξ ἄλλης μεταφράσεως, ἢ σημειώσεως, εἰς τὸ κείμενον τῶν Ο. εἰσχωρήσασαν. Ὡσανεὶ οὐκ ἠδύναντο καὶ αὐτοὶ οἱ Ο. γράψαι τὰς λέξεις ἐκ παραλλήλου (καὶ μάλιστα τῆς ἑβραΐδος λέξεως τὸ χ λ ω ρ ὸ ν ἐξαιρέτως καὶ ἐπιθετικῶς σημαινούσης, κατὰ τὴν ἀνωτέρω τοῦ Βατάβλου ἐκδοχήν.). Ἀλλὰ περὶ τῶν διατεθρυλλημένων τούτων γ λ ω σ σ η μ ά τ ω ν λέγομεν ἐν τῷ οἰκείῳ τόπῳ.

(β) Οὕτω καὶ ῥαββῖνοι παλαιοὶ, (οἷον Ἰωνάθαν κτλ.) τὸ (ἐν Γεν. μα) ahu ἡρμήνευσαν σχοῖνον, ἢ φλοῦν, (Scirpum), ἢ φύκη, βρύον (algam). Ὁ δ' αὐτὸς Ἰωνάθαν τὸ ἐν Ἐξόδ. β, 5. ἑβρ. Suf, (παρὰ τοῖς Ο, ἕλος), Juncum (σχοῖνον) ἐξήγησεν (ὡς τὸ Gome). Ὄγκελος δὲ, Syluam (ὕλην, δ ί ϋ λ ο ν δ ά σ ο ς). Ἱερώνυμος δὲ (Βουλγ.) papyrionem (παπυρῶνα). Ὅθεν ὁ Ῥαββὶς Κιμχὶ τὸ Gome καὶ τὸ Suf συνώνυμα λέγει· Ὁ δὲ And. Placus « Papyrus (λέγει) à nostris Juncus dicitur, aut scirpus » (Βλ. Münster. Drus. καὶ τοὺς ἄλλους σχολιαστὰς, in l. c.). Ὁ δὲ Rosenmüller (Schol. in Exod. l. c.) τὸ ἑβρ. Gome, πάπυρον ἡρμήνευσε, τὸ δὲ Suf, ἐξέλαβε τὸ αὐτὸ καὶ τὸ παπυρῶδες σ ά ρ ι. πρβλ. καὶ Gesenij Lexic. man. Hebraic. et Chaldaic. p. 216, 706. Lips. 1833.

(lacuna, ὡς ἡρμήνευσεν ὁ Ἱερώνυμος, ἄλλως ἴσως ἀναγνοὺς ἐν τῷ κατ' αὐτὸν ἑβραϊκῷ), ἢ ἀντὶ *λιμναίου ἕρκους*, ἢ *φραγμοῦ* (clausura stagnorum, ὡς ἡρμήνευσεν ὁ Παγνίνης), καὶ ἀντὶ *μισθοῦ*, ἢ *κέρδους ἐξ ἰχθυοτροφείων* (ὡς ἐξηγοῦσιν ἄλλοι τὴν σήμερον), καὶ ἀντ' ἄλλου τινὸς πάλιν, τίς οἶδε, τίνος καὶ τίσιν ἀρέσοντος αὔριον, κατ' ἄλλην ἐτυμολογίαν, ἢ στίξιν τῶν Μασσοριτῶν. Ἀλλ' ὅσον μὲν περὶ τῆς ἀναγνώσεως καὶ τῆς σημασίας τῆς Ἑβραΐδος φωνῆς οἱ Ο, προφανῶς καὶ λίαν ὀρθῶς (α) ἀνέγνωσαν Sechar, ὃ καὶ ἀλλαχοῦ *σίκερα* κατὰ λέξιν ἀπέδωκαν (Λευΐτ. Ι, 9: Ἀριθμ. ς, 5. κτλ.)· τοῦτο δὲ κυρίως *μέθυσμα* δηλοῖ, τουτέστι « πᾶν τὸ δυνάμενον μέθην ἐμποιῆσαι πόμα » (Μ. Βασιλ. εἰς Ἡσ. ε.)· ὅθεν καὶ τὸν ζύθον (β). Περὶ δὲ τῆς Αἰγυπτογονίας τοῦ ζύθου (ἀφ' ἧς ὁ κλεινὸς Ὅδιος ἐσπούδασεν Αἰγυπτίους τοὺς Ο, ἀποδεῖξαι), βραχὺς ὁ λόγος. Οὐδὲ γὰρ αὐτὸς ἐπέμεινε μέχρι τέρματος εἰς τὸν ἀγῶνα. Ἡ μακρὰ καὶ θερμὴ ζυθολογία ζέσασα τὸ πρῶτον, αὐτόχρημα ὡς ὁ ζύθος, ἔπειτ' ἐξεθύμανεν ἀφυβρίσασα, καὶ κατεστορέσθη, καὶ τέλος, ὡμολόγησεν ὁ κριτικὸς, ὅτι καὶ πρὸ τῆς ἑρμη-

---

(α) Βλ. Schulz. Shol. in V. Test. vol. 8. pag. 464.

(β) « Σίκερα, οἶνος συμμιγὴς ἡδύσμασιν, ἢ πᾶν πόμα ἐμποιοῦν μέθην, μὴ ἐξ ἀμπέλου δὲ σκευαστὸν » κτλ. (Ἡσύχ.) « Σίκερα, σκευαστὸν πόμα — μέθυσμα — οἶνος συμμιγὴς ἡδύσμασιν, ἐκ τοῦ συγκεκρᾶσθαι ». (Σουΐδ.) Ἀλλὰ ψευδῶς ἀπέδωκεν ἑλληνικὴν ἐτυμολογίαν εἰς λέξιν ἑβραϊκὴν, δηλοῦσαν κυρίως μέθυσμα, ὡς αὐτοὶ πάλιν ἡρμήνευσαν οἱ Ο, (Α. Βασιλ. α, 15: Μιχ. β. 11), παρ' ὧν καὶ Σουΐδας λαβὼν ἐσημείωσε. [Καὶ ἐνταῦθα πάρεστι θαυμάζειν τοὺς εἰπόντας, ὅτι « οἱ Ο, μὴ γνωρίζοντες τὴν ἀκριβῆ σημασίαν (τὸ μέθυσμα) τῆς λέξεως, ἡρμήνευσαν σίκερα! ». Αὐτοὶ δὲ μᾶλλον οὐκ ἐνόησαν τοὺς Ο.]. Ὡσαύτως οὐδ' ἐκεῖνο τοῦ Ἡσυχίου ἀληθεύει καθόλου, τὸ, « μὴ ἐξ ἀμπέλου σκευαστὸν ». Ἀντιδιαστέλλεται μὲν συνήθως τὰ σίκερα (ἢ τὸ μέθυσμα) πρὸς τὸν οἶνον (Λευΐτικ. Ι, 9: Κριτ. ιγ, 4: Μιχ. Β 11: Λουκ. α, 15), ἀλλ' ὅμως ἐνίοτε τὸ σίκερα (μὴ προηγουμένου τοῦ οἶνος) σημαίνει καὶ αὐτὸν τὸν ἀμπέλινον οἶνον « Σπεῖσεις σπονδὴν, σίκερα, τῷ κυρίῳ » (Ἀριθ. κη, 8), καὶ ἐν τῷ ἑβραϊκῷ Sechar. Ἀλλαχοῦ δὲ καὶ οἶνον ῥητῶς τὴν λέξιν ἀπέδωκαν οἱ Ο, [ψαλμ. ξη. (ἑβρ. 69) 12. Παροιμ. λα, 4]. Ὁμολογοῦσι ταύτην τοῦ σίκερα τὴν σημασίαν καὶ οἱ Χαλδαῖοι Ταργουμισταὶ (Heins. in Aristarch. Sacr. pag. 148, καὶ Schleusn. Thes. V. T. λ. σίκερα). Καὶ ἄλλως δὲ συνήθης ἡ τοιαύτη ἀπὸ γένους εἰς εἶδος συνεκδοχή (ὡς ἴδομεν ἀνωτέρω καὶ τὰ περὶ τοῦ Ἔλους).

νείας τῶν Γραφῶν ὅ,τε Θεόφραστος (ἱστορ. φυτ. δ.), καὶ ἔτι (καθὼς λέγει) καὶ αὐτὸς Ἀριστοτέλης ἐμνημόνευσαν τὸ *ζύθος*, καθὸ κοινὸν ἤδη καὶ ἐν τῇ κατ᾿ αὐτοὺς ἑλληνικῇ διαλέκτῳ. Ὅθεν οὐδ᾿ ἐκ τούτου φαίνονται Αἰγύπτιοι οἱ Ο, ἀλλὰ Σύροι *ἑλληνισταὶ*, παρ᾿ Ἑλλήνων μαθόντες φωνὴν Αἰγυπτίαν μὲν (κατὰ τὸν Ὄδιον), ἀλλὰ πολὺ πρότερον αὐτῶν ἀφελληνισθεῖσαν καὶ κατ᾿ αὐτὸν τὸν σχηματισμόν. Καὶ ἄλλοι δὲ μετὰ τοῦ Ὀδίου Αἰγύπτιον θέλουσι τὸ ζύθος (α). Ἀλλ᾿ ὅμως οἱ Ἐτυμολόγοι καὶ μετὰ τὴν σκεδασθεῖσαν κατ᾿ αὐτῶν, ὡς μωρῶν, ἑωλοκρασίαν (ἢ, οὕτως εἰπεῖν, *ἑωλοζυθίαν*!), πάλιν ἐπιμένουσι (καὶ ἴσως δικαιότερον παρὰ τοὺς Αἰγυπτιαστὰς), ἐτυμολογοῦντες τὸ ζύθος οὐκ ἀπὸ τοῦ *ζέω*, ἀλλὰ παρὰ τὸ *ζύω* (ὅθεν καὶ ἡ *ζύμη*) (β). Οὕτω καὶ οἱ Ἕλληνες (ἄλλοι τε καὶ οἱ Ἀττικοὶ) τὸ αὐτὸ ποτὸν, γνωστὸν καὶ τούτοις ἀπὸ χρόνων παλαιῶν, ὠνόμαζον καὶ *βρύτον*, ἢ *βρῦτον*, καὶ *βρύττον* (καὶ βρύττος, ὁ, κτλ.) (γ), παρὰ τὸ (βρύω) βρύζω (συγγενὲς τοῦ βρύσσω, καὶ βράσσω, βράζω=ζέω) (δ)· ἄλλοι δὲ, *πῖνον* (παρὰ τὸ πίνω) (ε).

---

(α) Sturz. De Dial. Maced. p. 91. — Jablonsk. Opusc. T. 1. p. 79.

(β) Ῥείμερ. Ἑλληνογερμ. λεξικ. ὁ δ᾿ ἀρχαῖος Ὀρόσιος (γελοίως) παρὰ τὸ σῖτος! (Oros. Hist. V. 6. p. 73. Col.). Καὶ ἄλλοι δὲ, καὶ ὁ κλεινὸς Λεννέπιος (J. S. a Lennep. Etymolog. part. 1. p. 312) ἑλληνικὸν θέλουσι τὸ ζύθος. Ἀλλὰ καὶ ὁ Jablonsky (p. 76) ἀμφιβάλλει, εἰ τὸ ζύθος παρὰ τὸ Κοπτικὸν ΣΙΤ, ὃ σημαίνει (λέγει) ποτιστής.

(γ) Αἰσχύλ. καὶ Σοφοκλ. παρ᾿ Ἀθην. I. 447. — (δ) Δηλοῖ δέ πως καὶ Ἀρχίλοχος·

« Ὥσπερ δ᾿ ὑπ᾿ αὐλῷ βρῦτον ἢ Θρῆϊξ ἀνὴρ,
Ἢ Φρὺξ, ἔβρυζε, κύβδα δ᾿ ἦν πονευμένη ».

(Ἀρχιλ. Λείψαν. σελ. 67, ἐκδ. Liebel, Vindobon. 1818. καὶ παρ᾿ Ἀθην. I. 447)· τουτέστιν. Ὡς δέ τις ἢ Θρᾷξ, ἢ Φρὺξ ἀνὴρ, ὑπ᾿ αὐλῷ (καταυλούμενος) βρύζει βρῦτον (διὰ μέθην ἐξεμῶν), οὕτως ἔβρυζεν (ἡ λοιδορουμένη μέθυσος)· κύβδα δὲ (κυπτὴν ἔχουσα τὴν κεφαλὴν, καὶ τὸ σῶμα προπρηνὴς) ἦν πονουμένη (περὶ τὸ βρύζειν, ὡς οἱ σφοδρῶς καὶ χαλεπῶς ἐξερῶντες). Τὸ δὲ βρύζω, ἀντὶ τοῦ βλύζω, καὶ βράζω (ἐκβράσσω, ἐπὶ τοῦ μετ᾿ ἦχον ἐξεμεῖν). Οὕτως ἔκρινα διορθωτέα τὰ ἔπη ταῦτα τοῦ Ἀρχιλόχου, πολλὰ πολλοῖς πράγματα παρασχόντα διὰ τὴν διαφθοράν. Τὸ δ᾿ ὀρθότερον ἄλλοι κρινέτωσαν.

(ε) Ἀριστοτέλ. παρ᾿ Ἀθην. αὐτόθ. Τὸ δ᾿ αὐτὸ καὶ κρίθινον οἶνον εἶπεν ἀλλαχοῦ ὁ Ἀριστοτέλης παρ᾿ Ἀθην. α, 34. Κατὰ τὸ πῖνον ἐσχηματίσθη καὶ τὸ Σλαβονικὸν πίβα, (ἐκ τοῦ πίω), καὶ τὸ συνηθέστατον παρ᾿ Εὐρωπαίοις biera, bière, Bier, bira, ἐκ τοῦ bi[be]re.

Τὸ δ' αὐτὸ, καὶ « *βρύτον τὸ ἀπὸ κριθῶν* » (ἐν Αἰγύπτῳ), καὶ πάλιν « *τὸ ἐν Αἰγύπτῳ καλούμενον ζύθος* », ὁ αὐτὸς εἶπε Θεόφραστος (ἱς. φυτ. δ. καὶ φυτ. αἰτ. ϛ. 15). Ὡσαύτως εἶπε καὶ Διόδωρος « Σκευάζεται παρὰ τοῖς Αἰγυπτίοις — ὃ καλοῦσι *ζύθον* (α, 34). Ἀλλ' ὅμως οὐδέτερος αὐτῶν εἶπεν, ὅτι παρὰ μόνοις Αἰγυπτίοις καλεῖται, ἢ ὅτι *ὑπ' αὐτῶν τὸ πρῶτον ἐκλήθη*. Ἔπειτα, Αἰγυπτίους λέγοντες, ἐξαιρέτως τοὺς Ἀλεξανδρεῖς ἐννοοῦσιν (ὡς ἐνόει καὶ Ἡσύχιος, εἰπὼν τὴν Ἀθάραν « βρῶμα παρ' Αἰγυπτίοις »· βλ. ἐφεξῆς *'Αθάρα*)· « Τῶν γὰρ Ἀλεξανδρέων τὸ πολὺ φῦλον ἐχρῆτο τῷ ζύθῳ» (Στράβ. ιζ. 799). Εἰ δὲ καὶ παρ' Αἰγυπτίοις πρῶτον (ὡς λέγουσιν) εὑρέθη τὸ πόμα (Δίων παρ' Ἀθην. α, 34), ἀλλ' οὐχ ἕπεται πάντως ὅτι καὶ παρ' ἐκείνοις τὸ πρῶτον ὠνομάσθη *ζύθος* (ἄλλο δέ τι εἶχεν ὄνομα ἐγχώριον). Αὐτίκα πάλιν ὁ Διόδωρος λέγει καὶ περὶ *τῶν Γαλατῶν*, ὅτι, « Πόμα κατασκευάζουσιν ἐκ τῆς κριθῆς *τὸ προσαγορευόμενον ζύθος* » (ε, 26. σελ. 350). Ὅθεν τινὲς πλανηθέντες ὑπέλαβον τὸ ζύθος ἀρχαῖον ὄνομα Γαλατικὸν, ἢ Κελτικόν. Ὁ δὲ Διόδωρος καὶ ἀλλαχοῦ· « *τὸ προσαγορευόμενον ὑπ' ἐνίων ζύθος* (δ, 2). Οὕτω δ' ἀορίστως ἐκφέρων τὴν ὀνομασίαν, οὐκ ἐνόμιζε λοιπὸν αὐτὴν ἰδιάζουσαν τοῖς Αἰγυπτίοις, καθὸ πρώτοις αὐτῆς πλαστουργοῖς. Καὶ γὰρ « ἐσκευάζετο μὲν ἰδίως παρ' ἐκείνοις τὸ ζύθος· κοινὸν δὲ ὅμως ἔστι πολλοῖς· καὶ παρ' ἑκάστοις αἱ σκευασίαι διάφοροι» (Στράβ. 824). Οἱ Θρᾶκες, καὶ οἱ Παίονες (α), καὶ οἱ

---

(α) *Οἱ Παίονες ἔπινον καὶ π α ρ α β ί η ν ἀπὸ κέγχρου καὶ κονύζης* (Ἑκατ. παρ' Ἀθην. 447). *Ἀλλ' ἐπὶ Ἱερωνύμου καὶ Παίονες καὶ Δαλμάται καὶ Ἰλλυριοὶ τὸν ζύθον ἐκάλουν* Sabajum. « *β α ρ β α ρ ι κ ῷ ὀ ν ό μ α τ ι* » (Hieronym. ad Esaï. XIX), *καὶ Γαλάται δὲ ἐπὶ Μαρκελλίνου*, Sabaja (Am. Marcel. Rer. gest. 24. c. 8). *ὃ παρὰ τὸ Σαβάζιος (ὁ Βάκχος) πιθανῶς τινες εἶπον. Οἱ δ' ἀρχαῖοι Γαλάται, ἢ Κελτοὶ, καὶ ἐκ κριθῶν (ὡς καὶ Ἀρμένιοι. Ξενοφ. Ἀναβ. δ, ε, 26), καὶ ἐκ πυρῶν, καὶ μετὰ μέλιτος, καὶ χωρὶς, σκευάζοντες τὸν ζῦθον, ἐκάλουν Κελτιστὶ Κ ό ρ μ α, ἢ Κ ο ῦ ρ μ ι (Ἀθήν. δ. 152: Διοσκορ. Β, 81). ἐπὶ δὲ τοῦ Ἰουλιανοῦ ἔπινον καὶ ζύθον ἀπὸ βρόμου (τῆς συνήθως β ρ ό μ η ς)· ὅθεν οὗτος ὁ παραβάτης (ἐπιγράμ.) τὸν παρὰ Κελτοῖς Βάκχον (οἶνον) ὀνομάζει « Δ η μ ή τ ρ ι ο ν οὐ Διόνυσον, καὶ πυρογενῆ μᾶλλον, ἢ β ρ ό μ ο ν, οὐ βρόμιον ». Ἴβηρες δὲ πάλιν, ἐκ δρυοβαλάνων (Στράβ. γ. 155). Καὶ ἄλλα δὲ παρ' ἄλλοις εἴδη ζύθου φέρονται, ἐν οἷς καὶ παρὰ*

Ἀττικοὶ, σκευάζοντες ἐκ κριθῶν, ὠνόμαζον τὸ πόμα *βρύτον*, ἄλλοι δ' ἀλλαχοῦ, *πῖνον*, ἔνιοι δὲ, *ζύθον*, ὡς οἱ Ἀλεξανδρεῖς, καὶ πρὸ τούτων ἄλλοι τινὲς τῶν Μακεδόνων, ἢ καὶ τῶν ἐν Ἀσίᾳ Ἑλλήνων, ὅθεν ἡ λέξις μετῴκισε πρώϊμος καὶ ἐπεκράτησεν εἰς τὴν Ἀλεξάνδρειαν, ἄλλως ἴσως τοῦ ποτοῦ παρ' Αἰγυπτίοις πρότερον καλουμένου, ἐγχωρίῳ τινι ὀνόματι· (ὡς καὶ παρ' Ἑβραίοις ἰδίως, ἔτι ἐπὶ Μωϋσέως, Sechar). Ἀλλ' ὅπως ἂν ἔχῃ τὸ πρᾶγμα, οὐδὲ τὸ ζύθος ἀποδείκνυσιν Αἰγυπτίους τοὺς Ο. Σὺ δὲ σύγγνως ἀναγνῶστα, εἴπερ καὶ ἡμεῖς ἐξεπέσαμεν καὶ ἄκοντες εἰς ἄκαιρον καὶ ματαίαν *ζυθολογίαν*!

14) ΣΧΟΙΝΟΣ. Τὸ μέτρον τοῦτο τὸ Αἰγύπτιον (α) εἶχον ὁμοίως καὶ Πέρσαι, καὶ Σύροι. Καὶ τοῦτο μαρτυροῦσιν ἄνδρες (οὐχὶ καθὼς Ὅδιος εἶπε) *πεπλανημένοι*. Μάρτυς ὁ Κυρηναῖος, καὶ τὴν Ἀλεξάνδρειαν οἰκήσας Καλλίμαχος, εἰπὼν « *Μὴ σχοίνῳ περσίδι τὴν σοφίην* » (μετρεῖν) (β). Μάρτυς ὁ Ἀθήναιος, ὅστις μετὰ τοὺς *παρασάγγας* καὶ τοὺς *ἀγγάρους* ἠρίθμησε καὶ τὴν *σχοῖνον*, ὡς περσικόν (γ). Καὶ Πλίνιος δὲ φαίνεται τοῦτο φρονῶν (δ), καὶ

---

τοῖς Ἄραψιν ὁ φουκᾶς, (Συμ. Σηθ, π. τροφ. δυνάμ. — Ἀραβ. foca, fochac, fucha) οὔτ' ἀπὸ τοῦ φώγω, οὔτ' ἀπὸ τοῦ ἑτεροσήμου posca (καθώς τινες ἐνόμισαν), ἀλλ' ἔστιν ἴδιον ἀραβικόν· (ἐξ αὐτοῦ δὲ τοῦ foucha παρεφθάρη καὶ τὸ παρ' ἡμῖν σύνηθες καὶ βαρβαρόφωνον μποζᾶ, ἀπὸ κεγχραλεύρου σκευαζόμενον, ὡς ὁ παραβίας τῶν Παιόνων). Περὶ ζύθου βλ. Meibom. de Cerevisiis. Helmst. 1668· καὶ Gruner, Hist. Zythorum, ἐν τῷ Ζωσίμου περὶ ζύθου ποιήσεως. Solisbac. 1814.

(α) Ἡρόδοτ. β. 6. — Στράβ. ια, 518. ιζ, 804. — Ἑρμογ. π. Μεθοδ. δεινότ. α, 2.

(β) Παρὰ Πλουτάρχ. περὶ φυγῆς, §. 10.

(γ) Ἀθήν. γ. 122· (ἴσως διὰ τὴν συνήθη παρὰ Πέρσαις χρῆσιν τοῦ μέτρου· βλ. καὶ ἐφεξ. σελ. 249. σημ.). Ἡ γὰρ φωνὴ προφανῶς ἑλληνικὴ, εἴτε παρὰ τὸ σχέω (ἔχω· ἔξω) διὰ τὸ πρὸς τὸ συνδεῖν καὶ συνέχειν χρήσιμον τοῦ φυτοῦ, (καθὼς καὶ τὸ λατιν. juncus παρὰ τὸ jungere, καὶ τὸ Γερμ. Binse ἐκ τοῦ Binden κτλ.), εἴτε παρὰ τὸ σχέω (ἄῤῥητον θεματικὸν τοῦ σχέζω, ὅθεν σχέδη) = σχίζω (καὶ σχένω, σχείνω, ἔσχοινα). Οὕτω καὶ σχῖνος ἐκ τοῦ σχίω (σχίνω). βλ. Ῥειμέρ. Ἑλληνογερμ. Λεξικ. καὶ Dam. Lex. Homeric.

(δ) Plin. Hist. N. 6, 28. πρβλ. Sturz. dial· Maced. p. 96. καὶ Jablonsk. Opusc. I. p. 335· ὅστις οὐδ' αὐτὸς ἐτόλμησε βεβαιῶσαι Αἰγυπτίαν τὴν φωνήν.

Ὠριγένης ὁ Ἀλεξανδρεύς, λέγων· « Σχοῖνος ὁδοῦ μέτρον ἐστὶ παρ' Αἰγυπτίοις καὶ Πέρσαις» (α). Ὅθεν καὶ Εὐστάθιος καθολικώτερον εἶπε τὴν λέξιν « ἐθνικήν » (εἰς Ὀδυσ. Τ. σελ. 1854)· οὕτω καὶ Σουΐδας. «Σχοῖνος, μέτρον γεωργικόν» κτλ. Τελευταῖον, καὶ παρὰ τοῖς ἀρχαίοις ἡ σχοῖνος ὑπῆρχε μέτρον γῆς σύνηθες καὶ γνωστόν. Σχοίνοις ἐμέτρει τὸ πλάτος τῆς καθ' ἡμᾶς Οἰκουμένης ὁ Ἀγαθήμερος (β)· καὶ αὐτὸς Ἡρόδοτος (ὁ τὴν σχοῖνον *μέτρον Αἰγύπτιον* εἰπών, ὡς διαφέρον ἴσως κατὰ μῆκος τοῦ ἑλληνικοῦ) διέσωσεν εἰς ἡμᾶς τὸν ἀρχαιότατον ἐκεῖνον τῆς Πυθίας χρησμόν· ἥτις πρὸς τοὺς Λάκωνας, μαντευομένους περὶ τῆς Ἀρκαδίας, ἐξέδωκε τὰ κίβδηλα ταῦτα καὶ ἐπαμφοτερίζοντα.

« Δώσω τοι Τεγέην ποσσίκροτον ὀρχήσασθαι,
Καὶ καλὸν πεδίον *σχοίνῳ διαμετρήσασθαι* ».

Ἡττηθέντων δὲ τῶν Λακεδαιμονίων, « ὅσοι ἐζωγρήθησαν, πέδας τε ἔχοντες, — καὶ *σχοίνῳ διαμετρησάμενοι* τὸ πεδίον τὸ Τεγεητέων, ἐργάζοντο » (Ἡρόδοτ. α, 66). Κατὰ ταῦτα λοιπόν, ὥρα σοι Ὅδιε, καὶ τὸν Ἡρόδοτον, αὐτῇ Πυθίᾳ, γένος Αἰγύπτιον ἀποφαίνειν· ἢ τἀνάπαλιν, Δελφοὺς καὶ Πυθίους τοὺς Ο, καὶ Τεγεάτας δὲ καὶ Πέρσας, καὶ Παμφύλους τινας ἐθνικούς, διότι μετεχειρίσθησαν τὴν σχοῖνον, ὡς μέτρον ὁδοῦ. Ὅτι δὲ καὶ ὡς γεωργικόν, ἢ γαιωδαιτικὸν μέτρον ὑπῆρχεν ἔκπαλαι καὶ παρ' αὐτοῖς τοῖς Ἑβραίοις συνήθης ἡ σχοῖνος, μαρτυρεῖ τὸ *σχοίνισμα* (μέρος γῆς σχοίνῳ, ἢ σχοινίῳ μεμετρημένον εἰς κληρουχίαν), ἀντιστοιχοῦν ἀκριβῶς πρὸς τὴν

---

(α) Ὠριγέν. εἰς Ἱερεμ. ιη, 15· ἐν Σειρᾷ Ghisler. pag. 478.

(β) Ἀγαθήμ. Γεωγραφ. βιβλ. α, (ἐν Συλλογ. τῶν ἐν ἐπιτομ. τοῖς πάλαι γεωγρ. σελ. 169) «Σχοῖνοι δὲ ἐκ σταδίων 30 (αὐτ.) «Ὁ δὲ Αἰγύπτιος σχοῖνος δύναται 60 στάδια». Ἡρόδ. Β. 6. ὅστις καὶ αὐτὸς μετρεῖ Αἰγύπτου μῆκος κατὰ σ χ ο ί ν ο υ ς. βλ. καὶ Στράβ. ἔνθ. ἀνωτ. Ὁ δὲ Jablonsky (σελ. 337) διομολογεῖ ὅτι οὐχ εὑρίσκεται παρὰ Κόπταις· ὅθεν οὐκ ἂν εἴη Αἰγύπτιον. ὁ δὲ Στράβων καὶ Ἡρόδοτος τὸ μέτρον τὸ Αἰγύπτιον διορίζουσιν, οὐ τὴν λέξιν· οὕτω καὶ Καλλίμαχος εἶπε Π ε ρ σ ί δ α σ χ ο ῖ ν ο ν. Ὅθεν καὶ Ἀθήναιος ἴσως ἀπατηθείς, εἶπεν ὅτι « Παρὰ τοῖς ἀρχαίοις ποιηταῖς καὶ συγγραφεῦσιν ἔστιν εὑρεῖν καὶ περσικὰ ὀνόματα· ὡς τοὺς παρασάγγας καὶ τὸν σχοῖνον » (βλ. ὄπισθ. σελ. 248)· ἐκ δὲ τούτου καί τις τῶν νεωτέρων παρῆγε τὸν σχοῖνον ἐκ τοῦ περσικοῦ **Asani**!! βλ. Στεφ. Θησαυρ. p. cclxxxiii.

ἑβραϊκὴν τοῦ κειμένου λέξιν (Hekel) ἔν τε τῇ Πεντατεύχῳ (Δευτερ. λϐ. 9), καὶ ἐν τοῖς Ψαλμοῖς (ρδ. 11. πρβλ. Θεοδωρήτ. ἑρμην. αὐτόθ.). Ἀπ' αὐτοῦ λοιπὸν τοῦ Μωϋσέως καὶ τοῦ Δαβὶδ ἐγνώριζον οἱ Ἑβραῖοι τὴν μετρικὴν σχοῖνον, καθὼς καὶ οἱ Αἰγύπτιοι, ἐπὶ μέτρου γεωργικοῦ καὶ γεωδαιτικοῦ (ἢ γεωμετρικοῦ) καὶ ὁδοιπορικοῦ· ὅθεν καὶ οἱ Ο, ἀντέταξαν ὀρθῶς τὸ ἑλληνικώτατον σχοῖνος. Εἰ δὲ καὶ ἐν Ψαλμῷ (ρλη. 3) τὸ καθ' ἡμᾶς ἑβραϊκὸν ἔχει *κοίτην*, ἀντὶ τοῦ παρὰ τοῖς Ο, *σχοῖνον*, ἐρώτα τοὺς ῥαββίνους, τί ποτε παθόντες ἐσφάλησαν ἔκπαλαι περὶ τὴν ὀρθὴν τῆς λέξεως γραφὴν, ἣν ἀνέγνωσαν μετὰ τῶν Ο, καὶ ἄλλοι παλαιοὶ μεταφρασταί (α).

15) ΘΗΡΑ. Τελευταίαν αἰγυπτίαν λέξιν ἤψησεν ἡμῖν ὁ κριτικὸς τὴν *θήραν*, ἐξελέγχων καὶ δι' αὐτῆς τοὺς ἑρμηνευτὰς Αἰγυπτίους ἀθηροφάγους! Ἀλλ' ἐν μὲν τοῖς προηγηθεῖσιν ὡρμήθη ἀπὸ λέξεων καὶ φωνῶν ὑπαρκτῶν καὶ κειμένων παρὰ τοῖς Ο· ταύτην δὲ ἤδη καὶ παντάπασιν ἀνύπαρκτον ἐπέβαλεν αὐτοῖς, « *ἐρωτῶν τοὺς ἄνδρας ἃ οὐκ ἐγίνωσκον* », οὐδὲ ἔγραψαν πώποτε. Καὶ ὁ μὲν τῆς Βουλγάτας ἀρχαῖος ἑρμηνεὺς κακῶς ἀνέγνω καὶ μετέφρασε τὸ *θήρα* εἰς τὸ *χήρα* (vidua), ἀλλὰ πολὺ κάκιον ἔπραξεν ὁ σοφώ-

(α) « Τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου » (οἱ Ο,) Καὶ ἡ Βουλγάτα, **funiculum meum** (τὸ σχοινίον μου). « Τὴν ὁδόν μου καὶ τὴν σχοῖνόν μου » καὶ ὁ Σύμμαχος. Ὁ δὲ Σύρος, τὴν ὁδὸν καὶ τὰς τρίβους μου (semitas)· οὕτω καὶ Θεοδοτίων « τὴν τρίβον μου καὶ τὴν ὁδόν μου » λέγει, ἀντιτάξας ἀντὶ τοῦ μέτρου (σχοίνου) αὐτὸ τὸ κατ' εὐθεῖαν (ἐν ἀγροῖς, τοίχοις, ὁδοῖς κτλ.) μετρούμενον διάστημα. « Ὁδὸν γὰρ καὶ τρίβον τὰς πράξεις (ὁ Δαβίδ) καλεῖ, σχοῖνον δὲ, τὴν τούτων εὐθύτητα, ἐκ μεταφορᾶς τῶν οἰκοδομούντων, καὶ σπαρτίῳ τοὺς τοίχους διευθυνόντων » (Θεοδώρ. αὐτόθ.)· ὅθεν καὶ ὁ Ἀπολλινάριος τὸ, σχοῖνον μετέφρασεν ἐν μέτροις « ἰθεῖαν ἀταρπόν » (Ψαλτηρ. αὐτ.). Οὕτω, τέλος, καὶ ὁ Ῥαββὶς **Abenesdra**, « τὴν εὐθυπορίαν μου » κτλ. πρβλ. καὶ τὸ « Σχοίνους αἰωνίους » (Ἰερεμ. ιη, 15, τουτ. « ὁδοὺς αἰωνίους » Θεοδώρητ. ἑρμην. αὐτόθ.), ὅπου καὶ ὁ Ἱερώνυμος ἡρμήνευσε **semitas** (τρίβους), ὡς ἔχει καὶ τὸ ἑβραϊκόν· βλ. Vatable, Clarij, Rosenmül. ad Psal. 134, 4. πρβλ. καὶ Schleusn. Thes. V. T. λ. Σχοῖνος· ὅστις καὶ αὐτὸς δικαιολογῶν τὴν ἀνάγνωσιν τῶν Ο, παρεβίασεν ὅμως τὴν σημασίαν τῆς φωνῆς, ἐκλαβὼν τὴν τοῦ ψαλμοῦ σχοῖνον ἀντὶ στέγης (σκέπης), ἢ ῥιπὸς (ψιάθου), ἀπὸ σχοίνου πεπλεγμένης· καὶ ταῦτα πάλιν συνεκδοχικῶς ἀντὶ κοίτης, ἢ κατακλίσεως (accubatione)!

τατος Ὅδιος, ὅστις, ἀφ᾽ οὗ δικαίως ὡμολόγησεν ὅτι τὸ ἑβραϊκὸν Zed, καὶ Zeda σημαίνει καὶ τὴν *θήραν*, καὶ τὸ *θήραμα* (τὸ κυνήγιον), καὶ τὴν ἐξ αὐτοῦ τροφὴν καὶ σίτησιν, ὡς ἡρμήνευσαν οἱ Ο, (α), ἔπειτα συνήρπασε τὸ παρὰ τῷ ἁγίῳ Ἱερωνύμῳ λεγόμενον αἰγυπτιακὸν *θήρα* (ἀντὶ τοῦ ἀθήρα), θηρεύων καὶ ἐκ τούτου τὴν πατρίδα καὶ τὸ γένος τῶν μεταφραστῶν. Καὶ ξένον μὲν οὐδὲν, εἴπερ ὁ Δαλμάτης Πατὴρ ἐσφάλη νομίσας τὸ μὲν *θήραν* ὀρθῶς παρ᾽ Αἰγυπτίοις προφερόμενον, τὸ δ᾽ *ἀθήραν* διεφθαρμένον. Ὁ δὲ φιλολογώτατος Ὅδιος, εἰ καὶ μηδαμόθεν ἄλλοθεν, ἀλλὰ γοῦν ἐξ αὐτῆς τοῦ Πλινίου τῆς μαρτυρίας (ἣν παρὰ πόδας μετὰ τοὺς Ἱερωνύμου λόγους ὑποσυνῆψεν) ὤφειλε συνιδεῖν προφανῶς, ὅτι οὐχὶ θήραν, ἀλλ᾽ *ἀθάραν* καὶ *ἀθήραν* (atharam, atheram) *ἔλεγον καὶ πάλαι οἱ Αἰγύπτιοι* (300 ἔτη πρὸ τοῦ Ἱερωνύμου) (ϐ). Τὸ δὲ *θήρα* συνείκασεν αὐτὸς ἀφ᾽ ἑαυτοῦ ὁ πατὴρ, ἐσφαλμένως συγχύσας τὸ *θήραν* τοῦ Ψαλμοῦ πρὸς τὸ παρ᾽ Αἰγυπτίοις σύνηθες *ἀθήρα*, καὶ *ἀθάρα*. Ἤ τίς ἄλλος τῶν ἀρχαίων ἐμνημόνευσε τοῦτο δὴ τὸ παρ᾽ Αἰγυπτίοις

---

(α) Οὕτω τὸ Zeda=θήρα (Γενέσ. κε), καὶ πάλιν τὸ αὐτὸ = σίτησις (ψαλμ. ρλα.), πᾶσα δηλαδὴ καὶ παντοία ἐπικαρπία καὶ εὐφορία, «ὥ ρ ι α π ά ν τ α», τὰ μὲν ἐξ ἄ γ ρ α ς (θήρας), τὰ δ᾽ ἀπ᾽ ἀ γ ρ ῶ ν ἀφθόνως κατ᾽ ἔτος π ρ ὸ ς σ ί τ η σ ι ν θ η ρ ε υ ό μ ε ν α (βλ. Schleusn. Thes. V. T. λ. θήρα). «Θήραν λέγει (ὁ ρλα. ψαλμὸς) τῶν ὠνίων (ἴσ. γρ. ὡ ρ ί ω ν) τὴν ἀφθονίαν, τὴν εὐετηρίαν» (Εὐσέϐ. καὶ Χρυσόστομ. εἰς Σειρ. ἑρμην. αὐτ.)· ὁ δὲ Σύμμαχος σ ί τ η σ ι ν ἡρμήνευσεν, (ἀντὶ θ ή ρ α ν) «τουτέστι τῶν ἀγαθῶν ἁπάντων τὴν ἀφθονίαν» (Θεοδώρ. ἑρμην. αὐτ.) πρϐλ. καὶ Rosenmüll. (ad Psal. 132), ὅστις κατὰ λάθος τὴν κακὴν ἀνάγνωσιν τοῦ χ ή ρ α ν ἀντὶ θήραν ἀποδίδωσιν εἰς τὸ Ἀλεξανδρινὸν ἀπόγραφον, ὅπου τρανῶς ἀναγινώσκεται θ ή ρ α ν (ἐκδ. Μόσχ.).

(ϐ) Ἐκ τούτου τοῦ Πλινιακοῦ, «Quod Aegyptij atheram vocant», ἀπατηθεὶς ὁ περικλεέστατος Ἑῤῥ. ὁ Στέφανος, ὑπέλαβεν, «ὅτι τὴν ἀθήραν ὁ Πλίνιος εἶπε λέξιν αἰγυπτιακήν» (Θησαυρ. λ. ἀθήρη)· ἀλλ᾽ ὁ Ῥωμαῖος φυσιολόγος λέγει τοὺς Αἰγυπτίους καλοῦντας ἀθήραν τὸ ἐξ ἡψημένης ὀλύρας, ἢ ζειᾶς, σκεύασμα, καὶ οὐδὲ τὴν ζειὰν αὐτὴν, ὡς εἶπεν Ὅδιος (βλ. ὄπισθ. σελ. 184). Περὶ δὲ τοῦ ὀνόματος τῆς ἀθήρας αὐτῆς, οὐδὲν εἶπεν, οὔθ᾽ ὅτι αἰγύπτιον, οὔθ᾽ ὅτι ἑλληνικόν. Καὶ πῶς ἂν εἶχεν ἐξαιγυπτιάσαι τὴν λέξιν, τοσάκις αὐτὴν καὶ αὐτὸς παρὰ τοῖς ἀρχαίοις Ἕλλησιν ἀναγνωκώς; πρόσθες καὶ ὅτι λέγων Α ἰ γ υ π τ ί ο υ ς, ἐνόει τοὺς Ἀλεξανδρεῖς, καθὼς καὶ Ἡσύχιος, ὡς ὀψόμεθα παρακατιόντες.

ὀρθοεπούμενον *θήρα* ἀντὶ *ἀθήρα*; (α). Εἰ δὲ καὶ πρὸς ἄλλους συγγραφεῖς, καὶ τούτους Ἕλληνας, πολὺ Πλινίου παλαιοτέρους προσεῖχεν ὁ βιβλιακώτατος Ὅδιος, ἔβλεπεν ἄν, ὅτι, καὶ πρὶν ἑψήσωσιν *ἀθάραν* οἱ Ἀλεξανδρεῖς, πρὶν καὶ αὐτῆς τῆς Ἀλεξανδρείας τὸ σχῆμα δι' ἀλεύρου σχεδιάσῃ ὁ Ἀλέξανδρος (Πλούταρχ. Ἀλεξ. κϛ), πολλοὺς πρότερον ἐνιαυτοὺς ἔτρωγον ἀθάραν καὶ Ἴωνες, *ἀθήραν* (καὶ ἀθήρην) λέγοντες ἰαστὶ (ὡς Σώφρων καὶ Ἑλλάνικος), καὶ οἱ Ἀττικοί, καλοῦντες *ἀθάρην* (ὡς Ἀριστοφάνης· « ἀθάρης χύτραν » Πλούτ. 670).

---

(α) Ἐκ τούτου καὶ Στούρζιος ὁ σοφὸς ἠπατήθη γράψας διακεκριμμένως ἀπ' ἀλλήλων ὡς ἑτερογενῆ τὸ ἀ θ ή ρ α καὶ τὸ θ ή ρ α· τὸ μὲν πρῶτον ὡς Ἀλεξανδρινὸν (καίτοι μηδὲν ἧττον Ἰωνικὸν καὶ Ἀττικόν), τὸ δὲ θ ή ρ α δῆθεν ὡς αἰγύπτιον, φέρει δὲ καὶ οὗτος μόνην τὴν Ἱερωνύμου μαρτυρίαν, ἐπιμνημονεύων καὶ τὴν παρ' Ὀδίῳ ἐξήγησιν τῆς θ ή ρ α ς τοῦ ψαλμοῦ (Sturz. de Dial. Maced. p. 86). Καὶ Σκλευσήνερος ὡσαύτως ἀπεδέξατο καὶ ὧδε (καθὼς καὶ ἀλλαχοῦ) τὰ Ὀδιακὰ (Thes. V. T. λ. θήρα). Καὶ αὐτὸς ὁ πολὺς Αἰγυπτιαστὴς Jablonsky (Opuscul. T. 1. p. 13) πρὸς τὸ τοῦ Ἱερωνύμου θ ή ρ α ἀποβλέπων, παρέβαλε τὸ αἰγυπτιακὸν Dora, ἢ Dara, ἢ Durra, ὡς λέγουσιν Αἰγύπτιοι κέγχρου εἶδος τὸ λεγόμενον Ἰ ν δ ι κ ὸ ν, milium Indicum· (οὕτω δὲ καὶ Τοῦρκοι Dari τὴν κέγχρον καλοῦσιν)· ἀλλ' ἀντιφθέγγεται πρὸς τοῦτο τρανῶς ὁ Ἱερώνυμος λέγων, ὅτι « θήραν» (οὕτω γράφει τὴν λέξιν ἑλληνιστὶ) καὶ διεφθαρμένως atheram λέγουσι τὴν ζειὰν οἱ Αἰγύπτιοι « Moris sit Aegyptiorum θήραν etiam far vocari, quod nunc corrupta a t h e r a m nuncupant » (ποῦ τὸ dora, dara, durra;). Καὶ τῶν νεωτέρων δέ τις κριτικῶν, ἀπίθανον εὗρηκε τὴν Ἰαμβλόσκειον ἐτυμολογίαν τῆς ἀθήρας (Θησαυρ. Στεφ. Ἐῤῥικ. λ. ἀθήρα, ἐκδ. Paris 1832). Ἀλλὰ κἂν (ἐξ ὑποθέσεως) καὶ οἱ παλαιοὶ Αἰγύπτιοι τὴν ζειὰν ἔλεγον dara, διὰ τί μὴ τοιοῦτό τι παρομοίως ἔγραψε λατινιστὶ καὶ Ἱερώνυμος, ἀλλ' ἐχάραξε τὴν λέξιν ἑλληνιστὶ θ ή ρ α ν; δι' οὐδὲν ἄλλο πάντως, εἰμὴ διότι λέξιν μὲν Αἰγυπτίαν (dara ἢ dora κτλ.) οὐδεμίαν εἶχε κατὰ νοῦν, αὐτὸ δὲ τὸ τοῦ ψαλμοῦ θ ή ρ α ν, ὅπερ ἤθελεν ἀκριβέστερον ἐφαρμόσαι πρὸς τὸ ἑβρ. zeda, σίτησιν σημαῖνον καὶ καρποὺς ἐπετείους, (cibaria, fruges. βλ. τὸ χωρίον Quaest. Hebraic. in Genes.). Ἐπειδὴ γοῦν τὴν ἀθήραν ἔβλεπε πολλὴν ἐν Αἰγύπτῳ σκευαζομένην, καὶ πολλάκις ἐκ ζ ε ι ᾶ ς (ὡς ἔκπαλαι εἰώθεισαν· βλ. Ἡροδότ. β. §. 36), ἐνόμισεν ὅτι τὴν ζειὰν ἔλεγον ἀθήραν, ἢ atheram, καὶ τοῦτο ἐξέλαβεν ὡς παραφθορὰν τοῦ ἐν τῷ ψαλμῷ θ ή ρ α. Ὅθεν καὶ εἰς τοῦτο (ὡς ἐν γένει παρὰ τοῖς Ο, σίτησιν σημαῖνον καὶ κ α ρ π ο ύ ς, κατὰ τὸ zeda) ἀπέδωκεν ἰδίως καὶ τὴν σημασίαν τῆς ζειᾶς, καὶ θ ή ρ α ν ἔγραψεν ἑλληνιστί, (διότι λέξιν Αἰγυπτίαν οὐδεμίαν εἶχε γράψαι παλαιάν· ἐπ' αὐτοῦ δὲ ἀ-θ ή ρ α ν ἔλεγον οἱ Αἰγύπτιοι)· καὶ οὕτω παρέστησεν ἡμῖν ὡς ἀρχαίαν καὶ γνησίαν Αἰγύπτου φωνὴν τὴν ἀπό τε τῶν Ὁμήρου, καὶ τῶν προομηρικῶν δὲ χρόνων γνωστὴν καὶ φίλην τοῖς Ἕλλησι θ ή ρ α ν !

Κατὰ δὲ τὸν ἀστεῖον καὶ ἀρχαιότατον Φερεκράτην ἐν ταῖς Ἀθήναις

« Ποταμοὶ μὲν *ἀθάρης* καὶ μέλανος ζωμοῦ πλέῳ
Διὰ τῶν στενωπῶν τονθορυγοῦντες, ἔῤῥεον » (α).

καὶ Δωριεῖς δὲ καὶ Αἰολεῖς, προφέροντες *ἀθάραν* (Σχ. Ἀριστοφ. Πλούτ. αὐτ.)· ὅθεν καὶ οἱ πολλοὺς Δωρισμοὺς ἔχοντες Μακεδόνες καὶ Ἀλεξανδρεῖς, *ἀθάραν* ἐκάλουν. « Ἐν Ἀλεξανδρείᾳ *ἀθάραν* ἐσθίουσι »(Γαλην. π. Γλαυκ. Β. 12)· ἔλεγον δὲ καὶ *ἀθήραν* κατὰ τὸν Ἡσύχιον· «Ἀθηρὰ (ἴσ. γρ. ἀθήρα), βρῶμα διὰ πυρῶν καὶ γάλακτος ἡψημένον, παρ᾽ Αἰγυπτίοις » (τουτέστι τοῖς *᾽Αλεξανδρεῦσιν*, ὡς ὀρθῶς ἐξήγησεν ὁ Στούρζιος, σελ. 86). Οὕτω καὶ Πλίνιος *Αἰγυπτίους* εἶπε τοὺς Ἀλεξανδρεῖς (ὡς ἴδομεν ἀνωτέρω), καὶ Ὀρειβάσιος· « τῇ παρ᾽ Αἰγυπτίοις λεγομένῃ ἀθέρῃ (ἴσ. γρ. ἀθήρᾳ)· ἕψημα δέ ἐςι γινόμενον παρ᾽ αὐτοῖς ἐκ πυρίνου λευκοῦ ἀλεύρου» (Ὀρειβ. Ἰατρ. συναγ. βιβλ. με. 4). Κατεσκεύαζον δὲ τὸ ἕψημα διαφόρως· (καί μοι φέρε πρᾴως ἀναγνῶστα, εἰ μετὰ πολλὴν *ζυθολογίαν* προσοχθήσεις καὶ πρὸς παχυλοὺς *ἀθάρας* λόγους, εἰς οὓς Ὅδιος ἡμᾶς καὶ ἄκοντας συνελαύνει, παρ᾽ Ἱερωνύμου λαβὼν ἀφορμήν). « Ἀθάρη (λέγει πάλιν Ἡσύχιος) πυρίνη πτισάνη· ὁλόπυρος πτισάνη πυροῦ· καὶ πολτῶδές τι ». « Ἀθάρη, ἡ ἐκ *πυρῶν* ἡψημένων καὶ διακεχυμένων τροφή (Φρύνιχ.). « Ἀθάρη, ἐκ καγχρυδίου » (Πολυδ. α, ιϐ, 18). « *᾽Αθήρα*, ἐκ τῆς ἀληλεσμένης εἰς λεπτὸν ΖΕΙΑΣ σκευάζεται ῥόφημα. Ἔστι δὲ ὥσπερ πολτάριον, ὑγρὸν, παιδίοις ἁρμόδιον » κτλ. (Διοσκορ. Β. 114). « *᾽Αθάρην*, οὐκ ἀθαρὴν, τὴν *ἐρεικτὴν* καλοῦσι (Φιλήμ. σελ. 291. καὶ Σουΐδ.). «*Ἀθήρην*, τὴν ἡψημένην σεμίδαλιν» (Εὐςάθ. σελ. 1675). « Ἀθήρα, ἄλευρον ἡψημένον» (Σουΐδ.). Καὶ *ἔτνος* δὲ ἔλεγον καὶ τὴν ἀθάραν, καὶ τὸ πίσινον ἀφέψημα » (Σχ. Ἀριστοφ. Ἀχαρν. καὶ Σουΐδ. λ. Ἐτνήρυσις). Ἄλλα παραλείπομεν (ϐ). Εἰ δὲ

(α) Φερεκρ.᾽ π. Πολυδ. ς. θ. 6. καὶ π. ᾽Αθην. ς, 268.

(ϐ) Ο Κύστερος (Kuster) εἰς Σουΐδ. (αὐτ.) ἐσημείωσεν ὡς ἐνίοτε συγχεόμενα παρὰ τοῖς γραμματικοῖς τὰ τρία ταῦτα «ἀθάρα, ἔτνος, ἐρεικτή. ᾽Αλλ᾽ ἡ σύγχυσις προῆλθεν ἴσως ἐκ τῆς διαφόρου κατά τε τόπους καὶ χρήσεις κατασκευῆς

πάλιν διατείνεται μετὰ τῶν ἀρχαίων Αἰγυπτίων φιλαρχαΐζων ὁ κριτικὸς, ὅτι ἄρα πρῶτος Ὄσιρις καὶ ἡ Αἰγυπτία Ἶσις ἐδίδαξαν τὸν Τριπτόλεμον καὶ τὴν Δήμητραν τῆς Ἑλλάδος τήν τε χρῆσιν καὶ αὐτὸ τὸ ὄνομα τῆς ἀθάρας, ἡμεῖς οὐδὲν ἕτερον ἔχομεν ἀντει-

---

τῆς ἀθάρας. Τὸ ἕψημα κατεσκευάζετο ἐκ πυρῶν καὶ ἄλλων σιτηρῶν. Καὶ τούτων, α) ἢ εἰς λεπτὸν ἀληλεσμένων, ἢ καὶ ἁδροτέρων (χονδραλέστων, ὡς ἡ σεμίδαλις κτλ.)· καὶ ἢ ὑγρὸν καὶ ὑδαρῶδες (ὡς τὸ ἐκ ζειᾶς ῥόφημα, ἁρμόδιον τοῖς παιδίοις), ἢ μᾶλλον σύμπηκτον καὶ συνεστηκὸς (ὡς ἡ συνήθ. ἀλευρέα, καὶ παρ' ἄλλοις, χυλὸς, καὶ ξενικῶς κουρκούτη· ὃ καὶ παραδόξως ὑπό τινων ἐξελληνίσθη παρὰ τὸ κυρκάω, οἷον κυρκωτή!). Τοῦτο κυρίως τὸ ἐξ ἀλεύρου, ἢ σεμιδάλεως, εἶδος τῆς ἀθήρας ὑπῆρχε μάλιστα σύνηθες παρὰ τοῖς ἀρχαίοις (πρβλ. τὸ «πολλὴν ἕφλων τῆς ἀθάρας». Ἀριστοφ. Πλούτ. ὅπου τὸ ἕφλων συνεμφαίνει καὶ τὸ μαλακὸν τοῦ βρώματος). συνήψων δὲ τοῦτο καὶ μετὰ γάλακτος. β) Ἡ ἐξ ἐρεικτῶν (χειρομυλιστῶν), ἢ καὶ πτιστῶν (κοπανιστῶν) σιτηρῶν, ἄλλων τε παντοίων (οἷον κριθῆς, ἁπλῆς, ἢ πεφρυγμένης, κτλ.) καὶ μάλιστα πυρῶν, ἡψημένων καὶ διακεχυμένων ὥσπερ ἔτνος» [ὡς τὰ συνήθως λίαν ἡψημένα κόλλυβα, (ἐν οἷς καὶ τὸ παρά τισιν δαρτὸν, καὶ ξενικῶς κεσκέκι), καὶ ὁ μετὰ μέλιτος κολλυβόζωμος, ὁ καὶ ξενικῶς ἀσουρὲς-ρᾶς. Οὕτω καὶ παρὰ τοῖς ἀρχαιοτέροις Βυζαντινοῖς, «Ἀθάρη σιτῶδές τι ἑψητὸν, ὅπερ ἐν τῇ συνηθείᾳ ἄρσανα (ἴσ. γρ. ἀσαρᾶν) καλοῦσι» Ἀνέκδ. Βεκκήρ. 1173]. Τοιοῦτός ἐστι καὶ ὁ κρίθινος φάρος (far), ὡς ἡ πτισάνη· καὶ ὁ χόνδρος (πολλαχοῦ σκευαζόμενος ἀπὸ κριθῆς πεφρυγμένης ἔτι γαλακτώδους). Χόνδρος δέ τις καὶ ὁ συνήθ. κοπτὸς (= ἐρεικτὸς) καὶ ξενικῶς πνιγοῦρι, καὶ τοῦτο ἐκ πυρῶν (καὶ οἱ Σύροι δὲ τὰ νῦν ἐν Χαλεπίῳ Buuchurt λέγουσι τὴν λέξιν· εἰ πιστῶς ἀκήκοεν ὁ Flaminius in Reisebeschreib. p. 150· πρόσθες καὶ τὸν μετὰ γάλακτος φυρώμενον καὶ σκευαζόμενον εἰς ῥόφημα τραχανὸν, τουτέστι, τραγανὸν, διὰ τὸ χονδρῶδες κτλ.]. Ταῦτα δὲ πάντα ἐρείγματα, ἢ εἴδη τῆς ἐρεικτῆς. Ὅθεν καὶ ἡ ὥσπερ ἔτνος σκευαζομένη πολλάκις ἀθάρα συνεχύθη καὶ πρὸς τὸ κυριολεκτούμενον ἔτνος αὐτὸ («πᾶν τὸ ἀπὸ ὀσπρίων ἐρηρειγμένον ἕψημα». Γαλην. Γλωσ. ἡ συνήθ. φάβα). Ὁ δὲ Σχολιαστὴς Ἀριστοφάνους (Πλούτ. 627) εἶπε καὶ ὅτι, «Ὁ κοῖλος ἄρτος μιστύλη καλεῖται, ἤγουν ἀθάρα» (νοῶν ἴσως τὴν συνήθ. παπάραν, τὰς ἐνθρυμματίδας τῶν παλαιῶν: Ἀθήν. δ. 131). Ἀλλὰ ψευδῶς· αὐτὸς οὗτος ἐφεξῆς (στίχ. 670) ἐσημείωσεν «Ἀθάρα, μόνη ἡ σεμίδαλις» (ἡ ἐκ σεμιδάλ. δηλαδή). Ὅθεν ἴσως καὶ παρὰ τῷ ἱερῷ Ἐπιφανίῳ (αἱρεσ. γ. 2)· ἐῤῥέθη ἐκ παραλλήλου «ἀθήραις τε, καὶ σεμιδάλεσι (τὰς ὄψεις χρίοντες)». Ἀλλὰ περὶ τούτων ἅλις καὶ παροδικῶς (ἐφ' ὅσον ἀνῆκεν ὡς πρὸς τὴν σύγχυσιν τῆς θήρας μετὰ τῆς ἀθάρας). τὸ δ' ἐξακριβοῦν τὰ τοιαῦτα ἄλλοις παρήσομεν (βλ. Θησαυρ. Στ. Ἐῤῥίκ. λ. ἀθήρη ἐκδ. Paris. καὶ Valcken. ad Theocrit. Adoniaz. p. 205 κτλ.).

πεῖν, ἢ δύω ταῦτα μόνον τὰ στενὰ καὶ σύντομα· α) ὅτι οἱ Ο, οὔτ᾽ ἀθήραν (ἢ ἀθάραν κτλ.) ἔγραψαν οὐδόλως οὐδαμοῦ τῶν θείων Γραφῶν, οὔτε ταύτην ἐνόησαν γράψαντες τὸ ἑλληνικώτατον *θήραν*· β) Ἀλλὰ καὶ εἴπερ ἔγραφον *ἀθήραν*, ἔγραφον ἂν λέξιν οὐκ Αἰγύπτιον, ἀλλ᾽ ἀρχαίαν καὶ γνησίαν ἑλληνικὴν, ὡς φαίνεται ἔκ τε τῆς ἀρχαιοτάτης παρ᾽ Ἕλλησι χρήσεως, καὶ ἐξ αὐτῆς τῆς ἐτυμολογίας τῆς φωνῆς. « *Ἀθάρη* (λέγει Φρύνιχος), καὶ *Ἀθέρα* (α), καὶ *Ἀθήρα* (καὶ Ἀθήρη) καὶ Ἀθάρα τὸ αὐτό φασιν. Ἔστι δὲ ἀθάρη, ἡ ἐκ πυρῶν ἡψημένων καὶ διακεχυμένων, *ὥσπερ ἔτνος*, τροφή· διαφέρει δὲ τοῦ ἔτνους, ὅτι τὸ μὲν ἔτνος ἐκ κυάμων, ἢ πισῶν (γρ. πίσων), ἢ ἁπλῶς κατερεικτῶν *τινων οὖν* (γρ. ὡντινωνοῦν) σκευάζεται· ἡ δὲ ἀθάρη, ὥσπερ εἴρηται.— Ἔστι δὲ ἡ *χρῆσις πολλὴ παρὰ τοῖς Ἀττικοῖς*, κατὰ μὲν τὸ τέλος διὰ τοῦ η προαγομένη, κατὰ δὲ τὴν μέσην, διὰ τοῦ α. Οὕτω δὲ καὶ Ἑλλάνικος καὶ Σώφρων ἐχρήσαντο. Ἐκτείνουσι δὲ καὶ τὸ α, ὡς ἀπὸ τοῦ *ἀθήρα* (γρ. ἀθὴρ) τῆς λέξεως μεταληφθείσης. Ἴσως δέ φασιν ἀθέρα ἦν ἡ λέξις, διὰ τοῦ ε, ἡ ἐκ τῶν ἀθέρων κεκαθαρμένη τροφὴ, καὶ ἡψημένη ἐκ τῶν πυρῶν· ὕστερον δὲ τὸ ε, εἰς τὸ α (γρ. τὸ η) ἐξετάθη, ὥσπερ καὶ τὸ *ἔθος* εἰς *ἦθος*· τὸ μέν τοι *ἀθέρα* (γρ. ἀθήρα) εἰς τὸ ἀθάρα Δωρικῶς γέγονεν· οἱ δὲ ἀθάρην λέγοντες, ἰακῶς φασιν.— Ὥστε τὸ ἀθάρη παρὰ τοῖς Ἀττικοῖς λεγόμενον, τὴν μὲν παραλήγουσαν κατὰ τὴν Δώριον, τὴν δὲ κατάληξιν κατὰ τὴν Ἰωνικὴν ἔσχε διάλεκτον. Οὕτως Ἀριστοφάνης, Πλούτῳ· « *Ἀθάρης χύτρα* ». Κράτης, Ἥρωσιν. « Οὐκοῦν *ἔτνους* χρὴ δεῦρο τρυβλίον φέρειν. Καὶ τῆς ἀθάρης » (β). Ὥστε οἱ περὶ τὸν Φρύνιχον ἐτυμολογοῦντες τὴν ἀθήραν παρὰ τὸν *ἀθέρα* (τῶν σταχύων), ἐθεώρουν ὡς γνησίαν ἑλληνικήν· (τοιαύτην δὲ καὶ ὁ κλεινὸς Οὐαλκενῆρος ἀπεδέξατο, καὶ οἱ πλεῖστοι τῶν κριτικῶν). Εἰ δέ τινα καὶ ἄλλην ἐτυμολογίαν ἀπαιτήσουσιν οἱ περὶ τὸν Ὄδιον,

---

(α) Τὸ Ἀθέρα ἀμφίβολον, ἢ νεώτερον· ὅθεν καὶ τὸ ἐξ αὐτοῦ ἀθέρωμα (ἀντὶ ἀθήρωμα) σύνηθες τοῖς νεωτέροις ἰατροῖς (βλ. Θησαυρ. αὐτόθ.). Καὶ αὐτὸς ὁ Φρύνιχος, χάριν ἐτυμολογίας μόνον, ἀναφέρει τὸν τύπον ἐφεξῆς.

(β) Φρύνιχ. παρὰ Valckenaer. ad Theocrit. Adoniaz. p. 204—205.

δότωσαν ἡμῖν (ἂν θέλωσιν) ἐτυμολογῆσαι τὴν λέξιν παρὰ τὸ ἄδω (τὸ αὐτὸ σχεδὸν καὶ ἔδω) ἄδη, ἀδερὸς, ἢ ἀδηρὸς, ρὰ, καὶ ἀθηρὰ (θ=δ, ὡς ἐκ τοῦ ἔδω, ἔθω, καὶ ἔσθω, ἐσθίω), καὶ παροξυτόνως (εἰς οὐσιαστικοῦ σχηματισμὸν) ἀθήρα (ἀττ. ἀθάρη, δωρικ. ἀθάρα), καθὸ μάλιστα σύνηθες ἐδανὸν, ἢ ἔδαρ (καὶ εἶδαρ), τουτέστιν ἐδωδὴ, τροφή· καὶ αὕτη ἀδερὰ, δηλαδὴ ἀδρὰ (παρὰ τὸ ἄδω, ἀδερὸς, συγκ. ἀδρὸς), ὡς τρυφερὰ καὶ τρόφιμος. Ἐκ τοῦ (ἔδω) ἐδανὸς (συγκοπ. ἐδνὸς) ὠνομάσθη καὶ τὸ τῆς ἀθάρας συγγενὲς ἔτνος, τροπῇ τοῦ δ, εἰς τ, καθ' ὑπέρθεσιν τοῦ τόνου (α)· καθὰ καὶ τὸ ἀθήρα παρωξυτονήθη ἐκ τοῦ ἀθηρὰ, ὡς γράφεται συνήθως παρ' Ἡσυχίῳ. (β).

---

(α) Βλ. Ῥειμέρ. Ἑλληνογερμ. Λεξικ. λ. ἔτνος, καὶ ἄδω, ἔδω, ἥδω.

(β) Ὁ Θήρσιος (De Pentateuch. p. 76—78) πρὸς ταῖς ἀνωτέρω παρ' Ὀδίῳ Ἀλεξανδριναῖς λέξεσι προστίθησι καὶ τὸ Θίβη, ὃ γράφεται καὶ Θίβις, ἡ (Ἐξόδ. Β, 3, 5. 6, κώδ. Ἀλέξ. καὶ Βατικ.), καὶ Θήβη (Σειρ. εἰς Ὀκτάτευχ. Ἐξόδ. αὐτ.) Ἀλλὰ τοῦτο κέκριται παρ' ἄλλοις (Bernard., Reland., Grot., Carpzov., Wesseling. etc.) αὐτὸ τὸ ἑβρ. Thebah = κιβωτὸς, ὡς ἡρμήνευσαν οἱ Ο, (Γεν. ς, 14). Ἐν δ' Ἐξόδῳ, β, κατέλιπον αὐτὸ τὸ ἑβραϊκὸν ἑλληνικώτερον ἐσχηματισμένον, Θίβη, καθότι ἐνταῦθα οὐ κιβωτὸν (μεγάλην), ἀλλὰ κιβώτιον σημαίνει, καὶ ἁπλῶς πλέγμα κιβωτοειδές. Εἴθιστο δ', ὡς ἔοικεν, ἡ λέξις παρὰ τοῖς τότε ἑλληνισταῖς, ἐπὶ πλεγμάτων κιβωτοειδῶν, καὶ τούτων ἐκ παπύρου μάλιστα. «Θίβη, πλέγμα βύβλινον, ἐμφερὲς κοιτίδι» (Γλωσ. εἰς Ὀκτάτευχ. πρβλ. Ἰώσ. Ἀρχ. β, θ, 4). «Θίβη, κιβώτιον ἐκ βύβλου πλεκτὸν, ὡς κοφινῶδες» (Σουΐδ. καὶ Φωτ. λεξ.). «Θίβη, κιβώτιον ἐκ παπύρου — ὃ καλοῦσι στίτην (γρ. κίστην) (Σχ. εἰς Ἐξ. αὐτ.). Θίβη, κιβώτιον ἐκ φυλλῶν (γρ. βύβλου) κτλ. (Κυρίλ. καὶ Ζωναρ. λεξ.). Ὅθεν καὶ οἱ Ο, Θίβην ἁπλῶς ἔγραψαν, ὅπου τὸ ἑβρ. ἔχει Thebah Gome, τουτ. κιβωτὸν παπυρίνην, ἢ Fiscellam Scirpeam (Βουλγάτ.) (ἐκ δὲ τούτου καὶ ἐν τῇ Ἄλδ. ἐκδ. τῶν Ο, παρεισέδυ πρὸς τῷ Θίβη, καὶ τὸ, ἐκ παπύρου· ὡς πάλιν ἐν τῇ Κομπλουτ. ἐτράπη τὸ Θίβη εἰς τὸ Θήκη. Ἄλλοι δὲ πάλιν (οὐδ' οὗτοι ἀπιθάνως) τὸ Θίβη λέγουσι γενέθλης ἑλληνικῆς, (οὐ μὴν ἀλεξανδρινῆς) συγγενὲς τοῦ «Θίβων, κιβωτός· Κύπριοι»· καὶ τῶν Ἴβην, καὶ Ἴβηνοι, (σοροὶ, κιβωτοὶ)· Τιβήν, λέβης, τρίπους· (Ἡσύχ. βλ. καὶ Riemer. Ἑλληνογερμ. Λεξ. καὶ Στεφ. Ἑῤῥ. Θησαυρ. τῆς Ἑλλην. Γλώσ. vol. I. p. cccli. Lond. 1817). Τὸ Θίβη ἀπαντᾷ καὶ παρὰ Λουκιανῷ (Τίμων. § 15), καὶ παρ' Ἀθηναίῳ (δ. § 29), ὅπου ὅμως διορθοῦσι, Θήκη. — Ἀλεξανδρινὰς ὁ Θήρσιος (σελ. 77) ὑπέλαβε καὶ τὰς ἐκ τοῦ ἀρχι- συνθέτους λέξεις (ἐπὶ ἀξιωμάτων τινων), οἷον ἀρχιστράτηγος, ἀρχιμάγειρος, ἀρχισιτοποιὸς, ἀρχιοινοχόος (Γεν. κα, 22: λζ, 36: μ, 1: μα, 9), ὡς συνήθεις ἐν τῇ αὐλῇ τῶν Πτολεμαίων· καθὰ φαίνονται (φησὶ) καὶ ἐν τοῖς παπύροις τὰ ἀρχισωματοφύλαξ, ἀρχικύνηγος κτλ. — Ἀλλὰ τοιαῦτα τῶν ἀξιωματικῶν ἐπώνυμα ἀπαντῶνται ἐν χρήσει καὶ πρὸ τῶν Πτολεμαίων. Ὁ Μ. Ἀλέξανδρος εἶχεν ἀρχιϋπασπιστὴν (Πλουτ.

Ταῦτα πρὸς τὰς λέξεις, ἃς ὅδιος ἐσημειώσατο, πολλοὺς καὶ ἄλλους ἐπαγόμενος κατόπιν συνυπηχοῦντας. Προστεθείσθω δὲ τούτοις, ὡς ἐπίμετρον, καὶ ἡ ἀντίφασις εἰς ἣν περιέπεσεν, αὐτὸς ἑαυτὸν κατασυμποδίσας. Ὅλαις δυνάμεσιν ὁ σοφὸς οὗτος διατείνεται, ὅτι ὁ Ἀριστέας ἱστορεῖ τοὺς Ο, μόνην τὴν Πεντάτευχον ἑρμηνεύσαντας (βλ. ἐφεξῆς κεφ. Ζ. §. α.)· ἀλλ᾽ ἐνταῦθα δείγματα τῆς τούτων Αἰγυπτίας γενέθλης ἐξέφερεν οὐ μόνον ἐκ τῆς Πεντατεύχου, ἀλλὰ καὶ ἐκ τοῦ Ἰὼϐ, καὶ ἐκ τῶν Ψαλμῶν, καὶ ἐκ τοῦ Ἡσαΐου. Ὥστε καὶ τούτων τῶν τευχῶν ἑρμηνεῖς τοὺς αὐτοὺς Ο, ἀνεκήρυξε (α).

§. ιη. Πρὸς δὲ τὰ τοῦ Κροΐου (σελ. 184) ἁπλουστέρα ἡ ἀπάντησις. 1) Οἱ πανταχοῦ καὶ πάντοτε φύρδην καὶ μίγδην (κατ᾽ αὐτὸν) Ἑβραιοχαλδαΐζοντες καὶ Ἀλεξανδρινίζοντες Ο, ἀνέγνωσαν (ὡς φαίνεται) πολὺ παρ᾽ αὐτὸν ἐπιμελέστερον τοὺς ἐνδόξους τῆς Ἑλλάδος συγγραφεῖς, παρ᾽ οἷς τὰ « *Ἐξηγηταὶ, σοφοὶ, σοφισταὶ* », κεῖνται σαφῶς ἐφ᾽ ἧς καὶ αὐτοὶ τὰς λέξεις ταύτας ἔταξαν σημασίας (ἐπὶ τῶν ὑποφητῶν δηλαδὴ καὶ μάγων). Αὐτίκα Ἡρόδοτος (α, 78) « Τοὺς *ἐξηγητέας* τῶν Τελμησσέων » (τουτέστι τοὺς θεοπρόπους τοὺς τὰ θεῖα διασαφοῦντας, καὶ περὶ τῶν Διοσημειῶν

---

*Εὐμέν. βλ. ὄπισθ. τ. α. σελ. 31) καὶ ἀρχικυϐερνήτην (Πλούτ. Ἀλεξ. §. 66: Στράϐ. ιε, 598)· ὡς καὶ Δημήτριος ὁ Ἀντιγόνου, ἀρχικυϐερνήτην τοῦ στόλου (Διόδωρ. Κ. σελ. 443. W.). Καὶ πολὺ πρὸ τούτων οἱ Ἀττικοὶ καὶ Ἕλληνες, ἀρχιθέωρον (Δημοσθ.), καὶ ἀρχιτέκτονα (Ἀριστοφ.), καὶ ἀρχίδικον (Δημοσθ.), καὶ ἀρχιερέα (ἐπὶ Καισάρων) ἀρχαιότατον δὲ παρὰ Σύροις (Λουκ. περὶ τ. Συρίης Θεοῦ, §. 3) κτλ. εὑρίσκεται καὶ Ἀρχιθιασώτης, Ἀρχιερανιστὴς (Ἐπιγραφ.) κτλ. Πρόσθες καὶ τὰ παλαιὰ κύρια ὀνόματα ἐκεῖνα, Ἀρχιμήδης, Ἀρχίλοχος, Ἄρχιππος (=Ἵππαρχος), κτλ. Πρὸς τοῦτον τὸν τύπον ἐσχηματίσθησαν καὶ τὰ ἀρχιμάγειρος, ἀρχιοινοχόος, κτλ. ὁποίους εἶχον οἱ μετὰ τὸν Ἀλέξανδρον βασιλεῖς τῆς Ἀσίας, καὶ τῆς Αἰγύπτου, μιμούμενοι τοὺς Πέρσας καὶ Ἀσσυρίους, οἵτινες εἶχον ἐν ταῖς αὐλαῖς αὐτῶν τοιούτους ἀξιωματικούς. Ἀναλογεῖ δὲ τὸ ἐν τοῖς τοιούτοις συνθέτοις ἑλληνικὸν ἀρχι πρὸς τὰ Ἀσιανὰ Schar, ἢ Rab, ἢ Ros (ἄρχων, ἐπιστάτης, κεφαλή). Οὕτως οἱ Ο, ἔγραψαν καὶ Ἀρχίφυλος (Δευτ. κθ, 10. ἑϐρ. κεφαλὴ φυλῆς) τὸ αὐτὸ καὶ φύλαρχος (Δημοσθ.), καὶ Ἀρχιπατριώτης (Ἰησ. κα, 11, ἑϐρ. κεφαλὴ πατέρων, τουτ. πατριᾶς, ὡς τὸ πατριάρχης, κτλ.). Ἐν τοῖς κατωτέρω χρόνοις εὑρίσκεται μεταξὺ τῶν ἄλλων καὶ Ἀρχέμπορος (Παλμύρας ἐπιγραφ. ἐν Heeren, Commercia Urb. Palmyrae ect. p. 12. Gotting. 1831). — (α) Βλ. καὶ Frankel. l. c. p. 43.*

καὶ τῶν ἄλλων ἱερῶν διδάσκοντας). Καὶ Πλάτων (περὶ Νόμ. η), « *Ἐξηγηταὶ*, καὶ ἱερεῖς ἱέρειαί τε, καὶ *μάντεις* (ἐκ παραλλήλου, τὸ *μάντεις καὶ ἐξηγηταί*). Καὶ Θεόφραστος (χαρακτῆρ. ις. 2), λέγει περὶ τοῦ δεισιδαίμονος, ὅτι (« ἐὰν μῦς θύλακον ἀλφίτων διαφάγῃ ») « ἔρχεται πρὸς τὸν *ἐξηγητὴν* » (ὡς ἑρμηνέα συμβόλων καὶ τεράτων). Ὁ δὲ Ξενοφῶν εἶπε καὶ ῥηματικῶς (περὶ θυσιῶν) ὅτι ἐγένοντο, « καθὼς *ἐξηγήσαντο* οἱ μάγοι » (Κυροπαιδ. Η, γ, 11). Ὅθεν καὶ Πλούταρχος Τιμόθεόν τινα (τοῦ γένους τῶν Εὐμολπιδῶν ἱεροφαντῶν) ἐπωνόμασεν « *ἐξηγητήν* » (π. Ἴσιδ. καὶ Ὀσίρ. 28)· καὶ τὸν μέγιστον τῶν Ῥωμαίων Ποντίφηκα διώρισεν, ὅτι « *ἐξηγητοῦ* καὶ προφήτου, μᾶλλον δὲ ἱεροφάντου τάξιν ἐπέχει » (Νουμ. §. 9). Εἶπε καὶ Ἀριστείδης « διὰ τοῦ κοινοῦ μάντεως καὶ *ἐξηγητοῦ*· καὶ ὅτι « Θεμιστοκλῆς τὰ μέλλοντα ὥσπερ μάντις *ἐξηγεῖτο* » (Παναθ. τ. α. σελ. 135 καὶ 196)· καὶ ὁ Σχολιαστὴς τοῦ Ἀριστοφάνους (Νεφ. 331), « Λάμπων ὁ μάντις, ὃν *ἐξηγητὴν* ἐκάλουν » (οἱ τότε Ἀθηναῖοι) (α)· [παρὰ δὲ τοῖς Αἰγυπτίοις ἄλλο τι ἦν ὁ *Ἐξηγητὴς*, ἄρχων ἐπιχώριος (οὐ μάντις), « πορφύραν ἀμπεχόμενος, καὶ ἔχων πατρίους τιμὰς, καὶ ἐπιμέλειαν τῶν τῇ πόλει χρησίμων ». Στράβ. ιζ. 797]. Τῷ δὲ πάλιν *σοφὸς* (ἐπὶ τοῦ μάντεως καὶ διερμηνευτοῦ τῶν θείων) ἐχρήσατο μὲν Εὐριπίδης εἰπών· « Σοφὸς γὰρ ἀνὴρ (ὁ μαντικὸς Πιτθεὺς), καὶ τρίβων τὰ τοιαῦτα » (Μηδ. 686), ἐχρήσατο δὲ καὶ Ἡρόδοτος (β, 49) καλέσας μὲν τὸν μάντιν Μελάμπουν « ἄνδρα *σοφὸν*, μαντικήν τε ἑωϋτῷ συστῆσαι » κτλ., ἐπιμνημονεύσας δὲ, « καὶ τοὺς ἐπιγενομένους τούτῳ *σοφιστὰς* » τουτέστι (*μάντεις καὶ ἐξηγητάς*). Οὕτω παρὰ τοῖς ἀρχαίοις

---

(α) Βλ. Sturz, Dial. Maced. praef. pag. v. καὶ Fischer in indice Theophr. et in not. 17, ad Platon. Euthyphr. c. 4. καὶ Cuper in Apotheosi Homeri p. 276—278. Πρόσθες καὶ ἄλλα τοῦ Πλάτωνος· « Οὗτος (ὁ Ἀπόλλων), πᾶσιν ἀνθρώποις πάτριος ἐξηγητὴς, ἐν μέσῳ τῆς γῆς ἐπὶ τοῦ ὀμφαλοῦ καθήμενος, ἐξηγεῖται » (Πολιτ. δ. σελ. 427: πρβλ. Νόμ. ς. 616: Θεάγ. 312)· καὶ, « Κατὰ τὰς ἐν τοῖς κεραυνοῖς διοσημείας τούτοις ἐξηγηταῖς χρῶνται » (Διόδ. ε, 40, καὶ σημ. Wessel. πρβλ. καὶ Παυσ. Α. λδ. 3), καὶ Εὐριπίδης. « τὸν ἐν οἰωνοῖς σοφὸν Κάλχαντα » (Ἰφιγ. Τ. 662) κτλ. Βλ. καὶ Τιμαίου λεξικὸν λ. Ἐξηγηταὶ (σελ. 80 καὶ σημ. Ruhnken.), καὶ Hemsterh. εἰς Πολυδ. η, 124.

Ἕλλησιν αἱ λέξεις, *ἐξηγηταὶ*, *σοφοὶ*, *σοφισταὶ*, *μάντεις* (οἱ μάγοι) φέρονται πολλάκις ταυτοσήμαντοι, τὰ μὲν *σοφὸς καὶ σοφισταὶ*, πλατυκώτερον, ὡς γένος, τὰ δ' *ἐξηγηταὶ καὶ μάντεις*, ὡς εἶδος, κατὰ στενωτέραν ἐκδοχὴν, ὡς ὀρθῶς περὶ τούτων ἐδίδαξε τοὺς περὶ τὸν Κρόϊον καὶ Ὄδιον σοφοὺς ὁ πολυΐδμων Στούρζιος (αὐτόθ.).

2) Τὸ δὲ *ἄθυτον* (Λευϊτ. ιθ. 7), θαυμαστὸν, πῶς καὶ αὐτὸς ὁ φιλοκρινέστατος ἀνὴρ ἐξεδέξατο ἁπλῶς ἐπὶ τοῦ μιαροῦ καὶ βεβήλου (βρώματος), καὶ κατέταξεν εἰς τὰς χρήσεις τῶν Ἀλεξανδρινῶν, πιστεύσας ἀταλαιπώρως καὶ δοκιμάσας τὴν γνώμην τοῦ Κροΐου (Στούρζ. σελ. 144). Ἀλλ' ἰδοὺ τὸ χωρίον τῶν Ο. «Ἧ ἂν ἡμέρᾳ θύσητε (θυσίαν σωτηρίου), βρωθήτεται, καὶ τῇ αὔριον. Καὶ ἐὰν καταλειφθῇ ἕως ἡμέρας τρίτης, ἐν πυρὶ κατακαυθήσεται. Ἐὰν δὲ βρώσει βρωθῇ τῇ ἡμέρᾳ τῇ τρίτῃ, *ἄθυτόν ἐστιν*, οὐ δεχθήσεται. Ὁ δὲ ἐσθίων αὐτὸ ἁμαρτίαν λήψεται, ὅτι τὰ *ἅγια Κυρίου ἐβεβήλωσε* » (Λευϊτ. ιθ, 6—9). Ἐνταῦθα φανερὸν, ὅτι τὸ *ἄθυτον* σημαίνει τὸ αὐτὸ, καὶ τὸ τοῦ Λυσίου « *ἄθυτα ἱερά* »· (βλ. ὄπισθ. §. ζ.), τουτέστιν ὅλως ἀθυσίαστον, ἴσα καὶ εἰ μηδόλως ἐτύθη, ἄπρακτον καὶ ἀτέλεστον (ὡς ἀπρόσδεκτον). Συνεπάγεται δὲ μάλιστα καὶ τὴν ἔννοιαν τοῦ βεβήλου καὶ ἀνιέρου καὶ πρὸς θυσίαν οὐχ ὁσίου, κατὰ τὸ παρὰ τῷ Πλουτάρχῳ (π. Ἴσιδ. καὶ Ὀσίρ. §. 31) « *τὸν βοῦν* (τὸν πυρόχρουν, ἂν καὶ μίαν ἔχῃ τρίχα μέλαιναν, ἢ λευκὴν) *ἄθυτον ἡγεῖσθαι* »· δηλονότι μὴ θύσιμον, μὴ νενομισμένον εἰς θυσίαν, ἀλλ' ἀθέσμιον καὶ ἀπόβλητον, ὡς ἀκάθαρτον καὶ μιαρόν (πρβλ. αὐτ. αὐτόθ. καὶ §. 4). Ὅτι δὲ καὶ παρ' Αἰγυπτίοις, καὶ παρ' ἄλλοις ἀρχαίοις λαοῖς, ὡς καὶ παρ' Ἰουδαίοις, ἐνομίζοντο « τὰ μὲν τῶν ζώων *θύσιμα καὶ βρώσιμα*, τὰ δὲ πάλιν *ἄθυτα καὶ ἄβρωτα*, ὡς ἄναγνα καὶ μυσαρά », φανερόν (α). Ἄθυτον λοιπὸν ὁ νόμος ὠνόμασεν ὅλον τὸ τυθὲν ἱερεῖον (β),

(α) Βλ. Πλούτ. Συμπ. Δ. ε. — Πορφύρ. π. ἀποχ. δ. — Λαέρτ. Η. α, 19. — Ὠριγ. κ. Κέλσ. α. — Θεοδώρ. ἐν Ἀπόροις Λευϊτ. ἐρωτ. α. καὶ Ἑλλην. Θεραπευ. λόγ. ζ. κτλ. Λέγει δὲ καὶ Ἀριστοτέλης « τὰ πρὸς θοίνην, ἢ θ υ σ ί α ν, θηρευτὰ καὶ ἐ δ ε σ τ ὰ ζῶα ». Πολιτ. ζ. β.

(β) Τὸ ἄθυτον, ὡς πρὸς τὴν σύνταξιν, ἀναφέρεται εἰς τὸ θυσίᾳ (κατὰ τὸ σύ-

οὐχὶ τῷ *λόγῳ τῆς βρώσεως* (ὡς βρῶμα δηλαδὴ μιαρὸν, κατὰ τὰ λοιπὰ τῶν ἀπηγορευμένων ὑπὸ τοῦ νόμου), ἀλλὰ τῷ *λόγῳ τῷ τῆς θυσίας*, ὡς ὅλως ἀθυσίαστον, καὶ βέβηλον, καὶ ἀνίερον ἀποβὰν, διὰ τὴν βεβήλωσιν τοῦ βρώσει βρωθέντος εἰς τρίτην ἡμέραν καταλοίπου μέρους αὐτοῦ. Ταῦτα λέγει τὸ ῥητόν. Ὁ δὲ σοφὸς Κρόϊος ἐπλανήθη πλάνην διττήν. α) Ἐξέλαβε τὸ *ἄθυτον* οὐκ εἰς ὅλον τὸ τυθὲν ἱερεῖον, ἀλλ' ἐπὶ τῆς εἰς τρίτην ἡμέραν καταλειφθείσης *μερίδος αὐτοῦ* (ὡς λέγει ῥητῶς, portionem victimae)· ἀλλὰ τὴν ἐκδοχὴν ταύτην ἐξελέγχει λαμπρῶς τὸ παρεπόμενον « *οὐ δεχθήσεται* » (« ἄθυτόν ἐστιν, οὐ δεχθήσεται »). Ποῖον; αὐτὸ δηλαδὴ τὸ *δῶρον*, τὸ θῦμα τὸ τυθέν· τοῦτο πάντως γίνεται ἄθυτον (ἀτέλεστον καὶ βέβηλον), καὶ ἑπομένως οὐκ εὐπρόσδεκτον τῷ Θεῷ (« *οὐ δεχθήσεται* »!). Ἀλλὰ ταῦτα ποίαν ἔχουσι σχέσιν καὶ ἀναφορὰν πρὸς τὸ κατάλοιπον τοῦ θύματος μέρος; Ὅταν τοῦτο *βρώσει βρωθῇ* (παρὰ τοῦ προσενεγκόντος), πῶς λοιπὸν ἤδη βρωθὲν, καὶ τῇ κοιλίᾳ πρὸς ἀπώλειαν ἐνταφιασθὲν, *δεχθήσεται*, ἢ *οὐ δεχθήσεται τῷ Θεῷ*; ἢ οὐχὶ « τὰ βρώματα τῇ *κοιλίᾳ καὶ ἡ κοιλίᾳ τοῖς βρώμασιν. Ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει*; (α. Κορ. ϛ. 13). β). Ὁ Κρόϊος παρεβίασε καθόλου καὶ τὴν ἑλληνικὴν τοῦ *ἄθυτος* σημασίαν, ἰδίαν τινα πλάσας καὶ προσθεὶς χρῆσιν τοῦ ὀνόματος, καὶ ταύτην Ἀλεξανδρινὴν (δηλονότι τὸ βέβηλον καὶ ἀκάθαρτον ἐπὶ *βρώματος*), ἐν ᾧ πάλιν ἀντιφθέγγεται πρὸς τοῦτο καὶ ἄλλη τοῦ ῥητοῦ φράσις, καὶ μάλιστα περὶ τὸ τέλος. « Ἐάν (φησι) βρώσει βρωθῇ (τὸ καταλειφθὲν) τῇ ἡμέρᾳ τῇ τρίτῃ, ἄθυτόν ἐςι *(τὸ δῶρον)*, οὐ δεχθήσεται· ὁ δὲ ἔσθων αὐτὸ (τὸ καταλειφθὲν) ἁμαρτίαν λήψεται· ὅτι τὰ ἅγια τοῦ Κυ-

---

*νηθες σχῆμα τῆς πρὸς τὸ σημαινόμενον* τοῦ γένους ἐναλλαγῆς· « *ἡ θυσία (τὸ* θῦμα*) ἄθυτον* ». *ὡς* « Ἡ νόσος *(τὸ νόσημα)* λεγόμενον » (Θουκ. β. 47. *καὶ Σουΐδ. λ. νόσος*). « Νεφέλη *κυανέη. τὸ μὲν (τὸ νέφος) οὔποτ' ἐρωεῖ* » (Ὀδυσ. μ.) *κτλ.* Ἢ *τὸ* ἄθυτον *ἔχει συνυπονοούμενον τὸ* δῶρον (*ὡς ὀνομάζεται παρὰ τοῖς* Ο, *ἡ θυσία, καὶ αὐτὴ ἡ περὶ ἧς ὁ λόγος,* θυσία τοῦ σωτηρίου). « Ἐὰν *δὲ* θυσία *σωτηρίου τὸ* δῶρον *αὐτοῦ τῷ* Κυρίῳ, — *ἐπιθήσει τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τοῦ* δώρου, *καὶ σφάξει* αὐτὸ, *κτλ.* Λευΐτικ. γ. 1, 2, 6, 7, 12. *κτλ.*

ρίου ἐβεβήλωσε ». Ποῖα ταῦτα *τὰ ἅγια Κυρίου*; πρόδηλον, ὅτι ἡ προλαβόντως ἱερουργηθεῖσα καὶ καθαγιασθεῖσα τῷ Κυρίῳ θυσία, ἥτις (ἐὰν εἰς τρίτην ἡμέραν τὸ ἐξ αὐτῆς κατάλοιπον βρωθῇ), ἄθυτος γίνεται καὶ βέβηλος καὶ ἀνίερος (α). Θέλεις περὶ τούτων ἐπιστημονέστατον μάρτυρα καὶ πιστόν; ἄκουε τὸν Φίλωνα· « Τὴν εἰς τρίτην ἡμέραν χρῆσιν » (τοῦ καταλειφθέντος ἐκ τῆς θυσίας) « ἀνὰ κράτος ἀπηγόρευσε. Τὸν δὲ γευσάμενον αὐτὸ (γρ. *αὐτοῦ*) μόνον ἔνοχον ἀποφαίνει, λέγων αὐτῷ. *Τεθυκέναι* νομίζων, ὦ καταγέλαστε, *οὐ τέθυκας* » (= ἄθυτόν ἐστιν). « Οὐ προσηκάμην *ἀθύτων*, *ἀνιέρων*, *βεβήλων*, *ἀκαθάρτων*, ὧν ἥψηκας *κρεῶν*, ὦ γαςρίμαργε, θυσιῶν οὐδ' ὄναρ ἐπῃσθημένος » (β). Πρόσθες εἰς ταῦτα (εἴτις καὶ ἄλλη χρεία προσθήκης), ὅτι οὐδαμοῦ τὸ ἄθυτον ἔταξαν οἱ Ο, ἀντὶ τοῦ μυσαρὸν καὶ ἀκάθαρτον, ἐπὶ τῶν ἀπηγορευμένων βρωμάτων· ἀλλὰ ταῦτα πανταχοῦ καλοῦσι *βδέλυγμα*, ἢ *ἀκάθαρτα* (Λευϊτ. ια, 10), καὶ εἴ τι τοιοῦτο. Τὸν δὲ Κρόϊον ἔσφαλε καὶ ἡ συνήθης ἐξήγησις τῆς πρός τε τὸ *ἄθυτον*, καὶ πρὸς τὸ βρῶμα τὸ

---

(α) Ἡ δὲ Βουλγάτα παραλλάσσει περὶ τὸ ῥητὸν, ἄλλο τι λέγουσα ἀντὶ τοῦ « ἄθυτόν ἐστιν οὐ δεχθήσεται ». « Si quis **post biduum** comederit ex **ea** (victima), **profanus erit**, et **impietatis reus** » Levit. XIX. 6. 7. (ed. Venet. 1750). Τουτέστιν « Εἰ δέ τις μετὰ **διήμερον** » (ἀντὶ τοῦ τῇ ἡμέρᾳ τῇ τρίτῃ) « φάγοι ἐξ αὐτοῦ τοῦ θύματος, **βέβηλος ἔσται**, καὶ **ἀσεβείας ἔνοχος** » Οἱ δὲ περὶ τὸν Δρούσιον (annot. in h. l.) τὸ **ἄθυτόν ἐστιν** ἐξέλαβον μὲν ἐπὶ τοῦ μείναντος καὶ βρωθέντος μέρους ἐσφαλμένως, ἀλλ' ἐξήγησαν ὀρθότερον « **βέβηλον**, καὶ ὡσανεὶ μηδέποτ' **ἐτύθη** ». « Eo loco habebitur, ac si profanum, et nunquam sacrificatum fuisset ». Οὕτω καὶ ὁ Γρότιος (ibid.) διορθῶν τὸ τῆς Βουλγάτας profanus εἰς τὸ profanum, ἐπαινεῖ τοὺς Ο, ὡς ἄριστα μεθηρμηνευκότας « **ἄθυτόν ἐστι** »· καὶ τοῦτο λίαν συνετῶς ἐπὶ τῆς ὅλης θυσίας ἐξέλαβεν. « Ut optime hic vertunt οἱ LXX, **sacrificium tuum** erit **irritum** » etc.

(β) *Φιλ. περὶ ζώων τῶν εἰς θυσ. σελ.* 245. *τομ. β.* Mang. (*πρβλ. καὶ Θεοδώρ. ἐν Ἀπόρ. εἰς Λευϊτ. ἐρωτ. ς*.). *Ὁ δ' αὐτὸς Φίλων εἶπε καὶ ἀλλαχοῦ* (*βίῳ Μωϋσ. γ. σελ.* 159) « *Θυσίας ἀθύτους ἀνῆγον* » (*οἱ μοσχολατρήσαντες, τουτ. ἀνιέρους, βεβήλους, καὶ, ὡς ἂν εἴποις, κακοθύτους καὶ μυσαράς*)· *καὶ πάλιν* « *Ἄθυτοι θυσίαι, καὶ ἀνίεροι ἱερουργίαι, καὶ εὐχαὶ παλίμφημοι* » (*αὐτ. σελ.* 151). *βλ. καὶ Σειρ. εἰς τὴν Ὀκτάτευχ. σελ.* 1036.

*ἀκάθαρτον* ἀντιστοιχούσης ἑβραΐδος φωνῆς, Figul (ἥτις ἑρμηνεύεται συνήθως *βδελυκτὸν* ἢ *βδέλυγμα*)· διότι ταύτην οἱ Ο, μεταφράσαντες ἀναλόγως ἀλλαχοῦ *μεμολυσμένον* (Ἡσ. ξε, 4), καὶ *βέβηλον* (Ἰεζ. δ, 14), ἔδοξαν λοιπὸν, ὅτι καὶ τὸ *ἄθυτον* ἔταξαν ἐπὶ τῆς σημασίας τοῦ ἀκαθάρτου (κατὰ τὴν ἰδιότητα δηλονότι τῶν ζώων, τῶν ὡς τοιούτων ἀπηγορευμένων ὑπὸ τοῦ νόμου)· ἀλλ᾽ ὅταν θεωρήσωμεν τὰ μνημονευθέντα προφητικὰ χωρία, βλέπομεν σαφῶς πόσον μὲν οἱ Ο, διέκρινον τὴν δύναμιν τῆς ἑβραϊκῆς φωνῆς, πόσον δὲ ὁ Κρόϊος. Ἴδε ἡ ῥῆσις τοῦ Ἡσαΐου. « Οἱ ἐσθίοντες κρέας ὕειον καὶ ζωμὸν θυσιῶν, *μεμολυσμένα* πάντα τὰ σκεύη αὐτῶν ». Ἡ δὲ τοῦ Ἰεζεκιὴλ αὕτη· « Θνησιμαῖον καὶ θηριάλωτον οὐ βέβρωκα ἀπὸ τῆς γενέσεώς μου ἕως τοῦ νῦν, οὐδ᾽ εἰσελήλυθεν εἰς τὸ στόμα μου πᾶν κρέας *βέβηλον* » (ἐκδ. Ἀλεξ. ἡ δὲ Βατικαν· *ἕωλον*· ἄλλος, καὶ ὁ Θεοδώρητος, *ἕωλον καὶ βέβηλον*), τὸ δὲ *ἄθυτον*, οὐδεμίαν χώραν ἔχον ἐν τοῖς τοιούτοις, μετεχειρίσθησαν μόνον ἐπὶ κακοθύτου θυσίας, λίαν ἀκριβῶς καὶ ἑλληνικῶς! [Ὅθεν καὶ ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος « *ἀπόβλητον* » (ὡς ἀπρόσδεκτον) εἶπον ἀντὶ τοῦ ἄθυτον, ὡς καὶ ὁ ταργουμιστὴς Ὄγκελος (procul amovendum)· ὁ δὲ Ἰωνάθαν, *βέβηλον* (profanum, ὡς ὁ Ἱερώνυμος), ἢ *διεφθαρμένον*, κτλ.]. Ἀλλ᾽ οἱ περὶ τὸν Κρόϊον, δέον καὶ ταῦτα μάλιστα παρὰ τῶν Ο, γερόντων ἐξακριβοῦν, οἱ δ᾽ ἀνέπλαττον καινὴν τῆς λέξεως χρῆσιν, ἐντεῦθεν μεταλλεύοντες αὐτῶν τὴν πατρίδα!

3) Καὶ τὰς *ἐντομίδας* Ἀλεξανδρινὴν ὁ Κρόϊος ἀπεφήνατο λέξιν, πόθεν μαθών; ἢ τίνας μάρτυρας ἐπαγόμενος; Οὐδένα. Ἀλλὰ διὰ τί καὶ ἄλλοι Ἕλληνες οὐκ ἠδύναντο λέγειν *ἐντομὶς*, ὡς ἔλεγον καὶ *ἐντομή*, καὶ πάλιν *ἐκτομὴ* καὶ *ἐκτομὶς*, καὶ *ἐπιτομὴ* καὶ *ἐπιτομίς*; κτλ. (α). Ἢ μήποτε καὶ ταῦτα τῶν Ἀλεξανδρέων

(α) Ὅθεν πάλιν οἱ Ο, εἶπον καὶ τομὶς (ὃ διέφυγε τὸν Κρόϊον) « Μύλας (ἔχει) τομίδας » (Παροιμ. λ. 14), ἢ ἐπιθετικῶς (ὡς τὸ « δ ρ ε π ά ν η ν ἐ κ τ ο μ ί δ α » Ἐπιγράμ.), ἢ καὶ οὐσιαστικῶς = μαχαιρίδας (ὡς ἐξηγοῦσι καὶ τὸ ἑβραϊκ.), κατὰ τὸ τ ο μ ε ῖ ς (ἐλλειπτ. ὀ δ ό ν τ ε ς, ἐκ τοῦ τομεύς). Ἔστι δὲ καὶ παλαιὸν ὄνομα

μόνων εἰσὶν ἰδιωτισμοί; Ἀλλ᾽ ὁ Σταγειρίτης Ἀριστοτέλης *ἐντομίδα* μὲν οὐκ εἶπεν, εἶπεν ὅμως *ἐντομὴν*, τὴν ἐγχάραξιν καὶ ἐγκοπὴν, « οἵας καὶ τὰ λεγόμενα *ἔντομα* (οἷον μέλισσαι, κτλ.) ἐντομὰς ἔχουσιν, ἢ ἐν τοῖς ὑπτίοις, ἢ ἐν τοῖς πρανέσιν, ἢ ἐν ἀμφοῖν » (Ζ. ἱςορ. Δ. α.). Τούτων δὲ τῶν φυσικῶν *ἐντομῶν* οὐδὲν ἄλλο διαφέρουσιν αἱ *ἐντομίδες*, εἰ μὴ ὅτι βιαίως γίνονται καὶ μετ᾽ ἀλγηδόνων, εἴτε δι᾽ ὀνύχων, εἴτε διὰ μαχαιρῶν, ἐπὶ τῶν μελῶν τοῦ σώματος, ἀμυχαί τινες τοῦ δέρματος οὖσαι καὶ τῆς σαρκὸς, τουτέστιν ἐγχαράξεις καὶ κατασχάσεις (οἵας ποιοῦσιν ἐν πένθεσιν οἱ κοπτόμενοι, « *χερσὶν ἀμύσσοντες στήθεα, καὶ δειρὴν, καὶ πρόσωπα* » Ἰλιάδ. Τ. 284: Πλούταρχ. Σόλων.). « Ἐντομίδες, ξυσμαὶ ὄψεως γινόμεναι, καὶ τοῖς λοιποῖς σώμασιν ἐντεμνόμεναι· τοιαῦτα δὲ εἰώθασι ποιεῖν ἐπὶ τοῖς νεκροῖς αὐτῶν οἱ ἄπιστοι » (Ἡσύχ.). Τοιαύτας *ἐντομίδας*, ἢ *ἐντομὰς*, ἢ *ἐπιτομὰς* ἐποίουν καὶ Ἄραβες (ἐπ᾽ ἄλλῃ αἰτίᾳ) « λίθῳ ὀξέϊ τὸ ἔσω τῶν χειρῶν ἐπιτάμνοντες » (Ἡρόδοτ. γ. 8). Παρομοίως ἐξεφράσθησαν καὶ οἱ Ο, « Καὶ ἐπὶ τὰς σάρκας *οὐ κατατεμοῦσιν ἐντομίδας* (Λευϊτ. κα, 5) (α). Ὥστε μήτε σημασίας, μήτε συνθέσεως, μήτε γοῦν γραμμάτων (πλὴν τῶν τῆς ληγούσης) διαφορὰ διαστέλλει τὸ *ἐντομὴ* τοῦ *ἐντομίς*. Τῷ δὲ Κροΐῳ ἤρκεσε καὶ μόνος ὁ σχηματισμὸς τῆς ληγούσης μιᾶς καὶ μόνης λέξεως εἰς ἰδίας διαλέκτου σύστασιν, τῆς Ἀλεξανδρινῆς.

---

πόλεως (παρὰ τὴν Ὀδησσὸν) Τ ό μ ι ς, ἡ, (παροξύτ. διὰ τὴν κυριωνυμίαν), ἡ αὐτὴ καὶ Τ ο μ ε ὺ ς, καὶ Τ ό μ ο ι (πληθυντ. ἐκ τοῦ Τόμος) κτλ. (Στράβων, Σουΐδας, Στέφαν. Βυζάντ.). Τοιαῦτα καὶ ἄλλα τῶν εἰς η, θηλυκῶν σχηματίζονται καὶ εἰς ις, οἷον λαβὴ καὶ λαβὶς, βολὴ καὶ βολὶς, κτλ. Ὁ δὲ Σουΐδας ἔχει καὶ ἐ ν τ ο μ ί δ α ι οἱ (ἐκ τοῦ ἐντομίδης) « οἱ τοῖς σώμασιν ἐντεμνόμενοι », τουτέστιν οἱ ἐντομὰς, ἢ ἐ ν τ ο μ ί δ α ς ποιοῦντες. βλ. Στεφ. Ἑῤῥίκ. Λεξ.

(α) Ἐν δὲ Λευϊτ. ιθ, 28. « Κ α ὶ ἐ ν τ ο μ ί δ α ς οὐ π ο ι ή σ ε τ ε ἐ π ὶ ψ υ χ ῇ, (= ἐπὶ νεκρῷ· βλ. Λευϊτ. κα, 5. Δεύτερον. ιδ. 1) ἐ ν τ ῷ σ ώ μ α τ ι ὑ μ ῶ ν ». ὅπου ὁ Θεοδώρητος· « Εἰώθεισαν, ἡνίκα ἐπένθουν, τέμνεσθαι τὰς παρειὰς εἰς τὴν τῶν τετελευτηκότων τιμήν » (εἰς τὰ Ἄπορ. Λευϊτ. ἐρωτ. κη.)· καὶ Κύριλλος ὁ Ἀλεξανδρείας φωστὴρ ἐξηγεῖ τὰς ἐ ν τ ο μ ί δ α ς (Λευϊτ. κα,)· « τὰ μανίας ἑλληνικῆς (= ἐθνικῆς) ἀνοσιουργήματα, τὰς εἰς σάρκα φημὶ κατατομάς » (βλ.

4) Περὶ τῆς *σισόης*, τέλος, (« οὐ ποιήσετε *σισόην* ἐκ τῆς κόμης τῆς κεφαλῆς ὑμῶν » Λευϊτ. ιθ. 27) οὐδ' αὐτὸς Ὅδιος ἐπήνεσε τὸν Κρόϊον, ἀλλὰ καὶ διώρθωσεν, εὐθύνας εὐφημότατα (βλ. σελ. 186)· τὸν δὲ Σοπίγγιον εἰς μάτην ἐκάλεσε βοηθόν. Οἱ εἴτε Κίλικες, εἴτε κατ' ἄλλους Λύκιοι, ἢ Πάμφυλοι μεταξὺ Λυκίας καὶ Παμφυλίας, παράλιοι Φασηλῖται, ἔλεγον σισόην « ποιὰν κουρὰν τῆς κεφαλῆς » (Ἡσύχ.) (α). Καὶ πρὶν ἡ λέξις αὐτῶν ἐπιξενωθῇ εἰς

---

Σειρ. εἰς τὴν Ὀκτάτευχ. τόμ. α. σελ. 1102. πρβλ. 1091). Περὶ τῶν ἐπὶ νεκροῖς ἐντομίδων, βλ. καὶ Ἱερεμ. ιϛ. 6, 7. πρβλ. καὶ Γ. Βασιλ. ιη, 28, ὅπου τοῦ Βάαλ οἱ βάρβαροι λάτρεις καὶ προσευχόμενοι « κατετέμνοντο ἐν μαχαίραις ». βλ. καὶ Ἱερεμ. μη, 5 κτλ. Οὕτω καὶ τὸ ἐφεξῆς (Λευϊτ. ιθ, 28) γ ρ ά μ μ α τ α σ τ ι κ τ ὰ, σύνηθες ἦν παρὰ τοῖς ἀρχαιοτάτοις ἐθνικοῖς, ἄλλοις τε καὶ τοῖς Ἀσσυρίοις (βλ. Λουκιαν. π. τῆς Συρ. Θεοῦ). Ἐστίζοντο καὶ Θρακῶν οἱ εὐγενεῖς (Ἀρτεμίδ.). Ἔστιζον δὲ καὶ οἱ Ἕλληνες δούλους δραπέτας, ἐνίοτε καὶ τοὺς αἰχμαλώτους (Πλούταρχ. Περικλ. §. 26. — Ξενοφῶν. — Ἀριστοφ. πρβλ. καὶ Γ. Μακκαβ. β). Καὶ νῦν πολλοὶ τῶν Ἀσιανῶν, οἷον Ἄραβες καὶ ἄλλοι, στιγματίζονται τὰ σώματα, ποικίλας ἐγχαράσσοντες καὶ ἐγκαίοντες μορφάς· καὶ πάλαι δὲ τοιαύτας « βελόναις ἐκέντουν, καὶ μέλαν ἐπέβαλον » (Θεοδώρ. ἔνθ. ἀνωτέρ.). Καὶ τοὺς παλαιοὺς κατοίκους τῆς Βρεττανίας ἱστόρησεν ὁ Ἡρωδιανὸς (γ, 14), ὅτι « ἐστίζοντο τὰ σώματα γραφαῖς ποικίλων ζώων καὶ παντοδαπῶν εἰκόνων » (πρὸς ἐπίδειξιν) βλ. καὶ Rosenmüller. Schol. in Levit 19, 20. καὶ Grot annot. in h. l.

(α) Ἄλλοι « τὰς οὔλας τρίχας, ἢ τὸν ἐπὶ τὰς κορυφὰς τῶν παιδίων μαλλόν » (βλ. Θεοδώρ. ἔνθ. ἀνωτ.). « Σισόη ἐστὶν ὁ κρώβυλος· πλέγμα δὲ ἐστὶ τοῦτο ὅπερ Ἕλληνες ἐπλέκοντο — καὶ μᾶλλον Σαρακηνοὶ μέχρι νῦν τοῦτο ποιοῦσι (Σχολ. εἰς Λευϊτ. ιθ; 27. βλ. καὶ Σειρ. εἰς τὴν Ὀκτάτευχ. αὐτόθ.). Ὁ δὲ Σουΐδας, « Σισόης (ἀρσεν.) τὸ πλεξείδιον ». Ἀλλ' ὁ σισόης, ἢ ἡ σισόη, φαίνεται κυρίως ἄπλεκτος τριχῶν λόφος ἐπὶ τῆς κεφαλῆς (ἴσ. τὸ αὐτὸ καὶ τὸ μᾶλλον ἐπιτετηδευμένον σ κ α φ ί ο ν) εἶδος κουρᾶς, ὡς τὸ τῶν Ἀράβων, « οἳ κείρονται π ε ρ ι τ ρ ό χ α λ α, περιξυροῦντες τοὺς κροτάφους » (Ἡρόδοτ. γ. 8). Καὶ (αὐτ. δ. 175) « Γαράμαντες λ ό φ ο υ ς κείρονται » κτλ. (τοῦ λόφου τούτου παρόμοιον, ἢ καὶ ταὐτὸ φαίνεται καὶ ἡ σκόλλυς, ἢ σκολλὺς, καὶ συνήθ. σκολλύδιον). πρβλ. Schleusn. Thes. V. Tes. λ. Σισόη: Sturz. Dial. Maced. p. 192. — Τὸ ἑβραϊκ. ἀντὶ τοῦ Σισόη ἔχει Takkiphu (περικοπὴν, τουτέστι περίκαρμα). Ἄλλοι δ' ἄλλως τὴν ῥῆσιν ἡρμήνευσαν. « Οὐ περικαρεῖτε κύκλῳ τὰς γ ω ν ί α ς (ἑβρ. Pheath) τῆς κεφαλῆς ὑμῶν » (βλ. Drus. not. maj. ἄλλοι εἶπον e x t r e m i t a t e m, τὸ ἄκρον, τουτέστι τ ὰ ς ἄ κ ρ α ς τ ρ ί χ α ς τ ῆ ς κ ε φ α λ ῆ ς Rosenmüll.). Ὁ Ἀκύλας, « Οὐ περικυκλώσεις τὸ κ λ ί μ α τῆς κεφαλῆς » (= τὸ κλίτος, πλάγιον, plaga, latus, Hieronym. Ἀντὶ κ λ ί μ α εὕρηται ἡμαρτημένως καὶ κ λ ῆ μ α· ὅθεν ὁ Μοντεφαλκώνιος παραδόξως ἡρμήνευσεν, « Οὐ περιβαλεῖς τῇ κεφαλῇ σου κ λ ή μ α τ α [palmitas], τουτ. στέφανον ἐκ κλημάτων! Ὁ Θεοδοτίων, « Οὐ κυκλώσετε τὸ φαὶθ τῆς κεφαλῆς ὑμῶν ». Ὁ

τὴν Ἀλεξάνδρειαν, ὑπῆρχεν ἴσως ἤδη μεταβεβηκυῖα εἰς τὴν παρακειμένην Συρίαν παρὰ τοῖς ἐκεῖ ἑλληνίζουσιν. Εἰ μή που τἀνάπαλιν καὶ εἰς τοὺς Φασηλίτας αὐτοὺς μετῆλθεν ἐκ τῆς Συρίας, ἢ ἐξ ἄλλων ἐθνῶν γειτονευόντων τοῖς τῶν Σολύμων ὀρέων κατοίκοις, οὓς ὁ Χοίριλος, ἀρχαῖος ποιητής, διέγραψε « *Φοίνισσαν γλῶσσαν ἱέντας* », καὶ *τροχοκουράδας*, ἢ *τροχοκούριδας*, ἴσως ὡς *περίτροχα* ἢ *περιτρόχαλα* κειρομένους (α). Ὅθεν καὶ τὴν σισόην τινὲς εἶπον λέξιν φοινικικὴν (ἐκ τοῦ Sisith, ἢ Zizith, ὁ κίκκινος) (β). Καὶ τὰ μὲν Κροϊακὰ τοιαῦτα.

---

Σύμμαχος, « Οὐ περιξυρήσετε κύκλω τὴν πρόσοψιν τῆς κεφαλῆς ». Ἡ Βουλγάτα, « Οὐ περικαρεῖς ἐν γύρῳ τὴν κόμην τῆς κεφαλῆς » κτλ. Γωνίας δὲ καὶ κλίμα, ἢ κλίτος, κτλ. ἐννοοῦσι τοὺς κροτάφους. Πόσον ἀκριβέστερον οἱ Ο, διὰ τῆς τότε συνήθους λέξεως σισόης ἐξέφρασαν τὸ περιτρόχαλα κείρεσθαι τῶν τροχοκουράδων· τοῦτο δὲ καὶ ἀλλαχοῦ, « περικείρεσθαι τὰ κατὰ τὸ πρόσωπον εἶπον Ἱερεμ. θ, 26: κε, 26. καὶ Θεοδώρ. αὐτόθ. σελ. 223, 253: πρβλ. Grot. annot. ad Ierem. cap. 9, 26, 25, 23, 49, 32.

(α) Ἰώσηπ. κ. Ἀπίων. α, 22: πρβλ. Εὐσεβ. Εὐαγ. Προπ. θ, 241. Ὁ δὲ Σκαλίγηρος (not. in vet. Graecor. fragm.) ὑπέλαβεν, ὅτι ἠπατήθη ὁ Ἰώσηπος περὶ τὸ νόημα τοῦ Χοιρίλου· διότι οὗτος ἐννοεῖ τοὺς ἐν Λυκίᾳ Σολύμους, τοὺς καὶ Πισίδας (Ὅμηρ. Ἰλ. Ζ, 149). Ἔπειτα καὶ τοῖς Σολυμίταις (τοῖς Ἰουδαίοις) ἀπεῖπεν ὁ νόμος τὸ περιτρόχαλα κείρεσθαι ». Ἀλλ' ὁ Γρότιος (annot. ad Levit. 19. καὶ ad Evang. secund. Lucam, 3, 14), ὑπέλαβεν αὐτὸν μᾶλλον τὸν Χοίριλον ἠπατημένως ἐκλαβόντα ἀντὶ τῶν ἐπὶ τοῖς Σολύμοις (Ἱεροσολύμοις) κατοίκων Ἰουδαίων τοὺς τότε μετ' αὐτῶν ἐπὶ Ξέρξου συστρατευομένους Ἄραβας (Σαρακηνούς), λαλοῦντας Φοινικιστὶ, ἤτοι Συριστί ». — Ἀλλὰ τί βλάπτει, ἐὰν εἴπῃ τις ὅτι οὔτε Χοίριλος, οὔτ' αὐτὸς Ἰώσηπος ἠπατήθη; Ἄλλοι οἱ Λύκιοι Σόλυμοι, ἢ Πισίδαι (οἵτινες οὐδ' ἐλάλουν Φοινικιστί), καὶ πολὺ τούτων διάφορα τὰ Σόλυμα ὄρη, ὡς εἶπεν ὁ Χοίριλος τὰ Ἱεροσόλυμα, (ὑπῆρχον δὲ καὶ ἄλλα Σόλυμα τῆς Ἀσσυρίας. Εὐστάθ. εἰς Ἰλιάδ. Ζ. πρβλ. Luc. Holsten. not. εἰς Στέφαν. Βυζάντ. σελ. 302). Ἔπειτα καὶ ὁ Ἰώσηπος ἠπίστατο πολὺ πρότερον τοῦ Σκαλιγήρου τὸν τὴν τροχοκουρίαν ἀπαγορεύοντα νόμον (Λευϊτ. ιθ. 27). Φαίνεται λοιπὸν, ὅτι αὐτοὶ οἱ Σολυμῖται Ἰουδαῖοι, ὅσοι τότε ἐστρατεύσαντο, παρέβησαν τὴν ἐντολὴν ἐξ ἀνάγκης, συσχηματιζόμενοι τοῖς ἄλλοις ἐθνικοῖς συστρατιώταις, ὡς παρέβαινον καὶ τὸ σάββατον, ὅπλα φέροντες καὶ ὁδοιποροῦντες· καὶ τὰ περὶ τὴν τροφὴν παρηνόμουν (καίτοι ἄλλως ἐσπούδαζον, ὡς οἱ μετ' Ἀλεξάνδρου στρατευσάμενοι, « τοῖς πατρίοις ἤθεσιν ἐμμένειν, καὶ κατὰ ταῦτα ζῆν »). Διὰ ταῦτα καὶ παρὰ τοῦ Δολοβέλλα ὕστερον ᾐτήσαντο καὶ ἔλαβον ἀστρατείαν, « ἵνα μὴ παρανομῶσιν ἐξ ἀνάγκης περὶ τὰ πάτρια » (Ἰώσηπ. Ἀρχ. ιδ. 10 §. 11).

(β) Bochar. Geogr. Sacr. II. ι, 6: Sturz l. c. Κατ' ἄλλους ἡ σισόη συγγε-

§. ιθ. Πρὸς δὲ τὰ ὑπόλοιπα τοῦ Ὁδίου (βλ. ὄπισθ. σελ. 187) πᾶσαν ἀπάντησιν νομίζομεν περιττήν. Τίς ἡ χρεία καταφανεστέραν ποιεῖν, ἅλις οὖσαν καὶ καθ᾽ ἑαυτὴν ἐπιφανῆ, τὴν τοῦ σοφοῦ παράπτωσιν; Ὅστις ὑπὸ πάθους παρασυρεὶς, ἕως καὶ εἰς ῥαββινικοὺς ἐξωλίσθησε μύθους, συνάγων πορίσματα, ἢ (καθὼς εἶπεν) *ἐπιχειρήματα* (argumenta) πάντῃ ψευδῆ. Οὐδ᾽ αὐτὸ τὸ σέβας τῶν πατρίων Γραφῶν ᾐδέσθησαν οἱ λῆροι ῥαββῖνοι, ἀλλὰ καὶ τούτων χωρία διέστρεψαν. Καὶ τὴν ἁγνὴν αὐτῶν ἔννοιαν καὶ διδασκαλίαν ἀθετοῦντες, καθὼς καὶ πρότερον (Μάρκ. ζ, 9—13), ἔπλασαν μυρίους μύθους βλασφήμους καὶ τερατώδεις (οἵους βλέπομεν καὶ εἰς τὸ *Ταλμοῦδον*, καὶ μάλιστα κατὰ τὴν παρ᾽ αὐτοῖς λεγομένην *Κάββαλαν*, κτλ.). Τοιούτους δὲ συνήθως τοὺς Ῥαββίνους ὄντας ἠξίου πάντως Ὅδιος, ἵνα τιμήσωσιν ἅπαξάπαντες τὴν ἑρμηνείαν τῶν Ο, σεβασθέντες τάχα τὴν μνήμην τοῦ πρὸ πολλῶν αἰώνων ἤδη κατ᾽ αὐτοὺς ἐκλελοιπότος Ἀρχιερέως καὶ Συνεδρίου τῶν Ἱεροσολύμων! Οὐδ᾽ ἐνεθυμήθη κἂν ὁ κριτικὸς ἐκεῖνα τὰ τοῦ ἱεροῦ Αὐγουστίνου· « Φθονοῦσιν ἡμῖν Ἰουδαῖοι, ὅτι διὰ τῆς ἑρμηνείας ὁ Νόμος καὶ οἱ Προφῆται διέβησαν εἰς ἡμᾶς » (α). Ἔπειτα καὶ ἄλλως, ἑνός τινος δυστήνου Ῥαββινίσκου μνησθεὶς, τοῦτον προετίμησε παρὰ τοσούτους ἄλλους Ταλμουδιστὰς, θαυμαστὸν ὅσον τιμῶντας τὴν ἑρμηνείαν (β), ὡς ὡμολόγησε καὶ αὐτός (σελ. 122). Φίλωνα δὲ καὶ Ἰώσηπον καὶ πᾶσαν τὴν ἀρχαίαν συναγωγὴν, οὕτω τοὺς Ο, σεβασθεῖσαν, οὐδ᾽ ἐμνημόνευσεν ὅλως. Τὸ δὲ παραδοξότερον, ὅτι καὶ ἐκ τῆς φράσεως, τῆς « *συνήγαγεν ὁ Πτολεμαῖος* τοὺς οβ πρεσβυτέρους » (ὡς ἔχει τοῦ Ταλμουδίου τὸ ῥητὸν) συνεπέρανεν ὁ κριτικὸς, ὅτι καὶ οἱ Ταλμουδογράφοι βεβαίως Ἀλεξανδρινοὺς ὑπελάμβανον κατ᾽ ἀρχαίαν τινα παράδοσιν τοὺς μεταφραστὰς (ἐπειδὴ τὸ « *συνή-*

---

νὴς τοῦ σ ί σ υ ς, ὅθεν οὐ μόνον ἡ σισύρα, ἀλλὰ καὶ ὁ σίσυβος, σίλλυβος, ὁ θύσανος· (θύσανος δέ τις καὶ ὁ λόφος τῶν τριχῶν). βλ. Ῥειμέρ. Ἑλληνογερμαν. λεξ. λ. Σίλλυβος, Σίσυβος.

(α) S. August. de Civ. Dei. XV, 11.

(β) Βλ. Hotting. Thes. Philol. p. 338. πρβλ. Carpzov. Crit. Sacr. p. 524.

*γαγε*» κατὰ τὴν αὐτὴν διατρίβοντας χώραν παρίστησι τοὺς συναθροισθέντας!). Ἀλλ' ἐνταῦθα πολὺ παρὰ τὸν Ὅδιον μετριώτερος ἐφάνη Βανδάλης, ὁ θερμὸς αὐτῷ κατὰ τῶν Ο, συναγωνιστής· ὅςις τὸ αὐτὸ τοῦ Ταλμουδίου χωρίον ἀντιγράφων, ἐπισημειοῖ. «*Οὐ μέν τοι λέγουσι πόθεν*» (συνήγαγεν αὐτοὺς ὁ βασιλεύς,) (α). Ὅδιος δὲ προσέθηκε καὶ τοῦτο δὴ τὸ *πόθεν*, φωτίζων τὸν Ταλμουδιστὴν ἐπὶ τὸ σαφέστερον! Καὶ τίς ἀμφιβάλλει ὅτι *συνήγαγε* (congregavit) παρ' ἑαυτῷ τοὺς ἑρμηνεῖς ὁ Πτολεμαῖος, ἀφ' οὗ ἦλθον εἰς Ἀλεξάνδρειαν ἐξ Ἱεροσολύμων μετακληθέντες; Αὐτίκα ἄλλος πάλιν Ῥαββῖνος (καὶ πολὺ ἐπισημότερος ἁπάντων ὅσους Ὅδιος ἐμνημόνευσε Ῥαββεῖς), Ἰώσηπος ὁ Γοριωνίδης (Ben Gorion), ἐβεβαίωσεν οὐ μόνον ὅτι συνήγαγεν ὁ Πτολεμαῖος τοὺς Ο, *μετακαλέσας ἐξ Ἱερουσαλὴμ*, ἀλλὰ καὶ ὅτι πάντες οὗτοι ἦσαν *ἱερεῖς* (β). Τοῦτ' ἐνόει καὶ ὁ χρονογράφος ἄραψ Ἄρμιος, ὡς ἱστόρησε σαφέστερον ἄλλος πάλιν Ἄραψ χρονογράφος διασημότερος (Ὁδίῳ καὶ οὗτος γνωστὸς), Γεώργιος Ὁμαιδίδης (γ). Τοὺς δὲ κατὰ τῶν Ο, προβαλλομένους (σελ. 188) μεταγενεστέρους μεταφραστὰς, Ἀκύλαν καὶ Σύμμαχον καὶ Θεοδοτίωνα, ποῦ θήσομεν; Ἕλλην (εἰδωλολάτρης) ἦν ὁ Ἀκύλας ἀπὸ Σινώπης, ὅστις χριστιανίσας τὸ πρῶτον ἐν Ἱεροσολύμοις, καὶ τῆς Ἐκκλησίας (ὡς μάντις ἀστρολόγος) ἐξωσθεὶς, καὶ τὴν εἰς Χριστὸν ἀρνησάμενος πίστιν, καὶ περιτμηθεὶς Ἰουδαῖος, καὶ μαθὼν τὰ ἑβραϊκὰ, ἐπεχείρησε νεωτέραν τῶν Γραφῶν ἑρμηνείαν, ὅπως διαστρέψῃ τινὰ τῶν θείων ῥητῶν, ὅσα τρανῶς παρὰ τοῖς Ο, περὶ Χριστοῦ μαρτυροῦσιν, ἄλλως αὐτὸς ἐκδούς. Ὁ δὲ Σύμμαχος, Σαμαρείτης ἀνὴρ, ἀγανακτήσας κατὰ τῶν ὁμοφύλων, προσῆλθε τοῖς Ἰουδαίοις, καὶ περιτμηθεὶς δευτέραν περιτομὴν, ἐπεχείρησεν ἰδίαν ἑλληνικὴν ἑρμηνείαν πρὸς διαστροφὴν τοῦ Σαμαρειτανοῦ κειμένου τῶν Γραφῶν. Ὁ δὲ,

---

(α) «Non dicunt unde». Van. Dale Diss. c. 17. p. 134.

(β) Βλ. τὸ χωρίον παρὰ Van Dale l. c. p. 135, 136.

(γ) Παρὰ Van Dale l. c. p. 138.

τέλος, Θεοδοτίων, καὶ οὗτος τὸ γένος Ποντικὸς, καὶ δῆθεν χριστιανὸς (ἐκ τῆς αἱρέσεως Μαρκίωνος τοῦ Σινωπέως), ἰουδαΐσας, καὶ τὴν ἑβραΐδα παιδευθεὶς, ἐξέδωκε καὶ αὐτὸς ἰδίαν ἑρμηνείαν (καίτοι συνᾴδουσαν τὰ πλεῖστα πρὸς τὴν τῶν Ο, ἣν παιδιόθεν ἀνεγίνωσκε. βλ. Ἐπιφάν. π. Μέτρ. σελ. 170—171). Τούτους τοίνυν τοὺς τοιούτους, προδοσιθρήσκους, ἀρνησιχρίστους, παρασημοτάτους ἐμπόρους τῶν θείων λόγων ἤθελεν Ὅδιος, ἵνα σεβασθῶσι τὴν ἑρμηνείαν τῶν Ο, ὡς βουλῇ καὶ ψήφῳ τοῦ ἀρχιερέως γεγενημένην! ἣν ἔτρεμον καὶ αὐτοὶ οἱ γνήσιοι καὶ μισόχριστοι Ἰουδαῖοι, βλέποντες (ὡς προείπομεν) ἑαυτοὺς ὑπὸ τῶν χριστιανῶν δι' αὐτῆς ἐξελεγχομένους. (Ὅθεν καὶ διαφθείρειν αὐτὴν ἐν πολλοῖς ἐπεχείρουν, καὶ νέας ἑρμηνείας ἐζήτουν, προσδιαφθείροντες, ἐν οἷς καὶ ὅσον ἠδύναντο, καὶ αὐτὸ τὸ κείμενον τὸ ἑβραϊκόν.). Τοιαῦτα καὶ ταῦτα τῶν περὶ τὸν Ὅδιον κριτικῶν.

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

*Περὶ τοῦ ἀριθμοῦ τῶν ΟΒ, μεταφραστῶν, ἐν ᾧ καὶ περὶ τῆς ἐν Φάρῳ κατ' ἔτος τελουμένης πανηγύρεως εἰς μνήμην τῆς μεταφράσεως.*

§. α. Ἄλλο δέ τι, μάλα καὶ τοῦτο γενναῖον, οἱ ἄνδρες ἐπενόησαν, ἵνα καὶ τὸν ἀριθμὸν τῶν Ο, διεξελέγξωσι ψευδῆ καὶ πεπλασμένον, ἀποδεικνύντες καὶ ἐκ τούτου τὸ φαῦλον καὶ ἰδιωτικὸν τῆς ἑρμηνείας τῶν Γραφῶν. Ἐκτιθέμεθα δὲ καὶ τὰ περὶ τούτου προβαλλόμενα παρ' αὐτῶν ἐπιχειρήματα, μεταφράζοντες συντόμως ἅμα καὶ ἀκριβῶς.

§. β. « Ἅπαντες (λέγουσιν οἱ περὶ τὸν Ὅδιον) ἅπαντες σχεδὸν οἱ ἀρχαῖοι, κατόπιν τοῦ Ψευδαριστέου παροπηδοῦντες, συμφώνως ὁμολογοῦσιν οβ, πρεσβυτέρους ἑρμηνεῦσαι τὰς Γραφάς. « Ὅθεν καὶ ἡ *ἑρμηνεία τῶν Ο* (διὰ τὸ συντομώτερον) ἐπεκράτησεν ὀνομάζεσθαι » (α). Οὕτω καὶ παρὰ Ῥωμαίοις δικασταί τι-

(α) S. August. de Civ. Dei. 18, 42.

νες, δικάζοντες ἐπὶ πράγμασι μικροῖς, ἐκαλοῦντο *Ἑκατοντανδρία* (centumviri), ἐν ᾧ ἦσαν ἀκριβῶς *ἑκατὸν πέντε* (τρεῖς ἀφ᾽ ἑκάστης τῶν λε, φυλῶν). Καὶ υἱοὶ τοῦ Γεδεὼν ἐν ταῖς θείαις Γραφαῖς ἑβδομήκοντα λέγονται, καί τοι κυρίως ὄντες οα, (α). Ὥστε ματαίως τινες ὑπώπτευσαν διαφωνίαν μεταξὺ τῶν ἱστορούντων ΟΒ, τοὺς ἑρμηνεῖς, καὶ τῶν Ο, μόνον (β). Ἀναφέρει δὲ τοὺς Ο, καὶ ὁ ἐθνικὸς Χαλκίδιος (ὑπομνήμ. εἰς Πλάτων. Τίμ. σελ. 372) (γ). Ἀλλὰ καὶ ὁ ἱερὸς Αὐγουστῖνος πρὸς Ἱερώνυμον διατείνεται γράφων, ὅτι « Αἱ τοῦ Χριστοῦ Ἐκκλησίαι οὐδένα ἕτερον » (τουτ. οὐδεμίαν ἄλλην ἑρμηνείαν, οὐδ᾽ αὐτὴν τὴν Ἱερωνύμειον) « κρίνουσι προτιμητέον παρὰ τὸ κῦρος τοσούτων ἀνδρῶν, ὑπὸ τοῦ τότε ἀρχιερέως Ἐλεαζάρου πρὸς τοσοῦτον ἔργον ἐκλελεγμένων. Καὶ γὰρ, καὶ εἰ μηδόλως ἐν αὐτοῖς ἓν καὶ τὸ αὐτὸ πνεῦμα θεῖον ἀναμφιβόλως ἐφανεροῦτο, μόνον δὲ πρὸς ἀλλήλους ἀντιπαρέβαλλον τὰς ἑαυτῶν ἑρμηνείας, ἀνθρωπίνης τρόπῳ παιδείας, οἱ Ο, ὥστε τὸ πᾶσιν ἀρέσαν ἐκεῖνο καὶ κρατῆσαι, οὐδ᾽ οὕτω πάλιν οὐδεὶς μεταφραστὴς εἷς καὶ μόνος ὤφειλεν αὐτῶν (τοσούτων ὄντων) προκριθῆναι » (δ). Ὡσαύτως καὶ ὁ θεῖος Χρυσόστομος (Ὁμ. ε, εἰς Ματθ. §. 23) ὀνομάζει τοὺς Ο, λέγων ὅτι « Καὶ διὰ τὸν χρόνον, καὶ διὰ τὸ *πλῆθος*, καὶ διὰ τὴν συμφωνίαν, μᾶλλον ἂν εἶεν πιστεύεσθαι δίκαιοι ». Τὸ δ᾽ αὐτὸ τοῦ πλήθους ἐπιχείρημα πρὸς τὴν τούτων ἀξιοπιστίαν προβάλλει καὶ Θεόδωρος ὁ Ἀντιοχεὺς (Ὑπομν. εἰς Σοφον. α). Τοῦτο καὶ Φώτιος προφέρει πρὸς ἔπαινον, « ὅτι οἱ Ο, συνεληλυθότες ἐκδεδώκασι τὴν μετάφρασιν » (Ἀναγν. ροζ). Καὶ ταῦτα μὲν καλῶς καὶ ἀραρότως. Ἀλλ᾽ ὑπῆρξεν ἆρα τῷ ὄντι τοσοῦτος ὁ τῶν ἑρμηνέων ἀριθμός; τοῦτο πρῶτον ἐξεταστέον ».

---

(α) Κριτ. η, 30: πρβλ. θ, 5. 56. βλ. καὶ ὄπισθ. Βιβλ. α. κεφ. κα.

(β) Gobelin. Persona in Cosmodromio aetat. 5. c. 13. Ἐκ τούτου καί τινες Ἄραβες ἐμυθολόγησαν οβ μὲν ἐκλεγῆναι τοὺς ἑρμηνεῖς, Ο, δὲ μόνον εἰς Ἀλεξάνδρειαν ἀφικέσθαι, τῶν δύω καθ᾽ ὁδὸν ἀποθανόντων » (Chronic. Oriental. καὶ G. Homaedides). Hody.

(γ) Βλ. ὄπισθ. σελ. 161. — (δ) S. August. de civ. Dei, 18, 43.

§. γ. « Ἐὰν ζητῇς (λέγουσι), τίς πρῶτον διώρισε τοῦτον τὸν οβ, ἀριθμὸν, διδάσκει σε Ψευδαριστέας, ὅτι αὐτὸς ἐκεῖνος ὁ Δημήτριος ὁ Φαληρεὺς παρῄνεσε τῷ Φιλαδέλφῳ, « γραφῆναι πρὸς τὸν ἀρχιερέα τὸν ἐν Ἱεροσολύμοις, ἀποστεῖλαι — *ἄνδρας ἀφ᾽ ἑκάστης φυλῆς ἓξ*, ὅπως τὸ σύμφωνον ἐκ τῶν πλειόνων ἐξετάσωμεν, καὶ λάβωμεν τὸ κατὰ τὴν ἑρμηνείαν ἀκριβές ». κτλ. Ἀλλ᾽ εἴπερ ὁ Δημήτριος ἤθελε πολλοὺς τοὺς ἑρμηνεῖς πρὸς ἀκριβεστέραν ἐπιτυχίαν τῆς ἑρμηνείας, διὰ τί μὴ ἤρκεσαν *εἴκοσι* μόνον, ἢ καὶ ἄλλος τις ἀριθμός; Πόθεν ἐπῆλθε τῷ Φαληρεῖ κατὰ νοῦν οὗτος ὁ παρ᾽ Ἕλλησι μὲν οὐδόλως, παρὰ δὲ τοῖς Ἰουδαίοις καὶ μάλα τίμιος ἀριθμός; Καὶ ἐτίμων μὲν αὐτὸν ὁπωσδήποτε καὶ Αἰγύπτιοι λέγοντες (ὡς ἔγραψεν Ὡραπόλλων, Ἱερογλυφ. α, 14), « ΟΒ χώρας τὰς ἀρχαίας τῆς Οἰκουμένης εἶναι ». Ὅθεν καὶ παρὰ Κλαυδίῳ τῷ Πτολεμαίῳ (Αἰγυπτίῳ καὶ αὐτῷ) οβ, λογίζονται αἱ χῶραι τῆς Οἰκουμένης (Τετραβίβλ. β, 3). Καὶ Θεοὺς δέ τινας, ἢ δαίμονας, οβ, ἐνόμιζον οἱ Αἰγύπτιοι, φύλακας ἐφεστῶτας ἐπὶ χωρῶν ἰσαρίθμων, ὡς παρέδωκεν ὁ Ἰάμβλιχος (περὶ Μυστηρ. Ε, 25). Ἀλλὰ τίς ποτε δικαίως ὑπονοήσει, ὅτι καὶ Δημήτριος ὁ Φαληρεὺς, Ἕλλην ἄνθρωπος, ἀπὸ ταύτης ὁρμηθεὶς τῆς αἰτίας, ἐνουθέτησε τὸν Βασιλέα τοσαρίθμους μετακαλέσαι καὶ τοὺς ἑρμηνεῖς τοῦ Νόμου τῶν Ἰουδαίων; Πολὺ συνετώτερος τοῦ Ψευδαριστέου φαίνεται (κατά γε τοῦτο) ὁ παρὰ τῷ Ἐπιφανίῳ νεώτερος Ψευδαριστέας ἐκεῖνος (α), ἱστορήσας τὸν ἀριθμὸν τῶν ἑρμηνευτῶν μήτε παρὰ τοῦ βασιλέως μήτε παρὰ τοῦ Φαληρέως ὁρισθέντα, ἀλλὰ παρ᾽ αὐτῶν τῶν Ἱεροσολυμιτῶν, κατὰ τὸν τύπον τῆς παρ᾽ αὐτοῖς μεγάλης Συναγωγῆς, ἢ τοῦ Συνεδρίου (Sanhedrin). « Τότε (λέγει) τοὺς οβ, ἑρμηνευταὶ οἱ τῶν Ἑβραίων διδάσκαλοι ἐκλεξάμενοι, ἀποστέλλουσι, κατὰ τὸν τύπον, ὅν ποτε ἐποίησε Μωϋσῆς, ἀκούσας. « Παρά-

---

(α) Ἤτοι ὁ Ἐπιφάνιος αὐτὸς (βλ. ὄπισθ. Βιβ. α. κεφ. γ. σελ. 41). Τὸν δὲ Ζιγαβηνὸν ἐφεξῆς καθ᾽ ἑαυτοῦ προβάλλεται μάρτυρα ὁ κριτικός· διότι καὶ οὗτος Ἀριστέᾳ συμφωνεῖ, λέγων ἐκλεγέντας τοὺς Ο, « κ α τ ὰ π α ρ ά κ λ η σ ι ν τ ο ῦ Β α σ ι λ έ ω ς ». Σημ. ἡμετ.

λαβε μετὰ σεαυτοῦ ἄνδρας Ο, καὶ ἀνάβηθι εἰς τὸ ὄρος » κτλ. (Ἐπιφάν. π. Μέτρ. §. ια). Τοῦτο συνομολογεῖ καὶ Εὐθύμιος ὁ Ζιγαβηνὸς (προοιμ. εἰς τοὺς Ψαλμ.). « Μεθερμήνευσις πρώτη ἡ τῶν Ο, οἵτινες Ἑβραῖοι ὄντες, ἐξελέγησαν κατ᾽ ἀριθμὸν τῶν ὑπὸ Μωϋσέως ἐκλεγέντων Ο, πρεσβυτέρων, *κατὰ πρόσκλησιν τοῦ δηλωθέντος βασιλέως* ».

§. δ. « Ἀλλ᾽ ὁ μακάριος Ἰλάριος διαβεβαιοῖ μὴ πρὸς τὸν τύπον τοῦ Συνεδρίου διορισθῆναι τὸν ἀριθμὸν τῶν ἑρμηνευτῶν, αὐτὸ δὲ μᾶλλον τὸ Συνέδριον αὐτοπροσώπως ἀπελθεῖν εἰς τὴν ἑρμηνείαν (α). Ὡσαύτως καὶ ἄλλοι τῶν ἀρχαίων δυτικῶν (β), καὶ τῶν νεωτέρων δὲ συχνοί (γ). Ἀλλὰ πάντες οὗτοι (κἂν δῶμεν Ἱεροσολυμίτας εἶναι τοὺς ἑρμηνεῖς) ἐξελέγχονται πλανηθέντες τῆς ἀληθείας. Τί γὰρ ἂν γένοιτο ἀτοπώτερον, ἢ τὸ πιστεύειν, ὅτι τὸ μέγιστον ἐκεῖνο καὶ παντὸς τοῦ Ἰσραὴλ προϊστάμενον Συνέδριον ἐστάλη εἰς τὴν Αἴγυπτον, καταλιπὸν τὴν τοῦ ἔθνους μητρόπολιν ὀρφανήν; Ἀντιφάσκει δὲ πρὸς αὐτοὺς καὶ αὐτὸς ὁ παρ᾽ αὐτοῖς ἀποδεκτὸς Ἀριστέας, λέγων (ἐν τῇ πρὸς Πτολεμαῖον ἐπιστολῇ τοῦ Ἀρχιερέως) « Παρόντων δὲ πάντων, ἐπελεξάμεθα ἄνδρας καλοὺς καὶ ἀγαθοὺς πρεσβυτέρους, ἀφ᾽ ἑκάστης φυλῆς ἕξ, οὓς καὶ ἀπεστείλαμεν » κτλ. Ὁ δὲ Βαρόνιος ἐνόμισεν, ὅτι καὶ Ἀριστέας καὶ Ὠριγένης, πρεσβυτέρους αὐτοὺς ὀνομάζοντες, ἐννοοῦσι τοὺς διδασκάλους τοὺς τὸ μέγα Συνέδριον συγκροτοῦντας. Ἀλλὰ κακῶς ἐνόμισεν ὁ Βαρόνιος· πρεσβύτεροι γὰρ ἐκλήθησαν οἱ Ἑρμηνεῖς οὐχὶ τῷ λόγῳ τοῦ ἀξιώματος, ἀλλὰ τῷ τῆς ἡλικίας· οὐ γὰρ μόνον τοὺς τοῦ μεγάλου Συνεδρίου συνέδρους προσηγόρευον οἱ

---

(α) S. Hilar. prolog. in Psalm. et Comm. in Psalm. 2.

(β) Auctor. oper. de mirabil. S. Script. I. 9. in tom. 3. oper. S. August. (Βλ. τὸ χωρίον ἐφεξῆς ἐν τῇ ἀπαντήσει): Anselm. Enarrat. S. Luc. c. 3.

(γ) Armius Chronol. arabicus. Andrad. Defens. Concilij. Tridentin. L. 4. — Rugerius de Libr. Canon. c. 38. — Middendorp. Proleg. in Aristeam c. 7. (ὅστις κατὰ λάθος μνημονεύει ὡς ὁμόγνωμον καὶ τὸν Εὐσέβιον). — Gretser. Def. Bellarm. II. 6. — Baron. Annal. ad an. 231. — Bzovius Hist. Eccles. ad an 231. — Fr. Junius not. in Tertul. Apol. c. 18. etc. Hody.

Ἰουδαῖοι *πρεσβυτέρους*, ἀλλὰ καὶ ἄλλους κατωτέρων τάξεων προεστῶτας καὶ διδασκάλους ».

§. ε. « Πλανῶνται (λέγουσι) πρὸς τούτοις καὶ ὅσοι νομίζουσι τοὺς τοῦ μεγάλου Συνεδρίου συνέδρους ἰσαρίθμους γενέσθαι τοῖς οβ, μεταφρασταῖς. Ἐκ μόνων Ο, ἢ (τὸ μέγιστον) ἑνὸς καὶ Ο, διδασκάλων συνίστατο τὸ μέγα Συνέδριον. Εἰ δὲ καὶ ὁ παρ' Ἐπιφανίῳ Ψευδαριστέας » (γρ. ὁ *Ἐπιφάνιος αὐτὸς*) « εἶπεν, ὅτι « *ὁ Μωϋσῆς διενοήθη* οὐχὶ Ο, ἄνδρας (ὡς ὑπὸ Θεοῦ προσετάγη), *ἀλλὰ μᾶλλον οβ λαβεῖν* », ἄπιστα λέγει, καὶ οὐδὲ λεπτῆς κροκίδος ἰσοστάσια. Πῶς ἂν ἐτόλμησεν ὁ Μωϋσῆς ἀντιπρᾶξαι πρὸς τὸ κέλευσμα τοῦ Θεοῦ; Ἄκουσον μᾶλλον τοὺς ἀρχαίους Ῥαββίνους περὶ τοῦ ἀριθμοῦ τῆς ἑαυτῶν μεγάλης Συναγωγῆς (α), οἵτινες Ο, πρεσβυτέρους λέγουσιν ἐκλέξαι τὸν Μωϋσῆν, πρὸς οἷς καὶ αὐτὸν συναριθμοῦσι πρῶτον καὶ ἑβδομηκοστόν. Τοσοῦτον βεβαιοῦσι καὶ μετὰ τοὺς Μωσέως χρόνους συνεστῶτα τὸν ἀριθμὸν τῶν πρεσβυτέρων τοῦ μεγάλου Συνεδρίου, συναριθμουμένου δηλονότι καὶ τοῦ Προέδρου, ὅστις ἐκαλεῖτο καὶ Κεφαλὴ τῆς Σχολῆς, ἢ τῆς Ἀκαδημίας (β). Ἀλλ' ἔμοι γε (φησὶν Ὅδιος) μᾶλλον φαίνεται πιθανώτερον ἐκ μόνων Ο, συνεστηκὸς τὸ μέγα Συνέδριον, ὡς διαβεβαιοῖ καὶ ὁ ῥαββὶ Ἰεχουδᾶς, διδάκτωρ ἀρχαιότατος ἐν τοῖς Μισνικοῖς. Οὕτω καὶ ὁ Κύριος ἡμῶν, πρὸς τοῦ μεγάλου Συνεδρίου τὸν τύπον, Ο, μαθητὰς ἐξελέξατο, καὶ ἀπέστειλεν εἰς τὸ κήρυγμα. Ἀλλὰ καὶ Ἰώσηπος, ἡγεμονεύσας τῶν Γαλιλαίων, κατέστησαν ἄρχοντας ὅλης τῆς Γαλιλαίας ἐπιλέξας, κατὰ μίμησιν τοῦ Συνεδρίου, « τοὺς σωφρονεστάτους τῶν γηραιῶν ἑβδομήκοντα » (γ). Καὶ περὶ τῶν ἐν Ἱεροσολύμοις *Ζηλωτῶν* ὁ αὐτὸς ἱστόρησεν, ὅτι συνεκάλεσαν Ο, τῶν ἐν τέλει δημοτῶν εἰς σχῆμα δικαστῶν » (Ἰουδ. Πολ. δ. ε, 4). Καθόλου δὲ

---

(α) Βλ. τοὺς Μισνικοὺς ἐν τμήμ. Sanhedrin κεφ. α. §. 6. καὶ τοὺς Γεμαριστὰς εἰς Sanhedr. κεφ. α. §. 14. — (β) Maimonides, καὶ ὁ ῥαββὶ Bechai παρὰ Buxtorf. de Abbrev. Hebraeor. voc. etc.

(γ) Ἰώσηπ. Ἰουδ. πολ. Β. κεφ. α. (σελ. 267. τόμ. 2. Hav.). Ἀλλαχοῦ δὲ (ἐν Βίῳ αὐτοῦ §. ιδ. σελ. 8) λέγει, « ὅσον ἑβδομήκοντα » (τουτ. περίπου). Hody.

φαίνεται ἀπίθανον, ὅτι καὶ ἄλλος τις ὑπῆρχεν ἐν τῷ Συνεδρίῳ πλέον τῶν Ο, τὸν τόπον ἐπέχων τοῦ Μωϋσέως· καθότι τοῦτον ἐπεῖχεν ὁ κατὰ καιροὺς ὑπέρτατος ἄρχων καὶ κυβερνήτης, εἴτε Κριτὴς (ἐπὶ τῶν χρόνων τῶν Κριτῶν), εἴτε Βασιλεὺς (ἐπὶ τῶν Βασιλειῶν), εἴτε Ἀρχιερεὺς (μετὰ τοὺς Ἔσδρα χρόνους). Ὁ δὲ *Κεφαλὴ τῆς Σχολῆς* ἐπονομαζόμενος, εἷς ἦν τῶν Ο, ὁ πρῶτος αὐτῶν· ὁ δὲ μετ' αὐτὸν δεύτερος ἐκαλεῖτο τοῦ Συνεδρίου *Πατήρ*. Τελευταῖον, ἐν ὀλίγοις. Εἰ μὲν ἀνεπλήρου τὸν τόπον τοῦ Μωϋσέως ὁ καλούμενος *Κεφαλὴ* καὶ Ἄρχων τοῦ Συνεδρίου, τότε μετ' αὐτοῦ τὸ Συνέδριον συνειστήκει ἐξ ἀνδρῶν ΟΑ· ὁ δὲ λεγόμενος *Πατὴρ* ὑπῆρχεν ὁ πρῶτος τῶν Ο. Εἰ δ' ἀντὶ τοῦ Μωσέως οὐδεὶς ἦν ἕτερος, ἢ τοῦ ἔθνους ὁ κυβερνήτης, τότε τὸ Συνέδριον συνίστατο ἐκ μόνων Ο. Ἀλλ' ὅμως ὁ ἀρχαῖος συγγραφεὺς τῶν εἰς τὸν Ῥώμης Κλήμεντα ἐπιγραφομένων Ἀναγνωρισμῶν (α, 40), ΟΒ λέγει τοὺς πρεσβυτέρους τοῦ Συνεδρίου, καὶ ὅτι παρομοίως καὶ ὁ Κύριος ἡμῶν ΟΒ *τοὺς μαθητὰς ἐξελέξατο*, πρὸς τὸ παράδειγμα τοῦ Μωϋσέως (καίτοι πάλιν ἄλλος τις τοὺς μὲν ἐπὶ Μωσέως πρεσβυτέρους Ο λέγει, τοὺς δὲ μαθητάς, ΟΒ) (α). Ἀλλὰ καὶ ἔν τισι χειρογράφοις τοῦ θείου Εὐαγγελίου ΟΒ γράφονται οἱ τοῦ Κυρίου μαθηταὶ (Λουκ. Ι. 1). Οὕτως ἔχουσι καὶ ἡ λατινικὴ μετάφρασις, καὶ ἡ περσική· συμφωνοῦσι δὲ καὶ τῶν Πατέρων οἵτε προμνημονευθέντες, καὶ Ὠριγένης (Ὁμ. κζ. εἰς Ἀριθμ.), καὶ Ἐπιφάνιος (Αἱρ. κ, 4), καὶ Ἰσίδωρος ὁ Ἰσπάλεως (β), καὶ ἄλλοι. Ἡμεῖς ὅμως τὴν Ο, κρίνομεν ἀληθεστέραν ἀνάγνωσιν, ἣν ἔχουσι καὶ πλεῖστα ἀντίγραφα, βεβαιοῦσι δὲ καὶ Κύριλλος, Εὐσέβιος (γ), Θεοφάνης (δ), Θεοφύλακτος (ε), Γρηγόριος ὁ Νύσσης (ζ), Ἱερώνυ-

---

(α) Anctor Oper. de Mirabil. S. Scrip. I. 10.—[Λάθος! Ὁ ἀνώνυμος οὗτος οβ, λέγει σαφῶς καὶ τοὺς ἐπὶ Μωσέως πρεσβυτέρους, ὡς συναριθμῶν καὶ τὸν Ἐλδὰδ καὶ Μωδάδ. Βλ. ἐφεξῆς (§. ιζ). Ἄπορον, πῶς ἔλαθε τοῦτο τὸν Ὅδιον, ὅστις ἔχει κατὰ λέξιν ὅλην τοῦ ἀνωνύμου τὴν μαρτυρίαν αὐτὴν, αὐτὸς ἀντιγράψας (σελ. 126). Ἀλλὰ καὶ ὁ κλεινὸς Seldenus ἐκ τοῦ αὐτοῦ συγγραφέως, οβ λέγει καὶ τοὺς πρεσβυτέρους. De Synedriis. II. 4. πρβλ. Demagistr. p. 508. Σημ. ἡμετ.].

(β) Isidor. Ispal. Allegor. in S. Script. — (γ) Σειρ. εἰς Λουκ. καὶ Εὐαγγ. Ἀποδ. γ. 2. — (δ) Σειρ, εἰς Λουκ. — (ε) Ἑρμην. εἰς Λουκ. — (ζ) Βίῳ Μωϋσ.

μος (α), Τερτυλλιανὸς (ϐ), καὶ αὐτὸς πάλιν Ὠριγένης (Ὁμιλ. ζ. εἰς Ἔξοδ.). Τελευταῖον· ὑπάρχουσι καί τινες τῶν ἀρχαίων (γ) πιστεύσαντες, ὅτι τοὺς μαθητὰς ἐξελέξατο ὁ Κύριος Ο, ἢ ΟΒ, ἰσαρίθμως πρὸς τὰς χώρας τῆς οἰκουμένης, ὅπως δι' αὐτῶν κηρυχθῇ τὸ Εὐαγγέλιον εἰς πάντα τὰ ἔθνη! — Ἄκρατα ὀνείρατα »!

§. ς. « Ἀλλ' (ἵνα ἐπανέλθωμεν εἰς τοὺς ἑρμηνεῖς) οϐ, τούτους λέγει καὶ Ἰώσηπος ὁ Γοριωνίδης (Ἰουδαῖος ἀνὴρ), καὶ πάντας ἱερεῖς. Πρῶτον δὲ τούτων Ἐλεάζαρον ἀναγράφει, τὸν μαρτυρήσαντα μετὰ Μακκαβαίων ἐν ἔτει 7, τῆς βασιλείας Ἀντιόχου τοῦ Ἐπιφανοῦς (καίτοι μέχρι τότε ἀπὸ τῆς ἀρχῆς τῆς Φιλαδέλφου βασιλείας παρῆλθον ἔτη 146· ὁ δὲ γέρων Ἐλεάζαρος ἐμαρτύρησεν ἐννενηκονταέτης) (δ). Καὶ τὸν πολλοὺς μετὰ τὸν Φιλάδελφον χρόνους ἀκμάσαντα Ἀριστόβουλον ἕνα τῶν Ο, ὑπέλαβεν ὁ Λαοδικείας Ἀνατόλιος (ε). Οἱ δέ τινες καὶ τὸν δίκαιον Συμεών, τὸν δεξάμενον τὸν Χριστὸν ἐν ταῖς ἀγκάλαις· ὅτε δὲ οὗτος ἔζη, ὑπάρχει βέβαιον, ὅτι ἦσαν ἤδη παρῳχηκότα πλέον ἢ 280 ἔτη ἀπὸ τῆς ἀρχῆς τῆς Φιλαδέλφου βασιλείας! Ὁ Κεδρηνὸς φέρει περὶ τούτου μάρτυρα καὶ τὸν Χρυσόστομον (ὅστις ἐνόμισε τὴν μετάφρασιν γενομένην ἐν ἔτει 100, πρὸ Χριστοῦ ») (ζ). Λέγει δὲ ὁ Κεδρηνός· « Οὗτος ὁ θεοδόχος Συμεών, Ἰουδαῖος ὤν, εἷς ὑπῆρχε τῶν Ο, τῶν (καὶ) ἑβραϊκῶς συντεθειμένην τὴν παλαιὰν θείαν Γραφὴν εἰς τὴν Ἑλλάδα γλῶσσαν μεταβαλόντων ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου, βασιλέως Αἰγύπτου πρὸ χρόνον» *(γρ. πρὸ Ρ, χρόνΩΝ)* « τῆς Χριστοῦ παρουσίας, ὡς ὁ θεῖος Χρυσόστομος ἐν τῇ Ἑξαημέρῳ λέγει ». Οὕτω

(α) Epist. ad Fabiol. de 42 Mans. mans. VI. [Ἀλλ' ὁ τοῦ Ἱερωνύμου σχολιαστὴς Henr. Grabius οϐ, ἀναγινώσκει τοὺς μαθητάς. not. ibid. Σημ. ἡμετ.].

(ϐ) Adv. Marc. 4. 24.

(γ) Εὐσέϐ. καὶ Θεοφάν. Σειρ. εἰς Λουκ. καὶ Auct· Mirabil. S. Scr. l. c.

(δ) Καὶ 'Αριστέας μνημονεύει τινος Ἐλεαζάρου ὡς πρωτεύοντος μεταξὺ τῶν Ο. Τοῦ Ἐλεαζάρου τούτου καὶ ἄλλοι ἐπεμνήσθησαν, οἷον ὁ Ἄραψ εἰς τὴν Β. τῶν Μακκαϐ. (ἐν Bibl. Polyglot. Walton.) — Chronic. Oriental. — Elmacin. in Chronic. καὶ ὁ συγγραφεὺς τοῦ Juchasin, παρὰ Hotting. Thes. Philol. — Hody.

(ε) Λάθος. ϐλ. ὄπισθ. ϐιϐλ. α, κεφ. ιϐ. §. ς. σελ. 410. Σημ. ἡμετ.

(ζ) Λάθος. ϐλ. ὄπισθ. ϐιϐλ. α, κεφ. θ. §. κγ. σελ. 285. Σημ. ἡμετ.

καὶ ἄλλοι τῶν νεωτέρων Γραικῶν, ὡς ὁ Κορίνθου Γεώργιος, ἢ Γρηγόριος, ὁ Πάρδος (ἐν ἀνεκδότῳ ἑρμηνείᾳ τοῦ εἰς τὴν Ὑπαπαντὴν κανόνος τοῦ Κοσμᾶ). «Ὁ θεολόγος» (γρ. *θεοδόχος*) «οὗτος καὶ ἅγιος Συμεὼν Ἰουδαῖος ὤν, εἷς ὑπῆρχε τῶν Ο, τῶν ἰουδαϊκῶς συντεθειμένην τὴν παλαιὰν θείαν Γραφὴν εἰς τὴν ἑλλάδα γλῶσσαν μεταβαλόντων, ὡς ἐκ τῆς Ἑξαημέρου τοῦ θείου καὶ ἱεροῦ Χρυσοστόμου γενέσθαι τοῦτο διδασκόμεθα, ἐπὶ Πτολεμαίου τοῦ βασιλέως» (α). Τοιαῦτα καὶ Δαμασκηνὸς ὁ Θεσσαλονικεὺς παρ' Ἀλλατίῳ (β). Ἐπανέλαβε τὸ μυθάριον καὶ Ματθαῖος ὁ Κιγάλας, καὶ ἄλλοι (γ). Ὁ δ' Ἱσπάλεως Ἰσίδωρος καὶ τὸν Ἰησοῦν τοῦ Σεὶρὰχ (τὸν πρεσβύτερον), τὸν συγγραφέα τῆς ἐπωνύμου Σοφίας, ἕνα τίθησι τῶν Ο· συμφωνοῦσι δὲ καὶ Γαλατῖνος, καὶ Γενεβράρδος, καί τινες Ῥαββῖνοι. Τούτων δέ τινες καὶ αὐτὸν τὸν προφήτην Δανιὴλ μετὰ τῶν Ο, συνηρίθμησαν (δ). Ἕνα τῶν Ο, καὶ Φίλωνα τὸν πρεσβύτερον εἶπεν ὁ Γενεβράρδος. Ὁ δ' Ἰσαὰκ Οὐόσσιος (ε) καὶ Ἰεζεκιῆλον τὸν τραγῳδοποιὸν τοῖς Ο, συγκαταλέγει, μήτε λόγου βεβαιοῦντος, μήτε κύρους μαρτυρίας μηδεμιᾶς. Μόνον παρὰ τῷ Ψευδαριστέᾳ μεταξὺ τῶν ὀνομάτων τῶν Ο, εὑρίσκονται καὶ *Ἐλεάζαρος, Σίμων, Ἰησοῦς, Δανιήλ, Ἰεζεκιήλ.* Φίλων δὲ καὶ Ἀριστόβουλος, οὐδείς».

§. ζ. Ἀλλὰ πάντα τὰ κοινῶς λεγόμενα καὶ πιστευόμενα περί τε τοῦ ἀριθμοῦ καὶ τῶν ὀνομάτων τῶν ἑρμηνευτῶν ἐξεσύριξαν ὡς

---

(α) «Ταῦτα ὁ Γρηγόριος ἀπὸ τοῦ Κεδρηνοῦ *μεταγράψας, φαίνεται νομίσας,* ὅτι ὁ Κεδρηνὸς *φέρει μάρτυρα* τὸν Χρυσόστομον *οὐχὶ περὶ* τοῦ ὅτι ὁ Συμεὼν εἷς ἦν τῶν Ο, ἀλλὰ περὶ τῆς ἐπὶ τοῦ Πτολεμαίου *ἑρμηνείας* τῶν Γραφῶν» Hody. — [Τί τοίνυν *μὴ* καὶ σὺ, σοφώτατε Ὅδιε, *παρομοίως* ἐξεδέχου τὸν Κεδρηνὸν, ὁδηγούμενος ὑπὸ τοῦ Πάρδου, ἵνα *μὴ* τοσοῦτον ἀδικήσῃς *διαστρέφων* τὸν ἁπλοϊκὸν Κεδρώνυμον, ὀρθὰ λαλοῦντα καὶ σαφῆ; ἢ *μήπως* οὐχ ἀνέγνως καὶ σὺ αὐτὸς πολλάκις τὴν ὑπὸ τοῦ Κεδρηνοῦ *μνημονευομένην* Ἑ ξ α ή μ ε ρ ο ν τοῦ Χρυσοστόμου; Σημ. ἡμετ.].

(β) Βλ. L. Allatij de Symeonum Scriptis p. 3.

(γ) Said Batricides (ἐν ἀραβικοῖς χρονικοῖς, ὅστις καὶ μέχρι τῶν 350 ἐτῶν ἀνεβίβασε τὴν ζωὴν τοῦ Συμεών)· καὶ Chronic. Oriental. καὶ Elmacin. καὶ G. Homaedides. — (Hody).

(δ) Βλ. P. Carbonar. Metropagita de veritat. Hebraica.

(ε) De LXX. Interp. c. 27.

ψευδῆ καὶ πεπλασμένα ἄνδρες οὐκ ὀλίγοι, σοφοὶ καὶ περιώνυμοι· οἷον, Σκαλίγηρος, Ἕϊνσιος, Γατακῆρος, Λιχθόφωτος, Κρόϊος, Μαρέσιος, Βοότιος, καὶ ἄλλοι. Ὁ δ' Ἕϊνσιος καὶ ῥητῶς προσέθηκεν, ὅτι πρὸς τὸν ἀριθμὸν τῶν ὑπὸ Μωσέως ἐκλεγέντων Ο πρεσβυτέρων ἀποβλέποντες, ἔπλασαν καὶ τὸν ἀριθμὸν τῶν ἑρμηνευτῶν, οἱ συγκαττύσαντες καὶ συῤῥάψαντες τὴν Ἀριστέου μυθολογίαν· καὶ ἄλλοι δὲ συνήνεσαν Ἑϊνσίῳ. Κἀγὼ δέ (φησιν Ὅδιος) μῦθον ἄκρατον εἶναι τὸν ἀριθμὸν τῶν ἑρμηνέων εὐκόλως ἐπείσθην, ἀναπολήσας, πόσον θαυμαστῶς ἀγαπῶσιν οἱ Ἰουδαῖοι τοὺς δύω τούτους ἀριθμοὺς, τοὺς Ο, καὶ ΟΒ, καὶ πόσα περὶ τούτων ληροῦσι. Καὶ γὰρ καὶ αὐτοὶ, ὡς οἱ Αἰγύπτιοι, διαιροῦσι τὰς χώρας τῆς Οἰκουμένης εἰς Ο, ἢ ΟΒ, καὶ ταύταις ἰσαρίθμους ἀγγέλους ἐφιστῶσι. Ταύτην τὴν δόξαν περιέχουσι καὶ οἱ τοῦ Ψευδοκλήμεντος Ἀναγνωρισμοὶ, ἐκ παραδόσεως πάντως ἰουδαϊκῆς (α). Οἱ δὲ Καββαλισταὶ καὶ τὰ ὀνόματα τῶν Οβ ἰσχυρῶν ἀγγέλων καταλέγουσιν! Ο, θέλουσιν οἱ Ῥαββῖνοι καὶ τὰ ἀλφάβητα καὶ τὰς γλώσσας τῆς οἰκουμένης. Ἐξ ἐθνῶν Ο συνηγμένους λέγουσι τοὺς συμπλωτῆρας τοῦ προφήτου Ἰωνᾶ. Ο γλώσσας ἐδίδαξεν ὁ ἀρχάγγελος Γαβριὴλ τὸν Ἰωσὴφ, ἄρξαντα τῆς Αἰγύπτου. Τόσας ἠπίστατο καὶ ὁ Σολομών. Τόσας ὤφειλον εἰδέναι καὶ πάντες οἱ τοῦ μεγάλου Συνεδρίου Καθηγηταί. Καὶ πᾶσα δὲ λέξις τῆς Γραφῆς ἐξηγεῖται (λέγουσι) κατὰ τρόπους Ο, (ὅθεν καὶ τὸ παρ' αὐτοῖς ἀξίωμα· *Ο, εἰσὶ τὰ πρόσωπα τοῦ νόμου!*). Εἰς γλώσσας Ο συνέγραψε τὸν νόμον καὶ Μωσῆς. Πόσον νομίζεις τὸ ὕψος τοῦ πύργου τῆς Βαβυλῶνος; — μίλια Ο! Πόσοι ἦσαν οἰκοδόμοι; — Ο! Πόσας ἀποκρύφους βίβλους ὑπηγόρευσε τῷ Ἔσδρᾳ ὁ Θεός; — ΟΒ! (βλ. Δ. Ἔσδρ. ιδ, 46). Ταύτας ἴσως ἐννοεῖ καὶ Ἐπιφάνιος λέγων (περὶ Μέτρ.) ὅτι, πλὴν τῶν κανονικῶν βιβλίων τῆς Γραφῆς ἡρμήνευσαν

---

(α) Εἰς 72 *διαιροῦσι τὰ ἔθνη καὶ* Κλήμης *ὁ* Στρωματεὺς, *καὶ τὸ* Πασχάλιον Χρονικὸν, *καὶ* Ἀρνόβιος *ὁ νεώτερος, καὶ ἄλλοι πλεῖστοι χριστιανοί· ὁ δ'* Εὐσέβιος *καὶ* Θεοφάνης (Σειρ. εἰς Λουκ.) *καὶ ἄλλοι, εἰς* 70. Hody.

οἱ Ο, καὶ *ἄλλας ἀποκρύφους ΟΒ*, (α)· καὶ τ' ἄλλα τὰ *ἑβδομηκονταδικὰ*, καὶ *ἑβδομηκοντάδυα* παραλείπομεν. Τοιαῦτα τὰ τῶν Ῥαββίνων παιδικά! Τούτων δὲ τὴν πτόησιν ἐμιμήθησαν καὶ Χριστιανοὶ, οὐ μόνον περὶ τῶν ΟΒ, ἐθνῶν καὶ γλωσσῶν, ἀλλὰ καὶ ἐν ἄλλοις πολλοῖς. Τὸ *περὶ τῶν Προφητῶν* εἰς τὸν Ἐπιφάνιον ἐπιγεγραμμένον βιβλίον ΟΒ τούτους ἀπαριθμεῖ, ὧν πρῶτος μὲν Ἀδὰμ, ἔσχατος δὲ ὁ Βαπτιστής. Σιωπῶ τοὺς ἐν Ἐλεὶμ Ο, φοίνικας, οὓς οἱ πλεῖστοι τῶν ἀρχαίων Πατέρων ἀναφέρουσιν ὡς τύπον τῶν Ο, ἀποστόλων· (ὁ δὲ Ῥαββῖνος ἅμα καὶ Καββαλιστὴς Ῥακανάτης ἠλληγόρησεν εἰς τοὺς Ο ἀγγέλους!). Καὶ αὐτὸν τὸν Ο, ἀριθμὸν ὁ Ἐπιφάνιος ὡς μυστηριώδη τινα θεωρεῖ, λέγων περὶ τῆς ἀρτάβης, ὅτι «ἐκ πολλῆς ἀκριβείας καὶ τοῦτο οὕτως (ἐξ οβ, ξέστων) συνήχθη· ΟΒ, ἄνδρες τότε τὸν πύργον ᾠκοδόμουν, ὅτε καὶ εἰς ΟΒ γλώσσας ἐκ μιᾶς συνεχέθησαν» κτλ. (π. Μέτρ. §. κδ). Ὁ δὲ Κασσιόδωρος, Ο, ἀριθμῶν τὰ βιβλία τῆς παλαιᾶς καὶ νέας Διαθήκης (συμπεριλαμβανομένων καὶ τῶν ἀποκρύφων), ἐνόμισεν αὐτὰ καὶ προτυπωθέντα διὰ τῶν Ο φοινίκων τῆς Ἐλείμ (β)· καὶ καθόλου δὲ τὸν ΟΒ, ἀριθμὸν ὡς τελειότατον τιμᾷ. Καὶ παρ' ἄλλοις δὲ τῶν Ἀσιανῶν ἐθνῶν ἐπικρατεῖ ἡ πρὸς τοῦτον τὸν ἀριθμὸν φιλόθρησκος πρόσκλισις. ΟΒ λέγουσι τὰς εἰς ἅπασαν τὴν ὑφήλιον πρεσβευομένας θρησκείας οἱ Ἄραβες, καὶ τὴν ἑαυτῶν ὁμοίως εἰς οβ ποικίλας αἱρέσεις διῃρημένην· ΟΒ παρθένων γα-

---

(α) Λάθος! Ὁ Ἐπιφάνιος ἔγραψεν κβ (οὐχὶ οβ.). βλ. ὄπισθ. βιβλ. α. κεφ. γ. §. ζ. Ἀποκρύφους δὲ λέγει τὰς (ὧν τινες ἔτι καὶ καθ' ἡμᾶς σῴζονται κατὰ μέρος) βίβλους ἐκείνας, τοῦ Ἀδὰμ, τοῦ Ἐνὼχ, τοῦ Ἀβραὰμ, τῶν ιβ, Πατριαρχῶν, τοῦ Ἡλία, κτλ. (βλ. Ἀποστόλ. Διατ. ϛ. 16, καὶ Ἀθανασ. Σύνοψ. πρβλ. καὶ Coteler. Patr. Apost. I. p. 346). Περὶ τῶν ἀποκρύφων τούτων ἴδε κατὰ πλάτος τὸ Fabric. Codex Pseudepigraph. V. Test. Hamb. 1721. Σημ. ἡμετ.

(β) Cassiodor. de Instit. divin. lit. c. 13 et 14. [Οὐ μόνος ὁ Κασσιόδωρος, ἀλλὰ καὶ ὁ ἱερὸς Θεοδώρητος· «Ἐκεῖ (παρὰ τῷ Ἰσραὴλ) ιβ πηγαὶ, ἐνταῦθα (ἐν τῇ Ἐκκλησίᾳ) ιβ ἀπόστολοι· ἐκεῖ Ο, στέλεχοι, ἐνταῦθα Ο, βίβλοι» κτλ. (Ἑρμην. εἰς ψαλμ. ογ. 15). Ὅτι δὲ Ο, λέγει συντομώτερον ἀντὶ Οβ, βλ. ἐφεξῆς §. ιη. Σημ. ἡμετ.].

μύλια λέκτρα πιστεύει καθεὶς τῶν Μαροκινῶν εἰς ἀπόλαυσιν ἕξειν ἐν τῷ Παραδείσῳ τῆς τρυφῆς· ΟΒ τοὺς ἐν τῇ κιβωτῷ τοῦ Νῶε σωθέντας ἀνθρώπους δοξάζουσιν οἱ Πέρσαι· καὶ ἐν ἄλλοις ἱστορικοῖς καὶ θρησκευτικοῖς πράγμασιν ἄσμενοι χρῶνται τῷ ἀριθμῷ. Ἄλλων ἄλλα πάμπολλα παρασιωπῶ· σιωπῶ καὶ τοὺς Οϐ, μαθητὰς Κομφουκίου, τοῦ μεγίστου φιλοσόφου τῶν Σινῶν. Ἐκεῖνο δὲ μάλιστα κρίνω σημειωτέον, ὅτι καὶ εἰς ΟΒ ἡμέρας ἑρμηνευθῆναι τὰς Γραφὰς ὑπὸ τῶν ΟΒ μεταφραστῶν παρέδωκαν οἱ ἑλληνισταί. Ἐκ δὲ τούτου φαίνεται λοιπὸν, ὅτι αὐτοὶ οὗτοι διεπλαστούργησαν τοῦτον τὸν ἀριθμόν. Ὑπῆρχε δὲ πάντως καὶ ἐν Ἀλεξανδρείᾳ συνέδριον τῶν Ἰουδαίων συνεστηκὸς, ἴσως (ἐξ Ο), πρὸς τὸ παράδειγμα τοῦ ἐν Ἱεροσολύμοις. Καὶ ἀρνεῖται μὲν ὁ Λιχθόφωτος, διατεινόμενος μήτε κατ᾽ Ἀλεξάνδρειαν, μήτ᾽ ἐν Βαβυλῶνι, μήτ᾽ ἄλλοθι μηδαμοῦ τοσαυτάριθμον συνέδριον συστῆναι παρ᾽ Ἰουδαίοις (α)· ἀλλὰ τὸ πρᾶγμα βεβαιοῦται κατὰ συμπερασμὸν ἔκ τινος παραδόσεως τῶν Ταλμουδικῶν, οἵτινες μνημονεύουσι Μητροπολίτιδός τινος (Cathedralis) ἐν Ἀλεξανδρείᾳ Συναγωγῆς, ἐν ᾗ ἦσαν Ο, λαμπρόταται καθέδραι. Καὶ εἰ μὲν τὸ συνέδριον τοῦτο συνίστατο ἐξ ΟΒ Καθηγητῶν, εὐκόλως ἂν ἐφαίνετο καὶ ἡ ἀρχὴ τοῦ δημώδους μύθου τοῦ περὶ τῶν ΟΒ μεταφραστῶν, διαθρυλληθέντων δῆθεν ἰσαρίθμων τῷ Ἀλεξανδρινῷ συνεδρίῳ, καθὸ τῇ τούτου βουλῇ καὶ διαταγῇ γενομένης τῆς μεταφράσεως (ϐ). Ἀλλ᾽ ἐπειδὴ τὸ τῶν Ἱεροσολύμων Συνέδριον συνειστήκει ἐκ μόνων Ο, ἢ γοῦν ΟΑ, (καθὼς προαπεδείξαμεν), φαίνεται λοιπὸν ὁ περὶ τῶν ἑρμηνέων δημώδης μῦθος γεννηθεὶς ἐκ μόνης τῆς περὶ τοῦτον τὸν ἀριθμὸν δεισιδαίμονος σταργῆς τῶν Ἰουδαίων. (Ἐκ δὲ πάλιν τοῦ μύθου τῶν ΟΒ, μεταφραστῶν παρεπλάσθη καὶ ὁ τῶν ἐπὶ Πεισιστράτου ΟΒ, Γραμματικῶν, περὶ ὧν ἐν τῷ ἐφεξῆς κεφαλαίῳ. Οὕτως ἔκδοτοι περὶ τὰ τοιαῦτα πλά-

(α) Lightfoot Exercit. Talmud. in Act. IX. 2.

(ϐ) Ἀρέσκει καὶ τῷ Βώσῳ αὕτη ἡ αἰτία τῆς ἐπωνυμίας τῶν Ο, καὶ ταύτην γενναίως ἐπικουρεῖ! Βλ. L. Bos proleg. in Edit. LXX. c. 1. Σημ. ἡμετ.

σματα καὶ κατωφερεῖς ἀποβαίνουσιν ἄνθρωποι ματαιόφρονες!). Καὶ τοῦτο δὲ σημειωτέον· ὅτι τότε, κατὰ τοὺς χρόνους τῆς τῶν Γραφῶν ἑρμηνείας, καθὼς τινες διϊσχυρίσθησαν, οὐδ᾽ ὑπῆρχεν ὅλως ἐν Ἱεροσολύμοις μέγα Συνέδριον, ὡς μεῖναν ἀδιάδοχον μετὰ τὸν θάνατον τῶν ὑπὸ Μωσέως τὸ πρῶτον ἐκλεγέντων Ο πρεσβυτέρων· ἀνεκαινίσθη δὲ πάλιν μόλις κατὰ τοὺς χρόνους τοῦ Πομπηΐου » (α).

§. η. « Ὑπάρχουσι πρὸς τούτοις καί τινες τῶν ἀρχαίων συγγραφέων παντάπασιν ἐναντία γράψαντες πρὸς τὴν περὶ τοῦ ἀριθμοῦ τῶν ἑρμηνέων δημώδη παράδοσιν. *Πέντε μόνους* λέγει τοὺς Πτολεμαίῳ τὸν νόμον ἐξελληνίσαντας πρεσβυτέρους παλαιὰ παράδοσις τῶν Ταλμουδικῶν (β). Καὶ Μορῖνος μὲν εἶπεν, ὅτι διὰ τῶν πέντε τούτων πρεσβυτέρων ἐννοοῦσι βεβαίως οἱ Ταλμουδικοὶ τὰς πέντε ἑλληνικὰς ἑρμηνείας, ἃς Ὠριγένης συνήγαγεν ἐν τοῖς Ὀκταπλοῖς (γ). Ἀλλ᾽ ἀπίθανα λέγει. Ἐν γὰρ τοῖς Ὠριγένους Ὀκταπλοῖς οὐχὶ *πέντε* μεταφράσεις ἦσαν, ἀλλ᾽ ἕξ, αἷς προσετέθη καὶ *ἑβδόμη* ἡ τῶν Ψαλμῶν. Εἰσὶ δὲ καὶ τῶν μεταγενεστέρων Ῥαββίνων οἵτινες τὴν μὲν περὶ τῶν οβ, πρεσβυτέρων δημώδη παράδοσιν οὐκ ἀποῤῥίπτουσιν, ἀποφαίνονται δὲ ὅμως ὅτι *πέντε* μόνον ἐξ αὐτῶν ἐκλεγέντες, ἐπόνησαν τὴν ἑρμηνείαν. Ὁ δὲ Λευσιδῆνος (δ) διαλλάττων ἑκατέρας τὰς παραδόσεις, *πέντε*, φησὶν, ἐκ τῶν τοῦ μεγάλου Συνεδρίου συνέδρων ἐστάλησαν παρὰ τοῦ ἀρχιερέως Ἐλεαζάρου πρὸς τὸ ἔργον τῆς ἑρμηνείας· ἡ δὲ πάλιν ἑρμηνεία ἐπεγράφη τοῖς Ο, πρεσβυτέροις (τοῦ Συνεδρίου), ὡς τούτων βουλῇ καὶ διαγνώσει γεγενημένη. *Πέντε* καὶ Σιμώνιος νομίζει τοὺς ἑρμηνεῖς· ἀλλ᾽ ὅμως Ἀλεξανδρινοὺς οὗτος· ἡ δ᾽ ἑρμηνεία (κατ᾽ αὐτὸν) ἐπωνομάσθη τῶν Ο, ὡς ὑπὸ τοῦ μεγάλου Συνεδρίου δοκιμασθεῖσα

---

(α) Conrigius de Republic. Hebraeor. — Hody. [*Καὶ πότερος λοιπὸν οὐκ ἀληθεύει; Κοῤῥίγιος οὗτος, ἢ Ὅδιος ὧδε; ὅστις μικρὸν ἀνωτέρω §. ε, παρέστησε τὸ Συνέδριον ὑπάρχον καὶ ἐπὶ τῶν Κριτῶν, καὶ ἐπὶ τῶν Βασιλέων, καὶ ἐπὶ τῶν Ἀρχιερέων, τῶν ὕστερον ἐθναρχῶν; Σημ. ἡμετ.*].

(β) Βλ. Ταλμοῦδον ἱεροσολυμιτικὸν ἐν Massecheth Sopherim.

(γ) Βλ. Morin. in Exercit. 8. L. l. c. 2. §. 4.

(δ) Leusden Philolog. Hebraeo—mixto. Dissert. 2.

καὶ κυρωθεῖσα (α). Ἀλλ᾽ ὅμως (φησὶν Ὅδιος) ἀναπόδεικτος ἡ τοιαύτη τῆς ἐπωνομασίας αἰτία. Μᾶλλον φαίνεται βεβαιότερον, ὅτι ὕστερον ἐπεκράτησεν, ἀφ᾽ οὗ ἐξῆλθον εἰς φῶς αἱ λοιπαὶ τῆς Γραφῆς μεταφράσεις, πρὸς διάκρισιν αὐτῶν. Ἀλλ᾽ ἐν τούτοις ὁ Βάλτων διατείνεται βεβαιῶν, ὅτι «Πάντες οἱ χριστιανοὶ παρέδωκαν ΟΒ γενέσθαι τοὺς ἑρμηνεῖς· οὐδ᾽ εὑρέθη κἂν εἷς δι᾽ ὅλων ιε, ἀπὸ Χριστοῦ γεννήσεως ἑκατονταετηρίδων, ὅστις ἀμφέβαλε περὶ τούτου· οὐδὲ φέρεται οὐδεμία ἀντιλέγουσα μαρτυρία παρ᾽ οὐδενὶ τῶν δι᾽ ὅλου τοῦ χρόνου τούτου γενομένων συγγραφέων (ὅσοι τῆς ἑρμηνείας ἐμνήσθησαν), εἴτε Ἰουδαίων, εἴτε Χριστιανῶν, πλὴν ἑνὸς καὶ μόνου, τοῦ προειρημένου Ταλμουδικοῦ» (β). Ἀλλ᾽ οὐδὲν θαυμαστὸν (ἀπήντησεν Ὅδιος), εἴπερ ὑπῆρχε περὶ τοῦ ποσοῦ τῶν ἑρμηνευτῶν τοσαύτη συμφωνία παρὰ τοῖς παλαιοῖς· διότι τούτων οὐδεὶς ὠσφράνθη τὴν Ψευδαριστέου γοητείαν, εἰς οὗτινος τὸ κῦρος ἐστηρίζετο ἡ κοινῶς παραδεδεγμένη γνώμη.! Ἤδη δὲ τρανῶς ἐξελεγχθέντος τοῦ γόητος, οὐδεμιᾶς τῶν ἀρχαίων χρῄζομεν μαρτυρίας σήμερον περὶ τῆς τότε κεκρατηκυίας ψευδοῦς ὑπολήψεως. Ἔπειτα καὶ ἄλλως ὁ Βάλτων ἐσφάλη· καθότι καὶ ἄλλην ἔχομεν παλαιὰν μαρτυρίαν ἀντιλέγουσαν πρὸς τὴν γνώμην τὴν κοινήν. Ζώσιμος Αἰγύπτιος, ἀρχαῖος χημικὸς συγγραφεύς, λέγει τὴν ἑβραϊκὴν γραφὴν εἴς τε τὴν Ἑλληνικὴν καὶ εἰς τὴν κοινὴν τῶν Αἰγυπτίων γλῶσσαν ἑρμηνευθῆναι οὐχ ὑπὸ πολλῶν, *ἀλλ᾽ ὑφ᾽ ἑνὸς ἑρμηνέως καὶ μόνου*».

§. θ. «Τελευταῖον, οὐδ᾽ ἐκεῖνο (λέγει) παρασιωπητέον, ὃ γραφῆ

---

(α) Simon. Disquis. Crit. c. 5. [βλ. καὶ ὄπισθ· κεφ. α. §. γ. σελ. 4. Τοιαῦτα καὶ Jac. Cappell. not. in Hebr. III. 8. Σημ. ἡμετ.]

(β) Walton Proleg· Bibl. c. 9. §. 7. [*Ὀρθῶς ἄν, ὡς νομίζομεν, καὶ δικαίως ὁ γεραρὸς προσετίθει Βάλτων, ὅτι καὶ πρὸ Χριστοῦ, δι᾽ ὅλων τῶν ἀπὸ τῆς ἑρμηνείας παρελθόντων μέχρι τῆς σωτηρίου ἐποχῆς τριῶν σχεδὸν αἰώνων, οὐδ᾽ αὐτῶν τῶν Ἰουδαίων οὐδεὶς εὑρέθη ἀντειπὼν περὶ τοῦ ἀριθμοῦ τῶν ἑρμηνευτῶν· Ὁ Φίλων, καὶ αὐτὸς ὁ Ἱεροσολυμίτης Ἰώσηπος ἀνακηρύττουσι τοὺς Ο, λαμπρῶς καὶ ἀνενδοιάστως, ὡς πρᾶγμα δηλαδὴ γνωστὸν καὶ βέβαιον παρὰ τοῖς ἑαυτῶν πατράσιν ἀνωμολογημένον, καθ᾽ ὅλην τὴν Συναγωγήν. Σημ. ἡμετ.*]

παρέδωκε Φίλων ὁ Ἰουδαῖος· ὅτι κατ᾽ ἔτος ἤγετο πανήγυρις ὑπὸ τῶν Ἀλεξανδρινῶν Ἰουδαίων καὶ πολλῶν ἄλλων, εἰς μνήμην τῆς ἑρμηνείας, ἥτις ἐξεπονήθη κατὰ τὴν νῆσον Φάρον, ὡς ἱστόρησεν ὁ Ψευδαριστέας, καὶ οἱ τούτου ὀπαδοὶ, Φίλων, Ἰώσηπος, Ἰουστῖνος ὁ μάρτυς, Κλήμης ὁ Ἀλεξανδρεὺς, Κύριλλος Ἱεροσολύμων, Ἐπιφάνιος, Σύγκελλος, καὶ ἄλλοι. Ὁ γοῦν Φίλων, διηγηθεὶς τὰ κατὰ τὴν ἑρμηνείαν, ἐπάγει. « Διὸ καὶ μέχρι νῦν, ἀνὰ πᾶν ἔτος ἑορτὴ καὶ πανήγυρις ἄγεται κατὰ τὴν Φάρον νῆσον, εἰς ἣν οὐκ Ἰουδαῖοι μόνον, ἀλλὰ καὶ παμπληθεῖς ἕτεροι διαπλέουσι, τό,τε χωρίον σεμνύνοντες, ἐν ᾧ πρῶτον τὸ τῆς ἑρμηνείας ἐξέλαμψε, καὶ παλαιᾶς ἕνεκα εὐεργεσίας ἀεὶ νεαζούσης εὐχαριστήσοντες τῷ Θεῷ. Μετὰ δὲ τὰς εὐχὰς καὶ τὰς εὐχαριστίας, οἱ μὲν πηξάμενοι σκηνὰς ἐπὶ τοῦ αἰγιαλοῦ, οἱ δ᾽ ἐπὶ τῆς αἰγιαλίτιδος ψάμμου κατακλίναντες *(ἴσ. κατακλιθέντες)* ἐν ὑπαίθρῳ, μετ᾽ οἰκείων καὶ φίλων ἑστιῶνται, πολυτελεστέραν τῆς ἐν βασιλείοις κατασκευῆς τότε τὴν ἀκτὴν νομίζοντες» κτλ. (Φίλ. βίῳ Μωσ. β. σελ. 140. Μ.). Ταῦτα τὰ τοῦ Φίλωνος ὡς ψευδῆ παντελῶς ἀποῤῥίπτει Μάρσαμος ὁ περικλεὴς, Αἰγυπτίων εἶναι λέγων τὴν ἑορτὴν, ἐν Φάρῳ κατ᾽ ἔτος εἰς τιμὴν τῆς Ἴσιδος ἀγομένην, ἐν ᾗ μετὰ τῶν ἐθνικῶν ἀνεμίγνυντο καὶ Ἰουδαῖοι. Ὁ δὲ Φίλων θεραπεύων τὴν τοιαύτην εἰδωλολατρείαν τῶν Ἰουδαίων, εὔσχημον προβάλλεται πρόφασιν, τὴν μνήμην δῆθεν τῆς ἑρμηνείας τῶν Γραφῶν (α). Οὐδὲν δὲ (προστίθησι) παράδοξον, εἴγε καὶ τὴν Ἴσιν κατὰ τὴν Φάρον ἐτίμων καὶ ἑτερόθρησκοι, καθὼς ἐτίμων καὶ τὸν Σέραπιν ἐν Ἀλεξανδρείᾳ οὐ μόνον ἐθνικοὶ, ἀλλὰ καὶ Ἰουδαῖοι, καὶ αὐτοὶ οἱ κατ᾽ ἐκείνους τοὺς χρόνους χριστιανοί· καὶ μάρτυς Ἀδριανὸς ὁ Αὐτοκράτωρ (β). « Ἐκεῖ, φησιν (ἐν Ἀλεξανδρείᾳ) οἱ τὸν Σέραπιν τιμῶντές εἰσι χριστιανοὶ, καὶ ἀφω-

(α) Marsham Chron. Can. p. 148. Περὶ δὲ, φησὶ, τῆς ἐν Φάρῳ τιμῆς τῆς Ἴσιδος, βλ. ἐν τῷ χωρικῷ μηνολογίῳ (Calendario Rustico. Gruter, p. 138) κατὰ τὸν ἀπρίλιον « ἱερὸν Φαρίας ». Καὶ ἐν νομίσματι (παρὰ Tristan. L. 3. p. 743). « Ἶσις Φαρία ».

(β) Hadrian. August. Epistol. apud Vopiscum in Saturnino.

σίωνται τῷ Σεράπιδι, οἱ Χριστοῦ ἐπισκόπους λέγοντες ἑαυτούς. Οὐδεὶς ἐκεῖ (τῆς τιμῆς ἀπολείπεται) τῶν Ἰουδαίων ἀρχισυνάγωγος, οὐδεὶς Σαμαρείτης, οὐδεὶς πρεσβύτερος τῶν Χριστιανῶν, οὐ μαθηματικὸς *(ἀστρολόγος)*, οὐ μάντις, οὐκ ἀλείπτης. Αὐτὸς ἐκεῖνος ὁ Πατριάρχης *(τῶν Ἰουδαίων)* ὅταν εἰς Αἴγυπτον ἔλθῃ, ὑπ᾽ ἄλλων μὲν ἀναγκάζεται τὸν Σέραπιν προσκυνεῖν, ὑπ᾽ ἄλλων δὲ τὸν Χριςόν»· (καὶ μετ᾽ ὀλίγα). «Εἷς Θεὸς ἐκείνοις (τοῖς Ἀλεξανδρεῦσιν), (ὁ Σέραπις)· τοῦτον Χριστιανοὶ, τοῦτον Ἰουδαῖοι, τοῦτον πάντα τὰ ἔθνη σέβονται». Ἐκ τῶν Ἀδριανείων τούτων ὁρμηθεὶς καὶ ὁ Βρύνος ὑπέλαβεν, ὅτι οἱ ἐθνικοὶ Ἀλεξανδρεῖς, καὶ ἀφ᾽ οὗ τὴν εἰς Χριστὸν ἠσπάσθησαν πίστιν, ἐκράτησαν πολλὰ τῶν περὶ τὸν Σέραπιν ἱερῶν ἐθίμων. Ὅθεν καὶ Ἀδριανὸς εἶπε τοιαῦτα περὶ τῶν Χριστιανῶν, διά τινας τελετὰς, ἃς εἶχον κοινὰς πρὸς τοὺς ἐθνικούς (α).

§. ι. Ἀλλ᾽ ἐμέ (φησιν Ὅδιος) οὐκ ἔχει Μάρσαμος συναινοῦντα· συμφωνῶ δὲ μᾶλλον μετὰ Σαλμασίου καὶ Κασωβῶνος τῶν σοφωτάτων, οἵτινες ἀπεφήναντο, ὅτι ψευδῆ ταῦτα περὶ Χριςιανῶν καὶ Ἰουδαίων ἔγραψεν ὁ Ἀδριανὸς, ἀπατηθεὶς καὶ αὐτὸς ὑπὸ ψευδοῦς εἰσηγήσεως τῶν Αἰγυπτίων. Τίς ποτε πιστεύει τοιούτοις λεγομένοις περὶ Χριστιανῶν; Ἄπιστα δὲ καὶ τὰ περὶ τῶν Ἰουδαίων. Ὅθεν οὐδόλως ἀρνούμεθα τὴν ἐπὶ Φίλωνος ἀγομένην ἐν Φάρῳ πανήγυριν εἰς μνήμην τῆς ἑρμηνείας. Οὔτε γὰρ ἀπατηθῆναι περὶ τούτου Φίλων ἠδύνατο, οὔτε ψεῦδος τοσοῦτον εἰς τὸ κοινὸν ἀνέδην δημοσιεῦσαι. Ἀρνούμεθα δὲ ὅμως, καὶ δὶς ἀπαρνούμεθα καὶ πολλάκις, ὅτι διὰ ταύτης δὴ τῆς πανηγύρεως βεβαιοῦται ἡ καὶ τότε κοινῶς, καὶ νῦν δὲ παρά τισι κρατοῦσα δοξασία περί τε τοῦ ἀριθμοῦ καὶ τῆς ἐξ Ἱεροσολύμων μετακλήσεως τῶν ἑρμηνευτῶν. Καὶ εἰ μὲν ἀληθῶς, ἢ μὴ, κατὰ τὴν Φάρον ἡ μετάφρασις ἐξεπονήθη, τοῦτο κείσθω ἐν ἀμφιβόλῳ. Ἐκεῖνο δὲ οὐδόλως ἀμφιβάλλομεν, ὅτι τ᾽ ἄλλα πάντα παρεδόξασαν οἱ Ἀλεξανδρινοὶ Ἰουδαῖοι, πλανηθέντες ὑπὸ τῆς Ψευδαριστέου μυθιστορίας. Ἔπειτα

(α) Bruno Tractat. de Therapeutis p. 202.

καὶ ἄλλως, τί βλάπτει, ἂν ὑποτεθῇ, ὅτι οἱ κατ' Ἀλεξάνδρειαν Ἰουδαῖοι ἠδύναντο πανδήμως ἑορτάζειν τὴν μνήμην τῆς τοῦ Νόμου ἑρμηνείας, καί τοι γενομένης εἰς ἰδίαν αὐτῶν χρῆσιν, *μηδὲν ὅλως εἰδότες ἐκ τῶν ὅσα περὶ τούτου διεμυθολόγησεν ὁ Ψευδαριστέας;* Εἰ δὲ καὶ μὴ παρ' Ἰουδαίων μόνον ἀλλὰ καὶ παρ' ἄλλων (ὡς εἶπεν ὁ Φίλων) ἑωρτάζετο τῆς ἑρμηνείας ἡ μνήμη, τούτους δὴ τοὺς ἄλλους *οὐκ ἐθνικοὺς νομιστέον, ἀλλὰ χριστιανούς*· ἢ γοῦν ὁ Φίλων ἐσφάλη, ἢ καὶ ὑπερβολικώτερον ἐξεφράσθη. Καὶ ἵνα τὸ πᾶν εἴπωμεν ἐν ὀλίγοις, ἡμεῖς τοιαύτην τινα νομίζομεν τοῦ πράγματος τὴν ἀρχήν. Εἰώθεισαν οἱ ἀρχαῖοι τέρψεως χάριν αἴθριοι κατὰ τοὺς αἰγιαλοὺς εὐωχεῖσθαι. Τοῦτο δὲ καὶ νῦν ἔτι καθ' ἡμᾶς σύνηθες τοῖς Ἕλλησι· μνημονεύουσι δὲ τοῦ ἔθους καὶ Κυντιλιανὸς (ζ, 3), καὶ Φιλόδημος ἐν ἐπιγράμματι, *δι' οὗ τοὺς ἑταίρους νουθετεῖ μὴ ἀκτάζειν (εὐωχεῖσθαι παρὰ τὴν ἀκτήν)· διότι χθὲς* (λέγει) *δύω τῆς ἑταιρείας (ἀποῤῥαγείσης τῆς ἀκτῆς) ἀπώλοντο!* (α). Ἰδοὺ τὸ ἐπίγραμμα.

« Ἤδη καὶ ῥόδον ἐστι, καὶ ἀκμάζων ἐρέβινθος,
　Καὶ καυλὸς κράμβης, Σώσυλε, πρωτοτόμου.
Καὶ *μαίνη ζαλαγεῦσα* (β), καὶ ἀρτιπαγὴς ἀλίτυρος,
　Καὶ θριδάκων οὔλων ἀφροφυῆ πέταλα·

(α) Πᾶν τοὐναντίον, ἀναγνῶστα, προτρέπει μαλιστα τοὺς ἑταίρους εἰς τὸ ἀκτάζειν ὁ Φιλόδημος. Ἡμεῖς δὲ λέγει (τοσούτων ἐαρινῶν παρόντων καλῶν) « οὔτ' ἀκτῆς ἐπιβαίνομεν, οὔτ' ἐν ἀπόψει γινόμεθα, ὡς ᾀεὶ τὸ πρότερον ἐποιοῦμεν. Ἀλλὰ (τί μέλλομεν; βραχὺς ὁ βίος!)· ἰδοὺ δύω οὗτοι (Ἀντιγένης καὶ Βάκχιος) χθὲς (πρὸ ὀλίγων ἡμερῶν) ἔπαιζον (ὡς νέοι παιγνιώδεις σφριγῶντες, ἴσως καὶ θεατρικοί). νῦν δ' αὐτοὺς ἐκφέρομεν ». Τοιοῦτος προφανῶς ὁ νοῦς τοῦ ἐπιγράμματος. Ὁ δὲ Ὅδιος πᾶν ὑπέλαβε τοὐναντίον, ἀπατηθεὶς καὶ ὑπὸ τοῦ Ὀψοποιοῦ, οὗτινος τὴν γνώμην ἀντιγράψας φαίνεται κατὰ λέξιν, παριδὼν τὴν φρόνιμον ἑρμηνείαν τοῦ Βροδαίου (Βλ. Ἀνθολογ. ἐπιγραμ. α. σελ. 76, cum annot. J. Brodaei et Vinc. Obsopaei. Francofurt 1608. Οὕτως ἡρμήνευσε καὶ ὁ Jacobs, Animadver. in Epigram. Anthol. Graec. vol. II. P. 1. p. 240.) Σημ. ἡμετ.

(β) Ὁ ἀρχαῖος Σχολιαστὴς ἐσημείωσε « Μαίνη. εἶδος βοτάνης »· καὶ τὸ ζαλαγεῦσα ἀνέγνω ζαγλαγεῦσα (ζα, γλάγος) « ὡς ἐν τῷ τέμνεσθαι γάλα ῥέουσα ». Καὶ ὁ Λάσκαρις (φυτὸν καὶ οὗτος τὸ μαίνη ἐκλαβὼν), λαλαγοῦσα (ἠχοῦ-

Ἡμεῖς δ' *οὔτ' ἀκτῆς ἐπιβαίνομεν*, οὔτ' ἐν ἀπόψει
Γιγνόμεθ', ὡς αἰεί, Σώσυλε, τὸ πρότερον·
Καὶ μὴν Ἀντιγένης καὶ Βάκχιος ἐχθὲς ἔπαιζον,
Νῦν δ' αὐτοὺς θάψαι σήμερον ἐκφέρομεν ».

Οὕτως οὖν καὶ Ἀλεξανδρεῖς εὐωχοῦντο παρὰ τὰς ἀκτὰς, διαβαίνοντες εἰς τὴν Φάρον, καὶ Ἕλληνες, καὶ Ἰουδαῖοι (οὗτοι δὲ καὶ τὰ πρὸς τὴν Φάρον ἔγγιστα παράλια τῆς Ἀλεξανδρείας κατῴκουν, ὡς Ἰώσηπος ἱστορεῖ). *Ἤδη δὲ διαδοθέντων τῶν περὶ τῆς ἑρμηνείας πλασμάτων τοῦ Ψευδαριστέου*, προστεθέντος δὲ καὶ ἄλλου, ὅτι θείᾳ τινι δῆθεν ἐπιπνοίᾳ τὰ τῆς ἑρμηνείας ἐτελεσιουργήθησαν, ἤρξαντο οἱ Ἰουδαῖοι τὴν πρότερον πρὸς τέρψιν μόνον καὶ παίγνιον γινομένην εὐωχίαν εἰς θρησκευτικὴν τελετὴν μεταποιεῖν (α). Ἐπειδὴ δὲ καὶ Ἕλληνες, ἢ ἐθνικοὶ, πλεῖστοι μετ' αὐτῶν εἰώθεισαν ἀναμίγνυσθαι (β), ἐπείσθησαν οἱ ματαιόφρονες Ἰουδαῖοι, ἢ γοῦν ἄλλους πείθειν ἐπεχείρουν, ὅτι κἀκεῖνοι οἱ ἐθνικοὶ πρὸς τιμὴν τῆς ἑρμηνείας συμπαρῆσαν αὐτοῖς καὶ συνευωχοῦντο! Ὅτι δὲ οἱ Ἰουδαῖοι οὐ μόνον ἐν Ἀλεξανδρείᾳ, ἀλλὰ καὶ ἀλλαχοῦ τῆς οἰκουμένης διάγοντες, ἐξήρχοντο παρὰ τοὺς αἰγιαλοὺς καὶ τὰς παραποταμίους ὄχθας προσευχόμενοι, καὶ παρακαθίζοντες εἰς συνομιλίαν, μαρτυρεῖ καὶ ὁ θεῖος Λουκᾶς (Πράξ. ις, 13). Ἐνταῦθα ἀνήκει καὶ τὸ « Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν » κτλ. (Ψαλμ. ρλς. 1). Τοῦτο τῶν Ἰουδαίων τὸ ἔθος καὶ Τερτυλλιανὸς ἐμνη-

---

σα)· ὁ δὲ Στέφανος ἀνέγνω καὶ ζαγλαγεῦσα, καὶ λαλαγεῦσα· ὁ δὲ Σκαλίγηρος, σελαγεῦσα. Ἀλλὰ τὸ μαίνη φαίνεται τὸ αὐτὸ καὶ μαινὶς, εἶδος ἰχθύος ἐκ τοῦ γένους τῶν σπάρων (τὸ χυδ. μανόλλι, ἐκ τοῦ ὑποκορ. μαινύλλιον). Ὁ δὲ κλεινὸς Jacobs (ubi supr.) ἐσημείωσεν ἐπὶ τοῦ λαλαγεῦσα, ὅτι εἰσί τινα τῶν ἰχθύων ποιὸν ἦχον ἐκδιδόναι νομιζόμενα. (Βλ. Αἰλιαν. Ζ. ἱστορ. I. 2) Σημ. ἡμετ.

(α) Καὶ μὴν ὀλίγῳ πρότερον εἶπας, Ὅδιε, ὅτι « ἠδύναντο οἱ Ἰουδαῖοι τὴν ἑρμηνείαν ἑορτάζειν, καίτοι μηδὲν εἰδότες τῶν μυθολογιῶν τοῦ Ψευδαριστέου (βλ. ὄπισθ. σελ. 283)· νῦν δὲ πῶς τἀναντία λέγεις; Σημ. ἡμετ.

(β) Καὶ μὴν ἀνωτέρω, τὸν Φίλωνα ἐξηγῶν, διώρισας τούτους ἐκπεφασμένως τἀνάπαλιν, οὐκ ἐθνικοὺς, ἀλλὰ Χριστιανούς! (βλ. σελ. 283). Σημ. ἡμετ.

μόνευσε, ῥητῶς ὀνομάσας ατὰς παραλίους αὐτῶν προσευχάς» (α). Ἕως ὧδε Ὅδιος.

*Ἀπαντῶμεν.*

§. ια. Οὔτε πρῶτος ἀφ᾿ ἑαυτοῦ ὁ Δημήτριος, οὔτε καθὸ τὸ γένος καὶ τὴν θρησκείαν Ἕλλην διώρισε τὸν ἀριθμὸν τῶν ἑρμηνευτῶν (§. γ), ἀλλὰ κατ᾿ αἴτησιν καὶ εἰσήγησιν αὐτῶν πάντως τῶν Ἰουδαίων, παρ᾿ ὧν ἔμαθε καὶ τὰ περὶ τῶν Γραφῶν ἅπαντα. Καὶ μάρτυς πάλιν αὐτὸς ὁ Φαληρεὺς ἐν τῇ αὐτῇ πρὸς Πτολεμαῖον ἐπιστολῇ, λέγων· « *καθὼς ὑπὸ τῶν εἰδότων προσαναφέρεται* ». Καὶ οἱ μὲν Ἰουδαῖοι τιμῶντες πάντως τὸν Ο, ἀριθμὸν (εἰ δὲ καὶ δικαίως, ἢ μωρῶς, βλέπομεν ἐφεξῆς), ἰσαρίθμους ὑπέϐαλον τῷ Δημητρίῳ καὶ τοὺς ἐσομένους τοῦ θείου Νόμου ἑρμηνεῖς. Ὁ δὲ Φαληρεὺς κἀκείνοις χαριζόμενος, καὶ μάλιστα φροντίζων τῆς περὶ τὴν ἑρμηνείαν ἀκριϐείας (« *ἀξίως*, ὡς λέγει, *καὶ τῶν πραγμάτων, καὶ τῆς βασιλικῆς προαιρέσεως* »), αὐτός τε ἀπεδέξατο, καὶ τῷ βασιλεῖ φρονίμως εἰσηγήσατο τοῦτον δὴ τὸν ἀριθμὸν « *τῶν πλειόνων ἑρμηνέων* ». Ὥστε ματαίως ἐπεγέλασεν ὁ κριτικὸς περὶ πράγματος οὕτως εὐλόγου, καὶ καθ᾿ εἱρμὸν καὶ τάξιν γεγενημένου. Ἔπειτα καὶ ἄλλως (εἰ δεῖ καὶ τοῦτο προσθεῖναι), σφόδρα χωρικὸν καὶ ἀμύητον τῆς περί τινας ἀριθμοὺς σεμνῆς ὑπολήψεως τῶν ἀρχαίων, ἢ καὶ σχεδὸν ὁλόσωμον ἐπικούρειον παρέστησεν ἡμῖν ὁ κριτικὸς τὸν πλατωνικὸν Δημήτριον! Ἀλλ᾿ ἡμεῖς νομίζομεν, ὅτι ὁ ἐκ Φαλήρου σοφὸς ἐγνώριζε τὰς *περὶ τοὺς τελείους καὶ ὑπερτελεῖς ἀριθμοὺς* πλατωνείους θεωρίας (β). Ἐτίμα δὲ πάντως καὶ Πυθαγόρου τὴν *ἱερὰν τετρακτὺν*, ἧς διπλάσιος καὶ συγγενὴς ὁ οβ, (γ). Ἀλλὰ καὶ κατὰ μέρος, ἥ τε

---

(α) Tertul. ad Nation. Lib. I. c. 13.

(β) Οἷον ὁ ἓξ τέλειος, ὁ δὲ ιϐ ὑπερτελής, ἐκ δὲ τούτων ὁ οϐ. βλ. Ἰάμϐλιχ. περὶ τῆς Νικομάχ. Ἀριθμητικῆς, σελ. 43—46. καὶ Σημ. Tennulij p. 125—127. Arnhem. 1668. — πρϐλ. Φίλωνος Περὶ τῆς ἑϐδόμης. — Ὠριγέν. ὁμιλ. ις. εἰς Γένεσ. Vitruv. Archit. III. c. I. — Meurs· de Denar. Pythagor.

(γ) «Ἡ δὲ καλουμένη τετρακτὺς, τὰ ἓξ καὶ τριάκοντα, μέγιστος ἦν ὅρκος (Πυθαγορείοις), ὡς τεθρύλληται». Πλούταρχ. π. Ἰσιδ. καὶ Ὀσίρ. σελ. 501 τ. 7. Reisk.

δεκὰς, ὡς τέλειος ἀριθμὸς παρ' Ἕλλησιν ἐτιμᾶτο (α)· πολὺς δὲ παρ' αὐτοῖς ἦν ὁ λόγος καὶ τοῦ *ἑπτά*· ἑκάστου γὰρ μηνὸς ἡ *ἑβδόμη*, «*ἱερὸν ἦμαρ*» (β). Καὶ Πυθαγόρας δὲ, καὶ οἱ Ἀριθμητικοὶ, καὶ οἱ Μουσικοὶ τὸν *ἑπτὰ* διὰ τιμῆς ἦγον (γ). Ὅθεν κἀκεῖνος (ὁ φίλος Ὀδίῳ) Ἕρμιππος ὁ Βηρύττιος « μυρία παραδείγματα παρέθηκεν, ἁγιάζων τὸν ἀριθμόν » (δ). Καὶ παρ' αὐτῷ δὲ τῷ Ὁμήρῳ μάλιστα τίμιος ὁ ἕβδομος ἀριθμός. « *Επτὰ* βοῶν ἀγέλας, *τόσα* δ' οἰῶν πώεα καλά, » διέγραψε τὰ ποίμνια τοῦ Ἡλίου (Ὀδυσ. Μ, 129), καὶ ἕκαστα συνιστάμενα ἐκ *πεντήκοντα κεφαλῶν*, (διὰ τὰς 350 ἡμέρας τοῦ ἐνιαυτοῦ, καθὼς ἠλληγόρησεν ὁ Ἀριστοτέλης) (ε). καὶ ἀλλαχοῦ δὲ πολλάκις ὁ Ποιητὴς πρόσκειται τοῖς φίλοις ἑπτά (ζ). Γνωστὰ δὲ καὶ τὰ *ἑβδομευόμενα* καὶ *δεκατευόμενα*. ὁπότε τοῖς ἀποτεχθεῖσι παιδίοις τὰς *ἑβδομάδας* καὶ τὰς *δεκάδας* ἦγον (ἑορτάζοντες ὡς ἱεράς)· καὶ τά γε ὀνόματα ἐτίθεντο αὐτοῖς οἱ μὲν τῇ *ἑβδόμῃ*, οἱ δὲ τῇ *δεκάτῃ* (η). Ταύτας

(α) Φιλόπον. π. ψυχῆς α. — Θέων. Σμυρν. π. ἀριθμ. 32. πρβλ. Tennul. l. c.

(β) Ἡσίοδ. Ἔργ. 770. — « Καὶ τῷ Μουσηγέτῃ (Ἀπόλλωνι) ἡ ἑβδομὰς προσεκλήρωται » (Πλούταρχ. Συμπ. θ. 3). Ὅθεν καὶ ἑ β δ ο μ α γ έ τ α ς ἐκαλεῖτο (Αἰσχύλ. Ἑπτὰ ἐπὶ Θήβ. 806: Καλλίμ. εἰς Δῆλ. 251: Κλήμ. Στρωμ. Ε. 600, κτλ. πρβλ. Valcken. de. Aristob. p. 115. sq.) « Καὶ τῷ Βάκχῳ δὲ ἱερὸς ὁ ἕβδομος ἦν ἀριθμὸς, δ ι ὰ τ ὴ ν δ ι ὰ π α σ ῶ ν ἁ ρ μ ο ν ί α ν » (Πρόκλ. εἰς Ἡσιόδ. ἔργ. καὶ εἰς Πλάτων. Τίμ. γ. 200. Πρβλ. καὶ Meurs. in Graec. feriat. λ. Ἑβδόμη).

(γ) Ἀλέξ Ἀφροδ. προβλήμ. ια, 47. Πρβλ. Φίλων. περὶ τῆς Μωσ. Κοσμοπ. σελ. 21—30. Ὅθεν καὶ τὸ ἑπτὰ ἐκ τοῦ σ ε π τ ὸ ς ἠτυμολόγουν. Φίλ. αὐτόθι, καὶ Νικόμ. παρὰ Φωτ. κώδ. 187. καὶ Ἐτυμ. λ. Ἑπτάς. πρβλ. Fabric. Opusculorum syllog. p. 115.

(δ) Κλήμ. Στρωμ. ς. σελ. 494.

(ε) Παρ' Εὐσταθ. φύλ. 481. καὶ Λουκιανός. « Τοῦ ἠελίου τὰς βόας, τὰ δὴ ἐγὼ ἤματα εἶναι συμβάλλομαι »· περὶ Ἀστρολ. τόμ. Β. σελ. 369. Reitz. ὅπου ἡμαρτημένως β ο λ ὰ ς ἀντὶ βόας ἐκδέδοται. Βλ. Σχόλια παλ. εἰς Ὁμήρ. Ὀδυσ. Μ. 129. ἐκδ. Barnes.

(ζ) Ἑ π τ ὰ φυλάκων ἡ γ ε μ ό ν ε ς πρὸ τοῦ τείχους (Ἰλιάδ. Ι. 85). Ἑ π τ ὰ τρίποδας, ἑ π τ ὰ γυναῖκας, ἑ π τ ὰ πόλεις ὁ Ἀγαμέμνων δωροφορεῖ τῷ Ἀχιλλεῖ (Ἰλ. Ι. 121—149). ἄλλος δ' ἄλλῳ ἑ π τ ὰ τ ά λ α ν τ α χ ρ υ σ ο ῦ (Ὀδυσ. Ι. 202). ἑ π τ ὰ π λ έ θ ρ ω ν τὸ ἀνάστημα τοῦ Ἄρεως (Ἰλ. Φ. 408). ἑ π τ α β ό ε ι ο ν τὸ σάκκος τοῦ Αἴαντος. (Ἰλ. η, 220). ἑ π τ ά π υ λ ο ς ἡ πόλις τῶν Θηβῶν (Ὀδυσ. λ. 262. πρβλ. καὶ Αἰσχύλ. ἑπτ. ἐπ. Θήβ.) κτλ.

(η) Ἁρποκρατ. καὶ Σουΐδ. λ. ἑβδομευόμενα. πρβλ. Ἀριστοτ. Ζ. ἱστ. ζ. κεφ. ἐσχάτῳ. — Λουκιαν. Ψευδολογ. §. 16. τόμ. γ. σελ. 174.

τοίνυν (ἵνα πάμπολλα καὶ ἄλλα παραλίπωμεν) καὶ τὰς τοιαύτας σεμνότητας τῶν ἀριθμῶν ἐγνώριζε πάντως καὶ ὁ Φαληρεύς· κᾀκεῖνο δὲ, τέλος, τὸ κοινὸν καὶ βιωτικώτερον, τὰς *ἑπτὰ ἡλικίας* τοῦ ἀνθρώπου (α). Ὅθεν καὶ τὴν ἀνθρωπίνην ζωὴν εἰς *δέκα ἑβδομάδας* ἐτῶν διῄρει πάντως καὶ αὐτὸς μετὰ τοῦ ἰδίου συμπολίτου Σόλωνος, « ὅρον ἀνθρωπίνου βίου λέγοντος ἔτη ἑβδομήκοντα » (β). Ὥστε διὰ τοῦτο γοῦν (εἰ καὶ μὴ δι᾽ ἄλλο) ὤφειλεν ὁ κριτικὸς παραστῆσαι τὸν Φαληρέα μὴ παντάπασιν ἀναισθητοῦντα πρὸς τὸν Ο, καὶ ΟΒ ἀριθμόν. Ὅσον δὲ περὶ τῆς ἐκ τῶν φυλῶν ἐκλογῆς τῶν πρεσβυτέρων, εἶχέ ποτε φυλὰς καὶ αὐτὸς ὁ τάλας, ὁ Φαληρεύς! καὶ τὰς κατὰ φυλὴν ἐγνώριζεν ἐκλογὰς τῆς τε βουλῆς τῶν Πεντακοσίων, καὶ τῶν Διαιτητῶν, καὶ ἄλλων Ἀθηναίων ἀρχόντων τῆς πολιτείας, κατ᾽ ἀριθμὸν ὡρισμένον ἐκλεγομένων. Καὶ αὐτὸς δὲ πάντως εἷς ἦν τῶν ψηφιζομένων. Κᾂν δὲ, τέλος, ὁ μὲν Φαληρεὺς ἐξ ἀρχῆς οὐδένα λόγον περὶ ἀριθμῶν ἐποιεῖτο, οἱ δ᾽ Αἰγύπτιοι τίμιον εἶχον τὸν Ο, (καθὼς Ὅδιος παρετήρησε), τί θαυμαστὸν, εἴπερ, ἴσως, καὶ αὐτὸς ἠσπάσθη τὴν τοιαύτην βάρβαρον δόξαν, καὶ, κατά γε ταύτην, καὶ αὐτὸς «*βεβαρβάρωτο, χρόνιος ὢν ἐν βαρβάροις*; Ἀλλὰ ταῦτα μὲν ἐχέτωσαν ὅπως ἂν διαιτῶσιν αὐτοὶ πάλιν οἱ περὶ τὸν Ὅδιον. Ὀλίγον, ἢ οὐδὲν ἐκ τούτων ὄφελος πρὸς τὴν ὑπόθεσιν· καὶ τὰ ῥηθέντα, ἴσως, περιττά. Ὁ Δημήτριος εἰσηγήσατο τῷ Πτολεμαίῳ τὴν μετάκλησιν τῶν ΟΒ μεταφραστῶν, κατ᾽ αἴτησιν καὶ παράκλησιν τῶν μήτε πρὸς τὸν ἀριθμὸν, μήτε μὴν πρὸς τὴν μετάφρασιν ἀδιαφορούντων Ἰουδαίων.

§. ιβ. Ὁ κριτικὸς προσέθηκεν ἐξ Ὡραπόλλωνος λαβὼν, ὅτι καὶ οἱ Αἰγύπτιοι ἐτίμων τὸν οβ, ἀριθμὸν, ἰσαρίθμους νομίζοντες

---

(α) Ἱπποκράτ. παρὰ Πολυδ. α. 1: Φίλων περὶ κοσμοπ. κτλ. πρβλ. καὶ Ἀριστοτ. Πολιτ. ζ. 16.

(β) Σόλ. ἐπιγράμ. παρὰ Φίλων. αὐτ. καὶ Κλήμ. Στρωμ. ς, 494. Βλ. καὶ Ἡρόδοτ. Α. 32: Λαέρτ. Α. β. 7. Καὶ πολὺ πρὸ τοῦ Σόλωνος ὁ Προφητάναξ, Ψαλμ. πθ, 10. καὶ Ἠσαΐ. κγ. 15. — πρβ. ὄπισθ. Βιβλ. Α. σελ. 140.

τὰς χώρας τῆς οἰκουμένης. Ἄπορον, πῶς ἀπεσιώπησεν ὁ πολυμαθὴς ἀνὴρ, ὅτι καὶ δι' ἀλληγορίας παρίστων τοῦτον τὸν ἀριθμὸν τῶν χωρῶν, ἱερογλυφοῦντες κυνοκέφαλον, διότι καὶ οὗτος δι' ὅλων οβ, ἡμερῶν συντηκόμενος ξηραίνεται, καθὼς πάλιν αὐτὸς Ὡραπόλλων μαρτυρεῖ (α). Διέφυγε τὸν ἄνδρα καὶ τὸ *ἑβδομηκοστὸν τῶν φώτων* τῆς σελήνης, ὅπερ κλέπτων ὁ Ἑρμῆς παρ' Αἰγυπτίοις, ἀπήρτισεν ἐντελῶς *τὰς ἡμέρας τὰς ἐπακτάς* (β). Καὶ αὐτοὶ πρὸς τούτοις οἱ κατὰ τοῦ Τυφῶνος γενόμενοι συνωμόται, ἄνδρες ἦσαν ἀκριβῶς *ἑβδομήκοντα καὶ δύω* (γ). Ἀλλὰ ταῦτα μὲν καὶ τὰ τοιαῦτα παρέλιπεν Ὅδιος χάριν συντομίας· ἐσημείωσε δὲ μόνον, ὅτι καὶ ἀγγέλους, ἢ δαίμονας, ἐφίστων οἱ Αἰγύπτιοι ἰσαρίθμους ταῖς χώραις τῆς οἰκουμένης. Ὅθεν ἀλλαχοῦ (σελ. 115) προσέθηκεν, ὅτι καὶ Ἰουδαῖοι παρ' Αἰγυπτίων ἔμαθον ταύτην δὴ τὴν περὶ τῶν ἐφόρων ἀγγέλων μυθολογίαν, ἣν (λέγει) καὶ αὐτὸς ὁ Δευτερονομίου μεταφραστὴς, ὡς Αἰγύπτιος, κατεχώρισε καὶ εἰς τὸ κείμενον τῆς Γραφῆς! (βλ. ὄπισθ. κεφ. δ. §. ιζ. ἄρθρ. 8. σελ. 231). Ἀλλ' ὅσον μὲν περὶ τῆς παρ' Αἰγυπτίοις τιμῆς τοῦ ἀριθμοῦ, οὐχὶ κατ' ἐξοχὴν τὸν Ο, ἀλλὰ μάλιστα καὶ πρώτιστα τὸν ΙΒ καθηγίαζον, ἱερὸν καὶ τίμιον νομίζοντες οἱ Αἰγύπτιοι, *δώδεκα* πρῶτοι νομίσαντες τοὺς Θεοὺς, καὶ πρῶτοι διελόντες εἰς *δώδεκα* μὲν μοίρας τὸν ζῳδιακὸν, εἰς *δώδεκα* δὲ μῆνας τὸν ἐνιαυτόν (δ). Αὐτὸν δὲ τὸν Ο, καὶ πᾶν τοὐναντίον, ἄχαριν, ὡς ἐπὶ τὸ πολὺ, καί πως ἀποτρόπαιον καὶ πένθιμον ἦγον καὶ σκυθρωπόν. Ἐπειδὴ καὶ τὸν Ἰακὼβ ἐπένθησεν ἡ *Αἴγυπτος ἑβδομήκοντα ἡμέρας* (ε)·

(α) Ὡραπολ. σελ. 5. βλ. καὶ Fabric. Opuscul. p. 119.

(β) Πλούταρχ. π. Ἴσιδ. καὶ Ὀσίρ. σελ. 401. — (γ) Αὐτ. αὐτόθ. σελ. 404.

(δ) Ἡρόδοτ. Β, 4. κτλ. Ἀλλὰ καὶ τὸν δώδεκα βλέπομεν πολλάκις ἐπίσημον παρὰ τῇ θείᾳ Γραφῇ. Αὐτὴν (ἵνα τ' ἄλλα παραλίπωμεν) αὐτὴν τὴν δωδεκάμηνον τοῦ ἔτους διαίρεσιν εἰς μῆνας σεληνιακοὺς, ἢ (κατά τινας) καὶ ἡλιακοὺς, ἐγνώριζε καὶ Νῶε ἐπὶ τοῦ κατακλυσμοῦ (Γενέσ. η, 5—12. βλ. καὶ Lud. Capelli, Comment. et not. crit. in V. Test. p. 381—384. Amstelodam. 1689), πρὶν εἰσέτι κατοικήσῃ τὴν Αἴγυπτον ὁ Μεσραΐμ! — (ε) Γενέσ. ν. 3. Ἀλλ' ὕστερον οἱ Ἰσραηλῖται ἐπένθησαν τὸν Ἀαρὼν μόνον 30 ἡμέρας. Ἀριθ. κ. 29: βλ. καὶ Δευτερ. λδ. 8.

καὶ αὐτὸς δὲ τῶν κατὰ τοῦ Τυφῶνος συνωμοτῶν ὁ προειρημένος ἀριθμὸς οὐ πάνυ τι χαρίεις ἦν παρ᾽ αὐτοῖς καὶ ἱλαρός! Περὶ δὲ τῶν οβ, τῆς οἰκουμένης χωρῶν, ὅπως ἐπεκράτησε παρ Αἰγυπτίοις ἡ δόξα, λέγομεν ἐφεξῆς, ἀπαντῶντες πρὸς τὰ ὑπόλοιπα τοῦ Ὀδιακοῦ κεφαλαίου (§. ιθ.)· ἤδη δ᾽ ἐξετάζομεν τὰ περὶ τοῦ μνημονευθέντος χωρίου τοῦ Δευτερονομίου.

§. ιγ. Ἔγραψαν οἱ Ο, «Ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν *κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ*» (Δευτερον. λβ. 8)· τὸ δ᾽ ἑβραϊκὸν ἔχει «*κατὰ ἀριθμὸν υἱῶν Ἰσραήλ*». Οὕτως ἐξέδωκαν καὶ Ἀκύλας καὶ ὁ Σύμμαχος. Ἀλλὰ τὴν καθ᾽ ὅλας τὰς ἐκδόσεις ἀνάγνωσιν τῶν Ο, κυροῦσι Φίλων (π. φυτ. Νῶε σελ. 338), Κλήμης ὁ Ῥώμης, ὁ τῶν Ἀποστόλων σύγχρονος (ἐν τῇ πρὸς Κορ. Α. §. κθ. ἥτις ἐγράφη πρὸ τῆς καταστροφῆς τοῦ ναοῦ), Ἰουστῖνος (Ἀπολογ. α.), ἄλλος Κλήμης (Στρωμάτ. ζ. σελ. 505), Ὠριγένης (κ. Κέλσ. δ, 506: ε, 599), Εὐσέβιος (Ὑπομν. εἰς ψαλμ. ϙ. καὶ Εὐαγγ. Ἀποδ. δ. 7), ὁ Μ. Ἀθανάσιος (πρὸς Ἀντίοχ. ἐρωτ. ς), ὁ Μ. Βασίλειος (εἰς Ἡσαΐ. η, καὶ ι), Χρυσόστομος (εἰς Κολοσ. Ὁμ. γ. καὶ παρὰ Φωτ. ἀναγν. σοζ), Ἐπιφάνιος (Αἱρέσ. να), Θεοδώρητος (εἰς Δανιὴλ Ι), ἄλλοι τῶν ἁγίων Πατέρων συχνοὶ, καὶ αὐτὸς Ἱερώνυμος (α). Οὕτως ἔχει καὶ ὁ Σύρος. Ἐπικυροῖ δὲ πρὸ πάντων καὶ ὁ θεῖος Παῦλος μετὰ τοῦ Σειρὰχ (ὡς ὀψόμεθα ἐφεξῆς). Καὶ αὐτοὶ δὲ οἱ κατ᾽ ἀρχὰς τοῦ β, αἰῶνος αἱρετικοὶ Βασιλειδιανοὶ ὡσαύτως ἀνεγίνωσκον τὸ ῥητὸν (καί τοι παρερμηνεύοντες πρὸς τὴν ἰδίαν αὐτῶν δυσσέβειαν, ὡς λέγομεν ἐφεξῆς). Ἔπειτα τὴν ἀνάγνωσιν τῶν Ο, βεβαιοῖ τρανῶς καὶ αὐτὸ τὸ νόημα τοῦ ῥητοῦ. Κατὰ δὲ τὸ Ἑβραϊκὸν, ἔστησε λοιπὸν ὁ Θεὸς τὰ ὅρια τῶν ἐθνῶν τῆς Οἰκουμένης ἰσάριθμα τοῖς ιβ υἱοῖς τοῦ Ἰσραὴλ, ἔτι κατ᾽ ἀρχὰς τῆς (ἐν τῇ πυργοποιΐᾳ) ἐπὶ πᾶσαν τὴν γῆν διασπορᾶς τῶν ἀνθρώπων, πρὶν εἰσέτι γεννηθῇ καὶ Ἰσραὴλ, καὶ Ἀβραάμ! Καὶ πάντες λοιπὸν

(α) S. Hieron. Com. in Mich. c. VI. καὶ in Dan. VII. πρόσθες Gregor. Pap. homil. 34. — Tertull. (aut Novatian.) Libr. de Trinitat. — Rufin. in Exposit. Symboli.

*οἱ υἱοὶ Ἀδὰμ* διηρέθησαν εἰς *δώδεκα* μόνον ἔθνη, καὶ οὔτ᾽ ἐλάσσονα, οὔτε πλείονα τῶν υἱῶν Ἰσραήλ! Ἠσθάνθησαν τὴν ἀτοπίαν καὶ αὐτοὶ τῶν νεωτέρων τοῦ ἑβραϊκοῦ προστατῶν οἱ θερμότατοι, διὸ καὶ θεραπείας ἐπιφέρουσι ῥαββινικὰς, ἐκλαμβάνοντες τὸ *ἐθνῶν* ἐπὶ τῶν *Χαναναίων*, οὓς καὶ διαιροῦσι βιαίως εἰς *δώδεκα* λαοὺς (ἐκ τῶν Γενέσ. ιε, 19—21:, Ἐξόδ. γ. 8:, Δευτερον. ζ. 1), καὶ ἑρμηνεύοντες οὕτω. «Τὴν γῆν Χαναὰν (τὴν ὑπεσχημένην τῷ Ἀβραὰμ καὶ τοῖς Ἰσραηλίταις) συνεχώρησεν εἰς κατοίκησιν τοῖς *ἔθνεσι* καὶ λαοῖς τῶν Χαναναίων (*«ἔστησεν ὅρια ἐθνῶν»*)· καὶ τούτους τοὺς λαοὺς καὶ τὰς γαίας αὐτῶν διώρισεν *ἰσαρίθμους τοῖς υἱοῖς* (ταῖς ιβ, φυλαῖς) *τοῦ Ἰσραὴλ* (οἵτινες ἔμελλον εἰσελεύσεσθαι γνήσιοι τῆς γῆς ταύτης κληρονόμοι)» (α). Ἀλλ᾽ ἡ ἑρμηνεία αὕτη φαίνεται παράλογος. Ἐπειδὴ, Α) Τὰ ἔθνη καὶ τὴν γῆν τῶν Χαναναίων ὁ Θεὸς ὑπέσχετο δώσειν τῷ σπέρματι τοῦ Ἀβραὰμ ἐν τῇ πρὸς αὐτὸν Διαθήκῃ (Γενέσ. ιε, 18)· ὁ δὲ λόγος ἐν τῷ Δευτερονομίῳ γίνεται καθόλου περὶ τῶν ἐθνῶν, τῶν ἀμέσως μετὰ τὴν πυργοποιΐαν (πέντε γενεὰς

---

(α) Βλ. S. Ravij Exercit. philolog. ad Hubigant. prolegom. p. 64. Lugdun. 1785. *Τοιαῦτά τινα γράφουσι καὶ ἄλλοι τῶν πρὸ τοῦ Ῥαβίου καὶ τῶν μετ᾽ αὐτὸν σοφῶν κριτικῶν, οἷον* Munsterus, Fagius, Vatablus, *κτλ*. (Annot· ad Deut. h. l) *«Ὅτε (ἐξηγεῖ ὁ Βατάβλης), ὁ Ὕψιστος διεμέρισε τὰς πατρίδας καὶ χώρας, καὶ παρέδωκεν αὐτὰς πᾶσι τοῖς ἔθνεσι, τότε ὥρισε* (decreverat) *δοῦναι τοῖς υἱοῖς Ἰσραὴλ τὴν γῆν ἐκείνων τῶν ἑπτὰ ἐθνῶν, ἅπερ ἐπὶ τῆς ἀφίξεως αὐτῶν (τῶν Ἰσραηλιτῶν) ἐξέβαλεν ἐκ τῆς γῆς Χαναάν. Ἤ, Τότε δέδωκε τοῖς ἑπτὰ ἔθνεσι (τουτ. τοῖς Ἀμοῤῥαίοις, Εὐαίοις, κτλ.) τοσαύτην χώρας ἔκτασιν, ὅση ἔμελλεν ἐξαρκέσειν τῷ ἀριθμῷ τῶν υἱῶν Ἰσραήλ». Ὁ δὲ* Clarius *προστίθησι καὶ ταῦτα. «Ἄλλοι νοοῦσιν, ὅτι τοσαῦτα σχεδόν εἰσι τὰ ἔθνη, ὅσος καὶ ὁ ἀριθμὸς τῶν υἱῶν, καὶ τῶν ἐγγόνων τοῦ Ἰσραὴλ, δηλονότι, περίπου ἑβδομήκοντα» (βλ. Σειρ. εἰς τὴν Ὀκτάτ.). Ἄλλως δὲ ὁ* Grotius. *«Οὕτω μακρὰν αὐτοὺς (τοὺς υἱοὺς Ἀδὰμ) διέσπειρεν, ὥστε μηδέποτε τούτους οὕτως εἶναι πολλοὺς, ὥστε μὴ δύνασθαι τοὺς Ἰσραηλίτας αὐτῶν κατισχύσαι» κτλ. Ὁ δὲ* Rosenmüller *«Τότε (λέγει) ἐθνῶν τινων* (certorum populorum) *γαίας καὶ ὅρια διώρισεν (ὁ Ὕψιστος), ἅτινα ἐξήρκουν χωρῆσαι τὴν μέλλουσαν πληθὺν τῶν Ἰσραηλιτῶν»* (Πρβλ. *καὶ* Schulz. Schol. in h. l) *Αὗται αἱ ποικίλαι καὶ βεβιασμέναι ἑρμηνεῖαι, τί ἄλλο καὶ αὐταὶ μαρτυροῦσιν, εἰ μὴ τὴν διαφθορὰν τῆς καθ᾽ Ἑβραίους ἀναγνώσεως τοῦ περὶ οὗ ὁ λόγος ῥητοῦ; Δείξουσι τρανώτερον ἀνωτέρω τὰ τοῦ Ῥαβίου.*

πρὸ τοῦ γενέσθαι τὸν Ἀβραὰμ) ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς διασπαρέντων.—Β) Οὐδαμοῦ τῆς θείας Γραφῆς τὰ φῦλα τῶν Χαναναίων ὠνομάσθησαν *ἔθνη* ἁπλῶς, ἢ καὶ κυριολεκτικῶς, κατ᾽ ἐξαίρετον ὑπεροχὴν, ἀλλὰ πάντοτε διὰ τῆς ἐθνικῆς αὐτῶν κυριωνυμίας, εἴτε τῆς ἑκάστῳ ἰδιαζούσης, εἴτε τῆς καθόλου (τῆς *Χαναάν*)· οὕτω καὶ ὁ Προφητάναξ εἶπε περιληπτικῶς « *πάσας τὰς βασιλείας Χαναάν* » (Ψαλμ. ρλδ. 11).—Γ) Ἐν Γενέσ. ιε, 19—21 ἀριθμοῦνται λαοὶ Χαναναίων *ἕνδεκα* (κατὰ τοὺς Ο), ἢ *δέκα* (κατὰ τὸ ἑβραϊκὸν), ἐν δ᾽ Ἐξόδῳ (γ, 8, καὶ ιγ, 5, καὶ κγ, 23) εἰς *ἑπτὰ* μόνον ἔθνη, τὰ κυριώτερα, συγκεφαλαιοῦνται οὗτοι οἱ λαοὶ (κατὰ δὲ τὸ ἑβραϊκ. εἰς ἕξ). Ὡσαύτως καὶ ἐν Δευτερον. ζ. ι. (κατά τε τοὺς Ο, καὶ τὸ ἑβραϊκὸν), ὅπου καὶ ῥητῶς ὀνομάζονται· «Κἂν ἐξάρῃ ἔθνη μεγάλα ἀπὸ προσώπου σου, τὸν Χετταῖον, καὶ Χαναναῖον κτλ. ἙΠΤΑ ΕΘΝΗ ». Διὰ τί οὐκ εἶπε καὶ ὧδε ΔΩΔΕΚΑ (κατὰ τὸ λεγόμενον « *κατ᾽ ἀριθμὸν υἱῶν Ἰσραήλ* »); Τούτων τῶν *ἑπτὰ ἐθνῶν* τὰ λείψανα, καθυποταγέντα μετὰ ταῦτα τῷ Σολομῶντι, ἀριθμοῦνται καὶ ἐν Γ. Βασ. Ι. 22 (Πρβλ. καὶ Συγκέλ. Χρονογραφ. σελ. 83). « Ἑπτὰ γὰρ δοῦλα τοῖς Ἰουδαίοις ἔθνη κατέγραψεν ὁ Θεὸς τῶν Χαναναίων, τῶν Χετταίων, τῶν Φερεζαίων, τῶν Γεργεσαίων, τῶν Εὐαίων, τῶν Ἰεβουσαίων, τῶν Ἀμοῤῥαίων » (α). Ἑπτὰ, τέλος, ὡμολόγησαν τὰ ἔθνη καὶ οἱ πλεῖστοι τῶν νεωτέρων ἐπισήμων κριτικῶν, ὧν τινας ἐμνημονεύσαμεν πρὸ μικροῦ (σελ. 290 σημ.).—Δ) Δῶμεν καὶ ὁλόκληρα (Γεν. ιε) *δέκα*, ἢ *ἕνδεκα* ἔθνη (ἀντὶ τῶν ἑπτά). Δέκα τὰ ἔθνη ἀριθμεῖ καὶ Θεόδοτος (ἐν τῷ περὶ Ἰουδαίων) « Δώσειν γάρ ποτ᾽ ἔφησεν (ὁ Θεὸς) *ΔΕΚ᾽ ἔθνεα παισὶν Ἀβραὰμ* » (παρ᾽ Εὐσεβ. Εὐαγ. Προπαρ. Θ. 22. σελ. 250). Ἀλλ᾽ οὐδ᾽ οὕτω πάλιν ἀπαρτίζεται ὁ ιβ, ἀριθμὸς τῶν υἱῶν Ἰσραήλ. Ὁ Ῥάβιος προστίθησι καὶ τοὺς ἐπὶ Σολομῶντος ὑποταγέντας Φυλισταίους (πρβλ. Ἰησ. ιγ, 2: κγ. 4)· ἀλλ᾽ οἱ *Φυλιστιεὶμ* (καίτοι κατακτηθέντες)

(α) Ἐπιφ. περὶ Ἀριθμ. τόμ. β. σελ. 308. Col. πρβλ. καὶ Αἱρέσ. δ. σελ. 24. Σύγκελ. Χρονογρ. σελ. 168. — Ἀνώνυμ. Χρονογρ. ἐν προοιμ. Μαλαλᾶ, σελ. 16. Βλ. καὶ Ἰωσήπ. Ἀρχ. Ε, α, 23.

οὔτε συναριθμοῦνται μεταξὺ τῶν τῷ Ἀβραὰμ ἐπηγγελμένων ἐθνῶν, οὔτε Χαναναῖοι τὸ γένος ἦσαν, ἐκ τοῦ Χαναὰν, ἀλλ' ἐκ τοῦ Μεσραῒμ, ἄλλου υἱοῦ τοῦ Χάμ (Γεν. θ, 18, καὶ Ι, 6, 14). Αὐτοὶ δὲ τὸ *ἐθνῶν* ἐκλαμβάνουσιν ἐπὶ μόνων τῶν Χαναναίων (βλ. ἀνωτέρω σελ. 290) Ὅθεν καὶ ὁ Ῥάβιος αἰσθανόμενος, τέλος, καὶ αὐτὸς τὸ ἀπρεπὲς τῆς ἐλλείψεως τοῦ ἀριθμοῦ, εὐχαριστεῖται εἰς τὸ *περίπου* (circiter)· ἀλλ' εἰς τὸ « *ἔστησεν ὅρια* », οὕτως ἐκφαντορικῶς καὶ ὁριστικῶς τεθεσπισμένον, οὐ χωρεῖ τὸ *περίπου*! — Ε) Τὰ ὅρια τῆς γῆς Χαναὰν οὐδαμοῦ τῆς θείας Γραφῆς ἀριθμητικῶς διαιροῦνται, οὔτε κατὰ τὸν ἀριθμὸν *τῶν ἕνδεκα υἱῶν τοῦ Χαναὰν*, (Γεν. Ι. 15—18), οὔτε κατὰ τὸν τῶν ιβ φυλῶν (εἰς ἃς ἐκληροδοτήθη), ἀλλ' ἁπλῶς καταλέγονται κατὰ χώρας *ὀκτώ* (Γενέσ. Ι. 19). — Ϛ) Οὐδέποτε φαίνονται οἱ Ἰσραηλῖται κατασχόντες πᾶσαν ἐξ ὁλοκλήρου τὴν χώραν, ἣν ἐπεῖχον ἀνέκαθεν οἱ Χαναναῖοι (Κριτ. α, 28—36). Κἂν δὲ δῶμεν ὅτι κατέσχον, ἀλλ' οὐκ ἦν αὐτοῖς ἡ Χαναντῖτις μόνη ὑπεσχημένη. Ἄλλον διορισμὸν τῶν ὁρίων τοῦ κράτους τῶν υἱῶν Ἰσραὴλ (πολὺ πλατύτερον ἴσως) λέγει ῥητῶς ἡ θεία Γραφή· « Τὴν γῆν Χαναὰν *σὺν τοῖς ὁρίοις αὐτῆς* » (Ἐξόδ. λδ. 2), καὶ, « Θήσω τὰ ὅριά σου ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης, ἕως τῆς θαλάσσης τῆς Φυλιστιεὶμ, καὶ ἀπὸ τῆς ἐρήμου, ἕως τοῦ μεγάλου ποταμοῦ Εὐφράτου » (Ἐξ. κγ, 31. Ἰησ. α, 4). Εἰ δὲ καὶ οὐδ' οὗτος ὁ διορισμὸς ἐπληρώθη, αἴτιοι πάλιν ἐγένοντο αὐτοὶ οἱ Ἰσραηλῖται (α).—Ζ) Ἡ Χαναναία χώρα διενεμήθη οὐχὶ *εἰς ὁλοκλήρους τὰς ιβ φυλὰς*, ἀλλ' εἰς μόνας τὰς ἐννέα καὶ τὴν ἡμίσειαν

---

(α) « Ὁ Θεὸς οὐκ ἀορίστως — ἐποιήσατο τὴν ὑπόσχεσιν, ἀλλ' ἐ ὰ ν φ υ λ ά ξ η τ ε (φησὶ) τ ὰ ς ἐ ν τ ο λ ά ς μ ο υ κ α ὶ τ ὰ δ ι κ α ι ώ μ α τ ά μ ο υ. Ἐκεῖνοι μὲν οὖν, ὡς εὐθὺς παραβεβηκότες τὸν νόμον, τῆς ἐπαγγελίας οὐκ ἔτυχον » κτλ. Θεοδώρ. ἐν Ἀπόρ. εἰς Ἰησ. α. ἐρωτ. β· πρβλ. καὶ εἰς Ἔξοδ. ἐρωτ. νθ. Τοιαῦτα καὶ ὁ Φίλων ὁ Ἰουδαῖος, ἐν ἀποσπάσμ. Βλ. τόμ. β. σελ. 679. Mang. Ὁ δὲ Michaelis (in Jur. Mos. P. 1. §. 23) νομίζει, ὅτι καὶ πρὸ τῶν Δαβίδου χρόνων « ἡ φυλὴ Ῥουβὴν καὶ Γὰδ, καὶ τὸ ἥμισυ τῆς τοῦ Μανασσῆ, ἐχρῆτο ταῖς κατὰ τὴν ἔρημον τῆς Ἀραβίας μέχρις Εὐφράτου νομαῖς ». Ἀλλ' ὁ λόγος τῆς θείας ἐπαγγελίας διορίζει κράτος διοικητικῆς ἐξουσίας, οὐ νομαδικάς τινας ὀλίγας διασποράς.

τοῦ Μανασσῆ. Αἱ δὲ δύω μετὰ τῆς ἄλλης ἡμισείας ἐκληρώθησαν τὴν ἐντεῦθεν Ἰορδάνου γῆν οὐ μόνον τῶν Ἀμοῤῥαίων (Χαναναίων καὶ τούτων), ἀλλὰ καὶ τῶν Μαδιανιτῶν, καὶ τῶν Μωαβιτῶν κτλ. (Ἀριθμ. λγ), ἐθνῶν διαφόρων παρὰ τοὺς Χαναναίους· (οἱ Ἀμανῖται καὶ Μωαβῖται ἦσαν ἐπὶ τῆς αἱμομιξίας τοῦ Λώτ· Γενέσ. ιθ, 37). Κἂν δὲ οὗτοι ἐκληφθῶσιν ὡς ἐμπεριειλημμένοι ἐν τοῖς νικηθεῖσι *Χαναναίοις*, ἀλλ' οὕτω πάλιν τὰ ἔθνη φαίνονται πλείονα τῶν ιβ φυλῶν τοῦ Ἰσραήλ.— Η) Μήπως ὁ Ὕψιστος, ὁπότε (μετὰ τὸν κατακλυσμὸν) «*διεμέριζεν ἔθνη* (ἢ κατὰ τὸ ἑβρ. *ἐμέριζε κληρονομίας* εἰς τὰ ἔθνη), μόνων τῶν Χαναναίων λαῶν *ἔστησε τὰ ὅρια* (καὶ ταῦτα ἰσάριθμα τοῖς υἱοῖς Ἰσραήλ); τῶν δ' ἄλλων τῆς οἰκουμένης ἐθνῶν τὰς ὁροθεσίας ἀορίστους κατέλιπε καὶ συγκεχυμένας; ἀλλ' ὁ θεῖος Παῦλος πᾶν τοὐναντίον ἐδίδαξεν, ὅτι « Ἐποίησεν ὁ Θεὸς ἐξ ἑνὸς αἵματος *πᾶν ἔθνος ἀνθρώπων*, κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς, ὁρίσας προστεταγμένους καιροὺς, καὶ *τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν*» (Πράξ. ιζ, 26). Ὥστε καὶ ὁ Παῦλος, ἀναγινώσκων τὸ « *ἔστησεν ὅρια ἐθνῶν* » ἐξελάμβανε τὴν λέξιν οὐκ ἐπὶ τῶν Χαναναίων μόνων, ἀλλὰ καθολικῶς ἐπὶ πάντων τῶν ἐθνῶν τῆς οἰκουμένης. — Θ) καὶ τελευταῖον. Καὶ ὁ Σειρὰχ συμφώνως τοῖς Ο, ἀνεγίνωσκεν ἐν τῷ ἑβραϊκῷ, καθὼς μαρτυρεῖ σαφῶς ἡ παρ' αὐτῷ ἔκφρασις τοῦ Μωσαϊκοῦ ῥητοῦ. «*Ἑκάστῳ ἔθνει* κατέστησεν *ἡγούμενον*, καὶ μερὶς Κυρίου Ἰσραήλ ἐστι» (Σ. Σειρ. ιζ, 17). Ταῦτα δὲ ὅτι ἀποβλέπουσι τὰ ἐν Δευτερ. λβ, 8, 9, οὐδεὶς ἂν εὐλόγως ἀρνηθείη, οὐδ' αὐτοὶ τῶν ἐναντίων οἱ δικαιότεροι (α). Ταῦτα *πρὸς τὸ ἄτοπον* τῆς ἑρμηνείας τοῦ «*κατὰ ἀριθμὸν υἱῶν Ἰσραήλ*»· ὅπερ ἤρεσε πολλοῖς τῶν νεωτέρων κριτικῶν. Ἀλλ' ὅμως ὑπάρχουσι καὶ ἐξ αὐτῶν ἄνδρες ἐπιφανεῖς ὁμολογοῦντες τοῦ Ἑβραϊκοῦ κειμένου τὴν διαφθορὰν καὶ τὴν ταραχὴν τῶν ἐδαφίων, ἄλλοι τε καὶ Οὐβιγάντης (β), καὶ ὁ τὴν ἀνάγνωσιν τῶν Ο, κρατύνων Οὐόσσιος [ὅστις

(α) Καὶ ὡμολόγησεν ἑκὼν, ἄκων, ὁ σοφὸς Carpzov. Crit. Sacr. P. III. p. 833.

(β) Houbigant. Not. in V. T. proleg. XXVIII. Βλ. καὶ τὴν οὐδενόσωρον.

καὶ ὑπὸ τῶν *ἀγγέλους Θεοῦ* ἀρνουμένων Σαδδουκαίων νομίζει διεφθαρμένον τὸ ἑβραϊκὸν ἔτι περὶ τὸν β, αἰῶνα μ. Χ.] (α)· ἀλλὰ καὶ αὐτὸς Ὅδιος (σελ. 115) ὑπώπτευσε, μήποτε τὸ ἑβραϊκὸν χειρόγραφον, ἐξ οὗ μετέφρασαν οἱ Ο, εἶχε, καθὼς αὐτοὶ μεθηρμήνευσαν. Πλὴν ἀλλ' ὅμως ἀπέκλινε, τέλος, ἐπὶ τὸ δυσφημότερον, ἵνα φύγῃ τὸ δόγμα τῶν τοῖς ἔθνεσιν ἐφεστώτων ἀγγέλων, ὅπερ αὐτὸς οἴεται μῦθον αἰγυπτιακόν.

§. ιδ. Καὶ ὅμως ταύτην τὴν θεοπαράδοτον δόξαν ἀποδείκνυσιν οὐ μόνον αὐτὸ τὸ «*Ἔστησεν ὅρια ἐθνῶν*» κτλ. ἀλλὰ καὶ ἄλλα

---

ἀντίῤῥησιν S. Ravij Exercit. philol. p. 63. πρβλ. καὶ Schulz Schol. in V. T. vol. 1. p. 724. — Calmet. Diction. v. Ange, καὶ τὸν Μάσιον, ὅστις καὶ τοὺς παλαιοὺς Ἑβραίους ἀναφέρει ἐξηγοῦντας τὸ χωρίον κατὰ τοὺς Ο, (Masij annot. ad Deuter. 32. 8.).

(α) J. Voss. de LXX. c. 17. *Ὁ δὲ Φράγκελος χαριεντισάμενος πρὸς τὸν Ὅδιον, ὅτι ἐκ τοῦ «κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ» εὕρηκε τὴν Αἴγυπτον πατρίδα τῶν Ο!, καὶ πρὸς τὸν Δαῖνον* (Dähne, Jüdisch—Alexandrinische Religionsphilosophie, p. 62), *ὅτι εὕρηκεν ἐν τούτῳ τῷ χωρίῳ Νεοπλατωνικὰς ἰδέας! ἀνεκάλυψεν αὐτὸς τάχιστα καὶ ῥᾷστα τὴν αἰτίαν τῆς κατὰ τοὺς Ο γραφῆς, μηδὲν οὖσαν ἕτερον, ἢ σφάλμα τῶν ἀντιγραφέων. Οἱ ἄγγελοι (λέγει) καλοῦνται ἐν τῇ Γραφῇ καὶ «Υἱοὶ Θεοῦ» (ἑβρ.* Bini Elohim). *Ἐν δὲ τοῖς ἀρχαίοις χειρογράφοις τῆς ἑρμηνείας ὑπῆρχε κατὰ πρῶτον γεγραμμένον «κατὰ ἀριθμὸν υἱῶν* ΙΗΛ *(κατὰ στενογραφίαν, τουτ. Ἰσραήλ)· ἐκπεσόντος δὲ τοῦ ἀρχικοῦ* Ι, *ἔγραφον ἔπειτα* ΥΙΩΝ ΗΛ· *Ἐπειδὴ δὲ οἱ πάλαι Ἕλληνες Χριστιανοὶ ἐγνώριζον ὅτι τὸ ἑβρ.* ῌΛ *σημαίνει θεὸν, ἔγραψαν λοιπὸν υἱῶν θεοῦ, καὶ ἑπομένως «ἀγγέλων θεοῦ* (Frankel. l. c. p. 66, 67). *Οὕτως ὁ Ἀρχιραββῖνος, ὡς ἐπιδέξιος θαυματοποιὸς, ἔτρεψε τὸ μὲν θεοῦ εἰς τὸ Ἠλ, τὸ δ' ἀγγέλων (ὡς ἔχουσι πάντες οἱ ἀρχαιότατοι κώδηκες) εἰς τὸ υἱῶν· καὶ δυνάμει τῆς στενογραφίας τοῦ* ΙΗΛ, *ἔλυσε τὸ ζήτημα! Ἓν μόνον ἀφῆκεν ἀνεπίλυτον· πότε καὶ ποῦ καὶ τίνες τῶν πάλαι Χριστιανῶν ἀνεγίνωσκον Υἱῶν* ἸΗΛ, *καὶ* ῌΛ. *Ἀπὸ τοῦ Ἀποστόλου Παύλου καὶ καθεξῆς ἅπαντες οἱ Πατέρες τῆς Ἐκκλησίας, καὶ οἱ ἐξ Ἰουδαίων καὶ οἱ ἐξ Ἐθνῶν, καὶ Ἕλληνες, καὶ Ῥωμαῖοι, καὶ Σύροι, καὶ Ἄφροι ἀνεγίνωσκον, ὡς ἔγραψαν «Ἀγγέλων θεοῦ» (κατὰ τοὺς Ο,). Ἀλλ' ὁ Φράγγελος, ὡς ἔοικε, διέστρεψεν οὔτι πάνυ εὐτυχῶς πρὸς τὸν ἴδιον αὐτοῦ σκοπὸν, ὅ,τι ἔμαθε παρὰ τοῦ Οὐοσσίου* (l. c.) *καὶ Μασίου.* (Mas. l. c.). *Οὗτοι πρῶτον εἶπον, ὅτι τὸ ἀρχαῖον ἑβρ. εἶχε πιθανῶς* Bini El = *Υἱῶν Θεοῦ, ἐπὶ τῆς σημασίας τῶν ἀγγέλων (ὡμολόγησε δὲ ταύτην τὴν σημασίαν καὶ Φράγγελος ἀνωτέρω). Καὶ τοῦτο οἱ Ο, ἡρμήνευσαν ὀρθῶς «Ἀγγέλων θεοῦ». Οἱ δὲ παλαιοὶ εἴτε Ῥαββῖνοι, εἴτε Σαμαρεῖται, διέστρεψαν τὸ* El *(Ἠλ), εἰς τὸ* Izra-el *(Ἰσρα-ήλ)· καὶ τὸ σφάλμα τοῦ ἑβραϊκοῦ κειμένου προῆλθεν οὐχ ἀπὸ στενογραφίας, ἀλλὰ κατὰ προσθήκην προκεφάλου δισυλλαβίας*

πάμπολλα χωρία τῆς γραφῆς. Ὀλίγα τούτων ἀναφέρομεν, χάριν παραδείγματος. Ἀγγέλους ἐθνῶν *ἄρχοντας* (οὓς εἶπεν ἀνωτέρω *ἡγουμένους* ὁ Σειρὰχ) ὀνομάζει ῥητῶς ἡ θεία Γραφή (Δαν. Ι, 13—21. ιβ, 1). « Ὁ ἄρχων τῆς βασιλείας Περσῶν », « ὁ ἄρχων τῶν Ἑλλήνων », « εἷς *τῶν ἀρχόντων*, ὁ Μιχαὴλ, ἦλθε βοηθῆσαί μοι », « ὁ ἄρχων ὑμῶν » (τῶν Ἰουδαίων)· (πρβ. Ἰησ. ε. 14: Κριτῶν ς, 12). « Ἐπειδὴ, πολλοὶ ἄρχοντες (ἀρχάγγελοι), ἢ ἐθνάρχαι τινες διατεταγμένοι πρὸς φυλακὴν καὶ διατήρησιν τοῦ ὑφ᾽ ἑαυτῶν ἑκάστου ἔθνους, καθὰ φησὶ Μωϋσῆς ἐν τῇ ᾠδῇ· ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ ». (Μ. Βασ. εἰς Ἡσ. η). « Ἄγγελος προπορεύεται πρὸ προσώπου τοῦ Μωσέως καὶ παντὸς τοῦ λαοῦ Ἰσραὴλ » (Ἐξόδ. ιδ, κγ, λβ, λγ). Ἄγγελοι Θεοῦ συνήντησαν τῷ Ἰακὼβ καθ᾽ ὁδὸν πορευομένῳ, καὶ φοβουμένῳ τὸν Ἡσαῦ (Γενέσ. λβ. 1, πρβ. μη, 16). Ἄγγελος Κυρίου « *ἐξῆλθεν* (ἐκ τῆς πολιορκουμένης Ἱερουσαλὴμ), καὶ ἐπάταξε τὴν παρεμβολὴν τῶν Ἀσσυρίων » (Δ. Βασ. ιθ.). Ἄγγελος Κυρίου πρεσβεύει πρὸς αὐτὸν ὑπὲρ τῆς αἰχμαλώτου Ἱερουσαλὴμ καὶ τῶν πόλεων Ἰούδα. « Κύριε παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα ; » (Ζαχ. α, 12). Ἀγγέλους εἶδον *ἐν πνεύματι Θεοῦ* οἱ θεῖοι προφῆται, « ὡς λειτουργικὰ πνεύματα », περιοδεύοντας τὴν γῆν, καὶ προστατεύοντας ἐθνῶν, πόλεων, αὐτοῦ τοῦ ναοῦ (Ζαχαρ. α, 10: β, 3: γ, 1, κτλ. Ἰεζεκ. μ. 3. μγ. 7. κτλ. πρβ. καὶ Θεοδώρητ. αὐτόθ. καὶ εἰς Ζαχαρ. α, 10). Ἄγγελος Κυρίου « παρεμβαλεῖ κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς » (Ψαλμ. λγ. 8. καὶ Μ. Βασίλ. αὐτόθ.). Ἄγγελοι ἑπτὰ προσαναφέρουσι τὰς προσευχὰς τῶν ἁγίων » (Τωβίτ, ιβ. 15—22. πρβλ. Ἀποκαλ. ε, 6 : η, 3). Ὅθεν καὶ ὁ Προφητάναξ ἔλεγεν « Ἐναντίον ἀγγέλων ψαλῶ σοι » (ψαλμ. ρλζ. 1). καὶ αὐτὸς ὁ θεῖος Ἀπόστολος διαμαρτύρεται « ἐνώπιον τοῦ Θεοῦ— καὶ τῶν *ἐκλεκτῶν ἀγγέλων* αὐτοῦ » (α. Τιμ. ε, 21), « ὡς παιδαγωγούς τινας καὶ παιδονόμους ἐπιστάντας τοῖς ἀνθρώποις εἰδὼς » (Μ. Βασίλ. π. τ. ἁγ. Πνεύμ. ιγ. καὶ εἰς ψαλμ. μη), « ὡς λειτουρ-

γικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα » κτλ. (Ἑβρ. α, 14). « Ὅτι καὶ αὐτῶν (τῶν μικρῶν, δηλαδὴ *τῶν πιστῶν*) οἱ ἄγγελοι (οἱ φύλακες) βλέπουσι τὸ πρόσωπον τοῦ πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς » (Ματθ. ιη, 10). « Δέδωκε γὰρ τοὺς πιστοὺς πρὸς φυλακὴν καὶ φρουρὰν τοῖς ἁγίοις ἀγγέλοις (Μ. Βασιλ. εἰς Ἡσ. η)· « καὶ παντὶ πεπιστευκότι εἰς τὸν Κύριον ἄγγελος παρεδρεύει » (αὐτ. εἰς ψαλμ. λγ). Ὅθεν καὶ ὁ Πέτρος ἀπροσδόκητος φανεὶς παρὰ τοῖς πιστοῖς, ἐνομίσθη, « ὡς ὁ ἄγγελος (ὁ φύλαξ) αὐτοῦ ἐστι » (α). « Διδασκόμεθα τοίνυν ἐκ τούτων, ὡς τῶν ἀγγέλων μὲν ἕκαστος τὴν ἑκάστου ἡμῶν ἐπιμέλειαν ἐγκεχείρισται εἰς τὸ φρουρεῖν καὶ φυλάττειν, καὶ τῶν τοῦ πονηροῦ δαίμονος ἐπιβουλῶν ἀπαλλάττειν· οἱ δ' ἀρχάγγελοι τὰς τῶν ἐθνῶν ἐπιστασίας ἐνεπιστεύθησαν» (β). Οὕτω καὶ ἐν τοῖς τοῦ Ῥώμης Κλήμεντος Ἀναγνωρισμοῖς· « Ἔστιν ἑκάστῳ ἔθνει τεταγμένος ἄγγελος ὑπὸ Θεοῦ τὴν

---

(α) Πράξ. ιβ. 15. — « Αἱ γὰρ ἀγγελικαὶ δυνάμεις συνεργοῦσιν ἡμῖν πρὸς τὰ κρείττονα » (Γρηγ. Ναζ. λόγ. μ.). Ὅθεν καὶ ὁ Ἀπόστολος Ἑρμᾶς εἶπεν « ἄγγελον μετανοίας» (Ποιμ. βιβ. β. καὶ not. Coteler. in Patr. Ap. T. 1. p. 85), καὶ Βαρνάβας ὁ Ἀπόστολος, « φωταγωγοὺς ἀγγέλους Θεοῦ—ἐπὶ τῆς ὁδοῦ καὶ διδασκαλίας τοῦ (τῆς ἀληθείας) φωτὸς (Βαρνβ. ἐπιστ. σελ. 12. T. 1. Patr. Ap. Cot.). Καὶ ἄγγελος ἐπὶ τῆς κλήσεως τῶν ἐθνῶν (Ὠριγ. εἰς Ματθ. κβ. 8.). Ἄγγελος ἐπὶ γάμου (ὡς Γενέσ. κδ, 40, καὶ ὁ Ῥαφαὴλ ἐπὶ τοῦ Τωβίου· πρβλ. Tertull. ad uxor. 2. c. ultim.). Ἄγγελοι ἔφοροι τῶν ἐκκλησιῶν (Γρηγορ. Ναζ. λόγ. λβ. σελ. 528). Ἄγγελος ἐπὶ τῆς εἰρήνης (Ἀποστ. Διατ. η, 36, 39). Ὅθεν καὶ πᾶσα ἡ Ἐκκλησία ἀείποτε ἔν τε ταῖς ἄλλαις ἱεραῖς τελεταῖς καὶ ἐν αὐτῇ τῇ θείᾳ μυσταγωγίᾳ αἰτεῖται τοῖς πιστοῖς « Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν » (Λειτουρ. Μ. Βασιλ. καὶ Χρυσοστ. πρβλ. Χρυσόστ. εἰς Κολοσ. ὁμ. γ. καὶ εἰς τὴν Ἀνάληψ. ὁμ. λε: — Μ. Βασίλ. ἐπιστολ. 239. κτλ. βλ. καὶ Cotel. l. c. vol. 1. p. 416).

(β) Θεοδώρ. εἰς Δαν. I. — Ἐν τῇ θείᾳ Γραφῇ βλέπομεν καὶ « ἄγγελον (ἔφορον) ὑδάτων »· καὶ ἄλλον « ἐξουσίαν ἔχοντα τοῦ πυρὸς »· καὶ « ἀγγέλους κρατοῦντας τοὺς δ, ἀνέμους τῆς γῆς· καὶ ἄλλους τέσσαρας ἐπὶ τοῦ Εὐφράτου » (Ἀποκαλ. ζ· 1. ιδ, 18. ις, 5. θ. 14. πρβλ. Ἐπιφάν. αἱρέσ. να:). Εὑρίσκεται καὶ ἄγγελος τῆς ἀβύσσου (Ἀποκαλ. θ. 11), ὃν ὁ μὲν Καισαρείας Ἀνδρέας ἐπὶ τοῦ ἄρχοντος τοῦ σκότους ἐξέλαβεν· ὁ δ' Ἀρέθας, ἐπὶ ἀγγέλου φωτός (ἑρμην. εἰς Ἀποκάλ.). Καὶ ἄγγελος ἐπὶ τῶν θηρίων (παρὰ Ποιμένι Ὅρασ. δ, σελ. 82. τόμ. α. Cotel.). Καὶ ἄγγελοι ἐπὶ τῶν τῆς γῆς καρπῶν, καὶ τῆς τῶν ζώων γενέσεως (Ὠριγ. κ. Κέλσ. η, §. 57. σελ. 785 Delar.) κτλ.

οἰκονομίαν τοῦ ἔθνους πεπιστευμένος» (α). Καὶ ὁ ἕτερος Κλήμης· «Κατά τε ἔθνη καὶ πόλεις νενέμηνται τῶν ἀγγέλων αἱ προστασίαι, τάχα δὲ καὶ τῶν ἐπὶ μέρους» κτλ. (Στρωμ. ς. 499, ζ, 505. καὶ Προφητ. Ἐκλογ. 577). Καὶ πρὸ τούτου Ἰουστῖνος ὁ μάρτυς καὶ φιλόσοφος. « Ὁ Θεὸς τὴν τῶν ἀνθρώπων, καὶ τῶν ὑπὸ τὸν οὐρανὸν, πρόνοιαν ἀγγέλοις, οὓς ἐπὶ τούτοις ἔταξε, παρέδωκεν» (ὡς *πνεύμασι* δηλονότι *λειτουργικοῖς*) (β). Ἄλλους τῶν ἀρχαίων Πατέρων παραλείπομεν.

Καὶ αὐτοὶ δὲ οἱ Βασιλειδιανοὶ, τοῦ Σύρου Βασιλείδου παράφρονες ὀπαδοὶ, τὰς ὑπὸ τοῦ συγχρόνου τοῖς ἀποστόλοις Σίμωνος τοῦ μάγου περὶ τῶν ἀγγέλων κακοδοξίας ἀναμασσῶντες, ἔλεγον καὶ ὅτι « Ὁ Θεὸς *μεμοίρακε τὸν κόσμον κατὰ διαίρεσιν κλήρων τῷ πλήθει τῶν ἀγγέλων* », αὐτὸ δηλονότι τὸ τοῦ Δευτερονομίου (λβ. 8) κατὰ λέξιν σχεδὸν ἐκφέροντες καὶ διαστρεβλοῦντες (γ). Καὶ οἱ Ἐσσηνοὶ ἐτήρουν τὰ τῶν Ἀγγέλων ὀνόματα (Ἰώσ. Ἰουδ. πολ. Β. η. 7). Ὁ δὲ Φίλων καὶ Ἰώσηπος (οἵτινες καὶ αὐτοὶ τὸ ἐν Δευτερον. λβ, 8, ῥητὸν ἀνεγίνωσκον κατὰ τοὺς Ο, ὡς εἶχε

(α) S. Clem. Recognit. T. 1. σελ. 513. ἐν Patr. Apost. ed. Cotel. πρβλ. καὶ τὰς αὐτόθ. σελ. 479—486 κρίσεις περὶ τῶν ἀναγνωρισμῶν. Πρόσθες καὶ τὸ ἀπόκρυφον μὲν, καὶ προσέτι νενοθευμένον, ἀλλ᾽ ὅμως ἀρχαιότυπον βιβλίον τοῦ Ἐνὼχ (Συγκ. χρονογ. σελ. 43. Bon)· ὅπου, μεταξὺ τῶν ἐν πολλαῖς ψευδηγορίαις ἀληθειῶν, εὑρίσκεται καὶ ἡ τῶν ἐφόρων ἀγγέλων ἔννοια. πρβ. καὶ Zornij Opuscul. sacr. T. 1. p. 208.

(β) Ἰουστῖν. Ἀπολ. β. σελ. 95. πρβλ. Διον. Ἀρειοπ. π. Οὐραν. ἱεραρχ. θ. (καὶ Μαξίμ. καὶ Παχυμ. σχολ. αὐτόθ.). Ἀθηναγόρ. πρεσβ. σελ. 62. — Ὠριγ. κ. Κέλσ. ε. §. 3. σελ. 579. καὶ εἰς Ἀριθμ. ὁμ. ια, καὶ κ. καὶ εἰς Γένεσ. ὁμ. η.—Γρηγόρ. Ναζ. λόγ. λβ.—Γρηγ. Νύσσ. κ. Εὐνομ. Α, τόμ. β. σελ. 350, καὶ λόγ. εἰς τοὺς Μ. Μάρτυρ.—Ἐπιφ. ἐν Παναρίῳ, καὶ Αἱρ. κε, καὶ, να.— Χρυσόστ. παρὰ Φωτ. ἀναγν. σοζ, καὶ πολλαχοῦ τῶν Ὁμιλιῶν. — Σευῆρος Σχ. εἰς Ὀκτάτ. αὐτόθ. — Κύριλλ. Ἀλεξ. περὶ τῆς ἐν πνεύμ. λατρ. — Θεοδώρ. εἰς τὰ Ἄπορ. Ἰησ. ε, καὶ εἰς Γαλάτ. γ, 19, καὶ περὶ ἀγγέλων (ἐν Ἑλλην. παθ. θεραπευτ. κεφ. γ).—Ἰωάν. Φιλόπ. π. Δημιουργ. α, 10.—Δαμασκην. π. εἰκόν. λόγ. γ. καὶ π. Ὀρθ. πίστ. β, 3:—Ἀναστάσ. ὁ Σιναΐτ. Ἐρωτ. νζ.—Tertullian. de Oration. et de Pudicic. c. 14. et de Baptism. etc. — S. Hieron. in Mich. 6, κτλ. Βλ. καὶ Coteler. not. in Patr. Apostol. T. 1. p 165.

(γ) Βλ. Ἐπιφ. Αἱρ. κγ, καὶ κδ. καὶ Petav. animadv. p. 42. πρβλ. καὶ Κλήμ. Στρ. ζ, 549. — Εἰρην. Α. κγ. — Εὐσέβ. Ἐκ. ἱστ. Δ, 7.

καὶ τὸ μήπω τότε διεφθαρμένον ἑβραϊκὸν), ἐμμένοντες ταῖς τῶν ἁγίων προφητῶν θεοπνεύστοις διδασκαλίαις, ὀρθῶς τοὺς ἐφεστῶτας τοῖς ἀνθρώποις ἀγγέλους ὁμολογοῦσιν. Ὁ μὲν γὰρ «ἀγγέλους, λέγει, λειτουργοὺς καὶ ἐφόρους — πρεσβευτάς τινας ἀνθρώπων πρὸς Θεὸν, καὶ Θεοῦ πρὸς ἀνθρώπους, ἱεροὺς καὶ ἀσύλους φύλακας» (α). Ὁ δὲ πάλιν Ἰώσηπος εἰσάγει τὸν Ἀγρίππαν «μαρτυρόμενον τὰ ἅγια (τὸν ναὸν), καὶ τοὺς ἱεροὺς ἀγγέλους» (ὡς ἐφόρους τοῦ ναοῦ) (β). Τούτους πάντως ἐννοεῖ καταλιμπάνοντας τὸν ναὸν, καὶ ἐν' ᾧ ἱστόρησεν, ὅτι, ἐγγιζούσης τῆς ἁλώσεως, ἤκουσαν οἱ ἱερεῖς ἐκ τοῦ ἔνδον ἱεροῦ ἐξελθοῦσαν τὴν ἀθρόαν ἐκείνην φωνήν· «*Μεταβαίνωμεν ἐντεῦθεν*» (Ἰουδ. πολ. ς, ε, 3).

Τελευταῖον, καὶ αὐτοὶ οἱ Ἐθνικοὶ Ἕλληνες, ἐκ τῶν Μωσέως, καὶ τῶν προφητικῶν ἀκοῇ παραλαβόντες καὶ παραδόσει, πολλαχοῦ κατὰ τὴν Ἀσίαν ἐπικρατούσῃ, ἐδόξαζον «*Δαίμονας ἐσθλοὺς, φύλακας ἀνθρώπων*» (γ)· καὶ ὅτι «*Δαίμων ἀγαθὸς*» (ὁ φύλαξ ἄγγελος) «*εὐθὺς γινομένῳ ἀνδρὶ συμπαρίσταται*»· ὡς εἶπεν ὁ Μένανδρος (δ). Καὶ πολὺ πρὸ τούτου Πλάτων ἐδογμάτιζε «Δαίμονα ταῖς ψυχαῖς συμπεμπόμενον φύλακα τοῦ βίου» (ε). Ἀρχαιότατον δὲ καὶ τὸ Ὀρφικόν· ὅτι «Θεοῦ πυρόεντι Θρόνῳ παρεστᾶσιν ἄγγελοι, *οἶσι μέμηλε βροτοῖσιν ὡς πάντα τελεῖται* (ζ). Ὅθεν καὶ Πλάτων πάλιν φησί· «Καὶ γὰρ πᾶν τὸ δαιμόνιον μεταξὺ

---

(α) Φίλ. Τ. 2. σελ. 387. καὶ 605. καὶ τ. α. σελ. 264, 642. καὶ σημ. Mang. — (β) Ἰώσ. Ἰουδ. πολ. Β. ις, 4. πρβλ. Β. Μακ. γ, 26, κτλ. — (γ) Ἡσίοδ. Ἔργ. κ. ἡμ. 122. — (δ) Μένανδρ. Λειψ. σελ. 203. Μ. πρβλ. Κλήμ. Στρ. ε. 445: — (ε) Πλάτ. Πολιτ. l. σελ. 836. Bip: πρβλ. Κλήμ. Στρ. ε, 432. Ὅθεν καὶ Σενέκας «Unicuique nostrum paedagogum dari deum» (Epist. 116). Βλ. καὶ Πλούτ. π. Ἴσιδ. κ. Ὀσίρ. — Ἀλλὰ «Δαίμονας μὲν οἱ Φιλόσοφοι, ὁ δ' ἱερὸς λόγος ἀγγέλους εἴωθε καλεῖν» (Φίλ. τ. α, σελ. 586)· Τὸ δὲ δαιμόνων ὄνομα παρὰ τοῖς Χριστιανοῖς ἀείποτε ἐπὶ τοῦ πονηροῦ (Ὠριγ. κ. Κέλσ. ε. σελ. 580. — Εὐσέβ. Εὐ. πρ. ζ. 15). Εἶπον δέ τινες τῶν ἐθνικῶν καὶ ἀ γ γ έ λ ο υ ς ἐπὶ τῶν (ὡς ἄλλως ἔλεγον) ἀ γ α θ ῶ ν δ α ι μ ό ν ω ν· οἷον Ἱεροκλῆς (εἰς τὰ Χρυσᾶ ἔπη σελ. 41). Καὶ Πλάτων εἶπε (Νόμ. Δ) «Νέμεσις, Δίκης ἄγγελος». (πρβλ. Ἀλέξ. Ἀφροδ. τόπ. σελ. 186: Ἀριστείδ. τ. α, σελ. 19). Οἱ δὲ περὶ τὸν Μοσχέμιον, τὸ ἄγγελος παρὰ τοῖς ἐθνικοῖς ἀείποτε ἐπὶ τῆς κοινῆς σημασίας τοῦ μυνητῆς ἐθέλουσιν ἐκλαμβάνειν (Moshem. Dissert. ad Hist. Eccl. v. I. p. 347).

(ζ) Ὀρφ. π. Κλήμ. Στρ. ε, 443. πρβλ. Δανιὴλ Ζ.

ἐστὶ Θεοῦ τε καὶ θνητοῦ. Τίνα, ἦν δ' ἐγὼ, δύναμιν ἔχον; Ἑρμηνεῦον καὶ διαπορθμεῦον Θεοῖς τὰ παρ' ἀνθρώπων, καὶ ἀνθρώποις τὰ παρὰ Θεῶν, τῶν μὲν τὰς δεήσεις καὶ θυσίας, τῶν δὲ τὰς ἐπιτάξεις τε καὶ ἀμοιβὰς τῶν θυσιῶν» (α). Οὕτως ἀπὸ τῆς Μωσαϊκῆς Θεοσοφίας, καὶ ἐξ αὐτῶν δὲ τῶν ἀνέκαθεν πατριαρχικῶν παραδόσεων διῆλθον καὶ εἰς ἄλλους ἀρχαίους τῆς Ἀσίας λαοὺς, καὶ εἰς τοὺς Αἰγυπτίους αὐτοὺς, ἄλλαι τε τῆς ἀληθοῦς θεογνωσίας ὑγιεῖς δόξαι, μεταξὺ τῆς εἰδωλομανούσης πλάνης διαλάμπουσαι, καὶ αὐτὴ ἡ περὶ τῶν ἐφεστώτων τοῖς ἔθνεσιν ἀγγέλων διδασκαλία· ἣν ἡμῖν Ὅδιος (καὶ ἄλλοι πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν, ὁμόφρονες αὐτῷ) ὡς γνησίαν τῶν Αἰγυπτίων παρέστησε δόξαν, ἀνατείνας σοβαρῶς τὸν Νειλῷον Ὡραπόλλωνα, καὶ τὸν Νεοπλατωνικὸν Ἰάμβλιχον (β). Ὡς ἀπόλοιτο πᾶσα φιλοκαινοτόμος ἔρις, καὶ ἡ

---

(α) Πλάτ. Συμποσ. σελ. 229. Bip. (πρβλ. Τωβίτ ιβ. καὶ Γεν. κβ. 11. κη, 12). Τοιαῦτά τινα καὶ ἐκ τῶν φερομένων Ὀστάνου τοῦ Πέρσου μνημονεύει Minuc. Felix. c. 8. πρβλ. S. Cyprian. de Idolor. vanit. p. 14.

(β) Ὁ Γάλης (Thom. Gale not. εἰς τὸ τοῦ Ἰαμβλίχου Περὶ Μυστηρίων σελ. 43 καὶ 206 κτλ.), πολεμῶν καὶ αὐτὸς τῇ περὶ τῶν φυλάκων ἀγγέλων διδασκαλίᾳ, μνημονεύει καὶ Πρόκλου, Πορφυρίου, Ἑρμείου, Δαμασκίου, καὶ ἄλλων νεοπλατωνικῶν καὶ μάγων θεουργῶν ἰδίας τινας περὶ ἀγγέλων καὶ ἀγγελικῶν ταγμάτων ληρῳδίας (βλ. καὶ Φωτ. ἀναγν. ρλ), προσεπιληρήσας καὶ αὐτὸς ὁ σοφὸς ἐκδότης τὰς καθ' ἑαυτόν! Περὶ ἄλλων νεωτέρων, ὅσοι περὶ ἀ γ γ έ λ ω ν συνέγραψαν, οἱ πλεῖστοι σχεδὸν συγχέοντες τὰς γραφικὰς ἀληθείας πρὸς πλάνας Χαλδαϊκὰς, Αἰγυπτίας, Περσικὰς, Βραχμανικὰς, Νεοπλατωνικὰς, Καββαλιστικὰς κτλ., βλέπε τὴν Fabricij Bibliogr. Antiquar. pag. 379—385. Ηὔξησαν δὲ τούτων τὸν ἀριθμὸν καὶ ἄλλοι μετὰ ταῦτα πολλοὶ τῶν καινοτόμων, οὐ μόνον Ὀρθολογισταὶ, ἀλλὰ καὶ ἐξ αὐτῶν τινες τῶν τιμώντων τὰς Θείας Γραφάς. Διατείνονται δὲ οἱ τοιοῦτοι, ὅτι καὶ ἄλλα καὶ αὐτὴν τὴν περὶ τῶν φυλάκων ἀγγέλων δόξαν παρέλαβον οἱ Ἰουδαῖοι ἐκ τῆς Ἀσιανῆς καὶ Αἰγυπτίας φιλοσοφίας, ὅτε κατὰ τὴν αἰχμαλωσίαν μάλιστα παρῴκησαν ἐν Αἰγύπτῳ καὶ Βαβυλῶνι καὶ Περσίδι. Ἀλλὰ πρῶτον μὲν οὐδ' ἂν αὐτοὶ οἱ ταῦτα λέγοντες ἀρνηθεῖεν, ὅτι καθὼς οἱ Ἑβραῖοι, συνοικοῦντες μετὰ τῶν ἐθνικῶν, ἠδύναντο μεταλαβεῖν τῶν παρὰ τούτοις φρονημάτων, οὕτως ἀμοιβαίως καὶ οἱ ἐθνικοὶ μετελάμβανον πολλῶν τῆς ἀληθοῦς θεογνωσίας διδαγμάτων, ἀκούοντες παρά τε τῶν ἐν τῇ αἰχμαλωσίᾳ διαπρεψάντων θείων Προφητῶν, καὶ ἄλλων Ἑβραίων θεοφιλῶν. Πολλὰ δὲ καὶ τῶν πατριαρχικῶν παραδόσεων ἐσῴζοντο ἴχνη παρὰ τοῖς ἐθνικοῖς, σύμφωνα πρὸς τὰ τῆς Μωσαϊκῆς θεοσοφίας. Ἐκ τούτων τῶν πηγῶν (ὡς ὅ,τε Φίλων, καὶ ὁ θεῖος Ἰουστῖνος, καὶ Κλήμης, καὶ

σφόδρα καὶ αὐτὰς τοῦ ἑβραϊκοῦ κειμένου τὰς διαφθορὰς θαυμάζουσα ῥαββινομανία τῆς νεωτέρας πολυμαθείας! ἥτις καὶ ὑπὸ τῆς ἄγαν σοφίας καὶ τῆς δῆθεν κριτικῆς ἀκριβείας τετυφωμένη, καὶ τὰς ἀκηράτους (ἃς σέβεται, καθὼς λέγει) τῶν Γραφῶν διδα-

Τατιανὸς, καὶ Θεόφιλος, καὶ Εὐσέβιος ἀπέδειξαν, καὶ πολλοὶ τῶν νεωτέρων ὁμολογοῦσιν) ἐξεῤῥύησαν πᾶσαι αἱ ταῖς γραφικαῖς ἀληθείαις σύμφωνοι δόξαι τῶν ἀρχαίων εἰδωλοθρήσκων ἐθνῶν. Καὶ ταύτας μετ' ἄλλων τῆς εἰδωλικῆς πλάνης παραφροσυνῶν ἀναμεμιγμένας βλέπομεν ἐν ταῖς ἀρχαίαις μὲν, ἀλλὰ πολὺ τῶν πατριαρχικῶν καὶ τῶν Μωσέως χρόνων, καὶ τῶν πλείστων προφητῶν, μεταγενεστέραις Ἀσιαναῖς συγγραφαῖς, ὀλίγαις μὲν σωζομέναις, καὶ ταύταις οὐδ' εἰλικρινέσιν (ὡς λέγομεν εὐθὺς), πολλαῖς δὲ καὶ μόνον ἐξ ὀνόματος μνημονευομέναις. Ὥστε λίαν φαίνεται παράδοξον πῶς ἄνδρες σοφοὶ, τὴν θειότητα τῶν γραφῶν ἀνομολογοῦντες, ἐπίστευσαν ἄλλας τε καὶ τὰς περὶ τῶν ἀγγέλων δοξασίας τῆς ἐθνικῆς φιλοσοφίας, ὡς ἀρχὰς τῆς τῶν θεοπνεύστων Γραφῶν διδασκαλίας. Ἀλλ' ἴσως ἂν τις ἔροιτο τοὺς τοιούτους, ὡς ἐν παρόδῳ· Ὦ σοφώτατοι ἀνδρῶν· μήπως ὅτε εἶδεν ὁ Ἰακὼβ τοὺς ἐπὶ τῆς οὐρανομήκους κλίμακος ἀγγέλους (Γεν. κδ), καὶ τὴν συναντήσασαν αὐτῷ παρεμβολὴν τῶν ἀγγέλων τοῦ Θεοῦ (Γεν. λβ), καὶ ὅτε τὸν ἀρχιστράτηγον τῆς δυνάμεως Κυρίου ὁ Ἰησοῦς (ε, 14), καὶ ὅτε τὸν ἄγγελον ὁ Γεδεὼν (Κριτ. ϛ), καὶ ὅτε τὰ Σεραφεὶμ ὁ Ἡσαΐας (ϛ, 1), καὶ τὰ Χερουβεὶμ ὁ Ἰεζεκιὴλ (I, 7), καὶ (ἵνα τ' ἄλλα παραλίπωμεν), ὅτε καὶ αὐτὸς ὁ θεῖος Δανιὴλ ἑώρακε τοὺς ἄρχοντας τῶν ἐθνῶν ἀρχαγγέλους, καὶ τὰς ἄλλας τὰς θεοπέμπτους ὁράσεις, πάντες οὗτοι οἱ θεηγόροι καὶ πνευματέμφοροι Προφῆται καὶ Πατριάρχαι Ζωροάστρας τινὰς Χαλδαίους, ἢ Πέρσας Ὑστάσπας, καὶ Ὀστάνας, καὶ ἄλλους μάγους, ἢ Αἰγυπτίους Ἑρμᾶς, καὶ Βραχμᾶνας Ἰνδοὺς εἶχον ὁδηγοὺς καὶ καθηγητὰς τῆς περὶ τῶν ἀγγέλων διδασκαλίας; Ἔπειτα, καὶ ταῦτα δὴ τὰ περιφερόμενα βιβλία τῆς παλαιᾶς τῶν Ἀσιανῶν ἐθνῶν φιλοσοφίας ἐξελέγχονται λήρων ἀνάμεστα, καὶ πολὺ τῆς ὑποτεθείσης ἀρχαιότητος νεώτερα. Μέχρι χθὲς καὶ πρῴην ἐπεκρότουν κατὰ τῶν θείων Γραφῶν περιθρυλλοῦντες τὰ κατὰ τὴν Αἴγυπτον σωζόμενα μνημεῖα, καὶ τὰ τῶν Σινῶν φιλοσοφήματα, καὶ μάλιστα, τὰ τῶν Ἰνδῶν βραχμανικὰ βιβλία, ὡς πανάρχαια παριστῶντες! Ἀλλὰ χάρις ἄλλοις ἐμβριθεστέροις, καὶ τῆς ἐπωνυμίας ἀξίοις σοφοῖς, οἵτινες ἐξήλεγξαν τὰ τοιαῦτα τῶν φιλοκαινοτόμων τολμήματα καπνοῦ σκιᾶς ἀσθενέστερα, καὶ ὀνείρων ἀπατηλότερα, καὶ γελοῖα. Οὕτως ἡ Zend-Avesta, ἱερὰ βίβλος τῶν Περσῶν (ἣν καὶ γαλλιστὶ μετέφρασε καὶ ἐξέδωκεν ὁ πρῶτος ταύτην κομίσας Anguetil du Perron, Paris 1757), ὡς παμπάλαιόν τι χρῆμα, καὶ αὐτῶν τῶν Μωσαϊκῶν 520 ὅλους ἐνιαυτοὺς ἀρχαιοτέρα μετὰ κρότων πολλῶν περιθρυλληθεῖσα, εὕρηται, τέλος, σύῤῥαμα δογμάτων τῆς εἰς τὸν ἐπὶ Δαρείου Ζωροάστην (βλ. ὄπισθ. σελ. 143) ἀπονεμομένης μαγικῆς τῶν Περσῶν θρησκείας, ἴχνη φέρον πολλαχοῦ καὶ ἄλλων χρόνων νεωτέρων, καὶ αὐτῆς τῆς σωτηρίου ἐποχῆς μεταγενεστέρων. (Βλ. Ritter Histoire de la Philosoph. traduite par Tissot T. 1. p. 48. Paris 1835. πρβλ. καὶ τὰ τοῦ Beck. παρὰ Φα-

σκαλίας καὶ παραδόσεις καθυπέταξεν εἰς τὰς ματαίας αὐτῆς ἐπινοίας, καὶ κατήντησεν εἰς ἀτοπίας πᾶσι μᾶλλον ἄλλοις, ἢ χριστιανοῖς ἀνδράσι πρεπούσας, καὶ αὐτῆς τῆς Εὐαγγελικῆς Ἀληθείας ἐφαπτομένας (α). Ἀλλ' ἐπὶ τὸ προκείμενον τοῦ ἀριθμοῦ.

---

βρικίῳ Bibl. Graec. vol. 1. p. 316). Τὸ δὲ πάλιν ἀσμενέστατα κατὰ τοῦ χριστιανισμοῦ προτεταμένον Σανσκριτικὸν βιβλίον τῶν Ἰνδῶν, τὸ Ezour-Vedam, διὰ τῆς ἐπιμελείας τοῦ πάσης μνήμης καὶ τιμῆς ἀξίου Ἄγγλου Ἀλεξίου Ἰωνστόνου (Al. Iohnston) ἐξηλέγχθη πόνημα δυτικοῦ τινος ἀποστολάτορος (Missionarij), Ῥοβέρτου Δενοβίλιδος (Rob. de Nobilibus), ὅπερ ὁ σοφὸς οὗτος (νομίσας ὅτι διὰ ψεύδους θεμελιοῦται ἡ ἀλήθεια) συνέταξε τῷ 1621, καὶ ἐξέφερε πρὸς τοὺς Ἰνδοὺς ὡς ἀρχαιότατον, εἰς εὐκολωτέραν διάδοσιν τῆς χριστιανικῆς πίστεως! (Βλ. τὸν κλεινότατον Wisemam, Discours sur les rapports entre la Science et la Religion révél. XI. pag. 421. πρβλ· καὶ Disc. VII. etc.). Πρόσθες, ἀναγνῶστα, καὶ ἄλλο πολὺ παλαιότερον τοῦ Ἐζουρ-Βεδὰμ (ἐξ οὗ τινα, ἴσως, καὶ ὁ χρηστὸς Ῥοβέρτος ἠρανίσθη), τὸ τοῦ Πορφυρίου, ἐκ τοῦ περὶ τῆς Στυγὸς σῳζόμενον ἀπόσπασμα, ὅπου οὗτος ὁ μισόχριστος γόης (ὡς ἀπὸ λόγων Βαρδισάνου τοῦ ἐκ Μεσοποταμίας, καὶ τοῦ διαβοήτου Ἀπολλωνίου τοῦ Τυανέως) διαγράφει παρὰ τοῖς Ἰνδοῖς ὑπάρχον οὐ μόνον δοκιμαστήριον ὕδωρ (ἐκ τοῦ «ὕδατος τοῦ ἐλεγμοῦ». Ἀριθμ. ε, 18), ἀλλὰ καὶ τὸ καθάρσιον ὕδωρ τοῦ βαπτίσματος, καὶ νηστείαν, καὶ ἐξομολόγησιν, καὶ προσέτι «Ἀνδριάντα ἑστῶτα ὀρθὸν, ἔχοντα τὰς χεῖρας ἡπλωμένας, ἐν τύπῳ σταυροῦ»— καὶ ὅτι «τοῦτον τὸν ἀνδριάντα δέδωκεν ὁ Θεὸς τῷ υἱῷ, ὁπηνίκα τὸν κόσμον ἔκτιζε (δηλονότι κατὰ τὸ πρὸ χρόνων αἰωνίων μυστήριον), ἵνα θυτὸν (ἴσ. γρ. θεατὸν) ἔχῃ παράδειγμα» κτλ. (Βλ. Πορφυρ. π. τ. Στυγὸς σελ. 283 κτλ. Cantabrig. 1655). Ἀλλ' ἂν ὁ Πορφύριος ἀληθεύῃ, τίς ἐκ τούτων οὐχ ὁρᾷ τὰ τότε παρὰ τοῖς Ἰνδοῖς καὶ Βραχμάναις λείψανα τοῦ πρῶτον διὰ τοῦ Ἀποστόλου Θωμᾶ καὶ ἄλλων ἀποστολικῶν ἀνδρῶν ἐκλάμψαντος εἰς τὴν Ἰνδίαν κηρύγματος τῆς εἰς Χριστὸν πίστεως;

(α) Βλ· Grot. Annot. ad S. Math. Evang. 18, 10. καὶ ad Epist. Roman. 8, 38.—Ode, de Angelis, sect. 8. c. 3.—Calmet. Diss. ad libr. Tobiae. Πρβλ. Schleusn. Lex. N. T. vol. 1. p. 17 (Lips. 1808) καὶ Thes. V. Test. vol. 1. p. 17. Ὅπου, λέγει καὶ οὗτος, ὅτι «ἐκ τῆς τῶν Ἰουδαίων ὑπολήψεως (οἵτινες ἑκάστοις ἀνθρώποις, καὶ στοιχείοις κτλ. ἄγγελον ἀγαθὸν, ἢ πονηρὸν ἀπονέμουσιν) ἐπήγασε καὶ ἡ ἔννοια τῶν ἀγγέλων τῶν ἐπὶ τοῦ πυρὸς, ἐπὶ τῶν ὑδάτων κτλ. (Ἀποκαλ. θ, ιδ, ις), καὶ ἰδίως ἡ περὶ τοῦ φύλακος ἀγγέλου» (Ματθ. ιη, 10: Πράξ. ιβ, 15). Καὶ ποίαν μὲν τῶν Ἰουδαίων ἐποχὴν ἐννοεῖ, οὐ διορίζει· φαίνεται δὲ ὅμως αἰνιττόμενος ἴσως καὶ αὐτὸς τοὺς ἐπανελθόντας ἐκ τῆς αἰχμαλωσίας, ὅθεν ἔφερον τάχα καί τινας Βαβυλωνίων δόξας, ἐν αἷς καὶ τὴν περὶ τὸ δαιμονίζεσθαι τοὺς ἀνθρώπους,

§. ιε. Πάντως οἱ τοῦ θείου Νόμου ἑρμηνεῖς διωρίσθησαν κατὰ τὸ παράδειγμα τῶν τε Ο, πρεσβυτέρων *τῆς Γερουσίας*, οἵτινες ἠκολούθησαν μέχρι πρὸς τὸ Σίναιον τῷ Μωϋσῇ, ὅτε οὗτος ἀναβὰς ἐλάμβανε παρὰ Θεοῦ τὰ λίθινα πυξία τοῦ νόμου (Ἐξόδ. κδ, 1—14), καὶ τῶν ἄλλων Ο πάλιν ἐκείνων, οἵτινες ἐκ τῶν *πρεσβυτέρων Ἰσραὴλ* ἐκλεγέντες συνεκρότησαν ἐφεξῆς τὸ *Συνέδριον*, κατ᾽ ἐπιταγὴν καὶ ἐπίπνοιαν Θεοῦ (Ἀριθμ. ια, 16—24) (α). Πρὸς τοῦτον, λέγομεν, τὸν τύπον ἐτάχθησαν Ο, καὶ οἱ ἑρμηνευταὶ τῶν θείων Γραφῶν, πάνυ προσφυῶς καὶ προσηκόντως τῇ τε ἁγιότητι καὶ τῷ μεγέθει τοῦ ἔργου, οὐδὲ χωρὶς θείας βουλῆς· διότι καὶ οὗτοι, κατὰ τοὺς Ο πρεσβυτέρους τῆς Γερουσίας, παρὰ τῷ Μωϋσῇ (ταῖς θείαις αὐτοῦ βίβλοις) προσεδρεύειν ἔμελλον, καὶ θείου Πνεύματος πλησθέντες (κατὰ τοὺς Ο πρεσβυτέρους τοῦ Συνεδρίου. Ἀριθμ. ια, 25), ἑρμηνεῦσαι τὰς Γραφάς, καὶ ταύτας διαδοῦναι μὴ μόνον εἰς τοὺς υἱοὺς Ἰσραήλ, ἀλλ᾽ εἰς πάντα τὰ ἔθνη

---

ὡς αὐτὸς εἶπε πάλιν μετ᾽ ἄλλων ὁ Σκλευσήνερος [Lexic. N. T. vol. I, p. 536]. Ἀλλὰ μήποτε καὶ αὐτὸν τὸν θεῖον προφήτην Σαμουήλ, τὸν συγγραφέα τῶν Βασιλειῶν, Βαβυλωνίων μαθητὴν ὁ σοφὸς ἐννοεῖ; διότι κἀκεῖνος εἶπεν, ὅτι, «πνεῦμα πονηρὸν ἔπνιγε τὸν Σαούλ» (Α. Βασιλ. ις, 14· τουτέστι «πάθη τινα καὶ δαιμόνια» Ἰώσηπ. Ἀρχ. ς, 8, 2). Καὶ λοιπὸν (κατὰ τὰς κρίσεις ταύτας τῶν σοφῶν) «τὸ πανάγιον Πνεῦμα, τὸ λαλῆσαν διὰ τῶν προφητῶν καὶ ἀποστόλων, καὶ αὐτὸς ὁ Κύριος ἡμῶν, ἡ αὐτοαλήθεια καὶ αὐτοσοφία, ἐλάλει περὶ τῶν οὐρανίων καὶ ἐπιγείων, κατὰ τὰς δημώδεις ἰουδαϊκὰς ὑπολήψεις καὶ πλάνας, (ἄλλας τε, καὶ τάς, ὡς λέγουσι, παρ᾽ Αἰγυπτίων, ἢ Βαβυλωνίων, ἢ Περσῶν δεδανεισμένας), θέλων παραδοῦναι καὶ ταύτας, ὡς μέρη τῆς ἀκηράτου καὶ θείας αὐτοῦ διδασκαλίας, εἰς ἅπαντας τοὺς μέχρι συντελείας πιστοὺς μαθητὰς τοῦ Εὐαγγελίου καὶ λάτρεις τῆς ἀληθείας! Ἀπέκειτο δὲ ἄρα εἰς τὴν ἀναμορφώτριαν, ἢ ὀρθολογιστικὴν σοφίαν τοῦ κόσμου τούτου διδάξαι τοὺς ἀνθρώπους ἀληθέστερα παρὰ τὸν λόγον τοῦ Θεοῦ! Οὕτως «ἐξερευνηταὶ συνέσεως οὐκ ἔγνωσαν τρίβους σοφίας Θεοῦ»!

(α) Περὶ τοῦ Συνεδρίου (ἑβρ. Sanhedrin, ἐκ τῆς ἑλληνικῆς φωνῆς τῆς Συνέδριον παραπλασθέν· παρά τισι ῥαββίνοις γράφεται καὶ Synedrin, ὡς, Synedrin, ἀντὶ Sanhedrin gedolah, τὸ μέγα Συνέδριον), βλ. Seldeni de Synedrijs, II. c. 4. (καί τοι περί τινα σφόδρα σκεπτικίζοντος). — Sigonij de Republ. Hebr. L. VI. cap. 7. p. 443. — Fabric. Opuscula etc. p. 123.

τῆς οἰκουμένης διὰ τῆς πανταχοῦ σχεδὸν ἔκτοτε μάλιστ᾽ ἐφαπλουμένης ἑλληνίδος φωνῆς. Καὶ δικαίως ἄρα οἱ περὶ τὸν ἱερὸν Ἐπιφάνιον εἶπον τοὺς ἑρμηνεῖς ἐκλεγέντας κατὰ τὸν τύπον τῶν ὑπὸ Μωσέως συναχθέντων Ο. Εἰ δὲ καὶ ὁ μακάριος Ἱλάριος ἐνόμισεν οὐκ ἄλλους ἐξεπίτηδες ἐκλεγέντας (ἀφ᾽ ἑκάστης φυλῆς ἕξ), ἀλλ᾽ αὐτοὺς τοὺς τοῦ μεγάλου Συνεδρίου πρεσβυτέρους ἑρμηνεῦσαι τὰς Γραφὰς, ποίαν ἀντίφασιν ἔχει τοῦτο πρὸς ὃν οἱ περὶ τὸν Ὅδιον πολεμοῦσιν ἀριθμὸν τῶν ἑρμηνευτῶν; μὴ γὰρ οὐκ ἦσαν Ο, καὶ οἱ τὸ μέγα Συνέδριον συνιστῶντες; Τὴν Ἱλαρίου γνώμην ἀπεδέξαντο καί τινες τῶν νεωτέρων (α), ἀπατηθέντες ἐκ τῆς πρεσβύτερος ἐπωνυμίας, ἥτις (καθὼς Ὅδιος ὀρθῶς παρετήρησεν) ἀπενέμετο οὐ μόνον εἰς τοὺς Συνέδρους (τοὺς καὶ *ἄρχοντας* τῶν Ἰουδαίων λεγομένους) (β), ἀλλὰ καὶ εἰς ἄλλους ἐπισήμους διδασκάλους καὶ προεστῶτας· ἀλλὰ τί καὶ τοῦτο πρὸς τὸν Ἀριστέαν, οὗτινος τὴν ἀλήθειαν βεβαιοῦσι καὶ Φίλων, καὶ Ἰώσηπος, καὶ πάντες οἱ ἀρχαῖοι τῆς Ἐκκλησίας Πατέρες;

§. ις. Αὐτὸ δὲ τὸ Συνέδριον ἐκ μόνων ΟΑ συνεστηκὸς ἐθέλει πάντως Ὅδιος, ἢ (τὸ βέλτιστον καὶ κράτιστον), ἐξ Ο μόνον (εἰ δέ πως ἐξῆν, ἄσμενος ἂν καὶ εἰς ΞΘ μόνους κατεβίβαζε τὸν ἀριθμόν!)· πλὴν ἀλλ᾽ ἐπειδὴ καὶ τὸν ΟΑ οὐκ ἀποῤῥίπτει, λεπτὴ λοιπὸν ἔμεινεν ἡ διαφορὰ, καὶ τοῦτ᾽ αὐτὸ τὸ τῆς παροιμίας « *θρὶξ ἀνὰ μέσον* »! Ῥᾴστη δὲ καὶ ἡ συμπλήρωσις. Ἂν γὰρ πρὸς τὸν ἐκ Συνέδρων Ο, καὶ τοῦ προκαθημένου Μωϋσέως, συγκεφαλαιούμενον ΟΑ ἀριθμὸν προστεθῇ καὶ Ἀαρὼν ὁ Ἀρχιερεὺς (βλ. Ἀριθ. ιε, 33), τέλειος λοιπὸν προκύψει καὶ ὁλόκληρος ὁ ΟΒ. Οὕτως ἔκριναν καὶ Γρότιος καὶ Δρούσιος καὶ ἄλλοι (γ). Τοῦτο τοῦ Συνεδρίου τὸ σχῆμα καὶ μετὰ Μωϋσῆν ἐτηρεῖτο (δ)· διὰ τοῦτο καὶ παρ᾽ αὐτοῖς τοῖς Ἰου-

(α) Baron. an. 231: καὶ Demagistr. Diss. v. p. 504.

(β) Βλ. Λουκ. κγ. 13. κδ, 20: Ἰω. γ. 1: πρβλ. Α, Μακ. ιδ. 27: Ἰώσηπ. Ἀρχ. κ. α. 2. Οἱ δ᾽ αὐτοὶ ἴσως ἐλέγοντο καὶ βουλευταί. Μάρκ. ιε, 43. βλ. καὶ Schleusn. Lex. N. T. vol. I, pag. 364, 468.—(γ) Βλ. Fabric. Opuscul. p. 123.

(δ) Μάτην ἀντιλέγει Rosenmüll. (εἰς Ἀριθμ. ια). πρβ. Calmet Diction. T. 3. p. 473.

δαίοις ἐπωνομάζετο *λιτραῖον δικαστήριον* (α). (διότι μία λίτρα χρυσοῦ ἐτιμᾶτο χρυσῶν νομισμάτων ΟΒ). Καὶ αὐτὰ δὲ τὰ ἐπώνυμα (ἃ καὶ Ὅδιος ἐκ τῆς ῥαββινικῆς σοφίας ἐν ὀλίγοις ἀνέφερεν), ἡ *Κεφαλὴ* καὶ ὁ *Πατὴρ* τοῦ Συνεδρίου, εἰς τὸν αὐτὸν φέρουσιν ἀριθμόν. *Κεφαλὴ*, καὶ *Ἄρχων* (Nasi) τοῦ Συνεδρίου ἐλέγετο ὁ Ἀρχιερεὺς (ἢ τούτου ἀπόντος, ὁ τοποτηρητής)· ὁ δὲ τούτου δευτερεύων καὶ καθήμενος ἐκ δεξιῶν ὠνομάζετο *Πατὴρ τοῦ οἴκου τοῦ δικαστηρίου* (ab-beth-din), καὶ οἱ δύω οὗτοι ἐκάθηντο μικρόν τι κεχωρισμένοι τῶν λοιπῶν Ο, συνέδρων, σιγματοειδῶς (ἡμικυκλικῶς) συνεδριαζόντων (κατ' ἄλλους δὲ, μόνος ὁ *ἄρχων* ἐκάθητο ἐν τῷ μέσῳ τοῦ σίγματος· οἱ δὲ σύνεδροι ἑκατέρωθεν). Ταῦτα μαρτυροῦσιν αὐτοὶ πάλιν οἱ Βαβυλώνιοι Μισνικοὶ, καὶ ἄλλοι Ῥαββῖνοι συχνοί (β). Ἀλλὰ καὶ αὐτὸς Ἰώσηπος (οὗτινος ἄλλας τινὰς μαρτυρίας *μηδὲν πρὸς ἔπος* Ὅδιος ἐμνημόνευσε), τὸ Μωσαϊκὸν Συνέδριον διαγράφων, « Συνέρχονται (λέγει) ὅ,τε *ἀρχιερεὺς*, καὶ ὁ *προφήτης*, καὶ ἡ *γερουσία*» (γ)· (ὅτι δὲ *γερουσίαν* αὐτοὺς τοὺς Ο, συνέδρους, λέγει, φανερόν) (δ)· καὶ πάλιν (ἐπὶ τῆς ἔτι ζῶντος τοῦ Μωσέως εἰς τὴν ἄδηλον ταφὴν προπομπῆς)· « Μόνη ἡ γερουσία προὔπεμψεν αὐτὸν, καὶ ὁ ἀρχιερεὺς Ἐλεάζαρος, καὶ ὁ στρατηγὸς Ἰησοῦς » (Ἀρχ. δ, η, 48). Εἰ δὲ καὶ οἱ κατὰ τὴν χρίσιν τοῦ α, βασιλέως Σαοὺλ τυχόντες κεκλημένοι, καὶ συνεστιαθέντες *μετὰ τοῦ*

---

(α) Βλ. τὸν νομομαθέστατον Cujacium. L. XVII. Observ. c. g. καὶ Fabric. l. c.

(β) Misn. Babylonic. J a d i m. IV. 2. p. 7.— Calmet Diction. de la Bible Tom. 3. p. 473 (παρ' αὐτῷ καὶ β, τοποτηρητὴς, ὁ Chacam, τουτ. σοφὸς) — Schleusn. Lex. N. T. v. Συνέδριον. Βλ. καὶ Fabric. Bibliograph. antiq. c. 14. p. 690. et Opuscula p. 124.

(γ) Ἰώσηπ. Ἀρχ. Δ, η, 14 (προφήτην δὲ λέγει τὸν ἐπέχοντα τὸν Μωσέως τόπον, ὡς οἴεται Bernard. not. ib.).

(δ) Πρβλ. Ἰουδεὶθ, δ, 8: ιε, 8. — Β. Μακκ. α. 10. δ, 44. Γ. Μακκ. α. 8. Ὅθεν καὶ (ἐκ παραλλήλου, ἢ ἐπεξηγηματικῶς) « τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν » (Πράξ. ε, 21). Ἡ γερουσία ἐνίοτε φαίνεται κατὰ σημασίαν πλατυκωτέραν, ὡς καὶ τὸ, οἱ πρεσβύτεροι τοῦ Ἰσραὴλ (Ἐξόδ. κδ. 1. Ἀριθμ. ια, 16). ἀλλ' εἰς τοὺς κατωτέρω χρόνους ἰσοδυναμεῖ πρὸς τὸ συνέδριον, ὡς ἐν Ἰουδεὶθ, δ, κτλ. πρβλ. Schleusn. Lex. N. T. vol. 1. p. 501, καὶ Thes. V. T. vol. 2. p. 16.

*Σαμουὴλ ἄνδρες ὡσεὶ ἑβδομήκοντα* » (δηλονότι *περίπου* 70, ἢ 71) ὑπῆρχον (καθὼς φαίνεται) τὸ κατὰ τοὺς χρόνους τῶν Κριτῶν συνέδριον, ἢ ἡ Γερουσία τῶν υἱῶν Ἰσραὴλ, ἔχομεν λοιπὸν καὶ ταύτην τὴν μαρτυρίαν τῆς θείας Γραφῆς· *ἑβδομήκοντα* τοὺς ἄνδρας λέγει καὶ Ἰώσηπος (α). Καὶ ἐπὶ τῶν βασιλέων (καὶ κατ᾿ αὐτὴν ἴσως τὴν ἐν Βαβυλῶνι αἰχμαλωσίαν) διαρκοῦν τὸ Συνέδριον ὀρθῶς ἔκριναν οἱ περὶ τὸν Γρότιον (Σημειώσ. εἰς Ματθ. ε, 22) ἐξ ὧν ὁ προφήτης Ἰεζεκιὴλ (η, 11) διέγραψεν Ο ἀνδρῶν, « ἐκ τῶν πρεσβυτέρων τοῦ οἴκου Ἰσραὴλ, ὧν ἐν μέσῳ εἱστήκει (ὡς ἀρχηγὸς) Ἰεχονίας τοῦ Σαφὰν » κτλ. (βλ. ἐφεξῆς §. κα)· ἀλλὰ περὶ τούτων μὲν σκοπείτωσαν καὶ αὐτοὶ οἱ Ὀδιακοί. Ὁ δὲ μακάριος Ἐπιφάνιος, οὔτε τὸν Μωσῆν εἰσήγαγεν ἐναντία τῷ θείῳ κελεύσματι ποιοῦντα, καὶ ὅσα λέγει, μαρτυροῦνται ἐξ αὐτῆς τῆς θείας Γραφῆς· ἄκουε· « Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν. Συνάγαγέ μοι *ἑβδομήκοντα* ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραήλ· — Καὶ συνήγαγε, — καὶ ἔστησεν αὐτοὺς κύκλῳ τῆς σκηνῆς. Καὶ κατέβη Κύριος ἐν νεφέλῃ, — καὶ περιείλετο ἀπὸ τοῦ πνεύματος τοῦ ἐπ᾿ αὐτῷ, καὶ ἐπέθηκεν ἐπὶ τοὺς Ο ἄνδρας τοὺς πρεσβυτέρους, — καὶ προεφήτευσαν, καὶ οὐκέτι προσέθεντο. Καὶ *κατελείφθησαν δύω ἄνδρες* ἐν τῇ παρεμβολῇ, ὄνομα τῷ ἑνὶ Ἐλδὰδ, καὶ τῷ δευτέρῳ Μωδὰδ, καὶ ἐπανεπαύσατο ἐπ᾿ αὐτοὺς τὸ πνεῦμα, ΚΑΙ ΟΥΤΟΙ ΗΣΑΝ ΤΩΝ ΚΑΤΑΓΕΓΡΑΜΜΕΝΩΝ, καὶ οὐκ ἦλθον *εἰς τὴν σκηνὴν*, καὶ προεφήτευσαν ἐν τῇ παρεμβολῇ » (Ἀριθμ. ια). Ἰδοὺ οἱ ΟΒ πρεσβύτεροι, οὓς εἶπεν Ἐπιφάνιος ἀνὰ ἓξ ἐκ τῶν ιβ φυλῶν ἐκλελεγμένους, ἢ (κατὰ τὴν γραφικὴν φωνὴν) *καταγεγραμένους*. Ὅθεν καὶ ὁ Θεοδώρητος εἶπε « τὸν Ἐλδὰδ καὶ Μωδὰδ ἴσους τὴν ἀξίαν τοῖς Ο· (ἐν τοῖς Ἀπόρ. εἰς Ἀριθμ. ἐρωτ. κα).

---

(α) Καὶ ἔλαβε Σαμουὴλ τὸν Σαοὺλ καὶ τὸ παιδάριον αὐτοῦ καὶ εἰσήγαγεν — εἰς τὸ κατάλυμα, — καὶ ἔθετο αὐτοῖς ἐκεῖ τόπον ἐν πρώτοις τῶν κεκλημένων ὡσεὶ ἑβδομήκοντα ἀνδρῶν » (Α, Βασ. θ. 22). Καὶ Ἰώσηπος· « Οὗτοι δ᾿ ἦσαν ἑ β δ ο μ ή κ ο ν τ α (ἄλλοι, ὡ ς ἑ β δ ο μ ή κ.) τὸν ἀριθμὸν » (Ἀρχ. ς. 4. §. ι.). Τὸ ἑβραϊκὸν (Α. Βασ. αὐτόθ.) ἡμαρτημένως, τ ρ ι ά κ ο ν τ α. βλ. Schulz Schol. in V. T. vol. 2. p. 270.

Ἀλλὰ καὶ ὁ Μ. Βασίλειος τοῖς Ο πρεσβυτέροις καὶ τὸν Ἐλδὰδ καὶ Μωδὰδ προστιθεὶς, προστίθησι καὶ τὸν ἔπαινον, ὅτι « *τούτοις μόνοις ἐκ πάντων φαίνεται παραμεῖναι τὸ πνεῦμα* » (α). Καὶ ὁ Καισαρείας Εὐσέβιος· « Ποῦ οἱ ΟΒ; οὐκ ἐν τῇ ἐρήμῳ τῶν ἐθνῶν »; (β). Τοιαῦτα καὶ ἄλλοι τῶν Πατέρων (γ), καὶ ὁ μακάριος Ἱερώνυμος (δ), καὶ ὁ παλαιὸς ἀνώνυμος λατῖνος συγγραφεὺς τοῦ « *περὶ τῶν ἐν ταῖς ἁγίαις Γραφαῖς θαυμασίων* » (ε). Συνομολογοῦσι τοῖς πατράσι καὶ Γρότιος, καὶ Δρούσιος, καὶ Κλέρικος, καὶ Βερνάρδος ὁ κλεινὸς Ὀδίου συμπολίτης, καὶ ἄλλοι τῶν νεωτέρων (ζ). Αὐτὸς δὲ ὁ σοφὸς Ὅδιος, ἐν ᾧ τὰ τοῦ Ἐπιφανίου καὶ τῶν ἄλλων, ὡς ἀβαρεῖς τινας καὶ λεπτοτάτας κροκίδας, ἀποφυσᾷ, ἔλαθεν αὐτὸς *σχοινοπλοκῶν ἐξ ἄμμου*!

§. ιζ. Οὐδ' ἐκ τῆς περὶ τῶν Ο μαθητῶν θεωρίας ὠφελήθη πολὺ ὁ κριτικός. Αὐτὴ ἡ διπλῆ τῶν ἀρχαίων κωδήκων ἀνάγνωσις (ἡ Ο, καὶ ΟΒ) μαρτυρεῖ σαφῶς, ὅτι ἀπὸ τῶν χρόνων ἔτι τῶν ἀποστολικῶν, ΟΒ τοὺς μαθητὰς ἐκλεγέντας ἐγνώριζον οἱ Χρισι-

---

(α) Μ. Βασιλ. π. τοῦ ἁγ. Πνεύμ. κεφ. κϛ. σελ. 206. τόμ. β. Paris. 1618.

(β) Εὐσέβ. εἰς τὴν Ἀνάστασιν λόγ. β. (apud Sirmond. Coll. 67).

(γ) Ἐπιφάν. Ἐκθέσ. πίστ. σελ. 1081. τ. α. πρβλ. καὶ Διονύσ. Ἀλεξ. ἐπιστ. π. Παῦλον Σαμοσ. ἀποκρισ. γ. — Ὁ δὲ Κύριλλ. ὁ Ἱεροσολύμ. Κατηχ. ιϛ. καὶ Κύριλλ. ὁ Ἀλεξανδρ. εἰς Ἰωάν. κ, 22. συναριθμοῦσι τοῖς Ο, καὶ τὸν Ἐλδὰδ καὶ Μωδὰδ, περιληπτικώτερον, ἴσως, ἐκφράζοντες τὸν Ο ἀριθμόν. Ὅθεν καὶ ὁ Σύγκελλος ἀπατηθεὶς, ἀφαιρεῖ τὸν Ἐλδὰδ καὶ Μωδὰδ ἐκ τῶν Ο, καταλείπων τούτους μόνον ξη, μήτε τοῖς ἄλλοις πατράσι μήτε τῇ Γραφῇ συμφωνῶν (Χρονογρ. σελ. 257 Bon.).

(δ) « Eliguntur 70, presbyteri, vadunt ad ostium tabernaculi ». S. Hier. Epist. ad Fabiol. Mans. XIII.

(ε) « In discipulorum LXXII praefiguratione etiam ipse spiritus Moysi in LXX seniores distribuitur: et aliis duobus qui in castris resederant, Heldad vid. et Medad, ejus spiritus prophetiae donum condonatur. Quorum » (τῶν LXX et τοῦ Eldad et Medad) « quasi haereditarij successores, ad Ptolemaeum Philad. — LXX sapientes-missi sunt (διὰ τὸ σύντομον, ἀντὶ LXXII) » etc. Auct. De mirabil. S. Script. βλ. καὶ ὄπισθ. §. ε. σημ. σελ. 273.

(ζ) Βλ. Fabric. Opuscula p. 123. καὶ Clerici Dissert. de LXXII. virorum synedr. κτλ.

ανοί. Καθότι καὶ αὐτὴ ἡ κατὰ τοὺς πλείστους κώδηκας μόνων Ο γραφὴ τοὺς ΟΒ πάντως ἐκφράζει, καθὼς καὶ τὸ Ο, ἐπὶ τῶν *υἱῶν τοῦ Γεδεὼν* (Κριτ. η, 30) δηλοῖ τούτους ὄντας κυρίως ΟΑ (Κριτ. Θ, 1—5, 56). Καὶ τοὺς ἐν Αἰλεὶμ Ο, γραφομένους φοίνικας (Ἐξόδ. ιε, 27), ΟΒ λέγει σαφηνίζων ὁ Ὠριγένης (Ὁμιλ. κζ. εἰς Ἀριθμ.). Πρόσθες καὶ τοὺς (ἐν Κριτῶν α, 7) *ἑβδομήκοντα βασιλεῖς*, οὓς ὁ Ἰώσηπος *ἑβδομήκοντα δύω* γράφει (Ἀρχ. ε. β. §. 2), ἀπαρτίζων τὴν συνήθη ἔλλειψιν τοῦ ἀριθμοῦ (α). Τοιαῦτα δέ τινα καὶ ἄλλα διωμολόγησε καὶ αὐτὸς Ὅδιος ἐν ἀρχῇ τοῦ κεφαλαίου (§. α). Καὶ τὸ πρᾶγμα σύνηθες παρὰ τοῖς ἀρχαίοις. Πᾶς κεφαλαιώδης, ἢ στρογγύλος ἀριθμὸς (οἷον, ὁ 70 κτλ.) ἐκφράζει πολλάκις καὶ τὸν σύνεγγυς, ἐκ μιᾶς ἢ δύω μονάδων προσηυξημένον (οἷον τὸν 71 καὶ 72), ἀποσιωπωμένων δηλαδὴ τῶν μονάδων διά τε τὸ σύντομον, καὶ ὡς ἐλαχίστην ποιουσῶν περὶ τὸν κεφαλαιώδη διαφοράν, καὶ μάλιςα ὅταν γίνηται λόγος περὶ πραγμάτων, ἢ προσώπων ἐπισήμων, ἢ γνωστῶν (β). ΟΒ, τέλος, ἐνόουν τοὺς μαθητὰς καὶ ὅσοι τῶν Πατέρων ἀνέγνωσαν καὶ ἔγραψαν μόνον τὸν στρογγύλον ἀριθμόν, τὸν Ο· καὶ μάρτυς πάλιν Ὠριγένης ἐκεῖνος, ὅστις καὶ ΟΒ λέγει τούτους (Ὁμ. κζ, εἰς Ἀριθμ.), ὡς προείρηται,

(α) Πρόσθες καὶ τὰ τοῦ Ἐπιφανίου, «Καὶ γὰρ ἐν τῇ ἐρήμῳ 72, στελέχων φοινίκων ὑπαρχόντων, 70 ἡ Γραφὴ ὠνόμασε· (διὰ τὴν συντομίαν). Καὶ εἰς τὸ ὄρος προσκεκλημένων 70, 72 εὑρίσκονται σὺν τῷ Ἐλδὰδ καὶ Μωδάδ. Καὶ 72 ἑρμηνεύσαντας (ἴσ. γρ. οἱ ἑρμηνεύσαντες) ἐπὶ Πτολεμαίου· διὰ δὲ τὴν συντομίαν, εἰώθαμεν λέγειν τῶν 70 τὴν ἑρμηνείαν» (περὶ Πίστεως §. 4. σελ. 1081. τ. α). Ἐνταῦθα μνημονευτέον, ἴσως καὶ τοῦ Φίλωνος (βίῳ Μωσ. α. σελ. 111. Μ.), ὅστις (ὡς Ἰουδαῖος) τὰς μὲν ιϐ πηγὰς τῆς Ἐλεὶμ εἰς τὰς ιϐ φυλὰς ἀλληγορεῖ, τοὺς δὲ Ο, φοίνικας εἰς τοὺς ἐξ Ἰακὼϐ γενάρχας τοῦ σύμπαντος ἔθνους» (οἵτινες ὅμως κατὰ τοὺς Ο, ἀριθμοῦνται 75· Γενέσ· μϛ. 27· ἀλλὰ περὶ τούτων ἀλλαχοῦ).

(ϐ) Βλ. Coteler. Patr. Apost. vol. 1. p. 77. καὶ 496. Οὕτω καὶ (Ἀριθμ. ια, 21) 600 χιλιάδες, ἀντὶ 600 + 3 χιλ. καὶ 550. (Ἀριθμ. α, 46). Ἐνίοτε δὲ τ' ἀνάπαλιν εὑρίσκεται ὁ στρογγύλος ἀριθμὸς ἀντὶ τοῦ ἐλλείποντος μονάδι μιᾷ, οἷον, ξθ, υἱοὺς τοῦ Γεδεὼν ἀπέκτεινεν ὁ Ἀϐιμέλεχ (Κριτ. θ, 5), καὶ οἱ φονευθέντες λέγονται Ο, (Κριτ. θ, 18). Τοιοῦτο καὶ τὸ «ὤφθη τοῖς ΙΒ» (α. Κορινθ. ιε, 5), ὁπότε ἦσαν ΙΑ, μόνον οἱ ἀπόστολοι (Βλ. καὶ ὄπισθ. Βιϐλ. Α. κεφ. κα, σελ. 616).

καὶ πάλιν Ο, περιεκτικώτερον (Ὁμ. ζ. εἰς Ἔξοδ.), ὡς καὶ Εὐσέβιος, καὶ ἄλλοι τῶν Πατέρων, ἐπιτομώτερον ἐκφραζόμενοι (α). Ὁ δὲ περὶ τὰς ἀρχὰς τοῦ β, αἰῶνος ἀκμάσας συγγραφεὺς τῶν τοῦ Κλήμεντος Ἀναγνωρισμῶν ΟΒ λέγει τοὺς μαθητὰς (Α. §. 40). Ὡσαύτως καὶ ὁ ἱερὸς Ἐπιφάνιος (ἀείποτε σχεδὸν) ΟΒ· (Αἱρέσ. κ. σελ. 50. καὶ Αἱρεσ. να. σελ. 428, 433. βλ. καὶ τόμ. β. σελ. 159, 160), καὶ Εὐσέβιος ὁ Ἐμεσσηνὸς (εἰς Λουκ. Ι.), καὶ ὁ ἱερὸς Αὐγουστῖνος (Εὐαγ. Ζητημ. βιβλ. β)· ἄλλους παρασιωπῶμεν. Συνομολογοῦσι τοῖς πατράσι καὶ περὶ τούτου πολλοὶ καὶ διάσημοι τῶν νεωτέρων σοφῶν, καὶ αὐτὸς ὁ ἐν πολλοῖς πολὺ πλέον Ὀδίου δυσπιςότερος Σουϊκῆρος, καλβινόφρων ἀνὴρ, ὅστις οὐ μόνον τοὺς μαθητὰς, ἀλλὰ καὶ τοὺς ἑρμηνεῖς τῶν Γραφῶν ΟΒ διακηρύττει (β).

§. ιη. Ἐκ τοῦ ἀριθμοῦ μετεπήδησεν ὁ κριτικὸς (παρακολουθῶν Ὀττιγγήρῳ, Θησαυρ. σελ. 109) καὶ εἰς τὰς παρά τισιν ἐψευσμένας, ἢ συγκεχυμένας ὀνομασίας τῶν Ο. Ἀλλὰ τί καὶ ταῦτα πρὸς τὸν Ἀριστέαν, [ὅστις διέγραψεν ἀκριβῶς τὰ ὀνόματα τῶν ἑρμηνευτῶν; Ἐψεύσθη ὁ Γοριωνίδης ὅλους ἱερεῖς τούτους ἐκλαβών·

(α) Εὐσέβ. Εὐαγ. Ἀποδ. γ. 2, (καὶ ταύτην τὴν Εὐσεβίου ῥῆσιν προβάλλουσιν οἱ μόνον Ο θέλοντες τοὺς μαθητὰς, Grotius, Calovius, Selden. de Synedr. II. p. 109, κτλ. μὴ προσχόντες εἰς τὸ σύντομον τῆς ἐκφράσεως). Βλ. καὶ Tertullian. adv. Marc. IV. 24. Εὐσέβ. καὶ Θεοφύλ. ἐν Σειρᾷ τῇ εἰς Λουκ. καὶ Γρηγ. Νύσσης βίῳ Μωσ. σελ. 213. Hieron: Ep. ad Fabiol. Mans. VI. κτλ. παρ' οἷς Ο, περιεκτικώτερον ἀριθμοῦνται καὶ οἱ οβ, ἀπόγονοι τοῦ Νῶε, καὶ οἱ πρεσβύτεροι τῆς γερουσίας, καὶ οἱ τοῦ Χριστοῦ μαθηταὶ, καὶ τούτων οἱ τύποι, οἱ φοίνικες τῆς Ἐλείμ. πρβλ. Baron. An. 33. βλ. καὶ ὄπισθ. §. ε. καὶ §. η. πρόσθες καὶ τὰ ἐφεξῆς· «Περιτευξόμεθα δὲ καὶ τοῖς Ο στελέχοις τῶν φοινίκων· γέγραπται γὰρ ὅτι μετὰ τοὺς ἁγίους ἀποστόλους ἀνέδειξεν ὁ Κύριος ἑτέρους Ο». (Κύριλλ. Ἀλέξ. εἰς Ἔξοδ. ιε, 27). Καὶ Γρηγόριος ὁ Νύσσης (αὐτόθ.) «Ο, δ' ἂν εἶεν φοίνικες οἱ κατὰ πᾶσαν τὴν οἰκουμένην, ἔξω τῶν ιβ, μαθητῶν, ἐπιχειροτονηθέντες ἀπόστολοι, τοσοῦτοι τὸν ἀριθμὸν ὄντες, ὅσους εἶναί φησιν ἡ ἱστορία τοὺς φοίνικας». Καὶ πάλιν ὁ ἱερώτατος Κύριλλος, περὶ τῶν Ο ἀνδρῶν, οὓς συνήγαγε Μωσῆς (Ἀριθμ. ια, 16—26) τὸν λόγον ποιούμενος, «Νοοῖντο δ' ἂν (λέγει) καὶ οἱ μετὰ Μωσέα διὰ Χριστοῦ πρὸς τὸ καθηγεῖσθαι λαῶν παρενηνεγμένοι, ὧν καὶ ἀπαρχαὶ καὶ πατέρες οἱ θεσπέσιοι μαθηταί» (εἰς Ἀριθμ. ια. βλ. Σειρ. εἰς τὴν Ὀκτάτευχ. σελ. 1236). κτλ.—(β) Suicer. Thesaur. T. I. v. Μαθητής. βλ. καὶ Calmet. Diction. v. Septente Discip.

ἀλλ' ὅτι μεταξὺ τούτων ἦσαν καί τινες (εἰ καὶ μὴ πάντες) ἱερεῖς, *τούτων δὲ τῶν ἱερέων πρεσβύτερος ὁ Ἐλεάζαρος*, τοῦτο παρεῖδεν Ὅδιος, ἀνωμολογημένον παρὰ τῷ Ἀριστέᾳ. (α). Ἐκ τούτου κινηθεὶς καὶ ὁ Γοριωνίδης, ἱερεῖς εἶπε τοὺς πάντας· καὶ τὸν Ἐλεάζαρον συνέχεεν ἀμαθῶς πρὸς τὸν ἐπ' Ἀντιόχου καὶ τῶν Μακκαβαίων ὁμώνυμον, ἱερέα κἀκεῖνον, ἀλλὰ πολὺ μεταγενέστερον. Οὕτως ἠπατήθησαν καὶ ἄλλοι δι' ἄλλας ὁμωνυμίας, οἷον τὴν τοῦ *πρεσβυτέρου Φίλωνος* (βλ. ὄπισθ. σελ. 131). Τὸν δὲ σοφώτατον πατέρα Ἀνατόλιον, ἔξελέ μοι, Ὅδιε, τοῦ ἀριθμοῦ τῶν, ὧν σατυρικώτερον μνημονεύεις! (Βλ. ὄπισθ. Βιβλ. Α. κεφ. ιβ. §. ϛ. σελ. 403).

Ἐρχόμεθα καὶ εἰς τὸν θεοδόχον Συμεών. (Ἐπειδὴ καὶ ταύτης τῆς ἁπλουστέρας ἐδράξατο παραδόσεως ἡ φιλαίτιος περιέργεια, κατὰ τὴν τοῦ μύθου βάτον, παντὸς τοῦ προστυχόντος ὁμοίως ἐπιλαμβανομένην, καὶ ὑφάσματος καὶ κρόκης λεπτῆς). Οὐ μόνον ὁ παρερμηνευθεὶς Κεδρηνὸς (βλ. ἀνωτέρ. §. ϛ.), καὶ οἱ λοιποὶ τῶν κατωτάτω χρόνων προσαριθμηθέντες βιβλιογράφοι, ἀλλὰ καὶ ἄλλος λίαν ἀρχαιότερος, τρίβων περὶ τὰς θείας Γραφὰς, ὁ Ζιγαβηνὸς Εὐθύμιος, ἕνα τῶν Ο, λέγει τὸν Θεοδόχον (β). Καὶ Νικηφόρος ὁ Κάλλιστος τὸ μακροβιώτατον τοῦ Συμεῶνος ἱστορεῖ· καί τοι μὴ λέγων αὐτὸν καὶ ῥητῶς ἕνα τῶν Ο (γ). Ἐσκανδάλισε τὸν ὀρθὸν λόγον τοῦ κριτικοῦ τοσαύτη βιοτῆς ἀνθρωπίνης παράτασις (εἰς ἔτη περίπου 300!), καὶ εἶχε τὴν ἐξουσίαν, εἴπερ ἤθελεν, ἀποδοκιμάσαι τὴν γνώμην, ἀλλ' ὤφειλεν ὅμως ἵνα καὶ δικαιότερος φανῇ περὶ τοὺς ἱστορήσαντας, ἐξετάσας, πόθεν οὗτοι κινη-

(α) Σελ. 21. ἐκδ. Hody. Βλ. καὶ ἐφεξῆς κεφ. ϛ. §. ιη. σημ. Παρ' Ἰωσήπῳ δὲ ὁ αὐτὸς οὐκ Ἐλεάζαρος ἀλλ' Ἐλισσαῖος γράφεται (Ἀρχ. ιϐ. ϐ. §. ια. σελ. 594. καὶ not. Hav.), ἀλλ' ἡμάρτηται πάντως ἡ παρ' Ἰωσήπῳ γραφή. Ἐλεάζαρος ἀναγινώσκεται οὐ μόνον εἰς τοὺς διαφόρους Ἀριστέου κώδηκας, ἀλλὰ καὶ παρὰ τῷ Γοριωνίδῃ, καὶ παρ' ἄλλοις, ὅσοι τοῦ ὀνόματος ἐμνημόνευσαν.

(ϐ) «Κατὰ τὸ ῥῆμά σου» (Λουκ, β. 29) « τουτέστι, καθὼς εἴρηκάς μοι πάλαι διαποροῦντι περὶ τοῦ μυστηρίου τῆς σῆς ἐνανθρωπήσεως. Ὁ γὰρ Συμεὼν οὗτος εἷς ἦν τῶν Ο, » κτλ. (Εὐθύμ. Ζιγαϐ. Σχόλ. αὐτ.).

(γ) Νικηφ. Ἐκκλ. ἱστορ. Α. ιβ. καὶ Μελετ. Ἐκκλ. ἱστορ. Τ. Α. σελ. 99. πρϐλ. καὶ Εὐγεν. Ἑκατονταετηρ. §. 17. σελ. 19.

θέντες ἀπεδέξαντο τὴν δοκοῦσαν τοιαύτην ὑπερβολήν· οὕτω γὰρ ἂν ἔβλεπεν αὐτοὺς ἀφελέστερον μὲν ἴσως ἐκφρασθέντας, ἀλλὰ μήτε μοχθηρόν τινα καὶ βλάσφημον, μήτε παντάπασι παχὺν καὶ γρασώδη ληρήσαντας λῆρον. Ἐγνώριζον ἐκεῖνοι πολλῶν καὶ τότε κατ᾽ αὐτοὺς (καθὼς καὶ πάλαι (α), πάντως δὲ καὶ ἐπ᾽ αὐτοῦ Ὀδίου, καὶ νῦν καθ᾽ ἡμᾶς) μακροχρονιωτάτων ἀνθρώπων κατὰ τόπους παραδείγματα, ζώντων ἐνίοτε κατὰ φύσιν καὶ ἐπέκεινα τῶν 150 ἐνιαυτῶν (β). Οὐδὲν οὖν παράδοξον εὕρισκον, εἰ καὶ τοῦ δικαίου τούτου καὶ θεοφιλοῦς ἀνδρὸς ὁ βίος ἐδιπλασιάσθη, κατὰ θείαν εὐδοκίαν καὶ βούλησιν. Ζῶντας διὰ τέλους μετέστησεν ὁ Θεὸς τὸν εὐαρεστήσαντα Ἐνὼχ, καὶ τὸν Ἠλίαν· καὶ αὐτὸν δὲ τὸν δίκαιον Ἰὼβ (πέμπτον μὲν ἀπὸ τοῦ 175 ἔτη ζήσαντος Ἀβραὰμ, τρίτον δὲ ἀπὸ τοῦ 110 ἔτη ζήσαντος Ἰωσὴφ γενόμενον) ηὐλόγησε καὶ διὰ τῆς μακροβιότητος, ὥστε ἔζησε πλέον ἢ διπλάσιον τοῦ προπάτορος, ἔτη 248: (Ἰὼβ μβ. 16: κώδ. Ἀλεξ. καὶ Σχόλ. Ῥωμ.). Παρομοίως, ὑπελάμβανον, ὅτι ἐπεδαψιλεύθη καὶ τῷ δικαίῳ Συμεὼν διπλασία τῆς φυσικῆς ζωῆς παράτασις, ὅπως ἴδῃ οὐχὶ υἱοὺς

---

(α) Βλ. Φλέγοντ. Τραλλιαν. περὶ μακροβ. κεφ. γ, δ, ζ. πρβλ. Λουκιαν. Μακρόβ. καὶ Λαέρτ. Α, ι. 4: καὶ Στράβων. Χρηστομάθ. ιε: καὶ Πλίν. Ζ, κτλ.

(β) Τῷ 1827 ἔζη ἐν Ῥόδῳ γυνὴ (Περμαθούλα) ἐτῶν 149. Ἐν δὲ τῇ νήσῳ Σάμῳ τῷ 1829, ἔζων δύω γυναῖκες, ἡ μὲν, Γραμματικὴ καλουμένη, ἐτῶν 180, ἡ δὲ, Ζωὴ, ἐτῶν 160 (ταύτης οἱ ἀπόγονοι μέχρις ζ, βαθμοῦ προελθόντες, ἀπεξενώθησαν τῆς συγγενείας, καὶ συνῆλθον εἰς γάμου κοινωνίαν)· βλ. Γενικ. ἐφημερ. τῆς Ἑλλάδος, ἀριθ. 47. ἔτει Δ. σελ. 189. Ἐν δὲ τοῖς νεκρολογικοῖς Καταλόγοις τῆς Ῥωσσίας εὑρίσκονται πολλάκις ἄνδρες, ζήσαντες ἐπέκεινα τῶν 160· ὡσαύτως καὶ κατὰ τὴν Ἀγγλίαν, καὶ ἀλλαχοῦ τῆς Εὐρώπης, περὶ ὧν αἱ ἐφημερίδες· (πρβλ. καὶ Jac. Capell. observ. in Psalm. XC.). Ὁ δ' ἐπὶ μυρίᾳ σοφίᾳ τε καὶ φιλανθρωπίᾳ καὶ πρακτικῇ θεοσεβείᾳ ἄληστον τὴν μνήμην καταλιπὼν Οὐφελάνδος ὁ ἰατρὸς, ἐν τῇ αὐτοῦ Μακροβιωτικῇ, ἐσημείωσε πολλὰ μακροβίων παραδείγματα. οἷον, Ἐῤῥίκον Ἰεγκίνην ἐν Ὑόρκῃ τῆς Ἀγγλίας τελευτήσαντα τῷ 1670, ἐτῶν 169· καὶ Θωμᾶν Πάῤῥην ἐν Λονδίνῳ, τῷ 1635, ἐτῶν 153: καὶ Ἰωσὴφ Σύῤῥιγκτον, Νοβεργὸν, τῷ 1797, ἐτῶν 160, κτλ. Ἄλλους μακροβιωτάτους ἱστόρησεν ὁ Μαλτέβρουνος· οἷον, Πέτρον Τσαρτὰν ἐν Βανάτῃ Τόμιος (Τεμισβὰρ), ἐτῶν 185. l. Ῥοβῖνον, ἐτῶν 172, ὅστις εἶχε γυναῖκα ἐτῶν 164: καὶ τὸν νεώτατον υἱὸν, ἐτῶν 117: Maltebrun Précis de la Géogr. T. 2. p. 564.

υἱῶν (ὡς ὁ Ἰὼβ), ἀλλὰ τὴν ἐγγίζουσαν ἐπὶ γῆς ἀνατολὴν τοῦ αἰωνίου φωτὸς τῶν ἐθνῶν, καὶ πληροφορηθῇ τὴν ἐκπλήρωσιν τῆς ἐφ᾽ ᾗ πρῴην ἑρμηνεύων διηπόρει προφητείας (τῆς, « Ἰδοὺ ἡ παρθένος » κτλ.), ἐναγκαλισθεὶς ὑπέργηρως *τὸν παλαιὸν τῶν ἡμερῶν*, αὐτὸν δηλαδὴ τὸν προφητευθέντα τόκον τῆς Παρθένου καὶ Σωτῆρα τοῦ κόσμου. Τοιαῦτά τινα (καθὼς φαίνεται) διενοοῦντο οἱ ἄνδρες ἐκεῖνοι· καὶ ἔνθεν μὲν ἔβλεπον λαμπρὸν τὸν εἰς τοῦτον καὶ μόνον τῶν δικαίων θεσπισθέντα θεῖον ἐκεῖνον χρησμόν· « *Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου μὴ ἰδεῖν θάνατον, πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου* » (Λουκ. β. 26). Ἑτέρωθεν δὲ πάλιν εὕρισκον καὶ Συμεῶνάς τινας, καὶ Σίμωνας, μεταξὺ τῶν παρὰ τῷ Ἀριστέᾳ καταλελεγμένων ἑρμηνευτῶν τῆς θείας Γραφῆς. Ἐδέχοντο λοιπὸν ἁπλοϊκῶς τὴν (ὡς ἔοικε) παλαιόθεν καταβᾶσαν ταύτην φήμην, ὡς ἀποδιδοῦσαν, τρόπον τινα, καὶ τὸν λόγον, δι᾽ ὃν ἔζησεν ὁ Συμεὼν εἰς γῆρας βαθὺ, « *προσδεχόμενος (τὴν ἐπηγγελμένην) παράκλησιν τοῦ Ἰσραὴλ* ». Ἐν δὲ τοῖς θείοις Εὐαγγελισταῖς οὐδεμία γέγραπται ἰδιάζουσα αἰτία, δι᾽ ἣν ἐξαιρέτως ὁ μακάριος ἐκεῖνος πρεσβύτης ἠξιώθη τηλικούτου χρηματισμοῦ, εἰ μὴ μόνον ὅτι « *δίκαιος ἦν καὶ εὐλαβὴς, καὶ πνεῦμα Θεοῦ ἦν ἐπ αὐτόν* ». ἀλλ᾽ οὐδὲ τῶν ἐτῶν αὐτοῦ γίνεται μνεία· οὐδὲ τῶν ἀρχαίων τῆς Ἐκκλησίας Πατέρων οὐδεὶς ἐμνημόνευσε τοῦ Θεοδόχου, ὡς ἑνὸς τῶν Ο γενομένου, γηραιὸν δ᾽ ἁπλῶς καὶ πρεσβύτην, ἡμερῶν πλήρη, λέγουσι τοῦτον τὸν ὀλβιώτατον τῶν ἐπὶ τῆς γῆς γερόντων γενόμενον καὶ πνευματέμφορον πολιόν· οἱ δὲ τοῦτον εἶπον καὶ ἱερέα (α). Τῶν δέ τινες νεω-

---

(α) Ὁ Μ. Ἀθανάσ. (τ. α. σελ. 388. Com.)· « Ἱερέα καὶ προφήτην », ὁ Ἐπιφάνιος (τόμ. β. σελ. 250), καὶ Κύριλλος ὁ Ἱεροσολύμων (λόγῳ εἰς τὴν Ὑπαπαντὴν), καὶ Μεθόδιος ὁ Πατάρων (λόγ. εἰς τὴν Ὑπαπαντ.), καὶ Σωφρόνιος ὁ Ἱεροσολύμ. (λόγ. αὐτ.), καὶ Λέων ὁ σοφὸς (αὐτ.)· οὕτω καί τινες τῶν ἱερῶν ὑμνῳδῶν (Φεβρ. 2, ἐν τῇ λιτῇ, κτλ. καὶ Φεβρ. 3. καν. ᾠδ. α), καὶ Ἰωσὴφ ὁ Βρυέννιος (ἐπιστ. β. σελ, 136. τόμ. 3. ἐκδ. Εὐγεν.)· Ἀλλ᾽ ὁ ἱερὸς Ἀμφιλόχιος οὐ λέγει τοῦτον ἱερέα (εἰς τὴν Ὑπαπαντ.), οὐδ᾽ Εὐθύμ. ὁ Ζιγαβηνὸς, οὐδὲ Θεοφύλακτος· καὶ Φώτιος ὁ σοφώτατος « ἱερεὺς (λέγει) οὐκ ἦν ὁ Συμεὼν. ἱερέως δ᾽ ὑψηλότερος » (Ἀμφιλοχ. ιδ).

τέρων καὶ πρόεδρον αὐτὸν εἶπον τοῦ μεγάλου Συνεδρίου· ἄλλοι δὲ πάλιν υἱὸν τοῦ περιφήμου Ἑλλήλου, ἢ Χιλλήλου (Hillel), καὶ πατέρα τοῦ τὸν Παῦλον διδάξαντος εὐκλεοῦς Γαμαλιήλου (α). Πάντα δὲ ταῦτα δόξαι τυγχάνουσιν ἁπλαῖ καὶ εἰκοτολογίαι. Ὁ δὲ Γαλατῖνος συνέχεε τὸν Θεοδόχον Συμεῶνα καὶ πρὸς τὸν ἐπ' Ἀλεξάνδρου (μᾶλλον δ' ἐπὶ Πτολεμαίου τοῦ Λάγου) Συμεὼν, (ἢ Σίμωνα), τὸν *Δίκαιον* τὸ ἐπώνυμον (β). Καὶ ὅμως περὶ τούτων ἁπάντων ὁ κριτικὸς οὐδόλως ἠγανάκτησεν, οὐδὲ λόγῳ γοῦν ἐπεμνήσθη. Μόνον τῆς παρὰ τῷ Κεδρηνῷ μακροβιότητος τὸ παράδοξον παρώξυνε τὸν ἄνδρα (καὶ τοῦτο μάλιστα, διότι συνεπάγεται καὶ τὴν μνήμην τῶν Ο!). Ἀλλ' εἴτε ἦν ὁ Συμεὼν εἷς τῶν ἑρμηνέων τῆς Γραφῆς, εἴτε καὶ οὐχὶ, ποίαν ἔχει τοῦτο σχέσιν πρὸς τὸν πολεμούμενον ἀριθμόν; μὴ γὰρ οὐκ ἂν ἦσαν ἐκεῖνοι Ο, καὶ ἀπόντος τοῦ Θεοδόχου; Παρεχρόνισαν, ἴσως, οἱ περὶ τὸν Ἰσπάλεως Ἰσίδωρον νομίσαντες ἕνα τῶν Ο καὶ τὸν (ὡς εἰκάζουσιν) ἐπὶ Πτολεμαίου τοῦ Α, Εὐεργέτου (40 ἔτει μετὰ τὸν Φιλάδελφον) ἀκμάσαντα Ἰησοῦν τὸν υἱὸν Σειράχ. Ἐλήρησαν οἱ Ῥαββῖνοι συναριθμήσαντες μετὰ τῶν Ο, καὶ τὸν προφήτην Δανιήλ· ἀλλὰ τί καὶ ταῦτα συμβάλλουσι πρὸς τὸν ἀριθμόν; Τὸν δὲ τραγῳδοποιὸν Ἰεζεκιῆλον ἕνα γενέσθαι τῶν Ο, καὶ λόγος πείθει καὶ χρόνος, καθὼς ἔκρινεν Οὐόσσιος εἰκάζων οὐκ ἀπίθανα (βλ.

---

(α) Βλ. Wetsten. in N. T. 1. p. 665. — Calmet Diction. dela Bibl. t. 3. p. 559: — Schleusn. Lex. N. T. λ. Συμεών· πρβλ. καὶ Εὐγεν. Ἑκατοντ. ἐνθ. ἀνωτ. Τὸν δὲ Χίλλελον, ἢ Ἕλληλον (οὗ τοὺς μαθητὰς ὁ μάρτυς Ἰουστῖνος εἶπεν Ἑλληλιανούς. Διαλόγ. π. Τρύφων.) Πολλίωνα καλεῖ ὁ Ἰώσηπος (Ἀρχ. ιε, 10. §. 4. πρβλ. καὶ Hotting. Thesaur. Phil. p. 42, καὶ 106). Ὁ Ἐπιφάνιος (αἱρ. λ. σελ. 128) μνημονεύει καὶ ἄλλον Ἑλλήλ, ἀπόγονον τοῦ ἐπὶ τῶν Ἀποστόλων Γαμαλιήλου, πατριάρχην Ἰουδαίων, χριστιανίσαντα ἐν Τιβεριάδι, κατὰ τοὺς χρόνους τοῦ Μ. Κωνσταντίνου.

(β) Βλ. Drusij Annot. ad Ev. s. Luc. 11, 25· Ἀναφέρει δὲ ὁ Δρούσιος καὶ τὸν μακάριον Ἱερώνυμον, ὡς ἐκλαβόντα τὸ δίκαιος ἴδιον ἐπώνυμον τοῦ θεοδόχου Συμεῶνος ἐν τοῖς ἑφεξῆς « Symeon Justus in Evangelio loquitur » (Hier. epist. c. 46, καὶ adv· Helvid. c. 4). Ἀλλ' ἀδίκως ψέγεται ὁ Πατήρ· διότι τὸ δίκαιος εἶπεν, ἴσως, ἐπιθετικῶς, ὡς καὶ πᾶς τις ἂν εἴποι ἀκινδύνως, Συμεὼν ὁ δίκαιος, ἢ ὁ δίκαιος Συμ. κατὰ τὸ εὐαγγελικὸν « ἀνὴρ δίκαιος ».

ὄπισθ. κεφ. γ. §. κγ. σελ. 139.) ἀλλ᾽ ὁ κλεινὸς Ὅδιος σφετερισθεὶς (ὡς ἔοικεν) αὐτὸς τὸ δικαίωμα τοῦ πάντοτε περὶ ὧν ἂν βούληται πιθανολογεῖν, ἀπαιτεῖ παρὰ τῶν ἄλλων πάντα κύρια καὶ βέβαια καὶ τετράγωνα! Καὶ ποίαν αὐτὸς ἔφερεν ἀναντίῤῥητον ἀπόδειξιν ὅτι ὁ Ἰεζεκιῆλος οὐχ ὑπῆρξεν εἷς τῶν Ο; ἢ ποίαν πάλιν παθαίνει βλάβην ὁ ἀριθμὸς τῶν ἑρμηνευτῶν, εἴπερ καὶ ὁ τραγῳδοποιὸς Ἰεζεκιῆλος οὐκ ἦν εἷς ἐξ αὐτῶν;

§. ιθ. Τιμῶμεν τοὺς περὶ τὸν Ἐΐνσιον καὶ Σκαλίγηρον, καὶ τοὺς ἄλλους οὓς μνημονεύει σοφοὺς, ὡς ἀξιοτίμους ἐν πᾶσιν οἷς ἐλάλησαν ὀρθῶς. Ἀλλὰ καθὸ μάρτυρας, ὁποίους εἰσεκάλεσεν αὐτοὺς ὁ κριτικὸς, παραγράφομεν τοὺς ἄνδρας, *καὶ τούτοις αὐδῶμεν, καὖθις ἀπαυδῶμεν, ἐξίστασθαι τῷ χορῷ τῆς ἀληθείας*! Οὐδὲν εἶπον οὐδ᾽ οὗτοι λογικώτερον, οὐδ᾽ ἀληθέστερον Ὁδίου. Πάντα δ᾽ ὅσα καὶ εἶπον περὶ τῶν Ο, ἀντέγραψε πάλιν αὐτὸς ὁ Δόκτωρ, ἄλλα ἀλλαχοῦ, συνείρων καὶ συνεξυφαίνων πρὸς τὰς ἰδίας ἑαυτοῦ θεωρίας· ὥστε τούτων ἀναιρουμένων ὑπὸ τῆς ἀληθείας, οἴχονται κἀκεῖνα. Εἰ δ᾽ ἀνδρῶν ἐνδόξων γνώμας γνώμαις ἀντιτακτέον περὶ τοῦ προκειμένου, τίνες οὗτοι οἱ χθιζοὶ, καὶ μηδὲ τὰς φρένας πάθους καθαρεύοντες Ἐΐνσιοι καὶ Σκαλίγηροι, πρὸς τὸν μακάριον θίασον τῶν πάλαι πατέρων ἡμῶν, οἷς παροπηδοῦσι καὶ ἄλλοι τοσοῦτοι τῶν νεωτέρων σοφῶν; « *Τούτοις τοῖς ἀνδράσι, τίς ξυμβήσεται* »; « *τίν᾽ ἀντιτάξεις*, Ὅδιε; *τίς φερέγγυος* »; Μυρία βωμολόχα παραδείγματα μετὰ πολλῆς ὑπομονῆς συνεσώρευσεν ὁ κριτικὸς, ἀποδεικνύων δῆθεν καὶ ἐκ τούτων ἄκρατον μῦθον τὸν ἀριθμὸν τῶν ἑρμηνευτῶν. Ὡς ἂν εἴπερ ἦν ἀδύνατος ἡ ὕπαρξις ἑβδομηκονταδικῆς ἀληθείας, διότι φέρονται καί τινα ψεύδη περιβεβλημένα τοῦτον τὸν ἀριθμόν! Προφέρει τὴν εἰς Ο, ἢ ΟΒ ἔθνη καὶ χώρας διαίρεσιν τῆς οἰκουμένης, ὡς πλάνην τῶν Αἰγυπτίων, οἷς συγχρωτισθέντες δῆθεν οἱ Ἰουδαῖοι, καὶ ταύτην καὶ πᾶσαν καθόλου τὴν περὶ τὰ ἑβδομήκοντα πτοίαν καὶ φρίκην ἐνόσησαν, παθόντες οἷον ἑβδομηκοσταῖον πυρετόν! Ἀλλὰ, κατὰ ταῦτα, καὶ Στράβων λοιπὸν καὶ Ἀγαθήμερος, ἐξ Αἰγυπτίων πλανη-

θέντες, εἶπον τὸ μῆκος τῆς γῆς « *σταδίων μυριάδων ἑπτὰ* », ἤτοι *χιλιάδων ἑβδομήκοντα*· καὶ πάλιν, « *ἑβδομηκοντάκις δέκα* (700) ςαδίων, ἑκάςην τῶν μοιρῶν τῆς περιμέτρου τῆς γῆς » (α). Ζημία! ὅτι διέφυγον καὶ ταῦτα τὴν μνήμην τοῦ Ὀδίου· πολλὰ δὲ καὶ ἄλλα ἠδύνατο προσθεῖναι παραδείγματα τῆς εἰς τοὺς Ἕλληνας ἐκ τῶν Αἰγυπτίων κρατησάσης ἑβδομηκοστολογίας ἐπίσημα, καὶ γεωγραφικὰ καὶ ἱστορικὰ, καὶ αὐτοὺς, εἴπερ ἤθελε, τοὺς Ο λεγομένους υἱοὺς τοῦ Ἡρακλέους, καὶ τοὺς Ἀργοναύτας, ὁμοίως Ο κἀκείνους ἐκ τῶν συγγραφέων συναγομένους (β). Τῶν δὲ πάλιν ΟΒ δείγματα εἶχε καὶ ἄλλα, καὶ τὰ κήτη τῆς ἐρυθρᾶς θαλάσσης ὄντα *πηχῶν ΟΒ*! (γ). Ἀλλ᾽ ἀφέντες τοὺς λήρους, ἐρωτῶμεν τοὺς περὶ τὸν Ὄδιον, πόθεν ἐπληροφορήθησαν, ὅτι πρῶτοι παῖδες Αἰγυπτίων ἐφαντάσθησαν Ο τὰ ἔθνη καὶ τὰς χώρας τῆς Οἰκουμένης; Πόσα δὲ πάλιν αὐτοὶ, φροντίσι σοφωτέραις εὑρόντες, ἐξηκρίβωσαν ἀτρεκῶς καὶ βεβαίως καὶ ὡρισμένως τὰ πρῶτα γεγονότα καὶ πρεσβύτατα τῶν ἐθνῶν; Ἢ τί ἄλλο καὶ οὗτοι, καὶ πᾶς τις ἄλλος (ἐφ᾽ ὅσον σωφρονεῖ) δύνανται περὶ τούτου φρονῆσαι, εἰ μὴ ὅ,τι διδάσκει τῆς τοῦ ἀνθρωπίνου γένους καθολικῆς καὶ πανεθνοῦς γενεαλογίας ὁ πρωτόγραφος καὶ ἀρχικώτατος κώδηξ, ἡ θεία Γραφή; Αὕτη τοίνυν παραδίδωσιν, ὅτι τοῦ δευτέρου τῶν ἀνθρώπων γενάρχου καὶ ἐθνοπάτορος Νῶε οἱ μετὰ τὸν κατακλυσμὸν γεννηθέντες ἔγγονοι, κατὰ διαδοχὰς αὐξηθέντες, ἐγένοντο πάντες ΟΒ, τὸν ἀριθμὸν, καὶ τοσούτων φυλῶν ἀρχηγέται· γενεαλογεῖ δὲ τούτους ἡ Γραφὴ καὶ ὀνομαστί, « *κατὰ τὰς γενέσεις αὐτῶν, καὶ τὰς φυλὰς αὐτῶν* »· καὶ προστίθησι, τέλος, ὅτι « *ἀπὸ τούτων διεσπάρησαν τὰ ἔθνη ἐπὶ τῆς γῆς μετὰ τὸν κατακλυσμόν* (δ). Ἡ δὲ διασπορὰ χρονολογεῖται τῷ 539 (ἢ 541) ἔτει μετὰ τὸν

---

(α) Βλ. Στράβ. β. 106, καὶ Ἀγαθήμ. β. α. καὶ Σχόλ. (ἐν Συλλογῇ τῶν ἐν ἐπιτομ. γεωγρ. τόμ. α. σελ. 168). πρβλ. καὶ Fabric. Opuscula p. 130.

(β) Βλ. Heyne Observat. ad Apollodor. Biblioth. vol. 2. p. 73, καὶ Fabric. l. c. p. 132.

(γ) Χρηστομάθ. ἐκ Στράβων. ιε.

(δ) Γενέσ. ι. πρβλ. Ἐπιφ. τ. α. σελ. 6, 7. καὶ σελ. 288, καὶ τόμ. β. σελ.

κατακλυσμὸν ἐπὶ τοῦ (πέμπτου ἀπὸ Νῶε) Φαλὲγ (ὃ σημαίνει μερισμόν)· « *Ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ* » (Γενέσ. I.25.). Καὶ μέχρι μὲν τότε «*ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσι*» (Γεν. ια, 1). Τότε δὲ διὰ τὴν πυργοποιΐαν «*συνέχεεν αὐτῶν τὴν γλῶσσαν Κύριος ὁ Θεός, καὶ διέσπειρεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς*» (Γενέσ. ια, 8). Ἐντεῦθεν ἡ ἀρχαία παράδοσις διεῖλε τὰς γλώσσας κατὰ τὸν ἀριθμὸν τῶν ἕως τότε πληθυνθέντων ἀπογόνων τοῦ Νῶε, ὧν τὰς φυλὰς οϐ ἀπηρίθμησεν ἡ Γραφή (α). Νεώτεροι χρονολόγοι ἀντιλέγουσιν ἐν μέρει πρὸς ἀλλήλους περὶ τῆς ἀριθμητικῆς ἀκριβείας τῶν ἀρχαίων ἐκείνων γλωσσῶν καὶ γενῶν (β)· καὶ παρά τισι δὲ τῶν ἀρχαιοτέρων «τὸ

---

116 : *Σύγκελ. Χρονογρ. σελ.* 84, *καὶ Χρονικ. Πασχαλ. σελ.* 45, *καὶ Ἀνώνυμ. Χρονολ. ἐν προιμ. τοῦ Μαλαλ. σελ.* 11. Bon. — *Κεδρην. κτλ.*

(α) « *Πέμπτῃ τοίνυν γενεᾷ ἀπὸ Νῶε κατὰ διαδοχὴν τῶν παίδων παῖδες γεγόνασιν οϐ, τὸν ἀριθμὸν, ἐν κόσμῳ ἀρχηγέται καὶ κεφαλαιῶται* » (*τουτ.* κεφαλαὶ φυλῶν, φύλαρχοι, ἐθνάρχαι· *κατὰ τὸ* κεφαλαιῶται *ἐπλάσθη καὶ τὸ ἰταλικὸν τῆς συνηθ.* Καπιτάνιοι, *καὶ* Κάποι) « *κτίζουσι δὲ τὴν πυργοποιΐαν· — καὶ οὐκ ηὐδόκησεν ὁ Θεὸς ἐπὶ τῷ ἔργῳ τῆς αὐτῶν ἀνοίας· διεσκέδασε γὰρ αὐτῶν τὰς γλώσσας, καὶ ἀπὸ μιᾶς εἰς οϐ διένειμε, κατὰ [τὸν] τῶν τότε ἀνδρῶν (τῶν κεφαλαιωτῶν) ἀριθμόν* » *κτλ.* (*Ἐπιφ. τόμ. α. σελ.* 6). *πρβλ. Κλήμ. Στρωμ.—Εὐσέβ.*—S. August.—Lactant.—Hieron. in Psalm. XLIII. p. 123. Tom. 4.—Philastr. Haer. 63. — Pacian. epist. 2, adv. Novat. (*ὅπου ἀντὶ* CXX *διορθοῦσι* LXX *γλώσσας*), *καί τι παλαιοῦ χειρογράφου ἀπόσπασμα, ὅπου ἀριθμοῦνται τὰ οϐ, ἔθνη, παρὰ* Coteler. Patr. Ap. vol. 1. p. 513.

(β) Βλ. Petav. Animad. ad Epiphan. p. 6. *τ.* 2. Ἡ *ἰσχυροτέρα τῶν νεωτέρων τούτων πρὸς τὸν οϐ, ἀριθμὸν ἀντίῤῥησίς ἐστιν ἡ ἐφεξῆς·* Ἐπειδὴ (*λέγουσιν*) *ὁ Φαλὲγ* (*ἐφ' οὗ διεμοιράσθησαν τὰ ἔθνη*) *ἐγεννήθη ἑκατὸν ἐνιαυτοὺς μετὰ τὸν κατακλυσμὸν* (*κατὰ τὸ ἑβραϊκὸν, κατὰ δὲ τὴν ἀκρίβειαν τῶν* Ο, *ἔτει* 530)· *ὑπάρχει λοιπὸν βέβαιον, ὅτι οἱ τοῦ* Νῶε *ἀπόγονοι ἦσαν τότε πολλῷ πλείονες τῶν οβ,* (*ὅσοι ἀριθμοῦνται πρὸ τῆς πυργοποιΐας,* Γενέσ. *κεφ.* I.), *ἐπομένως δὲ καὶ αἱ τούτων διάλεκτοι πολλῷ πλείονες τῶν οβ.* (Jac. Capellij Observat. in Genes. c. XI. 10). Καὶ *ὅμως παρατηροῦμεν ὅτι, ἐν* Γεν. I. 26, *συναριθμεῖται καὶ ὁ Φαλὲγ μετὰ τῶν ἐγγόνων τοῦ* Σήμ· *ὡσαύτως καὶ ὁ ἀδελφὸς αὐτοῦ* Ἰεκτὰν, *καὶ οἱ τούτου υἱοὶ ιγ, καὶ οὕτω συμπληροῦνται οἱ οβ, ἀπόγονοι τοῦ* Νῶε. Ἐν *ᾧ δὲ καταλέγονται οἱ υἱοὶ τοῦ* Ἰεκτὰν *πρὸ τῆς συγχύσεως, αὐτοῦ τοῦ Φαλὲγ οὐδεὶς υἱὸς ἀριθμεῖται ἐν τῷ εἰρημένῳ τῆς* Γενέσεως *κεφαλαίῳ· φανερὸν, διότι τότε οὔπω εἶχε τεκνώσας οὐδένα.* Τὸν *δὲ* Ῥαγαῦ *ἐγέννησε μετὰ τὴν σύγχυσιν τῶν γλωσσῶν* (Γεν. *ια*, 18, 19). Πρόσθες, *ὅτι ἡ ἀλλογλωσία καὶ διασπορὰ τῶν ἐθνῶν χρονολογεῖται ἔτει ἀπὸ κτίσεως κόσμου*

περὶ τῶν οϐ γλωσσῶν ὡς ἀγνοούμενον ἐπεζητεῖτο» (Χρονικ. Πασχάλ. σελ. 46), ἀλλ᾽ ὅμως οὐδέποτ᾽ οὐδεὶς τῶν σεϐομένων τὴν τῆς θεοπνεύστου Γραφῆς ἱστορίαν κατεχλεύασε τὴν ἐξ αὐτῆς προφανῶς ἐκπηγάσασαν παράδοσιν, ὀνομάσας αὐτὴν μῦθον Αἰγυπτίων! Ἀρχαία φέρεται καὶ πολιὰ ἡ τῶν Αἰγυπτίων σοφία· καὶ αὐτὸς ὁ Μωϋσῆς, πρὶν ἢ προσέλθῃ τῇ θεωρίᾳ τοῦ Ὄντος, «*ἐπαιδεύθη πάσῃ σοφίᾳ Αἰγυπτίων*» (Πράξ. ζ. 22), ἀλλ᾽ οὐχ ἧττον παλαιὰ ἱστορεῖται καὶ ἡ Χαλδαίων σοφία· καὶ ὁ ἐνδέκατος μὲν ἀπὸ Νῶε, πέμπτος δ᾽ ἀπὸ τοῦ Φαλὲγ (ἐφ᾽ οὗ γέγονεν ἡ τῶν ἐθνῶν διασπορὰ) Χαλδαῖος Ἀϐραὰμ εἶχε νεαρὰς καὶ ζώσας τὰς παραδόσεις τῶν προπατόρων, καθὼς καὶ ἄλλοι σύγχρονοι, καὶ αὐτοὶ δὲ οἱ ἀπὸ τοῦ Χαμίδου Μεσραῒμ τὸ πρῶτον κατοικήσαντες τὴν Αἴγυπτον. Ἐξ ἐκείνων γοῦν τῶν πατριαρχικῶν παραδόσεων, ὕστερον δὲ καὶ ἐξ αὐτῆς τῆς Μωσέως θεοσοφίας, ἄλλα τε πολλὰ, καὶ αὐτὰ τὰ περὶ γενέσεως καὶ διασπορᾶς τῶν ἐθνῶν διεδόθησαν καὶ εἰς τοὺς Αἰγυπτίους καὶ εἰς ἄλλα ἔθνη τῆς ἀρχαιότητος. Ἄκουε τὸν Κλήμεντα· «Εὔφορος, καὶ ἄλλοι πολλοὶ τῶν ἱστορικῶν καὶ ἔθνη καὶ γλώσσας *πέντε καὶ ἑϐδομήκοντα* λέγουσιν εἶναι, ἐπακούσαντες τῆς φωνῆς Μωσέως λεγούσης, *ἦσαν δὲ πᾶσαι αἱ ψυχαὶ ἐξ Ἰακὼϐ πέντε καὶ ἑϐδομήκοντα, αἱ εἰς Αἴγυπτον κατελθοῦσαι* (α). Φαίνονται δὲ εἶναι καὶ κατὰ τὸν ἀληθῆ λόγον αἱ γενικαὶ διάλεκτοι Β, καὶ Ο, ὡς *αἱ ἡμέτεραι παραδιδόασι γραφαὶ* (Γεν. Ι)· αἱ δὲ ἄλλαι αἱ πολλαὶ ἐπὶ κοινωνίᾳ διαλέκτων δύω, ἢ τριῶν, ἢ καὶ πλειόνων γίνονται» (Κλήμ. Στρωμ. α, 248).

---

2776, ἤτοι τῷ ρμ. ἔτει τῆς ζωῆς Ἔϐερ τοῦ πατρὸς τοῦ Φαλὲγ, ἕ κ τ ῳ δὲ τῆς τούτου ἡλικίας (Σύγκελ. χρονογρ. σελ. 217 Bon. πρϐ. Voss. Can. Chronol.). Τὸν δὲ Ῥαγαῦ ἐγέννησε Φαλὲγ ἐτῶν γενόμενος ρλ, (κατὰ τοὺς Ο,). Καὶ ὁ θεῖος δὲ Χρυσόστομος νέον κομιδῇ τὴν ἡλικίαν (ὅθεν καὶ ἄτεκνον) θεωρεῖ τὸν Φαλὲγ ἐπὶ τῆς διασπορᾶς, λέγων· «Τῇ προσηγορίᾳ τοῦ τεχθέντος (Φαλὲκ) ἐναπέθετο τ ο ῦ μ έ λ λ ο ν τ ο ς ἔ σ ε σ θ α ι μ ε τ᾽ ο ὐ π ο λ ὺ σημείου τὴν πρόγνωσιν» (Χρυσόστομ. Ὁμιλ. λ. εἰς Γενέσ. Ι). Ὥστε τὸ πλάττειν Φαλεγείους ἀπογόνους πρὸ τῆς διασπορᾶς ἀντιϐαίνει προφανῶς καὶ εἰς τὸ κείμενον τῆς θείας Γραφῆς, καὶ εἰς τὴν χρονολογίαν·

(α) Γενέσ. μϛ. 27. Ἐν δὲ τῷ ἑϐρ. γράφεται μόνον ἑ ϐ δ ο μ ή κ ο ν τ α· ἀλλὰ περὶ τούτου ἀλλαχοῦ πλατύτερον.

Τῆς ἐν τῇ πυργοποιΐᾳ συγχύσεως τῶν γλωσσῶν ἐμνημόνευσε καὶ Σιβύλλα παρ᾽ Ἀλεξάνδρῳ τῷ Πολυΐστορι (Ἰωσ. Ἀρχαιολ. Α, δ, 3), καὶ Ἀβυδηνὸς (Εὐσεβ. χρον.)· καὶ οὗτοι μὲν οὐκ ἀριθμοῦσι τὰ ἔθνη καὶ τὰς γλώσσας, ἀλλ᾽ ἤρκεσεν ἀντὶ πάντων Εὔφορος, καὶ μετ᾽ αὐτοῦ Κλήμης, ὁ θησαυρὸς τῆς πολυμαθείας, καὶ αὐτὴ τῆς ἱερᾶς ἱστορίας ἡ βάσις. Ὅθεν εἰς τοσοῦτον ἐπεκράτησεν ἡ δόξα καὶ παρὰ τοῖς ὕστερον ἐθνικοῖς, ὥστε καὶ ἁπλῶς καὶ ἀορίστως πολλούς τινας ἑτερογλώσσους λαοὺς, εἰς μίαν τινα πόλιν συνερχομένους, ἐξέφραζον διὰ τῶν Ο ἐθνῶν. Οὕτως ὁ Στράβων, διαγράφων τὴν Διοσκουριάδα, Κολχίδος πόλιν, λέγει· «Συνέρχεσθαι γοῦν εἰς αὐτὴν *ἑβδομήκοντα* ἔθνη (οἱ δὲ καὶ τριακόσια ἔθνη, φασὶν, οἷς οὐδὲν τῶν ὄντων μέλει)· πάντα δὲ ἑτερόγλωττα.—Σαρμάται δ᾽ εἰσὶν οἱ πλείους, » (α). Ὁ δὲ Φίλων τὰ περὶ τὴν σύγχυσιν τῶν γλωσῶν ἀλληγορήσας, λέγει, τέλος, ἀορίστως, ὅτι « οἱ τοῖς ἐμφανέσι καὶ προχείροις ἐπακολοθοῦντες, οἴονται *γένεσιν διαλέκτων, ἑλληνικῶν τε καὶ βαρβάρων, ὑπογράφεσθαι* » (τόμ. α. σελ. 434)· ἀλλ᾽ ὅμως ὁ Ἰώσηπος ἀριθμῶν (κατὰ τὸ Ι, τῆς Γενέσεως) τοὺς δι᾽ ἀλλογλωσσίαν εἰς ἀποικίαν σκεδασθέντας ἀπογόνους τοῦ Νῶε λαοὺς, δῆλός ἐστι καὶ αὐτὸς διαιρῶν τὰς διαλέκτους ἰσαρίθμως πρὸς τὰς στελλομένας ἀποικίας (Ἀρχαιολ. Α, δ, 6). Ἐκ δὲ τῶν Ἐκκλησιαστικῶν Πατέρων καὶ συγγραφέων πάντες ὅσοι καὶ ἐμνημόνευσαν περιστατικώτερον τὴν διασπορὰν τῶν ἐθνῶν, ΟΒ (ἢ κατὰ τὴν συνήθη συντομίαν), Ο καὶ ταῦτα καὶ τὰς διαλέκτους ἀριθμοῦσιν· Ἱκανοὺς τῶν Πατέρων ὠνομάσαμεν ἐν τοῖς προηγουμένοις, παρίτω ἤδη καὶ ἡ μεγάλη τῆς Ἐκκλησίας σάλπιγξ, ὁ θεῖος Βασίλειος· « Ὡς μὲν οὖν πρὸς τὰ ΟΒ ἔθνη (ἢ ὁποσαδήποτε κατὰ τὴν οἰκουμένην ἅπασαν ἀριθμούμενα), πολλὰ τὰ πορευόμενα τὴν ἐν τῇ ζωῇ πορείαν » (ἑρμην. εἰς Ἡσ. β. σελ. 870. τόμ. α). Συμφωνοῦσι καὶ τῶν νεωτέρων ἄνδρες ἐπίσημοι (β).

(α) Στράβ. ια, 498. πρβλ. καὶ Plin. VI. c. 5. καὶ J. Cappell. Observat. in Genes. XI. 10.

(β) Bochart in Phaleg. p. 56. sq. — Buxtorf. Diss. de Confus. Linquar.

§. κ. Οἱ δὲ περὶ τὸν Ὄδιον ἑβδομηκοντάκις ἐματαιώθησαν, οὐχ ὅτι τὰς πρώτας φυλὰς καὶ γλώσσας ἀπαιτοῦσιν ἐπέκεινα τῶν Ο, (φρονείτωσαν ἂν θέλωσι, καὶ δὶς τοσαύτας, καὶ τρίς· μόνον ἐὰν ἔχωσιν ἐκ τῆς Γραφῆς ἀποχρῶντας λόγους πρὸς ἀπόδειξιν), ἀλλὰ διότι σφαδάζοντες ὑπὸ σφοδρᾶς πρὸς τοὺς Ο καταφορᾶς, εἰσήγαγον ἐπὶ χλεύῃ τοῦ ἀριθμοῦ παντοίας τερατείας Καββαλιστῶν, Ῥαββίνων, Σινῶν, Περσῶν, μηδ᾽ αὐτῆς τῆς ἐθνικῆς χοιρωδίας αἰσχυνθέντες τὸν παράδεισον, καὶ τὰς κατ᾽ αὐτὸν ἑβδομηκονταίας ἀῤῥητοποιΐας! Μετὰ δὲ τούτων ἀναιδεστάτῃ (ῥητέον γὰρ) καὶ χειρὶ καὶ φρενὶ συνδυάζουσι καὶ τοὺς ΟΒ προφήτας (οὓς ἐκ τῶν θείων Γραφῶν ἀναλεξάμενος ἠρίθμησεν ὁ Ἐπιφάνιος) (α), καὶ τὴν εἰς τοὺς Ο φοίνικας ἀλληγορίαν τῶν Ο μαθητῶν τοῦ Σωτῆρος (ἣν οὐ μόνον πολλοὶ τῶν ἁγίων Πατέρων ὁσίως ἠλληγόρησαν, ἀλλὰ καὶ αὐτῶν τινες τῶν μὴ πάνυ τοὺς Πατέρας τιμώντων νεωτεριστῶν ἐσεβάσθησαν)· προσεπέγραψαν εἰς τὸ λοίδορον πινάκιον καὶ τὸν ἱερὸν κατάλογον τῶν θείων Γραφῶν (τῆς Παλαιᾶς καὶ τῆς Νέας), εἰς ΟΑ βιβλία συμποσουμένων (κατὰ τὸν κανόνα δηλαδὴ τὸν Ἐκκλησιαστικόν)! Πλὴν ἀλλ᾽ ὅμως καὶ ταῦτα, ὅσα προβάλλουσιν οἱ κριτικοὶ, καὶ ἄλλα δ᾽ εἴπερ ἐπεσώρευον μυρία βέβηλα παραδείγματα παντοίων ἐθνικῶν, τὸν ἑβδομήκοντα τιμώντων ἀριθμὸν, οὐδὲν αὐτοὺς ὠφέλησαν, ἀλλὰ καὶ μᾶλλον ἔβλαψαν. Τόσῳ μᾶλλον βεβαιοῦται ἡ ἀλήθεια πρωτοτύπου τινὸς εἰκόνος, ὅσῳ μᾶλλον ἐμφαίνεται μονιμώτερος εἷς τις τῶν ἐπισήμων τοῦ προσώπου χαρακτήρων, παραμένων διαρκῶς ἐν πᾶσι τοῖς μετέπειτ᾽ ἐξ αὐτοῦ κατὰ καιροὺς ὑπὸ ζωγράφων ἀμαθῶν ἀντιγραφεῖσι, καὶ πολλαχοῦ διαδοθεῖσιν ἐκτύποις. Καὶ ὅσῳ πλείονες καὶ κίσσαι καὶ ψιττακοὶ ποικίλους διαρθροῦσι φθόγγους λαλιᾶς ἀνθρωπίνης,

---

p. 78. — Scalig. excerpt. Eusebianis. — Huet. Demonst. Ev. T. I. p. 156, 160. — Fabric. Opuscul. p. 118. Ὁ δὲ Calmet (Diction. v. Langue) ἀστατεῖ, καὶ περί τινα παραχρονίζει.

(α) Ἐπιφάν. τ. β. σελ. 250.—Παρὰ Coteler. PP. App. T. 1. p. 295 ἐν τῷ καταλόγῳ τῶν προφητῶν ἀριθμοῦνται καὶ προφήτιδες δέκα. βλ. καὶ Μελετ. Ἐκκλ. ἱστορ. τόμ. α. σελ. 22, καὶ Fabric. Bibliograph antiq. c. 12. p. 614.

τοσούτῳ λαμπρότερον τὴν ὕπαρξιν αὐτῆς μαρτυροῦσιν. Ἡ πρὸς τὰ Ο τιμητικὴ χρῆσις καὶ ὑπόληψις διεδόθη εἰς διάφορα τῆς Ἀσίας ἔθνη καὶ ἄλλους λαοὺς, ἄνωθεν ἐκ τῶν πατριαρχικῶν καὶ τῶν Μωσαϊκῶν χρόνων ἀκουτισθεῖσα. Ἢ τίς οὐ βλέπει καὶ εἰς αὐτοὺς τοὺς ΟΒ Κομφουκείους μαθητὰς τὴν σφραγῖδα τῆς περὶ τῶν ἰσαρίθμων τοῦ Μωσέως πρεσβυτέρων διαφημισθείσης ἔκπαλαι παραδόσεως; (α). Ἔπειτα τίς οἶδεν, εἰ μὴ καὶ τοῦτο τοῦ Κομφουκίου τὸ περιλάλητον παρεπλάσθη κατὰ τὸν α, καὶ β, αἰῶνα μετὰ τὸ καὶ εἰς Ἰνδίας ἐξελθὸν ἀποστολικὸν τοῦ Εὐαγγελίου κήρυγμα, καὶ τὴν διαφήμισιν τῶν ΟΒ τοῦ Κυρίου μαθητῶν; Τὸν δὲ σοφὸν Ὅδιον (εἰ δεῖ καὶ τοῦτο προσθεῖναι) διέλαθε καὶ ἄλλος ἑβδομηκοντάδυος ἀριθμὸς, παρὰ τοῖς Ἰνδοῖς γυμνοσοφισταῖς τετιμημένος. « ΟΒ, ἀηδεῖς φιλοσοφίαι ἐν τῇ τῶν Ἰνδῶν ἐμφέρονται φατρίᾳ, τῶν τε γυμνοσοφιστῶν, τῶν τε Βραχμάνων » κτλ. (Ἐπιφ. περὶ Πίστεως §. 10).

Ἀλλ' ὦ σοφώτατοι ἀνδρῶν, σκέψασθε οἷα ποιεῖτε· ψέγοντες τὴν περὶ τὰ Ο, πτόησιν (ὡς λέγετε) τῶν Ἰουδαϊκῶν φρενῶν, αὐτὸν ψέγετε τὸν θεόπνευστον νομοθέτην, δι' οὗ Κύριος ἐλάλησεν ὁ Θεὸς, ὅστις καὶ τὸν *ἁπλῶς* καὶ τὸν *δεκαπλῶς ἑβδομαδικὸν* ἡγίασεν ἀριθμόν. Οὕτως ἡ θεία σοφία καὶ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ Διαθήκῃ ηὐδόκησεν ὁρίσαι καὶ προτιμῆσαί τινας ἀριθμοὺς, φιλέβδομος φανεῖσα, πολλάκις δὲ καὶ φιλοδωδέκατος (β), κατὰ τοὺς αἰωνίους καὶ παναρμονίους λόγους τοῦ παναγίου θελήματος αὐτῆς. Ἔχει καὶ ὁ πάνσοφος Ἀριστοτέχνης τὰς ἐν τάξει καὶ μέτρῳ καὶ ῥυθμῷ συμφωνίας τῶν ἀποῤῥήτων καὶ κοσμοσωτηρίων αὐτοῦ βουλῶν· διὰ τί σὺ, Ὅδιε, πρὸς ταύτας ταράττῃ καὶ

(α) Βλ. Couplet. vit. Confuc. CXI, 9. καὶ Demagist. Apolog. Dis. V. p. 508. (300 τοὺς Κομφουκίου μαθητὰς ἀριθμοῦσι, καὶ τούτων ἐξόχους τοὺς οβ). πρβλ. καὶ Fabric. Opuscul. p. 121.

(β) *Καὶ ὁ 40 ἀριθμὸς συμβολικός τις φαίνεται παρὰ τῇ Θείᾳ* **Γραφῇ** *καὶ μυστηριώδης, ὡς ἄλλοι τε παρετήρησαν, καὶ ὁ κλεινὸς Δελαβόρδης, πολλὰ παραδείγματα ἐκ τῆς Πεντατεύχου καταλέξας ἐπιμελῶς.* Βλ. L. De Labord, Comment. Géograph. sur l'Exode etc. p. 129.

ἀγανακτεῖς; Μὴ γὰρ οὐκ ἔχει τὴν ἐξουσίαν ἀριθμοὺς διατάσσειν ἐπὶ σωτηρίᾳ τῶν χρονικῶν αὐτοῦ πλασμάτων ὁ ἄχρονος δεσπότης τῶν ὅλων, «ὁ *πάντα μέτρῳ καὶ ἀριθμῷ διατάξας*», καὶ *διδοὺς ἀριθμοὺς ἡμερῶν*», καὶ τὰ *πλήθη τῶν ἄστρων ὁρίζων καὶ ἀριθμῶν, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν*; Ἔπειτα, πράξεις μὲν ἀνθρωπίνους, καὶ πόλεων καὶ δήμων ἔθη παντοῖα, κατ' ἀριθμόν τινα οἱονδήποτε τεταγμένα παρατηρῶν, οὐδὲν ἀπορεῖς· οὐδ' ἰλῶν, καὶ λόχων, καὶ μοιρῶν, καὶ παντοίων ἄλλων ταγμάτων στρατιωτικῶν, οὐδὲ δικαστῶν τινων, ἢ ἄλλων ἀρχῶν ὡρισμένους ἀριθμοὺς ἀκόσμως ἐπιγελᾷς· ἀλλὰ καὶ τοὺς *ἐννέα*, καὶ τοὺς *ἕνδεκα* τῶν Ἀθηναίων ἀποδέχῃ, καὶ τὴν ἐξ ἀρχῆς *τετράδα*, μετὰ δὲ ταῦτα καὶ *δεκάδα* καὶ *δωδεκάδα* τῶν φυλῶν, ὡς εὔλογον ἐπιδοκιμάζεις, καὶ *τὴν βουλὴν τῶν* 500, καὶ τοὺς 51 *ἐφέτας*, καὶ τοὺς 440 *διαιτητὰς* (ἀνὰ 44 ἐξ ἑκάστης φυλῆς, καὶ οὔτε πλείους, οὔτ' ἐλάσσονας κληρουμένους)· καὶ τ' ἄλλα δὲ τὰ πολλὰ τῶν Ἀθηναίων, οἷον ἐκκλησίας, ἀγῶνας, ἑορτάς, θεωρίας, ἔμπεδον τηροῦντα τὸν ἀριθμὸν, ἐπαινεῖς, ὡς φρονίμως καὶ πρὸς τὰς περιστάσεις προσφυῶς διηριθμημένα. Ὡσαύτως καὶ ἄλλα πολλὰ πολλῶν καὶ παντοίων ἄλλων ἐθνῶν, ἐν οἷς καὶ *τοὺς ἑπτὰ τῶν Περσῶν, τοὺς ἔχοντας τοῦ νόμου τὴν ἐξήγησιν*» (Ἰώσ. Ἀρχ. ΙΑ, ϛ, 1. πρβλ. Ἐσθὴρ, α. 10, 13), καὶ τὰ *ἑπτὰ γένεα* τῶν Αἰγυπτίων (Ἡρόδ. β. 164), παρ' οἷς «*καὶ τοὺς θεοὺς διὰ τῶν ἑπτὰ φωνηέντων ὕμνουν οἱ ἱερεῖς*» (Δημήτρ. Φαληρ. π. ἑρμηνείας §. 71). Καὶ αὐτὰ δὲ τὰ ὅσια τῶν ἐθνικῶν, οἷον *τὰ τρίτα*, καὶ τὰ *ἔννατα*, καὶ τὰς *τριακάδας* τῶν Ἑλλήνων, καὶ τὸ *τρισσὸν* τῶν σπονδῶν, καὶ τὰς *δωδεκαΐδας* θυσίας, καὶ τὰς *τελη έσσας ἑκατόμβας* ἀκριβῶς θεωρεῖς, καὶ περὶ τὸν ἀριθμὸν φιλολογεῖς, καὶ τούτου τὴν ἀρχὴν ἀνιχνεύεις, κἂν ἀγνοήσῃς, ἐφησυχάζεις. Τοὺς δὲ λάτρεις τοῦ ζῶντος Θεοῦ, τιμῶντας καὶ τηροῦντάς τινας ἀριθμοὺς, διότι τούτους πρῶτος ἡγίασε καὶ διέταξεν αὐτὸς ὁ Θεὸς, ἀτιμάζεις, καὶ διαβάλλεις, ὡς αἰγυπτιαστάς τινας δεισιδαίμονας καὶ μωρούς; Ἀλλὰ σὺ κινδυνεύεις, ὦ βέλτιστε, καὶ αὐτὸν ἰδίως τὸν Δημιουργὸν

εὐθύνας καὶ ἐν ἄλλοις τισὶν ἀπαιτεῖν, διὰ τί (φέρ' εἰπεῖν) πενταδάκτυλον ἐφύτευσε τὴν χεῖρα καὶ τὸν πόδα, διὰ τί δὲ καὶ ταῦτα καὶ τὰ αἰσθητήρια διπλᾶ, καὶ μὴ πλείονα! Ὕμνησεν ὁ προφήτης *τὴν ἱερὰν καὶ παντὸς τοῦ κόσμου γενέθλιον ἑβδομάδα*· ὕμνησεν ἐν οὐκ ὀλίγοις καὶ *τὸν τέλειον τῆς διπλῆς ἑξάδος*, ἢ *δωδεκάδος* ἀριθμόν· ὡσαύτως καὶ τὸν Ο. « Ὑμνεῖ μὲν Ο φοίνικας (παρὰ ταῖς ΙΒ πηγαῖς) εἶναι λέγων· ἐν ἑτέροις δὲ, πρεσβυτέρους μόνους Ο, οἷς τὸ θεῖον ἐπενεμήθη καὶ προφητικὸν πνεῦμα· καὶ πάλιν ἱερεῖα μόσχων Ο, ἐν διαιρέσεσι καὶ τάξεσιν ἐναρμονίοις, ἑορτῇ τῇ τῶν σκηνῶν προσαγομένων » κτλ. (α). Ἀλλ' ὁ σοφὸς Ἀρχιδιάκονος, ἐπὶ καταδρομῇ τῶν Ο μεταφραστῶν, καὶ ταῦτα παρεῖδε, καὶ ἄλλα πολλά· καὶ μήτε κἂν τὸν *ἑβδομηκονταετῆ* προορισθέντα χρόνον τῆς τῶν Ἰουδαίων αἰχμαλωσίας ἐνεθυμήθη (Ἱερεμ. κε, 11, 12, κτλ.) (β), μήτε τὴν *ἑβδομηκοντάκις ἑπτὰ* πολλαπλασιαζομένην, καὶ (διὰ τὴν δύναμιν τοῦ ἀριθμοῦ) τὸ *πολλάκις* συνυπεμφαίνουσαν ποινὴν μὲν τοῦ κακούργου (Γενέσ. δ, 24), συγχώρησιν δὲ τοῦ μετανοοῦντος (Ματθ. ιζ, 22), μήτε τὰς πολυϋμνήτους καὶ σεπτὰς *ἑβδομήκοντα ἑβδομάδας* τοῦ Δανιὴλ (Θ, 24), ἀκριβῶς, *ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου*, ἐκπληρωθείσας, μήτε γοῦν τὸν θεόκραντον ὅρον τῆς ὑπ' αὐτοῦ τοῦ Θεανθρώπου Σωτῆρος γενομένης ἐκλογῆς τῶν Ο μαθητῶν. Καὶ αὐτὸν δὲ, τέλος, τὸν

---

(α) *Φίλων περὶ φυγάδ. τ. α. σελ.* 573—574. *πρβλ. καὶ τὰ περὶ τοῦ ἑ π τ ὰ, τόμ. α, σελ.* 21—30. *καὶ* Κλήμ. *Στρωμ. ς. σελ.* 492.— Γρηγ. Ναζ. *λόγ. μδ.* — Ἐπιφάν. *τόμ. β. σελ.* 307—309. — Βρυένν. *τόμ. β. σελ.* 190—202. *ἐκδ.* Εὐγεν. *κτλ.* Βλέπε *καὶ τὸ περὶ ἑ β δ ο μ η κ ο ν τ α δ ι κ ο ῦ ἀ ρ ι θ μ ο ῦ τοῦ Φαβρικίου* (Opuscul. etc. p. 109—132).

(β) Βλ. καὶ Lud. Capell. Commentar. et not. in V. Test. p. 134 (ὅστις καί τοι τῶν νεωτερικῶν, ὁμολογεῖ ὅμως ὅτι « Septuagenarius numerus in Scriptura mysticus ». πρβλ. indic. v. Septuagenar.). Καὶ Clarius annot. ad Ev. s. Luc· III. 23. « De geneologia (λέγει) Servatoris satis sit hic admonere quod observatum à Theologis sit, praesertim à Nazianzeno, Christum ab Adam esse S e p t u a g e s i m u m S e p t i m u m secumdum Genealogiam hanc à Luca descriptam: q u a e r e s n o n p o t e s t n o n e s s e p l e n a m y s t e r i j ». (βλ. προϊὼν ἐν τοῖς ἀνωτέρω.)

νέον Ἀδάμ, τὸν ἐξ οὐρανοῦ κύριον καὶ Θεὸν ἡμῶν, *ἑβδομηκοστὸν ἕβδομον* ἀπὸ τοῦ πρωτοπλάστου γηγενοῦς οἴδαμεν ἀριθμούμενον (Λουκ. γ. πρβ. Γρηγ. Ναζ. λόγ. μδ. καὶ ἐν Ἔπεσι, τμήμ. λη) (α). Ἀλλὰ παρ' ἡμῖν ἅπαντα ταῦτα καὶ τὰ τοιαῦτα σεμνά, καὶ τίμια, καὶ (τὰ θειότερα) σεπτά, παρὰ τῶν πατέρων ἄνωθεν κατελθόντα. Βέβαιος δὲ καὶ ὁ πρὸς τὴν ἱερὰν ἑβδομηκοντάδα διαταχθεὶς ἀριθμὸς τῶν ἑρμηνευτῶν, καὶ ἀληθὴς ὁ Ἀριστέας. Ἄνδρας δὲ σοφοὺς φιλοκαινοτόμους, οἵτινες ἐπὶ χλεύῃ καὶ διασυρμῷ συναναφύρουσι μυστικά τινα καὶ νοερὰ τῆς ἀληθείας διδάγματα πρὸς Ῥαββίνων παρανοίας, ἢ πλάνας ἐθνικῶν, καὶ γοήτων φενακισμούς, καί, ἐπὶ λόγῳ δῆθεν ἀδεισιδαίμονος φιλοσοφίας, ἐξανθρωπίζουσι τὰ θειότερα, καὶ σαρκοποιοῦσι τὰ πνευματικὰ καὶ μυστηριώδη, θύρας ἀνοίγοντες κλισιάδας μεγάλας, καὶ ἐκ μικρῶν ἀφορμῶν, εἰς τὴν ἀκολασταίνουσαν καὶ μαινομένην ὑλοφροσύνην, τοιούτους σοφοὺς ἄνδρας χαίρειν λέγομεν μακρά!

§. κα. Περὶ τῶν οβ ἡμερῶν, ἐν αἷς ἡρμηνεύθησαν αἱ Γραφαί, λέγομεν ἐφεξῆς. Περὶ δὲ τοῦ κατὰ τὴν Ἀλεξάνδρειαν μεγάλου Συνεδρίου, πρὸς τὸν τύπον δῆθεν τοῦ ἐν Ἱεροσολύμοις πλασθέντος, ἀδίκως ὁ σοφὸς Ὅδιος ἀντεῖπε πρὸς τὸν Λιχθόφωτον (§. η). Τὸ μέγα Συνέδριον ὑπῆρχε μόνον ἐν Ἱεροσολύμοις, ὅπου καὶ τὸ πρῶτον κατέστη, καὶ πάλιν μετὰ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον ὑπὸ τοῦ Ἔσδρα ἀπεκατέστη (β). Καὶ τοῦτο μαρτυροῦσιν οὐ μόνον τὰ προειρημένα χωρία τῆς Γραφῆς (γ), ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεὺς Ἀντίοχος ἐν τῇ πρὸς Πτολεμαῖον ἐπιστολῇ

(α) Βλ. καὶ τὸν ὑπὸ τοῦ ἀοιδίμου Εὐγενίου τοῦ Βουλγάρεως ἐκ τῶν ὑπομνημάτων τοῦ Καλμέτου μεταφρασθέντα Συμβιβασμὸν τῶν δύω (τῆς μὲν κατὰ Ματθαῖον α, τῆς δὲ κατὰ Λουκ. γ), γενεαλογιῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. (πρὸς τῷ τέλει τῆς Ἑκατονταετηρ. ἐκδ. 1807). ὅπου καὶ τῶν Πατέρων αἱ φαινόμεναι περὶ τούτου διαφωνίαι διαλύονται.

(β) Βλ. ὄπισθ. σελ. 303. πρβ. Sigon. de Republic. Hebr. VI. 7. p. 450.— Menochij de Republ. Hebr. I. c. VI. p. 38. sq. Paris. 1647. καὶ Selden: de Synedr. II. c. 14. etc. καὶ E. Rosenmül. Sch. ad Numer. 11. 16.

(γ) Ἰουδείθ, δ. 8. ιε, 8. — Β. Μακ. α, 10. δ, 44, κτλ. βλ. ὄπισθ. §. ις.

μνημονεύων, ὡς κατ᾽ αὐτὸν ὑπαρχούσης, τῆς γερουσίας (τοῦ μεγάλου Συνεδρίου) τῶν Ἰουδαίων (α). Κατὰ δὲ τὴν Ἀλεξάνδρειαν εἶχον μὲν οἱ Ἰουδαῖοι καὶ ἐθνάρχην ἴδιον (β), καὶ τοπικὴν γερουσίαν ἐκ τῶν ἰδίων λεγομένων ἀρχόντων, ἣ καὶ ἐξ αὐτῶν τῶν ἀρχισυναγώγων συνιςαμένην (γ), ἀλλ᾽ οὔτε αὕτη ἡ γερουσία, οὔτε ἄλλη τις ὁπουδήποτε καθεστῶσα (εἴ ποτε καὶ κατέστη) τῆς οἰκουμένης, οὐδέποτ᾽ ἐνομίσθη ἰσοδύναμος καὶ ἰσότιμος πρὸς τὸ μέγα Συνέδριον τῆς Ἱερουσαλὴμ, « *τῆς ἁγίας πόλεως* », « *τῆς πόλεως τοῦ Θεοῦ* » (δ), ἐν ᾗ καὶ ὁ ναὸς, καὶ τὸ θυσιαστήριον, καὶ ὁ τοῦ σύμπαντος ἔθνους ἀρχιερεύς. Εἰς ταύτην τὴν ἱερόπολιν καὶ ἐξ Αἰγύπτου, καὶ ἀπὸ Βαβυλῶνος, καὶ πέραθεν Εὐφράτου, καὶ ἀπὸ Ῥώμης, καὶ πανταχόθεν τῆς Οἰκουμένης, ὅπου κατῴκουν Ἰουδαῖοι, ἐστέλλοντο καθ᾽ ἕκαστον ἐνιαυτὸν ἱεροπομποὶ, χρυσὸν καὶ ἄργυρον κομίζοντες καὶ ἀναθήματα εἰς θυσίας (ε)· καὶ ταύτης μόνης τῆς πόλεως τὸ Συνέδριον εἶχε τὴν ἐπιστασίαν τοῦ ψηφίζειν *περὶ νόμου, βασιλέως, ἱερέως, καὶ προφητῶν* (ζ). Ὥστε ματαίως ἐπόνησαν οἱ περὶ τὸν Ὅδιον ἐξορύττοντες τὴν ἐν Ἀλεξανδρείᾳ χαωθεῖσαν ἀρχαίαν, ὡς λέγουσι, μητροπολῖτιν Συναγωγὴν (ἣν οὐδ᾽ Ἰώσηπος ἐγνώριζεν, οὐδὲ Φίλων αὐτὸς ὁ Ἀλεξανδρεὺς), καὶ σπογγίζοντες ἀπὸ τῆς κόνεως τὰς ἀνευρεθείσας ἐν αὐτῇ ταλμουδικὰς καθέδρας! Οὕτως οἱ τῆς ἀληθείας βαθύνοες ἐξακριβασταὶ πάντα τὰ ῥαββινικὰ μυθάρια περιπέττουσι, καὶ στέργουσιν ἀσμέ-

---

(α) Παρ᾽ Ἰωσήπῳ Ἀρχ. ΙΒ. γ, 3. πρβλ. καὶ ΙΔ. θ, 3, 4, 5, ὅπου ἡ γερουσία ὀνομάζεται καὶ Σ υ ν έ δ ρ ι ο ν.

(β) Στράβ. παρ᾽ Ἰωσήπ. Ἀρχ. ιδ, ζ. 2.

(γ) Φίλων εἰς Φλάκ. τόμ. β. σελ. 527. Mang.

(δ) Φίλ. τόμ. α. σελ. 691. — Ἰώσηπ. Ἀρχ. Κ. ε. Πρβλ. Ἡσ. μη, 2. νβ. — 1. Νεεμ. ια, 1. — Δαν. θ. 16. — Γ. Μακαβ. β, 14, — Ματθ. δ, 5. κζ. 53. Ἀποκαλ. κα, 2.

(ε) Τωβὶτ, α, 6: — Φίλ. τόμ. β. σελ. 224, 528, 578 — Ἰώσ. Ἰουδ. πολ. ς, 6, καὶ Ἀρχ. γ, 8. (πρβλ. καὶ Σχολ. Bernard.). Cicer. pro Flacco — Tacit. Hist. V. — Grot. εἰς Ματθ. κζ. 14. — J. Selden. de Jur. Natur. L. II. c. 28.

(ζ) « De lege, rege, sacerdote atque prophetis ». Baron. Anal. an. 231. Tom. 2. p. 355.

νως καὶ ἀσπασίως, εἴπως ἀποδείξουσιν ἀλεξανδρινοὺς τοὺς ἑρμηνεῖς!

§. κϐ. Τὸν δὲ ῥαββινίσκον ἐκεῖνον, ὅστις μόνος μεταξὺ τῶν Ταλμουδιστῶν ὠνειρεύθη πέντε μόνους τοὺς ἑρμηνεύσαντας τὴν Γραφὴν, ἐξεῤῥάπισε πρὸ χρόνων πολλῶν ὁ Μορῖνος, ὡς συγχύσαντα τοὺς ἑρμηνεῖς πρὸς τὰ *πενταπλᾶ* τοῦ Ὠριγένους. Εἰ δὲ καὶ ὁ πάντα Μορίνου καθαπτόμενος Ὀττιγγῆρος, καὶ Ὅδιος, καὶ ἄλλοι, μόνον *τετραπλᾶς καὶ ἑξαπλᾶς* καὶ *ὀκταπλᾶς* λέγουσι τὰς Ὠριγένους ἐκδόσεις (οὐδεμίαν δὲ *πενταπλῆν*), ἀλλ' ἐξελέγχει τούτους τὸ *Πεντασέλιδον* μνημονευόμενον Ὠριγένους ἀντίγραφον, ὅπου πάντως ἦσαν αἱ δ, μεγάλαι ἐκδόσεις (Ἀκύλα, Συμμάχου, τῶν Ο, τοῦ Θεοδοτίωνος), καὶ ἡ πέμπτη ἑρμηνεία (πολλοὺς πρὸ τῆς ς, χρόνους ἐν Ἱεριχοῦντι εὑρεθεῖσα, ἐπὶ τοῦ Καρακάλλα) (α). Τοῦτο τὸ *Πεντασέλιδον* ὁ ῥαββῖνος ἐπωνόμασε « *τὸ πόνημα τῶν πέντε πρεσβυτέρων, τῶν ἑλληνιστὶ τὰς γραφὰς τῷ Πτολεμαίῳ συγγραψαμένων* ». Οὕτως ὁ Ταλμουδιστὴς ἐκεῖνος πέντε τὰς ἑλληνικὰς σελίδας ἰδὼν, ἢ καὶ μόνον ἀκούσας, καὶ τῶν μὲν ἄλλων μεταφράσεων τοὺς χρόνους μηδόλως ἐξακριβώσας, μόνην δὲ τὴν ἀρχαίαν εἰδὼς, τὴν ἐπὶ Πτολεμαίου γενομένην, ὑπέλαβε λοιπὸν ὅτι πέντε μόνον ἐκ τῶν Ο ἠσχολήθησαν εἰς τὴν ἑρμηνείαν. Ἢ καὶ ἴσως ἀκούων ὅτι μετέφρασαν οἱ Ο τῷ Πτολεμαίῳ *τὸν νόμον*, καὶ μὴ γνωρίζων ὅτι *νόμος* λέγεται καὶ *πᾶσα ἡ Γραφὴ*, ἐπίστευσε λοιπὸν, ὅτι πρὸς μόνης τῆς *Πεντατεύχου* τὴν ἑρμηνείαν

---

(α) « Οἱ τρεῖς στίχοι οἱ ὑποκείμενοι οὐκ ἔκειντο ἐν τῷ Π ε ν τ α σ ε λ ί δ ῳ, οὐδὲ Ὠριγένης ἐξηγούμενος τούτων ἐπεμνήσθη ». Σχόλ. παλαιὸν ἐν τοῖς Ἑξαπλοῖς εἰς Ἡσ. γ. 24 (Βλ. Montfaucon Praelim. in Hexapl. Origen. p. 8). Οὕτως ἐλέγετο καὶ τὸ τ ε τ ρ α σ έ λ ι δ ο ν, τὸ ὀ κ τ α σ έ λ ι δ ο ν (σύνταγμα, βιβλίον, ἀντὶ τοῦ, τετραπλοῦν, ἢ τὰ τετραπλᾶ, τὰ ὀκταπλᾶ). Σχόλ. αὐτόθ. εἰς ψαλμ. 86. (Montfauc. ibid. pag. 7), ἀπὸ τῶν σ ε λ ί δ ω ν δηλονότι, ὡς ἐλέγοντο αἱ παράλληλοι τεταγμέναι στῆλαι τῶν ἑρμηνειῶν. βλ. Ἐπιφαν. περὶ Μέτρ. πρβλ. καὶ Petav. animadv. ib. pag. 404. Ἀλλ' οὗτος φαίνεταί πως καὶ παράδοξος, ἐν οἷς διορθοῖ τὸν Εὐσέβιον (Ἐκκλ. ἱστ. ς. ιζ), ἐξοβελίζων ἣν ἑ β δ ό μ η ν ἔκδοσιν ὁ Εὐσέβιος ἀριθμεῖ.

ἤρκεσαν καὶ *πέντε* μόνον ἐκ τῶν Ο (α). Ἢ τίς οἶδε ποῖός τις ἄλλος παραλογισμὸς ἐπῆλθεν εἰς ἐκεῖνον τὸν πυρέσσοντα ῥαββινικὸν ἐγκέφαλον; Καὶ ὅμως ταῦτα τὰ παραληρήματα, ἀναστάντες ἄνθρωποι φιλαίτιοι, προβάλλουσιν ὡς λόγους ἐμβριθεῖς καὶ πιστοὺς, εὐθύνας ἀπαιτοῦντες, καὶ βασανίζοντες τοσούτους καὶ τηλικούτους ἄνδρας ἐμβριθεῖς, καὶ τούτων, τέλος, ἁπάντων προτιμῶντες τὸν ἐμβρόντητον ἐκεῖνον Ταλμουδόν! Διώρθωσε τοῦτον ἄλλος λογικώτερος ῥαββῖνος, ὁ Ἀζαρίας, τὰ *πενταπλᾶ* καὶ οὗτος ἀντὶ τῶν ε, Πρεσβυτέρων ἐκλαβών (β). Ἀλλ' οἱ παῖδες τῆς Θέμιδος κριτικοὶ, μήτε τούτου μήτ' ἄλλων τοσούτων ῥαββίνων (καὶ τούτων Ταλμουδικῶν), τρανῶς τοὺς Ο κηρυττόντων, μηδένα λόγον ποιούμενοι, κλείοντες δὲ καὶ ὦτα καὶ ὄμματα πρὸς ἄλλους ὁμοίως πεπλασμένους ἐν τῷ Ταλμουδίῳ λήρους παχεῖς καὶ μεγάλους καὶ τὸν λογικὸν ἄνθρωπον καταισχύνοντας, ἐπισείουσιν ἡμῖν ἄσμενοι δραξάμενοι « *τὸ πόνημα τῶν πέντε Πρεσβυτέρων* ».

§. κγ. Κἀκεῖνο δὲ παράδοξον εἶπεν Ὅδιος (αὐτοσχεδιάσας), ὅτι μετὰ τὴν ἐμφάνισιν τῶν ἄλλων μεταφράσεων ἐπωνομάσθη ἡ τῶν Ο, πρὸς διάκρισιν καὶ διαστολήν! Τὸ δὲ πρότερον (ἐρωτῶμεν) πῶς ἐπωνομάζετο; Ἔργον δὲ τίνων ἐνομίζετο παρὰ πᾶσιν ἡ ἑρμηνεία; καὶ εἴπερ οὐχ ὑπῆρχεν ἐξ ἀρχῆς πανδήμως ὁμολογουμένη καὶ πρότερον ἐν τῇ Συναγωγῇ, καὶ ὕστερον καθ' ὅλην τὴν Ἐκκλησίαν, ὡς οὖσα τῶν Ο, πῶς ἂν ἔλαβεν ἔπειτα τὴν διακριτικὴν ταύτην ἐπωνυμίαν; Ἀλλ' οὕτω συλλογιζόμενος ὁ κριτικὸς, καὶ

---

(α) *Οὕτω καὶ Οὐόσσιος τὸ περὶ τῶν ε, πρεσβυτέρων ὄνειρον ἐξήγησεν ὡς ἐκ τῶν πέντε βιβλίων τοῦ Μωσέως, ἅτινα μόνα τῷ Πτολεμαίῳ μεταφρασθέντα ἐνόμιζεν ὁ Ταλμουδὸς* (Voss Respons. ad Object. Crit. p. 130). *Ὡσαύτως καὶ ὁ Μάσιος* (praef. Bibliothec. Sacr. vol. 2. p. 10) *τοὺς πέντε λέγει τούτους τὴν Πεντάτευχον μόνην ἡρμηνευκέναι, τοὺς δὲ λοιποὺς τὰ τεύχη τὰ λοιπά· πρβλ. καὶ* Demagistr. Apol. p. 342. *Ὁ δὲ* Bos (prolegom. ad Edit. LXX. c. 1.) *ἀποκλίνει μᾶλλον πρὸς Ὅδιον. πρβλ. καὶ* A. F. Pfeiffer. in Fabric. Bibl. Graec. vol. 3. p. 666. Harl.

(β) Παρὰ Hotting. Thesaur. Philol. p. 290. πρβλ. καὶ Carpzovij Crit. Sacr. p. 491.

αὐτὴν λοιπὸν τὴν Ἰλιάδα καὶ Ὀδύσσειαν (ἀνωνύμως πολλάκις παρὰ τοῖς ἀρχαίοις ἐκφερομένας), εὐκόλως ἂν ἀφήρπαζεν ἀπὸ τοῦ πατρὸς αὐτῶν Ὁμήρου, ὡς ὕστερον δῆθεν τούτου τοῦ ὀνόματος προστεθέντος εἰς ποιήματα ἀγνώστου ποιητοῦ! ἀλλὰ περὶ μὲν τῆς τούτων γνησιότητος ἐγγυῶνται οἱ (περὶ ὧν μετ᾽ ὀλίγον ἐρεῖ) ΟΒ τοῦ Πεισιστράτου γραμματικοί. Τῶν δὲ Β, καὶ Ο, Πρεσβυτέρων τὴν ἑρμηνείαν πάντες οἱ ταύτῃ χρώμενοι πανταχοῦ τῆς οἰκουμένης ἑλληνισταὶ Ἰουδαῖοι προσηγόρευον ἀνέκαθεν ἁπλῶς *Γραφὴν*, ἢ *Γραφὰς*, καὶ ἁγίας Γραφὰς (ὡς πολλάκις καὶ αὐτοὶ οἱ θεῖοι Ἀπόστολοι ὀνομάζουσιν), ἔστι δ᾽ ὅτε καὶ ἱερὰ *γράμματα* (β, Τιμ. γ, 15), καὶ παλαιὰν Διαθήκην (β. Κορ. γ, 14), καὶ *Νόμον* (βλ. ἐφεξῆς κεφ. Ζ. §. ιδ), καὶ *Βίβλον Διαθήκης Θεοῦ*, ἢ *Βίβλον ἱερὰν*, οὐ μόνον ὡς ἐξαίρετον καὶ πανέξοχον βιβλίων ἁπάντων (ἅτε θεῖον ἔργον), ἀλλὰ καὶ ὡς μίαν οὖσαν τότε καὶ μόνην, καὶ ὡς ἰσότιμον καὶ ἰσοδύναμον πρὸς τὴν πρωτότυπον, τὴν ἑβραϊκὴν, οὕτω κἀκείνην πολλάκις περιληπτικῶς ὀνομαζομένην (α). Ἀλλὰ καὶ μετὰ τὴν ἔκδοσιν τῶν ἄλλων ἑρμηνειῶν ὡσαύτως πάλιν οἱ θεῖοι Πατέρες *Γραφὴν ἁγίαν* κτλ. ὠνόμαζον τὴν ἑρμηνείαν τῶν Ο, (ὡς μίαν καὶ μόνην ταύτην ἔχοντες γνησίαν καὶ κανονικήν). Καὶ μέχρι δὲ τὴν σήμερον (ὅπερ ἴσως Ὅδιος ἠγνόει) *παλαιὰν ἁγίαν Γραφὴν*, ἢ *παλαιὰν Διαθήκην* ἁπλῶς αὐτὴν ὀνομάζομεν· τὴν δὲ τῶν Ο ἐπωνυμίαν, καὶ πρὸ τῆς ἐκδόσεως καὶ

---

(α) Σ. Σειρ. *κδ*, 23: Β. Μακκαβ. *η*, 23. — *καὶ* « *τὰ βιβλία τὰ ἅγια* ». Α. Μακκ. *ιβ*, 9. *κτλ.* (Βλ. Hotting. Thesaur. phil. p. 98). Ὅ*θεν καὶ παρὰ τοῖς θείοις* Πατράσιν *ἐνίοτε τὰ βιβλία ἀντὶ ἡ* Π. *Διαθήκη*· « *παρ᾽ ἐκείνοις μὲν τὰ βιβλία, παρ᾽ ἡμῖν δὲ τῶν βιβλίων ὁ θησαυρός* » (Χρυσόστ. *ὁμιλ. β.* Τ. ε. 4, 7)· *καὶ* « *θεῖα βιβλία* » (*εἰς* Γένεσ. *ὁμιλ.* 10)· *οὕτω καὶ* « *ἱερὰ, θεία, ἁγία* Γραφή. Ὡ*ς δ᾽ ἐκ τῆς εἰς μέρη διαιρέσεως λέγεται καὶ* « *ὁ* Ν*όμος* (*ἡ* Π*εντάτευχος, ἢ καὶ βίβλος τῆς* Δ*ιαθήκης*, Δ. Βασ· *κγ.* 2)., *καὶ οἱ* Π*ροφῆται, καὶ τὰ ἄλλα βιβλία* » (Σ. Σειρ. *προλόγ.*) « *ὁ* Ν*όμος καὶ οἱ* Π*ροφῆται* » (Ματθ.) *κτλ.* Ἐ*κ τοῦ γενικοῦ ὀνόματος τὰ βιβλία, καὶ παρὰ τοῖς εἰσέπειτα* Λ*ατίνοις, καὶ τοῖς νεωτέροις* Ε*ὐρωπαίοις* Biblia, *συνήθως ἡ* Π. *Διαθήκη, καὶ γαλ.* Bible, *γερμ.* Die Bibel, *κτλ. βλ. καὶ* Lud. Capell. Observ. in psalm. p. 661. — Herbst, historisch — krit. Einleit. etc. I. Th. p. 4. *πρβλ. ἐφεξ. κεφ. ζ*, §. 27.

μετὰ τὴν ἔκδοσιν τῶν ἄλλων ἑρμηνειῶν, οἵ τε πάλαι πατέρες ἡμῶν, καὶ ἡμεῖς τὴν σήμερον, ἄλλοτε μὲν οὐδέποτε, τότε δὲ προστιθέμεθα μόνον, ὁπόταν συμπέσῃ λόγος ἀντιδιαστολῆς ἢ πρὸς τὰς λοιπὰς ἑρμηνείας, ἢ πρὸς αὐτὸ τὸ κείμενον τὸ ἑβραϊκόν. Ἀλλ᾽ ἐκ τῆς συνηθεστάτης ταύτης ἀνωνυμίας ποίαν ἔπαθεν ἐλάττωσιν ἡ διὰ τοσούτων αἰώνων ἐπικρατήσασα βεβαιότης τῶν Ο; Ὡμολόγησε δὲ, τέλος, καὶ αὐτὸς ὁ Ὅδιος, ἐν οἷς πρὸς τὸν γεραρὸν ἀπήντησε Βάλτωνα (§. η), συμφωνῶν, ὅτι τῷ ὄντι δι᾽ ὅλων ιε, αἰώνων ἀπὸ Χριστοῦ (μέχρι δηλονότι τῶν 1550 καὶ ἐφεξῆς), οὐδεὶς οὔτε τῶν Χριστιανῶν, οὔτε τῶν Ἰουδαίων (πλὴν ἑνὸς Ταλμουδικοῦ) οὐδεὶς ἀμφέβαλε περὶ τοῦ ἀριθμοῦ τῶν Ο· πλὴν ἀλλ᾽ ὅμως (λέγει) τὴν διὰ τοσούτων αἰώνων κοινῶς παραδεδεγμένην ταύτην γνώμην εἰς τοὺς νεωτέρους ἀπέκειτο καταφωράσαι ψεῦδος ἄκρατον οὖσαν, ἐξελεγχθέντος τοῦ γόητος Ἀριστέου! «Διὰ ταῦτα» (προεῖπε καὶ ὁ δριμὺς Ὀττιγγῆρος πρὸ τοῦ Ὁδίου), «ἀφ᾽ οὗ τῆς γλαφυρωτέρας φιλολογίας ἀνέλαμψεν ὁ φωσφόρος ἀστὴρ, προάγων *τὸν τῆς Ἀναμορφώσεως ἥλιον*, καὶ ἐγεννήθησαν ἄνδρες εὐφυέστατοι πρὸς τῶν ἤδη πεπτωκότων γραμμάτων τὴν ἀνάστασιν, καὶ τὴν ἀπὸ τοῦ προστετηκότος ῥύπου κάθαρσιν, ἔκτοτε ἔμαθον οἱ ἄνθρωποι μὴ μόνον παλαιαῖς μαρτυρίαις ἐφησυχάζειν, ἀλλὰ καὶ λόγῳ καὶ κρίσει τὸ πρᾶγμα μετρεῖν. Ὅθεν καὶ ὁ» (καθὼς αὐτὸς λέγει) «θεοφορούμενος Ζβίγγλιος, ὁ τῆς ἡμετέρας ἐκκλησίας καὶ σχολῆς κράτιστος Ἀναμορφωτὴς, πόσον ἀβέβαιον καὶ ἀμφίβολον ἐνόμιζε τὸν ἑβδομηκονταδικὸν τῶν ἑρμηνέων ἀριθμὸν, οὐκ ἀσαφῶς ἐσήμανεν, ἀποκαλέσας *τὴν ἑρμηνείαν εἴτε τῶν Ο, εἴτε τῶν ἑπτακισχιλίων ἑρμηνευτῶν*» (α). Τοιαῦτα οἱ περὶ τὸν Ὀττιγῆρον! Ἡμεῖς δὲ καταλείποντες τοὺς ἄνδρας ἀτενίζοντας πρὸς τοὺς ἐκ δυσμῶν αὐτοῖς ἀνατείλαντας ἡλίους, καὶ τυρβαζομένους περὶ τὴν ἀναστήλωσιν καὶ σμῆξιν τῶν παρ᾽ αὐτοῖς πεπτωκότων, οὐ μόνων γραμμάτων (ὧν τὴν ἀνακαίνισιν ὀφείλουσι

(α) Huldr. Zyingl. praefat· Com· in Genes. Βλ. Hottinger. Thes. p. 291.

πάλιν τοῖς Ἕλλησιν), ἀλλὰ δὴ καὶ διδαγμάτων θρησκευτικῶν, τηροῦμεν ἀείποτε τὰ πάτρια τὰ ἡμέτερα, ὀρθὰ (τῇ τοῦ Χριστοῦ χάριτι) βεβηκότα, καὶ ἄχραντα, καὶ ἀμίαντα. Καὶ σχολὴν πατρῴαν ἔχομεν τὴν Ἐκκλησίαν, μηδεμιᾶς ἀναμορφώσεως χρῄζουσαν, ὡς ἀμάραντον καὶ καθαρὸν φυλάξασαν τὸ πρωτότυπον αὐτῆς κάλλος ἔν τε τῇ σωφρονούσῃ περὶ τὰ θεῖα γράμματα φιλολογικῇ θεωρίᾳ, καὶ τῇ δογματικῇ διδασκαλίᾳ τῆς εὐσεβείας. Διδασκάλους δὲ καὶ πατέρας ἔχομεν τοὺς *καὶ λόγῳ καὶ κρίσει* μεμετρηκότας ἡμῖν τὰς παραδόσεις τῆς ἀληθείας· καὶ μόνους νομίζομεν θεοφόρους τῆς οὐρανίου σοφίας μυσταγωγοὺς, τοὺς ἐξ ἀνατολῶν, τῶν πηγῶν τοῦ αἰσθητοῦ καὶ νοεροῦ φωτὸς, ἀνατείλαντας ἀδύτους φωστῆρας τῆς Οἰκουμένης· οἵτινες ἐπέλαμπον τὰς σωτηρίους τῆς ἀληθείας αὐγὰς καὶ ἐπ᾽ αὐτοὺς τοὺς ἔπειτα δωρεὰν γενομένους αὐτῶν τε τούτων τῶν πατέρων, καὶ τῶν Ο διώκτας καὶ πολεμίους, ἀφ᾽ οὗ τούτοις ἐπέσκηψεν ὁ τῆς, εἴτε γλαφυρωτέρας, εἴτε πυῤῥωνικωτέρας κρίσεως παρήλιος. Ἀλλ᾽ ἡμεῖς « *εὐχόμενοι τοῖς πᾶσι φωτὸς ἀνοιχθῆναι πύλας* », ἀποδίδομεν καὶ τὰ λοιπὰ τῆς πρὸς τὸν Ὅδιον ἀπαντήσεως.

§. κδ. Εἶπεν ὁ σοφὸς ἀνὴρ ἐν τοῖς προηγηθεῖσι (σελ. 280), ὅτι καὶ ἄλλος μεταξὺ τῶν ἀρχαίων, ὁ Ζώσιμος, ἀπεφήνατο τὴν Ἑλληνικὴν τῶν Γραφῶν ἑρμηνείαν οὐχ ὑπὸ πολλῶν γενομένην, ἀλλ᾽ *ὑφ᾽ ἑνὸς καὶ μόνου*. Ὁποῖος δέ τις ὁ εἷς καὶ μόνος οὗτος ἑρμηνεὺς, ἀπεσιώπησε, λακωνίζων, ἴσως, ὁ κριτικός· ἀλλ᾽ εἰπάτω τοῦτον αὐτὸς ὁ Ζώσιμος· « Σίμων (λέγει) ὁ ἀρχιερεὺς τῶν Ἱεροσολύμων Πτολεμαίῳ τῷ Λαγίδῃ ἔπεμψεν ΕΡΜΗΝ, ὃς *ἡρμήνευσε* πᾶσαν τὴν ἑβραΐδα [Γραφὴν] ἑλληνιστὶ καὶ αἰγυπτιστί » (α). Ὁ εἷς λοιπὸν καὶ μόνος οὗτος, ὁ Πτολεμαίῳ τὰς ἱερὰς ἐξελληνίσας Γραφὰς, ὑπῆρχεν Ἑρμῆς, εἴτ᾽ ἐκεῖνος ὁ λόγιος, ὁ τῆς Ἀτλαντίδος Μαίας καὶ τοῦ Διὸς παῖς (μεταπτὰς ἴσως ἐκ τῆς Ἀρκαδίας εἰς τὴν Παλαιστίνην, κἀκεῖθεν εἰς

---

(α) Βλ. Zosimi Panopolitan. de Zythorum confectione etc. ed. Gruner. procem. p. 6. Solisbaci, 1814.

Αἴγυπτον), εἴτε ὁ παρ᾽ Αἰγυπτίοις *τρισμέγιστος Ἑρμῆς* (δουλεύων, ἔστιν ὅτε, καὶ τῷ ἀρχιερεῖ τῶν Ἰουδαίων), εἴτε γοῦν ἁπλῶς λόγιός τις Ἑρμώνυμος Ἰουδαῖος, ἐν Ἱεροσολυμίταις μεταπρέπων, *Σιμώνιος ἀγγελιώτης*! Ταῦτα μαρτυρεῖ ὁ ἀρχαῖος Ζώσιμος. Οὗτος δὲ πάλιν τίς δὴ καὶ πόθεν; Αἰγύπτιος, Πανοπολίτης, ψευδοχριστιανὸς, χρυσοποιὸς ἢ χημικὸς τὴν ἐπαγγελίαν, γέννημα τοῦ γ, αἰῶνος, ἢ μᾶλλον τοῦ δ, (ὀλίγῳ πρὸ τῶν 400, μ. Χ.), οὗτινος τὰ περὶ χρυσοποιΐας ἀνέκδοτα σωζόμενα κρίνονται διεσπασμένα, καὶ προσέτι διεσκευασμένα καὶ παρέμβυστα, γνώμας περιέχοντα παλαιὰς μετὰ νεωτέρων ἀναμίκτους, καὶ ψεύδη μετ᾽ ἀληθειῶν συμπεφυρμένα (α). Ἰδοὺ μέχρι ποίων μαρτύρων κατήντησαν οἱ λογοδαίδαλοι κριτικοί! Πλὴν ἀλλ᾽ ἴσως ἀδίκως παρεσύρη καὶ ὁ τάλας Ζώσιμος· διότι οὗτος ἔγραψε πάντως (ὡς νομίζομεν) «ΕΡΜΗΝΕΙΣ, ΟΙ ἡρμήνευΣΑΝ» κτλ. ἡ δὲ τῶν ἀντιγραφέων ἀβλεψία συγκόψασα τὸ *ἑρμηνεῖς* εἰς τὸ ΕΡΜΗΝ, ἐπέφερε καὶ τὸ ἄρθρον καὶ τὸ ῥῆμα ἑνικῶς. Εἰ δὲ καὶ ταύτην τὴν διόρθωσιν ἀποῤῥίπτουσιν οἱ Ὀδιακοὶ, καταλείπομεν λοιπὸν παρ᾽ αὐτοῖς ἀμφοτέρους συνδυάζοντας καὶ φιλοξενουμένους, ζεῦγος ἀξιόπιστον, τόν τε προειρημένον *πεντάθλιον* Ῥαββῖνον, καὶ τοῦτον τὸν *πανοπολίτην* χημικὸν, καὶ μεταβαίνομεν εἰς τὸν Φίλωνα.

§. κε. Ὀρθῶς μὲν καὶ δικαίως ὁ Δόκτωρ ἐπέπληξε τὸν ἔνδοξον ἱππότην καὶ σοφὸν αὐτοῦ συμπολίτην Μάρσαμον (§. ι), ὡς ἀμφιλαφῶς ἠπατημένον, ἐν οἷς τὰ τοῦ Φίλωνος παρασπῶν, τὴν ῥητῶς ἐπὶ τῇ μεταφράσει τῶν γραφῶν ἱστορουμένην ἑορτὴν μετέβαλεν εἰς τὴν τῆς Φαρίας Ἴσιδος· καὶ τοὺς Ἰουδαίους καὶ τοὺς Χριστιανοὺς ἀνέμιξε μετὰ τῶν Αἰγυπτίων ἐθνικῶν, παρασύρων εἰς μάτην καὶ τὰ κατὰ τὸν Σέραπιν τοῦ Καίσαρος Ἀδριανοῦ (β). Ἀλλ᾽

---

(α) C. Gruner. l. c. προβλ. Borrichij Hermetis Aegyptiorum etc. pag. 78. Hafn. 1674. καὶ Georg. Bredovij Dissert. de Georg. Syncelli Chronogr. (in edit. Syncelli vol. 2. p. 38—41. Bonae, 1829).

(β) Ἐκ ψευδοῦς τῶν Αἰγυπτίων εἰσηγήσεως ἠπατημένον τὸν Ἀδριανὸν εἶπεν ὁ Ὄδιος, συμφωνῶν ὀρθῶς μετὰ Κασωβῶνος καὶ Σαλμασίου (σελ. 282). Ἀλλ᾽ ὁ

ὅμως οὐδ᾽ αὐτὸς ὁ κριτικὸς ἐπέτυχε τῆς ἀκριβείας περὶ τὴν τοῦ Φίλωνος ἐξήγησιν. Λέγει α) ὅτι ἦγον τὴν ἑορτὴν οἱ Ἰουδαῖοι, ὡς ἠπατημένοι ὑπὸ τοῦ φλυάρου Ψευδαριστέου. — Ἀλλ᾽ αὕτη μὲν ἡ περὶ τῆς ἑρμηνείας ἀπάτη τῶν Ἀλεξανδρινῶν ὑπῆρχε σφόδρα παλαιὰ, ὅσον καὶ αὐτὴ τοῦ Ἀριστέου ἡ ἀληθὴς διήγησις· διότι ταύτης μνημονεύει καὶ ὁ μόλις ἕνα μετ᾽ αὐτὸν αἰῶνα γενόμενος Ἀριστόβουλος. Ὅτι δὲ καὶ ἡ πανήγυρις ἐξ ἀρχῆς ἐτελεῖτο, μαρτυρεῖ Φίλων πάλιν εἰπὼν, ὅτι « *καὶ μέχρι νῦν* », ἀνὰ πᾶν ἔτος ἑορτὴ καὶ πανήγυρις ἄγεται ». Ἔπειτα, εἴπερ (ὡς πάντως ἐθέλει) τὴν ἑρμηνείαν ἐπόνησαν Ἀλεξανδρινοὶ πρὸς χρῆσιν ἰδίαν, ὑπῆρχε λοιπὸν ἠθικῶς ἀδύνατον, ἵν᾽ ἐπὶ τοσοῦτον ἐξαπατηθῶσιν ὑπὸ τῆς Ἀριστηΐδος μυθιστορίας, ὥστε παντελῶς ἐπιλαθέσθαι τῶν ἰδίων αὐτῶν πραγμάτων (καὶ τούτων ἱερωτάτων)· ἢ μήπως ἅπαντες ἅμα, χανδὸν ἀποῤῥοφήσαντες τοῦ τῆς λήθης ὕδατος, ἠμνημόνησαν παντάπασι πόθεν ἔσχον τὴν ἑρμηνείαν τῶν Γραφῶν; — β) Ἄλλην θεραπείαν ἐπενόησεν ὁ κριτικὸς, ὅτι καὶ μηδεμίαν ἔχοντες γνῶσιν τῶν Ἀριστέου μυθουργιῶν, ἠδύναντο οἱ Ἀλεξανδρινοὶ ἀληθῶς ἑορτάζειν ἐπὶ τῇ ἑρμηνείᾳ, ὡς εἰδότες αὐτὴν ἐν Ἀλεξανδρείᾳ διαπονηθεῖσαν ὑπὸ Ἰουδαίων ἐγχωρίων. — Εὐφυέστατα! Καὶ λοιπὸν ὁ Φίλων, ἢ παντελῶς ἠλίθιος ἦν, ἢ ψεύστης ἀναιδὴς, διαφθείρων τὴν ἱστορίαν τῆς κατ᾽ αὐτὸν πανδήμου τῶν ὁμοφύλων ἑορτῆς, καὶ τερατολογῶν αὐτὰς ἐκείνας τὰς ἀγνώστους τοῖς Ἀλεξανδρεῦσι

---

Κασωβὼν εἰκάζει καὶ ἄλλο. Ἀφικομένου (λέγει) τοῦ Ἀδριανοῦ εἰς τὴν Αἴγυπτον (ὃν ᾔδεισαν ἅπαντες δριμὺν τῆς τῶν ἐθνικῶν δεισιδαιμονίας ὑπέρμαχον) τῶν χριστιανῶν τινες (ἴσως καὶ τῶν Ἰουδαίων) ὑπεκρίναντο πρὸς καιρὸν ὅτι μετέβαλον θρησκείαν (τιμῶντες τὸν Σέραπιν). Συνέβη δέ τι τοιοῦτο κατὰ τὴν Αἴγυπτον καὶ ἄλλοτε, ὡς βλέπομεν ἐν τῷ Μαρτυρολογίῳ. « Καταλαμβάνει (φησὶ) τὴν Ἀλεξάνδρειαν δικαστὴς ἀπηνέστατός τε καὶ ἀγριώτατος· Ὅθεν καὶ χριστιανοὶ πάντες, οἱ μὲν τῷ δέει τῶν ἀπειλῶν εἰς ἐρημίας ἐφυγαδεύοντο, οἱ δὲ τὸν χριστιανισμὸν κρύπτοντες τὴν ἀσέβειαν ὑπεκρίνοντο » (Μαρτυρίῳ τοῦ ἁγ. Μάρτυρος Ἐπιμάχου τοῦ Αἰγυπτ.)· Τοιοῦτό τι ἴσως συνέβη καὶ κατὰ τὴν τοῦ Ἀδριανοῦ ἄφιξιν· ὅθεν οὗτος ἐπίστευσε πάντας τοὺς χριστιανοὺς (καὶ αὐτοὺς τοὺς Πρεσβυτέρους) τιμῶντας τὸν Σέραπιν. Casaub. not. in Vopisc. p. 249. πρβλ. καὶ Salmas. not. ib. p. 454. ἐν Histor. August Scriptor. Paris. 1620.

μυθολογίας τοῦ Ἀριστέου! Πῶς δὲ πάλιν καὶ αὐτοὶ οὗτοι τοσαύτην ὑπέμενον ὕβριν, βλέποντες τὸν ἔνδοξον *Ἀλαβάρχην*, τὸν ἐκ γένους ἱερατικοῦ Φίλωνα, καὶ τοῦτον Ἀλεξανδρινὸν, οὕτω προπετῶς καὶ ἀχαρίστως ἀφαρπάζοντα τὴν τιμὴν τῆς ἑρμηνείας ἀπὸ τῶν ἰδίων συμπολιτῶν, καὶ ταύτην προδιδόντα τοῖς Ἱεροσολυμίταις, κατὰ τὴν Ἀριστέου διήγησιν; Μὴ γὰρ οὐκ ἦσαν ἐν Ἀλεξανδρείᾳ καὶ ἄρχοντες, καὶ γερουσία, καὶ σοφοὶ τῶν Ἰουδαίων, οἵτινες εὐκόλως ἂν ἀπήλλαττον τῆς τοιαύτης κορύζης τὸν φιλόσοφον; Καὶ αὐτοὶ δὲ οἱ κατὰ τὴν Φάρον εὐωχούμενοι, καλὰς αὐτῷ τῇ ἀληθείᾳ προέπινον προπόσεις, δεξιούμενοι παρόντα κατ' ἔτος (τυχὸν) συμπανηγυριστὴν καὶ συνδαιτυμόνα, τὸν (ὅσον ἐκ τῆς παριστορίας) βεβηλωτὴν καὶ προδότην τῆς πατρῴας ἑορτῆς! — γ) Ὁ Φίλων εἶπεν, ὅτι μετὰ τῶν Ἰουδαίων συνεώρταζον καὶ « *παμπληθεῖς ἕτεροι* »· τούτους δὲ Μάρσαμος μὲν εἰδωλολάτρας ὑπέλαβεν Αἰγυπτίους· Ὅδιος δὲ (θεωρῶν μόνον τὴν ἐπὶ τοῦ Φίλωνος ἐποχὴν, τὸ 50, μ. Χ.) ἔκρινε χριστιανούς· καὶ δικαίως· διότι πιθανώτατα καὶ οὗτοι, οἱ μὲν ἐξ Ἰουδαίων πιστεύσαντες, οἱ δὲ καὶ ἐξ ἐθνικῶν, ἑώρταζον τὴν μνήμην τῆς ἑρμηνείας τῶν, ὧν παρὰ τῶν Ἀποστόλων παρέλαβον, θείων Γραφῶν, ἃς οἱ Ο, θείας ἐπιπνοίας ἔμπλεοι, μεθηρμήνευσαν ἐν τῇ Φάρῳ. Συνδιέπλεον τοίνυν καὶ οὗτοι μετὰ τῶν Ἰουδαίων εἰς τὴν νῆσον, οὔτε συγκοινωνοῦντες ἐκείνοις, καὶ τιμῶντες καὶ αὐτοὶ κατ' ἰδίαν τὴν ἐτήσιον ἑορτὴν τῶν Γραφῶν. Ἀλλ' ὁ κριτικὸς εὐθέως ἀνατίθησι τὸν κῦβον, καὶ γνωσιμαχεῖ, καὶ ὑποπτεύεται, μήπως ὁ Φίλων *παμπληθεῖς ἑτέρους* λέγων συνεορτάζειν τοῖς Ἰουδαίοις, ἢ *ἠπατήθη* (ὡσανεὶ ἠγνόει τὰ τῶν συμπολιτῶν Ἰουδαίων ὁ Ἰουδαῖος!), ἢ καὶ *ὑπερβολικώτερον* (licentius - *ἀδείᾳ* δηλονότι *ποιητικῇ*, καὶ φιλοψευδέστερον) ἐξεφράσθη! Ταῦτα δὲ λέγει τίς; αὐτὸς οὗτος Ὅδιος, ὅστις εἶπε πρὸ μικροῦ, « ὅτι περὶ τούτου τοῦ πράγματος οὐκ ἠδύνατο Φίλων ἀπατηθῆναι » κτλ. (βλ. σελ. 282). Ἐφεξῆς δὲ παρακατιὼν (βλ. σελ. 284) *Ἕλληνας* αὖθις *ἐθνικοὺς* ὑποτίθησι τοὺς συνεορτάζοντας, οὓς πρῴην εἶπε Χριστιανούς. Αὐτοὺς δὲ τοὺς Ἰουδαίους, νῦν μὲν βλάκας

ζωγραφίζει καὶ μωροὺς (ὡς περὶ τῆς ἑρμηνείας ὑπ᾽ ἄλλων καταβουκοληθέντας), νῦν δὲ παμπονήρους ἀπαταιῶνας, παραπείθοντας καὶ ἄλλους τινὰς (μὴ Ἰουδαίους), ὅτι δῆθεν εἰς τιμὴν τῆς κατὰ τὴν Φάρον ὑπὸ τῶν Ο μεταφράσεως συνήρχοντο καὶ *ἄλλοι παμπληθεῖς*. Ἀλλ᾽ οἱ *ἄλλοι οὗτοι*, Ὅδιε, εἴτε Χριστιανοὺς αὐτοὺς τίθῃς, εἴτε καὶ ἐθνικούς, ἦσαν καὶ αὐτοὶ Ἀλεξανδρεῖς, εἰδότες ἀκριβῶς ἐκ τῆς ἐγχωρίου παραδόσεως (οἱ δὲ καὶ ἐκ τῆς Ἀριστέου ἱστορίας, καὶ ἐκ τῶν Ἀριστοβούλου δὲ καὶ ἄλλων, ἴσως, συγγραφῶν), ποῦ, καὶ πότε, καὶ παρὰ τίνων ἡρμηνεύθησαν αἱ Γραφαί. Ὥστε οὔτ᾽ αὐτοὶ διεπαίζοντο τοσοῦτον εὐχερῶς, ἑλκόμενοι τῆς ῥινός, οὔτε πάλιν οἱ Ἰουδαῖοι κατετόλμων ἀλλόκοτά τινα τερατεύεσθαι πρὸς τοὺς ἰδίους αὐτῶν συμπολίτας· ἅτε κινδυνεύοντες εὐθὺς ἐξελέγχεσθαι ὑπ᾽ ἄλλων τε πολλῶν, καὶ μάλιστα τῶν ἐξ Ἰουδαίων πεπιστευκότων Χριστιανῶν. Καὶ ταῦτα μὲν ἐπὶ τοῦ Φίλωνος, καὶ μετὰ Χριστόν. Ἀλλ᾽ ὁ Φίλων (ὡς προείπομεν) ἱστορεῖ τὴν ἑορτὴν παλαιόθεν (καὶ ἑπομένως, καὶ πρὸ Χριστοῦ) τελουμένην· οἱ ἄρα συνερχόμενοι μετὰ τῶν Ἰουδαίων *παμπληθεῖς ἕτεροι*, ἦσαν οὔτε *Χριστιανοὶ μόνον* (κατὰ τὸν Ὅδιον), οὔτε *τῆς Ἴσιδος πανηγυρισταὶ* (κατὰ τὸν Μάρσαμον), ἀλλ᾽ ἄνδρες ἐκ τῆς παμμιγοῦς Ἀλεξανδρείας, καὶ Ἕλληνες καὶ Αἰγύπτιοι, ἐθνικοὶ μὲν ἄλλως, καὶ ἀπερίτμητοι, Θεὸν δὲ ὅμως σεβόμενοι καθαρώτερον, οἷοι ἦσαν οἱ εὐλαβεῖς καὶ φοβούμενοι τὸν Θεὸν (βλ. ὄπισθ. σελ. 74, καὶ βιβλ. α. σελ. 35), οἵτινες ἐγνώριζον μὲν ἀσφαλῶς, ὅπως ἐπὶ Πτολεμαίου μετεφράσθησαν αἱ Γραφαί, ἐτίμων δὲ τὸ ἱεροπρεπὲς τῆς Ἰουδαίων νομοθεσίας, «ὅπερ οὐ παρ᾽ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ παρ᾽ ἄλλοις τεθαύμαςο» (α). Μετὰ δὲ τούτων ὕστερον συνήρχοντο καὶ Χριστιανοὶ (καθὼς προείπομεν) (β).—δ) Τελευταῖον ὁ Ὅδιος ἐσχάτην ἀπεφήνατο

---

(α) Φίλ. Β. βίῳ Μωσ. σελ. 137: — Ἰώσηπ. κ. Ἀπίων. Β. 39. — (β) Ὁ δὲ Δεμάγιστρος Αἰγυπτίους ἀκράτως ἐθνικοὺς ὑπέθετο τοὺς ἄλλους τούτους τοὺς συνερχομένους τοῖς Ἰουδαίοις. Διότι (λέγει) τῆς ἴσης Ἀλεξανδρεῦσι πολιτείας οἱ Ἰουδαῖοι μετεῖχον. (ὅθεν καὶ πολλοῖς τῶν Αἰγυπτίων ἦσαν ᾠκειωμένοι). Καὶ πρὸς τούτοις, εἰ καὶ μὴ πάντες Αἰγύπτιοι, ἀλλὰ γοῦν οἱ ἱερεῖς αὐτῶν (ὡς εἶπεν Ἰώσηπος κ. Ἀπίων. β. 13) «περιετέμνοντο ἅπαντες, καὶ χοιρείων οὐκ ἤσθιον. — τοῖς αὐτοῖς (οἷς καὶ Ἰουδαῖοι)

γνώμην, παραστήσας τοὺς Ἰουδαίους οὕτως ὑπὸ τῶν Ἀριστέου σειρήνων ἐκγεγοητευμένους, ὥστε καὶ αὐτὴν τὴν εἰς ἡδονὴν καὶ τέρψιν ἐξ ἀρχῆς εἰθισμένην εὐωχίαν ἐξέλαβον ὡς ἱεράν τινα τελετὴν, καὶ δὴ καὶ μετεποίησαν εἰς θρησκευτικὴν πανήγυριν· καὶ πρότερον κατ᾽ ἔτος ἀκτάζοντες συνήθως καὶ κατοψοφαγοῦντες, ἔπειτ᾽ ἐκστάντες τῶν φρενῶν καὶ καταβακχευθέντες, ἐνόμισαν, ὅτι ἔθυον ἀνέκαθεν ἑόρτια! Ἀλλ᾽ ὦ Ὅδιε, ποῦ σὲ θῶμεν; τίνα δ᾽ ὧν εἶπας φῶμεν ὀρθά; τίσι δ᾽ ἐμμένεις αὐτός; οὕτως ἀστατεῖς, καὶ μεταβάλλεις τὰς γνώμας, *ἄπιστα πιστοῖς* συναναφύρων, καὶ κυκεῶνος ἀτοπώτερα συγκυκῶν;

§. κϛ. Ἦπου πολὺ πιστότερα φαίνονται μαρτυροῦντες τὴν ἐπὶ τῇ ἑρμηνείᾳ τῶν Γραφῶν πάνδημον πανήγυριν αὐτοὶ οἱ μετὰ Χριστὸν ἀποβάντες διάπυροι τῆς ἑρμηνείας ἐχθροὶ, οἱ μεταγενέστεροι Ῥαββῖνοι· (εἴγε δεῖ καὶ τούτων λόγου πάρεργον ἐπιμνησθῆναι)· οἵτινες πάντα τὰ κηρύττοντα τὸ κλέος τῶν ἑλληνίδων Γραφῶν εἰς τοὐναντίον ἐπειράθησαν οἱ μάταιοι μεταστρέψαι. Ὅθεν ἀντὶ μὲν τῆς *ἐκλαμψάσης* (ὡς εἶπεν ὁ Φίλων) ἐπὶ τῇ ἑρμηνείᾳ *καὶ ἀεὶ νεαζούσης* χάριτος τοῦ Θεοῦ, *σκότος* ἐπ᾽ αὐτῇ *ψηλαφητὸν* ἐπιπεσὸν διεμυθολόγησαν· ἀντὶ δὲ τῆς ἐτησίας ἑορτῆς καὶ *εὐωχίας*, πένθιμον ἔταξαν *νηστείαν* τῇ η, τοῦ παρ᾽ αὐτοῖς μηνὸς Τηβὲθ, ἢ *Τηβὴθ* (Tebeth: συμπίπτει δὲ οὗτος ὁ ἑβραῖος μὴν μεταξὺ Ἰανουαρίου καὶ Φεβρουαρίου). Οὕτως ἐξ ὧν ἔπλασαν *ἐναντίων* μαρτυροῦσι *τοῖς ἐναντίοις*. Καὶ ἐκ τῆς φληνάφου παρῳδίας ὑπεμφαίνουσιν ἣν διέστρεψαν γνησίαν τῆς ἱστορίας ᾠδήν. Μόνος ὁ Σκαλίγηρος εὗρηκε τὰ τῶν ῥαββίνων ταῦτα πιστὰ, κατὰ γράμμα ἐκλαβὼν (α). Ἐξήλεγξε δὲ συνετῶς τὸν μῦθον ὁ σοφὸς Ὅδιος (β)· ἀλλὰ τὴν ὑπὸ τῷ μύθῳ κρυπτομένην ἀλήθειαν οὐ συνεῖδεν.

---

*χρώμενοι ἔθεσι »* (Demag. p 322 sq.). *Καὶ ξένον οὐδὲν, εἰ καὶ μεταξὺ τῶν ἄλλως τοῖς Ἰουδαίοις ἐχθαιρόντων Αἰγυπτίων ἦσαν καὶ πολλοὶ πρὸς αὐτοὺς πολιτικώτερον προσῳκειωμένοι.* — (α) *Καὶ νεωστὶ ὁ Χῖος λεγόμενος Ῥηγελλίνης· ὅστις ἐν τῷ πολλαχῶς ἀθλίῳ αὐτοῦ βιβλίῳ* (Reghellini de Schio, Examen du Mosaïsme et du Christianisme. T. 1. p. 295. Paris 1834)· *τὸν ἀνωτέρω ῥαββινικὸν μῦθον ἀναφέρει εἰς τὸν ἱστορικὸν Ἰώσηπον τὸν Φλάβιον!!*

(β) Βλ· ὄπισθ. σελ· 187· Ὀδίῳ συμφωνεῖ καὶ J. Ch. Wolfius Bibliothec. Hebraic. P. 2. p. 443.

§. κζ. Οὐδὲ τὰ περὶ τῶν παραλίων Ἰουδαϊκῶν Προσευχῶν (προσευκτηρίων οἴκων) ἐμνημόνευσε πρὸς ἔπος. Ποίαν ταῦτα σχέσιν ἔχουσι πρὸς τὰς ἐπακτίους εὐωχίας παραβαλλόμενα; (σελ. 284). Προσευχὰς εἶχον οἱ Ἰουδαῖοι καὶ εἰς τὰς πόλεις, καὶ παρὰ τὰς ὄχθας, καὶ παρὰ τὰς ἀκτάς (α). ἀλλ᾿ ἐκεῖ προσηύχοντο μόνον, καὶ συνελάλουν δὲ καὶ πρότερον καὶ ὕστερον τῆς προσευχῆς, ἔξω που τοῦ εὐκτηρίου καθήμενοι παρὰ τὰς δενδροφύτους ὄχθας. Εὐωχίαν δὲ συμποτικὴν οὐδεμίαν ἐποίουν. « *Ἐπὶ δὲ τῶν ποταμῶν Βαβυλῶνος* (ἐπειδὴ καὶ τούτου Ὅδιος ἐπεμνήσθη) οὔτε *προσευχὴν* εἶχον ᾠκοδομημένην, καὶ *ἀντὶ τερπνῆς εὐωχίας* καὶ λόγων ἑστιάσεως, πᾶν τοὐναντίον οἱ τάλανες συνελθόντες, τὰς οἰκείας ὠλοφύροντο συμφοράς. «*Ἐκεῖ ἐκάθισαν καὶ ἔκλαυσαν ἐν τῷ μνησθῆναι αὐτοὺς τῆς Σιών, καὶ τὰ ὄργανα αὐτῶν ἐκρέμασαν ἐπὶ ταῖς ἰτέαις*» ἄφωνα καὶ σιγηρά! — Τὸ δὲ καλὸν ἐπίγραμμα τοῦ Φιλοδήμου πάνυ μὲν χαριέντως προσέθηκεν ὁ κριτικὸς, ἀποδεικνύων ἀρχαῖον παρ᾿ Ἕλλησι τὸ ἀκτάζειν. Φιλοφρόνως δὲ καὶ τῶν νεωτέρων Ἑλλήνων ἐπεμνήσθη (καθὼς καὶ πρὸ αὐτοῦ ὁ Βρουδαῖος, ἐν ταῖς εἰς τὸ ἐπίγραμμα σημειώσεσιν), ὡς ἔτι καὶ νῦν τὸ ἔθος διατηρούντων. Καὶ τῷ ὄντι συνέρχονται καὶ οὗτοι (καθὼς καὶ οἱ προπάτορες) εἰς παράλια χωρία ἀνθοῦντα, ἀκμάζοντος ἔαρος, καὶ συνευωχοῦνται· καὶ τούτοις, « πολλῶν καὶ πτηνῶν καὶ χερσαίων ἁλισκομένων, οὐχ ἧττον ἡ θάλασσα παρέχει τὴν ἀγορὰν εὐτράπεζον, ἐν τόποις καθαροῖς καὶ ἀγχιβαθέσι γενναῖον ἰχθὺν καὶ πολὺν ἐκτρέφουσα » (Πλούταρχ. Συμποσ. Δ. δ). Οὕτως, ὦ φίλ᾿ Ὅδιε, πολλὰ τῶν πατρίων ἀθῴων ἐθίμων οἱ νεώτεροι διεφύλαξαν Ἕλληνες· μάλιστα δὲ πάντων διακρατοῦσι τὰ θεῖα καὶ ἱερὰ τῆς Εὐσεβείας διδάγματα, ἐν οἷς καὶ τὴν περὶ τῆς ἑρμηνείας τῶν θείων Γραφῶν πατροπαράδοτον ἱστορίαν. Πλὴν ἀλλ᾿ ὅμως καὶ ἀκτάζοντες, ὦ σοφώτατε ἀνδρῶν, λίαν ἄτοπον εὑρί-

---

(α) Φίλ. π ρ ὶ ἀ ρ ε τ. καὶ ε ἰ ς Φ λ ά κ. καὶ ἀλλαχοῦ· πρβλ. καὶ Petav. animadv. ad Epiphan Haer. 80. — Le Moyen Varia Sacr. vol. 2. p. 76.

σκομεν τὴν εἰρημένην σου γνώμην· ὅτι δῆθεν ἐκ τοιαύτης ἐν ἀκταῖς τῶν Ἀλεξανδρέων εὐωχίας ἔσχε τὴν πρώτην γένεσιν ὁ παρὰ σοὶ μῦθος τῆς κατὰ τὴν Φάρον ἐπὶ τῇ μεταφράσει τῶν Γραφῶν θρησκευτικῆς ἑορτῆς (α). Ἔπειτα δὲ καὶ ἄλλως, οὐδ' αὐτὸ τὸ Φιλοδήμειον ἐπίγραμμα φαίνεται πάντῃ προσφυὲς καὶ κατάλληλον πρὸς ὃν προέθου σκοπόν. Κάλλιον (νομίζομεν, ἀτόποις ἄτοπα παραβάλλοντες), πολὺ κάλλιον ἂν ἔπραττες, εἴπερ ἄλλην τινὰ περὶ ἀκταζόντων ἐξέφερες μαρτυρίαν, ἀφ' ἧς ἂν ἐπειράθης τοῦ μύθου τὴν γένεσιν ἀποδεῖξαι· καὶ ταύτην οὐ δήπου Ῥωμαϊκήν, κατὰ τοὺς

---

(α) Ὁ δ' ἐν πολλοῖς Θρασύμαχος Βανδάλης (Van Dale, Dissert. c. 30 p. 224) ἐπὶ μεῖζον προπετείας ἐξώκειλε, πολὺ τῶν Ὀδίου καὶ Μαρσάμου ἀτοπώτερα φαντασθείς. Ἔκρινε περὶ τοῦ Φίλωνος, ὅτι «εἴτε κατ' ἀπερισκεψίαν, εἴτε καὶ σπουδῇ καὶ προαιρέσει συνέχεε τὴν ἣν λέγει ἑορτὴν τῆς Φάρου πρὸς τὴν ἐν Κανώβῳ γινομένην».— «Εἶχε γὰρ (ἡ Κάνωβος) τὸ τοῦ Σαράπιδος ἱερὸν πολλῇ ἁγιστείᾳ τιμώμενον, καὶ θεραπείας ἐκφέρον.— Ἀντὶ πάντων δ' ἐστὶν ὁ τῶν πανηγυριστῶν ὄχλος, τῶν ἐκ τῆς Ἀλεξανδρείας κατιόντων τῇ διώρυγι· πᾶσα γὰρ ἡμέρα καὶ πᾶσα νὺξ πληθύει, τῶν μὲν ἐν τοῖς πλοιαρίοις καταυλουμένων καὶ κατορχουμένων ἀνέδην μετὰ τῆς ἐσχάτης ἀκολασίας, καὶ ἀνδρῶν καὶ γυναικῶν, τῶν δὲ» κτλ. (Στράβ. ιζ, 801). Ταύτην τὴν ἐν Κανώβῳ —(Τανῦν Ἀραβ. Ἀβουκίρ. βλ. τοῦ Πατριάρχ. Κωνσταντ. Αἰγυπτιακ. σελ. 455: Ἔστι δὲ καὶ ἐν Δ, Συνόδ. Πράξ. γ, «Μετάνοια προάστειον Ἀλεξανδρείας, ὁ ποτὲ Κάνωπος»). —Ταύτην δὴ τὴν ἐν Κανώβῳ συῤῥοὴν τῶν τοῦ Σεράπιδος λατρευτῶν, «πᾶσαν ἡμέραν καὶ πᾶσαν νύκτα (ἄλλων μετ' ἄλλους) ἀδιαλείπτως κατιόντων (ὅθεν καὶ μηδ' ἐτησίαν οὖσαν ἑορτήν) συνέχεεν ὁ Φίλων (κατὰ τὸν Βανδάλην) πρὸς τὴν ἐπὶ τῆς Φάρου ἑορτήν, ἤγουν ἐξ ἐκείνης τῆς Κανωβικῆς συῤῥοῆς, ἔπλασε καὶ τὴν ἐν Φάρῳ πανήγυριν· (διότι ἄλλην οὐδεμίαν ἐπὶ τῆς Φάρου ἑορτήν, οἵαν εὕρηκεν ὁ Μάρσαμος τὴν τῆς Φαρίας Ἴσιδος, οὔτ' ἐγίνωσκεν οὔτ' ἐμνημόνευσεν ὁ Βανδάλης). Καὶ λοιπὸν ὁ Φίλων ἐψεύδετο πρὸς τοὺς ἰδίους συμπολίτας ἀγυρτικῶς, ἑορτὰς ἀνυπάρκτους ἐν μέσῃ τῇ Ἀλεξανδρείᾳ μυθοπλαστῶν· ἠγνόει δὲ ἄρα καὶ ποῦ μὲν κεῖται Κάνωβος, ποῦ δὲ ἡ Φάρος (συνέχεε γὰρ πάντως καὶ τὰ χωρία, συγχύζων τὰς ἑορτάς!), καὶ αὐτοὺς δὲ τοὺς ἐν Κανώβῳ καταυλουμένους μετὰ τῆς ἐσχάτης ἀκολασίας μετεμόρφωσεν εἰς προσευχομένους καὶ εὐχαριστοῦντας Θεῷ! Ταῦτα δὲ πάντα κατεῖδε καὶ διέκρινεν ἐκ τῶν Κάτω χωρῶν εἰς τὴν Αἴγυπτον ἀποσκοπῶν, 1560 ὕστερον τοῦ Φίλωνος ἐνιαυτούς, ὁ Βαταυὸς Βανδάλης!! Εἰ δὲ προτετίθει καὶ ὅτι «ἐν ταῖς περὶ Κάνωβον καὶ Ταφόσιριν ἀκταῖς καὶ Ἀντώνιος ἔπαιζε μετὰ τῆς Κλεοπάτρας» (Πλούταρχ. ἐν Συγκρ. Δημητρ. καὶ Ἀντων. §. γ), διπλῶς ἂν ἐξήλεγχε τὸν Φίλωνα ὁ κριτικός! Οὕτως ἐμβριθεῖς καὶ δίκαιοι γεγόνασιν, ἀναγνῶστα, οἱ τοῦ Ἀριστέου δικασταί! καὶ τοῦτ' ἐστὶν (ὡς ἔοικε) τὸ «ἐπαρίστερα γράμματα μαθεῖν»

Εἰχορνίου Μαϊουμᾶς (α), ἀλλὰ καὶ λίαν ἑλληνικὴν καὶ ἀρχαιοτάτην, ἐκ τοῦ σύνεγγυς μάλιστα τῆς Ἀλεξανδρείας λαβών. Τοιαύτη τις φαίνεται τοῦ ἰατροῦ Φιλωνίδου ἡ ἐφεξῆς. « *Ἐκ τῆς ἐρυθρᾶς* (φησι) *θαλάττης* ὑπὸ Διονύσου μετενεχθείσης εἰς τὴν Ἑλλάδα τῆς ἀμπέλου, καὶ πρὸς ἄμετρον ἀπόλαυσιν τῶν πολλῶν ἐκτρεπομένων, ἄκρατόν τε προσφερομένων, οἱ μὲν αὐτῶν μανιωδῶς ἐκτρεπόμενοι παρέπαιον· οἱ δὲ νεκροῖς ἐῴκεσαν ἀπὸ τῆς καρώσεως. *Ἐπ᾽ ἀκτῆς δέ τινων πινόντων*, ἐπιπεσὼν ὄμβρος, τὸ μὲν συμπόσιον διέλυσε, τὸν δὲ κρατῆρα, ὃς εἶχεν ὀλίγον οἶνον ὑπολελειμμένον, ἐπλήρωσεν ὕδατος. Γενομένης δ᾽ αἰθρίας, εἰς τὸν αὐτὸν ὑποςρέψαντες τόπον, γευσάμενοι τοῦ μίγματος, προσηνῆ καὶ ἄλυπον ἔσχον τὴν ἀπόλαυσιν. Καὶ διά τοῦθ᾽ οἱ Ἕλληνες τῷ μὲν παρὰ δεῖπνον ἀκράτῳ προσδιδομένῳ τὸν *ἀγαθὸν* ἐπιφωνοῦσι *δαίμονα*· ἦν δ᾽ οὗτος ὁ Διόνυσος. Τῷ δὲ μετὰ δεῖπνον κεκραμένῳ πρώτῳ προσδιδομένῳ ποτηρίῳ *Δία σωτῆρα* ἐπιλέγουσι, τῆς ἐκ τοῦ μίγματος ἀλύπου κράσεως τὸν καὶ τῶν ὄμβρων ἀρχηγὸν αἴτιον ὑπολαβόντες » (Φιλωνίδης παρ᾽ Ἀθην. ιε, σελ. 675). Τοιουτοτρόπως φαίνεται, *πινόντων ἐπ᾽ ἀκταῖς* καὶ τῶν Ἀλεξανδρέων, ἐπέπεσεν ἐξαίφνης, ὡς ὄμβρος, ἡ πλαδαρὰ τοῦ Ἀριστέου μυθολογία, καὶ τὸν

---

(α) Ὁ κλεινὸς Εἰχόρνιος (Eichhorn, Repertor. für bibl. u. morgenl. Litterar. T. I. p. 278, παραβάλλει τὴν ἐν Φάρῳ ἑορτὴν πρὸς τὴν ὑπὸ τῶν Ῥωμαίων εἰς τιμὴν τῆς Μαίας κατὰ τὸν Μάϊον μῆνα τελουμένην πανήγυριν, καθ᾽ ἥν; « Τὴν παράλιον καταλαμβάνοντες πόλιν, τὴν λεγομένην Ὀστίαν, οἱ τὰ πρῶτα τῆς πόλεως τελοῦντες, ἡδυπαθεῖν ἠνείχοντο ἐν τοῖς θαλασσίοις ὕδασιν ἀλλήλους ἐμβάλλοντες· ὅθεν καὶ Μ α ϊ ο υ μ ᾶ ς ὁ τῆς τοιαύτης ἑορτῆς καιρὸς ὠνομάζετο » (Σουΐδ. λ. Μαϊουμ.). Ἐτέλουν δὲ καὶ ὕστερον τὴν ἑορτὴν τοῦ Μαϊουμᾶ οἱ Ῥωμαῖοι· ὅθεν καὶ εἰς τὴν Κωνςαντινούπολιν καὶ τὴν Ἀσίαν μετηνέχθη. (βλ. Ἰουλιαν. Μισοπώγ. σελ. 362 τ. α Spanh) Εἰ μὴ καὶ εἰς τὴν Ῥώμην ἦλθεν ἐκ τῆς Γάζης (Struvi Antiquit. Roman. L. 1. c. 9). Καὶ Θεοδόσιος μὲν ὁ Αὐτοκράτωρ κατήργησε τὴν πανήγυριν διὰ τὰς κατ᾽ αὐτὴν ἀκοσμίας (Cod. Theodos. Lib. XV. lit. 6). Ἀλλὰ πάλιν Λέων ὁ ἐκ Χαζάρας υἱὸς Κωνσταντίνου τοῦ Κοπρωνύμου (τῷ 776 μ. Χ.) « ἐποίησε Μαϊουμᾶν ἐν Σοφιαναῖς » (Θεοφάν. Χρον. 3). Βλ. τὸν Δουκάγγιον (vol. I. p. 852: καὶ Meurs. Gloss. p. 320. καὶ Fabr. Bibl. Gr. vol. III. p. 663). Ὥστε ἡ τοῦ Μαρσάμου Φαρία Ἶσις μετεμορφώθη παρὰ τῷ Εἰχορνίῳ εἰς Μαῖαν Ῥωμαίαν, καὶ ἡ Φάρος εἰς Ὀστίαν· ἡ δ᾽ Ἰσραηλῖτις ἑορτή, εἰς Αὐσόνιον Μαϊουμᾶν! Ὁ δὲ Φίλων ἄρα οὐδὲν τούτων ᾔδει!

φιλόθοινον τῆς συμποτικῆς αὐτῶν γνώμης κρατῆρα, ἐνδεῆ τυχόντα καὶ ἡμικέραστον, ἀνεπλήρωσε σεμνῶν καὶ νηφαλίων ἐννοιῶν. Ὅθεν καὶ τὸ πρώην ἄκρατον συμπόσιον ἀπέβη μίγμα προσηνὲς τέρψεως ἅμα σωματικῆς, καὶ θρησκευτικῆς ἑορτῆς καὶ θεοκλυτίας, ἐν ᾗ *τὸν ἀγαθὸν καὶ σωτῆρα Θεὸν* ἐπιφωνοῦντες, ἐτρέποντο μετὰ τὰς εὐχὰς εἰς ἀπόλαυσιν τῆς εὐωχίας. Τοιαῦτά τινα διέγραψεν ἡμῖν ὁ κριτικὸς τῆς ἐν Φάρῳ πανηγύρεως τὰ γενέθλια! ἀλλ' ἀπέχομεν· ἱκανὰ καὶ ταῦτα πρὸς τὸν παίζοντα πολλάκις ἐν τοῖς σπουδαίοις σοφὸν, καὶ ἴσως οὐκ ἀπᾴδοντα πρὸς ἃ περὶ τῆς ἑορτῆς ἔπλασεν, ἀληθῶς ἑορταστρίας φαντασίας παίγνια· « οἷα καὶ οἱ ἀργοὶ τὴν διάνοιαν εἰώθασιν ἑστιᾶσθαι ὑφ' ἑαυτῶν, ὅταν μόνοι πορεύωνται » (Πλάτ. Πολιτ. ε, 458). Μεταβαίνομεν εἰς ἄλλα.

## ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

*Περὶ τῶν Ο, δωματίων ἐν οἷς οἱ Ο, μεθηρμήνευσαν κατὰ θείαν ἐπίπνοιαν τὰς Γραφάς.*
*Ἀντίῤῥησις τῶν ἐναντίων.*

§. α. « Πρὸ τοῦ τεσσαρακοστοῦ μ. Χ. ἔτους (λέγουσιν οἱ περὶ τὸν Ὅδιον, Βιβλ. β, σελ. 136 κτλ.), πρὶν ἢ Φίλων ὁ Ἰουδαῖος ἀκμάσῃ, οἱ κατ' Ἀλεξάνδρειαν ἑλληνίζοντες Ἰουδαῖοι, ἀνακαλούμενοι ὑπὸ τῶν Ἑβραϊστῶν εἰς αὐτὸ τὸ θεόπνευστον κείμενον, τὸ Ἑβραϊκὸν, καὶ μὴ στέργοντες, προσέθηκαν πρὸς ταῖς Ἀριστέου μυθοπλαστίαις καὶ ταύτην· Ὅτι δῆθεν καὶ οἱ Ο, κατὰ θείαν ἐπίπνοιαν μετεγλώττισαν τὰς Γραφάς. Οὕτω γὰρ ἡ ἑρμηνεία παρά τε τοῖς Ἑβραίοις ἀπέβαινεν ὁμοδύναμος τοῦ ἀρχετύπου κειμένου, καὶ τὸ κῦρος ἰσοστάσιος καὶ ἰσότιμος, καὶ παρὰ τοῖς ἐθνικοῖς σεβασμία καὶ γεραρά. Τοῦτον οὖν τὸν μῦθον ἦσαν ἤδη πεπιστευκότες κατὰ τοὺς Φίλωνος χρόνους οἱ Ἀλεξανδρινοὶ, καὶ Φίλων αὐτός. Κατὰ δὲ τὸν ἐφεξῆς τοῦ Φίλωνος αἰῶνα ἀνεφύη καὶ ἄλλο μυθάριον (ὡς ἐπιβλαστάνουσι συνήθως τὰ τῶν μύθων ἐπιγεννήματα), λέγω δὲ τὸ περὶ τῶν ΟΒ δωματίων, ἢ οἰκίσκων, ἐν οἷς τῶν ἑρμηνέων ἀπ' ἀλλήλων κεχωρισμένων διε-

πόνησεν ἕκαστος ἰδίαν τῶν Γραφῶν ἑρμηνείαν· μετὰ δὲ τὴν συμπλήρωσιν, πᾶσαι αἱ ἑρμηνεῖαι εὑρέθησαν σύμφωνοι πρὸς ἀλλήλας, μηδὲν μέχρι λέξεως καὶ κεραίας διαφωνοῦσαι. Τούτων τῶν ΟΒ δωματίων τὰ ἴχνη κατεῖδεν (ὡς ἐνόμισεν) ἐν τῇ Φάρῳ καὶ ὁ μόλις ἑκατὸν ἔτεσι τοῦ Φίλωνος νεώτερος Ἰουστῖνος ὁ μάρτυς, ὡς αὐτὸς ὁμολογεῖ λέγων. « Ταῦτα οὐ μῦθος ἡμῖν, ὦ ἄνδρες Ἕλληνες, οὐδὲ πεπλασμένας ἱστορίας ἀπαγγέλλομεν, ἀλλ' αὐτοὶ ἐν τῇ Ἀλεξανδρείᾳ γενόμενοι, καὶ τὰ ἴχνη τῶν οἰκίσκων ἐν τῇ Φάρῳ ἑωρακότες ἔτι σωζόμενα, καὶ παρὰ τῶν ἐκεῖ, ὡς τὰ πάτρια παρειληφότων, ἀκηκοότες ταῦτα ἀπαγγέλλομεν » (Ἰουστῖν. Παραινετ. σελ. 14). Μετὰ δὲ τὸν Ἰουστῖνον παρεδέχθησαν ἐκ πολλῆς εὐπιστίας τὸν μῦθον καὶ ὁ μακάριος Εἰρηναῖος (γ. 25, καὶ παρ' Εὐσεβίῳ Ἐκκλ. ἱστορ. Ε, 8) (α), καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς (Στρωμ. α, 342), καὶ Κύριλλος ὁ Ἱεροσολύμων (Κατηχ. δ. σελ. 37), καὶ (ἐκ τῶν Δυτικῶν) Φιλάστριος ἐπίσκοπος Βριξῶν (β), καὶ ὁ ἱερὸς Αὐγουστῖνος (γ), καὶ Ῥουφῖνος (δ), καὶ Ἰσίδωρος ὁ Ἰσπάλεως Ἐπίσκοπος (ε), καὶ Ῥαβανὸς ὁ Μαῦρος (ζ), καὶ ὁ συγγραφεὺς τοῦ Ἀλεξανδρινοῦ, ἢ Πασχαλίου χρονικοῦ (σελ. 826 Βόν.), καὶ Νικηφόρος ὁ Κάλλιστος (Ἐκκλ. ἱστορ. Δ, 14), καὶ ὁ διασκευαστὴς (interpolator) τοῦ κατ' Εὐσέβιον χρονικοῦ, καὶ ὁ Ζιγαβηνὸς Εὐθύμιος (Προοιμ. εἰς τοὺς Ψαλμ.), πολὺν ἐπισυρόμενος ὄχλον τῶν ἐφεξῆς συγγραφέων (η). Ἐκ δὲ τῶν Ἀράβων, ὅ,τε

(α) Καὶ Εὐσέβιος λοιπὸν αὐτὸς ἀποδέχεται καὶ βεβαιοῖ τὰ τοῦ Εἰρηναίου, μεταγράψας ἐν τῇ 'Εκκλ. ἱστορίᾳ, δηλοῖ δὲ μάλιστα καὶ ἡ φράσις, δι' ἧς διεγείρει τὸν ἀναγνώστην εἰς ἀκρόασιν τῆς Εἰρηναίου περικοπῆς, λέγων· « Καὶ περὶ τῆς κατὰ τοὺς Ο, ἑρμηνείας — ἄκουε οἷα κατὰ λέξιν γράφει » κτλ. ('Εκκλ. ἱστορ. ε, 8). Ὥστε μάτην Ὅδιος ἐφεξῆς προβάλλεται τὸν διασκευαστὴν τοῦ χρονικοῦ, ὡς δῆθεν μηδέποτε γράψαντος μηδὲ φρονήσαντος ταῦτα τοῦ Εὐσεβίου. (βλ. καὶ ἐφεξῆς §. ς). Σημ. ἡμετ.

(β) Philast. Brixiens. (τῷ 360—380), Haeres. 90.

(γ) S. August. De Cons. Evangel. Lib. 2. c. 66. καὶ ἀλλαχοῦ:

(δ) Rufin. Invect. II. c. Hieron. — (ε) Isidor. Orig. VI. 3.

(ζ) Raban. Maur. de Jnstit. Cleric.

(η) Οἷον, Petr. Comestor, Hist. Scholast. — Ott. Frisingens.

συγγραφεὺς τοῦ Ἀνατολικοῦ χρονικοῦ, καὶ Εὐτύχιος ὁ Βατρακίδης (Χρον.), καὶ Γεώργιος Ὁμαιδίδης ὁ Ἐλμακῖνος (Χρον.). Μετὰ τούτων ἀριθμητέος καὶ Ἰωάννης ὁ Χρυσόστομος (Ὁμιλ. ε. εἰς Ματθ.), καὶ Θεοδώρητος (προοιμ. εἰς τοὺς Ψαλμοὺς), καὶ ἄλλοι (α), οἵτινες τῶν μὲν οἰκίσκων οὐ μνημονεύουσι ῥητῶς, συνομολογοῦσι δὲ ὅμως περί τε τῆς συμφωνίας καὶ τοῦ προφητικοῦ πνεύματος τῶν ἑρμηνευτῶν (β). Ὁ δὲ γραικύλος Ματθαῖος ὁ Κιγάλας προστίθησι, καὶ ὅτι ἐν ἑκάστῳ οἰκίσκῳ ἦσαν συγκεκλεισμένοι εἷς τῶν ἑρμηνέων, καὶ εἷς τις ἐθνικός (γ). Ἀλλ' οὐδ' ἐκ τῶν Ῥαββίνων λείπουσιν οἱ θείας ἐπιπνοίας μετόχους ὁμολογοῦντες τοὺς ἑρμηνεῖς, καὶ τὸ θαῦμα τῶν οἰκίσκων ἐπιφερόμενοι, οἷον ὁ Γοριωνίδης Ἰώσηπος, καὶ ἡ κατὰ Ἄραβας δευτέρα τῶν Μακκαβαίων. Πολλὰ δὲ καὶ ἄλλα Ῥαββίνων ὀνόματα Ταλμουδικῶν κατέλεξεν ὁ Μορῖνος (δ). Τὴν περὶ τῶν ΟΒ δωματίων παράδοσιν ἀποδέχονται καὶ τὴν σήμερον κοινῶς οἱ Ποντιφήκειοι, ἢ Παπικοί (ε). Ἀλλ'

---

Chron. II, 47.— Gotfrid. Viterbiens. Chron. part. XI.— Vincent. Bellovacens. Specul. Hist. V. 17, καὶ ἄλλοι τῆς αὐτῆς ζύμης, (Hody).

(α) Julian. Pomer. Demonst. c. Judaeos l. 3. καὶ Ἀνώνυμος in Caten. Aurea in Dominicam Palmarum. — (β) Εἰ δὲ περὶ τούτου συμφωνοῦσι, τίς ἀμφιβάλλει ὅτι καὶ τοὺς οἰκίσκους καὶ μὴ μνημονεύσαντες ἀπεδέχοντο; μὴ γὰρ οὐ συνεισάγει καὶ τοὺς οἰκίσκους τὸ θαῦμα τῆς συμφωνίας; Τὰς δ' ἑξῆς (σελ. 340) ὑποδιαιρέσεις ἠγνόουν οἱ Πατέρες ἐκεῖνοι! Σημ. ἡμετ.

(γ) Πάλιν ὁ πτωχὸς γραικύλος ὁ Κιγάλας αὐστηρότερον διακωμῳδεῖται, διότι τοσοῦτον μόνον ἔπταισεν, ὅτι εἶπεν ἕνα τὸν σὺν ἑκάστῳ τῶν ἑρμηνέων συγκεκλεισμένον, ἐν ᾧ ὁ Ἐπιφάνιος εἶπε δύω (τοὺς ὑπηρέτας παῖδας δηλαδὴ). Ἀλλ' ἡ γραικυλομάχος Ὀδίου Μοῦσα τραχύνεται πολλάκις ἐπὶ τοσοῦτον, ὥστε «κἂν ἀναίτιον αἰτιόῳτο». Σημ. ἡμετ.

(δ) Morin. Exercit. Biblic. 8. Lib. I. c. 1.

(ε) Οἷον, Petrus Galatinus de arcan. Cathol. verit. L. 3. — P. Galesin. de LXX. interpr. p. 32. — Sixt. Senens, Biblioth. L. 8. — Melchior Guilandin. de papyro pag. 58. — Alph. Salmer. proleg. 5. — Leo Castrius de LXX. — I. Middendorp. praef. in Aristeam. — N. Serarius proleg. Bibl. c. 17. — J. Bonferius Praeloq. Bibl. 16. §. 3. — J. Morinus Exercit. — De la Hay proleg. in Bibl. καὶ ἄλλοι συχνοί· βλ. Hody pag. 139.

ὅμως εἰσὶ κἀν τούτοις οἱ ἀποῤῥίπτοντες αὐτὴν ὡς ψευδῆ· τούτων δὲ πάλιν οἱ μὲν ἀποβάλλοντες τοὺς οἰκίσκους, ἀποδέχονται ὅμως τὴν ἐκ θείας ἐπιπνοίας ἑρμηνείαν καὶ συμφωνίαν τῶν ἑρμηνευτῶν (α), καὶ αὐτὸς ὁ Ἔρασμος ὡμολόγησεν αὐτοὺς ἐκ θείου πνεύματος ἐμπνευσθέντας (β). Ὁ δὲ Βαρόνιος περὶ μὲν τῆς ἑρμηνείας εἶπεν, ὅτι ἔχει θεῖόν τι μᾶλλον, ἢ ἀνθρώπινον, καὶ πιστεύει πνευματεμφόρους τοὺς ἑρμηνεῖς, καὶ προφητικῶς ἐνίοτε φθεγξαμένους. Περὶ δὲ τῶν δωματίων ἀμφιταλαντευθεὶς καὶ διχογνωμήσας, ἀπέκλινε, τέλος, πρὸς τὴν κοινὴν γνώμην, προσθεὶς, ὅτι «περὶ ζητήματος οὕτως ἀρχαίου οὐχ ἡμέτερον ἔργον ἀποφήνασθαί τι βέβαιον· καὶ μᾶλλον ἀσμενέστεροι συναινοῦμεν μετὰ τοσούτων μαρτύρων σεβαστῶν καὶ ἀξιοτίμων διά τε τὴν εἰλικρίνειαν καὶ τὴν ἀρχαιότητα» (γ). Ἄλλοι δὲ, τέλος, τῶν Δυτικῶν οὐ μόνον τοὺς οἰκίσκους, ἀλλὰ καὶ τὴν θεόθεν ἔμπνευσιν τῶν ἑρμηνευτῶν ἐοίκασιν ἀποδοκιμάζειν (δ). Παρὰ δὲ τοῖς Ἀναμορφωταῖς κοινῶς μὲν ἀποῤῥίπτεται ἡ παράδοσις καὶ τῶν δωματίων καὶ τῆς ἐμπνεύσεως τῶν μεταφραστῶν. Ἀλλ' ὅμως εἰσὶ καὶ μεταξὺ τῶν Διαμαρτυρουμένων οἱ πιστῶς ἀμφότερα δεχόμενοι καὶ ὁμολογοῦντες (ε).

§. β. Ἡμεῖς δὲ (λέγουσιν οἱ περὶ τὸν Ὅδιον), κἂν δοθῇ πρὸς ὥραν ὅτι ὑπὸ ΟΒ πρεσβυτέρων ἐξεπονήθη ἡ ἑρμηνεία (ὅπερ ἄλλως ἀπαρνούμεθα), πλὴν ἀλλὰ καὶ οὕτω διαβεβαιούμεθα καὶ διακη-

---

(α) F. Titelman. prolog. Apolog. pro Edit. Vulgat.—Card. Bellarmin. de verb. Dei II. 6.—And. Masius praef. Com. ad Josuam. p. 120.—Ant. Possevin. Appar. Sacr. v. LXXII. interp.

(β) Praefat. in Annot. N. Test.—(γ) Annal. ad an. 231. T. 2. p. 385.

(δ) Ὡς, Martinus Martini Hypotypos. Theol., καὶ Dion. Petav. de doctr. Temp. 9, 17. Ὁ δὲ Masius θεοπνεύστους ὁμολογήσας τοὺς ἑρμηνεῖς, μετ' ὀλίγον ἀκράτως ἀνθρώπους αὐτοὺς εἶπε, καὶ εἰς ἀπάτην ὑποκειμένους (σελ. 124). Hody.

(ε) Οἷον Hieron. Zanchius, de Script. Q. 10. p. 318.—J. Meyer Continuat. historiae à Neemia ad Christ. p. 104. Ὁ δὲ J. Gregorius καὶ Fr. Iunius ἀποδέχονται τὴν ἐπίπνοιαν, καὶ πάλιν ἀπαρνοῦνται. Ὅ γέ μην J. Vossius πνευματεμφόρους μὲν σταθερῶς ἀνακηρύττει τοὺς ἑρμηνεῖς, ἀποβάλλει δὲ τοὺς οἰκίσκους (Hody).

ρύττομεν πλάσμα μυθῶδες εἶναι τό, τε περὶ τῆς θείας ἐπιπνοίας τῶν ἑρμηνέων, καὶ τὸ περὶ τῶν οἰκίσκων, καίτοι παρὰ πολλοῖς ἀμφότερα φερόμενα συγγραφεῦσιν. Οὐδὲ θαυμαστέον, εἰ καὶ τοσοῦτοι τῶν ἀρχαίων Πατέρων εἰς ταύτην τὴν πλάνην ἐξώλισθον. « *Ὃ γὰρ ἀγαπῶμεν, τοῦτο καὶ ῥαδίως πιστεύομεν* ». « Τὸν μάρτυρα Ἰουστῖνον (λέγει Μάσιος ὁ σοφώτατος), ἀμαυρῶν τινων λειψάνων ἀρχαίων οἰκοδομῶν (οὐκ οἶδ᾽ ὁποίων) αὐτῷ δειχθέντων, οὐδὲν παράδοξον, εἴπερ οἱ κατ᾽ Ἀλεξάνδρειαν Ἰουδαῖοι (ἢ καὶ Χριστιανοί τινες ὑπὸ Ἰουδαίων ἀπατηθέντες) ἴσχυσαν παραγαγεῖν εἰς τὸ πιστεῦσαι ταύτην τὴν παράδοσιν παρὰ τῶν Πατέρων ἄνωθεν (ὡς ἔλεγον) εἰς αὐτοὺς κατελθοῦσαν. Τοῦτο δὲ, καὶ εἴπερ ἄλλως κατὰ δόκησιν ἐλέγετο καὶ ὑπόληψιν ἁπλῆν, οὐ μόνον αὐτὸς ἂν ἐπίστευσεν Ἰουστῖνος, ἀλλὰ καὶ πάντας ἀνθρώπους ἐπεθύμει πιστεύειν· καθότι διὰ τοῦ κύρους τῆς ἑλληνικῆς ἑρμηνείας ἔμελλεν ἀδιαλείπτως καὶ πρὸς Ἰουδαίους πολεμεῖν καὶ πρὸς ἐθνικούς. Τῇ δὲ τοῦ Ἰουστίνου μαρτυρίᾳ μετέπειτα καὶ οἱ ἡμέτεροι, καὶ Ἕλληνες καὶ Λατῖνοι, λίαν ἄσμενοι παρηκολούθησαν· ἐπειδὴ καὶ τούτοις διὰ τὴν αὐτὴν αἰτίαν ὠφέλιμος ὑπῆρχεν ἡ ἐκ τῶν οἰκίσκων γεννηθεῖσα δόξα τοῦ προφητικοῦ χαρίσματος τῶν ἑρμηνευτῶν » (α). Ὅτι δὲ ψευδὲς τὸ θαῦμα τῶν οἰκίσκων, ἀποδείκνυται σαφέστατα καὶ διὰ πολλῶν καὶ ἐναργῶν ἐπιχειρημάτων, τῶν ἐφεξῆς.

§. γ. Α) Αὐτὸς ὁ Ψευδαριστέας οὐ μόνον οὐδὲν περὶ τούτου τοῦ θαύματος ἀναφέρει, ἀλλὰ καὶ πᾶν τοὐναντίον ἱστορεῖ. Καὶ εἰ μὲν ὑπῆρχε γνήσιος ὁ Ἀριστέας, ἤρκει καὶ μόνη ἡ τούτου μαρτυρία πρὸς ἔλεγχον τοῦ ψεύδους. Πλὴν ἀλλὰ καὶ οὕτω πεπλασμένος ὢν καὶ ὑποβολιμαῖος συγγραφεὺς, φαίνεται ὅμως παλαιότερος τῶν μνημονευσάντων τοῦ θαυματουργήματος τῶν οἰκίσκων· καὶ δείκνυται ἄρα, ὅτι τότε, καθ᾽ ὃν χρόνον ὕφαινεν οὗτος τὸ πλαστὸν

(α) A. Masius praef. in Jos. — Bellarmin. de verb. Dei, II. 6. — Wower. de Bibl. interpret. c. 2. p. 28.

ἱστορημάτιον, ἄγνωστον ὑπῆρχε παρ᾽ Ἰουδαίοις καὶ ἀνήκουστον τὸ θαῦμα τῶν οἰκίσκων. Ἀλλ᾽ οἱ τούτων ὑπέρμαχοι, θλιβόμενοι ὑπὸ τοῦ κύρους τοῦ Ἀριστέου, καὶ ὡς ἂν εἰς ἔσχατα στενώματα συνειλούμενοι, πάντα μὲν κινοῦσι λίθον, πανταχοῦ δὲ στρέφονται, μηχανῶνται δὲ τὸ πᾶν, εἴπως δυνηθεῖεν ὑποστῆσαι καὶ στηρίξαι καταῤῥέοντα τὰ δωμάτια, καὶ κατερειπούμενα· ἀλλ᾽ εἰς μάτην πονοῦσιν, οἰκοδομοῦντες ἐπὶ τῆς ἄμμου, καὶ ταῦτα χωρὶς ἀσβέστου. Ἴδωμεν αὐτῶν τὰ ὑποστηρίγματα καὶ τὰς ἀντηρίδας, ὁποίας ὑποβάλλουσιν, αὐτοῖς δωματίοις ταχέως συγκατερειψομένας. — « Σιωπῇ παρέδραμε τοὺς οἰκίσκους ὁ Ἀριστέας, ἀλλ᾽ οὐχὶ καὶ ἄντικρυς ἠρνήσατο » (λέγουσιν οἱ περὶ τὸν Σεράριον). « Οἱ λόγοι τοῦ Ἀριστέου (προστίθησιν ὁ Σαλμέρων) οὐδόλως ἀντιβαίνουσι πρὸς τὴν παράδοσιν τῶν οἰκίσκων. Εἰς τὸν παράλιον ἐκεῖνον οἶκον οὐχ ὑπῆρχε μία μόνη παστὰς, ἢ αἴθουσα (Basilica) πρὸς τὸ συγκαθέζεσθαι πάντας ἅμα τοὺς πρεσβυτέρους· ἀλλ᾽ εἰς ἕνα καὶ μόνον οἶκον ἐνῆσαν καὶ θάλαμοι διῃρημένοι πολλοὶ, καὶ εἰς τούτων ἕκαστον ἕκαστοι τῶν ἑρμηνέων κατὰ μέρος ἐφιλοπόνουν τὴν ἑρμηνείαν ». κτλ. — Ταῦτα καὶ τοιαῦτα λέγουσιν οὗτοι, ἀκράτους λήρους καὶ σαπροὺς, γελοιώδη παίγνια! Ἄκουε τὸν Ἀριστέαν· « *Συνέδριον* ποιησάμενος (ὁ Δημήτριος) εἰς κατεσκευασμένον *οἶκον* παρὰ τὴν ἠϊόνα, — παρεκάλει τοὺς ἄνδρας τὰ τῆς ἑρμηνείας ἐπιτελεῖν, παρόντων, ὅσα πρὸς τὴν χρείαν ἔδει, καλῶς. Οἱ δὲ ἐπετέλουν, *ἕκαστα σύμφωνα ποιοῦντες πρὸς ἑαυτοὺς ταῖς ἀντιβολαῖς*· τὸ δὲ ἐκ τῆς συμφωνίας γινόμενον πρεπόντως, ἀναγραφῆς οὕτως ἐτύγχανε παρὰ τοῦ Δημητρίου » — Λέγει τοίνυν ὁ Ἀριστέας, α) Ὅτι μεθηρμήνευον *ἐν οἴκῳ*, οὐκ ἐν *οἴκοις*. — β) Ὅτι συνηγμένοι ἐν τῷ οἴκῳ συνεκρότουν *συνέδριον*· ὅθεν καὶ μετ᾽ ὀλίγα πάλιν ἐπισυνάπτει· « Καὶ μέχρι μὲν ὥρας θ, τὰ τῆς *συνεδρίας* ἐγίνετο »· καὶ πάλιν· « Καθὼς δὲ προειρήκαμεν, οὕτω καθ᾽ ἑκάστην *εἰς τὸν τόπον συναγόμενοι* τὸ προκείμενον ἐπετέλουν »· καὶ, τέλος· « Συναγαγὼν ὁ Δημήτριος τὸ πλῆθος τῶν Ἰουδαίων *εἰς τὸν τόπον*, οὗ *καὶ τὰ τῆς ἑρμηνείας ἐτελέσθη*,

παρανέγνω πᾶσι » κτλ. Τί λοιπόν; ἐν διαφόροις οἰκίσκοις συνίστατο τὸ πλῆθος, ὁπότε παρανέγνω τὴν μετάφρασιν ὁ Δημήτριος; - γ) Εἴπερ ἦσαν οἱ ἑρμηνεῖς ἐν διαφόροις οἰκίσκοις ἀπ' ἀλλήλων διῃρημένοι, πῶς ἠδύνατο λοιπὸν εἷς καὶ μόνος, ὁ Δημήτριος, εἶναι τούτων *ὑπογραφεύς*, ἀπογράφων τὰ ὑπαγορευόμενα; - δ) Οὐχ ΟΒ, ἀλλ' ἓν καὶ μόνον ἀντίγραφον τοῦ νόμου (κατὰ τὸν Ἀριστέαν) ἔφερον μεθ' ἑαυτῶν οἱ ἑρμηνεῖς. - ε) Κεχωρισμένους ἀπ' ἀλλήλων τούτους εἰσάγουσιν οἱ καλοὶ δωματισταί, ἢ *κελλιῶται* (cellulistæ), ἀλλ' ὁ Ἀριστέας αὐτοὺς παρίστησι, « μέχρις ὥρας θ, ἀσχολουμένους· μετὰ δὲ ταῦτα περὶ τὴν τοῦ σώματος θεραπείαν ἀπελύοντο. — ἅμα δὲ τῇ πρωΐᾳ καθ' ἡμέραν ἀπελύοντο πρὸς τὸν ἑαυτῶν τόπον, — καὶ ἐτρέποντο πρὸς τὴν ἀνάγνωσιν καὶ τὴν ἑκάστου διασάφησιν » κτλ. Τί τούτων σαφέστερον, ἢ τί λαμπρότερον καὶ ἐναργέστερον εἰς τὸ καταῤῥάξαι τοὺς οἰκίσκους, καὶ πατάπασιν ἐξαλεῖψαι; - ϛ) Καὶ αὐτὴν δὲ τὴν ἐπίπνοιαν τῶν ἑρμηνέων ἀναιρεῖ προφανῶς ἡ φράσις τοῦ Ἀριστέου, λέγοντος, ὅτι ἐπετέλουν τὴν ἑρμηνείαν « *ἕκαστα σύμφωνα ποιοῦντες ταῖς ἀντιβολαῖς* ». Τοῦτο δὲ πάντως οὐ σημαίνει (καθὼς τινες ἐνόμισαν) τὴν πρὸς τὸ ἑβραϊκὸν ἀντιβολὴν καὶ παρεξέτασιν τῆς ἑρμηνείας (ἄπαγε τῆς ἀτοπίας!), οὐδ' ὅτι (καθὼς ὑπέλαβον ἄλλοι), τελειωθείσης ἤδη τῆς ἑρμηνείας, *παρέβαλλον πρὸς ἀλλήλους* παρεξετάζοντες τὰ ἡρμηνευμένα, ἀλλὰ βούλεται σαφῶς ὁ συγγραφεύς, ὅτι *καθ' ἡμέραν* οἱ πρεσβύτεροι *παρέβαλλον πρὸς ἑαυτοὺς* (ἤτοι πρὸς ἀλλήλους) ἕκαστα· καί, ἀφ' οὗ συνεφώνουν ἅπαντες περὶ τῆς ἀληθοῦς αὐτῶν ἐννοίας καὶ σημασίας, τότε καθ' ὑπαγόρευσιν ἀνῆγε καὶ μετέφερεν εἰς γράμματα τὴν ἑρμηνείαν ὁ Δημήτριος. Τελευταῖον· οἱ περὶ τὸν Σαλμέρωνα προσέθηκαν, ὅτι καὶ αὐτὴ τοῦ Ἀριστέου ἡ ἱστορία ὑπῆρχε παρὰ τοῖς ἀρχαίοις ἄλλη διάφορος παρὰ τὴν νῦν καθ' ἡμᾶς περιφερομένην· ἀλλὰ πρὸς ταύτην τὴν ματαίαν ὑπόνοιαν ἀπηντήσαμεν ἐν τοῖς προηγηθεῖσι (Βιβλ. Α. κεφ. γ. §. γ). Ἄλλοι δὲ πάλιν εἶπον, ὅτι μόνον εἰς τὸ περὶ τῶν οἰκίσκων χωρίον ἦλθεν εἰς ἡμᾶς ἐλλειπὲς

καὶ διεφθαρμένον τὸ σύγγραμμα τοῦ Ἀριστέου. Καὶ φέρουσι μάρτυρας, α) τὸν Ἐπιφάνιον, ὅστις φαίνεται τὸ περὶ τῶν οἰκίσκων ἐκ τῆς Ἀριστέου ἀρυσάμενος ἱστορίας. β) Τὸν Ῥαββῖνον Γεδαλίαν, ὅστις λέγει φανερῶς, ὅτι τά τε ἄλλα καὶ τοὺς οἰκίσκους ἀντέγραψεν ἐκ τοῦ Ἀριστέου. γ) Τὸν Τερτυλλιανὸν, ὅστις εἶπεν ὅτι « Τούτους τοὺς (ΟΒ) ἑρμηνεῖς καὶ Μενέδημος ὁ τῆς θείας προνοίας ὑπέρμαχος ἐπὶ τῇ κοινωνίᾳ τῆς γνώμης ἐθαύμασε » (α). Ταύτην οὖν *τὴν κατὰ γνώμην κοινωνίαν* ἀντὶ τῆς θαυμαστῆς τῶν ἑρμηνέων συμφωνίας ἐξέλαβον Παμέλιος, Βίδης, Βελλαρμῖνος, Βαρόνιος, καὶ ἄλλοι πολλοὶ καὶ σοφοὶ, καὶ ἐξ αὐτῶν δὲ τῶν ἀποῤῥιπτόντων τὴν παράδοσιν, Βοβέριος καὶ Ὀττιγγῆρος. Ἀλλὰ ταῦτα πάντα, μάταια (λέγει Ὅδιος). α) Ἡ παρ' Ἐπιφανίῳ ἱστορία τοῦ Ἀριστέου φαίνεται πάντῃ διάφορος, καὶ πολὺ νεωτέρα τῆς ἀρχαίας ἐκείνης, ἣν Εὐσέβιος ἀνέγνω καὶ Ἰώσηπος (ὡς προείπομεν). Ἔπειτα καὶ τὸ περὶ τῶν οἰκίσκων ὁ Ἐπιφάνιος οὐκ ἀπὸ τῶν Ἀριστέου, ἀλλὰ μᾶλλον ἐκ τῆς φήμης ἔγραψε, λέγων « ὡς *ᾄδεται λόγος* » (β). Τελευταῖον· οὐδὲ περὶ τὸν ἀριθμὸν τῶν οἰκίσκων συμφωνεῖ πρὸς τὸν Ἰουστῖνον. Ἐκεῖνος ταῦτα λέγει ΟΒ, ὁ δ' Ἐπιφάνιος ΛϚ, ἀλλὰ περὶ τούτων καὶ ἐφεξῆς (§. ϛ.)— β) Τοῦ λήρου Γεδαλίου (περὶ τὸ 1587 μ. Χ.) καὶ ἄλλων τοιούτων νεωτέρων Ῥαββίνων τὴν μαρτυρίαν οὐκ ἂν πριαίμην οὐδ' ὀβολοῦ. - γ) Τοῦ δὲ Τερτυλλιανοῦ ἡ ῥῆσις, θαυμαστὸν, ὅπως ὑπὸ τοσούτων σοφῶν παρεξηγήθη. Ἐν τῇ πρὸς τὸν Βασιλέα (τὸν Φιλάδελφον) παρουσίᾳ τῶν ΟΒ, συμπαρὼν καὶ ὁ Μενέδημος (ὡς ἱστόρησεν Ἀριστέας) εἶπε « *προνοίᾳ τὰ πάντα διοικεῖσθαι* ». Τοῦτο

---

(α) « Quos (72) interpretes Menedemus quoque philosophus providentiae vindex de sententiae communione suspexit ». Tertul. Apol. c. 18.

(β) Οὐ περὶ τῶν οἰκίσκων, ἀλλὰ περὶ τοῦ ποσάκις ἕκαστον τεῦχος τῆς Γραφῆς ὑπὸ τῶν ἑρμηνευτῶν μετεφράσθη λέγει τὸ « ὡς ᾄδεται λόγος » ὁ Ἐπιφάνιος. Ἰδοὺ αἱ λέξεις αὗται. « Αὗται τοίνυν αἱ βίβλοι—κατὰ περίοδον ἑκάστῃ ζυγῇ ἑρμηνευτῶν ἀποδιδόμεναι—ἑκάστη τριακονταεξάκις ἑρμηνευθεῖσαι, « ὡς ᾄδεται λόγος » κτλ. Ἐπιφάν. περὶ Μέτρ. §. 5. τόμ. β. σελ. 163. Petav. βλ. ἐφεξ. σελ. 351. Σημ. ἡμετ.

δὲ καὶ αὐτοὶ προεῖπον οἱ ΟΒ, λέγοντες πρὸς τὸν Φιλάδελφον ὅτι « *τελειοῦται ὑπὸ τοῦ Θεοῦ πάντα σοι*, καλῶς βουλομένῳ (ἴσ. γρ. *βουλευομένῳ*) ». Πρὸς ταῦτα λοιπὸν ἀποβλέπων ὁ Τερτυλλιανὸς, εἶπε τὸν Μενέδημον *ὑπέρμαχον τῆς προνοίας*, καὶ ὅτι ἐθαύμασε καὶ τοὺς ΟΒ πρεσβυτέρους, ὡς (ἐν τοῖς περὶ προνοίας) ὁμόφρονας αὐτῷ, καὶ *κατὰ τὴν γνώμην κοινωνούς* ».

§. δ. Β) Δεύτερος μάρτυς κατὰ τοῦ πλάσματος τῶν οἰκίσκων πάρεστιν Ἰώσηπος, ὅστις καὶ αὐτὸς (Ἀρχ. ιβ. β. §. 12) ἱστορεῖ τὰ περὶ τὴν ἐργασίαν τῆς ἑρμηνείας πάντα πάντῃ σύμφωνα τῷ Ἀριστέᾳ (δῆλον οὖν καὶ ἐκ τούτων, ὅτι οὐδεμίαν ἔπαθον βλάβην, ἢ κολόβωσιν ἐν τῷ περὶ τῶν οἰκίσκων χωρίῳ τὰ παλαιὰ τοῦ Ἀριστέου ἀντίγραφα). Βλέπομεν τοιγαροῦν καὶ παρ᾽ Ἰωσήπῳ· α) Τὸ ἀντίγραφον τοῦ Νόμου τὸ παρὰ τοῖς Ο, ἓν, καὶ ἕνα *τὸν οἶκον*, ἐν ᾧ συνήρχοντο. β) Τοὺς ἑρμηνεῖς ἐν *συνεδρίᾳ* καθημένους ἀχωρίστως. γ) *Φιλοπόνως* (οὐκ ἐξ ἐπιπνοίας) ἑρμηνεύοντας. δ) Συναναστρεφομένους μετ᾽ ἀλλήλων, ὁπότε τῆς ἐργασίας ἀπηλλάσσοντο. ε) Εἰς τὸν αὐτὸν τόπον συναχθέντας τοὺς Ἰουδαίους, ἀκουσομένους τελειωθεῖσαν τὴν ἑρμηνείαν. Πάντα ταῦτα σύμφωνα *πρὸς τὸν ἡμέτερον* (λέγει Ὅδιος) *᾽Αριστέαν*, καὶ τοῖς τε δωματίοις καὶ τῇ θείᾳ τῶν ἑρμηνέων ἐμπνεύσει παντάπασιν ἐναντία. Πρὸς τὴν ἔμπνευσιν μάλιστα προφανῶς ἀντιβαίνει καὶ τὸ ἐφεξῆς τοῦ Ἰωσήπου χωρίον. « Ὅτι (μετὰ τὴν ἀνάγνωσιν τῆς ἑρμηνείας) ἠξίωσαν πάντες, οἵ τε ἱερεῖς καὶ τῶν ἑρμηνέων οἱ πρεσβύτεροι, — *εἴτις ἢ περισσόν τι προσγεγραμμένον ὁρᾷ τῷ νόμῳ, ἢ λεῖπον, πάλιν ἐπισκοποῦντα τοῦτο, καὶ ποιοῦντα* φανερὸν, διορθοῦν » κτλ. Ἀλλὰ πρὸς ταῦτά τινες ἀντεῖπον, ὅτι καὶ « τὰ καθ᾽ ἡμᾶς ἀντίγραφα τοῦ Ἰωσήπου φαίνονται διεφθαρμένα καὶ ἐλλειπῆ τοῦ περὶ τῶν οἰκίσκων χωρίου· καὶ ταύτην τὴν γνώμην ἀποδεῖξαι πειρῶνται ἐκ τῶν τοῦ μάρτυρος Ἰουστίνου· ὅστις τά τε περὶ τῶν ἑρμηνέων, καὶ τὰ περὶ τῶν ΟΒ οἰκίσκων, ἐν οἷς ἡρμήνευσαν, ἱστορήσας, ἐπάγει. « Ἃ καὶ παρ᾽ ἑτέρων ἔξεστιν ὑμῖν μανθάνειν, καὶ μάλιστα παρ᾽ αὐτῶν τῶν περὶ

τούτων ἱστορησάντων σοφῶν καὶ δοκίμων ἀνδρῶν, Φίλωνός τε καὶ Ἰωσήπου, καὶ ἑτέρων πλειόνων». (Παραινετ. σελ. 14) (α). Ἀλλὰ καὶ τούτοις Ὅδιος ἀπήντησε τὰ ἐφεξῆς. Ὁ Ἰουστῖνος ἀναφέρει τὸν Φίλωνα καὶ τὸν Ἰώσηπον μάρτυρας οὐχὶ πάντων καθόλου καὶ κατὰ μέρος ἑκάστου τῶν περιστατικῶν (ἐν οἷς καὶ τὰ δωμάτια), ἀλλ' ἁπλῶς τῆς περὶ τὴν ἑρμηνείαν ἱστορίας, ἣν οὗτοι συνέγραψαν (καί τοι διαφέροντες κατά τινα). Ὅτι δὲ τοῦτ' ἐστι τὸ νόημα τοῦ Ἰουστίνου, δείκνυσιν ὁ Φίλων, ὅστις οὐδ' αὐτὸς ἱςόρησε τὰ περὶ τῶν δωματίων. Ἔπειτα, καὶ εἰ παρῆγεν ὁ Ἰουστῖνος μάρτυρας τῶν οἰκίσκων τὸν Ἰώσηπον καὶ τὸν Φίλωνα, τοῦτο μὲν ἐγίγνετ' ἂν παράπτωμα τῆς μνήμης αὐτοῦ (οἷα καὶ ἄλλοις τῶν Πατέρων καὶ συγγραφέων συνέβησαν)· ἀλλ' ἐκ τῆς τοιαύτης ἐπιλησμοσύνης τοῦ Ἰουστίνου οὐδόλως ἂν παρεβλάπτετο τῶν ἀρχαίων Ἰωσήπου χειρογράφων ἡ πίστις, ᾗ καὶ Ἱερώνυμος ἐμαρτύρησε, μνημονεύσας τὴν περὶ τῶν οἰκίσκων σιωπὴν τοῦ Ἰωσήπου. Ταύτην μαρτυρεῖ καὶ Ζωναρᾶς λέγων· «Παραλαβὼν αὐτοὺς ὁ Δημήτριος, καὶ *εἰς ἕνα οἶκον* ἀπαγαγὼν ἤρεμον, ἔργου ἔχεσθαι παρεκάλει· οἱ δὲ, *ὡς ἐνῆν φιλοτίμως*, ἀκριβῆ τὴν ἑρμηνείαν ἐτίθεντο. — Οὕτω μὲν τὴν ἑρμηνείαν τῶν Ἑβραϊκῶν γραφῶν γενέσθαι ἱστόρησεν ὁ Ἰώσηπος· ἕτεροι δὲ μὴ ὁμοῦ συνελθόντας φασὶ τοὺς ἑρμηνεῖς τῶν γραφῶν ποιήσασθαι τὴν παράφρασιν» κτλ.

§. ε. Γ) Ὅτι τὰ παλαιὰ τοῦ Ἀριστέου χειρόγραφα οὐδὲν ὅλως περιεῖχον οὔτε περὶ τῶν οἰκίσκων, οὔτε περὶ τῆς θείας ἐπιπνοίας τῶν ἑρμηνευτῶν, ἀποδείκνυται οὐ μόνον ἐκ τῶν Ἰωσήπου,

(α) Rugerius de libr. canonicis. c. 39. [Ματαία μὲν καὶ αὕτη ἡ ὑπόνοια περὶ τῆς δῆθεν διαφθορᾶς τῶν Ἰωσήπου ἀντιγράφων ἐν τῷ περὶ τῶν οἰκίσκων χωρίῳ (καθὼς καὶ ἡ περὶ τῶν Ἀριστέου ἀνωτέρω προεκτεθεῖσα), καὶ ὀρθῶς καὶ δικαίως πρὸς ἀμφότερα ἀπήντησεν Ὅδιος. Ὅτι δὲ ὅμως ἐκ τῶν Ἰωσήπου χειρογράφων καθόλου διεξέπεσάν τινα χωρία πρόπαλαι, μηδ' εἰς αὐτοῦ τοῦ τὸν Ἰώσηπον ἐκλατινίσαντος Ῥουφίνου τὰς χεῖρας ἀφικόμενα, καὶ ἄλλοι τῶν κριτικῶν ὑπωπτεύθησαν, οἷον ὁ Aldrich. καὶ ὁ Spanhem. ἐν ταῖς εἰς Ἰώσηπον σημειώσεσι (τόμ. 6. σελ. 165 ἐκδ. Hav.), φέροντες παράδειγμα ἐκ τοῦ περὶ Ἰουδ. πολέμ. Β, 8. Σημ. ἡμετ.].

ἀλλὰ καὶ ἐξ ἄλλων τεκμηρίων τηλαυγῶν. Αὐτίκα 1) ὁ Εὐσέβιος (Εὐαγγ. Προπαρ. Η. κεφ. ε) πολλὰ τῆς Ἀριστέου διηγήσεως ἀντιγράψας, πάντα τὰ περὶ τὸν τρόπον τῆς ἑρμηνείας θαυμαστότερα λεγόμενα παρεσιώπησεν· ὅπερ οὐκ ἂν ἐποίησεν, εἴγε περιεῖχε τοιαῦτα θαύματα τὸ μέρος τοῦτο τῆς Ἀριστέου συγγραφῆς. 2) Ὁ Ἱερώνυμος περὶ τῶν κατ' αὐτὸν σωζομένων χειρογράφων τοῦ Ἀριστέου λέγει τὰ ἐφεξῆς. « Ἀγνοῶ, τίς πρῶτος τῶν συγγραφέων ᾠκοδόμησε διὰ τῆς ἑαυτοῦ ψευδοσύνης τοὺς ἐν Ἀλεξανδρείᾳ Ο οἰκίσκους, ἐν οἷς (οἱ ἑρμηνεῖς) διῃρημένοι δῆθεν ἔγραφον τὰ αὐτά. Οὔτε γὰρ Ἀριστέας αὐτοῦ Πτολεμαίου γενόμενος ὑπερασπιστὴς, οὔθ' ὁ πολὺ τούτου μεταγενέστερος Ἰώσηπος, οὐδὲν ἀνέφερον τοιοῦτο· γράφουσι δὲ μόνον εἰς μίαν παςάδα (Basilicam) συνηγμένους *ἀντιβαλεῖν*, οὐχὶ προφητεῦσαι » (α). Καὶ ἀλλαχοῦ παρομοίως βεβαιοῖ, « Τοὺς Ο οἰκίσκους ἀδεσπότως, ἢ χωρὶς συγγραφέως (sine auctore) εἰς τὸ κοινὸν διατεθρυλλῆσθαι » (β). Ἀλλαχοῦ δὲ πάλιν καταγελᾷ τῆς παραδόσεως ὡς ἀτόπου. « Ἀλλ' εἴπερ (λέγει πρὸς τοὺς ψέγοντας τὴν ἑαυτοῦ μετάφρασιν), εἴπερ ἡμῖν οὐ παρέχουσι πίστιν, ἀναγνώτωσαν τὰς ἄλλας ἐκδόσεις, τὴν Ἀκύλα, τὴν Συμμάχου, τὴν τοῦ Θεοδοτίωνος. Ἐρωτάτωσαν τοὺς Ἑβραίους, οὐχὶ μιᾶς τινος χώρας (μήπως εἴπωσι τούτους ὑπ' ἐμοῦ ἑωνημένους), ἀλλὰ διαφόρων κατοίκους ἐπαρχιῶν. Κἂν ἴδωσι πάντας συμφωνοῦντας μετὰ τῆς ἐμῆς εἴτε πλάνης, εἴτ' ἀμαθίας, ἐπιγνώτωσαν ἑαυτοὺς φρονίμους ὄντας παρὰ πολὺ, καὶ κοιμᾶσθαι μᾶλλον ἢ μανθάνειν ἐπιθυμοῦντας· καὶ δὴ καὶ κατοικείτωσαν ἐν τοῖς Ο οἰκίσκοις τῆς Ἀλεξανδρινῆς Φάρου, μήπως ἀπολέσωσι τὰ ἱστία τῶν νηῶν, καὶ προσαποκλαύσωνται καὶ τὴν ζημίαν τῶν σχοινίων! (γ). 3) Ὁ μακάριος Αὐγουστῖνος πολλαχοῦ τῶν συγγραμμάτων μνημονεύων τῶν Ο οἰκίσκων (ὧν Ἱερώνυμος κατεγέλα), οὐδέποτε καλεῖ τὸν Ἀριστέαν

---

(α) S. Hieron. Praefat. in Pent. et in Apolog. 2. contr. Ruffin.

(β) Id. Praef. in Chronic.

(γ) Hier. com. in Ezechiel. c. 33.

μάρτυρα, ἀλλὰ *τὴν φήμην καὶ τὴν παράδοσιν*. (α). Πρὸς αὐτὸν δὲ τὸν Ἱερώνυμον ἐπιστέλλων, οὐκ ἐτόλμησε βεβαίως ἀποφήνασθαι περὶ τῆς θείας ἐπιπνοίας τῶν ἑρμηνέων, ἀλλ' ἀμφίβολον τὸ πρᾶγμα κατέλιπε, λέγων· «Περὶ τῆς εἴτ' *ἀπὸ βουλῆς*, εἴτ' ἀπὸ τοῦ *πνεύματος* τῶν Ο συμφωνίας, μείζονος, ἢ εἴπερ ἦσαν οἱ πάντες εἷς καὶ μόνος ἄνθρωπος, γενομένης, οὐδεμίαν ἔγωγε γνώμην βεβαίαν εἰς οὐδέτερον τῶν μερῶν ἐπιφέρειν τολμῶ» κτλ. (ϐ).

Τούτων οὕτω τεθέντων, ἴσως, ἀναγνῶστα, νομίσεις, ὅτι μηδὲ χανεῖν ἔτι καὶ στόμα διάραι ὑπολείπεται τοῖς τῶν οἰκίσκων καθιδρυταῖς· ἀλλὰ μεγάλη καὶ ἄμαχος ἡ τῆς προλήψεως ἰσχύς! Μορῖνος ἐκεῖνος, ὁ δριμύτατος τῶν οἰκίσκων ὑπέρμαχος, ὁμολογεῖ μὲν μηδεμίαν μηδέποτε λέξιν περὶ τῶν Ο οἰκίσκων γεγράφθαι παρὰ τῷ Ἀριστέᾳ, ἀλλὰ τὴν τούτου μαρτυρίαν (καί τοι γνήσιον αὐτὸν ἀποδεχόμενος συγγραφέα) κατόπιν τίθησι τῶν ἄλλων, ἐκείνας προτιμῶν. Ἄκουε τὶ λέγει. « Τί ἆρα βούλεται Ἱερώνυμος; δικαίως ἂν ἔχοι καὶ λίαν ὁ ἀναγνώστης ἀποθαυμάσαι. Πολλάκις ὁ Πατὴρ κατεπεμβαίνει τούτου τοῦ περιλαλήτου καὶ τρανῶς μεμαρτυρημένου θαύματος. Ποίους συγγραφεῖς παρακολουθῶν; παρὰ τίνων ἅπερ ἔγραψε μαθών; Ἅπαντας τοὺς Πατέρας ἐναντίους ἔχει, πάντας Ἰουδαίους, αὐτὸν ἔχει μάλιστα μαχόμενον τὸν λόγον τὸν ὀρθόν· τί γὰρ λόγῳ μᾶλλον συμφωνότερον, ἢ τὸ πιστεύειν διὰ θαύματος ὑπερφυοῦς τελεσθεῖσαν τὴν ἑρμηνείαν ἐκείνην, ἥτις ἔμελλεν ὑπὸ τῶν θείων Ἀποστόλων παραδίδοσθαι τῇ Ἐκκλησίᾳ; καὶ δι' ἧς τὰ μὲν ἔθνη πρὸς τὴν πίστιν ἔμελλον ἐπιστρέψειν, τῶν

---

(α) S. August. De consens. Evang. lib. 2. cap. 6. Οὕτω καὶ De Civ. Dei 18, 42. « Traditur sane tam mirabilem — plane que divinum in eorum verbis fuisse consensum — ut cum ad hoc opus separatim singuli sederint » etc. καὶ (De Doctrin. Christ. II. 15) « LXX interpretes jam p e r o m n e s p e r i t i o r e s E c c l e s i a s tanta praesentia Spiritus S. interpretati esse d i c u n t u r, ut os unum tot hominum fuerit. Qui, si, ut f e r t u r, m u l t i q u e n o n i n d i g n i fide p r a e d i c a n t, singuli, cellis etiam singulis, separati, cum interpretati essent » etc.

(ϐ) Id Epist. 8. ad Hieronym.

δὲ σκληροτραχήλων Ἰουδαίων ἡ ἀπείθεια συντριβήσεσθαι; — Ἀλλά (φησιν ὁ Ἱερώνυμος) « περὶ τούτου τοῦ θαύματος ἐσίγησεν Ἀριστέας, ἐσίγησεν Ἰώσηπος » — Σύμφημι· ἀλλ' οὐκ ἐσίγησαν τοσοῦτοι Πατέρες, οὐκ ἐσίγησαν τοσοῦτοι Ἰουδαῖοι παλαιοί, ἀλλὰ καὶ ὡς πάνυ βεβαίαν τὴν ἱστορίαν, καὶ ἀπὸ τῆς τῶν προγόνων παραδόσεως περικλεῆ καὶ ἀοίδιμον, ἐν τοῖς ἰδίοις αὐτῶν συγγράμμασιν ἐθησαύρισαν. Πρὸς δύω τοίνυν συγγραφεῖς σιωπῶντας ἀναριθμήτους ἀντιτίθημι συγγραφεῖς, Χριστιανούς τε καὶ Ἰουδαίους, ἰσχυρᾷ καὶ ὁμολόγῳ φωνῇ τὸ θαῦμα διακηρύττοντας. Προστίθημι δὲ καὶ τὴν διηνεκῆ καὶ μηδέποτε διαλιποῦσαν παράδοσιν τῶν τε Χριστιανῶν καὶ τῶν Ἰουδαίων. — Ἐν τούτῳ τῷ πράγματι ὀλίγου τιμητέον τὴν Ἀριστέου σιωπήν· Ὅτε γὰρ πρόκειται λόγος περὶ τῶν μυστηρίων τῆς ἁγίας ἡμῶν Πίστεως, οὐδόλως πιστευτέον ἱστορικοῖς ἐθνικοῖς. Ἂν γὰρ παραδεχθῶμεν τὸ εἶδος ταύτης τῆς ἀποδείξεως, τετέλεσται· οἴχεται ἡμῖν ἅπαντα τὰ τῶν μυστηρίων. Τίς ἀγνοεῖ τούτους ὅτι συνήθως, ἐπειδὰν περὶ πραγμάτων Ἰουδαϊκῶν, ἢ χριστιανικῶν ἱστορικῶς διαλαμβάνωσι, πᾶν ὅ,τι θαυμάσιον ἐν αὐτοῖς, εἴτε μὴ προσέχοντες τὸν νοῦν, εἴτε καὶ χλευάζοντες, ἀείποτε παρατρέχουσι »; κτλ. Ταῦτα ὁ Μορῖνος (α). Ἀλλ' ἐξ ὧν προείπομεν (προστίθησιν ὁ ἴδιος ἀπαντῶν), φαίνεται λαμπρῶς ὁ Ἀριστέας οὐ μόνον παρασιωπήσας τὸ θαῦμα τὸ τῶν οἰκίσκων, ἀλλὰ καὶ πάντα τἀναντία προσιστορήσας. Καί τοι καὶ εἴγε μόνον ἐσίγα, ἀρκούντως ἂν εἶχε καὶ αὐτὴ αὐτοῦ ἡ σιωπὴ πρὸς ἀναίρεσιν τῶν ἄλλων μαρτυριῶν. Μάτην δὲ καὶ τῶν ἐθνικῶν τὸ ἔθος ἀνέφερεν ὁ Μορῖνος. Ὁ γὰρ Ἀριστέας (εἴτε ἐθνικός τις ἦν, εἴτε Ἰουδαῖος) πρὸς τούτῳ πρόσκειται ὅλος, ὅπως ἐμποιήσῃ ταῖς τῶν ἀνθρώπων ψυχαῖς σέβας καὶ τιμὴν πρός τε τὴν θρησκείαν καὶ τὴν νομοθεσίαν τῶν Ἰουδαίων, συστήσῃ δὲ καὶ τὴν ἑλληνικὴν ἑρμηνείαν, ὡς ἀκριβεστάτην, πρὸς τοὺς πανταχοῦ τῆς οἰκουμένης πεπαιδευμένους. Ἔπειτα, τὰ μὲν κατὰ τὸν Θεοδέκτην

(α) Morin. Exercit. 8. Libr. 1.

καὶ τὸν Θεόπομπον θαύματα οὐκ ὤκνησε διηγήσασθαι, μόνον δὲ ἄρα τὸ περὶ τῶν οἰκίσκων ἀπεσιώπησε διὰ φθόνον;

§. ϛ. Δ) Ἅλις περὶ τοῦ Ἀριστέου· νῦν δὲ (λέγουσι) καὶ ἄλλην ἀπόδειξιν προστιθέμεθα περὶ τοῦ ψεύδους τῶν δωματίων. Οἱ μὲν ΟΒ λέγουσι ταῦτα, οἱ δὲ, μόνον ΛϚ. Ἄκουε πρῶτον τὸν Ἐπιφάνιον. « Ἑβδομηκονταδύο γὰρ ὄντες τὸν ἀριθμὸν, καὶ ἐν τῇ Φαρίᾳ νήσῳ — ἐν λϛ οἰκίσκοις, ζυγὴ ζυγὴ κατὰ οἰκίσκον, ἀφ᾽ ἕωθεν ἕως ἑσπέρας συγκλειόμενοι, καὶ τὸ ἑσπέρας ἐν λϛ σκαφιδίοις περαιούμενοι εἰς τὸ τοῦ Πτολεμαίου παλάτιον, καὶ μετ᾽ αὐτοῦ ἑστιώμενοι, καὶ κατὰ ζυγὴν ἐν κοιτῶσι λϛ καθεύδοντες, εἰς τὸ μὴ συνδυάσαι μετ᾽ ἀλλήλων, ἀλλ᾽ ἀνοθεύτως ἑρμηνεῦσαι, οὕτω διετέλουν. Τοὺς γὰρ προειρημένους λϛ οἰκίσκους - ὁ Πτολεμαῖος κατασκευάσας, - *διπλοῦς τε αὐτοὺς ποιήσας*, δύο δύο ἐνέκλεισε· - καὶ παῖδας δύο ὑπηρετεῖν αὐτοῖς ἅμα ἐνέκλειεν, ὀψοποιΐας ἕνεκα καὶ ὑπηρεσίας, μετὰ καὶ ταχυγράφων. Ἀλλ᾽ οὔτε θυρίδας ἐν τοῖς τοίχοις ἐκείνοις ἐποίησεν, ἀλλ᾽ ἄνωθεν ἐκ τῶν δωμάτων τὰς καλουμένας ἀναφωτίδας ἀνέῳξεν -. Ἑκάστῃ δὲ ζυγῇ βίβλος μία ἐπεδίδοτο· ὡς εἰπεῖν, ἡ βίβλος τῆς τοῦ κόσμου Γενέσεως, μιᾷ ζυγῇ· ἡ Ἔξοδος τῶν υἱῶν Ἰσραὴλ, τῇ ἄλλῃ ζυγῇ· τὸ Λευϊτικὸν, τῇ ἄλλῃ· καὶ καθεξῆς, ἄλλη βίβλος τῇ ἄλλῃ. Καὶ οὕτως αἱ κζ βίβλοι, αἱ ῥηταὶ καὶ ἐνδιάθετοι (εἴκοσι δὲ καὶ δύω κατὰ τὴν τοῦ ἀλφαβήτου παρ᾽ Ἑβραίοις στοιχείωσιν ἀριθμούμεναι) ἡρμηνεύθησαν ». — Καὶ μετ᾽ ὀλίγα. « Τὸν τρόπον, ὃν εἴπομεν, (αἱ βίβλοι) ἡρμηνεύθησαν, κατὰ περίοδον ἑκάστῃ ζυγῇ ἑρμηνευτῶν ἐπιδιδόμεναι· καὶ ἀπὸ τῆς α, ζυγῆς τῇ β, καὶ πάλιν ἀπὸ τῆς β, τῇ γ, καὶ οὕτω παρῆλθον *κελεύουσαι* » (διέφθαρται ἡ λέξις· ἆρα γραπτέον *κέλλῃ οὖσαι*; ἢ *ἐν τέλει οὖσαι*;) (α) « *ἑκάστῃ*, τριακονταεξάκις ἑρμηνευθεῖσαι,

---

(α) Οὐδέτερον, Ὢδιε! *ἀμφότερα γὰρ ἀδιανόητα καὶ κωφά*. Πρῶτος ὁ Κοτελέριος (Patr. Apost. vol. 1. p. 278) *διώρθωσε κ έ λ λ ῃ ἐ ν ο ῦ σ α ι, ἢ καὶ* (τὰ *βάρβαρον*) *κ ε λ λ ε υ ώ σ ε ι* [*κελλεύωσιν δὲ γράψας* ὁ Κοτελέριος *ἐνόει, ὡς ἔοικεν, ἢ τὴν ἐν κέλλῃ διαμονὴν, ἢ τῆς κέλλης τὸ ἔσω, τὸ ἐμβαδόν* !). Ὁ δὲ σοφὸς ἐκδότης τοῦ Ἐπιφανίου Πεταΰϊος ἠρκέσθη *μόνον* παρασημειώσας « *δ ι ε φ θ α ρ μ έ ν η* ἀ-

ὡς ᾄδεται λόγος. - Ὅτε δὲ ἐτελειώθησαν - τριακονταὲξ ἀναγνῶσται, ἔχοντες ἑκάστης βίβλου τὰ λϛ ἰσότυπα, ἀνεγίνωσκον » (Ἐπιφ. περὶ Μέτρ. §. 5. σελ. 163, κτξ.). Δογματίζει πρὸς τούτοις ὁ Ἐπιφάνιος, ὅτι τὰ διάφορα ζεύγη τῶν ἑρμηνέων, καί τοι κατὰ τὴν ἔννοιαν καὶ τὰς προσθήκας, ἢ ἀφαιρέσεις, εὑρέθησαν ἅπαντες σύμφωνοι πρὸς ἀλλήλους, ἀλλ' ὅμως ἔν τισι λέξεσι σπανίως καὶ διεφώνησαν. Ἐντεῦθεν λοιπὸν ὑπέλαβε προελθούσας τὰς διαφόρους ἀναγνώσεις τῶν ἀρχαίων χειρογράφων τῆς ἑρμηνείας τῶν Ο. Καὶ φαίνεται προσέτι νομίσας, ὅτι τά λϛ ἰσότυπα τῶν λϛ ζυγῶν τῶν ἑρμηνευτῶν ἐσῴζοντο ἔτι καὶ κατὰ τοὺς Ὠριγένους χρόνους, ὅστις ἐσημείωσε ταύτας τὰς διαφορὰς ἐν τοῖς Ἑξαπλοῖς, διά τε τοῦ *λημνίσκου* (οὗ τὸ σχῆμα ÷) καὶ τοῦ *ὑπολημνίσκου* (⸓). « Καὶ διὰ μεν τῶν λημνίσκων (λέγει) ἐδήλωσεν (Ὠριγένης) τῶν παρά τισιν ἐκ τῶν ΟΒ ἑρμηνευτῶν συναμφοτέρως εὑρεθεισῶν, ὡς ἐν σπάνει, ὀλίγων λέξεων τὴν *δήλωσιν* (ἴσ. γρ. διαφορὰν), οὐκ ἀνομοίων οὐσῶν, ἀλλ' ὁμοίων μὲν καὶ τὴν αὐτὴν [δὲ] δύναμιν ἐχουσῶν, ὡς ἂν εἴπῃ τις ἀντὶ τοῦ ἐλάλησεν, *ἐφθέγξατο*, ἢ ἀντὶ τοῦ ἦλθεν, *ἐλήλυθε*.—Ταῦτα διὰ τοῦ λημνίσκου ἐσημειώθη, ὡς παρὰ μιᾶς ζυγῆς ἢ δύω ἡρμηνευμένης τῆς λέξεως. — Ὁ δὲ *ὑπολημνίσκος* ὅπου ἂν εὑρεθῇ ἐν λέξει τινι παρακείμενος, δηλοῦται ὑπὸ μιᾶς ζυγῆς ἑρμηνευτῶν ἐξενεχθεὶς ὁ λόγος, καθὸ ἡ μία στιγμὴ ὑποφαίνει » κτλ. Ταῦτα ὁ Ἐπιφάνιος (αὐτ. σελ. 173 καὶ 165).

Ἀλλ' ὁ Σεράριος καὶ πολλοὶ ἕτεροι μετ' αὐτοῦ, διαλλάττοντες τοὺς λϛ οἰκίσκους τοῦ Ἐπιφανίου πρὸς τοὺς τῶν ἄλλων οβ, διατείνονται, ὅτι καὶ Ἐπιφάνιος οβ τούτους ἱστόρησε· διότι λέγων λϛ, προστίθησιν ὅτι « *διπλοῦς αὐτοὺς ἐποίησεν ὁ Πτολεμαῖος* »,

---

νάγνωσις». Ἀλλ' (εἴτι κρίνομεν ὀρθῶς) Κέλλη μὲν οὐκ ἔγραψε πάντως ὁ Ἐπιφάνιος (πανταχοῦ γὰρ τῆς ἱστορίας οἰκίσκους καλεῖ τὰ δωμάτια)· καὶ ἄλλως δὲ τὸ κατὰ δοτικὴν ἐπιφερόμενον ἑκάστῃ εἰς οὐδεμίαν οὔτε κέλλαν οὔτε κελλεύωσιν ἐμβαίνει, ἀλλ' ἀνάγεται πρὸς τὸ προηγούμενον ζυγή· καὶ τὸ παρῆλθον προφανῶς ἡμάρτηται. Ἔγραψεν οὖν (οἶμαι) ὁ Ἐπιφάνιος « περιῆλθον τελειοῦσαι (ἢ τελέσασαι) ἑκάστην» (ζυγὴν δηλονότι). Σημ. ἡμετ.

εἰς τὸ μὴ *συνδυάσαι* τοὺς ἐγκεκλεισμένους ἑρμηνεῖς. Ἦσαν λοιπὸν οἱ λϛ οἰκίσκοι, καὶ τὰ λϛ σκαφίδια, καὶ οἱ λϛ κοιτῶνες *διπλοῖ* (τουτέστιν οβ), διηρημένοι διά τινος μεσοτοίχου καὶ διαφράγματος, χωρίζοντος ἀπὸ τῶν ἄλλων ἕκαστον τῶν ἑρμηνέων, *ἵνα μὴ συνδυάζωσι* καὶ συνέρχωνται πρὸς ἀλλήλους». κτλ. «Ἀλλὰ (χαριέντως ἀντεῖπεν Ὅδιος), ἀλλ᾽ ἔγωγε συμμωραίνοιμ᾽ ἂν μετὰ μωρῶν, ἐὰν ἐπὶ πολὺ διατρίψω εἰς τὴν τούτων ἀνασκευήν. Ὁ Ἐπιφάνιος εἶπε λϛ οὐ μόνον τοὺς οἰκίσκους καὶ τὰ σκαφίδια καὶ τοὺς κοιτῶνας, ἀλλὰ *καὶ τὰ ἰσότυπα ἑκάστης βίβλου τριακονταέξ*. Τὸ δὲ *διπλοῦς αὐτοὺς ποιήσας* δύναται μᾶλλον ἐπ᾽ αὐτῶν ἐκληφθῆναι τῶν ἑρμηνέων· ἀντὶ *δισσοὺς* αὐτοὺς ποιήσας, κατὰ δύο δηλονότι, ἢ κατὰ συζυγίαν διελὼν (οὕτω καὶ «*διπλοῖ* βασιλῆες», ἀντὶ *δισσοί*, παρὰ τῷ τραγῳδῷ). Ἂν δὲ πάλιν τὸ *διπλοῦς* ἀποδοθῇ πρὸς τοὺς *οἰκίσκους*, ἦσαν λοιπὸν οὗτοι διὰ φραγμοῦ διῃρημένοι εἰς δύω χωρίσματα, τὸ μὲν διὰ τοὺς δύω μεταφραστὰς (ἀμφοτέρους ἅμα πονοῦντας περὶ τὴν ἑρμηνείαν), τὸ δὲ διὰ τοὺς ὑπηρέτας παῖδας, ἵνα σκευάζωσι τὰ πρὸς τροφὴν καὶ τὴν ἄλλην θεραπείαν. Εἰ δὲ τούτοις οἱ περὶ τὸν Σεράριον οὐ πείθονται, «*μαινέσθωσαν σφετέρῃσι μανίαις*»! Τὰς δὲ τῶν ἑρμηνέων λϛ συζυγίας (εἰς λϛ οἰκίσκους ἐγκεκλεισμένας) ὁμολογεῖ καὶ Ἰουστινιανὸς ὁ Αὐτοκράτωρ ἐν τῇ ρμϛ Νεαρᾷ (περὶ ἧς ἐφεξῆς), καὶ Γεώργιος ὁ Σύγκελλος (Χρονογρ. σελ. 517), καὶ Ὀλυμπιόδωρος (Σειρ. εἰς Ἰὼϐ, σελ. 44), καὶ Ἡσύχιος, λέγων· «Τοῦτον τὸν στίχον δύο ζυγαὶ τῶν οβ ἑρμηνευτῶν εἶπον (ἴσ. γρ. εἶχον), διότι παράκειται τὸ σημεῖον τὸ διὰ τοῦ μέλανος, ὃ λέγεται λημνίσκος· [ὃς] διὰ μὲν τῆς κεραίας τῆς μέσης σημαίνει τὸν στίχον, διὰ δὲ τῶν δύω στιγμῶν, τῆς ἐπάνωθεν καὶ τῆς ὑποκάτω, τὰς δύω ζυγὰς τῶν ἑρμηνευτῶν ἠνοίξατο» (γρ. ᾐνίξατο) (α). Οὕτω

(α) Ἡσύχ. *ὑπόμνημ. εἰς Ψαλμ. παρὰ* Flav. Nobilio not. in version. Psalm. 12. — [*Καὶ παρὰ τῷ Ἀνωνύμῳ συγγραφεῖ τῆς ἱερᾶς ἱστορίας* (Histor. Sacr. ab Urbe condit. ad Valerianum. Bononiae. 1779.) *ἀναγινώσκονται τὰ ἐφεξῆς.* «*Πτολεμαῖος ὁ Φιλάδελφος ἐβασίλευσεν ἔτη λη. Οὗτος προτρέπει τοὺς ἐκ τῶν Ἰουδαίων*

καὶ ἄλλο σχόλιον εἰς Α, Βασιλ. (ιδ, 42)· « Ταῦτα *μέχρι* τοῦ *καὶ καταπληροῦται* ἐν μόνῃ κεῖται τῇ ἐκδόσει τοῦ Θεοδοτίωνος· διὸ *ἠστέρικται* (γράφ. ἠστέρισται) αὐτὰ, ὡς *ἐν μιᾷ*, ἢ *δευτέρᾳ ζυγῇ τῶν Ο, κείμενα*, οὐ μὴν ἐν τῷ ἑβραϊκῷ ». Τούτοις πρόσθες καὶ τοὺς Ἄραβας· οἱ μὲν γάρ τινες καὶ ἐξ αὐτῶν ἐν λϛ οἰκίσκοις ἀνὰ δύω κεκλεισμένους θέλουσι τοὺς ἑρμηνεῖς. Οἱ δέ τινες ἀμφιβάλλουσι, πότερον, ἐν λϛ, ἢ ἐν οβ, ὡς ὁ Ἀνώνυμος συγγραφεὺς τοῦ προλόγου τῶν εἰς τὸν Μ. Βασίλειον ἐπιγραφομένων σχολίων εἰς τοὺς ψαλμοὺς, καὶ Νικήτας ὁ Ἡρακλείας (οἵτινες ἀμφότεροι ψευδῶς μνημονεύουσι καὶ τὸν Φίλωνα μάρτυρα τῶν οἰκίσκων). « Οἱ δὲ ἐν διαφόροις οἰκίσκοις κατὰ δύω, ὡς φησὶν ὁ Ἰουδαῖος *Φίλων*, ἢ καὶ καθ᾽ ἕνα, ὡς ὁ θεῖος Ἰουστῖνος ἀποφαίνεται, διαιρεθέντες —, πᾶσαν τὴν ἱερὰν Γραφὴν καὶ αὐτοὺς τοὺς ψαλμοὺς ἡρμήνευσαν, καὶ πάντες ἐν τῇ ἑρμηνείᾳ ὡμοφώνησαν, οὐδὲν ἀλλήλων παραλλάξαντες, οὔτε κατὰ τὴν ἔννοιαν, οὔτε κατὰ λέξιν » (α). Ὡσαύτως καὶ Ζωναρᾶς (χρονικ.) μνημονεύσας τὴν εἰς ἕνα τόπον (κατὰ τὸν Ἰώσηπον) ἐργασίαν τῶν ἑρμηνευτῶν, ἐπισυνάπτει· « Ἕτεροι δὲ, μὴ ὁμοῦ, συνελθόντας φασὶ τοὺς ἑρμηνεῖς τῶν Γραφῶν ποιήσασθαι τὴν παράφρασιν, ἀλλὰ ἀνὰ δύω διαιρεθῆναι αὐτοὺς, καὶ ἐν ἰδιαζούσαις διαίταις ὄντας, ἐκθέσθαι τὴν ἑρμηνείαν· καὶ μετὰ τὸ τέλος ὁμοῦ συ-

---

*πολυμαθεῖς ἑρμηνεῦσαι τὰς* Γραφὰς *ἐκ τῆς ἑβραΐδος εἰς τὴν ἑλληνικὴν γλῶσσαν,— καὶ ποιοῦνται τὴν ἑρμηνείαν ἄνδρες οἱ ἐν σοφίᾳ παρ᾽* Ἑβραίοις *ἐπαινούμενοι ἐν* Ο *ἡμέραις. — καθίσας αὐτοὺς ἐν τῇ* Φάρῳ *ἀ ν ὰ δ ύ ω καὶ συγκρίνας τὴν ἑρμηνείαν » κτλ.* (*σελ.* 59). Τοῦτο *τὸ συγγραμμάτιον ὁ ἐκδότης* Bianconi *ἀπονέμει εἰς* Ἡσύχιον *πρεσβύτερον* Ἱεροσολύμων, *οὐχὶ τὸν περὶ τὰ* 407 (Θεοφάν. *χρον. σελ.* 7), *ἀλλὰ τὸν νεώτερον, ἀκμάσαντα τῷ* 601 (*βλ.* Cave Script. Eccles. Hist. vol. 1. p. 312 *καὶ* vol. 2. p. 128, *καὶ* Du-Pin Biblioth. etc. vol. 4. p. 9. *πρβλ. καὶ* Hody prolegom. ad Malala Chronic. §. 24. pag. L. ed. Bonnae). Καὶ *φαίνεται λοιπὸν, ὅτι καὶ παρὰ τῷ* Συγκέλλῳ *καὶ τοῖς ἄλλοις τοῖς ἀνωτέρω μνημονευομένοις ἡ περὶ τῶν ζυγωτῶν ἑρμηνέων γνώμη μετωχετεύθη ἐκ μόνων τῶν τοῦ ἱεροῦ* Ἐπιφανίου. Σημ. *ἡμετ.*]

(α) Προλόγ. *εἰς τοὺς* Ψαλμ. [Πρόσθες *καὶ τὰ ἐφεξῆς τοῦ αὐτοῦ* Νικήτα· « *Διῃρημένως τὴν τῆς διαλέκτου μεταβολὴν ποιησάμενοι, μίαν ἐν ἑκάστοις ἔννοιαν καὶ λέξιν ἀποδεδώκασι* ». Σειρ. *εἰς τοὺς ψαλμ.* (*ἀνεκδότῳ ἔτι. βλ.* Fabric. Bibl. Graec. vol. 7. pag. 737. *καὶ* vol. 3. p. 667 Harl.). *πρβλ. καὶ* Usser. Syntagm. p. 71. Σημ. *ἡμετ.*].

νελθεῖν, καὶ τὰς ἑκάστων γραφὰς παραβληθείσας ἀλλήλαις εὑρεθῆναι μήτε κατὰ νοῦν μήτε μὴν κατὰ *λέξεις* (ἴσ. λέξιν) διαφωνούσας, ἀλλὰ συμφώνους ἐν ἅπασι » κτλ. (α).

§. ζ. Ε) Ἄλλην (λέγουσιν) ἀπόδειξιν τοῦ ψεύδους τῶν οἰκίσκων παρέχει Φίλων ὁ Ἰουδαῖος· ἐπιγινώσκει μὲν οὗτος θεοπνεύστους τοὺς ἑρμηνεῖς, οἰκίσκων δὲ ὅμως οὐκ ἂν ἴδοις παρ' αὐτῷ *οὐδὲ θέναρ, οὐδ' ἴχνος*, οὔτε ΟΒ, οὔτε ΛϚ· καὶ φαίνεται ἄρα σαφῶς, ὅτι μετὰ τοὺς Φίλωνος χρόνους ἐχαλκεύθη τὸ μυθάριον. Καὶ ὅμως τὸν Φίλωνα τοῦτον οἱ μὲν περὶ τὸν Νικήταν ἐπισύρονται μάρτυρα τῶν ΛϚ, οἱ δὲ περὶ τὸν Σαλμέρωνα καὶ Μορῖνον τῶν ΟΒ! Αὐτὸς δὲ ὁ Φίλων οὕτω μακρὰν τῶν οἰκίσκων ἀπέχει, ὥστε καὶ συγκαθημένους ἅμα πάντας, καὶ οὐδ' *εἰς ἕνα οἶκον* (κατὰ τὸν Ἰώσηπον), ἀλλ' εἰς *τόπον ὕπαιθρον* ἱστορεῖ τοὺς ἑρμηνεῖς. Ἄκουε· « Τοῦτον ἐξ ἁπάντων τῶν ἐν κύκλῳ κρίνοντες ἐπιτηδειότατον εἶναι *τὸν τόπον* (τὸν ἐν τῇ Φάρῳ) ἐνησυχάσαι τε καὶ ἐνηρεμῆσαι, καὶ μόνῃ τῇ ψυχῇ πρὸς μόνους ὁμιλῆσαι τοὺς νόμους, ἐνταυθοῖ κατέμειναν. *Καὶ τὰς ἱερὰς βίβλους λαβόντες ἀνατείνουσιν ἅμ' αὐταῖς καὶ τὰς χεῖρας εἰς οὐρανόν*, αἰτούμενοι τὸν Θεὸν μὴ διαμαρτεῖν τῆς προθέσεως. — Καθίσαντες δ' ἐν ἀποκρύφῳ, καὶ μηδενὸς παρόντος, *ὅτι μὴ τῶν τῆς φύσεως μερῶν, γῆς, ὕδατος, ἀέρος, οὐρανοῦ*, περὶ ὧν πρώτων τῆς γενέσεως ἔμελλον ἱεροφαντήσειν, — καθάπερ ἐνθουσιῶντες προε-

(α) Ἀστεῖον τοῦτο Ὅσιος φαίνεται ποιῶν. Τοὺς μὲν σύνεγγυς Ἰουστίνου παλαιοὺς Πατέρας τῆς Ἐκκλησίας φέρων καθυπέταξεν ἅπαντας εἰς τὸν Ἰουστῖνον, ὡς ἐκ τούτου μεταγράψαντας τὴν περὶ τῶν οἰκίσκων ἠπατημένην γνώμην, αὐτοὺς δὲ μηδὲν ἀφ' ἑαυτῶν ἐξετάσαντας, μηδὲ πληροφορηθέντας (§. β), καὶ οὕτως ὁ κριτικὸς ἀνάγει τῶν πολλῶν τὰς μαρτυρίας εἰς μίαν, «ἓν τὰ πολλὰ ποιῶν»· Τοὺς δὲ παρ' Ἐπιφανίου προφανῶς ἀντιγράψαντας τὴν διαφωνοῦσαν γνώμην, καὶ τοσούτῳ νεωτέρους τοῦ Πατρὸς γενομένους, οἷον τὸν Ἰουστινιανὸν, καὶ τὸν Σύγκελλον, καὶ τοὺς ἄλλους, οὓς ἐξέθηκεν ἀνωτέρω (προστιθεὶς κατὰ λέξιν καὶ τούτων καὶ τῶν Ἀράβων αὐτῶν τὰς μαρτυρίας), τούτους ὁ δόκτωρ ἄλλους μετ' ἄλλους εἰσάγει, ὡς ἂν μάρτυρας αὐτοπίστους καὶ αὐτοτελεῖς, πολλαπλασιάζων τὰς μαρτυρίας εἰς τρανώτερον ἔλεγχον τῆς περὶ τῶν οἰκίσκων διαφωνίας, καὶ «ποιῶν (τἀνάπαλιν) τὸ ἓν πολλά»! Σημ. ἡμετ.

φήτευον, οὐκ ἄλλα ἄλλος, τὰ δ' αὐτὰ πάντες ὀνόματα καὶ ῥήματα, ὥσπερ ὑποβολέως ἑκάστοις ἀοράτως ἐνηχοῦντος» κτλ. Πῶς ἄλλως ἠδύνατο σαφέστερον ὁ Φίλων παραστῆσαι τοὺς ἑρμηνεῖς καθημένους εἰς ἕνα καὶ τὸν αὐτὸν τόπον, καὶ τοῦτον ὕπαιθρον, ἐν παρουσίᾳ τῶν τῆς φύσεως μερῶν « γῆς, ὕδατος, ΑΕΡΟΣ, ΟΥΡΑΝΟΥ » ; Τί δὲ πάλιν ἕτερον, εἰ μὴ τὸ συνάμα πάντας ἀσχολεῖσθαι περὶ τὴν ἑρμηνείαν ἐξέφρασε λέγων, ὅτι « τὰς ἱερὰς βίβλους λαβόντες ἀνέτεινον ἅμ' αὐταῖς καὶ τὰς χεῖρας εἰς οὐρανόν » ; Ὅτι δ' ἐν ὑπαίθρῳ γενομένην τὴν ἑρμηνείαν ὁ Φίλων ἐφρόνει, μαρτυρεῖ καὶ ἐν οἷς διέγραψε τὴν ἐν Φάρῳ πανήγυριν, λέγων· ὅτι, « *Σεμνύνοντες τὸ χωρίον, ἐν ᾧ πρῶτον τὸ τῆς ἑρμηνείας ἐξέλαμψεν*, οἱ μὲν ὑπὸ σκηναῖς, οἱ δὲ καὶ ἐν ΥΠΑΙΘΡΩ *εἱστιῶντο* ». Ἀλλ' ὁ Μορῖνος διατεινόμενος, ὅτι καὶ Φίλων τὸ θαῦμα τῶν οἰκίσκων ἐπικυροῖ, « Δυοῖν θάτερον (λέγει), ἢ πᾶσιν ἅμα βουλευομένοις καὶ κοινῇ συζητοῦσι τοῖς ἑρμηνεῦσιν ἐπῆλθεν αὕτη ἡ παρὰ τῷ Φίλωνι διαγραφομένη μὴ μόνων τῶν νοημάτων, ἀλλὰ καὶ τῶν ῥημάτων ὁμοφωνία, ἢ κατ' ἰδίαν ἑκάστῳ καὶ κατὰ μέρος τὴν ἑρμηνείαν φιλοπονοῦντι. Καὶ εἰ μὲν τὸ πρῶτον, οὐδὲν λοιπὸν οὐδόλως ἐγίνετο θαῦμα, οὐδ' ἀνάγκη τις ἦν *προφητείας* (ἣν ὁ Φίλων βεβαιοῖ). Τοῦτο γὰρ γίνεται καθ' ἑκάστην, ὡς ὅταν ἐν τοῖς δικαστηρίοις πλεῖστοι δικασταὶ περὶ τὴν γνώμην τὴν αὐτὴν καὶ κατ' ἔννοιαν καὶ κατὰ λέξιν ὁμοφωνῶσιν· ὡσαύτως δὲ καὶ πλεῖστοι ἑρμηνεῖς, περὶ τὴν αὐτὴν μετάφρασιν, ἢ καὶ τῶν ἑρμηνευθέντων ἐπανόρθωσιν καὶ διασκευήν. Τὸ δεύτερον ἄρα ἐνόει ὁ Φίλων. Ἔπειτα θῶμεν ἅπαντας ὁμοῦ περὶ τοῦ πράγματος συζητοῦντας· ἀλλὰ τότε πάλιν οὐκ ἂν καὶ πάντες ἅμα καὶ μιᾷ φωνῇ διελέγοντο· ἤ, ποῖον ἐγίνετο χάος ἐκεῖνο, καὶ ποία σύγχυσις φωνῶν, καὶ εἴγε τὰς λέξεις τὰς αὐτὰς ἅπαντες ὁμόθροοι ἐξεφώνουν ; Ἂν δὲ καὶ τοῦτο δῶμεν, μεῖζον λοιπὸν ἔσται τὸ θαῦμα τοῦτο παρὰ τὴν ἐν οἰκίσκοις κεχωρισμένοις ἰσορρουμένην ἔν τε ῥήμασι καὶ νοήμασι συμφωνίαν (α). Οὕτω δὲ

(α) Οὕτω καὶ Βελλαρμῖνος οὐχ εὑρίσκων ἀναγκαίους τοὺς οἰκίσκους, ἀνακηρύτ-

παραδόξου τοῦ θαύματος γενομένου, οὐδεμίαν λοιπὸν ἡσυχίας (ἣν εἶπε Φίλων), οὐδὲ μελέτης χρείαν εἶχον οἱ ἑρμηνεῖς. Ὥστε μὴ παραδεχόμενος τοὺς δύω τούτους τρόπους τῆς ἑρμηνείας (ἢ τὴν ἐν οἰκίσκοις ὑφ᾽ ἑκάστου καὶ κατὰ μέρος, ἢ τὴν ὑπὸ πάντων ἅμα καὶ κατὰ τὸ αὐτὸ συμφώνως προφητευόντων), ὅπου ἂν στραφῇς, ὅ,τι καὶ ἂν πλάσῃς, καὶ τὸ θαῦμα ἀναιρεῖς, καὶ τοῖς λόγοις τοῦ Φίλωνος οὐδέποτε συμφωνήσεις ». Τοιαῦτα ὁ Μορῖνος. Ἀλλ᾽ ἡμεῖς (φησιν Ὅδιος) οὐδόλως μεριμνῶμεν, πόσον ἔκτοπον καὶ παράδοξον ἐφαίνετο θαῦμα, συμπάντων ἅμα τῶν ἑρμηνέων ὁμοφώνως προφητευόντων. Περὶ τούτου πάλιν ὄψεται Φίλων αὐτός. Ἀρκούμεθα δὲ μόνον ἐξ αὐτοῦ τοῦ Φίλωνος, φωτὸς τηλαυγέστερον, ἀποδείξαντες τοὺς ἑρμηνεῖς εἰς ἕνα τόπον συνεδριάζοντας, καὶ μὴ κατ᾽ οἰκίσκους διῃρημένους! Κᾀκεῖνο δὲ σημειωτέον, ὅτι τὴν ἐκ θείας ἐπιπνοίας συμφωνίαν τῶν ἑρμηνέων εἰς οὐδένα τῶν συγγραφέων, ἀλλ᾽ εἰς τὴν δημώδη φήμην ὁ Φίλων ἀποδίδωσι λέγων « Ὅπερ ΟΥ ΦΑΣΙ συμβῆναι » (βλ. ἔμπρ. §. κα). Ἀλλὰ καὶ αὐτὸς Οὐόσσιος ἐκ παρεξηγήσεως τῶν τοῦ Φίλωνος λόγων ἐθέλει γεννηθέντα τὸν μῦθον τὸν περὶ τῶν οἰκίσκων καὶ τῆς θαυμαστῆς συμφωνίας τῶν ἑρμηνέων (α).

§. η. Ϛ) Ἀναιρεῖ τὸ θαῦμα τὸ τῶν οἰκίσκων ἅμα καὶ τῆς ἐπιπνοίας τῶν ἑρμηνέων, καὶ τούτους ἀθειάστους καὶ ἀκραιφνεῖς ἀνθρώπους παρὰ τοῖς ἀρχαίοις νομιζομένους ἀποδείκνυσι καὶ ὁ Πρόλογος τῆς Σοφίας Σειρὰχ, ὅστις διαγράφει τὴν ἑρμηνείαν τῶν Γραφῶν καταδεεστέραν τῆς ὑπεροχῆς τοῦ πρωτοτύπου (καθὼς ἐλλείπουσι συνήθως καὶ πᾶσαι ἄλλαι οἱαιδήποτε μεταφράσεις). « Παρακαλεῖσθε (λέγει) — συγγνώμην ἔχειν, ἐφ᾽ οἷς ἂν δοκῶμεν τῶν κατὰ τὴν ἑρμηνείαν πεφιλοπονημένων τισὶ τῶν λέξεων ἀδυναμεῖν. Οὐ γὰρ ἰσοδυναμεῖ αὐτὰ ἐν ἑαυτοῖς Ἑβραϊςὶ λεγόμενα, καὶ ὅταν μεταχθῇ εἰς ἑτέραν γλῶσσαν. Οὐ μόνον δὲ

---

τει πολὺ θαυμαστότερον τῆς ἀθρόων τῶν ἑρμηνέων ἁπάντων κοινῆς περὶ τὴν ἑρμηνείαν συμφωνίας τὸ θαῦμα. Bellarmin. de Verb· Dei l. 2. c. 10. Σημ. ἡμετ.

(α) J. Voss. de LXX. Interp. c. 5.

*ταῦτα, ἀλλὰ καὶ αὐτὸς ὁ Νόμος, καὶ αἱ Προφητεῖαι, καὶ τὰ λοιπὰ τῶν βιβλίων οὐ σμικρὰν ἔχει τὴν διαφορὰν ἐν ἑαυτοῖς λεγόμενα* ».

§. θ. Ἀλλὰ καὶ ἄλλως, πόσῳ προσκλινὲς καὶ κατάφορον εἰς τοιαύτας μυθοπλαστίας ὑπῆρξε τὸ τῶν Ἰουδαίων ἔθνος, ἔξεστι μαθεῖν καὶ ἐξ ὧν διεμυθολόγησαν ὁμοίως καὶ περὶ τῆς Χαλδαϊκῆς ὑπὸ Ἰωνάθαν παραφράσεως τῶν Γραφῶν (α). «Εἴ ποτε (λέγουσι) μυῖα προσπετῶσα ἐπεκάθιζεν ἐπὶ τοῦ χάρτου (ἐν ᾧ ἔγραφεν ὁ παραφραστὴς), πῦρ ἐξ οὐρανοῦ καταβὰν εὐθέως αὐτὴν κατέκαιεν (ἵνα μὴ παρεμποδίζῃ), χωρὶς μηδεμιᾶς βλάβης μήτε τοῦ χάρτου, μήτε τοῦ γράφοντος αὐτοῦ. Πάντα δὲ πτηνὰ, ὅσα παρίπταντο κατὰ τύχην ὑπεράνωθεν τοῦ γράφοντος, κατέπιπτον αὐτίκα νεκρά. Ἄγγελοι κατέβαινον οὐρανόθεν ἀκουσόμενοι τὸν παραφραστὴν, ὁπότε σχολάζοι. Πᾶσα ἡ Παλαιστίνη ἐπὶ 400 λεύγας ἐσείσθη· καὶ ἀπὸ λευγῶν 400, ἐξηκούσθη *φωνῆς θυγάτηρ* (τουτ. φωνὴ) λέγουσα· « *Τίς ἐστιν οὗτος, ὁ τὰ μυστήριά μου τοῖς υἱοῖς τῶν ἀνθρώπων ἀποκαλύπτων* »; Ἤδη δὲ περαιώσαντος τοὺς Προφήτας, καὶ σπεύδοντος εἰς παράφρασιν τῶν Ἁγιογράφων, ἠκούσθη πάλιν οὐρανόθεν φωνὴ, λέγουσα· « *Ἀρκεῖ σοι* »· καὶ τοιαῦτα μὲν ἐκεῖνοι (λέγει Ὅδιος) « *οἱ ἀπεσκολυμμένοι λῆροι* » (apellae nugaces)!

§. ι. Ὁ δὲ περικλεὴς Εὔνσιος ἐξέθετο καὶ τὴν ἀφορμὴν τῆς ἐξυφάνσεως τοῦ μύθου τοῦ περὶ τῶν οἰκίσκων καὶ τῆς προφητικῆς τῶν Ο, συμφωνίας. « Περὶ τούτων (λέγει) τῶν ἑρμηνέων ποίους λήρους, καὶ μύθους, καὶ *γενιήλους ὕθλους* (naenias) οὐκ ἐπενόησαν οἱ Γραικοὶ (Graeci)! Ὅθεν καὶ τὰ πλεῖστα τού-

---

(α) Ταργουμὶμ λέγουσιν οἱ Ἰουδαῖοι, τουτέστι παραφράσεις, τὰς παρ' αὐτοῖς χαλδαϊκὰς ταύτας ἑρμηνείας τοῦ ἑβραϊκοῦ πρωτοτύπου (πάσας γενομένας πολὺ μετὰ Χριστὸν ὕστερον, ὡς ἐροῦμεν ἴσως ἀλλαχοῦ). Τούτων δὲ τῶν Ταργουμίων ἀρχαιότατον παρὰ πολλοῖς νομίζεται τὸ τοῦ Ἰωνάθαν τοῦ Οὐζιηλίδου (Ben-Uziel) εἰς μόνους τοὺς προφήτας γραφέν· καὶ τοῦτο λέγει Ὅδιος ἀνωτέρω. Σημ. ἡμετ.

των οὐκ ἀλόγως ἀπεθαύμαζεν ἅμα καὶ καταγέλα καὶ αὐτὸς ὁ ἁγιώτατος καὶ σοφώτατος ἀνὴρ καὶ συγγραφεὺς, ὁ μακάριος Ἱερώνυμος. Ἀλλ᾽ ἵνα τὴν ἀρχὴν αὐτὴν καὶ τῆς ἐπωνυμίας (τῶν Ο), καὶ τῆς τοῦ μύθου σκηνῆς ἀποκαλύψωμεν ἡμεῖς ἐν παρόδῳ (ἐπειδὴ οὐδένα ἄλλον ἴσμεν οὐδέπω τοῦτο πεποιηκότα), παρετηρήσαμεν, ὅτι πάντα τὰ περί τε τοῦ ἀριθμοῦ τῶν ἑρμηνέων, καὶ τοῦ τρόπου τῆς ἑρμηνείας, καὶ τῆς τούτων διαιρέσεως, καὶ τῆς συμφωνίας, ἐκ τοσαύτης περιαγωγῆς (ambitu) διαθρυλληθέντα, ἅπαντα προέκυψαν ἐκ τοῦ ΚΔ κεφαλαίου τῆς Ἐξόδου. Ἐκεῖ (§. 7) ἀναγινώσκομεν, ὅτι ὁ μέγας ἡγεμὼν ἐκεῖνος καὶ φίλος Θεοῦ (Μωϋσῆς) « λαβὼν τὸ βιβλίον της διαθήκης, ἀνέγνω εἰς τὰ ὦτα τοῦ λαοῦ »· καὶ πάλιν (§. 9), ὅτι « Μωϋσῆς καὶ Ἀαρὼν καὶ ἄλλοι καὶ *οἱ* Ο *πρεσβύτεροι* ἀνέβησαν πρὸς τὸν Θεόν ». Μετέπειτα δὲ (κατὰ τὸ ἑβραϊκὸν) προστίθενται τὰ ἐφεξῆς « Ἐπὶ δὲ τοὺς ἄρχοντας τῶν υἱῶν Ἰσραὴλ *οὐκ ἐπέβαλε τὴν χεῖρα αὐτοῦ* » (ἢ κατὰ τὸ Χαλδαϊκὸν « οὐδὲν αὐτοῖς ἐγένετο δεινόν » ). Τοῦτο δὲ θαυμαστῶς πως ἐξέφερον οἱ Ἑλληνισταί· « *Καὶ τῶν ἐπιλέκτων τοῦ Ἰσραὴλ διεφώνησεν οὐδὲ εἷς* »! Ἐξ ἐκείνων οὖν τῶν Ο πρεσβυτέρων ἐπλάσθησαν καὶ οἱ Ο πρεσβύτεροι ἑρμηνεῖς. Ἐπειδὴ δὲ περὶ ἐκείνων ἐρρέθη «*οὐ διεφώνησεν οὐδὲ εἷς*», προηγήθησαν δὲ καὶ τὰ *περὶ τοῦ βιβλίου τῆς Διαθήκης* (ἐξ οὗ Μωσῆς ἀνέγνω *εἰς τὰ ὦτα τοῦ λαοῦ*), ἐντεῦθεν ἀναμφιβόλως ἡ περὶ τοῦ Πτολεμαίου ἱστορία· ἐντεῦθεν αἱ περιβόητοι (τῶν οἰκίσκων) σκηναὶ, ἃς διέπαιξεν Ἱερώνυμος· ἐντεῦθεν κἀκεῖνο τὸ πλάσμα, ὅτι τοσούτων ὄντων τῶν ἑρμηνέων, οὐδεὶς περὶ τὴν ἑρμηνείαν *διεφώνησεν*! Ἐπειδὴ δὲ πάλιν ἡ πρὸς τὸ *διαφωνεῖν* ἀντίστοιχος Ἑβραϊκὴ λέξις (azilim) σημαίνει καὶ τὸ « *κεχωρισμένοι* », ἐντεῦθεν καὶ ἡ περὶ τοῦ *χωρισμοῦ* τῶν ἑρμηνέων ἱστορία, ὅτι διῃρημένοι ἀπ᾽ ἀλλήλων καὶ κατ᾽ ἰδίαν ἕκαστος ἡρμήνευσαν τὸν νόμον, ἢ τὸ ἄθροισμα τῶν Γραφῶν ». Ταῦτα ὁ Ἑϊνσιος (α)· καὶ συνεπεψήφισαν ἄλλοι τε

---

(α) Heins. in Aristarch. Sacr. l. i. c. 10. apud Hody. p. 156.

πολλοὶ, καὶ Ὀττιγγῆρος, « *σφόδρα χειροκροτητέαν, καὶ τῇ φύσει τῶν Εβραίων οὐδόλως ἀσυνήθη* », κρίνας τὴν Εἴνσειον εἰκασίαν. Ἀλλ᾽ ἔμοι γε (φησὶν Ὅδιος) ἅπαντα ταῦτα σκληρότερα φαίνονται, καὶ μακρόθεν ἐζητημένα. Κᾀκεῖθεν δὲ μόνον αναιροῦνται ῥᾳδίως, ὅτι τὰ μυθάρια τὰ περί τε τοῦ ἀριθμοῦ, καὶ τῆς ἐπιπνοίας τῶν ἑρμηνέων, καὶ τὸ τῶν δωματίων, οὐ κατὰ τὸν αὐτὸν ἀνεφύησαν χρόνον (ὡς παρίστησιν ὁ Εἴνσιος), ἀλλὰ κατὰ διαφόρους καιρούς. Ἄτοπον δὲ κᾀκεῖνο· ὅτι τῶν περὶ τῶν χωριστῶν οἰκίσκων μῦθον ἔπλασαν οἱ Ἑλληνισταὶ ἐκ τῆς ἑβραΐδος λέξεως, τῆς δηλούσης καὶ τὸ *κεχωρισμένοι*! Καὶ πῶς ἂν ἠδυνήθησαν οἱ ἑλληνίζοντες δράξασθαι τοιαύτης εἰς τὸ μυθοπλαστῆσαι λαβῆς, ὁρμηθέντες ἀπὸ σημασίας ἑβραϊκοῦ ὀνόματος, ὅπερ οὐ κεῖται ἐν τῇ ἑλληνικῇ μεταφράσει τοῦ προβαλλομένου χωρίου; Ἀλλ᾽ ὅσον περὶ τῆς ἀρχῆς τοῦ μυθολογήματος, ἡ ἐμὴ γνώμη (λέγει Ὅδιος) ἐστὶν ἡ ἐφεξῆς. Ἀφ᾽ οὗ διέσπειραν εἰς τὸ κοινὸν, ὅτι διὰ θείας ἐπιπνοίας ἐτελέσθη ἡ μετάφρασις, ἐπειδὴ τοῦτο οὐκ ἀπεδείκνυτο βέβαιον καὶ πιστὸν, εἰ μὴ συμπαρηκολούθει καὶ ἡ κατὰ τὸν αὐτὸν τόπον κοινὴ συνεδρίασις τῶν μεταφραστῶν, προσεφεῦρον καὶ τὸν μῦθον τῶν οἰκίσκων, ἐν οἷς διηρημένοι μετέφρασαν ἅπαντες ὁμόφωνα καὶ τὰ αὐτά. Ὡς δὲ τοῦτο οἱ ψεῦσται κατίσχυσαν ἐμπεδῶσαι, παρείπετο λοιπὸν αὐτόματον καὶ τὸ συμπέρασμα, ὅτι *οἱ ἑρμηνεῖς ἦσαν θεόπνευστοι*!

§. ια. Εἴπομεν (κεφ. ε. §. ζ.), ὅτι κατὰ μίμησιν τῶν οβ, ἑρμηνέων τῆς Γραφῆς καί τινες Χριστιανοὶ γραμματικοὶ διεμυθολόγησαν, ὅτι καὶ τῶν Ὁμήρου ποιημάτων διωρθωτὰς καὶ κριτὰς συνεκάλεσεν ὁ Πεισίστρατος οβ, γραμματικοὺς, οἵτινες καὶ οὗτοι διηρημένοι (καθὼς ἐκεῖνοι), εὑρέθησαν, τέλος, ἅπαντες ἐν πᾶσιν ὁμόφωνοι πρὸς ἀλλήλους! Ἰδοὺ ἡ διήγησις αὕτη (α) « Πεισίστρατος Ἀθηναίων στρατηγὸς — μετὰ τὸ πάντας (τοὺς ὁμηρικοὺς στίχους) συναγαγεῖν, παρεκάλεσεν οβ, ἄνδρας γραμματικοὺς

---

(α) Ἀντιγράφομεν ἐξ Ὀδίου (σελ. 157), καὶ Van Dale pag. 146. Σημ. ἡμετ.

ἐπιθεῖναι (γρ. *συνθεῖναι*) τὰ τοῦ Ὁμήρου, ἕκαστον κατ᾽ ἰδίαν, ὅπως ἂν δόξῃ τῷ συντιθέντι καλῶς ἔχειν, ἐπὶ μισθῷ πρέποντι λογικοῖς (ἴσ. γρ. *λογίοις*) ἀνδράσι, καὶ κριταῖς ποιημάτων, ἑκάστῳ δεδωκὼς πάντας τοὺς στίχους κατ᾽ ἰδίαν, ὅσους ἦν συναγαγών. Καὶ μετὰ τὸ ἕκαστον συνθεῖναι κατὰ τὴν ἑαυτοῦ γνώμην, εἰς ἓν συνήγαγε πάντας τοὺς προλεχθέντας γραμματικοὺς, ὀφείλοντας ἐπιδεῖξαι αὐτῷ ἕκαστον τὴν ἰδίαν σύνθεσιν, παρόντων ὁμοῦ πάντων. Οὗτοι οὖν ἀκροασάμενοι οὐ πρὸς ἔριν, ἀλλὰ πρὸς τὸ ἀληθὲς καὶ πᾶν τὸ τῇ τέχνῃ ἁρμόζον, ἔκριναν πάντες κοινῇ καὶ ὁμοφώνως ἐπικρατῆσαι τὴν σύνθεσίν τε καὶ διόρθωσιν Ἀριστάρχου καὶ Ζηνοδότου (α). Καὶ πάλιν ἔκριναν τῶν δύω συνθέσεών τε καὶ διορθώσεων βελτίονα τὴν τοῦ Ἀριστάρχου. Ἐπειδὴ δέ τινες τῶν συναγόντων στίχους πρὸς τὸν Πεισίστρατον, διὰ τὸ πλείονα μισθὸν λαβεῖν, καὶ ἰδίους στίχους (ὡς καὶ εἴρηται) σκεψάμενοι (ἴσ. γρ. *σκηψάμενοι*) προσέθηκαν, καὶ ἤδη ἐν συνηθείᾳ ἐγένοντο τοῖς ἀναγινώσκουσιν, οὐκ ἔλαθε τοῦτο τοὺς κριτὰς, ἀλλὰ διὰ μὲν τὴν συνήθειαν καὶ πρόληψιν ἀφῆκαν αὐτοὺς κεῖσθαι· ὀβελίσκους δὲ ἑκάστῳ τῶν ἀδοκίμων καὶ ἀλλοτρίων καὶ ἀναξίων τοῦ ποιητοῦ στίχων παρατιθέμενοι, τοῦτο αὐτὸ ἀπεδείξαντο, ὡς ἀνάξιοί εἰσι τοῦ Ὁμήρου » (β).

§. ιβ. Καθὼς δὲ (λέγει Ὅδιος) τὸ πάλαι οἱ Ἀλεξανδρεῖς ἐπεδείκνυον Ἰουστίνῳ τῷ μάρτυρι τὰ κατὰ τὴν Φάρον ἴχνη τῶν οἰκίσκων, οὕτω καὶ τὴν σήμερον ἔτι κατ᾽ αὐτὴν τὴν Ἀλεξάνδρειαν δεικνύουσιν οἰκοδόμημα, ξενῶνα τοῦτο πιστεύοντες γενέσθαι τῶν ΟΒ μεταφραστῶν. Ἐν δὲ τούτῳ μέχρι καὶ τῆς σήμερον ἵστανται

---

(α) Ἀμφότεροι οὗτοι οἱ γραμματικοὶ (Ἀρίσταρχος καὶ Ζηνόδοτος) ἔζων τινὰς αἰῶνας μετὰ τὸν Πεισίστρατον! Hody.

(β) Στεφάνου γραμματικοῦ Σχόλ. εἰς τὴν Γραμματ. Διονυσίου τοῦ Θρᾳκός. (Hody, ἀπὸ κώδηκος τῆς Βοδηλιανῆς βιβλιοθήκ.). Ὁ δὲ Βανδάλης ἐπιγράφει τὸ Σχόλ. Διομήδους Σχολαστικοῦ, ἐκ τοῦ Gronovij Praefat. V. volum. Thesaur. Graecar. Antiquit. Τὸ σχόλιον ἤδη κεῖται καὶ ἐν τοῖς Ἑλληνικοῖς Ἀνεκδότοις τοῦ Βεκκήρου. τ. Β. σελ. 768: Σημ. ἡμετ.

(λέγουσιν) οἱ οβ, οἰκίσκοι, ἐν οἷς ἐκεῖνοι κατὰ θείαν ἔμπνευσιν ἡρμήνευσαν τὰς Γραφάς. Αὐτοῦ δὲ καὶ οἶκον εὐκτήριον ᾠκοδόμησαν οἱ Ἄραβες, ὃν ἐπονομάζουσι *τῆς Ἀνατολῆς* (Giama-il-Garbie), ἢ κατ' ἄλλους, *τῶν Ο!* καὶ τοῦτον πρὸς τοὺς ξένους Χριστιανοὺς ἐπιδεικνύουσι μισθῷ. Μετὰ τῆς αὐτῆς ματαιοφροσύνης οἱ Ἀλεξανδρεῖς, τιμῶντες τάχα τὴν πόλιν, ἐμυθολόγησαν, ὅτι καὶ Ἀριστοτέλης ἐδίδαξεν ἐν αὐτῇ δημοσίως· καί τινας οἰκοδομὰς, ὡς ἐκείνου σχολὰς, εἰώθασιν ἐπιδείκνυσθαι (α).

§. ιγ. Τελευταῖον (συμπεραίνει Ὅδιος), ἠδυνάμην ἐνταῦθα ὑποσυνάψαι πολλοὺς ἀρχαίους συγγραφεῖς, ὧν οἱ μέν τινες ἅλις ἐμφανῶς ὑποδηλοῦσιν, ὅτι οὐκ ἐπίστευον τὸ περὶ τῶν οἰκίσκων, ἄλλοι δὲ παρὰ τὴν ἑρμηνείαν τῶν Ο προετίμων τὰς τῶν ἄλλων ἑρμηνευτῶν, οἱ δὲ καὶ ὡς ἡμαρτημένην ἄντικρυς αὐτὴν ἐξήλεγχον. Ἀλλὰ περὶ τούτων πραγματευόμεθα ἀλλαχοῦ (βλ. Βιβλ. Δ). Ἤδη δὲ προστιθέμεθα μόνον τοῦ Φωτίου τὴν μαρτυρίαν, ὅστις καὶ αὐτὸς ἐφρόνει τοὺς Ο, εἰς ἕνα τόπον συνελθόντας, καὶ συμπονήσαντας τὴν ἑρμηνείαν· « [Τὴν] τῆς θείας (λέγει) καὶ παλαιᾶς Γραφῆς, *ἣν οἱ* Ο, *συνεληλυθότες* ἐκδεδώκασι μετάφρασιν » (κώδ. ροζ).

*Ἀπαντῶμεν.*

§. ιδ. Μηδὲ χανεῖν, μηδ' ἐρυγεῖν, μηδὲ γρύξαι γοῦν μηκέτι μηδένα περὶ τῶν οἰκίσκων ἀντιλέγοντα σοβαρώτερον ἔκρινεν Ὅδιος ἐν τοῖς προλαβοῦσιν (§. ζ). Ἀλλ' ἡμεῖς, αἰτήσαντες συγγνώμην, ἀντεροῦμεν ὀρθῷ στόματι ὀλίγα καὶ τὰ δίκαια.

§. ιε. Α) Λίαν ἀπιθάνως ἔπλασεν ὁ κριτικὸς τοὺς ἑλληνιστὰς Ἰουδαίους ἀνακαλουμένους εἰς τὸ κείμενον τὸ ἑβραϊκὸν (ὡς δῆθεν καταφρονουμένης τῆς ἑρμηνείας). Ἐξελέγχεται δὲ τὸ πλάσμα

---

(α) Vanslebij de Aegypti Statu praesenti. — Hody.

(β) Βλ. Benjamin Tutelens. itinerar. — Hody. [*Ἐφεξῆς ὁ δόκτωρ ὑποσυνάπτει καὶ ἄλλας περὶ τῶν* Ο, *πολλῷ τῶν ἀνωτέρω χείρονας μυθολογίας ἐκ τοῦ χρονογράφου* Ἄραβος, *καί τινος* Πέτρου τοῦ Comestoris *λήρους, ἅπερ παρατρέχομεν, ἀπαλλάττοντες τῆς ἐκ τούτων γοῦν ἀηδίας τὸν ἀναγνώστην, ὡς οὐδὲν ἕτερον ὄντα, ἢ τοῦτ' αὐτὸ (καθὼς Ὅδιος ἐνίοτε λέγει)* purae putae nugae. *Σημ. ἡμετ.*].

πολλαχῶς. α) Πῶς ἂν ἐπανεκάλουν εἰς τὰς ἑβραΐδας Βίβλους οἱ ἑβραΐζοντες τοὺς ἑλληνιστὰς, ἐν ᾧ οὗτοι ἠγνόουν ἤδη πρὸ πολλοῦ ἀπομαθόντες τὰ ἑβραϊκὰ, μόνην δ' ἐλάλουν τὴν ἑλληνικήν; Μὴ γὰρ οὐ διὰ τοῦτο ἐξελληνίσθησαν αἱ Γραφαὶ εἰς δημοσίαν αὐτῶν χρῆσιν, καθὼς αὐτὸς Ὅδιος οὐχ ἅπαξ διεκήρυξε; (βλ. ὄπισθ. σελ. 28). Ἢ μήπως ὁ Ἀρχιερεὺς καὶ οἱ Ἱεροσολυμῖται ἤθελον ἀποστερῆσαι τῶν Γραφῶν τοσούτους ἑλληνίζοντας ὁμογενεῖς αὐτοῖς λαοὺς, συνελαύνοντες εἰς ἀνάγνωσιν γλώσσης ἤδη πάντη ξένης, ὡς πρὸς αὐτοὺς, καὶ ἀκαταλήπτου;— β) Ὁ Φίλων ἱστορεῖ τοὺς Νόμους μετὰ *τὴν ἑρμηνείαν* ζηλωτοὺς καὶ περιμαχήτους *πᾶσιν ἡγεμόσι τε καὶ ἰδιώταις ἐπιδεικνυμένους*» (π. Μωσ. β).—γ) Ὁ Ἰώσηπος ἱεροσολυμίτης ἱερεὺς, ἑβραῖος βαθὺς, καὶ σοφώτατος τῶν ἑβραϊστῶν, ἐπαινεῖ τὴν Πτολεμαίου φιλοτιμίαν, « Ὃς τὸν νόμον καὶ τὴν κατ' αὐτὸν διάταξιν τῆς πολιτείας εἰς τὴν ἑλλάδα φωνὴν μετέβαλεν» (Ἀρχαιολ. προοιμ. §. γ). Συνοψίζων δὲ καὶ τὴν Ἀριστέου ἱστορίαν, ἀποδέχεται καὶ συνομολογεῖ καὶ τὰς παρ' αὐτῷ ζωγραφουμένας περικλεεῖς τῆς ἑρμηνείας ἀρετάς· καὶ ταύτην θεωρεῖ μετὰ τοῦ Πτολεμαίου καθολικὴν καὶ πάγκοινον εἰς τοὺς Ἰουδαίους δωρεὰν, « *βουληθέντος τοῦ βασιλέως καὶ τοῖς ἐν Αἰγύπτῳ χαρίζεσθαι, καὶ πᾶσι τοῖς κατ' οἰκουμένην Ἰουδαίοις*» (Ἀρχαιολ. ΙΒ, ϐ, 4). Ἀλλὰ καὶ αὐτὸς τὴν ἑαυτοῦ συντάττων Ἀρχαιολογίαν, εἶχε τὴν ἑρμηνείαν τῶν Ο, προσκεφάλαιον·—δ) Ἐπὶ Πτολεμαίου τοῦ Φιλομήτορος, οἱ Ἀλεξανδρινοὶ Ἰουδαῖοι διαδικαζόμενοι πρὸς τοὺς Σαμαρεῖς (ἑλληνιστὶ πάντως) ἐνώπιον τοῦ βασιλέως ὑπὲρ τῆς γνησιότητος καὶ μόνης κυριότητος τοῦ *ἐν Ἱεροσολύμοις ἱεροῦ καὶ τῶν Ἱεροσολυμιτῶν Ἰουδαίων*, κατέβαλον τοὺς ἀντιδίκους, ἀποδείξαντες μόνον ἐκεῖνον τὸν ναὸν ᾠκοδομημένον *κατὰ τοὺς Μωσέως νόμους*· παρεῖχον δὲ τὰς ἀποδείξεις «*ἐκ τοῦ Νόμου, καὶ τῶν διαδοχῶν τῶν Ἀρχιερέων*», ἐκφέροντες πάντως ἐξ ἧς ἀνεγίνωσκον ἐν Ἀλεξανδρείᾳ ἑρμηνείας τῶν Ο, (Ἰώσηπ. Ἀρχ. ΙΓ, γ. 4). —ε) Πάντες οἱ ἐν *Ἱεροσολύμοις καὶ ἐν τῇ Ἰουδαίᾳ, καὶ ἡ γερουσία, καὶ Ἰούδας*, γράφοντες πρὸς Ἀριστόβουλον, διδάσκαλον τοῦ Φιλομήτορος

Πτολεμαίου, καὶ πρὸς ἅπαντας τοὺς ἐν Αἰγύπτῳ ἑλληνίζοντας Ἰουδαίους, αὐτόν τε τὸν *ἑλληνιστὴν* Ἀριστόβουλον ἐμεγάλυνον, *ὡς ὄντα τοῦ τῶν Χριστῶν γένους*, καὶ ὑπὲρ πάντων ηὔχοντο πρὸς Θεὸν, « διανοῖξαι τὰς καρδίας αὐτῶν *ἐν τῷ νόμῳ αὐτοῦ* » (ᾧ ἐχρῶντο δηλονότι, τῷ ἑλληνίζοντι), καὶ πᾶσι παρήγγελλον, ἵνα κατ' ἔτος ἑορτάζωσι τὸν τοῦ ναοῦ καθαρισμὸν (ὑμνοῦντες δηλονότι τὸν Θεὸν, καθ' ἃς εἶχον ἑλληνίδας γραφάς). Πρὸς δὲ τὸ κείμενον τὸ ἑβραϊκὸν τῶν θείων Γραφῶν οὔτε τότε τοὺς ἑλληνιστὰς ἀνεκάλουν, οὔτε τὴν προτέραν γράψαντες ἐπιστολήν· πάντα δὲ μᾶλλον ἄλλα βιβλία προέτρεπον αὐτοὺς, ἵνα ζητήσωσιν, ἂν ἔχωσι χρείαν, ἐκ τῆς ἐν Ἱεροσολύμοις ὑπ' Ἰούδα τοῦ Μακκαβαίου ἐπισυναχθείσης βιβλιοθήκης (Β. Μακκ. α. 1, καὶ β. 7. κτλ.). βλ. καὶ ἐφεξ. κεφ. Ζ, §. κε.—ς) Ἀλλὰ καὶ καθεξῆς ἐπὶ τοῦ Β, Εὐεργέτου Πτολεμαίου, ὁ τοῦ περικλεοῦς Ἰησοῦ τοῦ Σειρὰχ ἔγγονος, Ἱεροσολυμίτης ἀνὴρ, οὐ μόνον ἐξελλήνιζεν ἐν Ἀλεξανδρείᾳ τὴν ἑβραϊκὴν τοῦ πάππου *Σοφίαν*, «*ἐκδιδοὺς τὸ βιβλίον καὶ τοῖς ἐν τῇ παροικίᾳ βουλομένοις φιλομαθεῖν*», ἀλλὰ καὶ αὐτὰς τὰς πρώην ἡρμηνευμένας Γραφὰς εὐσεβῶς ἐμνημόνευσε «*τὸν νόμον καὶ τὰς προφητείας καὶ τὰ λοιπὰ τῶν βιβλίων*» (Σ. Σειρ. Προλόγ.).—ζ) Τελευταῖον ἐπὶ τῶν Ἀποστόλων, ἐν αὐτοῖς τοῖς Ἱεροσολύμοις ὑπῆρχε προϋφεστῶσα *συναγωγὴ τῶν Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας* (Πράξ. ς. 9) Ἰουδαίων *ἑλληνιστῶν*, οἵτινες (καθὸ τοιοῦτοι) μετεχειρίζοντο πάντως τὴν ἑλληνικὴν ἑρμηνείαν (ὡς παρὰ πᾶσιν ἀδιάβλητον δηλαδὴ, καὶ γνησίαν νενομισμένην, καὶ ἰσότιμον τῷ ἀρχετύπῳ) (α). Ὅθεν καὶ ὁ θεῖος Στέφανος ἐκ ταύτης ἀπεστόμιζε τοὺς συζητητὰς, καὶ ἀπελογεῖτο (Πράξ. ζ). Καὶ πάντες δὲ οἱ πανταχοῦ τῆς οἰκουμένης ἑλληνισταὶ ταύτην ἀνεγίνωσκον ἐν ταῖς Συναγωγαῖς. Μάρτυς Ἰουστῖνος ὁ Μάρτυς (Παραιν.), ὁ Τερτυλλιανὸς (β), αὐτὸς Ὅδιος (γ). Ὅτι δὲ καὶ αὐτοὶ οἱ Ταλ-

---

(α) Βλ. Salmas. Funer. Linguae. Hellenist. p. 87.

(β) Tertul. Apolog. 18.

(γ) Hody de Bibl. Text. Libr. III. p. 1. c. 1. pag. 224—233.

μουδικοὶ μετὰ τιμῆς ἀνέφερον τὴν ἑρμηνείαν, λέγομεν καὶ ἀλλαχοῦ πλατύτερον. Ὅσον δὲ πρὸς τὸ παρὸν, ἡ δῆθεν ὑπὸ τῶν ἑβραϊζόντων εἰς τὸ κείμενον ἐπανάκλησις τῶν ἑλληνιστῶν ἀρκούντως ἐξελέγχεται πλάσμα λίαν ἄχαρι καὶ προφανέστατον· καὶ ἀπὸ τοιούτου ῥάμματος λεπτοῦ καὶ σεσηπότος ἐξήρτησεν ὁ κριτικὸς τὴν ἄφευκτον ἀνάγκην, ἥτις συνήλασε τάχα τοὺς Ἀλεξανδρινοὺς εἰς ἐφεύρεσιν τῆς θείας ἐπιπνοίας τῶν Ο. Φαίνεται δέ πως καὶ αὐτὸς κλώθων τὸν τοῦ πλάσματος μίτον δακτύλοις δειλοῖς καὶ νεναρκωμένοις· καθότι τὴν ἐποχὴν τῆς γενέσεως τοῦ κατ' αὐτὸν μύθου κατέλιπεν ἀόριστον πλανωμένην εἰς τὸ παρελθὸν τῶν πρὸ τοῦ Φίλωνος χρόνων (ὡς καὶ τούτου τὴν θεοπνευστίαν ὁμολογοῦντος)· ὑποτίθησιν ὅμως αὐτὴν πάντως νεωτέραν τῆς Ἀριστέου συγγραφῆς. Ἀλλ' ἐὰν συγχωρῆται ψεύδους ὑπὸ ψεύδους ἔλεγχος (κατὰ τὸ « *παττάλῳ πάτταλον ἐκκρούειν* »), ψευδίζει τὸν σοφὸν Ὅδιον ὁ σοφώτερος Εϊχόρνιος, μεταγενεστέραν τῶν Φίλωνος χρόνων γνωματεύσας τὴν ἱστορίαν τοῦ Ἀριστέου. (Βλ. ὄπισθ. κεφ. α, σελ. 7.) (α).

§. ιϛ. Β) Ἄσμενος καὶ πεποιθὼς ὁ κριτικὸς ἀντέταξε πρὸς τὴν τοσούτων θείων Πατέρων καὶ ἄλλων σοφῶν ὁμόφωνον μαρτυρίαν τὰς περὶ τῶν οἰκίσκων ἀντιλογίας τοῦ Μασίου, καὶ εἴ τινος ἄλλου τῶν νεωτερικῶν (§. β)· διότι καὶ αὐτὸς (ὡς αὐτὸς ἐγνωμάτευσεν) « *Ὅ,τι βούλεται, τοῦτο καὶ πιστεύει* », καὶ τῶν ἀβουλήτων προτιμᾷ! Ἀλλ' ὅμως ἡ πλάστιγξ τῆς ἀληθείας ἄλλως ψηφίζει περὶ τοῦ πράγματος. Ἄνω ἄνω χωροῦσιν οἱ λόγοι τῶν ἐναντίων κοῦφοι καὶ κενοὶ, « *ἀκλεεῖς, ἀΐδηλοι, ὑπαὶ νεφέεσσιν* εἰς ἀέρα *σκεδαζόμενοι* »· τῶν δὲ Πατέρων αἱ μαρτυρίαι ῥέπουσιν ἐμβρι-

---

(α) Οὕτω καὶ Εἴνσιος εἰς τὸν (ὃν καὶ Ὅδιος διέπαιξεν ἀνωτέρω § ι) χειμερινὸν αὐτοῦ ὄνειρον εἰσάγων ὡς τάχα πεπλασμένα *συγχρόνως* καὶ τὴν ἐξ ἐπιπνοίας συμφωνίαν τῶν ἑρμηνέων καὶ τοὺς οἰκίσκους, ἀναιρεῖ καὶ τὴν ἑτέραν Ὁδίου πλάνην, φαντασθέντος τοὺς οἰκίσκους *ὕστερον τῆς συμφωνίας* πλαστουργηθέντας, καὶ μετὰ τοὺς Φίλωνος χρόνους (§. ι). Ὅτι δὲ καὶ Φίλων αὐτὸς ὑπογράφει τοὺς οἰκίσκους, λέγομεν εὐθὺς παρακατιόντες.

θεῖς καὶ ἑδραῖαι καὶ ἰσχυραί, καθὸ καὶ βίου ἁγιότητι, καὶ πλούτῳ σοφίας (δώσουσι δὲ δήπου κἀκείνοις ὀλίγην κρίσεως μοῖραν οἱ καθ' ἡμᾶς ἐπὶ *τοῖς κανόσι τοῦ κριτηρίου* μεγάλαυχοι σοφοί!), καὶ ζήλῳ φιλαλήθει, καὶ χρόνου παλαιότητι σεβασμιωτάτων. Τί λέγεις Ὅδιε; παρὰ τὴν ἑνὸς καὶ μόνου, τοῦ φιλοσόφου καὶ μάρτυρος Ἰουστίνου, μαρτυρίαν θέλεις προτιμήσωμεν τὰς Μασιανὰς καὶ Βελλαρμινείους εἰκασίας, ὅσας χθὲς καὶ πρώην ἐγνωμάτευσαν οἱ δυτικοὶ οὗτοι σοφοί, καὶ ἄκοντες ἴσως καὶ μὴ βουλόμενοι; Οὐδὲν γὰρ ἕτερον, ἢ τὴν τοῦ Πατρὸς Ἱερωνύμου περὶ τῶν οἰκίσκων ἐμπαθῆ κρίσιν ἐπανέλαβον καὶ οὗτοι, οἷον ἀφοσιούμενοι, καὶ προστιθέντες καὶ ἀφ' ἑαυτῶν ἀμάρτυρά τινα καὶ εἰκαῖα νόθων λογισμῶν γεννήματα. Παλαιστινὸς ἦν ὁ Ἰουστῖνος, Σαμαρείτης τὸ γένος, σύγχρονος καὶ εἷς τῶν Ἀποστολικῶν ἀνδρῶν, «οὔτε τῷ χρόνῳ πόῤῥω τῶν Ἀποστόλων γενόμενος, οὔτε τῇ ἀρετῇ· φιλοσοφίας δὲ τῆς καθ' ἡμᾶς, καὶ μάλιστα γε τῆς θύραθεν εἰς ἄκρον ἀνηνεγμένος, πολυμαθείᾳ τε καὶ ἱστοριῶν περιῤῥεόμενος πλούτῳ» (Φώτ, ἀναγν. ρκε, καὶ σλδ), «καὶ ταῖς ἀληθείαις φιλοσοφώτατος» (Εὐσέβ. Ἐκκλ. ἱστορ. Δ, 16 καὶ 18). Τοῦτον οὖν οὕτως ἀμβλὺν καὶ κοῦφον τὰς φρένας εὕρηκαν οἱ ἄνδρες, ὥστε καθυπέγραψαν αὐτὸν ἑλκόμενον τῶν ὤτων καὶ τῆς ῥινὸς ὑπὸ τῶν Ἀλεξανδρινῶν Ἰουδαίων, καὶ πιστεύοντα μῦθον παχυλὸν ὑπ' αὐτῶν ἐκείνων πεπλασμένον, ὡς ἂν ἀρχαίαν καὶ πατροπαράδοτον ἱστορίαν! (α). Ἀλλὰ πρῶτον μὲν ὁ Ἰουστῖ-

(α) Ὁ δὲ χρυσοῦ χρυσότερος Βανδάλης εἰς τοσοῦτον ἤλασεν ἀναιδείας, ὥστε περὶ τοῦ Ἀποστολικοῦ Ἰουστίνου παρεχρήσατο καὶ αὐτὸ τὸ ἀποστολικὸν ῥητόν, «ὅτι προσεῖχεν Ἰουδαϊκοῖς μύθοις καὶ γραώδεσι» (οὕτω γράφει κατὰ λέξιν ἑλληνιστί)! Καὶ προστίθησιν εὐθὺς ἐπιφέρων ὁ Βανδάλης (Diss. p. 146) «Ut Apostoli Paulus et Petrus loquuntur (ὡς λέγουσιν οἱ Ἀπόστολοι Πέτρος καὶ Παῦλος)! Ἀλλὰ τὸ μὲν Ἰουδαϊκοῖς μύθοις εἶπε Παῦλος (Τίτ. α, 14), καὶ τὸ γραώδεις (μύθους) πάλιν ὁ αὐτὸς (α. Τιμ. δ. 7). Παρὰ δὲ τῷ Πέτρῳ ποῦ ταῦτα τὰ ἐπίθετα εὕρηκεν ὁ κριτικός; Καὶ ὅμως οὗτος πάλιν αὐτὸς ὁ Βανδάλης ἐπέπληξεν ἀλλαχοῦ (p. 210) τὸν θεῖον Ἰουστῖνον, καὶ ὡς κακῶς ἀναγνόντα τὰς Γραφάς· διότι τὸ ἐν Ἀριθμ. κα, 6 «Θὲς αὐτὸν (τὸν χαλκοῦν ὄφιν) ἐπὶ τοῦ σημείου», ἑρμηνευτικώτερον ἐκφέρων ὁ μακάριος Ἰουστῖνος, εἶπεν ὅτι «Ἐποίησε Μωσῆς τύπον σταυροῦ (κατὰ τὸ Ἰωάν. γ. 14

νος οὐκ εἶπεν ἐξ ὀνόματος ὅτι *παρ' Ἰουδαίων* ἤκουσε τὴν περὶ τῶν οἰκίσκων, ὧν ἑώρακε τὰ ἴχνη, παράδοσιν· λέγει δὲ μόνον ὅτι « *παρὰ τῶν ἐκεῖ* (τῶν ἐν τῇ Φάρῳ), *ὡς τὰ πάτρια παρειληφότων ἀκήκοεν* ». Ὅτι δὲ τὴν Φάρον κατῴκουν καὶ Αἰγύπτιοι, ἢ Ἀλεξανδρεῖς Ἕλληνες καὶ ἐπὶ τοῦ Ἰουστίνου, καθὼς καὶ ἐπὶ Στράβωνος, ὀψόμεθα μετ' ὀλίγον (§. ιζ)· ὥστε καὶ παρ' Ἑλλήνων αὐτοχθόνων Φαρίων ἠδύνατο μαθεῖν ὁ Ἰουστῖνος τὸ παρ' αὐτοῖς πρεσβευόμενον τοῦτο *πάτριον*. Ἀλλ' ἔστω· δῶμεν, ὅτι παρ' Ἰουδαίων αὐτὸ παρέλαβε· μὴ καὶ παρευθὺς ἐπίστευσεν ἀνενδοιάστως ὡς βέβαιον τὸ μυθάριον; Καὶ πῶς, ὦ σοφώτατοι ἀνδρῶν, μὴ γὰρ οὐκ ἦσαν ἐν Ἀλεξανδρείᾳ τότε καὶ Χριστιανοί, παρ' ὧν ὁ μακάριος Ἰουστῖνος εὐκόλως ἂν ἐμάνθανε τὴν ἀλήθειαν; ἢ μήπως ἐπίστευε τοῖς Ἰουδαίοις μᾶλλον, παρὰ τὴν Ἀποστολικὴν τῶν Ἀλεξανδρέων ἐκκλησίαν, καὶ τὸν τότε ἐπίσκοπον Ἰοῦστον, ἢ Πρίμον, τέταρτον ἀπὸ τοῦ Ἀποστόλου Μάρκου διάδοχον; (Εὐσέβ. Ἐκκλ. ἱστ. Δ, 1, καὶ 4). Ἀλλ' ὁ σοφὸς Ὅδιος ἐπώλησε τοῖς Ἰουδαίοις, ὁδοῦ πάρεργον, καὶ αὐτοὺς τοὺς ἐγχωρίους Χριστιανούς, οἵτινες εὐθέως ἂν ἐξήλεγχον ἐκείνους ἐπ' αὐτοφώρῳ, τοιαῦτα ῥαδιουργοῦντας! Ἔπειτα καὶ ἄλλως, ὅσον ἂν ὑποτεθῶσι χαλκομέτωποι τῆς μυθολογίας οἱ πρωτουργοί, πῶς ἠδύναντο κτίσαι τὸν μῦθον εἰς ἐρείπια παλαιᾶς οἰκοδομῆς, γνωστῆς εἰς ἅπαντας τοὺς Ἀλεξανδρεῖς; Ἢ μήπως εἰς τὴν Φάρον οὐδένες τότε τῶν ἄλλων Ἀλεξανδρέων ἐθάμιζον, οὐδ' ἐγνώριζον ἐκ παραδόσεως ποῖα τὰ ἐρείπια; Μόνοι δὲ ἄρα τὴν νῆσον ἐνέμοντο Ἰουδαῖοι; καί τις τούτων, ἴσως ῥαββῖνος, ὡς ἄλλος πάλιν Πρωτεύς, συνεχῶς κατ' αὐτὴν *ἐπωλεῖτο*, « *γέρων ὀλοφώϊα εἰδὼς* », καὶ « *πάντα γινόμενος* » καὶ φθεγγόμενος εἰς

---

πρβλ. Ματθ. κδ, 30, καὶ πάντας περὶ τούτου τοὺς θείους Πατέρας). Οὕτω καὶ Βαρνάβας ὁ Ἀπόστολος· « Μωσῆς ποιεῖ τύπον τοῦ Ἰησοῦ, ὅτι δεῖ αὐτὸν παθεῖν, καὶ αὐτὸν ζωοποιήσειν, ὃν δόξουσιν ἀπολωλεκέαι, ἐν σημείῳ » κτλ. (Βαρν. ἐπιστ. §. ιβ). Ἀλλ' ἐξεῤῥάπισε πλατείᾳ χειρὶ ταῦτα δὴ τὰ ὕστερα τὰ Βανδάλεια ῥήματα, ἢ θαύματα, ὁ Δεμάγιστρος (pag. 572). Καί τοι καὶ τὸ μεμνῆσθαι ὅλως τῶν τοιούτων διεῤῥωγότων ἀπαυθαδημάτων, ἀπαίσιον.

εἰς ἀπάτην τοῦ Ἰουστίνου; Οὐδ' εὑρέθη τις φιλαλήθης ψυχὴ σῴζουσα τὸν Ἰουστῖνον ἐκ τῆς τοῦ ῥαββίνου τερατείας, ὡς ἔσωσε τὸ πάλαι κατ' αὐτὴν δὴ τὴν Φάρον ἡ Εἰδοθέα τὸν Ὀδυσσέα, καταδείξασα τὰς ἀπατηλὰς τοῦ Πρωτέως μεταβολάς; (Ὀδυσ. δ, 355 κτλ).

« Ἄσμενος (λέγουσιν) ἐπίστευσεν Ἰουστῖνος τῷ μύθῳ, ὡς βεβαιοῦντι τὸ κῦρος τῶν Γραφῶν, δι' ὧν καὶ πρὸς Ἰουδαίους ἔμελλε πολεμεῖν καὶ πρὸς ἐθνικούς ».-Παπαί! μέγα τῷ ὄντι καὶ πειστικώτατον ὅπλον εἰς δεῖξιν τοῦ κύρους εἶχε πρὸς Ἰουδαίους, προβάλλων αὐτὸν τὸν ὑπ' ἐκείνων πλασθέντα μῦθον! ἀλλὰ τοῦτ' ἂν ἦν ἐπίσης γελοῖον, ὡς καὶ ἄν τις ἐπιδεικνύῃ νόμισμα κίβδηλον, ὡς ὄβρυζον χρυσὸν, πρὸς αὐτὸν τὸν αὐτουργὸν τοῦ νομίσματος παραχαράκτην! Ἔπειτα καὶ πρὸς τὸ κήρυγμα τοῦ θείου Εὐαγγελίου ποίαν εἶχε χρείαν τοῦ δῆθεν ψευδοθαύματος τῆς συμφωνίας τῶν ἑρμηνέων τῆς Γραφῆς ὁ μακάριος Ἰουστῖνος; Μὴ γὰρ καὶ οὗτος καὶ πάντες οἱ τότε Χριστοκήρυκες ἔμελλον πείθειν τοὺς ἑλληνιστὰς Ἰουδαίους, ἵνα δεχθῶσι τὸ κῦρος τῆς ἑλληνικῆς ἑρμηνείας τῶν Γραφῶν; Ἀλλὰ τοῦτο πάντες ὁμολογουμένως εἶχον ἤδη πρόπαλαι παραδεδεγμένον, καὶ ταύτην ἀνεγίνωσκον τὴν ἑρμηνείαν ἐν ταῖς Συναγωγαῖς. Καὶ κατ' αὐτοὺς δὲ τοὺς χρόνους τοῦ Ἰουστίνου τοσοῦτον αὐτὴν ἐτίμων, ὥστε μικρῷ πρότερον (μεταξὺ τοῦ Φίλωνος καὶ τοῦ Ἰουστίνου, καθὼς Ὅδιος ἀκριβῶς διώρισε!), προσετίθουν πλάσαντες καὶ αὐτὸ τὸ θαῦμα τῶν οἰκίσκων! Ἀλλὰ καὶ αὐτοὶ οἱ θεῖοι Ἀπόστολοι πόθεν ἄλλοθεν, εἰμὴ ἐκ τῆς ἑρμηνείας ταύτης ἀπεδείκνυον πρὸς τοὺς ἑλληνιστὰς Ἰουδαίους « *τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν* »; Ὥστε καὶ Ἰουστῖνος ἐκ τῶν *ὁμολογουμένων* θείων Γραφῶν ἀποδεικνύων τὴν ἀλήθειαν τοῦ κηρύγματος πρὸς τοὺς Ἰουδαίους, οὐδεμίαν εἶχεν ἀνάγκην καὶ τὰς δῆθεν πεπλασμένας αὐτῶν τερθρείας προσραγῳδεῖν (α). Καίτοι καὶ ἄλλως, οὐδ' εἶχον ἐπὶ πλέον ἀντιλέγειν οἱ Ἰουδαῖοι πρὸς τὸ κῦρος τῆς ἑρμηνείας, ἀφ' οὗ εἰσάπαξ ἐδημοσίευσαν (τότε μά-

(α) Οὕτω πρὸς Τρύφωνα τὸν Ἰουδαῖον ὁ μάρτυς Ἰουστῖνος διελέγετο ἐκ τῶν

λιστα νεωστὶ, κατὰ τὴν Ὀδίου ψῆφον) πλαστουργήσαντες αὐτοὶ τὸν μῦθον τῶν οἰκίσκων, καὶ τῆς θεοπνεύστου συμφωνίας τῶν ἑρμηνευτῶν· δι᾿ αὐτοῦ γὰρ τούτου πάλιν ἀπεστόμιζον ἂν αὐτοὺς οἱ περὶ τὸν Ἰουστῖνον· καὶ οὕτως ἂν εὑρίσκοντο μεμυθουργηκότες κατὰ τῆς ἑαυτῶν κεφαλῆς! Πρὸς δὲ πάλιν τοὺς ἐθνικοὺς ὁ ἀγὼν κυρίως ὑπῆρχεν, ὅπως πληροφορηθῶσιν, ὅτι καὶ οἱ Προφῆται καὶ οἱ Ἀπόστολοι θείῳ πνεύματι κινούμενοι ἐλάλησαν καὶ συνέγραψαν τὴν Παλαιὰν καὶ τὴν Καινὴν Διαθήκην. Τούτου δὲ τελεσθέντος, ὀλίγος ἔπειτα καὶ δευτερεύων ἔμενε λόγος περὶ τοῦ πῶς ἐξελληνίσθησαν αἱ ἑβραϊκαὶ γραφαὶ (διὸ καὶ παροδικῶς μνημονεύουσι τῆς ἱστορίας οἱ μνημονεύοντες θεῖοι Πατέρες, ἄλλοι τε καὶ Ἰουστῖνος αὐτὸς ἐν τῷ πρὸς τοὺς Ἕλληνας). Ἔπειτα μήτοι πρὸς Ἕλληνας μόνον ἐκήρυττον τὸ Εὐαγγέλιον οἱ τότε κατὰ τόπους ἀποστολικοὶ Χριστοκήρυκες; οὐχὶ δὲ καὶ πρὸς Ἄραβας καὶ Πέρσας καὶ Ἰνδοὺς καὶ ἄλλους ἐθνικοὺς, ὧν οἱ πλεῖστοι ἠγνόουν τὴν ἑλληνίδα φωνήν; Ἀλλὰ καὶ οὗτοι, καὶ πάντες οἱ ἐξ Ἑλλήνων, ἢ ὁποιωνδήποτε ἑλληνιστῶν, πιστεύοντες εἰς Χριστὸν κατὰ τοὺς Ἰουστίνου χρόνους, καθὼς ἀπεδέχοντο τὸ θεόπνευστον τῆς Καινῆς Διαθήκης, οὕτως ἂν ἀπεδέχοντο καὶ τὴν μετ᾿ αὐτῆς ὑπὸ τῶν Ἀποστόλων παραδοθεῖσαν ἑρμηνείαν τῆς Παλαιᾶς, καὶ χωρὶς τοῦ θαύματος τῶν οἰκίσκων. Ἀλλὰ μὴ κρούωμεν ἐπὶ πλέον τὸ διεῤῥωγὸς σκευάριον τῆς Ὀδιακῆς κεραμουργικῆς· πανταχόθεν διάκενον ἠχεῖ καὶ σαθρόν! Τὸ δὲ περὶ τῶν ἄλλων, τῶν Ἰουστίνῳ ὁμοφώνων θείων Πατέρων, συμπέρασμα, ποῖον; Ὡς ἀγέλην βοσκηματώδη παρέστησαν τού-

---

κατὰ τοὺς Ο, Θείων Γραφῶν καὶ ταύτας ὁ Τρύφων *αἰδούμενος*, *ἅγια λόγια τοῦ Θεοῦ* ὡμολόγει, καὶ *ἐκ τούτων προβιβάζεσθαι* παρεκάλει· καὶ τοὺς «*ἐπὶ Πτολεμαίου τοῦ Βασιλέως Αἰγύπτου τὰς Γραφὰς ἐξηγήσαντας* Ο, συχνάκις Ἰουστίνου μνημονεύοντος, οὐδὲν ἀντέλεγεν ὁ Τρύφων (Ἰουστ. Διαλ. π. Τρύφ. §. 79, 84 κτλ.). Καίτοι τότε ἀρξαμένων ἤδη τῶν ῥαββίνων παρεξηγεῖν τινὰ τῆς ἑρμηνείας τῶν Ο, (§. 67, 71)· καὶ τὴν Ἀκύλα μετάφρασιν ἤδη πρὸ μικροῦ ῥᾳδιουργησάντων (τῷ 130. μ. Χ), ἧς οὔτε Τρύφων, οὔτε ὁ μάρτυς Ἰουστῖνος ἐπεμνήσθησαν ῥητῶς ἐν τῷ Διαλόγῳ. Βλ. σελ. 177 αὐτόθ. καὶ τὴν σημείωσιν τοῦ σοφοῦ ἐκδότου, ἐν ἐκδ. Venet. 1747.

τους ἡμῖν οἱ σοφοί, παρακολουθοῦντας ἀλλεπαλλήλους ἐξόπισθεν τοῦ θαλλοῦ τῆς Ἰουστίνου ψευδολογίας, καθὸ σφόδρα καὶ αὐτοῖς ἡδείας καὶ νοστίμου (λέγει Ὅδιος), καὶ χρησιμωτάτης διὰ τοὺς λόγους τοὺς αὐτούς. Ἀλλ' εἰ καὶ τὸν Εἰρηναῖον καὶ τὸν Εὐσέβιον καὶ τὸν Κύριλλον μετὰ τοῦ Χρυσοστόμου παρεῖδον, ὡς ἀκρίτους τινας καὶ *ταχυπειθεῖς*, πῶς οὐκ ἐσεβάσθησαν κἂν τὸν (μόλις 40 ἔτη τοῦ Ἰουστίνου νεώτερον) Κλήμεντα *τὸν Ἀλεξανδρέα*, « τὸν ἱερὸν πρεσβύτερον, *τὸν πολυμαθείᾳ καὶ πολυπειρίᾳ ἅπαντας ἀπολιπόντα*»; (Θεοδώρ. Αἱρετ. μυθ. α, 6: πρβλ. Εὐσέβ. Ἐκκλ. ἱστ. ς. 11: καὶ Φώτ. ἀναγν. ρια). Οὐδ' οὗτος οὖν ἐγνώριζεν ἀκριβῶς τὰ κατ' αὐτὴν τὴν Ἀλεξάνδρειαν συμβάντα περὶ τὰς « *ἐν αἷς ἠσκεῖτο* » θείας Γραφάς; Οὐδ' ὁ τούτου διδάσκαλος Πάνταινος, « *ἀνὴρ ἀπὸ παιδείας ἐπιδοξότατος, καὶ ζώσῃ φωνῇ καὶ διὰ συγγραμμάτων τοὺς τῶν θείων δογμάτων θησαυροὺς ὑπομνηματιζόμενος*, καὶ μέχρι καὶ τῆς *Ἰνδῶν γῆς* διαδεξάμενος τὸ κήρυγμα τῶν Ἀποστόλων; Οὐδ' ὅλον, τέλος, ἐκεῖνο τὸ κατ' Ἀλεξάνδρειαν « *ἐξ ἔθους ἀρχαίου* » (ἀπὸ Μάρκου τοῦ Ἀποστόλου) συνεστηκὸς *ἱερὸν διδασκαλεῖον*, οὗτινος καὶ Πάνταινος προέστη, καὶ Κλήμης, καὶ Ὠριγένης; (Εὐσέβ. Ἐκκλησ. ἱστ. ε, ι, ια, κτλ). ἀλλ' οὕτω τυφλῶς καὶ ἀταλαιπώρως ὅλη κἀκείνη ἡ Κατηχητικὴ τῆς Ἀλεξανδρείας Σχολή, « *πρὸς τῶν ἐν λόγῳ καὶ τῇ περὶ τὰ θεῖα σπουδῇ δυνατῶν συγκροτουμένη* » (Εὐσέβ. αὐτ.), παρεδέξατο καὶ ἐπίστευσεν, οὐδ' ἐξήλεγξε παῤῥησίᾳ τὴν ἐπ αὐτῆς ἀκμαζούσης περὶ τῶν θείων γραφῶν ῥαδιουργουμένην μυθοπλαστίαν; ὦ Ὅδιε, *τίνα δοκεῖς πείσειν τάδε*;

§. ιζ. Γ) Ἴδωμεν ἤδη καὶ τὸν Ἀριστέαν, ὅστις (ὡς θέλουσιν οἱ περὶ τὸν Ὅδιον) οὐ μόνον ἐσιώπησε περὶ τῶν οἰκίσκων καὶ τῆς θείας ἐπιπνοίας τῶν ἑρμηνέων, ἀλλὰ καὶ τἀναντία μαρτυρεῖ· ὅσον ἄλλως ψεύστης παρ' αὐτοῖς θεωρεῖται καὶ σκότιος καὶ ὑποβολιμαῖος οὗτος ὁ συγγραφεὺς, περὶ τούτου τοῦ πράγματος ὅμως εἰσάγεται μάρτυς ἀξιόπιστος καὶ τίμιος, ὁ πρὸ μικροῦ στιγματίας! διότι (λέγουσιν) οὗτος πρῶτος ἐπλαστούργησε τὰ τῶν Ο'

καὶ λοιπὸν, ὅ,τι μήτ' ἐγνώριζε, καὶ προφανῶς ἠρνήσατο ὁ πρωτοψεύστης οὗτος, τοῦτο πολὺ μᾶλλον ἐξελέγχεται ψευδέστατον, ὅταν λέγηται παρὰ μεταγενεστέρων. Ἂν δὲ τοῦτον δικαιολογῶν, εἴπῃς, ὅτι καὶ ἐξ αὐτῶν τῶν ἐνδόξων συγγραφέων οἱ πρῶτοι συγγράψαντες ἱστορίαν, ἢ ὅλως παρέλιπον, ἢ καὶ συνεπτυγμένως ἐξέφρασάν τινα περιστατικά· ταῦτα δὲ προσανεπλήρωσαν ὕστερον ἄλλοι, μαθόντες ἐκ παραδόσεως, ἢ καὶ σπουδαιοτέρας ἐρεύνης· ἄν τι τοιοῦτον εἴπῃς, ἀπώλου! λήρους λέγεις· ψεύδη λέγεις· ἄναυλα καὶ αὔθωρὸν ἀποπέμπεσαι εἰς κόρακας, μετὰ τῶν Σεραρίων καὶ Σαλμερώνων! Ἐπιφέρουσι δὲ καὶ λόγους τῆς καταδίκης ἰσχυρούς.

Πρῶτον (λέγουσιν) ὁ Ἀριστέας ἔγραψεν εἰς κατεσκευασμένον *οἶκον*, οὐχὶ *οἴκους*! — Οὐχὶ πάντως *οἴκους*, οὐδ' ἡμεῖς τοῦτο λέγομεν (ἀνανεύει δὲ μακρόθεν καὶ ὁ Σαλμέρων)· οὐχὶ *οἴκους*, ἄπαγε! ἀλλ' ὁ μέγας οὗτος καὶ *διαπρεπὴς οἶκος* οὐκ εἶχεν ἆρά γε καὶ *οἰκίσκους*; Ἢ μήπως *οἴκους* ὅλους ἐννοοῦσιν οἱ λέγοντες *οἰκίσκους*, καὶ οἰκημάτια, ἢ δωμάτια, καὶ θαλάμους, καὶ εἴ τι ἄλλο τῶν τοιούτων *τοῦ οἴκου* μερῶν; — Ἀλλὰ (λέγουσι) Συνέδριον ἔγραψεν Ἀριστέας ὅτι *συνεκρότουν οἱ ἑρμηνεῖς*. — Συνέδριον (ἀπαντῶμεν) ἔγραψεν Ἀριστέας *οὐχὶ τοὺς ἑρμηνεῖς αὐτοὺς συγκροτοῦντας* (ἄπαγε τοῦ ψεύδους!), ἀλλὰ τίνα; αὐτὸς εἰπάτω· « Συνέδριον *ποιησάμενος ὁ Δημήτριος* εἰς κατεσκευασμένον *οἶκον* παρὰ τὴν ἠϊόνα, *διαπρεπῶς ἔχοντα*, καὶ πολλῆς ἡσυχίας ἔφεδρον, παρεκάλει τοὺς ἄνδρας τὰ τῆς ἑρμηνείας ἐπιτελεῖν » (σελ. 34) κτλ. Οὕτω καὶ Ἰώσηπος· « Συνέδριον *ὁ Δημήτριος ἐποιήσατο* ἐν τῷ παρὰ τὴν ἠϊόνα κατεσκευασμένῳ οἴκῳ· — *ἀγαγὼν* οὖν *αὐτοὺς ἐκεῖ*, παρεκάλει — ἀκωλύτως ἐπιτελεῖν τὸ ἔργον ». (Ἀρχ. ιβ. β). Ἐκ τούτων τοίνυν ἡλίου γίνεται φανώτερον, πρῶτον, ὅτι τοῦτο τὸ συνέδριον ἐποίησε Δημήτριος ὁ Φαληρεὺς, οὐχὶ (καθὼς Ὅδιος ἡρμήνευσεν) « *αὐτοὶ οἱ Ο, συνελθόντες συνέστησαν* » (α). Ἔπειτα ἡ λέξις τὸ Συνέδριον σημαίνει μὲν συνήθως

(α) « Interpretes in domo ista congregatos *συνέδριον* constituisse » (Hody

καὶ τὴν συνεδρίασιν, καὶ τοὺς κοινῇ συνεδριάζοντας, καὶ τὸν τόπον (τὸ χωρίον καὶ τοὺς θώκους), ἐν ᾧ πάντες ἅμα συνεδριάζουσι, καί ποτε συγχρόνως καὶ τὸν τόπον ἅμα καὶ τὰ πρόσωπα (α). Ἀλλ᾽ ἐνταῦθα καθολικώτερον ἐξελήφθη ἡ λέξις ἐξαιρέτως ἀντὶ τοῦ *συνέδρα*, ἢ *συνεδρία*, δηλοῦσα καταγώγιον, πολλῶν οἰκημάτων περιεκτικὸν, ἐν ᾧ συνεκάθηντο καὶ συνῴκουν οἱ Ο, συνερχόμενοι καθ᾽ ἡμέραν, οὐχὶ πάντες ἅμα καὶ κατὰ τὸ αὐτὸ συνεδρεύοντες ἐπὶ τῶν θώκων, ἀλλ᾽ ἐν τῷ αὐτῷ οἴκῳ συνάμα καὶ πλησίον ἔχοντες *τὰς ἕδρας* ἢ τὰς *καθέδρας*, τὰ οἰκημάτια (β). Καὶ λοιπὸν ὁ Ἀριστέας συνέδριον εἶπε τὸ συνηθέστερον συνοίκιον, οἰκημάτων ἄθροισμα, κειμένων εἰς ἕνα καὶ τὸν αὐτὸν *οἶκον* (τὸν *παρὰ τὴν ἠϊόνα μέγαν καὶ διαπρεπῆ κατεσκευασμένον*). Τοιαύτην συνοικίαν ἢ *συνεδρίαν* διαγράφει τὸ τῶν Ο, *συνέδριον* καὶ αὐτὸς ὁ μάρτυς καὶ φιλόσοφος Ἰουστῖνος, λέγων· « Προσέταξεν (ὁ Πτολεμαῖος) ἰσαρίθμους τῶν ἑρμηνευόντων οἰκίσκους γενέσθαι (*παρασκευασθῆναι*) μικροὺς, ἐπὶ τῷ ἕκαστον ἰδίᾳ καθ᾽ ἑαυτὸν τὴν ἑρμηνείαν πληρῶσαι » κτλ. (Παραινετ. §. ιγ). Ὡσαύτως καὶ Κύριλλος ὁ Ἱεροσολύμων· « Τῶν παραγενομένων ἑρμηνευτῶν ἑκάστῳ ἴδιον *οἶκον* ἀπονεῖμαι » κτλ. (Κατηχ. δ. κεφ. λδ).

---

pag. 142). Ἀλλ᾽ *εἴπερ αὐτοὶ οἱ ἑρμηνεῖς συνελθόντες ἐν τῷ οἴκῳ συνέδριον συνέστησαν, πῶς λοιπὸν πάλιν « ἤγαγεν αὐτοὺς ἐκεῖ (κατὰ τὸν Ἰώσηππον) ὁ τὸ συνέδριον ποιήσας Δημήτριος;*

(α) Βλ. Λουκ. κβ, 66. — Πράξ. δ, 15. κγ. 20, 28, κτλ. Οὕτω καὶ τὸ Βουλὴ, Ἐκκλησία, Θέατρον, Ἀγὼν κτλ.

(β) Ὅτι τὸ ἕδρα, καὶ καθέδρα, σημαίνει καὶ τὸ τῆς συνηθείας κάθισμα, μονὴν, καὶ τόπον διατριβῆς, εἴτε πρόσκαιρον, εἴτε διαρκῆ (οἷον οἰκημάτιον, κατάλυμα, σταθμὸν, κτλ.), δῆλον. Ὁ Ξενοφῶν εἶπε « καθέδραν λαγωοῦ, » τὴν κοίτην (τὴν φωλεὰν), καὶ Συνέδραν, ἢ Συνεδρίαν, τὸ κατάλυμα, τὸν σταθμὸν (ὅπου συνάμα πολλοὶ κατὰ καιροὺς καὶ κατ᾽ οἰκήματα προσκαίρως ἑδρεύουσι). «Συνέδρα, στάσις, ἣν καὶ στατίωνα (statio, station) καλοῦσιν» (Ἡσύχ.). Ὁ δὲ Ἀριστοτέλης εἶπε συνεδρίαν τὴν φιλίαν τῶν συναγελαζομένων ζώων (ὧν πολλὰ, καθὼς οἱ λύκοι, κτλ ἔχουσι καὶ τὰς ἰδίας κοίτας ἕκαστον), καὶ « Σύνεδρα, τὰ εἰρηνεύοντα πρὸς ἄλληλα » (Ζώ. ἱστ. Θ. 1). τὸ συνέδριον λέγεται καὶ ἐπὶ συνάξεως οἰκιακῆς, ἢ συναναστροφῆς. « Συνέδριον παιζόντων » Ἱερεμ. (ιε, 17) κτλ.

Ἀλλ᾽ οἱ περὶ τὸν Ὅδιον ἐκλαβόντες τὸ *συνέδριον* ἀντὶ τῆς κοινῆς τῶν ἑρμηνέων *συνεδριάσεως* (ἐφ᾽ ὅσον συμφωνοῦσι μετὰ τοῦ Ἱερωνύμου), ἐκλαμβάνουσι καὶ ὡς *αἴθουσαν*, ἢ *παστάδα* τινα μεγάλην καὶ εὐρύχωρον, ἤ, καθὼς εἶπεν Ἱερώνυμος, *βασιλικὴν* (basilicam). Ἔστω· δεδόσθω καὶ τοῦτο (χάριν τοῦ φερωνύμου Πατρὸς), καὶ κείσθω κατὰ τὸν οἶκον ἐκεῖνον, εὐρεῖα παστὰς, ἢ ἐξέδρα, ὅπου οἱ Ο (πρὶν τραπῶσιν εἰς τὸ ἔργον, ἢ καὶ κατὰ τὴν θ, ὥραν, ἀφ᾽ οὗ ἐπαύοντο τοῦ καθ᾽ ἡμέραν ἔργου) συνήγοντο, προσευχόμενοι καθ᾽ ἑκάστην (τὸ πρωῒ, καὶ μάλιστα «*κατὰ τὴν ὥραν τῆς προσευχῆς τὴν θ.*». Πράξ. γ. 1), εἶτα δὲ καὶ περί τινων ἀναγκαίων συνομιλοῦντες μετὰ τοῦ συμπαρόντος Δημητρίου, καὶ τὰς καθ᾽ ἑκάστην ἑρμηνείας παραδιδόντες. Ὅτι δὲ καὶ εἰς τοιαύτην παστάδα συνεδρίαζον ἅμα πάντες οἱ Ο, καὶ καθ᾽ ἃς ὥρας ἐφιλοπόνουν τὴν ἑρμηνείαν, τοῦτο οὐδαμοῦ οὐδαμῶς οὔτ᾽ εἶπεν, οὔτ᾽ ἐνόησεν Ἀριστέας, ὠνειρεύθησαν δὲ μόνον οἱ σοφοί! Καθὼς δὲ ἐν τοῖς καθ᾽ ἡμᾶς ὑψηρόφοις πολιτικοῖς Βουλευτηρίοις, καὶ Συμβουλίοις, καὶ δόμος ὑπάρχει μέγας, ἐν ᾧ κοινῇ συνιόντες συνεδριάζουσιν οἱ βουληφόροι σύμβουλοι, καὶ δωμάτια παράκεινται πρὸς ἰδίας συζητήσεις ἑκάστου τμήματος τοῦ Συμβουλίου, ἢ καὶ πρὸς ἐργασίας τῶν γραμματέων. Ὡσαύτως καὶ ὁ παρὰ τὴν ἠϊόνα κατεσκευασμένος ἐκεῖνος οἶκος, ὁ διαπρεπὴς καὶ βασίλειος, καὶ παστάδα μεγάλην εἶχε, καὶ δωμάτια παρακείμενα, ἐν οἷς ἑκάστοις ἕκαστος τῶν ἑρμηνέων εἰσιὼν, ἐπόνει τὸ καθ᾽ ἡμέραν, γράφων τὴν ἑρμηνείαν (εἴτ᾽ αὐτὸς, εἴτε καὶ δι᾽ ἄλλου καθ᾽ ὑπαγόρευσιν). Ὥστε καὶ εἴπερ ὁ Ἀριστέας (ὡς θέλουσιν οἱ κριτικοὶ) Συνέδριον ὠνόμαζεν αὐτὴν τὴν Ἱερωνύμου *βασιλικὴν*, πάντως ὑπενόει συνάμα καὶ τοὺς παρακειμένους οἰκίσκους περιληπτικώτερον· οὕτω καὶ τὸ *ἱερὸν* ἐν περιλήψει σημαίνει οὐ μόνον τὸν κυρίως ναὸν, ἀλλὰ καὶ τὰς παρακειμένας οἰκοδομὰς (οἷον τὰ *παστοφόρια*, καὶ ἄλλα, καὶ τὰ *ὕπαιθρα*) (α)· καὶ αὐτὸ τὸ *οἶκος* οὐ

---

(α) Ἰώσηπ. Ἰουδ. πολ. Α, ζ, 4: καὶ Ἀρχαιολ. Η, γ, 2 (ὅπου καλεῖ οἴκους, καὶ παστοφόρια, ἢ συνέδρια τῶν ἱερέων καὶ νομοδιδασκάλων). Καὶ αὐτὸ τὸ ναὸς, οὐ

μόνον τὸν δόμον, ὅλον δηλαδὴ τὸ τῆς οἰκίας οἰκοδόμημα, ἀλλὰ καὶ οἴκημα, ἢ θάλαμον ἐν αὐτῷ μεγάλον, καὶ τὸ ὑπερῷον, καὶ τὰ μικρότερα δωμάτια (α). Καὶ εἰς τοιαῦτα λοιπὸν δωμάτια, ἢ οἰκίσκους εἰσιόντες ἰδίως ἕκαστος τῶν ἑρμηνέων, «ἐτρέποντο πρὸς τὴν ἀνάγνωσιν καὶ τὴν ἑκάστου διασάφειαν» (ὡς εἶπεν Ἀριστέας), ἀναγινώσκοντες δηλαδὴ καὶ διασαφοῦντες (τουτ. μεταφράζοντες) ἕκαστος κατὰ μέρος (καὶ γράφοντες δὲ πάντως, ἢ πρὸς ταχυγράφον ὑπαγορεύοντες, ὡς προείπομεν), καὶ (κατὰ τὸν Ἰώσηπον) «ὡς ἔνι μάλιστα φιλοτίμως καὶ φιλοπόνως τὴν ἑρμηνείαν ἀκριβῆ ποιούμενοι». Ταύτην δὲ τὴν καθ᾽ ἡμέραν διαμονὴν αὐτῶν καὶ διαστάθμευσιν, ἢ συνέδραν ἐν *τοῖς τοῦ αὐτοῦ οἴκου* δωματίοις, καὶ τὴν κοινὴν συνάμα πάντων περὶ τὸ ἔργον *προσεδρείαν* (ἑκάστου κατὰ μέρος ἐργαζομένου) ὁ Ἀριστέας εἶπε καὶ *συνεδρίαν*· «Μέχρις ὥρας ἐννάτης τὰ τῆς συνεδρίας ἐγίνετο», ἢ (καθὼς τοῦτο σαφέστερον καὶ ἁπλούστερον ὁ Ἰώσηπος ἐξέφρασε) «μέχρις ὥρας θ, πρὸς τοῦτο (*τὴν ἑρμηνείαν*) διετέλουν ὄντες» (β). Ὅτι δ᾽ ἐκεῖνος ὁ οἶκος καὶ αὐλὴν εὐρύχωρον εἶχε, φανερόν. Καὶ εἰς ταύτην λοιπὸν τὴν αὐλὴν (μέρος καὶ αὐτὴν ἀποτελοῦσαν τοῦ ὅλου οἴκου, ἢ «*τοῦ τόπου, ἐν ᾧ τὰ τῆς ἑρμηνείας ἐτελέσθη*) συνήγαγεν ὁ Δημήτριος *τὸ πλῆθος τῶν Ἰουδαίων*, οὓς ὁ σοφὸς Ὅδιος ἀπηνῶς ἐστενοχώρησε, συνειλήσας εἰς τοὺς οἰκίσκους! Ἀδίκως δὲ καὶ τὸν Σαλμέρωνα κατωνείδισε, μνημονεύσαντα τῆς περὶ τοὺς Ο καὶ κατ᾽ αὐτὸν τὸν οἶκον τῆς ἑρμηνείας φιλοξένου μεγαλοπρεπείας τοῦ Πτολεμαίου. Γνωσταί, καὶ περιαδόμεναι διὰ τὴν ὑπέρογκον φιλοτιμίαν *αἱ φιλαδέλφειοι κατασκευαί*». Καὶ εἶχε μὲν ὁ Φιλάδελφος ἐν

σημαίνει μόνον ὅλον τὸ πρὸς λατρείαν οἰκοδόμημα (τὸν πρόναον, καὶ τὸ ἅγιον, καὶ τὸ ἄδυτον), ἀλλὰ καὶ τὰς πέριξ οἰκοδομὰς (ὡς τὸ ἱερὸν). Βλ. Schleusn. Lex. N. Test. λ. ἱερὸν, ναὸς, οἶκος.

(α) Ὀδυσ. α, 356 κτλ. «Οἶκος, καὶ μέρος τι τῆς οἰκίας» Ἡσύχ.

(β) Ὁ δὲ κλεινὸς Δεμάγιστρος τὸ Συνέδριον καὶ αὐτὸς ἐπὶ τῶν οἰκίσκων ὀρθῶς ἐκλαβὼν (Apolog p. 343), ἔπειτα τὴν συνεδρίαν οὐκ ἐξηκρίβωσεν, ἑρμηνεύσας τὰ τῆς συνεδρίας «ea quae a conventu omnium et consensione probarentur» (ibid. p 550).

Ἀλεξανδρείᾳ τὰ μεγάλα βασίλεια, καὶ πολλὰς κατασκευὰς καὶ καταγωγὰς καὶ *καταλύσεις καλλίστας* πλησίον τῆς ἀκροπόλεως (ἐν αἷς τοὺς Ο, λαμπρῶς ἐφιλοξένει) (α). Εἶχε δὲ κατασκευάσας καὶ κατὰ τὴν Φάρον « *οἶκον διαπρεπῆ, τερπνότητα ἔχοντα διὰ τὴν ἡσυχίαν καὶ καταύγειαν* » (ὡς αὐτός φησιν Ἀριστέας), ἐν ᾧ τὰ τῆς ἑρμηνείας ἐπετελεῖτο. Εἰς τὴν Φάρον ὑπῆρχε καὶ βασίλειος οἶκος, παρ᾽ ᾧ καὶ θέατρον ἦν, ὡς μαρτυρεῖ αὐτὸς Καῖσαρ ὁ θεὸς (β), ὁ τὴν νῆσον παρ᾽ ὀλίγον ἐξερημώσας (γ). Οὕτω δὲ *διαπρεπῶς κατεσκευασμένος* ὁ δόμος ἐκεῖνος εἶχε πάντως καὶ παστάδα καὶ οἰκίσκους. (Καὶ εἰ μὴ συνέβαινεν ὁ πρὸς τοὺς Ἀλεξανδρεῖς πόλεμος τοῦ Καίσαρος, ἴσως ἂν ἔβλεπεν ὁ μακάριος Ἰουστῖνος καὶ τὸν οἶκον ὁλόκληρον, καὶ τοὺς οἰκίσκους αὐτοὺς, ἔτι κατ᾽ αὐτὸν σῳζομένους, ὧν ὕστερον ἰδὼν τὰ ἐρείπια δακτυλοδεικτούμενα τρανῶς ὑπ᾽ αὐτῶν τῶν ἀρχαίων τῆς Φάρου κατοίκων, καταγελᾶται νῦν ὑπὸ τῶν σοφῶν). Πάντως καὶ παστάδα καὶ οἰκίσκους ἢ θαλάμους εἶχεν ὁ μεγαλοπρεπὴς ἐκεῖνος οἶκος, καὶ τούτους, πολὺ πλείονας παρὰ τὸν δόμον τοῦ βασιλίσκου τῆς Φρυγίας Πριάμου, τὸν « Ξεστῇς αἰθούσῃσι τετυγμένον· αὐτὰρ ἐν αὐτῷ Πεντήκοντ᾽ ἔνεσαν θάλαμοι ξεστοῖοι λίθοιο, Πλησίοι ἀλλήλων δεδμημένοι· — (ἑτέρωθεν δὲ) « Δώδεκ᾽ ἔσαν τέγεοι θάλαμοι ξεστοῖο λίθοιο » (Ἰλ. ζ. 242, κτλ.). Οὕτω καὶ τὰ τοῦ Ὀδυσσέως μέγαρα εἶχον καὶ *θαλάμους εὐϋπήκτους* (δ). Πρόσθες καὶ τὸν οἶκον Αἰήτου τοῦ Κόλχων ἄνακτος, ἐν ᾧ « Θάλαμοί τ᾽ ἔσαν ἔνθα καὶ ἔνθα, Δαιδα-

---

(α) Περὶ τῶν (ἐπὶ Στράβωνος) βασιλείων τῆς Ἀλεξανδρείας, βλ. Στράβ. ιζ, 763, 794.

(β) « In hac sunt insula (Pharo) domicilia Aegyptiorum, et vicus oppidi magnitudine. — Hoc tractatu oppidi pars erat Regiae exiqua — et theatrum conjunctum domui » etc. Caesar. de Bell. civil. III. 112. πρβλ. καὶ Demagistr. l. c. p. 343.

(γ) « Νῦν δ᾽ ἠρήμωσεν αὐτὴν ὁ θεὸς Καῖσαρ ἐν τῷ πρὸς Ἀλεξανδρέας πολέμῳ τεταγμένην μετὰ τῶν βασιλέων· ὀλίγοι δ᾽ οἰκοῦσι πρὸς τῷ πύργῳ ναυτικοὶ ἄνδρες » (Στράβ. ιζ, 791).

(δ) « Ἥμεθα μυχῷ θαλάμων εὐπήκτων ». Ὀδυσ. ψ. 41, τουτ. in interioribus conclavibus » — Damm. λ. θάλαμος.

λαίη δ' αἴθουσα παρὲξ ἑκάτερθε τέτυκτο. Λέχρις δ' αἰπύτεροι δόμοι ἔςασαν ἀμφοτέρωθεν» (Ἀπολ. Ἀργον. γ, 236, κτλ.). Εἰ δὲ ταῦτα μὴ πείθουσι τοὺς περὶ τὸν Ὅδιον, ἀλλ' ἐπιμνησθήτωσαν κἀκεῖνο δὴ τὸ μέγα καὶ χρυσεοδάπεδον *δῶμα* τοῦ Διὸς (« *Ἔνθα θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο* »), ὅτι καὶ τοῦτο παρομοίως εἶχε πλησίον δεδμημένα πολλὰ μικρὰ δωμάτια, « *ἅπερ ἑκάστῳ περικλυτὸς ἀμφιγυήεις Ἥφαιστος ποίησ' εἰδυίῃσι πραπίδεσσιν* » (Ἰλ. α, 606: δ, ι, κτλ. πρβλ. καὶ Εὐστάθ. φύλ. 122).

Δεύτερον· πῶς ἂν ἐξήρκει (λέγουσι) πρὸς τοσούτους ἑρμηνεῖς κατ' ἰδίαν μεταφράζοντας, εἷς (κατὰ τὸν Ἀριστέαν) καὶ μόνος ὑπογραφεύς, ὁ Δημήτριος; — Ἀλλ' ὁ Ἀριστέας, ὦ βέλτιστοι, οὐδαμοῦ διέγραψε τὸν Δημήτριον αὐτουργὸν ὑπογραφέα τῶν ἑρμηνέων· εἶπε δὲ μόνον ὁ Ἀριστέας, ὅτι τὸ ἐκ τῆς (τοῦ κειμένου πρὸς τὴν ἑρμηνείαν) συμφωνίας ἑκάστοτε γινόμενον « *ἀναγραφῆς ἐτύγχανε παρὰ τοῦ Δημητρίου* », φροντίζοντος δηλονότι *διὰ γραφέων ἀντιγράφειν* (ἢ μεταγράφειν) τὰ ἑκάστοτε ἡρμηνευμένα (ἵνα καὶ ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ ἡ Γραφὴ ἀποτεθῇ). Εἰ δὲ τὰ τοῦ Ἀριστέου δηλοῦσι (κατὰ τὸν Ὅδιον) ὅτι καὶ αὐτὸς ὁ Δημήτριος ὑπηρέτει τοῖς ἑρμηνευταῖς, ὡς ὑπογραφεὺς αὐτὸς χειρογραφῶν, ἕπεται παρομοίως ὅτι καὶ Δωρόθεος, ὁ ἐπὶ τῆς τῶν ξένων διαίτης ἀρχιτρίκλινος τοῦ βασιλέως, ὅστις *τὰ πρὸς τροφὴν τούτοις* (τοῖς Ο) *ἐπετέλει* (καθὼς εἶπε πάλιν ὁ Ἀριστέας), αὐτὸς λοιπὸν ἰδιοχείρως ἐμαγείρευε καὶ ἤρτυε τὰ βρώματα, καὶ περιέφερε τὰς λοπάδας, κιρνῶν ἅμα, « *καὶ οἰνοχοῶν ἐνδέξια* » τοῖς πρεσβυτέροις ἑστιωμένοις, καὶ τἄλλα τὰ συνήθη « *ποιπνύων διὰ δώματα* ». Καὶ αὐτὸς δὲ ὁ Πτολεμαῖος, ὁ βασιλεύς, ἐφιλοξένει τούτους ἑστιωμένους, χερσὶν ἰδίαις ὑπηρετῶν, καὶ (κατὰ τὸν Ὁμηρικὸν Ἀγαμέμνονα) « *νώτοισι διηνεκέεσι γεραίρων* », ἐπειδὴ καὶ λέγεται ὅτι « *φιλοξενίας ἐτύγχανον οἱ Ο, παρὰ τοῦ Πτολεμαίου* ». Τοιαῦται δοκοῦσιν αἱ ἀξιώσεις τῶν σοφῶν.

Τρίτον. Ἓν καὶ μόνον (λέγουσιν) ἀντίγραφον τοῦ νόμου φέροντας μεθ' ἑαυτῶν τοὺς Ο, ἱστόρησεν ὁ Ἀριστέας. — Ἀλλ' ὁ

Ἀριστέας (ἀπαντῶμεν) οὐδαμοῦ διώρισε ῥητῶς *ἓν καὶ μόνον* τὸ ἀντίγραφον· πᾶν δὲ τοὐναντίον, διάφορα καὶ πλείονα τὰ χειρόγραφα φαίνεταί πως ὑποδηλῶν. Πρῶτον μὲν γὰρ ὁ Ἀρχιερεὺς ἀπαντῶν πρὸς τὸν βασιλέα (ζητήσαντα τὸν νόμον καὶ τοὺς ἑρμηνεῖς), « Ἀπεστείλαμεν (λέγει) τοὺς πρεσβυτέρους ἔχοντας τὸν Νόμον » (ὅλον δηλονότι τὸ πλήρωμα τῶν βιβλίων τῆς γραφῆς)· εἰ δὲ μόνον ἓν τοῦ νόμου σῶμα, ἢ πολλά, μεθ' ἑαυτῶν ἔφερον οἱ πρεσβύτεροι, περὶ τούτου λόγος ἐνταῦθα οὐδείς. Ἐφεξῆς δὲ πάλιν ἓν μὲν ἱστορεῖ τὸ χρυσογράμματον ἀπόγραφον, ὅπερ οἱ Ο μετὰ τῶν ἄλλων δώρων προσήνεγκαν τῷ βασιλεῖ « *ἐν διαφόροις διφθέραις*, ἐν αἷς [ἦν] ἡ νομοθεσία γεγραμμένη χρυσογραφίᾳ, τοῖς ἑβραϊκοῖς γράμμασι »· ἀλλὰ τοῦτο τὸ δῶρον ἔλαβεν ὁ βασιλεὺς εἰς τὴν ἰδίαν πάντως βιβλιοθήκην, « κελεύσας εἰς τάξιν ἀποδοῦναι *τὰ τεύχη* » (Ἀριστέας σελ. 20). Οὐδ' ἂν πεισθείη τις εὐκόλως, ὅτι τούτῳ πάλιν οἱ Ο ἐχρήσαντο πρὸς τὴν ἑρμηνείαν· οὔτε γὰρ τὸ πολύτιμον τῆς χρυσογραφίας, οὔτε τὸ εὔγνωμον τῆς δωροφορίας συνεχώρει τοιαύτην χρῆσιν καὶ τριβὴν τοῦ ἐξαιρέτου κώδηκος (βλ. Τ. Α, σελ. 629) (α). Ἄλλα λοιπὸν εἶχον ἀντίγραφα κατὰ τὸν ἐν τῇ Φάρῳ οἶκον, ἐξ ὧν *ἐπετέλουν τὴν ἑρμηνείαν* » (Ἀριστ. σελ. 34). Καὶ ταῦτα ῥητῶς ὁ Φίλων διέγραψε λέγων· ὅτι (μέλλοντες οἱ πρεσβύτεροι ἐπιχειρεῖν τῇ ἑρμηνείᾳ) « *τὰς ἱερὰς βίβλους* λαβόντες, *ἅμ' αὐταῖς*· ἀνέτεινον τὰς χεῖρας εἰς οὐρανὸν » κτλ. Καὶ αὐτὸ δὲ τὸ πληθυντικὸν (« *τὰς ἱερὰς βίβλους* ») σημαίνει τὸ πλῆθος τῶν ἀντιγράφων. Ἀλλ' ἴσως ἄν τις εἴποι, ὅτι *βίβλοι καὶ βιβλία* πληθυντικῶς ὀνομάζονται καὶ τὰ διάφορα εἰλήματα (ἢ εἰλητάρια), ἤτοι ἑλικτοὶ τόμοι κυλινδροειδεῖς, εἰς οὓς ὑπῆρχε πολλάκις κατὰ

---

(α) Ὁ Ἀριστέας ἀλλαχοῦ (σελ. 3 ἐκδ. Hod.) λέγει πρὸς τὸν βασιλέα περὶ τῆς Ἰουδαίας νομοθεσίας, ὅτι (ταύτην) « ἡμεῖς οὐ μόνον μεταγράψαι ἐπινοοῦμεν, ἀλλὰ καὶ διερμηνεῦσαι ». Φαίνεται λοιπὸν καὶ ἐκ τούτων τὸ χρυσόγραφον ἀντίγραφον δῶρον ἀποσταλὲν τῷ βασιλεῖ παρὰ τοῦ ἀρχιερέως, ὅστις ἔμαθε πάντως παρ' αὐτοῦ πρεσβεύσαντος τοῦ Ἀριστέου, ὅτι καὶ τοῦ Ἑβραϊκοῦ πρωτοτύπου ἤθελε μεταγραφὴν ὁ Φιλάδελφος διὰ τὴν βιβλιοθήκην.

τεύχη διῃρημένος ὁ εἷς κώδηξ τῶν θείων Γραφῶν (« Ἐν εἰλητοῖς γὰρ εἶχον πάλαι τὰς θείας Γραφάς — καὶ μέχρι τοῦ παρόντος ἔχουσιν οἱ Ἰουδαῖοι ») (α). Καὶ παρ' ἄλλοις δὲ τὸ παλαιὸν εἴθιστο τοιαύτη κατὰ τόμους διαίρεσις ἑνὸς καὶ τοῦ αὐτοῦ συγγράμματος). Ὁμολογοῦμεν τὸ πρᾶγμα, καὶ τοιαύτη φαίνεται παρὰ τῷ Ἀριστέᾳ καὶ ἡ τοῦ χρυσογράφου κώδηκος διαίρεσις εἰς *τεύχη* καὶ *διαφόρους διφθέρας* (καθὸ πολλὰς δηλαδὴ, καὶ πρὸς ἀλλήλας κατά τε σχῆμα καὶ πάχος καὶ μέγεθος ὁπωσδήποτε *διαφερούσας*, οἷον πέντε μὲν ἰδίως *τῆς Πεντατεύχου*, ἄλλαι δὲ *τοῦ Ἰησοῦ*, καὶ *τῶν Κριτῶν* κτλ.). Ἀλλ' ὡσαύτως ὑπάρχει βέβαιον (ὁμολογήσει δὲ καὶ αὐτὸς Ὅδιος ἐν τῷ ἐφεξῆς κεφαλαίῳ §. ια), ὅτι πολλάκις οὐ μόνον τὰ τοῦ Μωσέως τεύχη ὑπῆρχον εἰς ἕνα καὶ μόνον τόμον ἀθρόα συμπεπηγμένα (ὅθεν λέγεται καὶ « *τὸ βιβλίον τοῦ Νόμου* » Νεεμ. η, 8. ιγ, 1, κτλ. καὶ *βίβλος Μωσέως* Ἔσδρ. ς. 19. Μάρκ. ιβ, 26), ἀλλὰ καὶ ἄλλο τεῦχος (εἰς ἓν βιβλίον), ἡ « *βίβλος προφητῶν* » (Πράξ. ζ, 42), τὸ Δωδεκαπρόφητον· καὶ τέλος, ἡ *βίβλος τῆς Διαθήκης Θεοῦ* (Σ. Σειρ.), ἢ καὶ « *βίβλος ἱερὰ* » (β. Μακκ. η, 23), ὁλόκληρος ὁ κώδηξ τῶν ἁγίων Γραφῶν. Τὰ δ' οὖν παρὰ τῷ Φίλωνι *ἱερὰ βιβλία*, εἰ καὶ μὴ ἦσαν ἕκαστον ὁλόκληρον σῶμα περιέχον ἅπαντα συνάμα τὰ βιβλία τῆς Γραφῆς εἰς ἕνα τόμον συμπαγῆ καὶ συνηρμοσμένα, (δυσχερὲς γὰρ τοῦτο δοκεῖ διὰ τὸ δυσμετακόμιστον), ἦσαν ὅμως πάντως τόμοι διάφοροι, εἰς οὓς ὑπῆρχε διῃρημένος ὅλος ὁ κώδηξ τῶν Γραφῶν (οἷον εἰς ἕνα μὲν τόμον ἴδιον τὰ τῆς Πεντατεύχου, εἰς ἕτερον δὲ ἕνα, ἢ καὶ δύω, τὰ προφητικὰ, κτλ.). Καὶ τοῦτο συμπεραίνεται καὶ ἐξ αὐτῆς τῆς Φιλωνείου φράσεως. Εἰ γὰρ πάντες οἱ πρεσβύτεροι (οἱ ΟΒ) « *τὰς ἱερὰς βίβλους* λαβόντες, *ἅμ' αὐταῖς* ἀνέτεινον τὰς χεῖρας εἰς οὐ-

---

(α) Θεοδώρητ. ἑρμην. εἰς β. Τιμ. δ. 13. Καὶ νῦν δὲ καθ' ἡμᾶς ἔχουσιν οἱ Ἰουδαῖοι καὶ ἐν εἰλητοῖς χειρογράφοις διάφορα τεύχη τῆς Γραφῆς. βλ. Schikart Purim, sive Bachanal. Judaeor. — in Critic. sacr. vol. VIII. p. 486, Lond. 1660. πρβλ. καὶ ἔμπροσθ. Κεφ. Ζ. §. κα.

ρανὸν », φανερὸν ὅτι *αἱ ἱεραὶ βίβλοι* ἦσαν ἰσάριθμοι τοῖς κρατοῦσι, μίαν τινα φέροντος μετὰ χεῖρας ἑκάστου. Ἐπειδὴ δὲ τὰ μὲν κανονικὰ βιβλία τῆς Γραφῆς διαιροῦνται καθ' Ἑβραίους εἰς κϐ, κἂν ὑποτεθῶσιν (ὅπερ ἀπίθανον) καὶ εἰς ἴσους τόμους ἐκεῖνα διῃρημένα, πάλιν ἕπεται ὅτι ὑπῆρχον οὐχ ἑνὸς, πολλῶν δὲ σωμάτων τόμοι, ἀφ' ὧν ἕνα τινὰ λαϐὼν ἐκράτει ἕκαστος τῶν ΟΒ ἑρμηνευτῶν. Ἀλλ' ἡ κριτικὴ δριμύτης, ὡς τελώνης χαλεπὸς, ἀπαιτεῖ τὸν Ἀριστέαν κατάλογον καὶ τῶν ἰδιαιτέρων βιϐλίων, ὧν μετὰ τῶν ἄλλων σκευῶν ἔφερον μεθ' ἑαυτῶν οἱ ἑρμηνεῖς· καὶ τοῦτον μὴ εὑρίσκουσα, ἓν λοιπὸν καὶ μόνον ψηφίζεται τὸ ἀντίγραφον, αὐτὸ τὸ μνημονευθέν. Ὁ δὲ κλεινὸς Καπέλλιος (ἔχων κατ' ἀρχὰς καὶ τὸν Βάλτωνα συναινοῦντα) διατείνεται καὶ λίαν εὐφυῶς, ὅτι « οὔτε περὶ τοῦ βασιλέως ὁ ἀρχιερεὺς ἠδύνατο προμαντεύειν, ὅτι δοκιμάζειν ἔμελλε τοὺς πρεσϐυτέρους, ἀπαιτῶν παρ' ἑνὸς ἑκάστου χωριστὴν ἑρμηνείαν τῆς Γραφῆς, οὔτ' αὐτὸς ὁ Ἐλεάζαρος ἐπίστευεν ὅτι θαυμαστῶς πως ἔδει μεθερμηνευθῆναι τὰς Γραφὰς, πειράζων τὸν Θεὸν χωρὶς ἀνάγκης » ! (α'). Ἀλλὰ καὶ χωρὶς τοιούτων προμαντευμάτων καὶ πειρασμῶν (οἵους ὁ Καπέλλιος ἐφοϐήθη), ἠδύνατο (νομίζομεν) ὁ συνετὸς ἀρχιερεὺς παραδοῦναι ἑκάστῳ τῶν πρεσϐυτέρων ἰδιαίτερον ἀντίγραφον πρὸς ἰδίαν αὐτοῦ χρῆσιν καὶ μελέτην, εἰς ἀκριϐεστέραν ἐπιτυχίαν τῆς ἑρμηνείας. Καὶ αὐτοὶ δὲ πάλιν οἱ Ο, πρὸς τοιοῦτον ἔργον εἰς Ἀλεξάνδρειαν στελλόμενοι τὴν σοφὴν, καὶ βασιλεῖ δυνατῷ καὶ λογίῳ μέλλοντες ὑπουργεῖν, ὅσον ἐνῆν μάλιστα ἀνεπίληπτα καὶ εὐχάριστα, οὕτως ἆρα ἦσαν ἀπερίσκεπτοί τινες καὶ ἀπρομηθεῖς, ἢ ἀφιλότιμοι καὶ δι' ὀκνηρίαν ἀδρανεῖς; Οὐδ' ἐφρόντισαν παντάπασι παραλαϐεῖν ἕκαστος μεθ' ἑαυτοῦ, συνέκδημον ἀχώριστον, χειρόγραφον τῆς θείας Γραφῆς ἀκριϐὲς, ὅπως, ἀνελίττων αὐτὸ καθ' ἑκάστην καὶ μελετῶν, ἀποπειρᾶται, ἔστιν ὅτε, τῆς μελλούσης ἑρμηνείας; Ἀλλὰ τοῦτο φαίνεται παντελῶς ἀπίθανον. Ὅθεν καὶ ὁ Βοϐέριος ἀπεδέξατο τὸ

(α) Lud. Capell. Crit. Sacr. IV. c. 18. pag 320.—Walt. Proleg. IX. §. 9. p. 354.

πλῆθος τῶν ἀντιγράφων (α), καὶ Βάλτων ὡσαύτως (παλινῳδήσας) (β)· πρὸ πάντων δὲ καὶ ἐπὶ πᾶσι, Κλήμης ἐκεῖνος ὁ ἱερώτατος Στρωματεὺς (α, 250) τοῦτο νοεῖ λέγων, « Ὅτι ἀπέστειλαν οἱ Ἱεροσολυμῖται » (τοὺς Ο) « *μετὰ καὶ τῶν θείων βιβλίων· ἑκάστου δὲ ἐν μέρει κατ' ἰδίαν ἑκάστην ἑρμηνεύσαντος προφητείαν, συνέπνευσαν αἱ πᾶσαι ἑρμηνεῖαι* » κτλ. Τελευταῖον, κἂν ὑποτεθῶσιν οἱ ἑρμηνεῖς ἓν καὶ μόνον φέροντες ἀντίγραφον (ὡς οἱ περὶ τὸν Ὅδιον ἀξιοῦσιν) ἕτερον, ἴσως, παρ' ἐκεῖνο τὸ τῷ βασιλεῖ δωροφορηθὲν χρυσόγραφον (οὗ μέμνηται μόνου ὁ ἱερὸς Ἐπιφάνιος), ἀλλὰ καὶ οὕτω πάλιν ἠδύναντο τοῦτο κατὰ τόμους καὶ μικρότερα τεμάχια διελόντες, καὶ διαμοιράσαντες πρὸς ἀλλήλους, μεταφράζειν ἕκαστος τὸ καθ' ἑαυτὸν τεμάχιον κατ' ἰδίαν, καὶ τοῦτο διεκπεράνας μεταλαμβάνειν ἐφεξῆς τὸ τοῦ ἑτέρου, ἀναδιδοὺς τὸ οἰκεῖον· καὶ οὕτως ἐξ ὑπαλλαγῆς καὶ κατὰ περίοδον ἕκαστος ἠδύνατο μεθερμηνεῦσαι πάντα τὰ βιβλία τῆς Γραφῆς. Τοιοῦτό τι φαίνεται καὶ ὁ μακάριος Ἐπιφάνιος ἱστορῶν, ἐν οἷς εἶπεν, ὅτι «Ἑκάστῃ ζυγῇ τῶν ἑρμηνευτῶν βίβλος μία ἐπεδίδετο· ὡς εἰπεῖν, ἡ βίβλος τῆς Γενέσεως μιᾷ ζυγῇ, ἡ Ἔξοδος τῇ ἄλλῃ ζυγῇ κτλ. ἕως ἡρμηνεύθησαν ἅπασαι, κατὰ περίοδον ἑκάστῃ ζυγῇ ἐπιδιδόμεναι». Ἀλλὰ περὶ τοῦ Ἐπιφανίου καὶ ἐν τοῖς ἐφεξῆς.

Τέταρτον· Τὸ τοῦ Ἀριστέου « *μέχρις ὥρας ἐννάτης τὰ τῆς συνεδρίας ἐγίνετο* » προηρμήνευται ἀνωτέρω· καὶ οὔτε κατεδαφίζει, οὔτε γοῦν ἐπὶ ποσὸν σαλεύει τοὺς οἰκίσκους.

Πέμπτον· Τὸ δὲ « *ἕκαστα σύμφωνα ποιοῦντες πρὸς ἑαυτοὺς ταῖς*

---

(α) l. Wower. Syntagm. c. 7 p. 63. — (β) Walton. l. c. §. 10. p. 358. Καὶ τὴν σήμερον δὲ (προστίθησιν ὁ Βάλτων) ἄν, ἐξ ὑποθέσεως, διδάσκαλοί τινες ἱκανοὶ τὸν ἀριθμὸν προσκληθῶσιν ἔξωθεν παρά τινος ἡγεμόνος, ἵνα μεταφράσωσι λατινιστὶ τὰς ἑβραΐδας γραφάς, οὐδεὶς ἂν πάντως ἐξ αὐτῶν πρὸς τοιοῦτον ἔργον ἀπεδύσατο, μὴ καὶ τὴν βίβλον μεθ' ἑαυτοῦ συμπαραλαβών, προσφιλέστατον συνοδίτην. Περὶ δὲ τῶν Ο, γερόντων πολὺ μᾶλλον πιθανώτερον ἀποβαίνει τὸ πρᾶγμα καὶ κατὰ τοῦτο « ὅτι (κατὰ τὴν γνώμην τῶν Ἰουδαίων) ἕκαστος Ἰσραηλίτης ὤφειλεν εἰς χρῆσιν ἰδίαν κεκτῆσθαι τὸ τοῦ νόμου βιβλίον, ἢ αὐτός, ἢ δι' ἄλλου μεταγράψας. κτλ.

*ἀντιβολαῖς*», θαυμαςὸν ὅσον παρηρμηνεύθη. Ἄλλα βούλεται καὶ λέγει ὁ Ἀρισέας, παντάπασιν ἀλλοῖα καὶ διάφορα τῶν ὧν ὑπέλαβον οἱ περὶ τὸν Ὅδιον. Ὁ Ἀρισέας λέγει, ὅτι οἱ ἑρμηνεῖς «*πρὸς ἑαυτοὺς*» (δηλονότι, καθ᾽ ἑαυτοὺς, ἕκαστος καθ᾽ ἑαυτὸν καὶ κατὰ μόνας) «*ἐποίουν ἕκαστα σύμφωνα*» (τουτέστιν ἀναθεωροῦντες ἕκαστον τῶν ἡρμηνευμένων χωρίων, κατώρθουν ταῦτα σύμφωνα πρὸς τὸ κείμενον)· πῶς; «*ταῖς ἀντιβολαῖς*» διὰ τῶν ἀντιπαρεξετάσεων δηλονότι καὶ παραθέσεων, ἀντιβάλλοντες τὰ Ἑλληνικὰ πρὸς τὰ Ἑβραϊκά. Τοῦτο κυρίως ἐπὶ βιβλίων (καὶ ἰδίως ἐπὶ χειρογράφων) ἐστὶν ἡ *ἀντιβολή*· ἀντιγράφου πρὸς ἀντίγραφον (ἢ πρωτότυπον) ἀντιπαράθεσις. Οὕτω καὶ Στράβων ἐχρήσατο τῇ λέξει (α), καὶ Γαληνὸς, καὶ εἴτις ἄλλος, καὶ ὁ μακάριος Εἰρηναῖος (β). Ἔπειτα συνεχίζει λέγων ὁ Ἀριστέας. « *Τὸ δὲ ἐκ τῆς συμφωνίας γινόμενον πρεπόντως*» (δηλαδὴ τὸ μέρος τῆς ἑρμηνείας τὸ καθ᾽ ἑκάστην *προκύπτον ἐκ τῆς πρὸς τὸ κείμενον συμφωνίας, πρεπόντως καὶ ἀκριβῶς παρ᾽ ἑκάστου τῶν ἑρμηνέων ἀπαρτιζόμενον*) « *ἀναγραφῆς οὕτως ἐτύγχανε παρὰ τοῦ Δημητρίου* » (τοῦτό, οὕτως ἔχον, ἐτύγχανεν ἀντιγραφῆς παρὰ τοῦ Δημητρίου, φροντίζοντος δηλαδὴ καὶ ἐπιστατοῦντος, ὅπως ὑπὸ τῶν τεταγμένων παρ᾽ αὐτοῦ μεταγραφέων ἀντιγράφηται ἀπὸ τοῦ χάρτου, ὅπου κατὰ πρῶτον ὑπὸ τοῦ ἑρμηνέως ἰδιοχείρως, ἢ καθ᾽ ὑπαγόρευσιν, ἐχαράχθη, εἰς ἄλλον χάρτην καθαρώτερον) (γ). Ταῦτα νοεῖ, καὶ ταῦτα λέγει ὁ Ἀριστέας. Οὕτως αὐτὸν ἐξεδέξαντο καὶ ἄλλοι, καὶ ὁ Λατῖνος μετα-

---

(α) « Ἐγὼ γοῦν ἀπορούμενος ἀντιγράφων εἰς τὴν ἀντιβολὴν » (μὴ ἔχων ἄλλα ἀντίγραφα, ἵνα παραβάλῃ τὸ βιβλίον τοῦ Εὐδώρου καὶ τὸ τοῦ Ἀρίστωνος)· « ἐκ θατέρου θάτερον ἀντέβαλον » (Στράβ. ιζ. 790). πρβλ. Demagist. p. 550.

(β) «Ὁρκίζω σε,— ἵνα ἀντιβάλῃς ὃ μεταγράψω, καὶ κατορθώσῃς αὐτὸ πρὸς τὸ ἀντίγραφον τοῦτο, ὅθεν μετεγράψω ἐπιμελῶς». Εἰρην. παρ᾽ Εὐσεβ. Ἐκκλ. ἱστ. ε, 20. Τοιοῦτο καὶ παρὰ τῷ ἱερῷ Αὐγουστίνῳ τὸ conferre, ἀντιβάλλειν — βλ. §. β. τούτου τοῦ κεφαλ. — καὶ τὸ, «συναντιβληθεῖσαι αἱ ἑρμηνεῖαι». Κλήμ. Στρωμ. α.

(γ) Ὅτι ἡ ἀναγραφὴ ἐνταῦθα σημαίνει τὴν ἀντιγραφὴν, ἢ μεταγραφὴν, πρόδηλον μὲν καὶ ἐκ τῆς ἐννοίας (οὕτω καὶ ὁ λατῖνος ἀρχαῖος τοῦ Ἀριστέου μεταφραστὴς, καίτοι μηδ᾽ αὐτὸς ἐξακριβώσας τοῦ χωρίου τὸν νοῦν, εἶπεν ὅμως, ut

φραστής, καὶ πᾶς τις ὀρθὰ καὶ δίκαια φρονῶν. Ἡ δὲ κατὰ τὸν Ὅδιον ἐξήγησις τῆς Ἀριστηΐδος περικοπῆς σφόδρα φαίνεται παράδοξος. Πρῶτον μὲν γὰρ ὅλον αὐτὸ τὸ « *ἕκαστα σύμφωνα ποιοῦντες πρὸς ἑαυτοὺς ταῖς ἀντιβολαῖς* », διαστρέψας τὴν συνθήκην τοῦ λόγου, μετεποίησεν εἰς τὸ *ἕκαστα ἀντιβάλλοντες πρὸς ἑαυτοὺς* » (τουτ. πρὸς ἀλλήλους), *καὶ πάντες συμφωνοῦντες περὶ τῆς ἀληθοῦς ἐννοίας* κτλ. (α). Ἔπειτα καὶ τοὺς κοινῇ (κατ᾽ αὐτὸν) συνεδριάζοντας ἑρμηνεῖς ἐκλαμβάνει διὰ λόγου μόνου προφορικοῦ πρὸς ἀλλήλους συζητοῦντας εἰς τὸ *ἕκαστα σύμφωνα ποιεῖν*, καὶ οὕτω ταῦτα παρὰ τοῦ Δημητρίου τυγχάνειν ἀναγραφῆς (ἢ καθὼς ἡρμήνευσε διαφθείρων καὶ τὴν λέξιν *ἀναγραφὴν*) « *ἀνάγεσθαι εἰς γράμματα*! Καὶ λοιπὸν οἱ ἑρμηνεῖς *ἕκαστα χωρία* τοῦ ἑβραϊκοῦ κειμένου ἀντέβαλλον πρὸς ἀλλήλους, παντοίως ἐξετάζοντες τὸν νοῦν, καὶ τὰς ἀντιστοιχούσας ἑλληνίδας λέξεις καὶ φράσεις ζυγοστατοῦντες, καὶ πολλάκις (ὡς εἰκὸς) ἐρίζοντες καὶ συζητοῦντες, ἕως *συνεφώνουν ἅπαντες*! Ὁ δὲ Δημήτριος ἄρα παρεκάθητο χαίνων καὶ μακάριος, τά τε ὦτα καταντλούμενος ἑβραϊκαῖς ἀγνώστοις φωναῖς, καὶ τὴν γραφίδα πρόχειρον κρατῶν, καὶ περιμένων *τὸ ἐκ τῆς τοιαύτης συμφωνίας ὀψέ ποτε γινόμενον*! Ἀλλ᾽, ὦ πρὸς αὐτοῦ τοῦ Ἀριστέου, πῶς ἂν ἐγίνετο τοιαύτη *ἀντιβολή*; Δύω μὲν γὰρ καὶ τρεῖς, ἔστω καὶ δέκα τινὲς εὐκόλως ἀντιβάλλουσι λόγους πρὸς ἀλλήλους, ἀμοιβαίως ἀκουόμενοι. Ἑβδομήκοντα δὲ ἄνδρες ἀντιβάλλοντες *ἅπαντες* πρὸς ἀλ-

---

dignum esset **d e s c r i p t i o n e**, *τουτ. ἀπογραφῆς, ἢ μεταγραφῆς*). Οὕτω καὶ *Ἰώσηπος εἶπε « τῶν νόμων ἀναγραφὴν »* (Ἀρχ. ιβ. β. 11) *αὐτὴν τὴν ἑρμηνείαν λέγων, ὡς ἐ γ γ ρ ά φ ω ς καὶ αὐτὸς μεταφράσαντας τοὺς ἑρμηνεῖς θεωρῶν, τουτέστι μ ε τ α γ ρ ά ψ α ν τ α ς τὰς ἑβραϊκὰς τοῦ πρωτοτύπου λέξεις εἰς διάλεκτον ἑλληνικήν*. Ὁ δ᾽ Ἀριστέας *εἶπεν « ἡ τοῦ νόμου μεταγραφή »*· (σελ. 7 ἐκδ. Hody). *καὶ πάλιν* (σελ. 5) *« τὴν τῶν Ἰουδαϊκῶν βιβλίων ἀ ν τ ι γ ρ α φ ὴ ν* (ἑρμηνείαν).

(α) « Seniores singulis diebus, quum interpretatione operam dederint, **s i n g u l a i n t e r s e c o n t u l i s s e**, **e t c u m d e s e n s u v e r o i n t e r o m n e s c o n v e n i s s e t**. interpretationem a Demetrio **i n l i t e r a s f u i s s e r e l a t a m** » Hody pag. 142.

λήλους ἕκαστα χωρία τοῦ κειμένου, καὶ τὰς ἰσοδυνάμους εἰς ἑρμηνείαν λέξεις μετὰ συζητήσεως ἀντιπαρεξετάζοντες, πῶς ἄρα καὶ ἐγίνοντο ὑπ᾽ ἀλλήλων ἀκουστοὶ, καὶ καταληπτοὶ, μεταξὺ πολλῆς πολλάκις ἐξ ἀνάγκης παρεπομένης συζητήσεως καὶ φιλονείκου βοῆς; Οὕτω δὲ διακείμενοι, καὶ πυκνὰ συγκρουόμενοι πρὸς ἀλλήλους (καθὼς ἔπρεπεν εἰς ἡσυχαστὰς τῶν θείων λόγων ἑρμηνεῖς, *σιγηρῶς*, « *καὶ*, ὡς εἶπε Φίλων, *μόνῃ τῇ ψυχῇ* πρὸς μόνους *ὁμιλοῦντας τοὺς νόμους!* »), πόσα τάχα χωρία μεθηρμήνευον καθ᾽ ἡμέραν, καὶ διὰ πόσων ἄρα μηνῶν καὶ χρόνων ἔμελλον συντελέσειν τὴν ἑρμηνείαν; Εἰ δέ τινες χαλκεόφωνοι κεκράκται τυχόντες, κατεβόων εὐκόλως καὶ κατεκέκραγον τοὺς λοιποὺς, ἀλλὰ πῶς καὶ ταῦτα τὰ διὰ κραυγῶν ὁμαλῶς κρατήσαντα καὶ νενικηκότα, μεταξὺ πολλῶν καὶ ἄλλων λόγων, ὡς εἰκὸς, παρεμπλεκόμενα, καὶ ἄγραφα εἰς ἀέρα χεόμενα, πῶς, λέγω, ταῦτα διετήρουν οἱ ἑρμηνεῖς ἀκριβῶς κατὰ μνήμην, ἕως οὗ, τέλος, *ὅλον τὸ ἐκ τῆς τούτων συμφωνίας γινόμενον* τῆς καθημερινῆς ἑρμηνείας ποσὸν *παρεδίδου γραφῇ* ὁ Δημήτριος; Οὕτω γὰρ Ὅδιος ἐξηγεῖ τὰ τοῦ Ἀριστέου ἐκεῖνα. « *Οἱ δὲ ἐπετέλουν, ἕκαστα σύμφωνα ποιοῦντες ταῖς ἀντιβολαῖς· τὸ δὲ ἐν τῆς συμφωνίας γινόμενον πρεπόντως ἀναγραφῆς οὕτως ἐτύγχανε παρὰ τοῦ Δημητρίου* »! (βλ. καὶ §. γ. ὄπισθ. σελ 342). Τελευταῖον, εἴπερ τοῦτο τὸ *γινόμενον* τότε πρῶτον ἐγράφετο (ἢ, *ἀνήγετο εἰς γράμματα*) παρὰ τοῦ Δημητρίου, διὰ τί λοιπὸν ὁ Ἀριστέας οὐκ εἶπεν ἁπλῶς *γραφῆς* ἐτύγχανεν, ἀλλ᾽ *ἀναγραφῆς*; Ἀλλὰ τὸ περαιτέρω περὶ τούτου λέγειν περιττόν· ἱκανὰ προεῖπε πρὸς τὸν Ὅδιον ὁ Μορῖνος (§. ζ), καὶ ἄλλοι τῶν νεωτέρων (α).

Σὺ δὲ συμπεραίνεις οἴκοθεν, ἀναγνῶστα, ὅτι καὶ τὸ πόρισμα ὃ συνήγαγεν Ὅδιος ἐκ τοῦ Ἀριστέου (ὅτι δῆθεν ἡ τοιαύτη *ἀντιβολὴ* ἀναιρεῖ

(α) « Non esse verisimile omnes simul eodem tempore et momento easdem scripturae sententias esse inrerpretatos »· Bonfrer. Praeloq. c. 16. sect. 6. πρβλ. καὶ Walton. Proleg. IX. §. 10. p. 356. ed. Dathe.

*καὶ τὴν θείαν ἐπίπνοιαν τῶν ἑρμηνευτῶν*) συνεξελέγχεται καὶ τοῦτο ψευδές. Αὐτὸς ὁ Ἀριστέας ἀνεκήρυξε περὶ τῆς ἑρμηνείας ῥητῶς, ὅτι διηρμήνευται « Καλῶς καὶ ΟΣΙΩΣ » τουτέστιν *ἱερῶς καὶ ἁγίως* (sancte καὶ ὁ Λατῖνος ἡρμήνευσε), τοῦ Θεοῦ δηλονότι τὸ ἔργον καθοσιώσαντος καὶ καθαγιάσαντος (πῶς δ' ἂν αὐτὸ καθηγίασεν, εἰ μὴ συμπαρὼν, καὶ, ὡς εἶπεν ὁ Φίλων « ἀοράτως ἐνηχῶν ἑκάστοις τοῖς ἑρμηνεῦσιν »; ). Ὅθεν πάλιν ὁ Ἀριστέας προσέθετο καὶ ὅτι ὁ βασιλεὺς παραλαβὼν παρὰ τοῦ Δημητρίου τὰ βιβλία, «*προσεκύνησε*»· καθὼς ἱστορεῖται πρότερον *προσκυνήσας* καὶ τὰ τοῦ Ἑβραϊκοῦ πρωτοτύπου, ἐπίσης ἀμφότερα σεβαζόμενος, ὡς ἐπίσης ἱερὰ καὶ σεπτὰ καὶ θεῖα πεπιστευκώς. Τοῦτο σημαίνει καὶ ἡ πολλὴ (κατὰ τὸν αὐτὸν Ἀριστέα) φροντὶς τοῦ βασιλέως περὶ τὴν ἀκριβῆ τῆς ἑρμηνείας φυλακὴν, « μεγάλην κελεύσαντος ἐπιμέλειαν τῶν βιβλίων ποιεῖσθαι, καὶ ταῦτα συντηρεῖν *ἁγνῶς* », τουτέστιν ἀχράντως καὶ καθαρῶς (ὡς ἅγια κειμήλια), καὶ (καθὼς ὁ λατῖνος ἡρμήνευσε) *θρησκευτικῶς* (religiose). Προσεπικυροῖ δὲ, τέλος, τὴν ἁγιότητα τῆς ἑρμηνείας καὶ τὸ πλῆθος αὐτὸ τῶν Ἰουδαίων « *διαρασαμένων* (κατὰ τὸν αὐτὸν Ἀριστέα) *εἴ τις τὴν ἑρμηνείαν διασκευάσει* ». Παράβαλε πρὸς ταῦτα τὸ προμνημονευθὲν (Βιβλ. Α. κεφ. ιη. σελ. 535) ῥητὸν τοῦ Δευτερονομίου (δ, 4) « Οὐ προσθήσετε πρὸς τὸ ῥῆμα » κτλ. καὶ συμπερανεῖς εὐκόλως, ὅτι, καθὼς τὸ πρωτότυπον, οὕτω καὶ τὴν ἑρμηνείαν ἁγίαν καὶ ἱερὰν θεωροῦντες, ἄθικτον καὶ ταύτην, ὡς ἐκεῖνο, καὶ ἀκέραιον ἔκριναν διατηρεῖν (καὶ μάρτυς πάλιν ὁ Φίλων ἱστορῶν ὅτι καὶ κατ' αὐτὸν οἱ Ἰουδαῖοι ἀμφοτέρας τὰς γραφὰς [τὴν Ἑβραΐδα καὶ τὴν Ἑλληνικὴν] « ὡς *ἀδελφὰς* » ἐτίμων ἐπίσης, « *τεθηπότες καὶ προσκυνοῦντες* »). Ταῦτα δὲ γράφων ὁ Ἀριστέας συνεισάγει φανερῶς καὶ τοὺς ἑρμηνεῖς ἀγομένους ὑπὸ Θεοῦ· καὶ τὴν τούτων ἐπίπνοιαν, εἰ καὶ μὴ ῥητῶς καὶ κατὰ πλάτος ἐξέφρασεν (ὡς ὁ Φίλων), ἀλλ' ὅμως καθυπέγραψε συνεπτυγμένως.

§. ιη. Δ) Τὰ δὲ τοῦ Ἰωσήπου περιττῶς προσέθηκεν ὁ κριτι-

κὸς (§. δ), ὡς οὐδὲν ἕτερον λέγοντος, ἢ αὐτὰ τὰ τοῦ Ἀριστέου κατὰ λέξιν ἐπιτομώτερον· τούτων δὲ τὴν γνησίαν ἔννοιαν ἴδομεν ἀνωτέρω. Τὸ δὲ τελευταῖον, ὃ μνημονεύει, τοῦ Ἰωσήπου χωρίον ἐσφαλμένως ἐξέλαβεν, ὡς καὶ τοῦτο δῆθεν ἀναιροῦν τὴν ἐπίπνοιαν τῶν ἑρμηνέων· καὶ τὸ σφάλμα δείκνυται πρόχειρον ἐξ ἁπλῆς τῶν τοῦ Ἀριστέου πρὸς τὰ τοῦ Ἰωσήπου παραβολῆς. Ἔγραψε πρῶτος ὁ Ἀριστέας· « Καθὼς δὲ ἀνεγνώσθη τὰ τεύχη, στάντες *οἱ ἱερεῖς* (α), καὶ τῶν ἑρμηνέων οἱ πρεσβύτεροι καὶ τῶν ἀπὸ τοῦ πολιτεύματος, οἵτε ἡγούμενοι τοῦ πλήθους, εἶπον· « *Ἐπεὶ καλῶς καὶ ὁσίως διηρμήνευται, καὶ κατὰ πᾶν ἠκριβωμένως*, καλῶς ἔχον ἐστιν, ἵνα διαμείνῃ ταῦτα οὕτως ἔχοντα, καὶ μὴ γένηται μηδεμία διασκευή· πάντων δὲ ἐπιφωνησάντων τοῖς εἰρημένοις, ἐκέλευσε *διαράσασθαι* » κτλ. Ἕως ὧδε Ἀριστέας. Ὡσαύτως ἀντέγραψε καὶ Ἰώσηπος· « Ἠξίωσάν τε πάντες, *ὅ,τε ἱερεὺς*, καὶ τῶν ἑρμηνέων οἱ πρεσβύτεροι, καὶ τοῦ πολιτεύματος οἱ προεστηκότες, *ἐπεὶ καλῶς τὰ τῆς ἑρμηνείας ἀπήντισται*, καὶ διαμεῖναι ταῦθ᾽ ὡς ἔχει, καὶ μὴ μετακινεῖν αὐτὰ » (ἕως ὧδε σύμφωνα καὶ ταυτὰ τῷ Αριστέᾳ, πλὴν ὅτι τὸ *καλῶς* μόνον γράψας, παρέλιπε διὰ συντομίαν τἄλλα τοῦ Ἀριστέου τὰ « καὶ ὁσίως, *καὶ κατὰ πᾶν ἠκριβωμένως* ». Ἐφεξῆς δὲ καὶ ἴδιόν τι πρόσκειται παρ᾽ Ἰωσήπῳ, τὸ ἑξῆς)· « Ἁπάντων δὲ *αὐτῶν* ἐπαινεσάντων τὴν γνώμην, *ἐκέλευσαν, εἴ τις*, ἢ *περισσόν τι προσγεγραμμένον* ὁρᾷ *τῷ νόμῳ*, ἢ *λεῖπον, πάλιν ἐπισκοποῦντα* τοῦτο *καὶ ποιοῦντα φανερὸν, διορθοῦν*· σωφρόνως τοῦτο πράττοντες, ἵνα τὸ κριθὲν ἅπαξ ἔχειν καλῶς εἰσαεὶ διαμένῃ ». Τοῦτο τὸ δεύτερον κέλευσμα οὐκ ἔγραψεν Ἀριστέας· καὶ ἄλλως δὲ φαίνεται παράρτημα περιττόν (β). Εἰ δ᾽ ὑγιὲς καὶ γνήσιον περιῆλθεν εἰς ἡμᾶς τὸ Ἰωσήπειον τοῦτο χωρίον (ὅπερ οὐκ ἄν τις

---

(α) Παρ᾽ Ἰωσήπ. *γράφεται ἑνικὸν ὁ ἱερεὺς (ὡς βλέπομεν εὐθύς)· πότερον λοιπὸν τοῦτο τρεπτέον εἰς τὸ πληθυντικὸν, ἢ τὸ τοῦ* Ἀριστέου *εἰς τὸ ἑνικόν; πρβλ. καὶ ὄπισθ. κεφ. ε.* §. *ιη. σελ.* 309. — (β) Βλ. Τ. Α. *σελ.* 524.

ἀσφαλῶς ἐγγυηθείη), αὐτὸς λοιπὸν ἀφ᾽ ἑαυτοῦ προσῆψε τὴν φράσιν ὁ Ἰώσηπος, ἀφορῶν οὐχὶ πρὸς τὴν ἑρμηνείαν αὐτὴν, ἀλλὰ πρὸς τὴν ἐνδεχομένην παράπτωσιν τῶν ἀντιγραφέων, οἵτινες ἠδύναντο κατά τι πλανηθῆναι περὶ τὴν ἀντιγραφὴν τῶν ὀρθῶς καθ᾽ ἑαυτὰ καὶ ὁσίως ἡρμηνευμένων. Ἴσως δὲ ταῦτα προσέγραψεν ὁ Ἀρχαιολόγος, καὶ ὡς φιλοτιμούμενος ὑπερεκπερισσοῦ ζωγραφῆσαι τοὺς ἑρμηνεῖς καὶ τοὺς τοῦ πλήθους ἡγεμόνας, οὕτως ἀσφαλεῖς καὶ βεβαίους ὄντας περὶ τὴν ἀκρίβειαν τῆς ἑρμηνείας, ὥστε, καὶ ψηφισθέντος ἅπαξ *διαμεῖναι ταύτην ὡς ἔχει*, αὐτοὶ πάλιν ἐξετίθουν αὐτὴν ἐπ᾽ ἀδείας πρὸς πάντα τότε τὸν δυνάμενον ἐξελέγχειν, εἴτι χρήζει διορθώσεως· ὡς βέβαιον ὂν, μηδὲν ἂν ὑπὸ μηδενὸς κατ᾽ αὐτὴν ἐπιλήψιμον εὑρεθῆναι. Ταῦτα φρονῶν ἴσως ὁ ἱστορικὸς, προσέθηκεν, εἴγε καὶ προσέθηκεν αὐτὸς, τὴν περίοδον. Ἀλλ᾽ ὅμως ἐφεξῆς καὶ οὗτος ὑποσυνῆψεν, ὅτι ὁ βασιλεὺς *προσεκύνησε τὰ βιβλία*. Καὶ φαίνεται λοιπὸν καὶ ὁ Ἰώσηπος, ὅτι, καίτοι μὴ ῥητῶς καὶ κατὰ λέξιν ἐξέφρασε τὴν θείαν ἐπίπνοιαν τῶν ἑρμηνευτῶν, ἀλλ᾽ ὅμως ἐφρόνει ταύτην καὶ ἀπεδέχετο πάντως καὶ αὐτὸς, οὕτω κυρίαν καὶ *προσκυνητὴν* διαγράφων τὴν ἑρμηνείαν. Ὅτι δὲ καὶ τὸν τοὺς Ο θεοπνεύστους ἀνακηρύξαντα Φίλωνα πολλάκις εἶχεν ὁ Ἰώσηπος ἀναγνοὺς, παντὶ πρόδηλον. Ὁ δ᾽ οὖν Ὅδιος ὀρθῶς καὶ δικαίως ἐξήλεγξε τοὺς φαντασθέντας *τὸ περὶ οἰκίσκων* χωρίον ἐκ τῶν Ἀριστέου καὶ Ἰωσήπου χειρογράφων ἐκπεπτωκὸς, καὶ τὰ τοῦ Ἰουστίνου παρερμηνεύσαντας (βλ. σελ. 345). *Τὸ σαφὲς τῆς ἱστορίας* οὐδεμίαν ἔχει χρείαν τοιούτων εὑρεσιλογιῶν. Πλὴν ἀλλ᾽ ἐν τούτοις ἐκεῖνο φαίνεται θαυμαστόν. Πῶς ὁ κριτικὸς, ἐν ᾧ ἔβλεπεν ἐναργῶς τὸν μακάριον Ἰουστῖνον ἀναγνόντα τὰ τοῦ Ἰωσήπου καὶ τοῦ Φίλωνος, οὐδόλως ἠπόρησε καθ᾽ ἑαυτὸν λέγων: Διὰ τί λοιπὸν ὁ Ἰουστῖνος ἐπίστευσε τοῖς αὐτῷ κατὰ τὴν Φάρον ἐπιδείξασι τὰ ἴχνη τῶν οἰκίσκων, ἀφ᾽ οὗ μήτε παρὰ Φίλωνι μήτε παρ᾽ Ἰωσήπῳ ἀνέγνω τι τοιοῦτο; Οὕτως ἆρα κουφόνους τις ὑπῆρχε, φήμας ἀδεσπότους νεωτέρων Ἰουδαίων προτιμῶν παρὰ τοὺς *ἐναντία τούτοις ἱστοροῦντας*

ἐπισημοτάτους (καὶ τούτους Ἰουδαίους) συγγραφεῖς; ἢ μήπως ὁ φιλόσοφος μάρτυς ἐκεῖνος, αὐτόπτης γενόμενος τῶν ἰχνῶν, οὐδ᾽ αὐτὴν τὴν Ἰωσήπου καὶ Φίλωνος φαινομένην σιωπὴν εὕρισκεν ἀντικειμένην πρὸς τὴν περὶ τῶν οἰκίσκων παράδοσιν; (ἴσως δὲ ταύτης καὶ αὐτὸς, ὡς Παλαιστινὸς καὶ Σαμαρείτης, ὑπῆρχε καὶ πρότερον οὐκ ἀνήκουστος παντελῶς). Εἰ γὰρ τούτους τοὺς συγγραφεῖς ἔκρινεν ἱστοροῦντας τἀναντία (καθὼς οἱ περὶ τὸν Ὅδιον ἀνεκάλυψαν), ἢ τοὺς *ἐρειπιαστὰς* ἐξήλεγχε διὰ τούτων τῶν ἱστορικῶν, ἢ, τούτους ὀνομάσας, ἔψεγεν ἂν συγχρόνως καὶ τὴν πρὸς τὰ σαφῶς παραδεδομένα ἀντιφατικὴν αὐτῶν σιωπὴν, ἢ γοῦν καὶ ἁπλῶς ἂν ἐπεμνήσθη τῆς τοιαύτης σιωπῆς (καθὼς καὶ ὁ πολλὰ κατεσπευσμένως γράψας Ἱερώνυμος!). Ἀλλ᾽ ὁ Ἀποστολικὸς ἀνὴρ καὶ τὰ περὶ τῶν οἰκίσκων θαῤῥούντως συνῆψε, διηγούμενος ἐπιτροχάδην τὴν ἱστορίαν τῆς ἑρμηνείας, καὶ ταύτης πάλιν μάρτυρας ἐκάλεσεν ἀνενδοιάστως τοὺς δισσοὺς Ἰουδαίους συγγραφεῖς, ὡς ἐν πᾶσι δηλαδὴ κἀκείνους συμφωνοῦντας (α). Ἀλλ᾽ ὅμως καὶ οὕτως οἱ περὶ τὸν Ὅδιον, μηδὲν μελλήσαντες, κατεδίκασαν τὸν μάρτυρα καὶ φιλόσοφον ὡς ἄμοιρον κρίσεως καὶ σφόδρα ταχυπειθῆ! Οὐδέπω γὰρ ἔλαμπε κατ᾽ ἐκείνους τοὺς χρόνους ὁ τῆς καινοτόμου καὶ πυῤῥωνιζούσης κριτικῆς ἀρίζηλος ἀστὴρ, ὅστις ἤδη τοὺς νεωτεριστὰς καταυγάζει πρὸς τὸ διερμηνεύειν τὰ τοῦ

(α) Ὅτα ὁ μὲν Ἀριστέας, καὶ Ἰώσηπος ὁ τούτου συνοψιστὴς, ἔγραψαν ἐπιτομώτερον καὶ συνεπτυγμένως, ὁ δὲ Φίλων μᾶλλον ἀνεπτυγμένως καὶ ἐκφαντορικῶς (καὶ μάλιστα τὸ περὶ τῆς ἐπιπνοίας τῶν ἑρμηνέων), ταῦτα καὶ ὁ Ἰουστῖνος ὁ μάρτυς ἔγραψεν ἀκριβῶς καὶ ἁπλοϊκῶς. Οἰκίσκους ὠνόμασε τὸ παρ᾽ Ἰωσήπῳ καὶ Ἀριστέᾳ Συνέδριον, καὶ εἶδεν αὐτοψεὶ τὰ ἴχνη τούτων «ἔνθα, λέγει, τὴν Φάρον ᾠκοδομῆσθαι συμβαίνει» (ἐκεῖ καὶ ὁ κατ᾽ Ἀριστέαν «μέγας οἶκος ἦν κατεσκευασμένος»). Ἕκαστον ἰδίᾳ καὶ κατὰ μόνας ἑρμηνεῦσαι τοὺς πρεσβυτέρους εἶπεν ὁ μάρτυς, «καὶ τῆς πρὸς ἀλλήλους εἰργομένους ὁμιλίας» Οὕτω καὶ Φίλων αὐτοὺς ἔγραψε «καθημένους ἐν ἀποκρύφῳ, καὶ μόνῃ τῇ ψυχῇ πρὸς μόνους ὁμιλοῦντας τοὺς νόμους». Τελευταῖον· ὡς ὁ Ἀριστέας, ὁσίως, καὶ ὁ Φίλων προφητικῶς, οὕτω καὶ Ἰουστῖνος «θείᾳ δυνάμει» γενέσθαι τὴν ἑρμηνείαν ἱστόρησε, διὰ τὴν συμφωνίαν τῶν ἑρμηνευτῶν, ταῖς αὐταῖς λέξεσι χρησαμένων.

Ἰωσήπου καὶ τοῦ Φίλωνος πολὺ μᾶλλον ὀρθότερον, ἢ ὡς ἐνόησαν οἱ Ἰουστῖνοι καὶ οἱ Κλήμεντες μετὰ τῶν ἄλλων τῶν γηραιῶν ἐκείνων. Ἡμεῖς δ' οὖν ὅμως ἐμμένομεν εἰς τῶν πάλαι πατέρων ἡμῶν τὴν ἄπτωτον μαρτυρίαν, θεωροῦντες ὅτι κἀκεῖνοι τὰ τῶν Ἰουδαίων ἱστορικῶν οὕτως ἐξελάμβανον, ὥστε μηδόλως αὐτὰ νομίζειν ἐναντία πρὸς τὴν κοινῶς παραδεδεγμένην ἱστορίαν τῆς ἑρμηνείας.

§. ιθ. Ε) Ὁ δὲ πατὴρ τῆς Ἐκκλησιαστικῆς ἱστορίας Εὐσέβιος πάντῃ περιττῶς, ἢ μᾶλλον ἐπὶ βλάβῃ τοῦ καλοῦντος, εἰσάγεται μάρτυς τῆς ἀκεραιότητος τῶν Ἀριστέου χειρογράφων. Οὐδὲν ὁ Ἀριστέας ἔγραψεν ὀνομαστὶ περὶ τῶν οβ, οἰκίσκων, καὶ τοῦτο συνομολογοῦμεν Ὀδίῳ προθύμως. Ὁμολογήσει δὲ πάντως καὶ οὗτος, ὅτι ὁ Εὐσέβιος (ἐν Η, τῆς Προπαρασκευῆς) ἐξέφρασε τὴν Ἀριστέου ἱστορίαν συνοπτικώτατα, πάμπολλα μεταξὺ παραλιπὼν καὶ ὑπερπηδήσας. Ὥστε ἡ τούτου περὶ τῶν οἰκίσκων σιωπὴ οὐδεμίαν ἀπόδειξιν παρέχει βεβαίαν, ὅτι οὐδ' αὐτὸς ἀνέγνω παρὰ τῷ Ἀριστέᾳ τὸ ἱστόρημα. Ὡς γὰρ τἄλλα παρέλιπε, παρομοίως καὶ τοῦτο διὰ τὴν συντομίαν ἠδύνατο παραδραμεῖν. Οὐδ' εἶχεν ἰδίαν χρείαν τῆς τοῦ θαύματος διηγήσεως, ἅτε δὴ καὶ τότε κοινῶς ὁμολογουμένου· διηγήθησαν δὲ τοῦτο πρὸ αὐτοῦ καὶ Ἰουστῖνος καὶ Εἰρηναῖος καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς, οὓς ἐκεῖνος ἐτίμα πολὺ πλέον, ἢ ὅσον οἱ καθ' ἡμᾶς νεωτερισταί. Ὅτι δὲ πάλιν αὐτὸς οὗτος ὁ Εὐσέβιος καὶ ῥητῶς μετὰ τοῦ Εἰρηναίου συνεξιστόρησε τοὺς Ο, κεχωρισμένους ἀπ' ἀλλήλων ἑρμηνεῦσαι τὴν Γραφὴν, εἴπομεν ἐν τοῖς προλαβοῦσιν (§. α. σημ.). Ὁ δὲ μακάριος Ἱερώνυμος, ὁ λαμπρὸς κατὰ τῶν αἱρέσεων ὑπὲρ τῆς εὐσεβείας ἀγωνιστὴς, καὶ ἐπί τε πολυμαθείᾳ καὶ ἤθους ἀρετῇ καὶ ἁγιότητι πανευκλεὴς καὶ παμμακάριστος τῆς Ἐκκλησίας διδάσκαλος, ὅσον εἰς τὸ περὶ τῆς ἑρμηνείας τῶν ἑβραϊκῶν Γραφῶν ἐσφάλη πολλάκις (ἀνθρώπινα παθὼν), καὶ μάλιστα ὁσάκις ἐφιλοτιμεῖτο συστῆσαι ἣν αὐτὸς (ὡς μὴ ὤφειλεν) ἐπεχείρησεν ἐκ τοῦ Ἑβραϊκοῦ λατινικὴν ἑρμηνείαν, ὡς δῆθεν τελειοτέραν τῆς Ἑλληνίδος τῶν Ο!

Διὰ ταῦτα καὶ πρὸς ταύτην ἄλλοτε μὲν σώζει τὸ προσῆκον σέβας, αἰδούμενος τὴν τροφὸν, ἄλλοτε δὲ πάλιν ἀστατῶν κατεξανίσταται· καὶ νῦν μὲν ὁμολογεῖ καὶ ἀνακηρύττει τὴν θείαν τῶν ἑρμηνέων ἐπίπνοιαν, νῦν δὲ πάλιν ἀρνεῖται, καὶ τὰ περὶ τῶν οἰκίσκων διαχλευάζει. Καὶ φαίνεται μὲν σαφῶς οὐδ᾽ αὐτὸς ἀναγνοὺς οὔτε παρ᾽ Ἰωσήπῳ, οὔτε παρὰ τῷ Ἀριστέᾳ τὴν ἐξιςόρησιν τῶν οἰκίσκων, καὶ κατὰ τοῦτο συμμαρτυρεῖ τῷ κριτικῷ καὶ τῇ ἀληθείᾳ. Πλὴν ἀλλ᾽ ἑτέρωθεν ἀποδείκνυται πολὺ μὲν Ὀδίου τελειότερον, ἀλλ᾽ ὅμως οὐδ᾽ αὐτὸς ἀκριβῶς ἐννοήσας οὔτε τὸν Ἰώσηπον οὔτε τὸν Ἀριστέαν. Αὐτίκα· οὗτοι λέγουσιν ὅτι Δημήτριος ἐποίησε *συνέδριον* (εἰς τὸν κατεσκευασμένον οἶκον), κἀκεῖ *τοὺς ἑρμηνεῖς ἤγαγεν*, οὗτοι δὲ μετέφραζον « *σύμφωνα* (τὰ ἑρμηνευόμενα) *ποιοῦντες πρὸς ἑαυτοὺς ταῖς ἀντιβολαῖς* ». Ὁ δὲ Ἱερώνυμος τί; « *Εἰς μίαν* (λέγει) *βασιλικὴν* (εἴτε τὸ *Συνέδριον*, εἴτε *τὸν οἶκον* ὅλον οὕτως ἐκλαβὼν, ὡς ἂν εἴπερ ἦν μονοδώματος καὶ μονόῤῥυθμος) (α) « *εἰς μίαν βασιλικὴν* (οἱ ἑρμηνεῖς) *συνεληλυθότες ἀντέβαλλον, οὐ προεφήτευον* » ! Εἰ δὲ προσεῖχεν ὁ Δαλμάτης πατὴρ ἀτενέστερον οὐ μόνον τοῖς τοῦ Φίλωνος λόγοις, ἀλλὰ καὶ τοῖς τῶν παλαιτέρων καὶ γερασμιωτέρων αὐτοῦ πατέρων καὶ διδασκάλων, καὶ αὐτοῦ δὲ μάλιστα τοῦ Εὐσεβίου, (ὃν μετέγραφεν ἐν πολλοῖς, ἄλλοτε δὲ πάλιν ἐξελατίνιζε, καίτοι μηδὲ τοῦτο ἔν τισιν ἀκριβῶς (β) ), οὐκ ἂν καταγέλα τὴν τῶν οἰκί-

---

(α) Β α σ ι λ ι κ ὴ (ἐλλειπτ. οἰκία) παρὰ Ῥωμαίοις, (ἐκ τῆς παρ᾽ Ἀθηναίοις β α σ ι λ ε ί ο υ σ τ ο ᾶ ς. Παυσαν. Α, 14) οἰκοδόμημα δημόσιον παρὰ τὴν ἀγορὰν, εὐρύχωρον καὶ μεγαλοπρεπὲς (οἷον αἴθουσα μεγάλη, ἢ σ ά λ α), ἐν ᾧ καὶ δίκας ἐδίκαζον αἱ ἀρχαί. Τοιαύτην ἔκτισε πρῶτος ὁ Κάτων τὴν Πορκίαν, καὶ Ἰούλιος ὁ Καῖσαρ τὴν Ἰουλίαν, κτλ. Καὶ Δομητιανὸς ὁ Αὐτοκράτωρ εἶχεν ἐν τῇ ἑαυτοῦ οἰκίᾳ β α σ ι λ ι κ ὴ ν (Πλουτ. Ποπλικ. §. ιε. πρβλ. καὶ Γάλβα §. κϛ). Ὕστερον παρὰ τοῖς Χριστιανοῖς Ῥωμαίοις β α σ ι λ ι κ α ὶ ὠνομάσθησαν οἱ μεγαλοπρεπεῖς ναοί· (ἴσως διότι μετεποιήθησαν ἐκ τῶν δημοσίων Βασιλικῶν, ἢ καὶ ὡς τῷ μόνῳ αἰωνίῳ βασιλεῖ Θεῷ καθιερωμένοι). Ὁ δὲ θεῖος Ἱερώνυμος (Epist. 3. ad Heliodor I. 1. p. 29) Basilicas εἶπε καὶ τὰ παρεκκλήσια· ἐνταῦθα δὲ τὴν β α σ ι λ ι κ ὴ ν ἐξέλαβεν (ὡς ἔοικε) ἐπὶ τῆς πρώτης σημασίας.

(β) Οὕτως ἐν τῇ μεταφράσει τῶν Εὐσεβίου Χρονικῶν ἐσφάλη περὶ πολλά. Οἷον·

σκων διαγραφὴν, ἀδέσποτον καλῶν ψευδολογίας θρύλλημα· οὐδ' ἂν ὅλως ἀγνοεῖν προσεποιεῖτο, τίς ὁ τῶν οἰκίσκων (ὡς λέγει) καθιδρυτὴς, αἰδούμενος μὲν ὀνομάσαι, αἰνιττόμενος δὲ ὅμως τοὺς περὶ τὸν θεῖον Ἰουστῖνον! Καὶ δικαίως ἄρα ὁ σοφὸς Ῥεϋχλῖνος (ὁ καὶ Καπνίων) ἐμέμψατο τὴν περὶ τούτου γνώμην τοῦ Πατρὸς, λέγων· « Οὐκ ἂν ὑπέλαβεν Ἱερώνυμος μυθώδεις τοὺς οἰκίσκους ἐκείνους, εἴπερ ἀνεγίνωσκεν ἀκριβέστερον τὸν Ἰουστίνου Παραινετικόν » (α). Κατῴκει δ' ἂν, εἴπερ, καὶ αὐτὸς ἄσμενος εἰς τῆς

τὸ Παρὰ Διὸς ἀναγνοὺς Παράδιος, ἐξέλαβεν ὡς ὄνομα κύριον ἱστορικοῦ· τὸ ἀποδασμὸν, ὡς κύριον ὄνομα πόλεως ἰουδαϊκῆς· τὸ στρατεύειν ἡρμήνευσε dimicare (διαμάχεσθαι), ὡς καὶ τὴν στρατηγίαν ὑπέλαβε στρατιάν· τὸ ἕως τούτου εἶπε de hoc (περὶ τούτου)· τὸ κατὰ τούτους (ἐπὶ χρόνου), Secundum quorundam opinionem (καθώς τισι δοκεῖ), τὸ ποικιλότεχνος (ὁ πανοῦργος), homo artis plumariae, (ποικιλτὴς, Βυζ. πολυμιτάριος, πλουμιστής)· τὸ « Εὐαγόρας Κύπρου ἐξέστη » (ἀπεχώρησε), in furorem versus est (ἐξεμάνη)· τὸ Διὸς ξενίου, Jovis peregrini (ξένου)· τὴν Πυθὼ Δελφῶν μητρόπολιν, Pythium (Πύθιον, χωρίον Μακεδονικὸν)· τὸ βασιλειᾶν, regiam indolem habere (φύσιν ἔχειν βασιλικήν)· τὸν Πολέμαρχον, (ἀξίωμα τῶν Ἀθηνῶν), hominen fortem (ἄνθρωπον ἀνδρεῖον)· τὸ, Φαινίππου ἄρχοντος (Ἀθηνῶν), regnante (βασιλεύοντος)· τὸ ἐποπτεύων Ἐλευσίνια (ἐπὶ τῶν μυουμένων), invisens Eleusinam (ἐφορῶν τὴν Ἐλευσῖνα)· τὸ « συνέδραμον οἱ χρόνοι κατὰ τὸν προκείμενον κανόνα (τὸν χρονολογικόν) », ad unum tempus uterque conveniret (εἰς ἕνα χρόνον ἑκάτερος συνῆλθε) κτλ. — Ταῦτα οὐχ ἡμεῖς, Σκαλίγηρος παρετήρησε, προσθεὶς καὶ ἄλλα πολλὰ (ἐν Prolegom. in Thesaur. Tempor.). Ἐκεῖνα δὲ μάλιστα ἡμεῖς ἀγαπῶμεν καὶ φρονοῦμεν, (ὧν τινα καὶ Σκαλίγηρος αὐτὸς προσέθηκεν ἐφεξῆς)· ὅτι ἀντὶ τῶν ὀλίγων τοῦ πατρὸς Ἱερωνύμου σφαλμάτων, μυρία κατορθώματα ἔχομεν ἀντιτάξαι· ἐν ἐκείνοις, ἄνθρωπον ὁρῶμεν τὸν Ἱερώνυμον· ἐν τούτοις, διδάσκαλον πολλῶν ἄλλων σοφώτερον, καὶ θεόφρονα φωστῆρα τῆς Ἐκκλησίας. Καὶ ὅταν οἱ νεωτερισταὶ προβάλλωσι τὰ σφάλματα τοῦ πατρὸς ὡς ἀρετὰς, ἐπὶ συστάσει τῆς ἰδίας αὐτῶν πλάνης, αὐτοὶ ταῦτα κατεξελέγχουσιν, οὐχ ἡμεῖς· οἵτινες μᾶλλον ὑπὲρ τοῦ Πατρὸς ἀπολογούμεθα, διακρίνοντες τοὺς παρὰ τῶν ἐναντίων ψευδεῖς αὐτοῦ ἐπαίνους (δι' ὧν οἱ ἁπλούστεροι ἀπατῶνται), ἀπὸ τῶν ἀληθινῶν αὐτοῦ ἀρετῶν « ὧν ὁ ἔπαινος πολὺς ἐν τῇ Ἐκκλησίᾳ ».

(α) Reuchlin De arte cabalistica. libr. 3. παρ' αὐτῷ Ὀδίῳ σελ. 140. ὅθεν καὶ ὁ σοφὸς Λύμπερος ἐθαύμασε τὴν ἀτέραμνον τοῦ Ἱερωνύμου ψῆφον, δι' ἧς ὁ Πατὴρ ἐξεσύριξε τὴν περὶ τῶν οἰκίσκων μαρτυρίαν τοῦ φιλοσόφου μάρτυρος· « Mirum sane quam dure ab Hieronymo illud (de 72 cellulis) exsibiletur explodatur que » etc. Lumper, Histor. Theologica etc. vol. 2. p. 133.

Φάρου τοὺς οἰκίσκους μετὰ τοῦ φιλοσόφου καὶ μάρτυρος Ἰουστίνου καὶ τοῦ Κλήμεντος καὶ τοῦ Εἰρηναίου καὶ τῶν ἄλλων αὐτοῦ καθηγεμόνων καὶ ἀρχηγῶν, ἔνδοξον καὶ καλὴν συνοικίαν συνοικῶν « *ἐν στέγαις ἀληθείας* »! Ἀλλὰ περὶ τοῦ Ἱερωνύμου λέγομεν καὶ ἀλλαχοῦ, Ὀδίου καὶ ἄκοντας ἡμᾶς ἀναγκάζοντος. Ἐνταῦθα δὲ τοσοῦτον μόνον ὑποσυνάπτομεν, ὅτι λίαν ἀγνώμονες οὐδὲ πάνυ πιστοὶ φίλοι τοῦ τρισολβίου Πατρὸς δοκοῦσιν οἱ νεωτερισταί· μόνας γὰρ αὐτοῦ τὰς παραδόξους γνώμας ἐκλέγοντες, καὶ σοφώτατον αὐτὸν καὶ θεῖον δι' αὐτὰς ἐπευφημοῦντες, ἔπειτα παριδόντες αὐτὸν, ἐξαίφνης ἀποπηδῶσι, καὶ διαχλευάζουσι συνάμα μετὰ τῶν ἄλλων ἁγίων Πατέρων, ὅταν τούτοις πάλιν καὶ αὐτὸς πολλάκις ὁ μακάριος συμφωνῇ, ἀποδεχόμενος καὶ τὸν ἀριθμὸν καὶ τὴν θείαν ἐπίπνοιαν τῶν Ο, καὶ τὴν Ἀριστέου γνησιότητα, καὶ τὴν ὅλην ἱστορίαν τῆς ἑρμηνείας. Ὁ δὲ, τέλος, ἱερὸς Αὐγουστῖνος οὐχ ἅπαξ, οὐδ' ἀμφιβόλως, ἀλλὰ πολλάκις (ὡς ὀψόμεθα ἐν τοῖς ἐφεξῆς) καὶ στεντορείως μετὰ πάσης πληροφορίας ἀνεκήρυξε τὴν ἐκ θείας ἐπιπνοίας ἑρμηνείαν τῶν Ο, παρὰ τῶν θείων Πατέρων παραλαβών. Ὥστε καὶ ἐν οἷς ἐνίοτε ἐκφράζεται διὰ τοῦ *λέγεται*, καὶ *φέρεται* κοινῶς, ἢ *παραδέδοται*, καὶ τότε πάντως ὁ Πατὴρ οὐχὶ φήμην ἀγοραίαν καὶ ὀχλικὴν ἐννοεῖ, ἀλλὰ παράδοσιν μετὰ λόγου κοινῶς ὁμολογουμένην, καὶ « *παρὰ πολλῶν* (ὡς εἶπεν) *ἀξιοπίστων ἀνδρῶν κεκηρυγμένην, καὶ διὰ πασῶν κεκρατηκυῖαν τῶν εἰδημονεστέρων Ἐκκλησιῶν* (βλ. ὄπισθ. σελ. 348). Ἀλλὰ καὶ αὐτὸν τὸν Ἱερώνυμον ἐπέπληξεν, ἀποτρέπων τῆς, ἣν εἶχεν ἐπιχειρήσας, ἰδίας ἐκ τοῦ Ἑβραϊκοῦ μεταφράσεως. Ἐπειδὴ δὲ τοῦτον ἔβλεπε τραχυνόμενον, καὶ λίαν δυσφόρως μεμψιμοιροῦντα (ὡς φαίνεται σαφῶς ἐν ταῖς ἐπιστολαῖς), ἐξεφράσθη καί πως ὑπτιώτερον περὶ τῆς *ἐκ πνεύματος* συμφωνίας τῶν ἑρμηνέων, συγκαταβαίνων καὶ ἄκων πρὸς ὀλίγον, καὶ οἰκονομῶν τοῦ γηραιοῦ φίλου τὴν ἀσθένειαν. Ταῦτα νομίζομεν περὶ τοῦ ἱεροῦ Αὐγουστίνου, ἵνα μὴ μάχηται πρὸς ἑαυτὸν ὁ Πατὴρ ἀντιφάσκων, ὁποῖον αὐτὸν Ὄδιος ἡμῖν διαγράφει.

§. κ. Ϛ) Ἐρχόμεθα πρὸς τὰ τοῦ ἱεροῦ Ἐπιφανίου. Μόνος οὗτος ἱστόρησέ τινα διάφορα παρὰ τὸν Ἀριστέαν καὶ τὸν Ἰουστῖνον καὶ τοὺς ἄλλους Πατέρας. Ἀλλὰ προείπομεν (Βιβλ. Α. κεφ. γ. §. ε. σελ. 46), ὅτι οὔτε τὸν Ἀριστέαν εἶχε μετὰ χεῖρας ὁ Ἐπιφάνιος, καὶ συγγράφων ὅσα συνέγραψεν ἀπὸ μνήμης, παρενέμιξε καί τινας φήμας ἀδεσπότους, περὶ ὧν οὐδὲν ἱστόρησαν οἱ ἀρχαιότεροι (α). Τούτων μία τις φαίνεται καὶ ἡ κατὰ συζυγίας τῶν ἑρμηνέων διαίρεσις εἰς οἰκίσκους λϚ· καὶ ταύτην οἱ νεωτερικοὶ περισαλπίζουσιν ὡς λαμπρὸν ἐπιχείρημα, πρὸς ἔλεγχον τῆς περὶ τὴν ἑρμηνείαν ψευδομένης δῆθεν ἱστορίας. Ἀλλὰ πρῶτον μὲν, ὁ ἱερὸς Ἐπιφάνιος, εἴ γε καὶ κατά τινας μικρὰς περιστάσεις διαφωνεῖ πρὸς τοὺς ἀρχαιοτέρους Πατέρας, ἀλλ᾿ ὅμως συμφωνεῖ λίαν ἀκριβῶς κατὰ πάντα τὰ κύρια καὶ συστατικὰ τῆς ἱστορίας κεφάλαια· καὶ τὸ κεχωρισμένον τῆς ἑρμηνείας, καὶ τὴν θείαν τῶν ἑρμηνέων ἐπίπνοιαν λαμπρῶς ὁμολογεῖ. Εἰ δὲ καὶ διά τινας ὀλίγας μεταξὺ τῶν ἱστορικῶν ἀείποτε σχεδὸν παρεμπιπτούσας διαφορὰς ἀποβάλλομεν ὡς ψευδὲς τὸ κοινῶς παρ᾿ αὐτοῖς ἱστορούμενον πρᾶγμα, τότε οὐκ ἂν φθάνοιμεν ἀποῤῥίπτοντες εἰς καιάδαν ὅλους τοὺς ἐνδόξους τῆς ἀρχαιότητος συγγραφεῖς. Ἔπειτα, καὶ αὐτὴ τοῦ ἀριθμοῦ τῶν δωματίων ἡ διαφορὰ προῆλθεν, ἴσως, ὡς ἐκ τῆς τοποθεσίας αὐτῶν καὶ κατασκευῆς· ἴσως ἦσαν δίστεγα τὰ οβ, δωμάτια, καθὼς τὸ τοῦ Λυσίου, « Οἰκίδιον διπλοῦν, ἴσα ἔχον τὰ ἄνω τοῖς κάτω » (β)· ἢ ἦσαν διῃρημένα ἐξ ἡμισείας ἔνθεν καὶ ἔνθεν, μέσην ἔχοντα τὴν αἴθουσαν (οἷα καὶ τὰ τοῦ Κόλχου Αἰήτου. βλ. σελ. 374)· ἢ καὶ ἐπὶ τῆς αὐτῆς σειρᾶς κατὰ συζυγίαν καὶ συστοιχίαν ἀντίνωτα συνεστηκότα. Χρόνῳ δὲ καταπιπτόντων (καὶ μάλιστα κατὰ τὴν ἐπὶ Καίσαρος τῆς Φάρου καταδρομὴν), μέχρι μὲν Ἰουστίνου διεκρίνοντο τὰ ἴχνη πάντων, καὶ ἡ στοματικὴ παράδοσις διέτρεχεν ἀνόθευτος. Μετέπειτα δὲ, καὶ τῶν ἰχνῶν αὐτῶν ἐξαλειφομένων, ἠλλοιοῦτο συνάμα κατὰ τόπους καὶ ἡ φήμη, συστέλλουσα τὰ οβ, εἰς

(α) Βλ. καὶ Bellarmin. de Verb. Dei, II, 10. — (β) Λυσίας κατὰ Ἐρατοσθ.

τὰ ἡμίση, τὰ μόνον ἴσως ἐκ τῶν λειψάνων ἐν τῇ Φάρῳ τότε διακρινόμενα· ταύτην δὲ τὴν ἀκοὴν παρέλαβε καὶ ὁ 40 καὶ 200 ὅλους ἐνιαυτοὺς μετὰ τὸν Ἰουστῖνον ἀκμάσας Ἐπιφάνιος. Καὶ εἶχε μὲν ὁ μακάριος καὶ ἐξ αὐτῶν τῶν Ἰουστίνου συγγραφῶν, καὶ τῶν Εἰρηναίου καὶ τοῦ Κλήμεντος, μαθεῖν τὴν ἀκρίβειαν τοῦ πράγματος (καθὼς αὐτὴν ἠπίστατο καὶ ὁ σύγχρονος αὐτῷ Κύριλλος ὁ Ἱεροσολύμων), ἀλλ᾽ ὁ θεῖος τῆς Κύπρου ποιμὴν ἀπραγματεύτως καὶ ἁπλοϊκώτερον ἔγραψεν, ὡς ἤκουσε περιᾳδόμενα τὰ περὶ τῶν οἰκίσκων, μηδὲν περιεργασθεὶς εἰς ἐπουσιώδη πράγματα, καὶ μηδόλως παραβλάπτοντα τὸ κῦρος τῆς ἱστορίας (μὴ γὰρ ὑπωπτεύετο τοὺς ἐσομένους πικροὺς αὐτῆς συκοφάντας;). Πρὸς τὰ λϛ, οἰκήματα συνεμετρήθησαν ἐξ ἀνάγκης καὶ τὰ λϛ, ἰσότυπα τῆς ἑρμηνείας, καὶ τὰ λϛ, σκαφίδια, καὶ οἱ λϛ, πρὸς ὕπνον κοιτῶνες. Καὶ ἴσως ὑπῆρχον καὶ οὗτοι καὶ τὰ σκάφη τῷ ὄντι λϛ. Μικροὶ παρὰ τοῖς παλαιοῖς ἐκτίζοντο συνηθέστερον οἱ κοιτῶνες· μικραὶ δὲ καὶ τῶν Αἰγυπτίων αἱ βάριδες ἐντὸς τοῦ λιμένος, ὅσαι διεπόρθμευον τοὺς πολίτας εἰς τὰ πλησιόχωρα· καὶ ξένον οὐδὲν, εἰ καὶ σκάφη καὶ κοιτῶνας εἰσέβαινον οἱ ἑρμηνεῖς ἀνὰ δύω, μᾶλλον πρὸς ἀνάπαυσιν εὐρύχωρον, ἢ πρὸς ἀποκλεισμὸν τῆς πρὸς ἀλλήλους κοινῆς ὁμιλίας. Ἀλλ᾽ οὐδὲ χρεία τις ὑπῆρχε τοῦ περὶ τὴν ἄλλην δίαιταν παντελοῦς αὐτῶν διαχωρισμοῦ. Ἀφ᾽ οὗ τὴν πρώτην ἡμέραν ὑπὸ τοῦ Δημητρίου διαιρεθέντες εἰς τοὺς οἰκίσκους, μετέφρασαν μέχρι τῆς ἐννάτης ὥρας ἕκαστος ἰδίως τὸ κατ᾽ αὐτὸν, καὶ τὰς πρώτας παρ᾽ αὐτῶν ἑρμηνείας ἐκείνας παρέλαβεν ἀμέσως ὁ Δημήτριος εἰς ἀντιγραφὴν, καὶ τὰς ἐφεξῆς δὲ καθ᾽ ἡμέραν ἀπαρτιζομένας παρελάμβανεν ὡσαύτως, τὰ δὲ βιβλία τοῦ ἑβραϊκοῦ πρωτοτύπου κατὰ τὴν ἐκείνων ἀπουσίαν παρέμενον (ὡς εἰκὸς) εἰς ἑνὸς ἑκάστου τὸν οἰκίσκον, ὅπου καθ᾽ ἡμέραν ἕκαστος ἐφιλοπόνει τὴν ἀνήκουσαν ἑρμηνείαν, οὐδεμία πλέον ὑπελείπετο ὑποψία, μήπως ἐκοινοποίουν πρὸς ἀλλήλους τὰ καθημερινὰ τῆς ἑρμηνείας τεμάχια, σύμφωνα προπαρασκευάζοντες. Ὅθεν καὶ τὸ θαῦμα τῆς ἐπὶ τέλους εὑρεθείσης πασῶν τῶν ἑρμηνειῶν κατὰ θείαν ἔμ-

πνευσιν συμφωνίας ἀπέβαινεν ὅλως ἀναμφισβήτητον. Ἡ δὲ φήμη τὸ παράδοξον ἐκπλαγεῖσα, προσέθηκεν ὕστερον ὑπερεκπερισσοῦ καὶ περὶ τὴν ἄλλην αὐτῶν δίαιταν τὸν μόνον κατὰ τὸν καιρὸν τῆς ἑρμηνείας ἐπικρατοῦντα χωρισμόν. Τὰ δὲ σημεῖα τῶν ἀρχαίων κριτικῶν, τοὺς *λημνίσκους* καὶ τοὺς *ὑπολημνίσκους*, ὧν Ἐπιφάνιος ἐξ Ὠριγένους ἐμνημόνευσε, φαίνεται πιθανώτερον ὅτι τούτοις Ὠριγένης ἐχρήσατο πρὸς δεῖξιν τῆς συμφωνίας τεσσάρων τινῶν, ἢ δύω τῶν παρ᾿ αὐτῷ παραβαλλομένων ἀντιγράφων μᾶλλον, ἢ πρὸς δήλωσιν τῶν *δύω ζυγῶν*, ἢ τῆς *μιᾶς τῶν ἑρμηνευτῶν* (α). Οὔπω γὰρ ὑπῆρχε κατὰ τοὺς Ὠριγένους χρόνους ἡ φήμη τῆς τοιαύτης τῶν ἑρμηνέων *συζυγίας*, ὡς εἰκάζεται σαφῶς ἐξ ὧν ἔγραψεν ὁ διδάσκαλος Ὠριγένους, Κλήμης ὁ Στρωματεὺς, Ἰουστίνῳ συμφωνῶν. Τελευταῖον· περὶ τῆς φαινομένης τοῦ ἱεροῦ Ἐπιφανίου διαφωνίας ὑπομιμνήσκομεν τοὺς περὶ τὸν Ὅδιον τὴν ἐν τοῖς τοιούτοις σοφὴν τοῦ Στράβωνος κρίσιν· ὅτι, « Εἰ μὴ συμφωνοῦσιν οἱ τὴν ἱστορίαν τῶν τόπων παραδιδόντες, οὐκ εὐθὺς ἐκβάλλειν δεῖ τὴν σύμπασαν ἱστορίαν· ἀλλ᾿ ἔσθ᾿ ὅτε καὶ πιστοῦσθαι τὸ καθόλου μᾶλλόν ἐστι. — Καὶ τὸ πλῆθος τῶν ταῦτα θρυλλούντων, καὶ τὸ τῆς κατὰ τόπους ἐπιχωριαζούσης φήμης διδάσκειν δύναται, διότι ταῦτα οὐ ποιητῶν πλάσματά ἐστιν, οὐδὲ συγγραφέων, ἀλλὰ γεγενημένων ἴχνη καὶ προσώπων καὶ πράξεων » (β).

§. κα. Ζ) Τὰ δὲ τοῦ Φίλωνος (ὄπισθ. σελ. 354), πῶς ἆρα καὶ ἐξηγοῦνται; παραδοξότατα! Οὔτε οβ, οὔτε ὅλως ὠνόμασεν *οἰκίσκους* ὁ Φίλων, ἀλλ᾿ οὐδ᾿ *οἶκον*, οὐδὲ *συνέδριον* (ὡς ὁ Ἀριστέας)· ἁπλῶς δὲ καὶ ὁλοσχερῶς εἶπε *τόπον*, ὡς διαλεγόμενος περὶ χωρίου καὶ ἀπὸ τῆς Ἀριστέου ἱστορίας, καὶ ἐκ τῆς πανδήμου φήμης, καὶ ἐξ αὐτῆς τῆς ἐπετείου ἑορτῆς ἐπισήμου καὶ γνωστοῦ, καὶ μάλιστα παρὰ τοῖς συμπολίταις Ἀλεξανδρεῦσιν. Ὥστε λίαν ἀτυχὴς ἐκ προοιμίων ἀπέβη ἡ γενεθλιαλόγος μαντεία τοῦ

---

(α) Βλ. Isidor. Orig. c. XI. καὶ D. Petavij Animadvers. ad S. Epiphan vol. 2. p. 378. — (β) Στράβ. Α. 22, 23.

κριτικοῦ, διορίζουσα τὴν γέννησιν τοῦ (κατ' αὐτὸν) *μυθαρίου τῶν οἰκίσκων* ὑστερόχρονον τοῦ Φίλωνος. Πάλιν ὁ Φίλων λέγει περὶ τῶν ἑρμηνέων, ὅτι « τὰς ἱερὰς βίβλους λαβόντες ἀνέτειναν τὰς χεῖρας ἅμ' αὐταῖς εἰς τὸν οὐρανόν ». Οἱ δὲ περὶ τὸν Ὅδιον συνάγουσιν ἐκ τούτων, ὅτι καὶ πάντες ἄρα κατὰ τὸν αὐτὸν τόπον ἀθρόοι συγκαθήμενοι μεθηρμήνευον. Ἀλλὰ τὸ πρᾶγμα πᾶν τοὐναντίον συνέβη (καὶ δείξει τρανώτερον ὁ Φίλων ἐφεξῆς). Προσηύξαντο πρῶτον κοινῶς οἱ Ο, μέλλοντες ἐγχειρεῖν τῇ μεταφράσει, προσευξάμενοι δ' ἐτράπησαν ἕκαστος εἰς τὸν ἴδιον οἰκίσκον αὐτοῦ καταμόνας « *ἐνησυχάζοντες καὶ ἐνηρεμοῦντες, καὶ μόνῃ τῇ ψυχῇ πρὸς μόνους ὁμιλοῦντες τοὺς ἑρμηνευομένους νόμους* ». Οὕτω καὶ μετέπειτα καθ' ἑκάστην « *ἅμα πρωῒ ἐπιστρέφοντες πρὸς τὸν ἑαυτῶν* ΤΟΠΟΝ (ὡς εἶπε καὶ Ἀριστέας), *ὡς ἂν ηὔξαντο πρὸς Θεὸν, ἐτρέποντο πρὸς τὴν ἀνάγνωσιν καὶ τὴν ἑκάστου διασάφειαν* ». Πάλιν ὁ Φίλων ἱστορεῖ τούτους (μετὰ τὴν προσευχὴν) « *Καθίσαντας* ἐν ΑΠΟΚΡΥΦΩ, καὶ μηδενὸς παρόντος, εἰ μὴ τῶν τῆς φύσεως μερῶν, *γῆς*, *ὕδατος*, *ἀέρος*, *οὐρανοῦ* » κτλ. Πῶς ἠδύνατο λαμπρότερον (καθ' Ὅδιον εἰπεῖν) ὁ Φίλων ζωγραφῆσαι *τῶν οἰκίσκων τὸ ἀπόκρυφον*; (*θαλάμων* δηλονότι *μυχὸν*, « ὅπου *στέγαι κρύπτουσι τοὺς εἰσιόντας* », καὶ ὅπου *μηδεὶς ἄλλος παρῇν*). Πόσον δὲ ζωγραφικῶς ἐπισυνῆψε καὶ αὐτὰ τὰ κατὰ τὴν περίῤῥυτον Φάρον (ὡς καὶ πανταχοῦ τῆς ὑδρογείου σφαίρας) ἀεὶ παρόντα, καὶ τὸν ἄνθρωπον περιστοιχοῦντα, συνεκτικώτατα τέσσαρα μέρη τοῦ κόσμου, « *περὶ ὧν τῆς γενέσεως ἔμελλον οἱ ἑρμηνεῖς ἱεροφαντήσειν* »! Ὁ δὲ Ὅδιος πῶς; — Ἀποσιωπήσας *τὴν γῆν καὶ τὸ ὕδωρ*, ἐξελέξατο τῆς φράσεως (κεφαλαίοις γράμμασι γράψας) ΤΟΝ ΑΕΡΑ, ΚΑΙ ΤΟΝ ΟΥΡΑΝΟΝ, καὶ τούτους ἀμφοτέρους φέρει μάρτυρας ἐφορῶντας τοὺς ἑρμηνεῖς, συνεδριάζοντας εἰς *αἴθριον τόπον* (ὡς ἂν εἴπερ οὔτ' *ἀὴρ* ἠδύνατο παρεῖναι τούτοις πρὸς ἀναπνοὴν καὶ ἐν τοῖς οἰκίσκοις, οὔτε πάλιν οἱ οἰκίσκοι ἦσαν καθιδρυμένοι καὶ συνεστῶτες *ὑπ' οὐρανὸν*!) (α). Καὶ

(α) Ὁ Φίλων εἶπε καὶ ἀλλαχοῦ. « Καὶ συναγαγὼν ὁ Μωϋσῆς (ἐν ἀρχῇ τῆς

λοιπὸν, κατὰ τὴν Ὀδίου γνώμην, οἱ μὲν Ο γηραιοὶ, πονοῦντες περὶ τὴν ἑρμηνείαν, ἡλιάζοντο ἀπὸ πρωΐας μέχρις ὥρας θ, *ἀκτῖσι βαλλόμενοι φλεγέθοντος Φαέθοντος* »· καὶ ἄλλοτε πάλιν ἠνεμίζοντο, ῥιγοῦντες καὶ φρίσσοντες πρὸς βιαίας ἀνέμων πνοάς· καί ποτε καὶ κατεβρέχοντ᾽ ἂν, ἴσως, ἐξαίφνης ὄμβρου καταῤῥαγέντος· (οὔτε γὰρ *κυνέην ἡλιοστεγῆ* καὶ ἀλεξίβροχον διέγραψε Φίλων αὐτοὺς φοροῦντας, οὔτ᾽ ἀλεξάνεμον *σισύραν* ἐγκεκορδυλημένους). Κατὰ δὲ ταῦτα, καὶ τὸ ἐν ΑΠΟΚΡΥΦΩ τοῦ Φίλωνος ἀποβαίνει ἄρα πᾶν τοὐναντίον, *ἄκρυπτον* χωρίον, καὶ περίοπτον, καὶ ὁλοφανὲς, ὡς ἄοικον καὶ ἄστεγον! ἡ δὲ τοῦ Ἱερωνύμου *Βασιλικὴ* αὐτόπρεμνος καὶ αὐτοθέμεθλος ἠφανίσθη. Οὐκ ἤρκεσαν ταῦτα, ἀλλ᾽ ἔπρεπεν ἵνα καὶ αὐτοὶ τῆς Φαρίας ἑορτῆς οἱ πανηγυρισταὶ μαρτυρήσωσι τοὺς ἑρμηνεῖς ὑπαιθριάζοντας, καὶ αὐτὸς ὁ Φίλων τοῦτο δοξάζων ἀποδειχθῇ, διότι εἶπε περὶ τῶν ἑορταστῶν, ὅτι « *εἱστιῶντο κατακλιθέντες ἐν ὑπαίθρῳ* »! Ἀλλ᾽, ὡς ἔοικεν, ὁ κριτικὸς ἠμνημόνησεν, ὅτι πρὸ μικροῦ διὰ μακρῶν ἀπέδειξε τὴν ἐν Φάρῳ πανήγυριν μίαν τῶν ἀνέκαθεν παρ᾽ Ἀλεξανδρεῦσιν εἰθισμένων *ἐν ἀκταῖς εὐωχιῶν*, τοῦτ᾽ αὐτὸ μάλιστα τεκμήριον φέρων, τὸ τῶν πανηγυριστῶν *ἐν ταῖς ἀκταῖς ὕπαιθρον*. Ἤδη δὲ τὰς ἐσωτάτω γωνίας τῶν Φίλωνος φρενῶν ἀναδιφήσας, εὕρηκε τἀνάπαλιν, τὴν *ἐπάκτιον* τῆς Φάρου πανήγυριν διαζωγραφοῦσαν ἐκεῖνο τὸ παραιγιάλιον συνέδριον τῶν ἐναιθριαζόντων ἑρμηνευτῶν! Ἀλλ᾽ ἐὰν τοιαῦτα φαντάσματα παρερμηνειῶν ἔχωσι χώραν παρ᾽ ἀνδράσι σπουδαίοις καὶ περὶ σπουδαίων πραγματευομένοις, μᾶλλον ὁ Φίλων ἀναδείκνυται φρονῶν τοὺς πρεσβυτέρους φιλοπονήσαντας τὴν ἑρμηνείαν *ἐν οἰκίσκοις*· διότι, πρὶν ἢ μνημονεύσῃ τοὺς ἐν *ὑπαίθρῳ* κατακλιθέντας ἑορταστὰς, ὠνόμασε πρότερον ἄλλους, « *σκη-*

---

ῳδῆς τοῦ Δευτερονομίου) τὰ στοιχεῖα τοῦ παντὸς, καὶ τὰ συνεκτικώτατα τοῦ κόσμου μέρη, γ ῆ ν  κ α ὶ  ο ὐ ρ α ν ὸ ν, τὴν μὲν θνητῶν ἑστίαν, τὸν δὲ ἀθανάτων οἶκον » κτλ. (Φιλ. π. Φιλανθρωπ. Τόμ. β, σελ. 387 Mang.). Μήπως οὖν καὶ ὁ θεῖος Μωσῆς, ἐπειδὴ εἶπεν « Ἄκουε οὐρανὲ καὶ ἐνωτίζου ἡ γῆ » φαίνεται ἐκ τούτων ὅτι ἔγραφε τὴν ᾠδὴν ὕπαιθρος;

*νὰς ἐπὶ τοῦ αἰγιαλοῦ πηξαμένους* »· αἱ δὲ σκηναὶ τοὺς *οἰκίσκους* ἄρα ἐδήλουν, ἐξ ὧν « *τὸ τῆς ἑρμηνείας ἐξέλαμψεν* ». Ἀλλ᾽ ἴσως καὶ πρὸς ταῦτα χολωθεῖσα πάλιν ἡ Μοῦσα τῶν Ὀδιακῶν ἀντερεῖ τὴν ἀπὸ Σκυθῶν ῥῆσιν ἐκείνην, ἣν πρῴην ἀποτόμως ἐξετόξευσε καὶ ὀμφακηρῶς πρὸς τὸν ὀρθὰ καὶ δίκαια συλλογιζόμενον Μορῖνον, λέγουσα «*Περὶ τούτων ἡμεῖς οὐδόλως μεριμνῶμεν· αὐτὸς πάλιν ὄψεται Φίλων* » (§. ζ). Ἓν λείπεται μόνον ὑπομνῆσαι τὸν ἀναγνώστην, ὅτι ὁ Φίλων τὴν μὲν ἐκ θείας ἐπιπνοίας συμφωνίαν τῶν ἑρμηνέων ἀποφαντικῶς καὶ τορῶς καὶ ἀνενδοιάςως λέγει· «*Καθίσαντες δὲ ἐν ἀποκρύφῳ, καθάπερ ἐνθουσιῶντες προεφήτευον, οὐκ ἄλλα ἄλλος, τὰ δ᾽ αὐτὰ πάντες ὀνόματα καὶ ῥήματα, ὥσπερ ὑποβολέως ἑκάστοις ἀοράτως ἐνηχοῦντος*» (α). Δηλοποιῶν δ᾽ ἐφεξῆς ὁ αὐτὸς καὶ ὅτι οὐδὲ κατὰ συνωνύμους λέξεις διέφερον ἀπ᾽ ἀλλήλων αἱ ἑκάςου ἑρμηνεῖαι, ὑποσυνάπτει· «Ἡ γὰρ ἑλληνικὴ διαφερόντως ὀνομάτων πλουτεῖ· καὶ ταὐτὸν ἐνθύμημα οἷόν τε μεταφράζοντα καὶ παραφράζοντα σχηματίσαι πολλαχῶς, ἄλλοτε ἄλλας ἐφαρμόζοντα λέξεις, ὅπερ ἐπὶ ταύτης τῆς νομοθεσίας ΟΥ ΦΑΣΙ συμβῆναι ». Περὶ ταύτης λοιπὸν μόνον τῆς μηδὲ γοῦν ἀπὸ συνωνύμων, κἂν ἄλλως ἰσοδυνάμων, φωνῶν διαφορᾶς τῶν ἑρμηνέων εἶπεν ὁ Φίλων τὸ *οὐ φασὶν*, εἰς τὴν δημώδη φήμην ἀναφέρων τὴν δοξασίαν· αὐτὸς δέ πως ὑπενδοιάζειν δοκεῖ· (οὕτω καὶ ὁ ἱερὸς Ἐπιφάνιος

---

(α) Τὸ προεφήτευον = προφητικῶς (ὡς θεόπνευστοι προφῆται) ἐξέφραζον τὴν ἑρμηνείαν (ἐν τῷ γράφειν, ἢ καὶ πρὸς ἄλλον ταχυγράφον ὑπαγορεύειν). Πληθυντικῶς δὲ τὸ προεφήτευον, ὡς καὶ τὸ καθίσαντες ἐν ἀποκρύφῳ, καὶ τὸ ἐνθουσιῶντες, κτλ. καθότι τὰ εἰς ἕνα ἕκαστον ἀτομικῶς καὶ κατ᾽ εἶδος ἀνήκοντα, ἀναφέρονται ἐπίσης καὶ κατὰ πάντων καθόλου τῶν ὁμογενῶν, καὶ ὁμοειδῶν. Οὕτως εἶπε καὶ ὁ θεῖος Εἰρηναῖος « Ἐκέλευσε τοὺς πάντας (τοὺς Ο) τὴν αὐτὴν ἑρμηνείαν γράφειν » (Εὐσεβ. Ἐκκ. ἱστ. ε, 8)· τουτέστιν (ὡς εἶπεν ὁ Κλήμης Στρωμ. α) « Ἕκαστον ἐν μέρει κατ᾽ ἰδίαν ἑκάστην ἑρμηνεῦσαι προφητείαν ». Οὕτω καὶ τῶν νεωτέρων ἄλλοι τε καὶ Μύκκης αὐτὸς τοὺς Φίλωνος ἡρμήνευσε λόγους. « Philo docet singulum interpretem singulam versionem tam parum ab alterius translatione discrepantem scripsisse, ut hoc opus, quasi quopiam dictante, a singulo interprete peractum videretur. » S. Mücke de origin. Version. LXX. intepr. p. 36.

ἐσημείωσε τοιαύτην τινα μεταξὺ τῶν ἑρμηνέων εὑρεθεῖσαν περὶ λέξεις συνωνύμους, κἂν ἄλλως ἰσοδυνάμους, διαφοράν, ὡς προείδομεν §. ϛ. ὀψόμεθα δὲ πλατύτερον καὶ ἐν τοῖς ἐφεξῆς). Ὁ δὲ σοφὸς Ὅδιος (σελ. 354) ἄρας ἀπὸ ταύτης τῆς Φιλωνείου φράσεως τὸ *οὐ φασί*, μετετόπισεν ἀνώτερον, συνάψας πρὸς τὴν περὶ τῆς ἐπιπνοίας τῶν ἑρμηνέων ἐκφαντορικωτάτην τοῦ συγγραφέως ἔκφρασιν, ὅπως αὐτὸν καὶ ἄκοντα παραστήσῃ διστάζοντα καὶ σχεδὸν ἀπιστοῦντα περὶ τοῦ θαύματος!

§. κβ. Η) Καὶ τὸν Πρόλογον τῆς Σοφίας τοῦ Σειρὰχ παραδόξως παρασπῶσιν, ὡς ἀναιροῦντα τὸ θαῦμα τῆς ἐπιπνοίας τῶν ἑρμηνέων (§. η). Κατὰ ταῦτα λοιπὸν ὁ Ἰουδαῖος Φίλων ὁ Ἀλεξανδρινὸς ἢ οὐδόλως ἀνέγνω, ἢ καὶ κατεφρόνησεν ἀναγνοὺς τοῦτον δὴ τὸν ἐν Ἀλεξανδρείᾳ (δύω καὶ ἐπέκεινα πρὸ τοῦ Φίλωνος αἰῶνας) ἐκδοθέντα, καὶ πολὺ παρ' Ἰουδαίοις μετὰ τῆς Σοφίας τιμώμενον Πρόλογον αὐτῆς! Ὅπερ γὰρ οὗτος (κατὰ τὸν Ὅδιον) ἀναιρεῖ, δηλονότι τὴν θείαν τῶν ἑρμηνέων ἐπίπνοιαν, ταύτην ὁ Φίλων ἐξ ἐναντίας ἀποδέχεται καὶ λαμπρῶς ἀνακηρύττει! Τοῦτ' αὐτὸ ποιοῦντες ἁλίσκονται (τὸ παραδοξότερον) καὶ οἱ θειότατοι τῆς Ἐκκλησίας Πατέρες, Ἰουστῖνος ὁ μάρτυς, καὶ Εἰρηναῖος, καὶ Κλήμης μετὰ τῶν λοιπῶν· ἀντιφάσκουσι καὶ οὗτοι πρὸς τὸν Πρόλογον! καὶ ταῦτα (τὸ παραδοξότατον), ἐν ᾧ καὶ τὴν Σοφίαν τοῦ Σειρὰχ ἡ τοῦ Χριϛοῦ Ἐκκλησία (μὴ διαιροῦσα τὸν Πρόλογον ἀπ' αὐτῆς) ἔχει συνηριθμημένην μετὰ τῶν ἀναγινωσκομένων, ἢ δευτέρων κανονικῶν βιβλίων, ὡς ἱερὰν ἀποδεχομένη καὶ σεβασμίαν, ἀφ' ἧς καὶ ῥήσεις ἱκανὰς οὐ μόνον οἱ Πατέρες, ἀλλὰ καὶ αὐτοὶ οἱ θεῖοι ἀπόϛολοι ἐμνημόνευσαν (α). Ἀλλ' ἄπαγε τὰ τοιαῦτα. Οὐδαμοῦ τοὺς ἑρμηνεῖς τῶν Γραφῶν οὔτ' εἶπεν οὔτ' ἐνόησεν ὁ Πρόλογος ἀθειάστους καὶ ἀκραιφνεῖς ἀνθρώπους μεταφραϛάς. Λέγει δὲ μόνον, ὅτι *ὁ Νόμος καὶ αἱ Προφητεῖαι καὶ τὰ λοιπὰ τῶν* (ἐξελληνισθέντων) *βιβλίων, οὐ μικρὰν ἔχει τὴν διαφορὰν ἐν ἑαυτοῖς λεγόμενα* » (θεωρουμένης δηλαδὴ τῆς διαφορᾶς περί

(α) Βλ. Huet. Demonst. Evang. prop. IV. p. 233 καὶ 297.

τινας ἑλληνικὰς λέξεις, ἀντιϛοιχούσας μὲν ἀκριβῶς πρὸς τὰς ἑβραϊκὰς τοῦ πρωτοτύπου φωνάς, ἀλλ᾽ ὅμως ἀσθενεστέρας ἐκείνων δοκούσας, διὰ τὴν ἔν τισιν ἑβραϊκοῖς φύσει ἐγκειμένην φραστικωτέραν δύναμιν· οἷον εἶπε καὶ περὶ τῆς Σύρων φωνῆς ὁ Μ. Βασίλειος, Ὁμιλ. Β. εἰς τὴν Ἑξαήμερ.). Ἐκ τούτων οὖν Ὅδιος ἔσπευσεν ἀποδεῖξαι τὴν ἑρμηνείαν τῶν Ο, καθόλου κατωτέραν τῆς ἀξίας τοῦ θεοπνεύστου κειμένου, καὶ παντάπασιν ἀνθρωπικὴν, καὶ μίαν τῶν κοινῶν ἑρμηνειῶν, αἵτινες πολλάκις ἐλαττονοῦνται τοῦ πρωτοτύπου! Καὶ τί κάθηται λοιπὸν ὁ κριτικὸς καὶ οὐκ ἐξοβελίζει τοῦ κανόνος τῶν θεοπνεύστων Γραφῶν καὶ τὸ κατὰ Ματθαῖον θεῖον Εὐαγγέλιον, ἐκ τοῦ Ἑβραϊκοῦ καὶ τοῦτο (κατὰ τοὺς πλείστους καὶ παλαιοὺς καὶ νεωτέρους) ἑρμηνευθὲν, καὶ τὴν πρὸς Ἑβραίους ἐπιστολὴν ἐκ τοῦ Ἑβραϊκοῦ καὶ ταύτην ὁμολογουμένως ἡρμηνευμένην; Μὴ γὰρ οὐκ εἶχον καὶ τὰ θεῖα ταῦτα βιβλία *παρομοίας τινὰς διαφορὰς*, ὡς πρὸς τὰ Ἑβραϊκὰ πρωτότυπα παρεξεταζόμενα; Εἰ δὲ ταῦτα καὶ μεθερμηνευθέντα πιστεύονταί τε καὶ ὑπάρχουσιν ἀναμφιβόλως θεόπνευστα, τί μὴ παρομοίως ἀποδεκτέον καὶ τῆς παλαιᾶς Γραφῆς τὴν ἑρμηνείαν ἐκ θείας ἐπιπνοίας τελεσιουργηθεῖσαν, ὡς οἱ θεοφόροι Πατέρες ἐδίδαξαν; Εἰ δὲ καὶ ἡ βίβλος τοῦ Ἰὼβ ὑπ᾽ αὐτοῦ τοῦ πολύτλα συνεγράφη τὸ πρῶτον *Συριστὶ* (καθώς τινες φρονοῦσι, στηριζόμενοι εἰς τὰ τοῦ Ἰὼβ, μβ, 17), καὶ ἔπειτα μεθηρμηνεύθη εἰς τὸ Ἑβραϊκὸν ὑπὸ Μωϋσέως, ἤ τινος ἄλλου τῶν ἀρχαίων προφητῶν (α), τίς ποτε καὶ ταύτην τὴν Ἑβραϊκὴν ἑρμηνείαν δύναται θεωρῆσαι ὡς ἁπλῆν καὶ ἀθείαϛον τοῦ θεοπνεύστου πρωτοτύπου μετάφρασιν; ἢ μήπως οὐκ εἶχε καὶ αὕτη (καθὸ μετάφρασις) *οὐ σμικρὰν* (περὶ τὰς λέξεις) πρὸς τὸ Συριακὸν ἀρχέτυπον *διαφοράν*; Μὴ σύ γε, ὦ χρηστὲ Ὅδιε,

(α) Βλ. Huet. l. c. p. 206, 209. καὶ Ἱερώνυμος Συριστὶ, ἢ Ἀραβιστὶ συγγραφῆναι τὴν βίβλον λέγει. Ὁ δὲ Ὀλυμπιόδωρος τὸ Συριστὶ ἐκλαμβάνει ἀντὶ τοῦ Ἑβραϊστὶ (Σειρ. εἰς Ἰώβ). Ἑβραϊστὶ καὶ ὁ Σκαλίγηρος (Prolegomen. in Thes. Tempor.). ἄλλοι δ᾽ ἄλλα τῶν νεωτέρων, βλ. καὶ ἐφεξῆς κεφ. θ, §. κη.

μὴ μέτρει πήχεσι καὶ σχοίνοις ἀνθρωπίνης σοφίας τὴν τοῦ παναγίου Πνεύματος ἐπίπνοιαν, ἥτις ἐξέφρασε τὰς θείας ἐννοίας κατὰ τὴν φύσιν τῶν ἐν αἷς ἐγράφοντο γλωσσῶν. Αὕτη καὶ τοὺς ἑρμηνεῖς καὶ ἱεροφάντας τῶν θείων λόγων ἐφώτιζε παροῦσα, καὶ καθωδήγει πρὸς τὴν ἀπλανῆ *διὰ τῶν νενομισμένων λέξεων* ἑρμηνείαν τῆς ἀληθείας. Ἀλλὰ περὶ τούτου καὶ ἀλλαχοῦ πλατύτερον.

§. κγ. Ἐφεξῆς ὁ Ὅδιος προσαριθμεῖ καὶ τὰς τῶν Ῥαββίνων τερθρείας (§. θ), ἀποδεικνύων αὐτῶν τὸ φιλοψευδές· τὸ αὐτὸ ποιῶν, ὡς ἂν εἴπερ ἐπιχείρει ἀποδεῖξαι καὶ ὅτι, ἐπειδὴ καὶ πάλαι παρ' Ἰουδαίοις ἐγένοντο καὶ ψευδοπροφῆται, οὐχ ὑπῆρξαν λοιπὸν οὐδ' ἀληθινοί! Ἀλλὰ πρὸς ταῦτα ἡμεῖς μὲν σιωπῶμεν, αὐτὸς δὲ πάλιν ὄψεται περὶ τούτων, ὅστις συχνάκις τοὺς τοιούτους Ψευδοραββίνους καλεῖ μάρτυρας πιστοὺς τῶν παραδόξων αὐτοῦ γνωμῶν.

§. κδ. Τὸν δὲ σοφὸν τοῦ σοφοῦ Σκαλιγήρου μαθητὴν καὶ φίλον Ἕΐνσιον ἅμα τε ἐμνημόνευσεν ὡς ὁμόφρονα, καὶ πάλιν εὐθὺς ἐξήλεγξεν ἠπατημένον ὁ κριτικὸς, δίκαια ταῦτα ποιῶν! οὕτω «*καὶ βάτος παλίουρον ἔμαρψε*» (τὸ τῆς παροιμίας). Καὶ ἄλλοι δὲ (μηδ' ἐκεῖνοι πρὸς τοὺς Ο λίαν εὐνοϊκοὶ) τὴν οὕτω γόνιμον ἀναφανεῖσαν φαντασίαν τοῦ Ἑϊνσίου χαριέντως διεκωμῴδησαν (α). Ὁ δὲ καὶ τῶν Ο, καὶ τοῦ Ἀριστέου γενναῖος ἐν πᾶσι (πλὴν ἔν τισιν ὀλίγοις) ὑπέρμαχος Βάλτων καὶ ἐπέπληξε δριμύτερον τὸν Ἕΐνσιον. «Τίς μὴ θαυμάσει (λέγει) τοῦ γραμματικοῦ τὴν ὀξύνοιαν, ὅστις πρᾶγμα παρ' ἡμῖν ἀνήκουστον, καὶ μηδενί πω πρότερον εἰς νοῦν ἐπελθὸν, ἀνεκάλυψε καὶ προήγαγεν ἐκ σκότους εἰς φῶς; Μᾶλλον δὲ, τίς μὴ καταγελάσει τῆς ἀλαζονείας ἀνθρώπου ματαιόφρονος, ὡς ἐκ τρίποδος φοιβάζοντος ὅσα μήτε μαρτυρίᾳ τῶν ἀρχαίων ἐμπεδοῦνται μηδεμιᾷ, μήτε γοῦν λεπτήν τινα φέρουσι σκιὰν λόγου σώφρονος καὶ ὀρθοῦ; Οὕτως

(α) «Pulchre profecto foecundum Heinsij ingenium rem acu tetigit»! Frick. de vers. Graec. §. x. πρβλ. καὶ Demagistr. Dissert. V. pag. 549.

ὁ ἄνθρωπος ἐναντίον ἁπάσης ἱστορικῆς πίστεως, ἐναντίον ἁπάντων τῶν συγγραφέων τῆς Ἐκκλησίας καὶ αὐτῆς τῆς Συναγωγῆς, ἐτόλμησε μῦθον ἴδιον, ἰδίου ἐγκεφάλου ἔκγονον, εἰς ἅπασαν εἰσκυλίσαι τὴν οἰκουμένην »! (α). Εὖγε γεραρὲ Βάλτων! « βάλλε βάλλε τὴν κατάρατον ἀλαζονείαν τῶν φιλοκαινοτόμων· προσεπίβαλλε τῶν ἐλέγχων », διεκδικῶν μετὰ τῆς ἀληθείας καὶ τοὺς Ἕλληνας ἐξυβρισθέντας. Πάντες ὅσοι καθ' Ἕϊνσιον ψευδίζουσι τὰ κατὰ τοὺς Ο, τῶν ἑλληνιστῶν Ἰουδαίων ὠνόμασαν πλάσμα τὴν ἱστορίαν. Οὐδεὶς δὲ τούτων (ὅσον ἡμεῖς οἴδαμεν) ἐτόλμησεν εἰς αὐτοὺς τοὺς Ἕλληνας ἀποῤῥίψαι τὴν αἰτίαν τῆς κατ' αὐτοὺς μυθοπλαστίας ταύτης, οὐδ' αὐτὸς ὁ φατριάρχης αὐτῶν Σκαλίγηρος. Μόνος ὁ ἐκ τῆς ἑλληνικῆς φιλολογίας εἶναί τις φανεὶς, καὶ μάλα τιμηθεὶς Ἕϊνσιος (ὅστις καὶ αὐτὸ δὴ τὸ σοφὸν αὐτοῦ συγγραμμάτιον ἑλληνικῷ κατεκόσμησεν ὀνόματι, *Ἀρίσταρχον* ἐπιγράψας), μόνος οὗτος ἐσυκοφάντησεν οὐχὶ τοὺς ἑλληνιστὰς Ἰουδαίους (Hellenistas), ἀλλ' αὐτοὺς τοὺς Ἕλληνας, ἄντικρυς ὀνομάζων (Graecos!)· καὶ γίνεται ποικίλος περὶ τὰς ὕβρεις καὶ πολυώνυμος, « *λήρων μύθων, γενιήλων ὕθλων* » εὑρέτας αὐτοὺς καλῶν. Ὥστε ὁ σοφὸς Ἕϊνσιος ἐβαττολόγησε διπλῶς, τὸ μὲν κοινῶς μετὰ τῶν ἄλλων συναδελφῶν, εἰς τὴν ἱστορίαν τῶν Ο βλασφημῶν, τὸ δὲ καὶ ἰδίως εἰς τοὺς Ἕλληνας αὐτὸς ἐξυβρίζων· (κατέλιπε δὲ καὶ Ὀδίῳ μέρος τι τῶν ὕβρεων τούτων, ἄζηλον κληρονομίας θησαυρόν). Ἐπειδὴ δὲ περὶ τῶν θείων Γραφῶν ὁ λόγος, Ἕλληνας ὡς ἔοικεν ὁ Ἕϊνσιος ἰδίως ἐννοεῖ τοὺς θεοφόρους τῆς Ἐκκλησίας Πατέρας, (ἢ τίνας ἄλλους;)· ἀλλ' ἴτω καὶ οὗτος, ματαίως μὲν καὶ εἰς κενὸν, ἀλλ' ὅμως « *πατέρας κακολογῶν* »!

§. κε. Ὀδίῳ δὲ τῷ σοφῷ μεγάλη παρ' Ἑλλήνων χάρις, ὅτι προσέθηκεν ἐπιμελῶς ἀναδιφήσας καὶ τὸν μῦθον τῶν παρὰ τῷ Πεισιστράτῳ ποοσκληθέντων οϐ, γραμματικῶν, ὡς φανερὸν ἀπομίμημα τῆς ἱστορίας τῶν παρὰ τοῦ Πτολεμαίου μετακληθέντων

(α) Walton Proleg. c. IX. §. 7. pag. 348.

ἰσαρίθμων ἑρμηνευτῶν. Οὕτως οἱ Ἕλληνες ἀνέκαθεν ἐτίμων τὴν περὶ τῆς ἑρμηνείας τῶν θείων Γραφῶν ἱστορίαν! Ὥστε καὶ αὐτὸς ὁ μυθοπλάστης γραμματικὸς ἐξ αὐτῆς ἀποδρεψάμενος τὴν ἔννοιαν, ἐκόσμησε τὴν εὐφυῆ διήγησιν, τὰ μὲν τοῦ πατρὸς τῆς ἑλληνικῆς σοφίας ποιήματα σεμνύνων καὶ ὑπερυψῶν διὰ τῆς πρὸς τὴν ἱερὰν τῶν Γραφῶν ἑρμηνείαν παραθέσεως, τὸν δὲ φιλόμηρον ἡγεμόνα τῶν Ἀθηνῶν πρὸς τὸν φιλόγραφον τῆς Αἰγύπτου βασιλέα παρεξετάζων, καὶ τοὺς ἐνδόξους γραμματικοὺς, πρὸς τοὺς ἀοιδίμους καὶ θεοφιλεστάτους πρεσβυτέρους. Μικρὰ πάντως παρέβαλε πρὸς μεγάλα, καὶ ἀνθρώπινα πρὸς θεῖα, καὶ πλάσματα πρὸς ἀλήθειαν, ἀλλὰ καὶ περὶ τὴν διασκευὴν τοῦ πλάσματος ἀπίθανος ἐνίοτε δοκεῖ, ὡς ὅταν τὸν Ἀρίσταρχον καὶ Ζηνόδοτον, Ἀλεξανδρεῖς γραμματικοὺς (ἢ τὰς κατ᾽ αὐτοὺς ἐκδόσεις τῶν Ὁμήρου ποιημάτων) εἰσάγῃ συγχρόνους τῷ Πεισιστράτῳ, 300 ὅλους ἐνιαυτοὺς ἀναχρονίζων (ὡς καὶ Οὐϊργίλιος ποιητικώτερον παρεχρόνισε, συνάπτων τὴν Διδὼ πρὸς τὸν Αἰνείαν). Ἀλλὰ καὶ οὕτω χάριεν φαίνεται τὸ μίμημα, ὡς ἂν ἐπιτυχὴς ζωγραφία, φέρουσα καί τινας κῆρας τῆς ἔν τισιν ἀστοχίας τοῦ ζωγράφου. Ὅσῳ λοιπὸν πλείονας τοιαύτας ἀρχαίας εἰκονογραφίας τῶν Ο παραστήσῃ ὁ σοφὸς Ὅδιος, τοσούτῳ μᾶλλον βεβαιώσει τὴν ἱστορίαν. Ταῦτα λέγομεν καὶ περὶ τῶν λοιπῶν μυθαρίων (§. ιϐ.), ὅσα συνεσώρευσεν ἡ ἄπληστος τοῦ κριτικοῦ πολυμάθεια· ἥτις μὴ ἀρκεσθεῖσα εἰς τὰ περὶ τῶν *ταργουμίων* ῥαϐϐινικὰ ληρήματα, ἐφυλλολόγησε καὶ νέων περιηγητῶν ὁδοιπορικὰ, ἀπεσάρωσε καὶ συναγώγια, καὶ ξενοδοχεῖα τῶν νῦν τῆς Ἀλεξανδρείας Ἀράϐων (οἵτινες πρὸς τοῖς δωματίοις τῶν Ο, καὶ τὰς Ἀριστοτέλους ἔπλασαν σχολὰς), καὶ ὅσα ἄλλα ἐκλέγει τοιαῦτα, πανταχόθεν ἐπαυξάνουσα τὴν δῆθεν ἀτοπίαν τῆς ἱστορίας καὶ τῶν σεμνοτάτων μαρτυριῶν.

§. κϛ. Τοὺς ἄλλους δὲ, τέλος, τοὺς ἀρχαίους καὶ πολλοὺς συγγραφεῖς (§. γ), ὅ,τι λέγουσι καθόλου περὶ τῆς ἑρμηνείας, καὶ οἵαν αὐτὴν φρονοῦσιν, ἀκουσόμεθα μετ᾽ ὀλίγον, ὅταν Ὅδιος αὐτοὺς (ὡς ὑπόσχεται) παραστήσῃ. Εἴθε δὲ μὴ παρεξήγησοι κἀκείνους, ὡς

τὸν Φώτιον, ὃν ἀπὸ τῶν ἄλλων μονώσας, ἠξίωσεν ἐνταῦθα προμνημονεῦσαι, ψαλιδίσας αὐτοῦ τὴν ῥῆσιν. Ἰδοὺ ἡ φράσις ὁλόκληρος τοῦ Φωτίου (μᾶλλον δὲ τοῦ Μοψουεστίας Θεοδώρου, οὗτινος συνοψίζει τοὺς λόγους ὁ Φώτιος, ἀναγν. ροζ)· «Ἀρὰμ δὲ (λέγει) τὸν ἀπὸ δύσεως (ἐννοῶν πιθανώτατα τὸν *Ἱερώνυμον*) ἀπώσασθαι μὲν τὴν τῆς θείας καὶ παλαιᾶς Γραφῆς, *ἣν οἱ* Ο, *συνεληλυθότες ἐκδεδώκασι μετάφρασιν*, καὶ δὴ καὶ τὴν Συμμάχου καὶ Ἀκύλα καὶ τῶν ἄλλων, *ἰδίαν δέ τινα καὶ καινὴν* ἐπαρθῆναι συντάξαι» κτλ. Ἐνταῦθα πᾶς τις βλέπει φανερῶς, ὅτι τὸ *συνεληλυθότες* οὐκ ἐτέθη κατὰ τὴν ἁπλῆν αὐτοῦ σημασίαν, καὶ μόνον πρὸς ἔνδειξιν *τῆς συνελεύσεως τῶν ἑρμηνευτῶν*, ἀλλ᾽ ἀντιδιαστέλλεται καὶ ἐμφαντικώτερον πρὸς τὸ παρεπόμενον *ἰδίαν μετάφρασιν*. Ὁ Ἀρὰμ (λέγει) ἐπήρθη συντάξαι μετάφρασιν *ἰδίαν καὶ καινὴν*, ἀπωσάμενος τὰς παλαιὰς (τοῦ Συμμάχου κτλ.), καὶ δὴ καὶ ἣν οἱ Ο, *συνεληλυθότες* (οὐχ εἷς καὶ μόνος, ἀλλ᾽ ὅλοι Ο συνελθόντες) ἐκδεδώκασιν», οἵτινες (ὡς εἶπεν ὁ θεῖος Χρυσόστομος) «*καὶ διὰ τὸν χρόνον, καὶ διὰ τὸ πλῆθος* μᾶλλον (τῶν ἄλλων) ἂν εἶεν πιστεύεσθαι δίκαιοι». Ταῦτα ὁ Θεόδωρος, ἢ αὐτὸς ὁ Φώτιος ἐνόει διὰ τοῦ *συνεληλυθότες*, οὐχὶ (καθὼς ἐξέλαβε κατὰ λάθος ὁ κριτικὸς) τὴν ἀθρόαν *ἐν κοινῇ συνελεύσει* συνεδρίασιν ὅλων τῶν ἑρμηνευτῶν. Εἰ δὲ τούτοις Ὄδιος ἀπιστεῖ, *ἐγγὺς ὅδ᾽ ἐστὶν ὁ μάρτυς*, καὶ πλησίον ἔχει τὴν ἀπόδειξιν· αὐτὸς οὗτος ἀλλαχοῦ πραγματευόμενος περὶ τοῦ ἀριθμοῦ τῶν Ο, καὶ μνημονεύων τὴν ἀνωτέρω τοῦ Χρυσοστόμου ῥῆσιν, παρέβαλε καὶ τὴν αὐτὴν πάλιν τοῦ Φωτίου φράσιν, ὡς ἐμφαίνουσαν κυρίως τὸ *πλῆθος* τῶν συνελθόντων μεταφραστῶν (βλ. ὄπισθ. κεφ. ε. §. β). Ἔπειτα καὶ ἄλλως, τίς οὐκ ἂν ὁμολογήσειεν, Ὄδιε, καὶ *συνελθόντας* τοὺς Ο, καὶ *συναγερθέντας*, καὶ *συναθροισθέντας*, καὶ *συναλισθέντας*, καὶ *συνάμα κατὰ τὸ αὐτὸ γενομένους* (καὶ πᾶν ἄλλο τοιοῦτον, ὅ,τι ἂν καὶ θέλῃς) εἰς τὴν ἔκδοσιν τῆς μεταφράσεως; Μὴ γὰρ ἐξ Ἱερουσαλὴμ εἰς Ἀλεξάνδρειαν καταβάντες οἱ ἄνδρες, ἄλλος ἀλλαχοῦ ῥεμβόμενοι

ἐπλανῶντο; οὐδὲ συνῆλθον ἀθρόοι καὶ εἰς τὴν πόλιν, *καὶ εἰς τὴν Φάρον*, καὶ εἰς αὐτὸν τὸν ἐν τῇ Φάρῳ οἶκον, ὅπου πρὸς μίαν ἀθροιζόμενοι καὶ τὴν αὐτὴν ἐργασίαν, καὶ φιλοπονοῦντες ἅπαντες ἐν οἰκίσκοις (ἕκαστος κατ᾽ ἰδίαν), ἐξεπέραναν, δυνάμει Θεοῦ, καὶ, τέλος, *ἐκδεδώκασι τὴν μετάφρασιν*; ἢ μήπως τὸ *συνελθόντες* ἐνταῦθα σημαίνει πάντως καὶ τὸ *συνεδριάσαντες, καὶ κοινῇ συνεργασθέντες*; Ἀλλὰ τοῦτο οὐδ᾽ αὐτὸς Ὅδιος ἀξιώσει. Καὶ μενέτω λοιπὸν καὶ Φώτιος ὁ σοφώτατος Πατριάρχης ἑαυτῷ τε καὶ τοῖς ἄλλοις ἱεροῖς πατράσι συμφωνῶν· ἡμεῖς δ᾽ ἐπ᾽ ἄλλο κεφάλαιον μεταβαίνομεν.

## ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

*Πότερον, ὅλην τὴν παλαιὰν θείαν Γραφὴν ἡρμήνευσαν οἱ Ο, ἢ μόνην τὴν Πεντάτευχον;*

§. α. Κἂν δῶμεν (λέγουσιν οἱ περὶ τὸν Ὅδιον) ΟΒ τῷ ὄντι γενέσθαι τοὺς ἑρμηνεῖς, κἂν καὶ τὴν ἐπίπνοιαν αὐτῶν συγχωρήσωμεν, μικρὰ χαρισόμεθα τοῖς προστάταις τῆς ἑρμηνείας· εἴγε οἱ ΟΒ μετέφρασαν οὐχὶ πᾶσαν τὴν Γραφὴν (καθὼς αὐτοὶ θέλουσιν), ἀλλὰ μόνην τὴν Πεντάτευχον, καθὼς ἡμεῖς (λέγει Ὅδιος) μετ᾽ ἄλλων σοφωτάτων ἀνδρῶν διαβεβαιοῦμεν (α)· τούτου δὲ δείξεις αἱ ἐφεξῆς.

§. β. Α) Ὁ Ψευδαριστέας ἱστορεῖ τὸν *Νόμον* μόνον ἑρμηνευθέντα. Ἀλλ᾽ οἱ τἀναντία φρονοῦντες (β) ἀντιλέγουσιν, ὅτι *Νόμον*

(α) Οὕτω καὶ Usserius Synt. de LXX. — Bootius Epist. de verit. Hebr. adv. Capell.— Crojus Observ. in N. T. c. 30. — Lightfoot Hor. Hebr. ad Act. Apost. — Marsham Chron. can. p. 147 κτλ. Ὅθεν καὶ Salmasius (apud Hotting.) « inter omnes fere constare nihil ab illis translatum fuisse praeter Pentateuchum ». Hody.

(β) Bellarmin. De verb. Dei II. 6. — Baron. Annal. ad An. 231. — Zanchius de Script. S. Q. 10 — Galesin. de LXX interpr.— Salmeron Prolegom. 6. — Feuardent. in Iren. III. 25. — Morinus Exercit. l. 1. 8. c. 2. — Hotting. Thes. phil. — H. Vales. in Euseb. Hist. V. 9. — P. Junius Not. in B. Clement. Epist. ad Corinth. — J. Vossius Respons. ad Object. Simonij p. 11. etc. Hody.

ὁ Ἀριστέας ὠνόμασεν ὅλον τὸ σῶμα τῆς Γραφῆς. Οὕτως εὑρίσκεται τὸ ὄνομα πολλάκις καὶ ἐν τῇ Καινῇ Διαθήκῃ· οἷον τὸ τοῦ Ψαλμοῦ « *Ἐγὼ εἶπα Θεοὶ ἐστέ* », καὶ τὸ « *Ἐμίσησάν με δωρεὰν* » λέγεται, ὅτι « *Γέγραπται ἐν τῷ Νόμῳ* » (Ἰω. Ι. 34. ιε, 25). Ὡσαύτως καὶ ὁ θεῖος Παῦλος Ἡσαΐου ῥῆσιν ἑρμηνεύων, εἶπεν ὅτι « *Γέγραπται ἐν τῷ Νόμῳ* » (α. Κορ. ιδ, 21) (α). Παρομοίως καὶ οἱ παλαιοὶ Χριστιανοὶ *Εὐαγγέλιον* ἔλεγον ἐνίοτε πᾶσαν τὴν Καινὴν Διαθήκην (β). Ἡμεῖς δὲ πρὸς ταῦτα (λέγει Ὅδιος) ἀπαντῶμεν· α) Νόμος ἤρξατο καλεῖσθαι ὅλον τὸ σῶμα τῆς Παλαιᾶς Γραφῆς οὐ πρότερον τοῦ Εὐαγγελίου· ἀλλ᾽ ἀφ᾽ οὗ τὸ Εὐαγγέλιον ἐκηρύχθη, καὶ πρὸς τὸν νόμον τὸν Μωσαϊκὸν ὡς ἀντίθετον διεστάλη, τότε καὶ ὑπὸ τοῦ Σωτῆρος καὶ τῶν Ἀποστόλων ὠνομάσθη Νόμος ἐνίοτε ὅλη ἡ Παλαιὰ Γραφὴ, ὡς ὅλη ἀνήκουσα εἰς τὸν Μωσέως Νόμον, καὶ οὐχὶ εἰς τὸ Εὐαγγέλιον. Παρὰ δὲ τοῖς ἀρχαίοις Ἰουδαίοις ἡ τοιαύτη σημασία τοῦ Νόμου ἀσυνήθης ἦν παντελῶς. Ὅθεν πάλιν καὶ ἐν αὐτῇ τῇ Καινῇ Διαθήκῃ διακρίνεται πολλάκις ἀπὸ τῶν ἄλλων βιβλίων ὁ Νόμος ἰδίως ἐπὶ τῆς Πεντατεύχου (κατὰ τὸ Ἰουδαϊκὸν ἔθος), οἷον· « Πάντες οἱ Προφῆται καὶ ὁ Νόμος » (Ματθ. ια, 13: κβ, 40), καὶ, « Πάντα τὰ γεγραμμένα ἐν τῷ Νόμῳ Μωσέως, καὶ Προφήταις, καὶ Ψαλμοῖς » (Λουκ. κδ, 44), καὶ, « Μετὰ

---

(α) Οὕτω καὶ Ἱλάριος τὰς ὑπὸ τῶν Ο, ἑρμηνευθείσας θείας γραφὰς ὀνομάζει « Scripturas Legis ». Καὶ πάλιν, « Legem V. T. in XXII libros deputari » ( S. Hilar. in Psalm. 118, καὶ praef. in explan. Psalm.)· καὶ ὁ Ἱερώνυμος « Veteris Legis libri XXII (Praef. in Reg.), καὶ Ἰσίδωρος (Origin. VI. 3). Καὶ ὁ ἄραψ Said ibni Batric (praef. Annal.) πᾶσαν τὴν παλαιὰν καὶ καινὴν Διαθήκην Legem, et Evangelium ὀνομάζει. Hody.

(β) Βλ. Ἀποστ. Διαταγ. α, 5, : Ὠριγ. προοίμ. ἑρμην. εἰς Ἰωάν. Οὕτω καὶ Γρηγ. Νύσσης· « καθὼς φησι τὸ εὐαγγέλιον » (περὶ τῆς Α, ἐπιστ. Ἰωάννου). Καὶ ὁ Βαλσαμὼν (περὶ Ῥασσοφόρ.) τὸ « παράγει τὸ σχῆμα τοῦ κόσμου » (α. Κορ. ζ, 30) λέγει « ῥῆμα εὐαγγελικόν. Hody. — [Πρόσθες καὶ τὸ Κλήμεντος τοῦ Ῥώμης (α, ἐπιστ. π. Κορινθ. §. 47) « Τί πρῶτον ὑμῖν ἐν ἀρχῇ τοῦ Εὐαγγελίου (ὁ Παῦλος) ἔγραψε »; (τουτ. ἐν ἀρχῇ τῆς αὐτοῦ ἐπιστολῆς)· Ὁ Κοτελέριος ἐκλαμβάνει τοῦτο καὶ ἀντὶ τοῦ « ἐν ἀρχῇ τοῦ εὐαγγελικοῦ κηρύγματος » ( ὡς καὶ Φιλιπ. δ, ιϛ: καὶ α, 5)· ἀλλὰ τὸ πρῶτον πιθανώτερον. Οὕτω καὶ Πολύκαρπος (ἐπιστ. πρὸς Φιλιππησ.)

τὴν ἀνάγνωσιν τοῦ Νόμου καὶ τῶν Προφητῶν, » (Πραξ. ιγ, 15: κη 23). Οὕτω καὶ ἐν ταῖς Διαταγαῖς τῶν Ἀποστόλων (α, 5) « Ἀναγίνωσκε τὸν νόμον, τὰς βασιλείους, τοὺς προφήτας· ψάλλε τοὺς ψαλμοὺς τοῦ Δαβίδ ». Καὶ Κλήμης (Στρωμ. α) «Τὰς γραφὰς τάς τε τοῦ νόμου, καὶ τὰς προφητικάς ». Καὶ Κύριλλος ὁ Ἱεροσολύμων· «Τοῦ νόμου μὲν γάρ εἰσιν αἱ Μωσέως πρῶται πέντε βίβλοι» (Κατηχ. δ.), καὶ ἄλλοι συχνοὶ (α), καὶ αὐτοὶ οἱ Ἄραβες (β). Οἱ δὲ παλαιοὶ Ἑβραῖοι διῄρουν τὴν Γραφὴν εἰς τρία μέρη, εἰς τὸν *Νόμον* (τὴν Πεντάτευχον, ἣν καλοῦσι Thorah, *Νόμον*), καὶ τοὺς *Προφήτας* (Nebhiim), καὶ τὰ *Ἁγιόγραφα* (Kethubim) (γ). Ὅθεν

---

τῆς πρὸς τοὺς Φιλιππησίους του Παύλου ἐπιστολῆς μνημονεύων, εἶπεν ἁπλούστερον « ἐν ἀρχῇ τῆς ἐπιστολῆς » ( πρβλ. Suicer. Thes. v. Εὐαγγέλιον ). Σημ. ἡμετ. ].

(α) Sulpic. Sever. Lib. 2. c. 29. etc.

(β) Chronic. Orient. — Elmac. Chronic. I. ap. Hotting.

(γ) Βλ. S. Hieron. praef. Regum. καὶ praef. in Daniel. — Isidor. Orig. VI. 1. — Rab. Maur. de Instit. Cleric. III. 7. [πρβλ. Ἐπιφ. π. Μέτρ. βλ. καὶ Suicer. Thes. v. γραφεῖα]. Ὁ Λιχθόφωτος (Lightfoot Miscel. c. 44.) ἐνόμισεν, ὅτι ταύτην τὴν διαίρεσιν ἐμφαίνει καὶ τὸ « ἐν τῷ νόμῳ Μωσέως καὶ προφηταῖς καὶ ψαλμοῖς » ( Λουκ. κδ ), διὰ τῶν ψαλμῶν δηλαδὴ νοουμένων ὅλων τῶν λεγομένων ἁγιογράφων βιβλίων, ὧν τὸν πρῶτον τόπον (κατὰ τοὺς σημερινοὺς τῶν Ἰουδαίων κώδηκας) ἐπέχουσιν οἱ ψαλμοί! Ἀλλά (φησιν Ὅδιος) τὸ πάλαι κατὰ τοὺς Ἱερωνύμου χρόνους πρῶτος ἐτάσσετο ὁ Ἰώβ. βλ. Hier. praef. Reg. — [Πρόσθες Ὅδιε, ὅτι καὶ Ἐπιφάνιος τῶν παρ' Ἰουδαίοις ἁγιογράφων μνημονεύων, πρῶτον τάσσει τὸν Ἰὼβ (βλ. ἐφεξῆς §. ιε. σημ.). Ὁ δὲ Ὠριγένης ἀριθμῶν ἑβραϊστὶ τὰς κβ βίβλους, τάσσει τοὺς ψαλμοὺς πρὸ τῶν προφητῶν, καὶ τὸν Ἰωβ μετὰ τοὺς προφήτας (Εὐσέβ. Ἐκκλ. ἱστ. ς. κε), ὥστε ὁ Λιχθόφωτος ἀναφέρων εἰς τοὺς χρόνους τοῦ Σωτῆρος τὴν πολὺ μεταγενεστέραν παρ' Ἰουδαίοις τριχοτομίαν, προχρονίζει παρὰ πολύ! Ἄλλοι πρὸς τὴν ἀνωτέρω εὐαγγελικὴν ῥῆσιν παρέβαλον τὴν παρὰ Φίλωνι καὶ Ἰωσήπῳ διαίρεσιν, τὴν εἰς Νόμους καὶ Προφήτας καὶ Ὕμνους. Ἀλλὰ παρὰ τούτοις οἱ ὕμνοι σημαίνουσιν ὅλας τὰς στιχήρεις βίβλους τῆς Γραφῆς, οὐχὶ μόνον τοὺς Ψαλμοὺς τοῦ Δαβίδ (βλ. ἐφεξῆς. §. ιε). Ἐν δὲ τῇ ἀνωτέρω θείᾳ ῥήσει τοῦ Λουκᾶ δηλοῦνται σαφῶς οἱ Δαβιδικοὶ Ψαλμοὶ (καὶ μάρτυς «ἡ βίβλος τῶν ψαλμῶν» Λουκ. κ. 22: Πράξ. α, 20). Διακρίνονται δ' ἀπὸ τῶν προφητῶν ἐξαιρέτως, ὡς ἐν τούτοις μάλιστα λαμπρῶς ἀναγεγραμμένων τῶν περὶ τοῦ Κυρίου προφητευμάτων. Τοῦτο τὸ κατ' ἐξοχὴν σημαίνει καὶ ἄλλη φράσις εὐαγγελικὴ (Μάρκ. ις, 7). « Εἴπατε τοῖς μαθηταῖς αὐτοῦ

καὶ ὁ Βέδας ὑπέλαβεν, ὅτι τὴν τριπλῆν ταύτην διαίρεσιν προετύπουν καὶ τὰ (Γενέσ. μ, 16) τρία τοῦ ἀρχισιτοποιοῦ κανᾶ (α). Ἡ αὐτὴ διαίρεσις κρατεῖ καὶ παρὰ τοῖς Ταλμουδικοῖς (β). Καὶ ὁ Γοριωνίδης διακρίνει τὸν Νόμον ἀπὸ τῶν ἄλλων βιβλίων (γ). Καὶ ὁ συγγραφεὺς τοῦ πανηγυρικοῦ εἰς τοὺς Μακκαβαίους λόγου « *τὸν νόμον* (λέγει) *καὶ τοὺς προφήτας* ». Μόνον ἐκ τῶν νεωτέρων τινες Ῥαββίνων ὑπέλαβον ὅτι καὶ πάλαι παρ᾽ Ἰουδαίοις τὸ *Νόμος* ἐσήμαινε καὶ πᾶν τὸ σῶμα τῆς Γραφῆς· ἀλλ᾽ αἱ τούτων μαρτυρίαι κοῦφαι λογίζονται καὶ παράσημοι. Πάντες οἱ ἑλληνιστὶ γράψαντες ἀρχαῖοι Ἰουδαῖοι Νόμον λέγοντες, ἐννοοῦσι τὴν Μωσαϊκὴν Πεντάτευχον, ὡς φανήσεται ἐκ τῶν ἐφεξῆς αὐτῶν μαρτυριῶν. Ἤδη δὲ μόνον προστιθέμεθα τὰ τοῦ Φίλωνος· « Νόμους καὶ λόγια θεσπισθέντα διὰ προφητῶν, καὶ ὕμνους, καὶ τὰ ἄλλα, οἷς ἐπιστήμη καὶ εὐσέβεια συναύξονται καὶ τελειοῦνται » (Περὶ βίου θεωρητ. τόμ. β. σελ. 475. Μ.), καὶ τὸ τοῦ Σειραχίδου « Ὁ Νόμος, καὶ αἱ Προφητεῖαι, καὶ τὰ λοιπὰ τῶν βιβλίων » (Προλόγ. Σ. Σειρ.). Τελευταῖον καὶ αὐτὸς ὁ Πολυΐστωρ, Μωσὼ γυναῖκα τὸν Μωσῆν ὑπολαβὼν, « ἧς ἐστὶ (λέγει) σύγγραμμα ὁ παρ᾽ Ἑβραίοις Νόμος » (βλ. ὄπισθ. κεφ. β, σελ. 43, καὶ 51). — β) Ἔπειτα, κἂν δῶμεν, ὅτι καὶ παρὰ τοῖς παλαιοῖς Ἑβραίοις ἐνίοτε σπανίως καὶ καταχρηστικώτερον ὠνομάζετο Νόμος καὶ ὅλον τὸ σῶμα τῆς Γραφῆς, ἀλλὰ πῶς ὁ Ἀριστέας συγγράφων τὴν ἱστορίαν τῆς ἑρμηνείας, μόνον τοῦ Νόμου τοσάκις ἐμνημόνευσε, τῶν δ᾽ ἄλλων τῆς Γραφῆς βιβλίων οὐδενός; Ἔπρεπε δὲ πάντως, εἴπερ ἐξελάμβανε τὴν λέξιν καὶ ἐπὶ τῶν λοιπῶν. — γ) Ὁ δ᾽ αὐτὸς Ἀριστέας τὰς ἑρμηνευθείσας βίβλους οὐ μόνον *Νόμον* ὠνόμασεν, ἀλλὰ καὶ *Νομοθεσίαν*. Καὶ ὅταν ὁ Ἀρχιερεὺς ἐξηγῇ παρ᾽ αὐτῷ τοὺς περὶ βρωμάτων καὶ

---

καὶ τῷ Πέτρῳ » (δηλαδὴ καὶ μάλιστα, κατ᾽ ἐξοχὴν τῷ Πέτρῳ)· πρόσθες καὶ ὅτι εἰς τὸ αὐτὸ τοῦ Λουκᾶ κεφάλαιον (κδ, 27) « πᾶσαι αἱ Γραφαὶ » διαιροῦνται εἰς Μωσέα καὶ εἰς πάντας τοὺς προφήτας ». Σημ. ἡμετ.].

(α) Beda L. 3. Comm. in Genes. — (β) Ἐν Τμήμ. Sanhedrin c. XI. §. 2 καὶ ἀλλαχοῦ. — (γ) Βλ. Hotting. Thesaur. p. 313.

θυσιῶν νόμους, « Τὴν κατὰ Μωσέα λέγει νομοθεσίαν ». Καὶ παρ' αὐτοῖς δὲ τοῖς Χριστιανοῖς τὸ *Νομοθεσία* ἐπὶ μόνης τίθεται τῆς Πεντατεύχου· οἷον, « Πέντε μὲν νομικὰς (βίβλους), Γένεσιν, κτλ. αὕτη ἡ *Πεντάτευχος καὶ ἡ Νομοθεσία* » (Ἐπιφ. π. Μέτρ.)· καὶ, « *Ἡ Πεντάτευχος καὶ Νομοθεσία καλεῖται* » (Δαμασκ. π. Ὀρθοδόξου Πίστ. δ. 18). — δ) Ἀλλὰ καὶ ῥητῶς ὁ Ἀριστέας ἦρεν ἐκ τοῦ μέσου πᾶσαν ἀμφιβολίαν εἰπὼν, ὅτι « Παρανεγνώσθη αὐτῷ (τῷ Πτολεμαίῳ) πάντα, καὶ λίαν ἐξεθαύμασε *τὴν τοῦ νομοθέτου διάνοιαν* ». Ταῦτα δὲ πῶς ἂν ἄλλως νοηθεῖεν (παρακαλῶ), πλὴν ἐπὶ μόνων τῶν Μωσέως βιβλίων; Ἐπανέλαβον τὴν φράσιν καὶ Ἰώσηπος (Ἀρχ. ιβ. 2), καὶ Εὐσέβιος (Προπαρ. η, 5). Ὅτι δὲ καὶ *Νομοθέτης* παρ' Ἑβραίοις ἐξαιρέτως ὁ Μωσῆς ἐπονομάζεται, φανερόν (Ἰώσηπ. Ἰουδ. πολέμ. β. 8). — ε) Τελευταῖον. Καὶ ὁ χρόνος, καθ' ὃν Ἀριστέας ἱστορεῖ γενομένην τὴν ἑρμηνείαν, ἐν ἡμέραις ΟΒ, δείκνυσι προφανῶς, ὅτι μόνην τὴν Πεντάτευχον ἐνόησεν ὁ ἱστορικός· πῶς γὰρ ἐν τοσαύταις ἡμέραις ἠδύνατο μεταφρασθῆναι πᾶσα ἡ Γραφὴ ὑπὸ ΟΒ μεταφραστῶν, καὶ τούτων ἀντιβαλλόντων ἕκαστα πρὸς ἀλλήλους, καὶ συζητούντων; Αὐτὸς ὁ ὑπογραμματεὺς αὐτῶν, ὁ Δημήτριος, μόλις ἂν ἐξήρκεσεν ἐν τοσαύταις ἡμέραις ἀπογράψαι μόνον τὴν ἑρμηνείαν, ἤπου γε ἐκεῖνοι μεμελετημένως μεταγλωττίσαι πᾶσαν τὴν παλαιὰν Διαθήκην, ἧς τὸ καθ' ἡμέραν ὑπὸ τῶν ΟΒ ἑρμηνευθῆναι πιστευόμενον μέρος ἀποτελεῖ οὐκ ἔλαττον τῶν πρώτων Δ τῆς Γενέσεως κεφαλαίων. Ὅθεν τινὲς εἶπον, ὅτι μόνην τὴν Πεντάτευχον ἡρμήνευσαν ἐν ΟΒ ἡμέραις, τὰ δὲ λοιπὰ βιβλία πάλιν ὕστερον οἱ αὐτοί (α). Πρὸς δὲ τοὺς λέγοντας, ὅτι καὶ τοῦτο τὸ ὀλιγοήμερον ὑπάρχει ἓν τῶν περὶ τὴν ἑρμηνείαν γενομένων *θαυμασίων* (β), ἀπαντῶμεν τὰ τοῦ Ἀριστέου λέγοντος, ὅτι « *Συνέτυχε* δὲ οὕτως, ὥστε ἐν ἡμέραις οβ, τελειωθῆναι τὰ τῆς μεταγραφῆς » (τουτ. τῆς μεταφράσεως) « οἱονεὶ κατὰ πρόθεσίν τινα τοῦ τοιούτου γενομένου ». Οὕτως ἁπλῶς,

---

(α) I. D'Espieres. de Version. LXX. Disp. I. Dub. 7. — I. Voss. de LXX, etc. — (β) Bellarminus, Gretzerus, P. Comestor, etc.

ὡς τυχαῖον συμβεβηκὸς, ἀλλ᾽ οὐχὶ καὶ ὡς θαυμαστόν τι πρᾶγμα διέγραψεν Ἀριστέας τὸ ποσὸν τῶν περὶ τὴν ἑρμηνείαν ἡμερῶν. Ὡσαύτως καὶ Ἰώσηπος, λέγων· « Μεταγραφέντος δὲ τοῦ νόμου, καὶ τοῦ περὶ τὴν ἑρμηνείαν ἔργου τέλος ἐν ἡμέραις οβ, λαβόντος » κτλ. Καὶ λοιπὸν εἰ μὲν ἐστὶν ἀληθὴς ἡ ἱστορία τοῦ Ἀριστέου, δείκνυται σαφῶς ἐξ αὐτῆς, ὅτι μόνην τὴν Πεντάτευχον ἡρμήνευσαν οἱ Ο. Εἰ δὲ πάλιν ὑποβολιμαία καὶ ψευδὴς (ὡς ἡμεῖς νομίζομεν, καὶ διαβεβαιοῦμεν), τοῦτο γοῦν ἐξ αὐτῆς ἀποδείκνυται, ὅτι παρὰ τοῖς ἀρχαίοις Ἰουδαίοις (ἐφ᾽ ὧν ἔζη καὶ οὗτος ὁ συγγραφεὺς) οὐδεμία παράδοσις ὑπῆρχε περὶ τῆς ἐπὶ τοῦ Φιλαδέλφου μεταφράσεως ὅλων τῶν βιβλίων τῆς Γραφῆς, εἰμὴ μόνης τῆς Πεντατεύχου.

§. γ. Β) Τοῦτο μαρτυρεῖ καὶ Ἰώσηπος ἱστορῶν (ἐκ τοῦ Ἀριστέου) τοὺς Ο, μεθηρμηνευκότας *τὸν νόμον*, ὃν καὶ *νόμους* λέγει πληθυντικῶς καὶ *νομοθεσίαν* (Ἀρχ. ιβ, 2). Καὶ ἐν τῷ προοιμίῳ δὲ τῆς Ἀρχαιολογίας ἀρνεῖται διαῤῥήδην ὅτι « Οὐ πᾶσαν ἐκεῖνος (ὁ Φιλάδελφος) ἔφθη λαβεῖν τὴν ἀναγραφήν· ἀλλ᾽ αὐτὰ μόνα τὰ τοῦ νόμου παρέδοσαν οἱ πεμφθέντες ἐπὶ τὴν ἐξήγησιν εἰς τὴν Ἀλεξάνδρειαν ». Καὶ ἐσφάλη ἄρα ὁ Οὐαλέσιος (α) νομίσας, ὅτι δῆθεν ὁ αὐτὸς Ἰώσηπος, πρὸς ἑαυτὸν ἀντιφάσκων, ἱστόρησεν ἀλλαχοῦ *πᾶσαν τὴν Γραφὴν* ἡρμηνευκότας τοὺς πρεσβυτέρους, λέγων· « Ἐπιθυμητὴς (ὁ Φιλάδελφος) ἐγένετο τοῦ γνῶναι τοὺς ἡμετέρους νόμους, καὶ *ταῖς τῶν ἱερῶν Γραφῶν βίβλοις ἐντυχεῖν*. Ἔπεμψε γοῦν ἀξιῶν, ἄνδρας ἀποστάλῆναι τοὺς ἑρμηνεύσοντας αὐτῷ τὸν νόμον » (Α, κατὰ Ἀπίων.). Καθότι καὶ ἐν τούτοις ὁ Ἰώσηπος *ἱερὰς βίβλους* λέγων, οὐχὶ τὰς πάσας ἐσήμανεν, *ἀλλ᾽ ἐκείνας αὐτὰς τὰς Μωσαϊκὰς, τὰς τὸν Νόμον περιεχούσας*. Ὡμολόγησε δὲ καὶ αὐτὸς Οὐαλέσιος ἀλλαχοῦ, ὅτι μόνης τῆς Πεντατεύχου τὴν ἑρμηνείαν ἱστοροῦντας ἐκληπτέον καὶ τὸν Ἀριστέαν καὶ τὸν Ἰώσηπον (β). Ἐσφάλη παρομοίως καὶ Οὐόσσιος (γ), πειραθεὶς ἀποδεῖξαι τὸν Ἰώσηπον ὅλην

---

(α) H. Vales. annot. ad Euseb. Hist. V. 9.

(β) Id. Epist. ad Usser. p. 307.

(γ) I. Voss. Respons. ad Object. Simonij pag. 11.

ἑρμηνευθῆναι δεικνύοντα τὴν Γραφὴν, ἐν οἷς εἰσάγει τὸν Φαληρέα λέγοντα πρὸς τὸν Φιλάδελφον, «Μεμηνύσθαι αὐτῷ *πολλὰ* εἶναι καὶ παρὰ τοῖς Ἰουδαίοις τῶν παρ᾽ αὐτοῖς νομίμων συγγράμματα, σπουδῆς ἄξια» κτλ. Ὁ Ἰώσηπος εἰσάγει ταῦτα λέγοντα τὸν Φαληρέα, καθὸ ξένον καὶ ἀπότροφον ἐν τοῖς πράγμασι τοῖς ἑβραϊκοῖς. Σιωπῶμεν δὲ, ὅτι *πολλά* τινες εἶπον καὶ τὰ *πέντε*. Οὕτως ὁ Ἱεροσολύμων Πατριάρχης Ἰωάννης ὠνόμασε *πολυετῆ* τὴν *πενταετῆ* τοῦ Πυθαγόρου ἐχεμυθίαν (α). Κᾀκεῖνο δὲ τὸ τοῦ Εὐαγγελιστοῦ Λουκᾶ, ὅτι «*Πολλοὶ*» (τέσσαρες, ἴσως, μόνον, ἢ πέντε πρὸ αὐτοῦ) «ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν» (Λουκ. α, ι). Βαρύτατα δὲ πάντων ἐσφάλη Ὀττιγγῆρος, ἐπιχειρήσας ἀποδεῖξαι τὸν Ἰώσηπον ὀνομάζοντα *Νόμον* ὅλον τὸ πλήρωμα τῆς Γραφῆς, « διότι (λέγει) διαλεγόμενος περὶ τῶν ἐν ταῖς Συναγωγαῖς ἀναγινωσκομένων ἱερῶν βίβλων, ὠνόμασε ταύτας « *βιβλία τοῦ Νόμου* ». Ἐκ δὲ τῶν θείων Εὐαγγελίων ἀποδείκνυται πρᾶγμα βέβαιον, ὅτι κατὰ τὰς Συναγωγὰς ἀνεγινώσκετο συνήθως οὐ μόνον ἡ Πεντάτευχος, ἀλλὰ καὶ οἱ Προφῆται »· ταῦτα Ὀττιγγῆρος (β). Ἀλλ᾽ ἴδε τί λέγει ὁ Ἰώσηπος. « Ὁ δ᾽ ἡμέτερος νομοθέτης - κάλλιστον καὶ ἀναγκαιότατον ἀπέδειξε παιδευτήριον τὸν νόμον· οὐ γὰρ εἰσάπαξ ἀκροασαμένους, οὐδὲ δὶς καὶ πολλάκις, ἀλλ᾽ ἑκάστης ἑβδομάδος, τῶν ἄλλων ἔργων ἀφεμένους, ἐπὶ τὴν ἀκρόασιν τοῦ νόμου ἐκέλευσε συλλέγεσθαι, καὶ τοῦτον ἀκριβῶς ἐκμανθάνειν » (Β. κατὰ Ἀπίων. §. ζ). Τίς, εἰ μὴ Τειρεσίου τυγχάνοι τυφλότερος, οὐ βλέπει σαφῶς ἐν τούτοις νόμον καλούμενον μόνον τὸν Μωσαϊκόν;

§. δ. Γ) Καὶ Φίλων δὲ λέγει σαφῶς μόνον τὸν Μωσέως νόμον ὑπὸ τῶν πρεσβυτέρων ἐξελληνισθέντα. Καὶ ἔπεστιν ἄρα θαυμάζειν καὶ ἀπορεῖν, ποίοις ὀφθαλμοῖς ἀνέγνωσαν (εἴ γε καὶ ἀνέ-

---

(α) « Πυθαγόρας - τοῖς ἑαυτοῦ μαθηταῖς - πολυετῆ παρήγγελλε σιωπήν ». Ἰωάν. Πατριάρχ. Ἱεροσολύμ. ἐν βίῳ τοῦ ἁγίου Ἰω. τοῦ Δαμασκηνοῦ. (βλ. ἐν τοῖς τοῦ Δαμασκην. Τ. α. σελ. ιβ. Venet. 1748).

(β) Hottinger. Thes. Phil. p. 316.

γνωσαν ὅλως) τὸν Φίλωνα, ὅσοι τὸν μὲν Ἀριστέαν καὶ τὸν Ἰώσηπον ὁμολογοῦσιν ἱστοροῦντας μόνην τὴν Πεντάτευχον ἐξελληνισθῆναι, τὸν δὲ Φίλωνα προσκαλοῦσι μάρτυρα βεβαιοῦντα τὴν μετάφρασιν ὅλης τῆς Γραφῆς, ἣν ὀνομάζει *Νόμον*; (α). Ἀλλ᾽ ὁ Φίλων δι᾽ ὅλου τοῦ περὶ βίου Μωσέως Β, λόγου (ὅπου τὰ τῆς ἑρμηνείας ἱστορεῖ) *τὸν Μωσέα τὸν νομοθέτην* ἐπαινεῖ, καὶ τὸ τῆς *νομοθεσίας ἱεροπρεπὲς*, μὴ παρ᾽ Ἰουδαίοις, ἀλλὰ καὶ παρὰ πᾶσι τοῖς ἄλλοις τεθαυμασμένον. Ὅθεν, λέγει, « Καί τινες (οἱ περὶ τὸν Φιλάδελφον) δεινὸν ἡγησάμενοι, εἰ *οἱ νόμοι* παρὰ τῷ ἡμίσει τοῦ τῶν ἀνθρώπων γένους ἐξετασθήσονται — τὸ δ᾽ ἑλληνικὸν εἰσάπαν ἀμοιρήσει, *πρὸς ἑρμηνείαν τούτων ἐτράποντο* ». Καὶ περὶ τῶν ἑρμηνέων δὲ λέγει ῥητῶς, ὅτι « τούτοις ἐξεγένετο συνδραμεῖν λογισμοῖς εἰλικρινέσι τῷ *Μωσέως καθαρωτάτῳ πνεύματι* ». Καὶ τελευταῖον (ἵνα τἄλλα παραλίπωμεν), συγκεφαλαιῶν τὸν λόγον φησίν· « Ἀπόχρη μὲν οὖν καὶ τὰ λεχθέντα πολὺς ἔπαινος *εἶναι τοῦ νομοθέτου*· πλείων δ᾽ ἐστιν ἕτερος, ὃν αὐταὶ περιέχουσιν *αἱ ἱεραὶ βίβλοι*, πρὸς ἃς ἤδη τρεπτέον, εἰς τὴν ἔνδειξιν τῆς ΤΟΥ ΣΥΓΓΡΑΨΑΝΤΟΣ ἀρετῆς ». Ἐλθέτωσαν ἤδη καὶ δεικνύτωσαν, ἂν δύνωνται, τὸν Φίλωνα λέγοντα πᾶσαν ἑρμηνευθῆναι τὴν Γραφήν! Ὅτι δὲ καὶ ἄλλως ὁ Φίλων διέκρινε « *τὰ λόγια τῶν Προφητῶν* », καὶ τοὺς « *ὕμνους* » ἀπὸ τοῦ *Νόμου*, προείπομεν ἀνωτέρω (§. β).

§. ε. Δ) Τέταρτος μάρτυς παρίτω Ἀριστόβουλος ὁ Ἰουδαῖος, ὃν οἱ ἐναντίοι θέλουσιν ἀκμάσαντα ἐπὶ τοῦ Φιλομήτορος. Ἔστω· ὅσῳ παλαιότερος, τοσούτῳ καὶ ἀξιοπιστότερος μάρτυς ἡμῖν ἔσται περὶ τοῦ πράγματος. Λέγει τοίνυν ὁ Ἀριστόβουλος (β). « Φανε-

---

(α) Ταῦτα λέγουσι Sixtus Senens. Bibliothec, l. 8. — Laurent. de la Barre. in Tertul. Apol. c. 19. — A .Steuch. Eugub. ad. Num. 1. — Feuardent. in Iren. III. 25. — Wower. de Bibl. interpr. c. 9 — Bonfrer. Praeloq. Biblic. c. 16. — Morinus Exercit. Bibl. VIII. c. 2. Hody.

(β) Παρ᾽ Εὐσεβ. Εὐαγγ. Προπ. ιγ, 12 πρβλ. καὶ Κλήμης Στρωμ. α. σελ. 410 [βλ. καὶ ὄπισθ. Βιβλ Α. κεφ. ιβ. §. ι.].

ρὸν, ὅτι κατηκολούθηκεν ὁ Πλάτων *τῇ καθ' ἡμᾶς Νομοθεσίᾳ*· καὶ φανερός ἐστι περιειργασμένος ἕκαστα τῶν ἐν αὐτῇ λεγομένων. Διηρμήνευται γὰρ πρὸ Δημητρίου τοῦ Φαληρέως, δι' ἑτέρων, πρὸ τῆς Ἀλεξάνδρου *καὶ* Περσῶν ἐπικρατήσεως, τά τε κατὰ τὴν ἐξαγωγὴν τὴν ἐξ Αἰγύπτου τῶν Ἑβραίων, — καὶ ἡ τῶν γεγονότων ἁπάντων αὐτοῖς ἐπιφάνεια, καὶ κράτησις τῆς χώρας, καὶ [ἡ] τῆς ὅλης νομοθεσίας ἐπεξήγησις. — Ἡ δὲ ὅλη ἑρμηνεία τῶν *διὰ τοῦ νόμου πάντων*, ἐπὶ τοῦ προσαγορευθέντος Φιλαδέλφου βασιλέως, σοῦ δὲ προγόνου, προσενεγκαμένου μείζονα φιλοτιμίαν, Δημητρίου τοῦ Φαληρέως πραγματευσαμένου τὰ περὶ τούτων » — Καὶ, « Διὰ τῆς νομοθεσίας ἡμῖν ὅλην τὴν Γένεσιν τοῦ κόσμου θεοῦ λόγους εἴρηκε Μωσῆς » κτλ. Τοὺς Ἀριστοβούλου τούτου λόγους ὁ Φρασήνιος, καὶ ἄλλοι, καὶ Οὐόσσιος (α) ἐκφέρουσι πρὸς ἀπόδειξιν, ὅτι πάσας τὰς Γραφὰς ἡρμήνευσαν οἱ Ο. Ἀλλ' ὁ τοῦ Ἀριστοβούλου νοῦς ἐστὶν οὗτος. *Ὅτι πολὺ πρότερον πρὸ τῶν Πτολεμαϊκῶν χρόνων ὑπῆρχέ τις ἑλληνικὴ μετάφρασις τοῦ Νόμου. — Ἡ δ' ἐπὶ τοῦ Φιλαδέλφου γενομένη, ὅλη γέγονε νέα, μετὰ μείζονος ἐπιμελείας καὶ σπουδῆς φιλοπονηθεῖσα*. Ὅτι δὲ ὁ Ἀριστόβουλος εἰπὼν « *τὰ διὰ τοῦ νόμου* » (τὰ ἐν τῷ νόμῳ δηλονότι περιεχόμενα), ἐσήμανε μόνον τὰ Μωσαϊκὰ τεύχη, δείκνυται σαφῶς οὐ μόνον ἐκ τῆς τοῦ *Νόμος* παρὰ πᾶσι τοῖς ἀρχαίοις συνήθους σημασίας (περὶ ἧς προείπομεν), ἀλλὰ καὶ ἐξ ἄλλου χωρίου αὐτοῦ τοῦ Ἀριστοβούλου (παρ' Εὐσεβ. Προπαρ. η, 10), ἐν ᾧ παρομοίως « *νόμον τὸν παρ' ἡμῖν* » (τοῖς Ἰουδαίοις) τὰς Μωσαϊκὰς βίβλους ὀνομάζει· καὶ πάλιν « τὴν Μωσέως *νομοθεσίαν* », καὶ « *τὴν* (ἐν τῷ ὄρει δοθεῖσαν) *γραφὴν τοῦ νόμου* » κτλ. Μαρτυρεῖ δὲ καὶ Εὐσέβιος (Προπαρ. ζ. 13) ἐπὶ τῶν Μωσέως βίβλων τεταγμένην παρὰ τῷ Ἀριστοβούλῳ τὴν λέξιν, ἐν οἷς αὐτὸν λέγει « Πτολεμαίῳ τῷ βασιλεῖ *τὴν τῶν νόμων* ἑρμηνείαν προσφωνῆσαι ». Καὶ Κλήμης ὡσαύτως φανερὰν ποιεῖται διαστολὴν μεταξὺ « *τοῦ κατὰ Μωσέα νόμου, καὶ τῶν ἄλλων προφητῶν* » (Στρωμ. ε. σελ. 594).

(α) Frassen. Disquis. Bibl. — J. Voss. Respons. ad Simon. Crit. Sacr.

§. ς. Ε) Πρὸς τοῖς ἑλληνιστὶ συγγράψασιν Ἰουδαίοις προστεθείσθωσαν καὶ οἱ παλαιοὶ ῥαββινικοὶ διδάκτορες· οἵτινες μνημονεύοντες τὴν ἐπὶ Φιλαδέλφου μετάφρασιν, *τὸν νόμον* μόνον ὀνομάζουσι, μηδέποτε μηδεμίαν ποιούμενοι μνείαν τῶν ἄλλων βίβλων τῆς Γραφῆς. Καὶ οἱ μὲν περὶ τὸν Μορῖνον λέγουσιν, ὅτι καὶ οὗτοι διὰ τοῦ *νόμος* ὅλην σημαίνουσι τὴν Γραφήν· ἀλλὰ τοῦτο ψευδὲς ἐξελέγχεται οὐ μόνον ἐκ τῆς προῤῥηθείσης εἰς Νόμον καὶ Προφήτας καὶ Ἁγιόγραφα παλαιᾶς διαιρέσεως τῆς Γραφῆς, ἀλλὰ καὶ ἐξ ὧν λέγουσι ῥητῶς οἵ τε τοῦ βαβυλωνικοῦ Ταλμουδίου (α), καὶ οἱ τοῦ τῶν Ἱεροσολύμων (β), καὶ προσέτι τὸ ἀρχαῖον ἑβραϊκὸν Χρονικὸν (γ), καὶ ἡ τοῦ Ἰωσήπου παρ' αὐτοῖς *ἐπιτομή*. Πάντες οὗτοι τὸν Μωσέως νόμον, ἢ τὴν Πεντάτευχον ἐπὶ τοῦ Φιλαδέλφου μεταφρασθῆναι διαῤῥήδην ὁμολογοῦσι. Μόνος εἷς Ἑβραῖος, ὁ Γοριωνίδης, εἶπεν, ὅτι «οἱ Ο, ἱερεῖς ἐξήγησαν ὅλον τὸν νόμον, *καὶ τὰ λοιπὰ βιβλία τῆς Γραφῆς*», ὅλα δηλαδὴ τὰ ΚΒ ». Ἀλλὰ τὸ « *τὰ λοιπὰ βιβλία* » φαίνεται προστεθειμένον ὕστερον, ὑπ' ἄλλου τινος παρεγγραφέν· διότι ὁ αὐτὸς Γοριωνίδης ἀλλαχοῦ *μόνα τὰ πέντε τεύχη τοῦ νόμου* μεταφράσαι λέγει τοὺς Ο. Μαρτυρεῖ δὲ καὶ ὁ θεῖος Ἱερώνυμος, ὅτι «Πᾶσα ἡ σχολὴ τῶν Ἰουδαίων διαβεβαιοῖ *μόνην τὴν Μωσαϊκὴν Πεντάτευχον* ἑρμηνεῦσαι τοὺς Ο » (δ).

§. ζ. Ὁ δὲ σοφὸς Οὐαλέσιος ὁμολογεῖ μὲν, ὅτι οὐ μόνον οἱ Ταλμουδικοὶ, καὶ Ἰώσηπος, καὶ Ἀριστέας, ἀλλὰ καὶ Φίλων, καὶ Ἀριστόβουλος τοῦτ' αὐτὸ μαρτυροῦσιν· « ἀλλ' ἡμεῖς (λέγει) πολλῷ πλείονας ἀντιτάσσομεν μαρτυροῦντας μὴ μόνον τὰ βιβλία τοῦ Νόμου, ἀλλὰ καὶ τὰ τῶν Προφητῶν καὶ τὰ Ἁγιόγραφα μεθηρμηνευκότας τοὺς Ο. Τούτων εἰσὶν Ἰουστῖνος (Παραιν.), Εἰρηναῖος (κατὰ Αἱρέσ. γ, 25), Κλήμης (Στρωμ. α, 342), Ἐπιφάνιος (περὶ

(α) Ἐν Τμήμ. Megilla.
(β) Ἐν Massecheth Sopherim.
(γ) Seder Olam Zuta.
(δ) S. Hieron. Comm. in Ezech. c. 5. et Comm. in Mich. c. 2.

Μέτρ.), Ὀλυμπιόδωρος (Προοιμ. Σειρᾶς εἰς τὸν Ἰώϐ), καὶ πάντες οἱ λοιποὶ Ἐκκλησιαστικοί » (α). Ἀλλ' ἡμεῖς (λέγει Ὅδιος) τοσοῦτον ἀπέχομεν ἀπὸ τοῦ νομίζειν τούτων τὸ κῦρος ἀντάξιον πρὸς τοσαύτην ἀντιταχθῆναι συμφωνίαν τῶν Ἰουδαίων, ὥστε πάσας ὁμοῦ τῶν Πατέρων τούτων τὰς μαρτυρίας οὐκ ἂν προτιμήσαιμεν οὐδ' ἑνὸς γοῦν καὶ μόνου, ἢ αὐτοῦ τοῦ Ψευδαριστέου, ἢ τοῦ Ἰωσήπου, ἢ τοῦ Φίλωνος, ἢ τοῦ Ἀριστοϐούλου. Πόθεν ἄλλοθεν οἱ Πατέρες, εἰ μὴ παρὰ τῶν Ἰουδαίων, εἶχον μαθεῖν περὶ τῶν ἐπὶ Φιλαδέλφου μεταφρασθέντων βιϐλίων; Ἀλλ' ὅπερ εἶπεν ὁ Θουκυδίδης, ὅτι « Ἀταλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληθείας », τοῦτο χώραν ἔχει καὶ ὧδε. Τῶν συγγραφέων τούτων οἱ μὲν νεώτεροι ἐϐάδισαν ἐπὶ τὰ ἴχνη τῶν προτέρων· οἱ δὲ παλαιότατοι ἐπλανήθησαν, βλέποντες ἤδη τὸν κώδηκα τῆς παλαιᾶς Διαθήκης πρὸ τῶν Ἀκύλα χρόνων ὁλόκληρον ἐξελληνισμένον (ϐ). Ἐπειδὴ γὰρ αὕτη ἡ τῶν Ο, λεγομένη μετάφρασις διά τε τὸν πολὺν τῶν ἑρμηνέων ἀριθμὸν, καὶ διὰ τὸν μῦθον τοῦ θαύματος τῶν οἰκίσκων, ὑπῆρχεν ἤδη συνηθεστάτη καὶ περιμάχητος, ἑτοίμως λοιπὸν κἀκεῖνοι οἱ ἀρχαῖοι κατεπείσθησαν καὶ ἀταλαιπώρως, ὅτι αὕτη δὴ ἡ ἑρμηνεία (ἣν ἥτε Ἐκκλησία παρεδέξατο, καὶ αὐτοὶ μετεχειρίζοντο συζητοῦντες πρὸς Ἰουδαίους) συνεγράφη πᾶσα καὶ ἀπηρτίσθη ὑπὸ τῶν αὐτῶν ἑρμηνευτῶν. Ἐνὶ λόγῳ, καθὼς περὶ τοῦ θαύματος τῶν οἰκίσκων ἠπατήθησαν εὐχερῶς Ἰουστῖνος, καὶ Εἰρηναῖος, καὶ οἱ λοι-

---

(α) Vales. epist. ad Usser. de LXX.

(ϐ) Πρόσθες (λέγει Ὅδιος) καὶ Ὠριγέν. εἰς ψαλμ. ϐ (ὅπου μνημονεύει τὴν ὑπὸ τῶν Ο, ἑρμηνείαν τῶν ψαλμῶν): Εὐσέϐ. Προπαρ. Εὐαγ. η, ι. — Κύριλλ. Ἱεροσολ. Κατηχ. ε: — Χρυσόστομ. εἰς Γένεσ. ὁμιλ. δ. — Θεοδώρητ. Προοιμ. Ἑρμ. εἰς Ψαλμ. — Θεόδωρ. Ἀντιοχ. εἰς ψαλμ. θ. — Θεόδωρ. Ἡρακλ. εἰς ψαλμ. ϐ. — Προκόπ. Γάζης Προοιμ. εἰς Ὀκτάτ. — Ἡσύχ. εἰς ψαλμ. ϙη. — Μαλαλᾶ Χρονικ. — Σύγκελ. Χρονογρ. — Εὐθύμ. Ζιγαϐην. προοιμ. εἰς Ψαλμ. — Κεδρην. ἱστορ. — Μιχ. Ψελλ. ἐν χειρογράφῳ ἑρμην. εἰς Ψαλμ. — Καὶ ἐκ τῶν Δυτικῶν, S. Hilar. praef. in Psalm. — Philastr. de Haeres. — Rufin. Com. in Joel. — S. Aug. de Doctr. Christ. 4. 7. — Isid. Hisp. Orig. 6. 3. — Καὶ ἐκ τῶν Ἀράϐων, Said. ibni Batric. Annal. — Abulpharajius Hist. Dynast. — Chronic. Oriental. — Elmacin Chron. etc. Hody.

ποὶ τῆς Ἐκκλησίας ἀρχαιότατοι συγγραφεῖς, οὕτως ἠπατήθησαν καὶ περὶ τὸν ἀριθμὸν τῶν ἐξελληνισθέντων βιβλίων τῆς Γραφῆς· καὶ τὴν διπλῆν ταύτην ἀπάτην εὐχερῶς μετέδωκαν καὶ τοῖς μεταγενεστέροις. Θαυμαζέτω δὲ μηδεὶς, πῶς οὕτω ῥαδίως ἐπλανήθησαν οἱ τῇ μεταφράσει ταύτῃ χρώμενοι παλαιοὶ χριστιανοί. Οὕτω καὶ Μαρωνῖται καυχῶνται, καὶ πιστεύουσι μέχρι σήμερον, ὅτι καὶ τῆς παρ' αὐτοῖς Παλαιᾶς Γραφῆς τὰ βιβλία, τὰ μὲν ἡρμηνεύθησαν (εἰς τὴν Συριακὴν) ἐπὶ τῶν ἡμερῶν καὶ κατὰ διαταγὴν τοῦ Σολομῶντος (ὅσα μέχρι τότε ὑπῆρχον συγγεγραμμένα), μεσιτεύσαντος τοῦ φίλου Χιρὰμ, Τύρου βασιλέως. Τὰ δὲ λοιπὰ τῆς Παλαιᾶς καὶ τὰ τῆς Νέας Διαθήκης ἡρμηνεύθησαν ἐπὶ Αὐγάρου, Συρίας βασιλέως, ἐπιμελείᾳ καὶ σπουδῇ Θαδδαίου καὶ τῶν λοιπῶν Ἀποστόλων.

§. η. ϛ) Ἀλλὰ τὴν δημώδη ταύτην πλάνην συνεῖδε καὶ ἀπέῤῥιψεν ὁ τῶν δυτικῶν ἁπάντων Πατέρων μακρῷ τῷ μέτρῳ πολυμαθέστατος Ἱερώνυμος, λέγων· «Καὶ Ἰώσηππος ἐκτιθέμενος τὴν περὶ τῶν Ο ἱστορίαν, μόνα τὰ πέντε βιβλία τοῦ Μωϋσέως ὑπ' αὐτῶν ἑρμηνευθῆναι διδάσκει. Συνομολογοῦμεν δὲ καὶ ἡμεῖς, ὅτι ταῦτα μᾶλλον τῶν ἄλλων συμφωνοῦσι πρὸς τὸ κείμενον τὸ Ἑβραϊκόν» (α). Καὶ πάλιν· «Ὅπως ἀποδείξω τὸ σκοτεινότατον καὶ μυστήρια τῆς Ἐκκλησίας περιέχον τοῦτο κεφάλαιον» (τὸ λα, Ἱερεμ.), «ἢ ἀγνοηθὲν, ἢ παροραθὲν ὑπὸ τῶν Ο, ἢ *ὅστις ἄλλος ἡρμήνευσε τὸν Προφήτην τοῦτον*» (β). Καὶ, «Ἀριστέας καὶ Ἰώσηππος καὶ πᾶσα τῶν Ἰουδαίων ἡ σχολὴ τὰ Ε μόνον βιβλία τοῦ Μωϋσέως ὑπὸ τῶν Ο ἑρμηνευθῆναι διαβεβαιοῦσι». Καὶ πάλιν· «Τοῦτο παρὰ τοῖς Ο, οὐ κεῖται. — Καίτοι γε οἱ πεπαιδευμένοι (eruditi) μόνην τὴν Πεντάτευχον ὑπ' ἐκείνων ἑρμηνευθῆναι κρίνουσιν (γ). Καὶ τέλος· «Ἡ τῶν Ο ἑρμηνεία· εἴπερ οὖν ἐστι τῶν Ο. Ὁ γὰρ Ἰώσηππος γράφει, καὶ οἱ Ἑβραῖοι παραδιδοῦσι, τὰ

(α) S. Hieronym. Quaest. Hebr. in Genes. Prooem. — (β) Comm. in Jer. c. XXXI. — (γ) Comm. in Ezech. V. καὶ XVI.

πέντε μόνον τεύχη τοῦ Μωσέως αὐτοὺς ἑρμηνεῦσαι τῷ βασιλεῖ Πτολεμαίῳ » (α). Ἐκ τούτων τοίνυν βλέπομεν, ὅτι καὶ ἄλλοι πεπαιδευμένοι, πλὴν τοῦ Ἱερωνύμου, καὶ ἔτι τούτου πρότερον, τὴν αὐτὴν ἀλήθειαν ἠσπάζοντο, πειθόμενοι τῇ μαρτυρίᾳ τοῦ Ἀριστέου καὶ Ἰωσήπου καὶ τῶν Ῥαββίνων. Ἀλλ᾽ ὁ Βαρόνιος (Χρον. ἔτ. 231) ἀνθίσταται λέγων, ὅτι πρότερον μὲν ὑπέλαβεν ὁ Ἱερώνυμος μόνην τὴν Πεντάτευχον ἑρμηνεῦσαι τοὺς Ο, μετέπειτα δὲ ὅμως ὡμολόγησε σύμφωνα τοῖς ἄλλοις ἅπασιν. Ἔδειξε δέ. « Τοὺς γὰρ προφήτας ἑρμηνεύων ἐκ τοῦ Ἑβραϊκοῦ, παρατίθησιν ἐξηγῶν καὶ τὸ ὕφος τῶν Ο, τούτων εἶναι δηλαδὴ καὶ τὴν τῶν προφητῶν ἑρμηνείαν ἐπιγινώσκων ». Τοιαῦτα καὶ ὁ Μορῖνος. « Κατὰ τόπους (φησὶν) ἀναριθμήτους ὁ Ἱερώνυμος καὶ παρέδωκε καὶ ἔγραψεν, ὡς πρᾶγμα δεδημοσιευμένον, καὶ κοινῶς παρὰ πᾶσιν ὁμολογούμενον, ὅτι πᾶσαν τὴν Γραφὴν οἱ Ο, ἐξελλήνισαν. Καὶ μαρτυρίας δὲ πολλὰς ὁ Πατὴρ ἐκ τῆς ἑρμηνείας τῶν Ο προφέρει, ἢ ἐξηγεῖ». Ἀλλὰ μάταια ταῦτα (ἀπαντᾷ Ὅδιος). Ἐν αὐτοῖς γὰρ τοῖς εἰς τοὺς Προφήτας (τὸν Ἱερεμ. καὶ Ἰεζεκ.) ὑπομνήμασι περιέχονται τὰ προεκτεθέντα τοῦ Ἱερωνύμου χωρία· καὶ ταῦτα συνέγραψεν ὁ Πατὴρ ὀλίγῳ πρὸ τῆς τελευτῆς αὐτοῦ. Εἰ δὲ καὶ πολλαχοῦ ἀλλαχοῦ μνημονεύει καὶ ἐξηγεῖ τὴν εἰς τοὺς Ο συνήθως ἀπονεμομένην ἑρμηνείαν, ἀλλ᾽ ἤρκεσεν ἐκφράσας ἐνιαχοῦ τὴν περὶ ταύτης ἰδίαν αὐτοῦ γνώμην (β). Καὶ ἐν ἄλλοις δὲ τόποις ὁ Ἱερώνυμος φαίνεται φρονῶν τὰ λοιπὰ (πλὴν τῆς Πεντατεύχου) βιβλία τῆς Γραφῆς ὑπὸ διαφόρων ἑρμηνέων μεταφρασθέντα (καθὼς ὀψόμεθα ἐν τῷ οἰκείῳ τόπῳ). Ὅτι δὲ *καὶ ἄλλοι τῶν Πατέρων τῆς Ἐκκλησίας* ἐπρέσβευον μόνην τὴν Πεντάτευχον ὑπὸ τῶν Ο,

---

(α) Comm. in Mich. c. II.

(β) Οὐδεμίαν, Ὅδιε, γνώμην ἰδίαν ἐν τούτοις ἐξέφρασε ῥητῶς καὶ σταθερῶς ὁ Ἱερώνυμος. Ἀλλὰ τῇ κοινῇ διαγνώσει τῆς Ἐκκλησίας ἀκολουθῶν, ἀπένειμεν εἰς τοὺς Ο, τὴν, ἣν ὑπεμνημάτιζεν ἑρμηνείαν τῶν προφητῶν. Ἐν δὲ τῷ μεταξὺ τῶν ὑπομνηματισμῶν ἀνέφερε καὶ τὴν (ὡς ἐνόμισε) διάφορον γνώμην ὧν λέγει πεπαιδευμένων. Ὅπως δὲ περὶ ταύτην ἠπατήθη, λέγομεν ἐν τῇ ἀπαντήσει §. κβ. Σημ. ἡμετ.

μεταγλωττισθεῖσαν, συνάγεται ἐκ τῶν ἐφεξῆς τοῦ Ἱερωνύμου. Σχολιάζων γὰρ τὸ « τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται πέντε πόλεις ἐν Αἰγύπτῳ » κτλ. (Ἡσαΐ. ιθ, 18), λέγει· « Ὅσοι τὴν προφητείαν ἀναφέρουσιν εἰς τὴν ἔλευσιν τοῦ Χριστοῦ, καὶ τὴν Ῥωμαϊκὴν Αὐτοκρατορίαν, *πέντε πόλεις* ἐξεδέξαντο ἢ τὸν ἐν Ἀλεξανδρείᾳ τὸ πρῶτον ἑρμηνευθέντα Νόμον τοῦ Κυρίου (τὴν *Πεντάτευχον*), ἢ τὰ πέντε τάγματα τῆς Ἐκκλησίας, Ἐπισκόπους, Πρεσβυτέρους, Διακόνους, Πιστούς, Κατηχουμένους » (α).

§. θ. Ἀπίθανον ἔδοξε πολλοῖς (οἷον Ἀνδρέᾳ τῷ Μασίῳ, καὶ Βοβερίῳ, καὶ Ὀττιγγήρῳ, καὶ Οὐαλεσίῳ, καὶ ἄλλοις), ὅτι μόνην ὁ Φιλάδελφος τὴν Μωσαϊκὴν Πεντάτευχον, ἀλλὰ μὴ καὶ τὰς λοιπὰς βίβλους τῆς Γραφῆς ἐπεθύμησεν ἐξελληνισθείσας εἰς τὴν ἑαυτοῦ βιβλιοθήκην ἀποτεθῆναι. Ἀλλὰ τὸ κατὰ τοσούτων Ἰουδαίων ἀρχαίων, καὶ τούτων Ἀλεξανδρινῶν, διὰ τοιούτων συλλογισμῶν ἐπιχειρεῖν, ἄτοπον λίαν καὶ ἀπρεπές. Εἰ μὲν οὖν ἀληθῶς ἐκ διαταγῆς τοῦ Βασιλέως ἡ μετάφρασις ἐγένετο, λέγομεν, ὅτι μόνων τῶν Μωσαϊκῶν βίβλων διέταξε τὴν ἑρμηνείαν ὁ βασιλεύς, ὡς ἐπισημοτάτων παρ' Ἰουδαίοις, καὶ τὰ τούτων νόμιμα περιεχουσῶν, τὰς δ' ἄλλας παρεῖδεν. Εἰ δὲ καὶ μήτε τοῦ Φιλαδέλφου προστάξαντος, μήτε τοῦ Φαληρέως ἐπιμεληθέντος, ὑπ' αὐτῶν δὲ τῶν Ἰουδαίων ἰδιωτικῶς πρὸς κοινὴν αὐτῶν χρῆσιν ἐτελέσθη ἡ ἑρμηνεία (καθὼς προαπεδείξαμεν), τότε πίπτει παντελῶς κωφὸν τὸ ἐπιχείρημα.

§. ι. Τούτου δὲ τεθέντος, ῥᾷστα καταφαίνεται τὸ αἴτιον, δι' ὃ

---

(α) Ἀλλ' ὁ μὲν μακάριος Ἱερώνυμος τὰς πέντε πόλεις πρὸς τὴν Πεντάτευχον ἀλληγορῶν, οὐδόλως οὐδ' ὁπωσοῦν ἀποκλείει καὶ τῶν ἄλλων βιβλίων τῆς Γραφῆς τὴν κατὰ τὴν Ἀλεξάνδρειαν ἑρμηνείαν. Σὺ δὲ σοφώτατε Ὅδιε, ἐπειδὴ καὶ τὰ τοῦ Πατρὸς οὕτω παρηρμήνευσας, ὤφειλες πάντως ὀνομάσαι ἕνα γοῦν τούτων, ὧν λέγεις, τῶν ἱερῶν τῆς Ἐκκλησίας πατέρων (ὧν τὰ μὲν ὀνόματα παρεσιώπησεν Ἱερώνυμος, σὺ δὲ τὰ συγγράμματα πολλάκις ἀνέγνως), ἵνα καὶ τὴν Ἱερωνύμου γνώμην (καθὼς αὐτὴν ἐξέλαβες) ἐπικυρώσῃς, καὶ σὺ αὐτὸς πιστότερα λέγων φανῇς. βλ. καὶ ἐφεξῆς §. κϐ. Σημ. ἡμετ.

καὶ τότε μόνη μετεφράσθη ἡ Πεντάτευχος, οὐχὶ δὲ πᾶσα ἡ Γραφή. Κατ᾽ ἐκείνους τοὺς χρόνους ἐν ταῖς Συναγωγαῖς μόνος ὁ Μωσαϊκὸς ἀνεγινώσκετο Νόμος· τῶν δ᾽ ἄλλων βιβλίων οὐδέν. Τοῦτο βεβαιοῦσιν ἀρχαῖοι Ῥαββῖνοι (α), διδάσκοντες, ὅτι μόνου τοῦ Νόμου χωρία καὶ τμήματα, ἢ περικοπὰς, ἀνεγίνωσκον συνήθως ἐν ταῖς Συναγωγαῖς μέχρι τοῦ παρ᾽ Ἀντιόχου τοῦ Ἐπιφανοῦς γενομένου διωγμοῦ. Ἐπειδὴ δὲ οὗτος ἀπηγόρευσε τὴν δημοσίαν ἀνάγνωσιν τοῦ Νόμου, βιασθέντες οἱ Ἰουδαῖοι, ἵνα μὴ παντάπασιν ἱερᾶς ἀναγνώσεως ἔρημοι συνέρχωνται εἰς τὰς Συναγωγὰς, ὑπέβαλον ἄλλας ἀναγνώσεις ἐκ τῶν Προφητῶν, ἀντὶ τῶν προτέρων τῶν ἐκ τοῦ Νόμου (β). Τελευτήσαντος δὲ τοῦ Ἀντιόχου, καὶ τῆς τυραννίδος ἀποσβεσθείσης, εἰσήχθη πάλιν ἡ τοῦ Νόμου ἀνάγνωσις· διὰ δὲ τὴν ἤδη κεκρατηκυῖαν κοινωφελῆ συνήθειαν παρέμειναν καὶ τὰ προφητικὰ ἀναγνώσματα. Γνωστὸν δὲ, κἂν μὴ λέγωμεν, πόσον οἱ Ἰουδαῖοι τὰς Μωσαϊκὰς ὑπὲρ τὰς λοιπὰς τιμῶσι Γραφάς. Διὰ τοῦτο καὶ νῦν ἐν ταῖς Συναγωγαῖς αἱ μὲν τοῦ Νόμου περικοπαὶ συνήθως ἀναγινώσκονται ὑπό τινος ἀνδρὸς τῶν ἐπισήμων, αἱ δὲ τῶν Προφητῶν, ὑπὸ παιδὸς, ἢ ἄλλου τινὸς ἀσήμου καὶ τῆς ἐσχάτης τάξεως.

§. ια. Ὁ δὲ Βοβέριος ἐξαίσιον ὅσον ἐσφάλη, φρονήσας τὴν Μωσαϊκὴν Πεντάτευχον μηδέποτε κεχωρισμένην ἀπὸ τῶν λοιπῶν βιβλίων τῆς Γραφῆς (γ). Ἀείποτε σχεδὸν τὰ τεύχη τοῦ Μωσέως ἦσαν ἀπὸ τῶν ἄλλων διακεκριμένα καὶ χωριστά. Ἀλλ᾽ οὐδὲ τὰ ἄλλα βιβλία (τῆς Π. Γραφῆς) συνήπτοντο πάντα εἰς ἕνα τόμον

(α) Παρὰ Rivet. Isagog. in Scr. c. 29. §. 23. καὶ Hotting. Thesaur. Phil. p. 222. [πρβλ. καὶ Carpzov. Crit. Sacr. p. 148].

(β) Paraschas, τουτ. τμήματα, ἢ περικοπὰς, ὀνομάζουσιν οἱ Ἰουδαῖοι τὰ τοῦ Νόμου ἀναγνώσματα· τὰ δὲ τῶν Προφητῶν, Haptharas, παύσεις τινας, ἢ ὀρθότερον ἀπολύσεις (missas), καὶ οἷον ἀπολυτήρια (ἢ ἀπολυτίκια)· διότι μετὰ τὴν τούτων ἀνάγνωσιν, ὀλίγων γενομένων εὐχῶν, ἀπολύουσι τὴν σύναξιν (ἢ «λύουσι τὴν συναγωγήν». Πράξ. ιγ, 43). βλ. Carpzov. l. c. p. pag. 141. — Σημ. ἡμετ.

(γ) Wower. Syntagm. de LXX. p. 75.

ἀθρόα συνεστοιχωμένα (α). Περιεῖχον δὲ οἱ ἱεροὶ κώδηκες νῦν μὲν πλείονα, νῦν δ' ἐλάσσονα τεύχη, καί ποτε καὶ μόνον ἕν, κατὰ τὴν ἀρέσκειαν ἑκάστων. Εὑρίσκεται δὲ καὶ τὴν σήμερον ἡ Πεντάτευχος εἰς ἓν σωμάτιον, χωρὶς τῶν ἄλλων βιβλίων, μονότομος γεγραμμένη, κατὰ διαφόρους γλώσσας, Ἀραβιστὶ, Περσιστὶ, Συριστὶ, Κοπτιστὶ, καὶ Ἑβραϊστὶ δὲ πολλάκις ἔν τε ταῖς Συναγωγαῖς καὶ ἐν ταῖς καθ' ἡμᾶς βιβλιοθήκαις. Μόνην τὴν Πεντάτευχον ἐξέδωκε Χαλδαϊστὶ παραφράσας καὶ ὁ παλαιὸς Ὄγκελος, Ἰουδαῖος παραφραστής. Καὶ τῶν Μαύρων δὲ τῶν Ἰουδαίων ἀραβικὴν Πεντάτευχον μονότομον ἐξέδωκεν ὁ Ἐρπένιος. Τελευταῖον, ἐν αὐταῖς ταῖς θείαις Γραφαῖς (Ἔσδρ. ς, 18: Νεεμ. ιγ, 1: Μάρκ. ιβ, 26), τὰ πέντε τεύχη τοῦ Μωϋσέως οὐχὶ *βίβλοι* (πληθυντικῶς), ἀλλὰ *βίβλος Μωσέως* καλεῖται (ἑνικῶς, ὡς κώδηξ μονότομος)· ἀλ-

---

(α) Ὁ Εὐσέβιος (βίῳ Κωνστ. δ, 36) ἱστόρησε τὸν Μ. Κωνσταντῖνον κελεύσαντα γραφῆναι 50 ἀντίγραφα τῆς ἁγίας Γραφῆς ἐν διφθέραις, εἰς χρῆσιν τῶν Ἐκκλησιῶν ». Hody. p. 176. = [Ἰδοὺ οἱ λόγοι τοῦ Εὐσεβίου ἐκ τῆς πρὸς αὐτὸν ἐπιστολῆς τοῦ Μ. Κωνσταντίνου. πρβλ. Θεοδώρ. Ἐκ. ἱσ. α, 15). « Κατὰ τὴν ἐπώνυμον ἡμῖν πόλιν — μέγιστον πλῆθος ἀνθρώπων τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ ἀνατέθεικεν ἑαυτό. — Ὡς σφόδρα ἄξιον καταφαίνεσθαι καὶ Ἐκκλησίας ἐν αὐτῇ τῇ πόλει κατασκευασθῆναι πλείους. — Τοιγάρτοι — πρέπον κατεφάνη τὸ δηλῶσαι τῇ σῇ συνέσει, ὅπως ἂν π ε ν τ ή κ ο ν τ α σ ω μ ά τ ι α ἐν διφθέραις ἐγκατασκεύοις, εὐανάγνωστά τε καὶ πρὸς τὴν χρῆσιν εὐμετακόμιστα, ὑπὸ τεχνιτῶν καλλιγράφων — γραφῆναι κελεύσειας, τ ῶ ν θ ε ί ω ν δ η λ α δ ὴ Γ ρ α φ ῶ ν, ὧν μάλιστα τήν τ' ἐπισκευὴν καὶ τὴν χρῆσιν τῷ τῆς Ἐκκλησίας λόγῳ (ἴσ. γρ. συλλόγῳ) ἀναγκαίαν εἶναι γινώσκεις » κτλ. Ὁ Μ. λοιπὸν Κωνσταντῖνος ἐζήτησε 50 σωμάτια (κώδηκας ὁλοκλήρους) ὅλων τῶν θείων Γραφῶν (τ ῆ ς τ ε Π α λ α ι ᾶ ς δ η λ ο ν ό τ ι κ α ὶ τ ῆ ς Κ α ι ν ῆ ς Δ ι α θ ή κ η ς) περιεκτικὰ, ὡς ἀναγκαῖα τῷ συλλόγῳ τῆς Ἐκκλησίας (ἐν ᾗ δημοσίως ἀναγινώσκονται ἐ κ π ά σ η ς τ ῆ ς θ ε ί α ς Γ ρ α φ ῆ ς ἀναγνώσματα)! Καὶ ἀπέστειλεν ὁ Εὐσέβιος τὰ 50 ταῦτα σωμάτια (αὐτόθ. δ, 37) « Ἐ ν π ο λ υ τ ε λ ῶ ς ἠ σ κ η μ έ ν ο ι ς τ ε ύ χ ε σ ι τ ρ ι σ σ ὰ κ α ὶ τ ε τ ρ α σ σ ὰ δ ι α π έ μ ψ α ς » (τουτ. τὰ μὲν εἰς τρεῖς, τὰ δ' εἰς τ έ σ σ α ρ α ς τόμους (οὐχὶ κατὰ τὸν Βαλέσ. εἰς τρίφυλλα καὶ τετράφυλλα τετράδια, terniones et quaterniones) διῃρημένα διὰ τὸ ε ὐ μ ε τ α κ ό μ ι σ τ ο ν (ἴσως δὲ τῶν τόμων τούτων τινὲς περιεῖχον ἰδίως τὰς ἐπ' Ἐκκλησίας καθ' ἑκάστην ἀναγινωσκομένας περικοπὰς τῆς τε παλαιᾶς καὶ τῆς καινῆς Διαθήκης). Ποῦ λοιπὸν ἐν τούτοις τοῖς Εὐσεβίου λόγοις εὕρηκεν ὁ κριτικὸς, ἢ τὴν Π ε ν τ ά τ ε υ χ ο ν ἀπὸ τῶν ἄλλων βιβλίων κεχωρισμένην, ἢ ὅτι τὰ 50 ταῦτα σωμάτια περιεῖχον μόνα τὰ (περὶ ὧν ὁ λόγος) τεύχη τ ῆ ς Π α λ α ι ᾶ ς Γ ρ α φ ῆ ς, αὐτὸς ἂν εἰδείη. Σημ. ἡμετ.].

λαχοῦ δὲ (Νεεμ. η, 8) καὶ « *βιβλίον τοῦ νόμου* ». Ἐντεῦθεν ὁ Μωσέως νόμος λέγεται καὶ μονολεκτικῶς « *Ἡ Πεντάτευχος* », ὡς ἓν σωμάτιον, ἢ τόμος εἷς, ἐκ *πέντε τευχῶν*, ἢ βιβλίων συνεστηκώς.

§. ιϐ. Ὅσοι δὲ πεπιστεύκασι καὶ ἄλλας, πλὴν τῆς Πεντατεύχου, βίβλους τῆς Γραφῆς ὑπὸ τῶν Ο μεθερμηνευθῆναι, τούτων οἱ μὲν πλεῖστοι κοινῶς ἀριθμοῦσι μόνας τὰς ἐνδιαθέτους βίβλους τοῦ ἑβραϊκοῦ κανόνος (κβ, τὸν ἀριθμὸν), καὶ τοῦτο μετ᾽ ἄλλων ὁ Ἱεροσολύμων Κύριλλος ἐγνωμάτευσεν. Οἱ δέ τινες ἔτι πόῤῥωτέρω τῆς πλάνης χωρήσαντες, πολλὰ καὶ ἄλλα διεδογμάτισαν ὑπὸ τῶν Ο μεταφρασθῆναι, ἢ καὶ συγγραφῆναι κατὰ θείαν ἔμπνευσιν πρὸς ἐξήγησιν τῶν Γραφῶν (α). Κατὰ δὲ τὸν Κεδρηνὸν, ὁ Πτολεμαῖος « Τὴν μεταβολὴν τῶν θείων Γραφῶν, καὶ λοιπῶν ἑλληνικῶν, χαλδαϊκῶν, αἰγυπτίων, καὶ ῥωμαϊκῶν, εἰς δέκα μυριάδας ἀριθμουμένων βιβλίων (γρ. *βίβλων*), πασῶν τε ἀλλογλώσσων οὐσῶν, εἰς τὴν Ἑλλάδα γλῶσσαν μετεποίησε διὰ τῶν Ο, σοφωτάτων Ἑβραίων, ἃς καὶ ἐν ταῖς κατὰ τὴν Ἀλεξάνδρειαν βιβλιοθήκαις αὐτοῦ ἐναπέθετο ». Ταῦτα ὁ μωρὸς καὶ στελεώδης ἐκεῖνος συῤῥάπτης τῶν ἱστοριῶν! (β). Ῥαββινίσκοι δέ τινες εἶπον, ὅτι καὶ τὴν φιλοσοφίαν καὶ τὰς τέχνας καὶ ἐπιστήμας παρέλαβον οἱ Ἑλ-

---

(α) Βλ. Galatin. de arcan. — et Chronicon Carionis à Melanchthon. auctum. Hody.

(β) Σ τ ε λ ε ώ δ η (Stolidum), ἢ *στελεχώδη, καὶ σ τ έ λ ε χ ο ς, καὶ σ τ ύ π π ο ς ἀποκαλῶν τὸν Κεδρηνὸν ὁ κριτικὸς, ἀπὸ κ έ δ ρ ο υ πάντως τοῦτον ἐννοεῖ, παίζων πρὸς τὴν ἐπωνυμίαν! πλὴν ἀλλ᾽ ἐν τούτοις οὐκ ἐξηκρίβωσε τὸ νόημα τῆς φράσεως τοῦ κεδρίνου ἱστορικοῦ. Οὗτος (κατὰ τὴν συνήθη παρ᾽ αὐτῷ τῆς συντάξεως ἀνωμαλίαν), τὴν μ ε τ α β ο λ ὴ ν τ ῶ ν θ ε ί ω ν Γ ρ α φ ῶ ν συνάπτει πρὸς τὸ ε ἰ ς τ ὴ ν ἑ λ λ ά δ α γ λ ῶ σ σ α ν μ ε τ ε π ο ί η σ ε δ ι ὰ τ ῶ ν Ο, κτλ. τὰ δ᾽ ἐν τῷ μεταξὺ (« κ α ὶ λ ο ι π ῶ ν ἑ λ λ η ν ι κ ῶ ν, χ α λ δ α ϊ κ ῶ ν κτλ. μέχρι τ ο ῦ ο ὐ σ ῶ ν) παρενέβαλε διὰ παρενθέσεως, ὑπονοῶν πάλιν τὸ « μ ε τ α β ο λ ὴ ν » δι᾽ ἄλλων δηλαδὴ γενομένην· ταύτας δὲ τὰς τῶν ἄλλων ἐθνῶν βίβλους μετέγραψε προφανῶς ἐκ τοῦ Ἐπιφανίου (π. μέτρ. §. θ)· καὶ Συγκέλλου (σελ. 516). Καὶ ἴσως ἔγραψεν ὀρθῶς, ὡς ἔχουσιν ἐκεῖνοι· διεφθάρη δὲ ὑπ᾽ ἀντιγραφέων. Καὶ φαίνεται ἄρα δεύτερον ἀδίκημα τοῦτο τὸν Κεδρηνὸν ἀδικήσας ὁ κριτικὸς (βλ. ὄπισθ. κεφ. ε. §. ϛ. σημ.). Σημ. ἡμετ.*

ληνες παρὰ τῶν υἱῶν Ἰσραὴλ ἐπὶ Πτολεμαίου (α). Κατὰ δὲ τὸν Ἐπιφάνιον (π. Μέτρ. §. 1) οἱ Ο μετέφρασαν « πάσας τὰς βίβλους, ἃς οἱ ἐν Ἱεροσολύμοις ἀμελλητὶ χρυσέοις γράμμασιν ἑβραϊκοῖς μεταγραψάμενοι ἀπέστειλαν, κβ, μὲν τὰς ἐνδιαθέτους, οβ, δὲ τὰς ἀποκρύφους» (β). Ἐκ τῶν παρ᾽ Ἐπιφανίῳ τούτων ἀποκρύφων ὁ Γενεβράρδος νομίζει καὶ τὸν Τωβὶτ, τὸν Βαροὺχ, τὴν Ἰουδεὶθ, καὶ τὰ ὅμοια, μεταφρασθέντα καὶ ταῦτα παρὰ τῶν Ο. Ὁ δὲ Κασσιόδωρος προστίθησι καὶ *τὴν Σοφίαν Σολομῶντος*, καὶ *τὴν* (ὑπὸ Σειραχίδου ἐξελληνισθεῖσαν) *Σοφίαν τοῦ Σειρὰχ*, καὶ τὰ (πολλῷ τῶν Ο μεταγενέστερα) βιβλία *τῶν Μακκαβαίων* (γ). Ἔγραψεν ἆρα ταῦτα δι᾽ ἀπερισκεψίαν ὁ Κασσιόδωρος; ἢ μόνον ἁπλῶς ἠρίθμησε καὶ τὰ ῥηθέντα βιβλία, καὶ τ᾽ ἄλλα τὰ ἀπόκρυφα, ὡς ἐν τῷ αὐτῷ (μονοτόμῳ) κώδηκι περιεχόμενα, τῷ (ὡς ἐκ τοῦ μείζονος καὶ πλείστου μέρους) ἐπονομαζομένῳ τῶν Ο; Οὕτω καὶ Ὠριγένης τὴν τῆς *Σωσάννης*, καὶ τὴν τοῦ *Βὴλ καὶ δράκοντος* ἱςορίαν, φαίνεται ὅτι κατὰ τοῦτο μόνον εἶπεν ὑπὸ τῶν Ο μεθηρμηνευμένας, καθότι ἀμφότεραι περιείχοντο εἰς τὰ τεύχη τῆς τῶν Ο λεγομένης ἑρμηνείας τῶν (κβ, κανονικῶν) Γραφῶν. «Τὰ δὲ (λέγει) παρ᾽ ἡμῖν ἀντίγραφα ὧν καὶ τὰς λέξεις ἐξεθέμην, τὸ μὲν ἦν κατὰ τοὺς Ο, τὸ δὲ κατὰ Θεοδοτίωνα, καὶ ὥσπερ παρ᾽ ἀμφοτέροις ἔκειτο τὸ περὶ τὴν Σωσάνναν, ὡς σὺ φῂς, πλάσμα, καὶ αἱ τελευταῖαι (αἱ *Βὴλ καὶ Δράκων*) ἐν τῷ Δανιὴλ περικοπαί» (Ἐπις. π. Ἀφρικαν.). Ὁ δ᾽ αὐτὸς ἐκτιθέμενος καὶ ἀλλαχοῦ χωρία τινα τῆς Σωσάννης, προστίθησι καὶ ὅτι «Τοῦτο τὸ χωρίον ἐξεθέμην κατὰ τοὺς Ο» (δ). Ἐκ δὲ τούτου φαίνεται

---

(α) Βλ. Buxtorf. not. in Cosri pag 29.

(β) Ταύτας τὰς *ἀποκρύφους ὀλίγῳ πρότερον* (§. ε) ὁ Ἐπιφάνιος *ἠρίθμησεν* κβ, *καὶ εἰς τοῦτο κρίνει τρεπτέον καὶ τὸ ἀνωτέρω* οβ, *ὡς ἐσφαλμένον*, ὁ Κοτελέριος (PP. Ap. vol. 1. p. 346). Ἀλλ᾽ *ἐγώ (φησιν* Ὅδιος) *οὐ συγκατατίθεμαι· διότι καὶ ἐν τῷ* Δ. Ἔσδρᾳ *(κεφ. ιδ) μνημονεύονται βίβλοι τινες ἀπόκρυφοι* Ο, *ὑπ᾽ αὐτοῦ τοῦ* Ἔσδρα *δῆθεν θεοπνεύστως συγγεγραμμέναι*. Καὶ *ταύτας καί τοι ἀνυπάρκτους ἐννοεῖ ἴσως*, ὁ Ἐπιφάνιος. Hody pag. 177. [*βλ. καὶ ὄπισθ. βιβλ. α. κεφ. γ*, §. *ζ. σελ.* 50.].

(γ) Cassiodor. Instit. Div. c. 14.

(δ) *Ὠριγ. ἐν* 1, *τῶν Στρωμ. παρ᾽ Ἱερωνύμῳ* Comm. in Daniel c. XIII.

τὰ λοιπὰ μὴ κατὰ τοὺς Ο τεθεικώς. Καὶ συνάγεται λοιπὸν ἐντεῦθεν, ὅτι τοῦ Σωσαννικοῦ μύθου τὸ χειρόγραφον, τὸ φερόμενον ἐν τῇ κατὰ τοὺς Ο βίβλῳ, διέφερεν ὁπωσδήποτε τοῦ κατὰ Θεοδοτίωνα. Ἀλλ' ὁ Ἱερώνυμος ὑπεσήμανέ που, καὶ ὅτι τὰ τοῦ Δανιὴλ ἀπόκρυφα (ἡ τῆς Σωσάννης καὶ τοῦ Βὴλ ἱστορία) οὐδ' εὑρίσκοντο τὸ παλαιὸν ἐν τοῖς τεύχεσι τῆς κατὰ τοὺς Ο λεγομενης ἑρμηνείας, ἀλλὰ μόνον ἐν τοῖς κατὰ Θεοδοτίωνα. « Μέχρι (λέγει) τούτου (τοῦ ιβ, κεφ.) ἀνέγνωμεν τὸν Δανιὴλ ἐν τῷ ἑβραϊκῷ τεύχει· τὰ δ' ἐφεξῆς μέχρι τέλους τοῦ βιβλίου μετηνέχθησαν ἐκ τῆς κατὰ Θεοδοτίωνα ἐκδόσεως » (α)· καὶ πάλιν· « Τοιοῦτό τι (παρώνυμον) γέγραπται καὶ ἐν τῷ κατὰ Θεοδοτίωνα Δανιὴλ, ἐν οἷς ἀπὸ τῶν δένδρων *σχίνου* καὶ *πρίνου*, *σχίσιν* καὶ *πρίσιν* τῶν μοιχῶν πρεσβυτέρων καταψηφίζεται » (β). Τελευταῖον (ἵνα παραλίπωμεν νεωτέρων τινων λήρους περὶ τοῦ ἀριθμοῦ τῶν ἡρμηνευμένων τευχῶν), καὶ οἱ νεώτεροι Γραικύλοι πλάττουσι τοῦ *Δανιὴλ ὀπτασίας*, ὡς ἓν ἐκ τῶν βιβλίων ὧν μετέφρασαν οἱ Ο. Ἄκουε τὴν ἐφεξῆς (ἀνωνύμου τινὸς) σημείωσιν, τὴν εἰς τὰ χρονικὰ τοῦ Ζωναρᾶ (ἐκδ. Δουκαγγίου). « Πτολεμαῖος ὁ Φιλάδελφος, ὁ βασιλεὺς Αἰγύπτου, ὑπῆρχε βασιλεύσας ἔτη λη. Ἐν τῇ αὐτοῦ βασιλείᾳ οὗτος

---

(α) Hier. Comm. ad Dan. XII.

(β) Id. Comm. ad Hierem. I. II. — [Σημείωσαι παροδικῶς, ἀναγνῶστα, τὸ παράδοξον τῆς Ὀδίου ἀντιφάσεως. Ὀλίγον ἀνωτέρω εἶπεν, ὅτι τῆς Σωσάννης ὁ μῦθος (!) ὀνομάζεται τῆς κατὰ τοὺς Ο, ἑρμηνείας, καθὸ κείμενος ἐν τοῖς τεύχεσιν αὐτῆς. Ἐκεῖ πάντως ἀνέγνω τοῦτον καὶ Ὠριγένης, μνημονεύων τοῦ κατὰ τοὺς Ο χωρίου τῆς Σωσάννης. Συνομολογεῖ δὲ δήπου καὶ ὁ ταῦτα τὰ τοῦ Ὠριγένους ἐκτιθέμενος Ἱερώνυμος· (ὅστις καὶ τὸν Εὐσέβιον καὶ τὸν Ἀπολλινάριον ἀναφέρει, ὡς μνημονεύοντας τὴν κατὰ τοὺς Ο, τῆς Σωσάννης καὶ τοῦ Βὴλ καὶ δράκοντος ἑρμηνείαν. S. Hieron. T. 2. p. 1022). Καὶ ὅμως ὁ κριτικὸς εἰσάγει πάλιν τὸν Ἱερώνυμον οἷον διὰ νεύματος σημαίνοντα (innuentem!), ὅτι ἡ κατὰ τοὺς Ο, ἑρμηνεία τῆς Σωσάννης οὐκ ἔκειτο τὸ πάλαι ἐν τοῖς τεύχεσιν αὐτῶν!! Καὶ πόθεν ἄρα δῆλον τοῦτο τὸ νευμάτιον; ὅτι (λέγει) ἐμνημόνευσε τὰ κατὰ τὴν Σωσάνναν ἐκ τῆς (ἧπερ ἔδοξεν αὐτῷ χρήσασθαι) κατὰ Θεοδοτίωνα (οὐχὶ τῆς κατὰ τοὺς Ο) ἑρμηνείας! Ταῦτα πῶς διήλλαττε καὶ συνέπλεκεν ὁ σοφώτατος Ὄδιος; ἀποροῦμεν. Σημ. ἡμετ.].

Ἑβραίους καταδουλωσάμενος, εἰς τὴν ἑλληνίδα μεταβαλεῖν ἠνάγκαζε (γρ. *ἠνάγκασε*) φωνὴν ἐκ τῆς ἑβραΐτιδος (γρ. *ἑβραΐδος*) πάσας τὰς θείας Γραφάς· καὶ ποιοῦντες (γρ. *ποιοῦνται*) τὴν ἑρμηνείαν ἄνδρες Ο, ἐν σοφίᾳ παρὰ τοῖς Ἑβραίοις ἐπαιρούμενοι (γρ. *ἐπαινούμενοι*). Ἐν τούτοις ἅπασιν ἦν καὶ ἡ βίβλος ἡ δὲ (γρ. *ἡ τῶν*) Δανιὴλ τοῦ προφήτου ὀπτασιῶν, ὑπάρχουσα βίβλος θαυμαστὴ καὶ ἔγκριτος, τὰ ἐπερχόμενα ἀναγγέλλουσα μέχρι τῆς συντελείας τοῦ κόσμου, κατὰ (γρ. *καὶ τὴν*) τύχην τῶν συμβαινόντων αἰθερίων τεράτων » κτλ.

§. ιγ. Ἐνταῦθα καταπαύει Ὅδιος τὰς ἀποδείξεις, δι' ὧν καὶ αὐτὸς καὶ οἱ περὶ αὐτὸν ἅπαντες μεχρι χθὲς καὶ πρῴην ἐσπούδασαν ἀποδεῖξαι, μὴ πᾶσαν τὴν Γραφὴν, ἀλλὰ μόνην τὴν Πεντάτευχον ἑρμηνευθεῖσαν ἐπὶ τοῦ Φιλαδέλφου.

*Ἀπαντῶμεν.*

§. ιδ. Α) Ὅ,τι μὲν ὁ Ἀριστέας ἐννοεῖ διὰ τῶν *Νόμος καὶ Νομοθεσία* φωνῶν, βλέπομεν ἐφεξῆς· ἤδη δὲ πρῶτον ἐξετάζομεν, πότε καὶ διὰ τί ἡ παλαιὰ Γραφὴ προσηγορεύθη Νόμος, συνωνύμως πρὸς τὸν νόμον τὸν Μωσαϊκὸν, ἤτοι τὴν Πεντάτευχον. Πλανᾶται μεγάλως ὁ σοφὸς Ὅδιος, χρονολογῶν τὴν ἐπωνυμίαν μετὰ τὸ Εὐαγγελικὸν κήρυγμα (§. β). Ὅτε ὁ Σωτὴρ ἡμῶν ἔλεγε πρὸς τοὺς Ἰουδαίους (Ἰω. ι, 34) « Οὐκ ἔστι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν » (τουτές. ἐν τῷ πα, Ψαλμῷ), καὶ πάλιν πρὸς τοὺς Ἀποστόλους (Ἰω. ιε, 25) « Ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν» (ἐν Ψαλμ. λδ, 19: ξη, 4), καὶ αὐτοὶ δὲ πάλιν οἱ Ἰουδαῖοι πρὸς αὐτὸν (Ἰω. ιβ, 34) « Ἡμεῖς ἠκούσαμεν ἐκ *τοῦ νόμου* » (Ψαλμ. ρθ, 4), τότε κατ' ἐκείνους τοὺς χρόνους οὔτε γεγραμμένον ὑπῆρχε πω τὸ Εὐαγγέλιον, οὔτε λόγῳ κηρυττόμενον ἀντιδιεστέλλετο κατ' ἀντίθεσιν ῥητὴν οὔτε πρὸς τὸν γραπτὸν τοῦ Μωσέως νόμον, ἢ τὴν Πεντάτευχον, οὔτε πρὸς ὅλον τὸ ἔδαφος, ἢ τὸ σῶμα τῆς παλαιᾶς Διαθήκης. Κᾀκεῖνο δὲ πρόδηλον· ὅτι καὶ ὁ Κύριος ἡμῶν καὶ οἱ Ἀπόστολοι διαλεγόμενοι πρὸς τοὺς Ἰουδαίους, ἐξέφερον τὴν λέξιν πάντως ὡς πρὸς εἰδότας, κατὰ τὴν ἔκπαλαι δη-

λονότι συνήθη παρ᾽ αὐτοῖς χρῆσιν τοῦ *Νόμος* καὶ ἀντὶ πάσης τῆς Γραφῆς. Ὅθεν καὶ ὁ θεῖος Παῦλος, *Ἑβραῖος ἐξ Ἑβραίων*, τὴν πάτριον τῆς φωνῆς σημασίαν τηρῶν, « Νόμον εἴωθε καλεῖν τὴν παλαιὰν πᾶσαν· διὸ τὰ ἐν Ἡσαΐα (κη, 11) γεγραμμένα, ἐν τῷ νόμῳ φησὶ γεγράφθαι » (α). Οὕτω καὶ, « Ὅσα ὁ *νόμος* λέγει » (Ῥωμ. γ, 19). Ἔπειτα καὶ αὐτὸ τῆς εἰς Χριστὸν πίστεως τὸ κήρυγμα (πρὸς ὅπερ Ὅδιος ἀντιδιαστέλλει τὸ *νόμος* ὡς ἀντίθετον), καὶ αὐτὸ λέγομεν τὸ Εὐαγγέλιον ὀνομάζεται Νόμος « *Ὁ Νόμος τοῦ Χριστοῦ* » (Γαλάτ. ς. 2). « *Νόμος τῆς πίστεως* » (Ῥωμ. γ, 27), « *Διὰ Νόμου Νόμῳ ἀπέθανον* » (Γαλάτ. β, 19), « τουτέστι διὰ τοῦ Νόμου τοῦ τῆς χάριτος καὶ τοῦ Εὐαγγελίου ἀπέθανον τῷ Μωσέως Νόμῳ » (Θεοφύλ. ἑρμην. αὐτ.). Καὶ τὸ Πνεῦμα δὲ διὰ τοῦ Ἡσαΐου τὴν ἐκ Σιὼν προελθοῦσαν νομοθεσίαν, τὸ Εὐαγγέλιον, προηγόρευσε νόμον » « Ἐκ Σιὼν ἐξελεύσεται *νόμος* » κτλ. (β)· καὶ πάλιν τὸν αὐτὸν ἐπωνόμασε καὶ *καινὴν Διαθήκην* (Ἱερ. λη, 31), καθὼς εἶπε καὶ τὴν *παλαιάν*. « Καθὼς γὰρ ὁ Μωσαϊκὸς νόμος *Διαθήκη* κέκληται, οὕτω καὶ ἡ *καινὴ* πάλιν *Διαθήκη* ὠνόμασται » (Θεοδώρητ. εἰς Ῥωμ. γ). Ἄλλη τις λοιπὸν ὑπῆρξεν ἡ αἰτία, δι ἣν ἐπωνομάσθη *νόμος* καὶ ὅλος ὁ κώδηξ τῆς παλαιᾶς Διαθήκης· ἡ ἐφεξῆς. *Νόμον* ἡ θεία Γραφὴ ὀνομάζει οὐ μόνον τὴν Πεντάτευχον, ἢ καὶ μόνον ἓν βιβλίον αὐτῆς, τὸ Δευτερονόμιον (Δευτ. λα, 24. πρβλ. Ἰησ. θ. 32), ἀλλὰ καὶ καθεκάστην ἐντολὴν τῆς θείας θεσμοθεσίας (Ἐξόδ. ιβ, 49. ις, 4. Λουκ. β, 22 κτλ.), καὶ ὅλον πάλιν τὸν Δεκάλογον

---

(α) Θεοφύλ. ἑρμην. εἰς α. Κορ. ιδ. 21. καὶ Θεοδώρητ. ἑρμ. αὐτ. πρβ. Θεοφύλ. ἑρμ. εἰς Ῥωμ. γ, 19. καὶ εἰς Γαλατ. δ. 21. καὶ εἰς Ἰω. ιε. καὶ Χρυσόστ. εἰς Ῥωμ. γ. ὁμιλ. ζ. κτλ. — βλ. καὶ Valcken. de Arist. Jud. pag. 59. — Καὶ ὁ δεινὸς Δοδούελλος (Dodwell) ὡμολόγησεν, ὅτι ἤδη κατὰ τὸν α. αἰῶνα συνήθως ἦν παραδεδεγμένον (more receptum) τὸ νόμον ὀνομάζεσθαι μετὰ τῆς Πεντατεύχου καὶ πάντα τὰ βιβλία τῆς Γραφῆς (παρὰ Fabric. Codex Pseudepigr. V. Test. vol. I. p. 551. sq.)

(β) Ἡσ. β. 3. πρβλ. Μ. Βασιλ. ἑρμην. αὐτόθ. καὶ Θεοδώρ. ἑρμην. αὐτόθ. — « Νόμος ἐστὶν ὃν ἔθηκεν ὁ Θεὸς τῷ Μωϋσῇ, σημαίνει καὶ τὸ Εὐαγγέλιον ». Μ. Ἐτυμολ.

(Ματθ. κβ, 36), καὶ προσέτι καθολικώτερον καὶ ὅλον τὸ κεφάλαιον τῆς ἐν τῇ Πεντατεύχῳ Μωσαϊκῆς θεσμοθεσίας, ἤτοι, «*τὴν ἔγγραφον περίληψιν πάσης τῆς Ἰουδαϊκῆς λατρείας τε καὶ πολιτείας*» (α). Ὅθεν καὶ αὐτοὶ οἱ Ἰουδαῖοι λέγονται «*Οἱ ἐν νόμῳ*», καὶ «*Οἱ ἐκ νόμου*» (Ῥωμ. γ, 19. δ, 14). Καὶ «*Νόμος δὲ ζωῆς*» (Σειρ. με, 5) ἡ Μωσαϊκὴ διδασκαλία καλεῖται, καὶ «*Διαθήκη ἁγία*» καὶ «*λατρεία πατέρων*» κτλ. (Α. Μακ. α, 63, 64: β, 19, 20). Ἐπειδὴ δὲ ἡ Μωσαϊκὴ διδασκαλία περιέχεται οὐ μόνον ἐν τῇ Πεντατεύχῳ, ἀλλὰ καὶ παρὰ τοῖς σύμφωνα τῷ Μωϋσῇ φθεγξαμένοις Προφήταις, κατὰ τὸ «*Οὗτός ἐστιν ὁ Νόμος καὶ οἱ Προφῆται*» (τουτ. τὸ κεφάλαιον τῆς θείας τοῦ Μωσέως καὶ τῶν προφητῶν διδασκαλίας) (β), ἑπομένως ἐξελήφθη τὸ *Νόμος* πλατυκώτερον καὶ ἐπὶ πάσης τῆς θεοπνεύστου Γραφῆς, καὶ παντὸς τοῦ ἱεροῦ κώδηκος αὐτῆς, δηλονότι κατὰ μετάληψιν, ἢ καὶ ἐπικράτησιν τῆς πρώτης καὶ ἀρχικῆς ὀνομασίας τοῦ πεντατεύχου *νόμου*, πρὸς ὃν, ὡς πρὸς κεφάλαιον, ἀναφέρονται καὶ τὰ λοιπὰ τεύχη· «Τὰ πάντα γὰρ ἐξήρτηται τῆς τοῦ νομοθέτου Μωσέως σοφίας» (Ἰώσηπ. Ἀρχ. προοιμ. §. δ). Καὶ κατὰ τὴν σημασίαν ταύτην εὑρίσκομεν τὴν λέξιν οὐ μόνον ἐν τοῖς ἀνωτέρω προεκτεθεῖσι παραδείγμασιν, ἀλλὰ καὶ ἐπὶ τῶν Μακκαβαίων· οἷον (Α, α, 56—57) «τὰ βιβλία *τοῦ Νόμου*» (δηλαδὴ τὰ τεύχη τῆς Παλαιᾶς), τὸ αὐτὸ καὶ «*βιβλίον τῆς Διαθήκης*» (αὐτόθ.)· καὶ πάλιν «ὡς Νόμος διασαφεῖ» (γ) κτλ. (δ).

---

(α) Ἰουστῖν. Ἀποκρ. πρὸς Ὀρθόδοξ. ηβ. σελ. 512. Ὅθεν καὶ (Ἰω. ζ, 19, 49) «Ὁ ὄχλος - ὁ μὴ γινώσκων τὸν νόμον» (τὴν Μωσαϊκὴν ἀκρίβειαν καὶ διδασκαλίαν), καὶ τὸ «Ῥήματα βλάσφημα κατὰ τοῦ νόμου» (Πράξ. ς. 13. τουτ. τῆς Ἰουδ. θρησκείας). Κατὰ τοῦτο καὶ «ὁ νόμος» ἀντιδιαστέλλεται πρὸς τὸ «ἡ χάρις καὶ ἡ ἀλήθεια» (τῆς εἰς Χριστὸν πίστεως) Ἰωάν. α, 17. — (β) Ματθ. ζ. 12. βλ. καὶ ε, 17, 18. πρβλ. καὶ Κλήμ. Στρωμ. α. σελ. 354. Lugd. — (γ) Β. Μακκ. β. 18: I. 26. πρβλ. Schleusn. Lex. N. T. καὶ Suicer. Thes. v. Νόμος. Οὕτω καὶ ἐν τῷ «βίβλος διαθήκης θεοῦ, νόμος ὃν ἐνετείλατο Μωσῆς» (Σ. Σειρ. κδ, 23) τὸ ἐπιφερόμενον νόμος φαίνεται ὡς ἐπεξήγησις τοῦ βίβλος διαθήκης (ἥτις δηλοῖ καὶ ὅλον τὸν κώδηκα τῶν ἱερῶν Γραφῶν)· βλ. καὶ ἔμπροσθ. §. κδ.

(δ) Ὡς τὸ Νόμος, οὕτω καὶ τὸ Γραφὴ (ἢ αἱ Γραφαὶ) σημαίνει μὲν τὸ

Καθὼς δὲ τὸ *Νόμος* ἐσήμαινε καὶ πᾶσαν καθόλου τὴν Παλαιὰν Διαθήκην, κατὰ τὸν αὐτὸν λόγον καὶ τὸ *Εὐαγγέλιον* ἐξελήφθη πλατυκώτερον καὶ καθ᾽ ὅλης τῆς Καινῆς, ὡς ἄριστα ποιῶν προσέθηκεν Ὅδιος (§. β). Καὶ πάλιν, καθὼς τὸ Εὐαγγέλιον μετὰ τῆς πλατυτέρας ταύτης ἐκδοχῆς, ἢ μετωνυμίας, διατηρεῖ συγχρόνως καὶ τὴν κυριωτέραν αὐτοῦ σημασίαν, ἐμφαῖνον καθέκαστον τῶν τεσσάρων θείων βιβλίων τῶν Δ, Εὐαγγελιστῶν (ὅθεν καὶ ἡ Καινὴ Διαθήκη διαιρεῖται εἰς τὴν τετράτευχον, ἢ τὴν τετρακτὺν τῶν Εὐαγγελίων, τὸ κοινότερον *Τετραευαγγέλιον*, καὶ τὰς Πράξεις τῶν Ἀποστόλων, καὶ τὰς Ἐπιστολὰς, καὶ τὴν Ἀποκάλυψιν), οὕτω καὶ τὸ *Νόμος* μετὰ τῆς καθολικῆς ἐπὶ πάσης τῆς Παλαιᾶς Γραφῆς ἐκδοχῆς συνετήρησε συγχρόνως καὶ τὴν ἀρχικὴν αὐτοῦ καὶ ἰδιάζουσαν σημασίαν ἐπὶ μόνης τῆς Μωσαϊκῆς Πενταπεύχου. Ὅθεν πάλιν ἡ τῆς Γραφῆς διαίρεσις, εἰς *Νόμον καὶ Προφήτας*, ἢ, *εἰς Νόμον, καὶ Προφήτας, καὶ Ψαλμοὺς*, καὶ ἡ νεωτέρα καθ᾽ Ἑβραίους τριμερὴς κατατομὴ (περὶ ἧς λέγομεν εὐθύς). Ὥστε τὸ ἀνασκευάζειν τὴν ὁλοσχερῆ καὶ περιληπτικὴν τοῦ Νόμου σημασίαν διὰ τῆς μερικωτέρας καὶ κυριολεκτικῆς, εἴη ἂν τὸ αὐτὸ, ὡς καὶ ἄν τις ἀπαρνῆται τὴν ἐπὶ τῆς Πεντατεύχου σημασίαν τοῦ Νόμου, διότι σημαίνει ἡ λέξις ἰδιαίτατα καὶ τὸν *Δεκάλογον*, καὶ *πᾶσαν μίαν Ἐντολήν*· ἢ, ἂν ἐφαρμόζῃ τὸν αὐτὸν συλλογισμὸν καὶ ἐπὶ τῆς ἰδιαζούσης ἅμα καὶ πλατυτέρας ἐκδοχῆς τοῦ Εὐαγγελίου. Ὁ δὲ κλεινὸς Ὅδιος καὶ ἀστεῖός τις εἶναι δοκεῖ, μάρτυ-

---

ὅλον, ἢ μέρος τι τῶν Μωσαϊκῶν, καὶ τῶν προφητικῶν (ὡς ἡ τοῦ Δεκαλόγου γραφή· «γραφὴ θεοῦ ἐν ταῖς πλαξί». Ἐξόδ. λϐ. 16. Δευτ. ι, 4. — «ἔφαγον τὸ φασὲκ παρὰ τὴν Γραφήν» β. Παραλ. λ. 18. τουτ. παρὰ τὴν ἐντολὴν τὴν Ἐξόδ. ιβ. — «ἵνα ἡ γραφὴ πληρωθῇ» Ἰω. ιγ, 18: ζ, 41: Μάρκ. ιϐ, 24 κτλ.). σημαίνει δὲ καὶ ὅλον τὸν ἱερὸν κώδηκα (Β. Τιμ. γ, 16: Β. Πετρ. α, 20). Οὕτω καὶ τὰ ἱερὰ γράμματα (Β. Τιμ. γ, 15)· καὶ πάλιν «τοῖς ἐκείνου γράμμασι» (τοῖς Μωσέως νόμοις, Ἰω. ε, 47)· ὅθεν καὶ τὸ γέγραπται ἐξαιρέτως ἐπὶ τῶν θείων Γραφῶν (Τωϐίτ, α, 6: Ἰωάν. β. 17, κτλ.). πραϐλ. τὰ Ἰωσήπ. Ἀρχ. ιγ. ε. 8, «ἱερὰ γράμματα» (πᾶσαι αἱ γραφαί). — Φίλων. τόμ. Β. σελ. 659, 657, Μ. — Ἀριστέαν σελ. XIX. ἐκδ. Ὀδίου.

ρας τῆς ἐπὶ μόνης δῆθεν τῆς Πεντατεύχου σημασίας τοῦ Νόμος εἰσάγων καὶ αὐτοὺς τοὺς ἱεροὺς Πατέρας (τὸν Κύριλλον, καὶ Εὐσέβιον, καὶ Κλήμεντα κτλ.), οἵτινες διδάσκουσι τρανώτατα, ὅτι πᾶσαν τὴν Γραφὴν οἱ Ο μεθηρμήνευσαν.

§. ιε. Τούτων οὕτω κειμένων, ἐξετάσωμεν τοὺς ἐν τῷ α, ἀριθμῷ πενταπλοῦς τοῦ Ὀδίου λόγους (βλ. §. β).

α) Οἱ αὐτοὶ θεῖοι Ἀπόστολοι καὶ Πατέρες, ὧν τὰς μαρτυρίας εἰσάγει πρὸς ἀπόδειξιν τῆς εἰδικῆς τοῦ Νόμου σημασίας, οἱ αὐτοὶ μαρτυροῦσι καὶ περὶ τῆς καθ' ὅλης τῆς παλαιᾶς Γραφῆς ἐκδοχῆς, καθὼς ἀνωτέρω προαπεδείχθη. Αὐτὸς ὁ Ἱερώνυμος ὅστις μνημονεύει τὴν καθ' Ἑβραίους « *εἰς Νόμον, καὶ Προφήτας, καὶ Αγιόγραφα* » τριχοτομίαν τῶν Γραφῶν, οὗτος αὐτὸς ὁ Πατὴρ « Οὐκ ἄπο τῆς προθέσεως ἐνόμιζε καὶ τὴν ἔκθεσιν τῆς καθολικῆς σημασίας τοῦ Νόμου, διορίζων τὴν λέξιν, ὅτι σημαίνει καὶ *τὸν Μωσαϊκὸν*, καί τινων *γεγονότων ἱστορίαν, μὴ περιέχουσαν ἐντολὰς* (ὡς Γαλάτ. δ. 1), καὶ τοὺς *Ψαλμοὺς*, καὶ *τὴν Ἡσαΐου προφητείαν*, καὶ τὸ *μυστικὸν νόημα τῶν Γραφῶν* (ὡς Ῥωμ. ζ) » κτλ. (α). Καὶ πολὺ δὲ πρότερον Ὠριγένης (οὗτινος σχεδὸν ἀντέγραψε τὴν ῥῆσιν ὁ Δαλμάτης Πατήρ), διακρίνας τὰς Γραφὰς εἰς *νομίμους*, ἢ *νομικὰς*, καὶ *προφητικὰς*, εἰπὼν δὲ καὶ ὅτι « σημαίνεται καὶ ἡ παρὰ Μωσεῖ ἀναγεγραμμένη ἱστορία ἀπὸ τῆς *νόμος* φωνῆς » ἐπιφέρει « Οἶδα καὶ τοὺς ψαλμοὺς ὀνομαζομένους *νόμον* — καὶ τὴν Ἡσαΐου προφητείαν » κτλ. (β). Οὕτω καὶ Εὐσέβιος (Εὐαγ. Προπ. α, 19) ἀντιτάσσει τὸ « *Νόμος* » πρὸς « *τὴν Καινὴν Διαθήκην* » (ἐκλαμβάνων τὸ *νόμος* ἐπὶ τῆς *Παλαιᾶς*). Εἶπε δὲ καὶ Χρυσόστομος ὅτι « Τὴν Παλαιὰν πᾶσαν *νόμον* εἴωθεν ὁ Παῦλος καλεῖν » (Ὁμιλ. εἰς Ῥωμ.)· καὶ Κύριλλος ὁ Ἀλεξανδρείας (π. τ. ἐν Πνεύμ. προσκυν.) ἐξηγῶν τὸ « τέλος *νόμου* ὁ Χριστός » (Ῥωμ. ι, 4) « Πλήρωμα (λέγει) *τοῦ νόμου καὶ προφητῶν* εἴη ἄν, εἰς αὐτὸν - ὁρῶντος καὶ τετραμμένου *τοῦ προφητικοῦ τε καὶ νομικοῦ θεσπίσματος* ». Ἄλλας

(α) S. Hieron ad Algas. c. 7. πρβλ. καὶ ὄπισθ. §. ϐ. σημ. — (ϐ) Ὠριγ. Φιλοκαλ. θ. σελ. 89. Paris. 1618. πρβλ. καὶ Κατὰ Κέλσ. ϐ. §. 76. σελ. 443.

παμπληθεῖς τῶν ἱερῶν Πατέρων μαρτυρίας παραλείπομεν, ὧν καὶ Ὅδιός τινων παρέργως ἐπεμνήσθη. Μνημονεύει τὴν ἐν ταῖς Διαταγαῖς τῶν Ἀποστόλων (α, 5) διάκρισιν τοῦ *νόμου* ἀπὸ τῶν λοιπῶν βιβλίων τῆς Γραφῆς· ἀλλὰ παρεῖδεν ὁ κριτικὸς τὸ ἐφεξῆς ἀμέσως ἑπόμενον κεφάλαιον τῶν αὐτῶν Διαταγῶν (α, 6), ὅπου Ο ΝΟΜΟΣ τοῦ Θεοῦ διαιρεῖται « εἰς *ἀρχαιογονίαν* » (τὴν Γένεσιν) « *καὶ νόμιμα καὶ παραγγελίας* » (τὰ λοιπὰ δηλονότι Δ, βιβλία τῆς Πεντατεύχου)· « *καὶ* εἰς *ἱστορικὰ* » (τὰς *Βασιλείους* καὶ ὅσα ἄλλα περιέχουσιν ἱστορίας), « *καὶ* εἰς *Σοφιστικὰ καὶ Ποιητικὰ* » (τοὺς Προφήτας, τὰ Σολομώντεια, τὸν Ἰὼβ, καὶ ὅσα παρ' Ἑβραίοις στιχηρά, τοῦτο γὰρ δοκεῖ τὰ Ποιητικά), « *καὶ* εἰς *ἀσματικὰ* » (τοὺς Ψαλμοὺς, καὶ τὰς λοιπὰς προφητικὰς ᾠδάς). Ἐπαναλαμβάνει πολλάκις ὁ κριτικὸς τὴν ἐν ταῖς θείαις Γραφαῖς συνηθεστάτην διαίρεσιν « *εἰς νόμον καὶ εἰς προφήτας* »· ἀλλ' οὐδόλως παρετήρησεν, ὅτι καθὼς ἐν τῷ « *προφῆται* » συμπεριλαμβάνονται καὶ τὰ λεγόμενα *ἁγιόγραφα* (τὸ τρίτον μέρος τῆς καθ' Ἑβραίους τριχοτομίας), οὕτω συγκεφαλαιοῦνται καὶ ταῦτα κἀκεῖνοι ὑφ' ἓν καὶ μόνον ὄνομα, τὸ *Νόμος*. Φέρει τὴν ἐν τῷ προλόγῳ τοῦ Σειρὰχ διαίρεσιν « *εἰς νόμον καὶ προφήτας καὶ τὰ λοιπὰ τῶν βιβλίων* »· ἀλλ' οὐδόλως προσεῖξεν, ὅτι πάλιν ἐν Β. Μακκ. β. 18, *νόμος* ὀνομάζεται καὶ πᾶσα ἡ Γραφή. Προβάλλει τῶν Ἀράβων τὰς μαρτυρίας, οἵτινες συγχρόνως ὁμολογοῦσι καὶ τὴν καθολικὴν τοῦ νόμου σημασίαν, ὡς αὐτὸς Ὅδιος ἐσημείωσε (§. β). Παρέλιπε δὲ ὅμως καὶ ἄλλας ἀρχαιοτέρας καὶ πολὺ πλέον ἐπισήμους ἀραβικὰς μαρτυρίας, ἐν αἷς *Νόμος* ὀνομάζεται πᾶσα ἡ παλαιὰ Γραφή (α). Καὶ αὐτοὶ δὲ οἱ Ταλμουδικοὶ μετὰ πάσης τῆς συνήθους παρ' αὐτοῖς τριχοτομίας τῶν Γραφῶν, ὠνόμασαν ὅμως καὶ ταύτας ὑφ' ἓν κοινὸν ὄνομα *Νόμος* (β), συνομολογοῦσι δὲ καὶ νεώτεροι Ῥαββῖνοι. Προϋπέμνησε τοῦτο τὸν Ὅδιον προλαβὼν ὁ πο-

(α) Βλ. τὰς μαρτυρίας ταύτας παρὰ Demagistr. Diss. I. p. 348.

(β) Ἐν Τμήμ. Sanhedrin, c. XI. §. 2. παρὰ Hotting. Thes. Phil. p. 315. πρβλ. καὶ Walton. Prolegom. IX, §. 11. pag. 362.

λὺ παρ' αὐτὸν βαθύτερος ἑβραϊστὴς, καὶ ἐν πολλοῖς ὁμόγνωμος αὐτῷ Ὀττιγγῆρος, καὶ ἄλλοι μετ' αὐτοῦ· ἀλλ' ὁ Ὅδιος παρήκουσε μὲν τούτων, ἀπεσκυβάλισε δὲ καὶ τοὺς Ῥαββίνους, οὓς ἐν ἄλλοις, οἷς ἀρέσκεται, φέρει ἐπὶ κεφαλῆς, ὡς μάρτυρας ἀναντιῤῥήτους. Ἀρχαιοτάτην καὶ μόνην παρὰ τοῖς παλαιοῖς Ἰουδαίοις γνωστὴν βούλεται πάντως *τὴν εἰς Νόμον καὶ Προφήτας καὶ Ἁγιόγραφα* τριχοτομίαν τῶν Γραφῶν· ἀλλ' αὕτη φαίνεται καὶ τῶν Ὠριγένους χρόνων ὑστερωτέρα· διότι οὗτος ἀριθμῶν τὰς καθ' Ἑβραίους *ἐνδιαθήκους* βίβλους, οὐδεμίαν ποιεῖται μνήμην τῆς τοιαύτης τριχοτομίας (Ὠριγ. εἰς Ψαλμ. σελ. 41. καὶ παρ' Εὐσεβ. Ἐκκλ. ἱστ. ϛ, 25). Ἀλλ' οὔτε ἐν τοῖς ἀρχαίοις ἀπογράφοις τῆς κατὰ τοὺς Ο ἑρμηνείας εὑρίσκεται τοιαύτη τριμέρεια, οὔτε Φίλων, οὔτ' Ἰώσηπος αὐτὴν γνωρίζουσι. Καὶ τὴν μὲν παρὰ τῷ Φίλωνι διαίρεσιν ἔγραψεν Ὅδιος ἐν τοῖς προλαβοῦσι (§. β). Ὁ δ' αὐτὸς Φίλων ἀλλαχοῦ λέγων « τὸν περίβολον (τὸν ναὸν) καθιερωθέντα τῷ Θεῷ, καὶ καθοσιωθέντα *χρησμοῖς καὶ λογίοις θεσφάτοις* (τόμ. β. σελ. 577 καὶ 596 Μ.), φαίνεται ὅτι συνάπτει καὶ *τοὺς ὕμνους ἢ ψαλμοὺς μετὰ τῶν προφητῶν· χρησμοὺς* μὲν ἰδίως καλῶν τοὺς Μωσαϊκοὺς, *θέσφατα* δὲ *λόγια* τ' ἄλλα πάντα τὰ προφητικὰ (δι' ἃ γέγονεν ἡ τοῦ ναοῦ καθοσίωσις, καὶ ὧν περικοπαὶ ἀνεγινώσκοντο μετὰ τῶν νόμων ἐν τῷ ναῷ). Ὁ δὲ πάλιν Ἰώσηπος διεῖλε τὰ κβ, βιβλία τῆς Γραφῆς εἰς ε, τεύχη τοῦ *Μωσέως*, καὶ ιγ, τῶν *μετὰ Μωσέα προφητῶν*, καὶ δ, περιέχοντα *ὕμνους καὶ ὑποθήκας* (1, τοὺς ψαλμοὺς: 2, τὸν Ἰὼβ: 3, τὰς Παροιμ. Σολ.: 4, τὸ Ἆσμ. μετὰ τοῦ Ἐκκλησ.) (α). Ὁ δ' αὐτὸς Ἰώσηπος καὶ πάντα τὰ κανονικὰ βιβλία τῆς Γραφῆς ὑφ' ἓν ὄνομα *προφήτας* ὠνόμασε, δηλονότι *προφητικὰ* (ἐν προοιμ. Ἰουδ. πολέμ. - βλ. καὶ ἐφεξ. §. ιϛ.). Ἁγιογράφων δὲ, καὶ τῆς τούτων κατὰ τοὺς νεωτέρους Ἰουδαίους περιοχῆς καὶ βαθμολογίας, οὐδεμία παρὰ τοῖς ἀρχαίοις φαίνεται μνεία. Πρῶτος ὁ ἱερὸς Ἐπιφάνιος (ὃν παρέλιπεν Ὅδιος) ἀναφέρει τὴν κατ' Ἰουδαίους καὶ Ναζωραίους εἰς Νόμον, καὶ

(α) Ἰώσηπ. κ. Ἀπίων α. §. η. καὶ Σημ. Haverc. πρβλ. καὶ Εὐσεβ. Ἐκκλ. ἱστ. Γ, 10.

Προφήτας, καὶ εἰς Γραφεῖα (τὰ καὶ *Ἁγιόγραφα*) διαίρεσιν (α). Ἐφεξῆς δὲ καὶ Ἱερώνυμος μᾶλλον ὡρισμένως (β). Ἀλλὰ ταύτην (ὅσον ἐκ τῆς τάξεως, καὶ τῆς κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀξίας τῶν θείων βιβλίων) οὐδέποτ᾽ ἀπεδέξαντο οἱ θεῖοι Πατέρες, καθὸ βλάσφημον καὶ πονηρὸν ἰουδαϊκῆς ἐντρεχείας εὕρημα· διότι οἱ Ῥαββῖνοι τριχοτομοῦντες οὕτω τὰς βίβλους τῆς Γραφῆς, οὐχ ὡς ἐκ τῶν ὑποθέσεων, ἢ καὶ τῶν συγγραψάντων, ἁπλῶς καὶ ὡς ἔπρεπε, διαιροῦσιν, ἀλλὰ κυρίως ὡς *ἐκ τῶν βαθμῶν* (ὡς λέγουσι) τῆς *θεοπνευστίας* (γ), ὕπατον μὲν καὶ ἀνώτατον τάσσοντες τὸ θεόπνευστον τῶν *Μωσαϊκῶν* τευχῶν, μέσον δὲ τὸ τῶν *προφητικῶν*, ἔσχατον δὲ καὶ κατώτατον τὸ τῶν *ἁγιογράφων* (ἐν οἷς καὶ τὸν Δανιὴλ, ὡς ἧττονα τάχα τῶν κυρίως προφητῶν, ὡσαύτως καὶ τὸν Δαβὶδ μετὰ τῶν ἄλλων συνεξωθοῦσιν!). Ὅθεν καὶ αὐτῶν τινες τῶν νεωτέρων ἑβραϊστῶν τὴν τοιαύτην τάξιν τῆς Ἰουδαϊκῆς διαιρέσεως

---

(α) «Νομοθεσία, καὶ προφῆται, καὶ γραφεῖα τὰ καλούμενα (ἴσ. γρ. τὰ γραφεῖα καλούμενα) παρὰ Ἰουδαίοις βιβλία». Καὶ πάλιν· «πᾶς ὁ νόμος, καὶ οἱ προφῆται, καὶ τὰ γραφεῖα λεγόμενα· φημὶ δὲ τὰ στιχήρη, καὶ αἱ βασιλεῖαι, καὶ [τὰ] παραλειπόμενα, καὶ Ἐσθὴρ. (τὰ δ᾽ αὐτὰ καὶ παρὰ Ναζωραίοις, ὡς Ἰουδαίοις καὶ τούτοις, ἡμιχριστιανοῖς). Ἐπιφ. Αἱρεσ. κθ. §. 7. σελ. 122. Ἀλλαχοῦ δὲ πάλιν ὁ Ἐπιφάνιος, κατ᾽ ἄλλην νεωτέραν ἑβραϊκὴν διαίρεσιν, ἀποκλείει ἀπὸ τῶν Γραφείων τὰ στιχήρη, διαιρῶν εἰς Δ, Πεντατεύχους ὅλα τὰ κβ, βιβλία. «Α) Πεντάτευχος, ἡ νομοθεσία: Β), αἱ στιχήρεις βίβλοι (Ἰὼβ, Ψαλτήρ, Παροιμ. Σολομ. Ἐκκλησ. Ἆσμα — οἱ παρ᾽ Ἰωσήπῳ καὶ Φίλωνι «ὕμνοι»): Γ), τὰ καλούμενα Γραφεῖα, καὶ παρά τισιν Ἁγιόγραφα (Ἰησοῦς, Κριταὶ, Ῥοὺθ, αἱ Δ. Βασιλ. καὶ αἱ Β. τῶν Παραλ.): Δ) ἡ προφητικὴ Πεντάτευχ. (οἱ Δ, μεγάλοι προφῆται, καὶ, ὡς ἓν τεῦχος, τὸ ιβ,—πρόφητον). Ἔμειναν καὶ ἄλλαι δύω βίβλοι, ἡ τοῦ Ἔσδρα (μετὰ τοῦ Νεεμία) καὶ ἡ τῆς Ἐσθήρ· πᾶσαι κβ» (περ. Μέτρ. §. 4. βλ. καὶ τὸν ἱερὸν Δαμασκην. Ὀρθ. Πίστ. δ, 18). πρβ. καὶ Schimid. Histor. antiqua. et vind. canon. vet. nov. Test. p. 149, 155.

(β) Ἡ παρ᾽ Ἱερωνύμῳ Ἰουδαϊκὴ διαίρεσις ἡ αὐτὴ σχεδόν ἐστι καὶ ἡ νῦν κρατοῦσα παρ᾽ αὐτοῖς. α) Εἰς νόμον (τὴν Πεντάτευχον). β) Προφήτας [τοὺς μὲν προτέρους (ἀπὸ Ἰησοῦ Ναυῆ μέχρι Δ. Βασιλ.), τοὺς δὲ ὑστέρους, τοὺς Δ. μεγάλους προφήτας (ὧν ἐξαιροῦσι τὸν Δανιὴλ καὶ τοὺς Θρήνους), καὶ τὸ δωδεκαπρόφητον]. γ) Ἁγιόγραφα (Ῥοὺθ, τὰ στιχήρη, θρῆνοι Ἱερεμίου, Δανιὴλ, Ἐσθὴρ, Ἔσδρας σὺν Νεεμίᾳ, Παραλειπόμενα. (βλ. Hieron. prol. Galeat. — Huet. Dem. Evang. p. 209 — Carpzov. Crit. Sacr. P. 1. c. 4.

(γ) Βλ. Carpzov. l. c. πρβ. καὶ ἐφεξ. κεφ. θ, §. γ, καὶ §. κδ, κτλ.

ἐκάκισαν ὡς παράλογον (α), καὶ παρὰ τοῖς ἀρχαίοις ἄγνωστον (β). Τελευταῖον, τὴν τοῦ Πολυΐστορος (ἣν οὐδ᾽ αὐτὴν ἀφῆκεν Ὅδιος ἀμνημόνευτον) θήλειαν *Μουσὼ* παρεῶμεν, ἀντιτάσσοντες τὸν ἄῤῥενα Δημήτριον, αὐτὸν ἐκεῖνον τὸν Φαληρόθεν, ὅστις συγγράψας *ἱστορίαν τῶν ἐν Ἰουδαίᾳ βασιλέων* (βλ. ὄπισθ. κεφ. γ. §. ε.), ἀπέδειξεν οὐ μόνον τὸν νόμον, ἀλλὰ καὶ τὰς λοιπὰς βίβλους τῆς Γραφῆς ἡρμηνευμένας τότε ὑπὸ τῶν Ο. Μεταβαίνομεν εἰς τοὺς ἄλλους λόγους τοῦ κριτικοῦ (§. β).

β) Τὸ καθολικὸν ὄνομα Νόμος, εἴτε καταχρηστικῶς εἴτ᾽ ἀκαταχρήστως, μετεχειρίσθη καὶ Ἀριστέας, ὡς καὶ πάντες οἱ σύγχρονοι αὐτῷ Ἰουδαῖοι, παρ᾽ ὧν ἔμαθε καὶ τὴν κυρίαν καὶ τὴν πλατυτέραν τῆς φωνῆς σημασίαν. Ὅτι δὲ καὶ κυρίως *τὸν Νόμον* ἐπὶ τῆς Πεντατεύχου πολλάκις τιθεὶς, προσηρίθμησεν ὅμως καὶ *ἕτερα ἰουδαϊκὰ βιβλία* προκείμενα πρὸς ἑρμηνείαν, βλέπομεν εὐθύς.

---

(α) Βλ. Calov. Bibl. illustr. T. 1. Prol. p. 652. — Pleiffer Crit. Sacr. c. i. Qu. II. p. 17—20. — Wolf. Bibl. Hebr. T. 2. p. 41 not. — Carpzov. l. c.

(β) Εἰς *νόμον καὶ προφήτας* ἁπλῶς διαιροῦσιν ὡς ἐπὶ τὸ πλεῖστον τὴν παλαιὰν Γραφὴν οἱ Πατέρες, ἢ καὶ τριχῶς ὡς ἐκ τῆς ὕλης (κατὰ τὸ ἀνωτέρω ποστολ. Διατ. α, 8), οἷον εἰς βίβλους *ἱστορικὰς*, καὶ *στιχήρεις*, καὶ εἰς *προφητικὰς* (Γρηγ. Ναζ. ἐν ἔπεσ. λγ. τόμ. β. σελ. 98: καὶ Κύριλ. Ἱεροσολ. Κατηχ. δ.) Ὁ δὲ ὁ Λεόντιος Βυζάντιος (Αἱρέσ. 6) καὶ μερικώτερον· « εἰς βιβλία ἱστορικὰ, προφητικὰ, παραινετικὰ, καὶ πρὸς τὸ ψάλλειν γενόμενα » (τοὺς ψαλμοὺς ἐννοῶν, καὶ τὰ λοιπὰ στιχήρη. βλ. καὶ Cassiodor. Instit. Div. Litter. T. 2. p. 546). Ὅτι δὲ καὶ ὁ ἱερὸς Ἐπιφάνιος καὶ ὁ Ἱερώνυμος εἰς τοὺς Ἰουδαίους ἀπονέμουσι τὴν ὀνομασίαν τῶν ἁγιογράφων, ἢ *γραφείων* (αὐτὸ τὸ ἑβρ. Ketubim) καὶ οὐδεμίαν μνημονεύουσι βαθμολογίαν θεοπνευστίας, εἴδομεν ἀνωτέρω. *Ἁγιόγραφα* κυρίως οἱ πάλαι πατέρες ἔλεγον ὅλα τὰ βιβλία τῆς Παλαιᾶς καὶ τῆς Καινῆς *καὶ ἁγιόγραφοι δέλτοι* (Διον. Ἀρεοπαγ. Ἐκκλ. ἱεραρχ. γ. καὶ Μάξιμ. αὐτόθ.). τῷ δὲ *γραφεῖα* κατεχρήσατο πρῶτον ὁ Ἀκύλας, ὡς ἐνόμισεν Οὐόσσιος (J. Voss. de Orac. Sibyl. 12, et ad Simon. Resp. p. 97). καὶ ἔχει τῷ ὄντι ὁ Ἀκύλας *γραφεῖον*, ἐν Δευτερ. I. 4 (ὅπου οἱ Ο, *γραφήν*. Γραφεῖον δὲ οὗτοι κυριολεκτοῦσιν ὀρθῶς τὴν *γραφίδα*. Ἰώβ. ιθ. 24)· ἀλλ᾽ ὅμως εὑρίσκεται ἡ λέξις καὶ παρὰ τῷ Κλήμεντι τῷ Ῥώμης, ἐπὶ τοῦ ψαλτῆρος, « λέγει που τὸ γραφεῖον » (Ἐπιστ. Κορινθ. α. καὶ not. Cotel. ibid.). Ἀλλὰ καὶ ὧδε τὸ γραφεῖον (ὡς καὶ παρὰ Ἀκύλᾳ) ἁπλῶς σημαίνει τὴν *γραφήν*. Οὕτω καὶ παρὰ Νείλῳ (Ἐπιστ. βιβλ. β, 268) « τὰ θεῖα γραφεῖα» (ἀντὶ αἱ θεῖαι γραφαί). Ὡσαύτως καὶ παρὰ τῷ Ἐπιφανίῳ, Αἱρέσ. κϛ. §. 12. σελ. 94.

γ) Τὸ παρὰ τῷ Ἀριστέᾳ *Νομοθεσία* κείμενον ἁπλῶς ἀντὶ τοῦ *Νόμος* (ὡς καὶ παρὰ τῷ Φίλωνι) σῴζει πάντως καὶ τὰς αὐτὰς τοῦ νόμου σημασίας. Τὸ « ὧν ἡ *νομοθεσία* (Ῥωμ. Θ, 4) σημαίνει καὶ τὸν νόμον ὅλον τὸν Μωσαϊκὸν, καὶ ἰδίως τὰς ἠθικὰς ἐντολὰς, ἤτοι τὸν *Δεκάλογον* (α). Οὕτω καὶ παρὰ τῷ Ἀριστέᾳ λαλῶν ὁ ἀρχιερεὺς περὶ βρωμάτων, καὶ θυσιῶν, *νομοθεσίαν* ἔλεγεν ἰδίως τοὺς ἐν τῇ Ἐξόδῳ καὶ ἀλλαχοῦ τῆς Πεντατεύχου περὶ τούτων θεσμούς. Ἀλλὰ πάλιν τὸ αὐτὸ *νομοθεσία* (ἐν τῷ « Ἄξιον τῆς ἐκ παιδὸς καλλίστης ἀνατροφῆς, μᾶλλον δὲ *τῆς ἁγίας καὶ θεοκτίστου νομοθεσίας* ». Β. Μακκ. ϛ, 23) σημαίνει καὶ πᾶσαν καθόλου τὴν ἐν ταῖς προφητικαῖς Γραφαῖς διάταξιν καὶ περίληψιν τῆς θρησκευτικῆς καὶ πολιτικῆς καὶ ἠθικῆς *θεσμοθεσίας* (§. ιδ), καθ' ἣν ἀνετρέφοντο καὶ ἐπολιτεύοντο (κατὰ τὸ « Ἔχουσι *Μωσέα καὶ τοὺς Προφήτας* » κτλ. Λουκ. ιϛ, 31). Καὶ τοῦτο μάλιστα καὶ Ἰώσηπος ἐσήμανεν εἰπὼν, « Οὐ ψεύσομαί σε παιδευτὰ *Νόμε*, — οὐδ' ἐξαρνήσομαί σε ἱερωσύνη τιμία, καὶ *Νομοθεσίας ἐπιστήμη* » (λόγ. εἰς Μακκαβ. §. ε). Ὅθεν καὶ ὁ θεῖος Ἀθανάσιος *Νομοθεσίαν* (ἀντὶ *Νόμον*, κατὰ τὴν καθολικὴν σημασίαν τῆς φωνῆς) ὠνόμασε καὶ τοὺς *Ψαλμοὺς*, λέγων· « ἧ φησὶ καὶ ἡ θεία *νομοθεσία* (ὁ ιη, Ψαλμ.) » (β). Καὶ ὑπάρχουσιν ἄρα καὶ Ἰουδαῖοι καὶ Χριστιανοὶ πλατύτερον μεταχειρισθέντες καὶ τὸ *Νομοθεσία* καθὼς καὶ τὸ *Νόμος*, κἂν Ὀδίῳ μὴ δοκῇ.

δ) Λέγει ὁ Ἀριστέας, ὅτι παρανεγνώσθη αὐτῷ *πάντα*· καὶ *λίαν* ἐξεθαύμασε τὴν τοῦ νομοθέτου διάνοιαν ». Ποῖα ταῦτα τὰ *πάντα*;

---

(α) Θεοδώρ. ἑρμ. αὐτ. Καὶ ὁ θεῖος Δαμασκηνὸς νομοθεσίαν λέγει τὸν δεκάλογον (Ὀρθοδ. πίϛ. α, 5)· πρβλ. καὶ Schleusn. Lex. N. T. v. Νομοθεσία. Καὶ αὐτὸ τὸ Δεκάλογος θηλυκῶς (ὡς ἐπὶ τὸ πλεῖστον) ἐκφερόμενον ὑποκείμενον ἔχει συνυπονοούμενον τὸ νομοθεσία (Κλήμ. Ἀλεξ. Παιδαγ. γ, 2). πρβλ. καὶ Suicer. Thes. vol. 1. p. 830.

(β) Μ. Ἀθανάσ. λόγ. κατ. Ἑλλήν. σελ. 22. τ. α. ἐκδ. Commel. Οὕτω καὶ ὁ Μ. Βασίλειος « Νόμον Χριστοῦ » λέγων καθόλου τὴν καινὴν Διαθήκην, « Νομοθεσίαν τοῦ δεσπότου » πάλιν ὠνόμασε καὶ τὴν τοῦ Ἀποστόλου (Α Τομ. ε, 15) περὶ παρθενίας ῥῆσιν (πρὸς Ἀμφιλόχ. Καν. κ).

φανερὸν, ὅτι τὰ βιβλία ὅσα μεθηρμήνευσαν οἱ Ο. Ὅτι δὲ ταῦτα ἦσαν πλείονα παρὰ τὴν Πεντάτευχον, αὐτὸς Ἀριστέας εὐθὺς δηλώσει. Εἰ δὲ καὶ ὁ βασιλεὺς λίαν ἐθαύμασε τὴν τοῦ νομοθέτου διάνοιαν, οὐδὲν παράδοξον. Εἰς τὸν Μωσαϊκὸν νόμον ἀνεφέροντο καὶ τὰ λοιπὰ βιβλία τῆς Γραφῆς (ὡς προείπομεν) « *θεῖα βιβλία πάντα, καὶ θεοῦ δόγματα νομιζόμενα παρ' Ἰουδαίοις* » (Ἰώσ. κατὰ Ἀπίων. Α, §. η), καὶ Μωϋσῆς ἐστιν ὁ κορυφαῖος τοῦ χοροῦ τῶν προφητῶν. Ἠπίστατο δὲ τοῦτο μαθὼν ὁ Φιλάδελφος· καὶ δικαίως λοιπὸν πρῶτον τὴν τοῦ Νομοθέτου διάνοιαν *ἐξεθαύμασεν*, ἤτοι *λίαν* καὶ *περισσῶς*, καὶ τοῦτ' αὐτὸ *ἐκθάμβως*· ἔπειτα δὲ καὶ τ' ἄλλα τὰ προφητικὰ ἐκ διαλειμμάτων ἀκούων, εἰ καὶ *μὴ λίαν ἐξεθαύμασεν*, ἐθαύμασεν ὅμως πάντως (ἐφ' ὅσον εἶχε κατανοεῖν), μετριώτερον ἐκπλαγείς. Τοῦτο κατέλιπεν ὁ Ἀριστέας ἐννοεῖν, προτάξας ἐπὶ τῆς Πεντατεύχου τὸν *ἄγαν* τοῦ βασιλέως θαυμασμόν. Ἢ μήπως, ἐκφράσας τῆς Πεντατεύχου τὸ ὑπερθαύμαστον, ἀπέκλεισε λοιπὸν διὰ τούτου τὴν σύγχρονον ἑρμηνείαν τῶν ἄλλων προφητικῶν τευχῶν; Ὅταν δὲ ἐνθυμηθῶμεν, ὅτι καὶ πρώτην τὴν Πεντάτευχον (ὡς τὸν πρῶτον ἐν ταῖς Γραφαῖς ἐπέχουσαν τόπον) ἤκουσε παραγινωσκομένην ὁ βασιλεὺς, καὶ ὅτι πρώτιστα καὶ μάλιστα περὶ τὰς νομοθετικὰς ἐσπούδαζε βίβλους, τότε εὐκόλως ἐννοοῦμεν, διὰ τὶ ὁ Ἀριστέας διαγράψας τὸν πολὺν περὶ τοῦ νομοθέτου θαυμασμὸν τοῦ βασιλέως, ἔπειτα τὸ περὶ τὰς ἄλλας βίβλους τῆς Γραφῆς παρακολουθῆσαν αὐτοῦ θάμβος ἀφῆκεν ὑπακουόμενον. Πῶς γὰρ οὐκ ἔμελλεν ὁ Φιλάδελφος θαυμάσειν καὶ τὰ τῶν Προφητῶν; ὅστις καὶ πρὸ τῆς ἑρμηνείας ἀπεθαύμαζε πάντως τὰς ἐπὶ τοῦ Ἀλεξάνδρου πληρωθείσας καὶ σαφῶς γνωσθείσας προῤῥήσεις τοῦ Δανιὴλ (βλ. ὄπισθ. σελ. 115).

ε) Ὀλίγον, τέλος, εὑρίσκουσιν οἱ κριτικοὶ τὸν χρόνον τῶν ΟΒ, ἡμερῶν καὶ παντάπασιν ἀνίκανον εἰς ἑρμηνείαν ὅλων τῶν ΚΒ, βιβλίων τῆς Γραφῆς, μόλις δ' ἐπαρκοῦντα πρὸς μόνην τῆς Πεντατεύχου. Καὶ φαίνεται πάντως βραχὺς ὁ χρόνος, ὡς πρὸς τὸ μέγεθος ὅλον τοῦ σώματος τῆς Γραφῆς. Διὰ τοῦτό τινες ἐσπού-

δασαν διαλλάξαι τὰς δυσχερείας, οἷον ἐκκαθαίροντες τοῦ λόγου τὸ αὔθαδες, καὶ πρὸς τὸ πιθανώτερον ἠρέμα μεταποιοῦντες. Καὶ οἱ μὲν περὶ τὸν Οὐόσσιον, ὁμολογοῦντες ἄλλως καὶ τὴν ἐπίπνοιαν τῶν ἑρμηνέων, καὶ τὸ γνήσιον τῆς Ἀριστέου συγγραφῆς, τὸ δ' οὖν περὶ τοῦ χρόνου θεραπευτέον ἔκριναν, λέγοντες, ὅτι μόνην τὴν Πεντάτευχον δι' ἡμερῶν ΟΒ, μετέφρασαν οἱ ἑρμηνεῖς· ἔπειτα δὲ πάλιν οἱ αὐτοὶ, ἢ πάντες, ἤ τινὲς γοῦν ἐξ αὐτῶν ἐπανελθόντες ἐξ Ἱεροσολύμων εἰς Ἀλεξάνδρειαν (παρεκάλεσε δὲ καὶ τοὺς ἑρμηνεῖς ἀναχωροῦντας ὁ Φιλάδελφος, « καὶ πρὸς τὸν Ἐλεάζαρον ἔγραψεν, ἵνα πυκνότερον παραγίνωνται πρὸς αὐτόν ». Ἀριστέας σελίδ. 35), ἡρμήνευσαν καὶ τὰ λοιπὰ τεύχη τῆς Γραφῆς. Ἀλλὰ πρὸς τοῦτο κατεξανίσταται πᾶσα τῶν ἀρχαίων (καὶ αὐτοῦ δὲ τοῦ Ἀριστέου) ἡ ὁμόφωνος μαρτυρία, πάσας ἅμα τὰς βίβλους συγχρόνως ἑρμηνευθείσας παραδιδοῦσα. Ἄλλην δέ τινα θεραπείαν ὁ Βάλτων ἐπενόησε, διελὼν εἰς 72 ἰσάλληλα τεμάχια ὁλόκληρον τὸ σῶμα τῶν Γραφῶν, καὶ διανείμας ἀνὰ ἓν τεμάχιον εἰς ἕκαστον τῶν ἑρμηνευτῶν· ἑκάστου δὲ τὸ ἴδιον μέρος ἐν 72 ἡμέραις διαπεράναντος, οὕτως ἐξετελέσθη ἡ τοῦ ὅλου κώδηκος ἑρμηνεία. (βλ. ἐφεξῆς κεφ. Ι, §. γ). Ἀλλὰ καὶ τοῦτο ἀντιβαίνει πρὸς τὴν παρὰ τοῖς ἀρχαίοις ἱστορικὴν ἀλήθειαν. Ἡμῖν δὲ περὶ τούτου διασκοπουμένοις, πρῶτον μὲν ἐπῆλθεν ἡ κατὰ Ῥυγέριον μέθοδος (σελ. 345), μή ποτε καὶ ὧδε τὸ Ἀριστέου χωρίον διέφθαρτο πρόπαλαι κατὰ τὴν « ἐν *ἡμέραις* » λέξιν, καὶ οὕτω διεφθαρμένον ἀνέγνω καὶ Ἰώσηπος. Αὐτὸς δὲ ὁ Ἀριστέας ἔγραψεν ἐν *ἑβδομάσιν* ΟΒ (ἱκανώτατος δὲ δήπου *δύω* καὶ *ἑβδομήκοντα ἑβδομάδων* χρόνος εἰς τὴν ἑρμηνείαν ὅλου τοῦ ἱεροῦ κώδηκος· καὶ τοῖς *φιλεβδόμοις* δὲ Ἑβραίοις πάνυ κατάλληλος ! ). Ἀλλ' ἐπειδὴ τὸ νοθίζειν ἀναποδείκτως ἀρχαίων ἀντιγράφων ἀναγνώσεις, οὐκ ἀσφαλὲς, ἠγαπήσαμεν τῇ γραφῇ τῶν ΟΒ, *ἡμερῶν*, καίτοι θαυμαστοῦ φαινομένου τοῦ τάχους τῆς ἑρμηνείας. Ἀνεμνήσθημεν γὰρ, ὅτι καὶ τῶν μεγάλων ἐκείνων ἔργων τοῦ Περικλέους, ὑπερηφάνων μὲν μεγέθει ἀναβαινόντων, μορφῇ δ' ἀμι-

μήτων καὶ χάριτι, — *μάλιστα θαυμάσιον ἦν τὸ τάχος*. Ὧν γὰρ ἕκαστον ᾤοντο πολλαῖς διαδοχαῖς καὶ ἡλικίαις μόλις ἐπὶ τέλος ἀφίξεσθαι, ταῦτα πάντα μιᾶς ἀκμῇ πολιτείας ἐλάμβανε τὴν συντέλειαν. — Ὅθεν καὶ μᾶλλον θαυμάζεται τὰ Περικλέους ἔργα, πρὸς πολὺν χρόνον ἐν ὀλίγῳ γενόμενα» (Πλούταρχ. Περικλ. §. ιγ.). Εἰ δ' ἐν ἐκείνοις τοῖς ἔργοις τῆς ἀνθρωπίνης καλλιτεχνίας θαυμάσιον ἦν μάλιστα τὸ τάχος, τί δεινὸν, εἰ διὰ τοῦτο μάλιστα θαυμάζεται καὶ τὸ κάλλιστον καὶ ἀγήραντον ἔργον τῆς ἑρμηνείας τῶν θείων Γραφῶν; Ἔπειτα καὶ ἄλλως, τὸ πρὸς τὴν τοῦ ὅλου κώδηκος ἑρμηνείαν ὀλιγοχρόνιον τοῦτο θαυμαστὸν μὲν ἂν εἴη καὶ ἔξαλλον, ἀλλ' οὐχὶ καὶ ὑπερφυσικὸν καὶ ὑπὲρ ἄνθρωπον, οἷον οἱ περὶ τὸν Ὅδιον διεσάλπισαν. Εἰ γάρ (φασιν) ἕκαστος τῶν ἑρμηνευτῶν μετέφραζεν ὅλα τὰ κανονικὰ βιβλία τῆς Γραφῆς, ὤφειλεν ἐξ ἀνάγκης ἑρμηνεύειν καθ' ἑκάστην ποσὸν οὐκ ἔλασσον τῶν πρώτων ΙΔ, τῆς Γενέσεως κεφαλαίων· πρᾶγμα τεράστιον (βλ. σελ. 407). Ἀλλ' ἴδωμεν τοῦτο τὸ τεράστιον. Ὅλα τὰ κανονικὰ βιβλία τῆς κατὰ τοὺς Ο, Γραφῆς, καθ' ἣν παρετηρήσαμεν Βατικανὴν ἔκδοσιν, ἀπαρτίζουσι σελίδας ὅλας 1136 (τοῦ λεγομένου *τετάρτου* μεγέθους), καὶ ταύτας οὐχ ὁλοκλήρους· (ἑκάστης γὰρ τῶν ἐν τῇ ἐκδόσει ταύτῃ σελίδος τὸ ἓν τέταρτον, πολλαχοῦ δὲ καὶ τὸ τρίτον, ἐπέχουσιν αἱ διάφοροι ἀναγνώσεις)· τὰ δὲ ΙΔ, πρῶτα κεφάλαια τῆς Γενέσεως συμπληροῦσι σελίδας 16, ἐν αἷς περιέχονται τοῦ κειμένου στίχοι πάντες 560: Αὗται δὲ αἱ 16 σελίδες ἀποτελοῦσι τὸ 71 μέρος τῆς ὅλης τῶν σελίδων ποσότητος (τῶν 1136). Ποῖον λοιπὸν ὑπὲρ ἄνθρωπον ἔργον ἔπραττεν ἕκαστος τῶν 72 ἑρμηνευτῶν, μεταφράζων καθ' ἑκάστην ἀνὰ 16 σελίδας, ἢ στίχους 560, ἀσχολούμενος ἀπὸ πρωΐας ἕως ὥρας Θ; Δυσχερὲς τὸ ἔργον καὶ βαρύμοχθον, ὁμολογοῦμεν, ἀλλ' οὐκ ἀδύνατον· καὶ μάλιστα παρ' ἀνθρώποις ἐμπειροτάτοις ἧς ἑρμηνεύουσιν ὑποθέσεως. Οἱ δὲ Ο, τῆς τε γλώσσης καὶ διανοίας τῶν Γραφῶν ἦσαν εἰδημονέστατοι, καὶ τὰ ἑβραϊκὰ ἐξελληνίζειν συνήθως γεγυμνασμένοι (ἢ πῶς ἂν ἄλλως ἐξέμαθον τὰ ἑλληνικά;)· τότε δὲ πρὸς τὸ μέγα ἔργον ἐκλεγέντες,

πιθανώτατα (καθὼς καὶ Βάλτων ὀρθῶς παρετήρησεν) οὐκ ἀπαράσκευοι ἦσαν· ἀλλὰ καὶ πρὸς ἀλλήλους συνδιεσκέψαντο, καὶ τοὺς κώδηκας παρέβαλον οὓς ἔμελλον λαμβάνειν μεθ' ἑαυτῶν, καὶ συχνάκις καθ' ἑαυτὸν ἕκαστος ἐπειράθη τῆς ἑρμηνείας· καὶ οὕτως ἥψαντο τοῦ ἔργου, προσελθόντες ἐθάδες ἤδη καὶ πρόθυμοι· διὸ καὶ πρὸς τὴν ἐργασίαν θαυμάσιον ἐπεδείξαντο τάχος, μετὰ καὶ τοῦ Θεοῦ συνεφαπτομένου. Ταῦτα ἀπαντῶμεν πρὸς τὴν ἐκ τῆς ὀλιγότητος τῶν ἡμερῶν προβαλλομένην ἔνστασιν, ἥτις καὶ ἄλλως κούφη τις δοκεῖ καθ' ἑαυτὴν, καὶ μηδόλως παραβλάπτουσα τὸ πραγματικὸν τῆς ἑρμηνείας. Εἰδ' ἐπίκεινται βαρεῖς οἱ ἀντιλέγοντες, ἡμεῖς οὐδ' ἐνταῦθα τούτους ζηλοῦμεν, φιλοσόφου κρίσεως ῥώμην ἐν πᾶσιν ὁμοίως ἀσκοῦντας, καὶ πᾶν ὁ,τιδήποτε θαυμαστὸν ἀποσκορακίζοντας εἰς ἑστίαν γραϊδίων ὑθλολογούντων πρὸς τὸ πῦρ, καὶ θερμὸν πινόντων οἶνον! στέργομεν δὲ μᾶλλον καὶ προτιμῶμεν καὶ ὧδε τῶν πάλαι πατέρων ἡμῶν τὸ πρᾶον καὶ εὔγνωμον, ἢ (ἂν θέλωσι) τὸ εὔπιστον καὶ ἁπλοϊκὸν, καὶ ἀγαπῶμεν ἰδιωτικῶς φιλομυθοῦντες μετὰ τῶν ἀπαιδεύτων Ἰουστίνου, καὶ Εἰρηναίου, καὶ Κλήμεντος, καὶ Κυρίλλου, καὶ Χρυσοστόμου, καὶ τῶν ἄλλων ἱερῶν τῆς ἀρχαιότητος διδασκάλων, οἵτινες ἀποδεχόμενοι τὰ περὶ τὴν ἑρμηνείαν τῶν θείων Γραφῶν ἱστορούμενα παράδοξα, οὐδὲ τὸ περὶ τῶν ΟΒ, ἡμερῶν ῥητῶς ἀποβάλλουσιν (ὁ δὲ Κύριλλος ὁ Ἱεροσολύμων καὶ διαῤῥήδην ἱστόρησεν, ᾧ παρηκολούθησε καὶ τὸ Ἀλεξανδρινὸν Χρονικὸν, καὶ ὁ Σύγκελλος, καὶ ὁ Ζωναρᾶς, κτλ.) Τὸ Πνεῦμα, τὸ φωτίζον τὴν διάνοιαν τῶν θεοφιλῶν ἑρμηνέων ἐκείνων, ἠδύνατο πάντως καὶ τὸν κάλαμον αὐτῶν ἀποδεῖξαι «κάλαμον γραμματέως ὀξυγράφου», ὥστε καὶ ΙΔ, καὶ ἔτι πλείονα κεφάλαια τῆς Γραφῆς καθ' ἑκάστην ἑρμηνεύοντας, εἰς ἔτι βραχύτερον χρόνου μόριον συντελέσαι τὴν ἑρμηνείαν. Ἀλλὰ μηκέτι θυραυλῶμεν περὶ τὴν ἐξέτασιν τῶν τοιούτων, ὅσα προβάλλουσιν οἱ περὶ τὸν Ὅδιον ἐκ τοῦ Ἀρισέου, ὡς μόνην δῆθεν τὴν Πεντάτευχον ἑρμηνευθεῖσαν ἱςοροῦντος. Ἴδωμεν δὲ μᾶλλον, εἴτι σαφέςερον καὶ ἐκφαντορικώτερον ἔγραψεν ὁ ἱςορικὸς περὶ τῶν ἑρμηνευθέντων βιβλίων τῆς Γραφῆς.

Ὁ Ἀριστέας εἶπε μὲν ἁπλῶς *νόμον* καὶ *νομοθεσίαν*, καὶ *τὰ τῶν Ἰουδαίων νόμιμα* (α)· εἶπε δὲ καὶ ἀορίστως, ἢ καθολικῶς, « *τὰ ἰουδαϊκὰ βιβλία* » — « Ἐκέλευσε (λέγει) τὸν Δημήτριον (ὁ Φιλάδελφος) ἐκδοῦναι περὶ *τῆς τῶν ἰουδαϊκῶν βιβλίων ἀναγραφῆς* ». Ταῦτα δὲ σαφέστερον καὶ λαμπρότερον ἐξήγησεν αὐτὸς ὁ Δημήτριος ἐν τῇ πρὸς τὸν Φιλάδελφον ἀναφορᾷ λέγων· « *Τοῦ νόμου τῶν Ἰουδαίων βιβλία σὺν ἑτέροις ὀλίγοις τισὶν ἀπολείπει· τυγχάνει γὰρ ἑβραϊκοῖς γράμμασι καὶ φωνῇ λεγόμενα* ». Τοῦτο τὸ χωρίον ἀνέφερε καὶ Ὅδιος πρῴην ἀλλαχοῦ, δι' ἄλλην αἰτίαν (βλ. ὄπισθ. βιβλ. Α. κεφ. ις. §. η, καὶ θ), ἀδίκως ἀντιλέγων καὶ τότε πρὸς Ἀριστέαν, καὶ μηδόλως ἀκριβώσας τὴν συνθήκην καὶ τὸ νόημα τῆς φράσεως· ἀλλ' ἀπεδείξαμεν ἐκεῖ τρανῶς (καθὼς νομίζομεν) τὸν ἀληθῆ καὶ γνήσιον τοῦ χωρίου νοῦν. Καὶ πᾶς τις δὲ φιλοκρινῶν, βλέπει καθαρῶς, ὅτι ταῦτα δὴ τὰ *πρὸς τῷ νόμῳ* (τῇ Πεντατεύχῳ) συνημμένα *ὀλίγα τινὰ βιβλία τῶν Ἰουδαίων* οὐδὲν ἕτερόν εἰσιν, εἰμὴ πάντα τὰ λοιπὰ ἐν γένει τὰ προφητικὰ τεύχη, ἢ (κατὰ τὴν Ὀδίῳ φίλην ὑποδιαίρεσιν) *τὰ προφητικὰ, καὶ τὰ ἁγιόγραφα*, ὧν τὴν ἑρμηνείαν συγχρόνως μετὰ τῶν Μωσαϊκῶν ἐζήτησε μὲν ὁ Δημήτριος, ἐπέταξε δὲ ὁ Φιλάδελφος, ἐξετέλεσαν δὲ οἱ Ο. Εἰ δὲ καὶ οἱ περὶ τὸν Ὅδιον ἔχουσιν ὀνομάζειν ἄλλα τινὰ μετὰ τοῦ Νόμου σύμφυτα καὶ συγκαθιερωμένα συγγράμματα ἰουδαϊκὰ, διάφορα τῶν *προφητικῶν*, λεγέτωσαν, καὶ ἀκουσόμεθα. (β) —

---

(α) « *Προσαγγέλλεται δέ μοι καὶ τῶν Ἰουδαίων νόμιμα, μεταγραφῆς ἄξια* » (*εἶπε πρῶτον ὁ Δημήτριος πρὸς τὸν βασιλέα*, Ἀριστ. *σελ* 2 Hody). Τοῦτο *δὲ παρ' Ἰωσήπῳ γράφεται οὕτω*· « Μεμνῦσθαι *δὲ αὐτῷ πολλὰ εἶναι καὶ παρὰ τοῖς Ἰουδαίοις τῶν παρ' αὐτοῖς νομίμων συγγράμματα* » *κτλ.* (Ἀρχ. *ιβ. β.* §. *α*). Καὶ *φαίνεται λοιπὸν ὁ Ἰώσηπος ἀνεγνωκὼς παρὰ τῷ Ἀριστέᾳ*, « *καὶ πολλὰ τῶν Ἰουδαίων νόμιμα* ». Ἐξέπεσε *δὲ ἄρα ἐκ τῶν Ἀριστέου χειρογράφων τὸ πολλά· δείκνυσι δὲ καὶ ἡ φράσις, ἡ « καὶ τῶν Ἰουδαίων νόμιμα », ἀπαιτοῦσά πως, ἢ ἄρθρον* (ΤΑ *τῶν Ἰουδ.*), *ἢ αὐτὸ τὸ* ΠΟΛΛΑ. Εἰ *δὲ ταῦτ' ἀληθεύουσιν (ὡς ἔοικεν), Ἰουδαίων νόμιμα λοιπὸν εἶπεν ὁ Ἀριςέας, ὡς καὶ ὁ Ἰώσηπος ὅλα τὰ διὰ τοῦ νόμου τεύχη τῆς* Γραφῆς, *ἤτοι τὰ τοῦ νόμου σὺν ἑτέροις ὀλίγοις βιβλία τῶν Ἰουδαίων (ὡς αὐτὸς Ἀριστέας εὐθὺς διασαφήσει).* Τὰ *δ' ὀλίγα ταῦτα μετὰ τῶν τοῦ νόμου γίνονται πολλά.*

(β) Βλ. Vindication of the history of the Septuagint etc. p. 160.

β) Τὴν Ἀριστέου ταύτην φράσιν παρομοίως ἐξήνεγκε καὶ Ἰώσηπος ἐν τῇ Συνόψει γράφων· « *Δηλῶ σοι* » (λέγει καὶ παρ' αὐτῷ ὁ Δημήτριος πρὸς τὸν Βασιλέα) « *τὰ τῆς Ἰουδαίων νομοθεσίας* (βιβλία) *λείπειν ἡμῖν σὺν ἑτέροις· χαρακτῆρσι γὰρ ἑβραϊκοῖς γεγραμμένα καὶ φωνῇ τῇ ἐθνικῇ, ἐστιν ἡμῖν ἀσαφῆ* » (Ἀρχ. ιβ. β, 3)· καὶ τὸ μὲν μετὰ τοῦ « *σὺν ἑτέροις* » παρὰ τῷ Ἀριστέᾳ συνημμένον « *ὀλίγοις τισι* » παρεῖδε, συντομίας χάριν, ὁ Ἰώσηπος. Ὅτι δὲ καὶ οὗτος, ὡς ὁ Ἀριστέας, *τὰ ἕτερα ταῦτα βιβλία* ἐνόει ἰουδαϊκά, πρόδηλον ἐκ τῆς τοῦ λόγου συνθήκης· ἐν ᾗ καὶ τὸ *σὺν ἑτέροις* συνάπτεται πρὸς τὰ τῆς *νομοθεσίας*, ὡς σύστοιχον καὶ ὁμοειδὲς, διὰ τῆς κοινῶς ἐπαγομένης αἰτιολογικῆς ἀποδόσεως, τῆς, « *χαρακτῆρσι γὰρ ἑβραϊκοῖς* κτλ. — γ) Ἐν τούτοις τοῖς λόγοις βλέπει πᾶς τις ἐναργῶς, ὅτι καὶ ὁ Ἀριστέας τὸ *Νόμος*, καὶ Ἰώσηπος τὸ συνώνυμον *Νομοθεσία*, τιθέντες κυρίως ἐπὶ τῆς Μωσαϊκῆς Πεντατεύχου, προτάττουσιν *αὐτὴν πρὸ τῶν ἑτέρων βιβλίων*, ὡς κορυφαιότατον κεφάλαιον ὅλου τοῦ συμπαροπηδοῦντος σώματος τῆς ἑβραϊκῆς Γραφῆς. Ὥστε, καὶ ὅταν οἱ αὐτοὶ πάλιν ἀλλαχοῦ λέγωσιν ἁπλῶς, τὸν *Νόμον* (οἷον, τὴν τοῦ *Νόμου ἑρμηνείαν* » κτλ.), ἐκλαμβάνουσι κἀκεῖ τὴν λέξιν περιληπτικῶς ἐπὶ πάντων τῶν βιβλίων τοῦ ἑβραϊκοῦ κώδηκος, κατὰ τὴν προσημειωθεῖσαν ἔν τε τοῖς Μακκαβαϊκοῖς καὶ ἐν τῇ Καινῇ Διαθήκῃ χρῆσιν τοῦ ὀνόματος. Ἡ δὲ τοιαύτη χρῆσις ὑπάρχει τοσοῦτον ὁμολογουμένη καὶ ἀναντίῤῥητος, ὥστε, καὶ χωρὶς τῆς ἀνωτέρω σεσημειωμένης φράσεως τοῦ Ἀριστέου καὶ Ἰωσήπου, ἠδυνάμεθα τὸ παρ' αὐτοῖς πολλάκις ἁπλῶς ἐκφερόμενον *Νόμος* ἐκλαβεῖν ἀσφαλῶς ἐπὶ παντὸς τοῦ κώδηκος τῶν ἑβραϊκῶν Γραφῶν, ὅπου γίνεται ὁ λόγος περὶ τῆς ἑρμηνείας. Ὅθεν — δ) καὶ ὅταν ὁ Ἀριστέας λέγῃ « τὰ *βιβλία* καὶ τὰς διαφόρους διφθέρας » (ἃς προσήνεγκαν οἱ Ο, τῷ Βασιλεῖ), καὶ πάλιν ὁ Ἰώσηπος, « τὰ *τεύχη* καὶ τὰ *βιβλία* », καὶ τότε νοοῦσι πάντα τὰ κανονικὰ βιβλία τῆς Γραφῆς. — ε) καὶ τελευταῖον. Αὐτὸς ὁ (κατὰ τὸν Ὅδιον) Ἀριστέας τοῦ ἱεροῦ Ἐπιφανίου κηρύττει λαμπροφώνως, ὅτι « Παρὰ τοῖς

Ἱεροσολύμοις (ἴσ. γρ. τοῖς *ἐν* Ἱεροσολύμοις) καὶ ἐν τῇ Ἰουδαίᾳ ὑπάρχουσι βίβλοι θεῖκαὶ ΤΩΝ ΠΡΟΦΗΤΩΝ, *διηγούμεναι περὶ Θεοῦ, καὶ τῆς κοσμοποιΐας, καὶ τῆς ἄλλης πάσης κοινωφελοῦς διδασκαλίας*. Ταῦτα γράφει πρὸς τὸν Πτολεμαῖον ὁ Φαληρεὺς (παρ᾽ Ἐπιφανίῳ περὶ Μέτρ. §. θ. τόμ. β. σελ. 166)· καὶ ταύτας τὰς βίβλους ἐζήτησεν ὁ Πτολεμαῖος ἐν τῇ πρὸς Ἰουδαίους ἐπιστολῇ, καὶ ἀπέστειλαν ἐκεῖνοι, καὶ ἡρμήνευσαν οἱ Ο, (αὐτ. σελ. 167), Ὥστε ὁ Ἀριστέας (κατὰ τὸν Ἐπιφάνιον) *βίβλους τῶν προφητῶν* ὑφ᾽ ἓν ὄνομα καλεῖ καὶ τὴν Πεντάτευχον, καὶ πάσας τὰς ἄλλας βίβλους τῆς Γραφῆς, ἃς ἐν τῇ ἰδίᾳ συγγραφῇ νῦν μὲν καθόλου καὶ περιληπτικῶς *Νόμον* ἐκάλεσε καὶ *Νομοθεσίαν*, νῦν δὲ πάλιν καὶ διακεκριμένως, διαιρῶν ἐν μέρει τὸν κυρίως *νόμον* (τὴν Πεντάτευχον) ἀπὸ τῶν ἄλλων τῶν συνερμηνευθέντων τευχῶν· « *τοῦ Νόμου τῶν Ἰουδαίων σὺν ἑτέροις ὀλίγοις τισί* ». Τοῦτο τὸ χωρίον τοῦ (κατὰ τὸν Ὅδιον) Ἐπιφανιανοῦ Ἀριστέου, αὐτὸς μὲν Ὅδιος παρέδραμεν· ἐμνημόνευσε δὲ ὅμως καὶ ὡμολόγησεν ὀρθῶς ἄλλος ἐν ἄλλοις Ὀδίου σύμμαχος, ὁ Βοβέριος (α).

§. ιε. Β) Μεταβαίνομεν ἰδίως εἰς τὰ τοῦ Ἰωσήπου (§. γ). Εἴπερ ὁ σοφὸς Οὐαλέσιος ὀρθῶς τὸ πρῶτον ἐννοήσας τοὺς Ἰωσήπου λόγους, ἔπειτ᾽ ἀπέκλινε πρὸς τὸ χεῖρον, τί πρὸς τὸν Ἰώσηπον; Ἀκούσωμεν τοῦτον αὐτόν. Καὶ ὅ,τι μὲν εἶπεν οὗτος ἐν τῇ συνόψει τῆς Ἀριστέου ἱστορίας, ἴδομεν ἀνωτέρω. Ἐν δὲ τῷ Β, κατὰ Ἀπίωνος (§. δ) γράφει ταῦτα κατὰ λέξιν. « Πτολεμαῖος ὁ Φιλάδελφος ἐπιθυμητὴς ἐγένετο *γνῶναι τοὺς ἡμετέρους νόμους, καὶ ταῖς τῶν ἱερῶν Γραφῶν βίβλοις ἐντυχεῖν*. Ἔπεμψε γοῦν (εἰς Ἱερουσαλὴμ) ἀξιῶν ἄνδρας ἀποσταλῆναι τοὺς ἑρμηνεύσοντας αὐτῷ τὸν ΝΟΜΟΝ. — Οὐκ ἂν δήπου *τοὺς νόμους καὶ τὴν πάτριον ἡμῶν φιλοσοφίαν* ἐπιθυμήσας ἐκμαθεῖν, εἰ τῶν χρωμένων αὐτοῖς ἀνδρῶν κατεφρόνει » κτλ. Ἐν τούτοις βλέπομεν ὅτι, πρῶτον ὁ Ἰώσηπος διαιρεῖ σαφῶς τοὺς Νόμους (τοὺς Μωσαϊκούς, ἤτοι τὴν

(α) Wower. Syntagm. de LXX. p. 71.

Πεντάτευχον) ἀπὸ τῶν ἄλλων *τῶν ἱερῶν βίβλων τῆς Γραφῆς* (δηλονότι τῶν προφητικῶν, καὶ τῶν λοιπῶν ἁπάντων). Καὶ πάλιν παρακατιὼν διαστέλλει διαῤῥήδην *τοὺς Νόμους* ἀπὸ τῆς *πατρίου φιλοσοφίας*· τοὺς μὲν νόμους εἰδικώτερον ἐκφέρων καὶ κατ᾽ ἐξοχὴν (διὰ τὸ ἐξαίρετον τῆς νομοθεσίας), προστιθεὶς δὲ καὶ τὴν *πάτριον φιλοσοφίαν* καθολικώτερον, δι᾽ οὗ συμπεριέλαβεν οὐ μόνον τὰ νόμιμα τῆς κατὰ Μωσέα φιλοσοφίας, ἀλλὰ καὶ τἄλλα τὰ ἐξ αὐτῆς ἠρτημένα ἠθικὰ, καὶ ἱστορικὰ, καὶ ὕμνους, καὶ προῤῥήσεις μελλόντων, καὶ ἐποπτείας, καὶ βίου ὑποθήκας, καὶ πάντα, «*ὅσα συνέγραψαν οἱ μετὰ Μωϋσῆν προφῆται*», καθὼς αὐτὸς πάλιν ἐν τῷ Α, κατὰ Ἀπίωνος (§. η) προεῖπε, διαιρῶν κατ᾽ εἶδος τὰς κβ, κανονικὰς βίβλους τῆς Γραφῆς· (ταύτας δὲ καὶ ἀλλαχοῦ *βίβλους ἱερὰς*, καὶ *ἱερὰ γράμματα* ὠνόμασεν, ὡς ὀψόμεθα παρακατιόντες). Καὶ λοιπὸν οἱ παρὰ τοῦ Φιλαδέλφου μετακληθέντες Ο, μεθηρμήνευσαν *καὶ τοὺς νόμους καὶ τὰ προφητικὰ μετὰ τῶν γραφείων*. Τοῦτο πρῶτον ὁ Ἰώσηπος ἐννοεῖ. Δεύτερον· διακρίνας ἀνωτέρω *τοὺς νόμους* καὶ τὰς τῶν *ἱερῶν Γραφῶν βίβλους* (ὧν « ὁ Πτολεμαῖος ἐγένετο ἐπιθυμητὴς »), εὐθὺς ἔπειτα πάντα ταῦτα κοινῶς ὠνόμασε ΝΟΜΟΝ (« *τοὺς ἑρμηνεύσοντας τὸν Νόμον* »). Καὶ ὁσάκις λοιπὸν ὁ αὐτὸς ἀλλαχοῦ λέγει τοὺς Ο, μεθερμηνεῦσαι τὸν *Νόμον* (μονολεκτικῶς), φανερὸν, ὅτι συνενοεῖ καὶ πάσας, ἃς ἐνταῦθα ῥητῶς ἀπὸ τοῦ κυρίως νόμου (τῆς Πεντατεύχου) διέστειλε, *τὰς ἱερὰς βίβλους τῶν Γραφῶν*. Οἱ δὲ περὶ τὸν Ὅδιον τί πρὸς ταῦτα λέγουσιν; ἄκουε· — « Τὰς τῶν ἱερῶν *Γραφῶν βίβλους* ὁ Ἰώσηπος εἰπὼν, οὐ πάσας ἐσήμανεν, ἀλλ᾽ ἐκείνας αὐτὰς *τὰς Μωσαϊκὰς, τὰς τὸν νόμον περιεχούσας* » —. Καὶ κατὰ ταύτην ἄρα τὴν ἑρμηνείαν, ὁ Ἰώσηπος εἶπεν ἐν ἄλλαις λέξεσι τάδε· « *γνῶναι τοὺς ἡμετέρους* ΝΟΜΟΥΣ, *καὶ ταῖς τῶν ἱερῶν Μωσαϊκῶν* ΝΟΜΩΝ *βίβλοις ἐντυχεῖν*! ἢ καὶ, « *γνῶναι τοὺς* ΝΟΜΟΥΣ, *καὶ τῶν ἱερῶν Μωσαϊκῶν Γραφῶν* (δηλονότι τῶν ὑπὸ Μωσέως *γεγραμμένων* ΤΕΥΧΩΝ, ἢ ΒΙΒΛΩΝ) *βίβλοις ἐντυχεῖν* »! Ἀλλ᾽ ἡμεῖς νομίζομεν, ὅτι καὶ αὐτὴ τῶν

κριτικῶν ἡ εὐφυΐα ἐπεγέλα τοιαῦτα παχυλὰ σοφιστευομένη, καὶ τὸν Ἰώσηπον εἰσάγουσα τοσοῦτον ἀναισθήτως βαττολογοῦντα, καὶ ταυτάζοντα τριχῇ περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος, ἢ τρισσολογοῦντα « *τοὺς νόμους, τὰς βίβλους, τὰς ἱερὰς Γραφάς* ! Ἀλλ' ἴδωμεν καὶ τ' ἄλλο τὸ μάλιστα σημειωτέον χωρίον τοῦ Ἰωσήπου.

§. ιϛ. Εἶπεν οὗτος ἀλλαχοῦ (Ἀρχαιολ. Προοιμ. §. γ) « Ὅτι (ὁ Φιλάδελφος) ἐξαιρέτως ἐφιλοτιμήθη *τὸν ἡμέτερον νόμον καὶ τὴν κατ' αὐτὸν διάταξιν τῆς πολιτείας* εἰς τὴν ἑλλάδα φωνὴν μεταβαλεῖν. — *Οὐδὲ γὰρ πᾶσαν ἐκεῖνος ἔφθη λαβεῖν τὴν ἀναγραφήν*, ἀλλ' αὐτὰ μόνα τὰ τοῦ Νόμου παρέδοσαν οἱ πεμφθέντες ἐπὶ τὴν ἐξήγησιν εἰς τὴν Ἀλεξάνδρειαν· μυρία δέ ἐστι τὰ δηλούμενα διὰ τῶν ἱερῶν γραμμάτων· *ἅτε δὴ πεντακισχιλίων ἐτῶν ἱστορίας* ἐν αὐτοῖς περιειλημμένης ». Πρὸς ταῦτα ἐρειδόμενοι ἄλλοι τε καὶ οἱ περὶ τὸν Ὅδιον κριτικοί, διατείνονται συμφώνως, ὅτι « κακῶς λοιπὸν ἐνόμισαν οἱ νομίσαντες ὅλον τὸν κώδηκα τῆς Γραφῆς ἑρμηνεῦσαι τοὺς Ο » (α). Καὶ μεταφράζουσιν οἱ ἄνδρες τὸ τοῦ Ἰωσήπου χωρίον, ὡς οὐκ ἂν γένοιτο ψευδέστερον. Τὸ μὲν γὰρ πᾶσαν τὴν ΑΝΑΓΡΑΦΗΝ, ἑρμηνεύουσι διὰ τοῦ πᾶσαν τὴν ΓΡΑΦΗΝ (totam scripturam), τὸ δὲ « *αὐτὰ μόνα* ΤΑ ΤΟΥ ΝΟΜΟΥ », διὰ τοῦ « *αὐτὸν μόνον* ΤΟΝ ΝΟΜΟΝ » (β). Ἀλλὰ πρῶτον μὲν οὐδεὶς τῶν Ἑλλήνων, ἢ τῶν

(α) A. Fabric. not. in Aristeam ad Antiquit. Ioseph. p. 135. tom. 2. Hav. καὶ Prideaux, Connex. Hist. V. et N. T. par. I. p. 45. πρβλ. Vales. not. ad Euseb. Hist. Eccl. V. 8. et in Epis. ad Usser. de vers. LXX — P. Simonij Hist. Crit. V. T. Lib. II. c. 2. — Reland not. ad. Joseph. Archaeol. prooem. T. 1. p. 2. Hav. — Reinhard de versionis Alexandrinae auctoritate et usu etc. pag. VIII. Vitemberg. 1777. — Mülcke l. c. pag. 75.

(β) Οὕτως ἡρμήνευσεν Hudson (εἰς Ἰώσηπ. αὐτόθ.), καὶ Ὅδιος ὁμοίως, non totam scripturam, — sed Legem solam (Hod. pag. 165). Ἀλλ' ὁ σοφὸς Ἔκδικος (Vindication of the history etc. p. 162, 165) ποιῶν βαθείας ὑποκλίσεως σχῆμα πρὸς τοὺς τοιούτους μεταφραστὰς, ἐρωτᾷ· « Κατὰ ποίαν ἄρα αὐθεντίαν ἡρμήνευσαν Γραφὴν μὲν ἁπλῶς τὴν Ἀναγραφὴν, Νόμον δὲ πάλιν ἁπλῶς τὰ τοῦ Νόμου; τὸ μὲν γὰρ ἀναγραφὴ σημαίνει ἱστορίαν

ἑλληνιστῶν ὠνόμασεν ἁπλῶς *Ἀναγραφὴν*, τὴν ἁγίαν *Γραφήν*· Ἔπειτα καὶ αὐτὸς Ἰώσηπος καὶ ὧδε, καὶ ἀλλαχοῦ πολλαχοῦ, ἀναγραφὴν λέγει τὴν συγγραφὴν, δηλαδὴ *τὴν ἱστορίαν*· οἷον· « *Τοὺς βουλομένους ἱστορίαν συγγράφειν*, τοὺς μὲν (λέγει) πρὸς ἐπίδειξιν γράφειν, ἄλλους δὲ χάριν ἐκείνοις φέροντας, *περὶ ὧν τὴν ἀναγραφὴν εἶναι συμβέβηκε* » (Ἀρχαιολ. προοιμ.). Καὶ, « Τοῖς Ἕλλησι δημοσίους γενέσθαι περὶ τῶν ἑκάστοτε πραττομένων *ἀναγραφάς* » (τουτέστιν ἱστορικὰ ὑπομνήματα) (α). Τὸ δὲ πάλιν « *τὰ τοῦ νόμου* » προφανῶς ἔχει συνυπακουόμενον *τὰ βιβλία*, τὰ τὸν νόμον ἀπαρτίζοντα (κατὰ τὴν περιληπτικὴν καὶ καθόλου σημασίαν τοῦ *νόμος*)· ἤγουν « *αὐτοὺς τοὺς νόμους* (τοὺς Μωσαϊκούς), *καὶ τὰς μετὰ τούτων ἀναγραφὰς* (δηλονότι *συγγραφάς*), ὡς εἶπε πάλιν ὁ Ἰώσηπος, ἀπαριθμῶν τὰ κβ, βιβλία τῆς Γραφῆς (κ. Ἀπίων. α. §. η.). Καὶ εἶπεν ἄρα καὶ αὐτὸς « *τὰ τοῦ νόμου* », καθὼς καὶ πολὺ πρὸ αὐτοῦ ὁ Ἀριστόβουλος, « *τὰ διὰ τοῦ νόμου πάντα* » (βλέπε τοῦτο παρακατιὼν ἐν τοῖς ἐφεξῆς). Τούτων οὔ-

---

*(καὶ τοῦτο διὰ πολλῶν παραδειγμάτων δείκνυσι)· τὸ δὲ τ ὰ τ ο ῦ ν ό μ ο υ, τὸν νόμον αὐτὸν, καὶ τὰ εἰς αὐτὸν ἀναφερόμενα λοιπὰ βιβλία τῆς Γραφῆς». Καὶ μᾶλλον προτιμᾷ τοῦ (Ἄγγλου καὶ τούτου σοφοῦ)* Bernardi *τὴν μετάφρασιν, ὅστις τὸ μὲν ἀναγραφὴν ἡρμήνευσε* descriptionem, *τὸ δὲ τ ὰ τ ο ῦ ν ό μ ο υ,* ea quae Legis sunt. *Καὶ αὐτὸς δὲ ὁ Ἄγγλος Ἕχδιχος ὡσαύτως ἡρμήνευσε τὸ χωρίον, ἐπὶ τὸ σαφέστερον ἐκτιθείς·* « Neque enim omnes de Rebus Judaicis commentarios à Translatoribus accepit, sed ea quae ad Legem pertinent », *τουτ. Οὐδὲ γὰρ πάντα τὰ περὶ τῶν Ἰουδαϊκῶν πραγμάτων ὑπομνήματα (« τ ὴ ν ἀ ν α γ ρ α φ ή ν ») παρὰ τῶν ἑρμηνέων ἔλαβεν (ὁ Πτολεμαῖος), ἀλλ' αὐτὰ μόνα τὰ εἰς τὸν νόμον ἀνήκοντα (« τ ὰ τ ο ῦ ν ό μ ο υ ») κτλ. Οὕτως ὀρθῶς καὶ δικαίως καὶ πολὺ παρὰ τὸν Ὅδιον ἀκριβέστερον κατενόησαν τὸν Ἰώσηπον οἱ δύο οὗτοι αὐτοῦ συμπολῖται.*

(α) *Κατ. Ἀπίων. α. §. δ. πραβλ. §. ε, ς, θ, ια, ιγ, κβ. Οὕτω καὶ Διόδωρος α,* 6, 19, 28, 29: *ιζ, σελ.* 599 *κτλ. Καὶ « β α σ ι λ ι κ α ὶ ἀ ν α γ ρ α φ α ί » (πίνακες ἱστορικοὶ δημόσιοι) Ἀππιαν. προλ. σελ.* 6. *βλ. καὶ Ἀθήν. ια,* 494, 424. *Ἐν δὲ τῇ* Β, *Μακκαβ. β.* 13· *τὸ ἀ ν α γ ρ α φ α ῖ ς ἀντιδιαστέλλεται πρὸς τὸ ὑ π ο μ ν η μ α τ ι σ μ ο ῖ ς· ὡς ἐκεῖνο μὲν ἰδιωτικὰς ἱστορίας δηλοῦν· τὸ δὲ ὑ π ο μ ν η μ α τ ι σ μ ο ὶ, δημόσια ἱστορικὰ ὑπομνήματα (πρβλ. καὶ Πολυβ. ιβ.* 11, 4. *καὶ* Shleusn. Thes. V. T. vol. 1. p. 215.). *Λέγονται καὶ χρόνων ἀ ν α γ ρ α φ α ὶ (οἱ χρονολογικοὶ πίνακες), καὶ ἁπλῶς τὸ ἀ ν α γ ρ α φ ὴ ταυτίζεται πολλάκις πρὸς τὸ σ υ γ γ ρ α φ ὴ, τὸ αὐτὸ καὶ ἱ σ τ ο ρ ί α.*

τως ἐχόντων, φαίνεται λοιπὸν ὁ Ἰώσηπος, ὅτι καὶ κατὰ τὴν ἀνωτέρω (ἐν ἀρχῇ τοῦ παραγράφου) φράσιν, λέγων· « *τὸν νόμον καὶ τὴν κατ' αὐτὸν διάταξιν τῆς πολιτείας* », πάντως ἐννοεῖ τὴν Πεντάτευχον, μετὰ τῶν ἀπ' αὐτῆς ἐξηρτημένων κανονικῶν βίβλων τῆς Γραφῆς, ἐν αἷς ἐμπεριέχεται ἡ κατὰ τοὺς νόμους τοῦ Μωσέως διάταξις καὶ διοίκησις τοῦ πολιτεύματος. Καὶ μάρτυς ὁ Δημήτριος, ὅστις ἀνέφερε πρὸς τὸν Φιλάδελφον σαφέστερον « *τὰ τοῦ νόμου τῶν Ἰουδαίων βιβλία σὺν ἑτέροις ὀλίγοις τισι, - καὶ τοὺς κατ' αὐτὰ πεπολιτευμένους καὶ πολιτευομένους ἄνδρας* » (Ἀριστ. σελ. 5). Ἐξηγεῖ δὲ καὶ αὐτὸς ἑαυτὸν ὁ Ἰώσηπος· ὅςις ἐν τῷ αὐτῷ προοιμίῳ τῆς Ἀρχαιολογίας (§. β) σαφέςερον καὶ γενικώτερον εἶπεν, ὅτι αὕτη ἡ πραγματεία « περιέχει ἅπασαν τὴν παρ' ἡμῖν ἀρχαιολογίαν καὶ *τὴν διάταξιν τοῦ πολιτεύματος ἐκ τῶν ἑβραϊκῶν μεθηρμηνευμένην* ΓΡΑΜΜΑΤΩΝ » τουτέςιν (ὡς εὐθὺς δειχθήσεται) ἐκ πασῶν τῶν κανονικῶν ΓΡΑΦΩΝ. Γίνεται δὲ καταφανέστατον τὸ πρᾶγμα ἐκ τῶν ἐφεξῆς.

« *Οὐδὲ γὰρ* » (συνεχίζει λέγων) « *οὐδὲ γὰρ πᾶσαν* (ὁ Πτολεμαῖος) *ἔφθη λαβεῖν* (παρὰ τῶν Ο) *τὴν ἀναγραφὴν* » (τουτέστι τὴν Ἰουδαϊκὴν ἱστορίαν, ἣν αὐτὸς ὁ Ἰώσηπος ἐπεχείρησε συγγράψαι, συνεχίσας τὴν *ἐκ τῶν ἑβραϊκῶν γραφῶν μεθηρμηνευμένην ἀρχαιολογίαν*, ἕως εἰς τὸν τελευταῖον πανώλεθρον πόλεμον, ὡς αὐτὸς ἐν τῷ αὐτῷ προοιμίῳ ὁμολογεῖ)· « *ἀλλ' αὐτὰ* (λέγει) *μόνα τὰ τοῦ νόμου παρέδοσαν* οἱ *πεμφθέντες ἐπὶ τὴν ἐξήγησιν* » (*μόνα* δηλαδὴ « τὰ δύο πρὸς τοῖς εἴκοσι θεῖα πιστευόμενα βιβλία, *τὰ τοῦ παντὸς ἔχοντα χρόνου, τὴν ἀναγραφὴν* » ὡς αὐτὸς εἶπεν ἀλλαχοῦ [κ. Ἀπίων. Α. §. η]. Τίς δὲ καὶ πόσος οὗτος ὁ χρόνος; εἶπε κἀκεῖ, καὶ ὧδε σαφῶς διορίζει, λέγων) « *Μυρία δέ ἐστι τὰ δηλούμενα διὰ τῶν ἱερῶν γραμμάτων* » (ἁπάντων δηλαδὴ τῶν βιβλίων τῆς Γραφῆς), « *ἅτε δὴ* 5000 *ἐτῶν ἱστορίας* ἐν αὐτοῖς *περιειλημμένης* » (ἀπὸ κοσμογονίας μέχρις Ἀρταξέρξου, ὡς αὐτὸς Ἰώσηπος χρονολογεῖ παρακολουθῶν τοῖς Ο) (α).

(α) Βλ. Js. Vossij Chronol. Sacr. p. 104—108. in Diss. de LXX.

Ταῦτα τοίνυν μόνα *τὰ τοῦ νόμου* παρέδοσαν οἱ ἑρμηνεῖς. Ὥστε οἱ Ο, μεθηρμήνευσαν πάντα τὰ κανονικὰ βιβλία τῆς Γραφῆς, ἀπὸ τῆς Πεντατεύχου, μέχρι τοῦ τῶν Προφητῶν ἐσχάτου Μαλαχίου, τοῦ συγχρονίσαντος Ἀρταξέρξῃ τῷ Μακρόχειρι, συζύγῳ τῆς Ἐσθὴρ, καὶ Νεεμίᾳ καὶ Ἔσδρᾳ, γενομένοις κατὰ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον τῶν Ἰουδαίων. Τὰ δὲ μετὰ ταῦτα (ἀπὸ τῶν 5000 ἐτῶν καὶ ἐφεξῆς) οὐ παρέδοσαν οἱ Ο, οὐδ' *ὁ Φιλάδελφος ἔφθη λαβεῖν*, ὡς μὴ περιεχόμενα *ἐν τοῖς ἱεροῖς γράμμασιν* (τοῖς ἑρμηνευθεῖσι βιβλίοις), καθὼς οὐδὲ τὰ μετὰ τὸν Φιλάδελφον συμβεβηκότα (ὡς ὑστερόχρονα καὶ αὐτοῦ καὶ τῶν ἑρμηνευτῶν). Καὶ ταῦτα λοιπὸν τὰ λείποντα τῆς Ἰουδαϊκῆς ἱστορίας αὐτὸς ὁ Ἰώσηπος ἀνεπλήρωσεν, ὁλόκληρον τὴν ἀρχαιολογικὴν συγγραφὴν ἀπαρτίσας. Καὶ τὸ μὲν πρῶτον τῆς Ἀρχαιολογίας αὐτοῦ μέρος ἐκ τῶν ἱερῶν ἐπραγματεύσατο Γραφῶν, ἐν τοῖς πρώτοις *ἕνδεκα* βιβλίοις, μέχρι τέλους τῆς Ἐσθὴρ καὶ τοῦ Ἀρταξέρξου (βλ. Ἀρχ. ΙΑ, ς). Τὰ δὲ λοιπὰ τὰ *ἐννέα* βιβλία τῆς εἰκοσαβίβλου Ἀρχαιολογίας, « ἀπὸ τοῦ Ἀρταξέρξου, μέχρι τοῦ κατ' αὐτὸν χρόνου, » (ἤτοι μέχρι τοῦ 12 ἔτους τῆς τοῦ Νέρωνος βασιλείας, καὶ τῆς ἐφεξῆς, ἐν ἔτει 72 μ. Χ. καταστροφῆς τῶν Ἰουδαίων) συνέταξεν, ἀπανθίσας μέρος μὲν ἴσως ἐξ ἄλλων συγγραφέων Ἰουδαίων, ἢ καὶ ἐξωτερικῶν, τὸ δὲ πλεῖστον ἀπὸ τῶν ἐν τῷ ναῷ τηρουμένων ὑπομνημάτων καὶ συγγραφῶν, ἱερῶν μὲν κᾀκείνων νομιζομένων, ἀλλ' ὅμως (ὡς λέγει) « *πίστεως οὐχ ὁμοίας τοῖς προφητικοῖς ἀξιουμένων, διὰ τὸ μὴ γενέσθαι τὴν τῶν προφητῶν ἀκριβῆ διαδοχήν* (α). Ταῦτα λέγει ὁ Ἰώσηπος, σύμφωνα λέγων αὐτός τε πρὸς ἑαυτὸν, καὶ πρὸς Ἀριστέαν, καὶ πρὸς τὸν Ἀριστόβουλον (β). Σημείωσαι δὲ καὶ

---

(α) Ἰώσηπ. κ. Ἀπίων. α. §. η. πρβλ. J. Voss. Respons. ad Object. nup. Crit. Sacr. in Var. Observat. pag. 303. Londin. 1685.

(β) Ὁ δὲ κλεινὸς Οὐαλκενῆρος ὑπέλαβεν, ὅτι ὁ Ἰώσηπος διὰ τοῦ « οὐ γὰρ πᾶσαν ἐκεῖνος ἔφθη λαβεῖν τὴν ἀναγραφὴν » κτλ. ἠθέλησε παραπεῖσαι τοὺς ἀναγνώστας, καὶ μάλιστα τοὺς (οἷς ἐχαρίζετο μάλιστα) Ῥωμαίους, ὅτι μόνον τὸν Μωσαϊκὸν νόμον οἱ ἑρμηνεῖς παρέδοσαν τῷ Φιλαδέλφῳ. Ὁλόκληρον δὲ τῶν Ἰουδαίων ἱστορίαν

ὅπως *ἱερὰ γράμματα*, πολλάκις δὲ καὶ *θείας*, ἢ καὶ *ἱερὰς βίβλους* ὀνομάζει πάσας ἐν γένει τὰς κανονικὰς Γραφὰς, μηδόλως τὰς Μωσαϊκὰς ἀπὸ τῶν λοιπῶν διακρίνων, ὡς ἓν ὁλόκληρον σῶμα τὰς πάσας ἀποτελούσας (α). Ἐκ δὲ τούτου πάλιν ἐξηγεῖται καὶ διὰ τί εἶπε καὶ τἀνάπαλιν ὑφ' ἓν ὄνομα, « τὰ τοῦ *Νόμου* ». Πρόσθες καὶ τὰ ἐφεξῆς. Ὁ αὐτὸς Ἰώσηπος προοιμιαζόμενος τῆς (ἣν πρὸ τῆς Ἀρχαιολογίας ἐξέδωκε) *περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου* συγγραφῆς (§. ς), « Ἀρχαιολογεῖν μὲν

---

αὐτὸς πρῶτος ἤδη προσάγει τοῖς ἑλληνίζουσι (καὶ αὐτῷ τῷ αὐτοκράτορι τῶν Ῥωμαίων), ἀπανθίσας τὴν ἀρχαιολογίαν ἐκ τῶν Γραφῶν καὶ τῶν ἄλλων ὑπομνημάτων τῶν Ἰουδαϊκῶν. «Οὕτω (προστίθησιν) ἐκεῖνος ὁ (καθὼς αὐτὸν εὐφημολογεῖ) Ἰουδαῖος αἴλουρος (catus iste Judaeus) ἐκολάκευε καὶ ὑπέσαινε καὶ αὐτὸν τὸν αὐτοκράτορα τῆς Ῥώμης, ὡς δῆθεν εὐτυχέστερον τοῦ μόνην τὴν Πεντάτευχον λαβόντος Φιλαδέλφου » κτλ. (Valcken. de Aristob. p. 60). Τοιαῦτα ὁ σοφὸς Οὐαλκενῆρος· ὅστις ὅμως ἀντιλέγων δικαίως πρὸς τὸν Ὅδιον, ὡμολόγησεν ὅτι καὶ Ἀριστέας καὶ Ἀριστόβουλος τὸν νόμον ἐξέλαβον ἐπὶ πάσης τῆς (ἐπὶ τοῦ Φιλαδέλφου) ἐξελληνισθείσης Γραφῆς (ibid. pag. 59, 62). Ἀλλὰ ταύτην τὴν Οὐαλκενήρου καχύποπτον ὑπόνοιαν ἀναιρεῖ (νομίζομεν) οὐ μόνον αὐτὸς ὁ Ἰώσηπος, ὅστις ἔν τε τῇ Ἀρχαιολογίᾳ, καὶ ἀλλαχοῦ σαφέστατα λέγει, πᾶσαν τὴν γραφὴν ἑρμηνεῦσαι τοὺς Ο, (ὡς φαίνεται ἐξ ὧν αὐτοῦ χωρίων ἐμνημονεύομεν ἐν τοῖς ἀνωτέρω), ἀλλὰ καὶ αὐτὸς αὐτότατος ὁ Οὐαλκενῆρος, ὅστις ἀπεδέξατο τὸ νόμος οὐ μόνον παρὰ τῷ Ἀριστέᾳ καὶ παρὰ τῷ Ἀριστοβούλῳ λεγόμενον ἐπὶ πάσης τῆς Γραφῆς (ὡς προείπομεν), ἀλλὰ καὶ παρ' αὐτῷ τῷ Ἰωσήπῳ (ibid. p. 59). Πῶς λοιπὸν οὗτος λέγων τὰ τοῦ νόμου, ἐνόει μόνον τὴν Πεντάτευχον; Πῶς δὲ πάλιν ὁ ἰουδαῖος οὗτος αἴλουρος οὐκ ἔβλεπεν, οὕτω λαμπρῶς ἐν ἄλλοις πρὸς ἑαυτὸν ἀντιφάσκων; πῶς δ' οὐκ ἐφοβεῖτο, μήπως ὑπ' ἄλλων αὐτοῦ ὁμογενῶν ἑλληνιστῶν ἐκθεατρισθῇ τοιαῦτα ψευδόμενος; Ἀλλὰ καὶ αὐτὸς ὁ Ἐπαφρόδιτος (εἰς οὗ τὴν προτροπὴν ἀπονέμει τῆς Ἀρχαιολογίας τὴν συγγραφήν), « ἀνὴρ ἅπασαν παιδείας ἰδέαν ἠγαπηκὼς (εἴτε χριστιανός τις ἦν, ὡς προείπομεν, εἴτε μή), καὶ ἄλλοι δὲ μυρίοι, τότε κατὰ τὴν Ῥώμην καὶ τὴν Ἰουδαίαν καὶ τὴν Ἀσίαν λόγιοι χριστιανοὶ μήπως οὐκ ἐγνώριζον τὴν ἑρμηνείαν τῶν Ο; Παράδοξα ταῦτα ὑπενόησεν ὁ Οὐαλκενῆρος· ὅθεν καὶ ὁ Δεβέττης δριμύτερον αὐτὸν ἐπέπληξε καὶ συντόμως, ὡς διαστρέφοντα τὸ χωρίον τοῦ Ἰωσήπου· Βλ. De Wette Lehrbuch der historich-Krit. Einleit. in die Bibel etc. pag. 61. Καὶ ὁ Φράγκελος (p. 12) ἔψεξε ταῦτα τὰ Οὐαλκενήρου.

(α) Οἷον (Ἀρχ. Θ. β. §. 2) « Περὶ Ἡλία καὶ Ἐνώχου, τοῦ γενομένου πρὸ τῆς ἐπομβρίας, ἐν ταῖς ἱεραῖς ἀναγέγραπται βίβλοις, ὅτι γεγόνασιν ἀφανεῖς » (ἐν Γενέσ. ε, 24. καὶ Δ. Βασιλ. β. 11). Καὶ (Ἀρχ. Ι. ι. §. 4) « Σπουδασάτω τὸ βιβλίον ἀναγνῶναι τοῦ (προφήτου) Δανιήλου. Εὑρήσει δὲ τοῦτο ἐν τοῖς ἱεροῖς γράμμασιν (τουτ. ἐν τῷ κώδηκι τῶν ἱερῶν Γραφῶν) κτλ.

(λέγει) τὰ τῶν Ἰουδαίων—νῦν ἄκαιρον ᾠήθην εἶναι, καὶ ἄλλως περιττόν· *ἐπειδὴ καὶ Ἰουδαίων πολλοὶ πρὸ ἐμοῦ τὰ τῶν προγόνων συνετάξαντο μετ᾽ ἀκριβείας· καί τινες Ἑλλήνων ἐκεῖνα (τὰ τῶν προγόνων) τῇ πατρίῳ φωνῇ μεταβαλόντες, οὐ πολὺ τῆς ἀληθείας διήμαρτον* » (πρβλ. ὄπισθ. κεφ. Γ. σελ. 85). « *Ὅπου δὲ οἵτε τούτων συγγραφεῖς ἐπαύσαντο, καὶ οἱ ἡμέτεροι προφῆται*, ἐκεῖθεν τὴν ἀρχὴν ποιήσομαι τῆς συντάξεως » κτλ. Ἐν τούτοις ὁ ἱσορικὸς ἀνακηρύττει τρανῶς. α) Ὅτι οὐ μόνον Ἰουδαῖοι, ἀλλὰ καὶ Ἕλληνες ὑπῆρχον ἀρχαῖοι Ἰουδαϊκῆς ἱστορίας συγγραφεῖς. β) Ὅτι οὗτοι πάντες ἔληγον, ὅπου καὶ οἱ *προφῆται* (δηλονότι « *μέχρι τῶν Ἀρταξέρξου χρόνων* »· ὡς εἶπεν ὁ αὐτὸς ἐν τοῖς ἀνωτέρω). γ) Ὅτι αὐτὸς ποιεῖται τὴν ἀρχὴν τῆς τοῦ Ἰουδαϊκοῦ πολέμου ἱστορίας ἐκεῖθεν, ὅπου ἔληγον οἱ συγγραφεῖς καὶ οἱ Προφῆται. δ) Ὅτι *Προφήτας* ἐν γένει καλεῖ πάντα τὰ προφητικὰ, τὰ καὶ *κανονικὰ*, βιβλία τῆς γραφῆς, ὧν τὸν ἔσχατον κατὰ χρονολογίαν ἐπέχει τόπον τὸ βιβλίον τῆς Ἐσθὴρ (ταῦτα δὲ πάντα τὰ *κανονικὰ* καὶ ὁ παρ᾽ Ἐπιφανίῳ, κατὰ τὸν Ὅδιον, Ἀριστέας ὠνόμασεν ἀνωτέρω ὑφ᾽ ἓν ὄνομα *βίβλους θεϊκὰς τῶν προφητῶν*). Καὶ ὅταν λοιπὸν ὁ Ἰώσηπος λέγῃ, ὅτι « *μόνα τὰ τοῦ νόμου* παρέδοσαν οἱ Ο, αὐτὰ δὴ ταῦτα λέγει τὰ *προφητικὰ* πάντα, τὰ καὶ *ἱερὰ γράμματα*, τὰ περιέχοντα πεντακισχιλίων ἐτῶν ἱςορίαν. Λέγει, ὅ,τι εἶπεν ὁ αὐτὸς ἀλλαχοῦ καὶ διηρημένως, « *τοὺς νόμους καὶ τὰς τῶν ἱερῶν Γραφῶν βίβλους* (κ. Ἀπίων. α). Λέγει, ὅ,τι εἶπε προϊὼν ἐν τῇ αὐτῇ Ἀρχαιολογίᾳ (ιβ. β. 3) « *τὰ τῆς Ἰουδαίων νομοθεσίας βιβλία* », καὶ πάλιν, « *τὴν τῶν Ἰουδαϊκῶν βιβλίων ἀναγραφήν* »· (ἢ γελοῖος ἂν ἦν, ἄλλα μὲν γράφων ἐν τῷ προοιμίῳ, ἄλλα δὲ κατ᾽ αὐτὴν τὴν πραγματείαν, ἐν οἷς τὰ περὶ τῆς ἑρμηνείας ἱστορεῖ). Λέγει, τέλος, ὅ,τι εἶπε μετ᾽ Ἀριστέου καὶ μετὰ Δημητρίου τοῦ Φαληρέως, « *πολλὰ* (μὴ πέντε μόνον) *τῶν παρ᾽ Ἰουδαίοις νομίμων* (τουτέστι τῶν *διὰ τοῦ νόμου πάντων*) τὰ *συγγράμματα* », ὧν τὴν ἑρμηνείαν ἐζήτησε καὶ ἔλαβε διὰ τῶν Ο, ὁ Φιλάδελφος (βλ. ὄπισθ. σελ. 436. καὶ σημ.)

§. ιζ. Ὁ δὲ κλεινὸς Ὅδιος τί πρὸς τὰ παρ᾽ Ἰωσήπῳ ταῦτα τοῦ Φαληρέως τὰ *πολλά*; (§. γ). Ἄλλοτε μὲν ἐξελέγχων ὡς νόθον τὸν Ἀριστέαν, πολλάκις ἐπώμνυτο γῆν καὶ οὐρανὸν, ὅτι ὁ Φαληρεὺς οὐδέποτ᾽ ἐγένετο ἐπιστάτης τῆς τῶν Γραφῶν ἑρμηνείας· ἤδη δὲ πάλιν συμφωνεῖ μετὰ Ἀριστέου, καὶ δέχεται μὲν τὸν Φαληρέα φροντίζοντα περὶ τῆς ἑρμηνείας τῶν παρ᾽ Ἰουδαίοις νομίμων, ἀλλ᾽ ὅμως θέλει τοῦτον διαλεγόμενον περὶ τῶν Ἰουδαϊκῶν ὡς ξένον καὶ ἀπότροφον, καὶ αὐτόχρημα *ἀττικὸν*, διότι εἶπε τὰ *πέντε* (τῆς Πεντατεύχου) *πολλά*! Προστίθησι δὲ ὅμως (οἷον δικαιολογῶν τὸν ἄνδρα καὶ κατὰ τοῦτο), ὅτι καὶ παρ᾽ ἄλλοις τὸ *πολλὰ* σημαίνει καὶ τὰ *πέντε*! Πιστεύομεν· διότι καὶ τἀνάπαλιν τὸ *πέντε* (καθὼς καὶ τὸ *τρία*) τίθεται καταχρηστικώτερον ἐνίοτε καὶ ἐπὶ πλήθους· καὶ θαυμάζομεν, πῶς ὁ κριτικὸς ἐπελάθετο τὰ τοιαῦτα, καὶ αὐτὸ τὸ *πεντακυμία* (ἀντὶ *τρικυμία* πολλή). Τὸν δὲ σοφιστὴν Λιβάνιον, χρησάμενον τῷ *πέντε* τἀνάπαλιν ἐπὶ τῶν ὀλίγων, χαίρειν ἐῶμεν, Ὁδίου χάριν (α). Σιωπῶμεν δὲ καὶ τὸ «*πέντε λόγους* (τουτ. ὀλίγους) *λαλῆσαι*» κτλ. (α. Κορ. ιδ, 19). Οὐδέ τινας τῶν νεωτέρων τῆς Γραφῆς ἐξηγητῶν ἀναφέρομεν, οἵτινες τὸν πέντε ἀριθμὸν καὶ ὡς ἀόριστον παρὰ τοῖς θείοις προφήταις ἐκλαμβάνεσθαι διατείνονται (β). Πλὴν ἀλλὰ καὶ σὺν πᾶσι τούτοις πάλιν, νομίζομεν, ὅτι λίαν ἐπαρίστερον ὁ κριτικὸς ἐξέλαβε τὸ ἀόριστον *πολλὰ* ὡς λεγόμενον ἐπὶ πραγμάτων καὶ προσώπων, ἁπλῶς καὶ δίχα τινὸς σχετικῆς ἀναφορᾶς, ἀντὶ τοῦ ὡρισμένου *πέντε*. Οὐδεὶς εἶπεν, οὐδ᾽ ἐρεῖ ποτε καὶ *Πολύτευχον*, τὴν Πεντάτευχον, ὡς οὐδὲ *πολυδάκτυλον*, τὴν *πεντα*-

---

(α) «Οὐ πέντε μὲν οἰκίας, κῆποι δὲ ἑπτὰ, λουτρὰ δὲ τρία, ἀλλ᾽ εἰς πλῆθος ἕκαστα τούτων κέκτηται» (Λιβάν. Ἀντιοχικ.). Οὕτω καὶ συνήθως «πέντε κοῦκκοι» (κόκκυγες) ἁπλῶς καὶ μεταφορικῶς ἐπὶ κατοίκων, ἢ ἐπὶ συνάξεως ὀλίγων· ἀπὸ τῶν κούκκων, οἵτινες διάγουσι καὶ πέτανται οὐκ ἀγεληδὸν, ἢ ἰλαδὸν, καὶ κατὰ πλῆθος (ὡς οἱ γέρανοι), ἀλλὰ κατ᾽ ὀλίγους.

(β) «Quinque urbes-numerus certus pro incerto positus est, ut passim in Scriptis Prophetarum» Schulz. Schol. in Isaïae 19, 18. vol. 8. p. 471.

*δάκτυλον* καὶ *πέντοζον* χεῖρα, ἢ τὰ *πέντε* αἰσθητήρια, *πολλά*. Τοὺς 20 ὅμως δακτύλους πᾶς τις ἀκινδύνως λέγει, ὅταν θέλῃ, πολλούς· οὕτω καὶ τὰ 22 βιϐλία λέγονται *πολλά*· καὶ τοῦτο εἶπεν ὁ Φαληρεὺς παρ' Ἰωσήπῳ καὶ Ἀριστέᾳ. Στρεϐλῶς δὲ προσήρμοσεν ὁ σοφὸς ἀνὴρ καὶ τὸ *χρονικὸν* παράδειγμα τῆς *πολυετοῦς* ἀντὶ *πενταετοῦς* ἐχεμυθίας τοῦ Πυθαγόρου (βλ. σελ. 409). Τὰ πέντε ἔτη συνεπαγόμενα καὶ τὴν ἔννοιαν τοῦ ἀθροίσματος τῶν, εἰς ἃ φύσει καὶ λίαν ἐπαισθητῶς διαιροῦνται, πολλῶν καὶ ἡμερονυκτίων καὶ μηνῶν, *πολλὰ* καὶ μακρὰ προσπίπτουσιν εἰς τὴν φαντασίαν (α). Τὰ πέντε δὲ *βιϐλία* (καθὼς καὶ τὰ πέντε αἰσθητήρια, καὶ δάκτυλα), θεωρούμενα συνήθως ὡς πέντε μονάδες εὐσύνοπτοι καὶ μονήρεις, ἢ σύστοιχοι, καὶ ὁλοσχερεῖς, μένουσιν ἀείποτε *πέντε*, καὶ οὐδέποτε προσλαμϐάνουσι καὶ τὴν ἀόριστον ἔννοιαν τοῦ πολλά. Ἔπειτα συμϐαίνουσι περιστάσεις, ὁπότε δεινοποιοῦντες τὸν λόγον, ἐκφράζομεν ὡς μέγαν καὶ πολὺν τὸν ἄλλως ὡρισμένον ὀλίγον ἀριθμὸν (ἐπὶ χρόνου μάλιστα παρατεινομένου βραδύτερον παρὰ τὸ σύνηθες καὶ φυσικόν). Φύσει βαρὺ καὶ δυσχερὲς εἰς τὸν λαλητικὸν ἄνθρωπον καὶ τὸ πρὸς ὀλίγην ὥραν, ὡς κωφὸν καὶ ἄλαλον, σιωπᾶν. Ὅθεν καὶ ὅταν τις ἐρωτώμενος ἀναϐάλῃ τὴν ἀπόκρισιν, βραδύνας ἐπὶ πέντε ἢ καὶ δύω τῆς ὥρας λεπτῶν, λέγεται, ὅτι *πολλὴν ὥραν*, ἢ καὶ *πολὺν χρόνον* ἐσιώπησε· πολλῷ γε μᾶλλον, ὅταν « *πέντε ὅλων ἐτέων λαλέῃ μηδέν* »· ταύτην οὖν τὴν *διὰ πέντε ὅλων ἐτέων* σιγηρὰν ἐχεῤῥημοσύνην εἶπεν ὁ Πατριάρχης *πολυετῆ* (τουτέστι πολυχρόνιον), καὶ ἐξεφράσθη φυσικώτατα. Οὕτω λέγομεν καί, ἐπὶ *πολλὰς ἡμέρας διετέλεσε νῆστις*, ὅταν τις τέσσαρας, φερ' εἰπεῖν, ἡμέρας (παρὰ τὸ κοινῇ τοῖς ἀνθρώποις σύνηθες) ἄσιτος διαμείνῃ. Καὶ ὅταν

---

(α) Ὅθεν τὸ πολὺ διὰ τὸ ἀθρόον τοῦ πλήθους, ἐκλαμϐάνεται καὶ ἀντὶ τοῦ πᾶν, ὅλον· (πολλοὶ δὲ καὶ οἱ πάντες εἰσὶν) οἷον « ἀντὶ πολλῶν » (πάντων)· Εὐριπ. Ἑκάϐ. 280· καί, « πρὸς τοὺς πολλοὺς (πάντας ἀνθρώπους). Λουκιαν. Νιγρ. §. 6. πρϐλ. καὶ Reitz. not. εἰς Λουκιαν. τόμ. ϐ. σελ. 214. καὶ Schleusn. Lex. N. T. λ. Πολύς.

δὲ ὀλιγοήμερον νηστείαν πυκνῶς ἐπαναλαμβάνῃ, *πολὺ* καὶ τότε λέγεται νηστεύειν. Οὕτως οἱ *δὶς τοῦ σαββάτου* νηστεύοντες Φαρισσαῖοι (Λουκ. ιη, 12), λέγονται νηστεύειν *πολλά* (Ματθ. θ, 14), δηλαδὴ *πυκνά* (Λουκ. ε, 33). Ὁ δὲ πάλιν πολὺς χρόνος τῶν *ἐννέα ἐνιαυτῶν* ἀπέβη τἀνάπαλιν «*χθιζά τε καὶ πρώϊζα*» (Ἰλ. Β. 303), διὰ τὸν ἐσχηματισμένον λόγον. Καὶ ἐξ ἀναλογίας δὲ λέγεται τὸ πολὺς ἀνθ᾽ ὡρισμένου ποσοῦ, ὡς ὅταν καὶ τοὺς *τρεῖς* λέγωμεν, ὡς πρὸς ἕνα, *πολλούς*, κτλ. Ἀλλὰ πολλοὶ γινόμεθα διατρίβοντες ἐξ ἀνάγκης περὶ τὰς ποικίλας χρήσεις τοῦ *πολὺς*, ὅπερ ὁ κριτικὸς ἐγνωμοδότησεν ὅτι καὶ χωρὶς δεινώσεως, ἢ ἐμφάσεώς τινος καὶ σχήματος, ἢ ἀναλογίας, ἁπλῶς δὲ καὶ κυρίως ἐπὶ πραγμάτων λεγόμενον (ὡς λέγεται παρ᾽ Ἰωσήπῳ) σημαίνει τὸ διωρισμένον *πέντε*. Ἀλλ᾽ εἴπερ τὴν μαρτυρίαν τοῦ Πατριάρχου ὁ σοφὸς Ἀρχιδιάκονος ἐφήρμοσε παρὰ χορδὴν, πολὺ βαρύτερον ἐσφάλη παρεξηγήσας καὶ αὐτὸ τὸ εὐαγγελικὸν ῥητὸν, τὸ, « *πολλοὶ ἐπεχείρησαν* » τουτέστι (καθὼς λέγει) *τέσσαρες*, ἢ *πέντε*. Ποίους τούτους ἐννοεῖς Ὅδιε; πότερον ἆρά γε τοὺς πρὸ τοῦ θείου Λουκᾶ συγγράψαντας γνησίους Εὐαγγελιστάς; ἀλλ᾽ οὗτος, κατά τινας, εἷς καὶ μόνος ὑπῆρξεν, ὁ θεῖος Ματθαῖος (α). ἔστω καὶ ὁ Μάρκος· ποῦ σοι λοιπὸν οἱ δ, ἢ ε, καθὼς εἶπας ἑρμηνεύων τὸ *πολλοί*; (β). Πῶς δὲ πάλιν ἀριθμεῖς (πλὴν τοῦ Λουκᾶ) καὶ δ, ἄλλους, καὶ ε, τοὺς γνησίους Εὐαγγελιστάς; Ἂν δὲ πάλιν (ὀρθότερον φρονῶν) ἄλλους

---

(α) Ματθαῖος μὲν ἔγραψε τὸ Εὐαγγέλιον περὶ τὸ μα, ἢ μη, ἔτος μ. Χ. Ὁ δὲ Λουκᾶς, τῷ νθ. Μάρκος δὲ, τῷ ξε. Ἔσχατος δὲ πάντων ὁ Ἰωάννης. Οἱ δέ τινες καὶ τὸν Μάρκον πρὸ τοῦ Λουκᾶ συγγράψαι πιθανώτερον νομίζουσι (βλ. Εἰρην. παρ᾽ Εὐσεβ. Ἐκκλ. ἱστ. Ε. 8. καὶ Ὠριγέν. αὐτόθ. βιβλ. ς, 25: καὶ γ, 24: καὶ Εὐθύμ. Ζιγαβην. ἑρμην. εἰς Λουκ. α, κτλ. καὶ προοίμ. ἑρμην. εἰς Μάρκ. καὶ Χρυσόστομ. τομ. ζ. σελ. 7. κτλ. πρβλ. Cave Script. Eccles. Hist. Liter. T. 1. p. 11 — Du-Pin Nouv. Biblioth. des Aut. Eccles. T. 1. 65. — Μελέτ. Ἐκκλ. ἱστορ. τ. α. σελ. 40).

(β) Καὶ ἄλλοι δέ τινες εἰς τὸν Ματθαῖον καὶ τὸν Μάρκον ἀναφέρουσιν, ὡς πρὸ τοῦ Λουκᾶ συγγράψαντας, τὸ παρ᾽ αὐτῷ « πολλοὶ » (βλ. τοῦ ἀειμνήστου Γρηγορίου τοῦ Σαράφη τὴν ἐν πολλοῖς ὠφέλιμον Θεολογικὴν Στοιχείωσιν· Μέρ. α. κεφ. η. §. 33. σελ. 29. Ἀθήνῃσι 1840).

τινας μετὰ τοῦ Εὐσεβίου νομίζῃς, οὓς ὁ θεῖος Λουκᾶς εἶπε *πολλούς*, « τοὺς προπετέστερον ἐπιτετηδευκότας διήγησιν ποιήσασθαι, ὧν αὐτὸς πεπληροφόρητο λόγων » (ὅθεν « ἀναγκαίως ἀπαλλάττων ἡμᾶς ὁ Εὐαγγελιστὴς τῆς περὶ τοὺς ἄλλους ἀμφηρίστου ὑπολήψεως, τὸν ἀσφαλῆ λόγον-διὰ τοῦ ἰδίου παραδέδωκεν Εὐαγγελίου » (α) ), ἂν, λέγω, τούτους ἐννοῇς, ἀλλ' οὗτοι καὶ νομίζονται καὶ γεγόνασιν οὐχὶ δ, ἢ ε, ἀλλὰ κυρίως *πολλοὶ* (καθὼς αὐτοὺς κατὰ λέξιν ὁ θεῖος Λουκᾶς ἀποκαλεῖ)· « Καὶ διάφορα Εὐαγγέλια γέγραπται, ἐξ ὧν τέσσαρα μόνα κέκριται τοῖς μακαρίοις Ἀποστόλοις ἐκκλησιάζεσθαι » (β). — Ὁ δὲ, τέλος, Ὀττιγγῆρος, (σελ. 409) οὔτε βαρέως, οὔτ' ἐλαφρῶς, οὔτε ὅλως ἐσφάλη συνιδὼν, ὅτι *Νόμον* ὁ Ἰώσηπος ὀνομάζει καὶ πᾶσαν τὴν Παλαιὰν (ὡς προείδομεν). Εἰ δὲ καὶ τὸ παρ' αὐτῷ μνημονευθὲν χωρίον τοῦ Ἰωσήπου πραγματεύεται περὶ μόνου τοῦ Μωσαϊκοῦ νόμου, ἀλλ' ὅμως μετ' αὐτοῦ συνυπακούονται καὶ οἱ τῷ Νόμῳ συνάμα δημοσίως ἐν ταῖς Συναγωγαῖς ἀναγινωσκόμενοι Προφῆται. Ὅθεν ὁ αὐτὸς Ἰώσηπος εἶπεν ἀλλαχοῦ (Ἀρχ. ιϛ. β, 4) ὅτι « τὴν ἑβδόμην τῶν ἡμερῶν ἀνίεμεν τῇ μαθήσει τῶν ἡμετέρων *ἐθῶν* καὶ *νο-*

---

(α) Εὐσέβ. Ἐκκλ. ἱστορ. γ, 24. Οὕτω καὶ Θεοφύλ. εἰς Λουκ. α, καὶ Εὐθύμ. αὐτόθ, καὶ αὐτὸ δὲ τὸ τοῦ Εὐαγγελιστοῦ « ἐ π ε χ ε ί ρ η σ α ν » τοιούτους τινας π ρ ο π ε τ ε ῖ ς ὑπεμφαίνει τοὺς π ο λ λ ο ὺ ς, καὶ τὰς τούτων συντάξεις ἀτελέστους « ὡς ἐπιχειρήσαντας μὲν ἀναγράψασθαι εὐαγγέλιον, πόῤῥω δὲ τῆς ἀληθείας ἀποπλανηθέντας· οὐ γὰρ περὶ Ματθαίου καὶ Μάρκου τοῦτό φησιν· οὗτοι γὰρ οὐκ ἐ π ε χ ε ί ρ η σ α ν ἀλλ' ἔγραψαν » (Εὐθυμ. Ζιγαβην. αὐτ.). Τῶν δέ τινες νεωτέρων ὡς παρέλκον κατὰ περίφρασιν ἐξέλαβον τὸ ἐ π ε χ ε ί ρ η σ α ν, ἑρμηνεύοντες τὸ « ἐ π ε χ ε ί ρ η σ α ν ἀ ν α τ ά ξ α σ θ α ι ἀντὶ τοῦ ἁπλῶς ἀνετάξαντο (συνέταξαν)· βλ. Krebs Observ. Flav. p. 96.—Glass. Phil. Sacr. p. 191·

(β) Σύγκελ. Χρονογρ. σελ. 601. Bon. πρβλ. καὶ Εὐσέβ. Ἐκκλ. ἱστ. γ, 25 κτλ. Τριακονταὲξ περίπου ἀριθμοῦσι τὰ ἀπόκρυφα εὐαγγέλια. βλ. Du-Pin l. c. T. I. p. 3. — Cave Script. Eccl. Hist. Lit. p. 1-16. — Calmet de Apocryphis Evang.—Fabric. Bibl. Graec. T. XIII. p. 474, καὶ Codex Apocryph. N. Test. vol. 1. p. 42, 768, καὶ vol. 2. p. 624.—Thilo Cod. Apocryph. N. T. vol. 1. prolegom. p. IV. — Suicer. Thesaur. v. Εὐαγγέλιον. — Moshem. Dissert. ad Hist. Eccl. vol. 1. p. 759. — Εὐγεν. Ἑκατονταετηρ. α. σελ. 230.

*μίμων* ». Καὶ « τοὺς εἰς Θεὸν ὕμνους τοῦ Δαυΐδου *κατά τε τὴν τῶν σαββάτων ἡμέραν καὶ τὰς ἄλλας ἑορτὰς* ᾀδομένους ὑπὸ τῶν Λευϊτῶν ἔκπαλαι » προσιστορεῖ (Ἀρχ. ζ. ιβ, 3). Διὰ τί δὲ μόνον τὸν Μωσῆν ὁ Ἰώσηπος ἐμνημόνευσεν ἐν οἷς Ὅδιος παρετήρησεν, οὔτε *μάντις* Τειρεσίας ὁ συνιδὼν, οὔτε πάλιν *τυφλὸς*, ὡς ἐκεῖνος, ὁ παριδών. Ἐξηγήσει δὲ καὶ Φίλων ἐφεξῆς. Ἓν μόνον μένει ἀνεξήγητον· πῶς ὁ κριτικὸς διὰ τοσούτων λόγων ἐνταῦθα παραστήσας τὸν Ἰώσηπον ἐννοοῦντα μόνην τὴν Πεντάτευχον ἑρμηνευθεῖσαν ἐπὶ τοῦ Φιλαδέλφου, ἔπειτα προϊὼν, ἐξάγει πάλιν ἐκ τοῦ Ἰωσήπου καί τινα τῶν ἱστορικῶν βιβλίων τῆς Γραφῆς (ἀλλ' οὐχὶ *πάντα*) τότε δὴ μεθερμηνευθέντα (βλ. ἔμπροσθ. κεφ. θ. §. η).

§. ιη. Γ) Ἄσμενοι συμφάσκομεν μετὰ τοῦ Ὀδίου περὶ τῆς διανοίας τῶν, ὧν εἰς πλάτος ἀντέγραψε, χωρίων τοῦ Φίλωνος. Ἀληθῶς ἐν πᾶσι τούτοις ὁ Πλάτων οὗτος τῆς Συναγωγῆς μόνον ἐννοεῖ, μονώτατον τὸν νόμον τοῦ Μωσέως· περὶ δὲ τῶν ἄλλων βιβλίων τῆς Γραφῆς οὐδὲν ἐν τοῖς τόποις τούτοις εἶπε ῥητῶς, οὐδὲ γρύ. Ἀλλὰ καὶ συγχρόνως ἀποροῦμεν, πῶς οὐ παρετήρησαν οἱ περὶ τὸν Ὅδιον καὶ τὰ ἐφεξῆς.

α) Ποῦ τῶν συγγραμμάτων εἶπε ταῦτα ὁ Φίλων; ἐν τοῖς *περὶ βίου Μωσέως βιβλίοις*. Τούτου δὲ τοῦ Προφήτου καὶ νομοθέτου τὸν βίον ἱστορῶν, καὶ τῆς *δι' αὐτοῦ δοθείσης νομοθεσίας τὸ ἱεροπρεπὲς καὶ θαυμαστὸν* ἐξυμνῶν, τῶν Μωσέως ἄρα νόμων καὶ τὴν ἑρμηνείαν ὤφειλεν ἐξ ἀνάγκης ἐν πρώτοις καὶ κατ' ἐξοχὴν ἱστορῆσαι. Οὐδ' ὑπῆρχε κατάλληλος τόπος ἡ περὶ Μωσέως ἰδιάζουσα πραγματεία, ἵνα καὶ τῶν ἄλλων τῆς Γραφῆς βιβλίων ῥητῶς καὶ διακεκριμένως ἐπιμνησθῇ, καθὼς ἄριστα συνεῖδον καὶ ἄλλοι (α). Ὅτι ὅμως καὶ ὁ Φίλων ὑπὸ τοὺς Μωσέως, οὓς ἐξύμνησε, νόμους συμπεριελάμβανε καὶ τὰς ἄλλας θείας βίβλους, οὐδεὶς ὀρθὰ καὶ δίκαια φρονῶν ἀμφιβάλλει (β)· μαρτυρεῖ δὲ καὶ Φίλων αὐτὸς ἀλ-

---

(α) Valcken. De Aristobul. Jud. p. 59. — Vindication of the history of the Septuagint etc. p. 161. — (β) Οὕτως ἔκρινε καὶ Schmid. l. c. p. 140. etc.

λαχοῦ Περὶ *τῶν δέκα λογίων*· (ἐν τῷ Β, τόμῳ, σελ. 208. Μ.), λέγων τοὺς νόμους τοῦ Δεκαλόγου τεθεσπισμένους ὑπὸ Θεοῦ « *διὰ τοῦ τελειοτάτου τῶν Προφητῶν* », θεωρῶν δηλονότι τὸν Μωϋσῆν ὡς ἔξαρχον καὶ κορυφαῖον τοῦ συμπαρακολοθοῦντος καὶ συνᾴδοντος χοροῦ τῶν θεσπεσίων προφητῶν· (τί γὰρ ἄλλο καὶ τούτων εἰσὶν αἱ θεόπνευστοι συγγραφαὶ, εἰ μὴ τῶν Μωσαϊκῶν θεσμῶν ἑρμηνεῖς, διατρανοῦσαι τὰς ἀμοιβὰς τῶν τηρούντων, ἢ παραβαινόντων τὸν θεῖον νόμον, καὶ περιέχουσαι τὴν ἀκολουθίαν τῆς ἱερᾶς ἱστορίας, καὶ τὴν συνέχειαν τῆς προῤῥήσεως τῶν προωρισμένων ἐπαγγελιῶν τοῦ Θεοῦ;). Ἀλλὰ καὶ κατ᾽ αὐτὴν τὴν ἐν βίῳ Μωσέως (Βιβλ. β) ἐξιστόρησιν τῆς τῶν νόμων ἑρμηνείας, ὅταν τοὺς ἑρμηνεῖς (τοὺς Ο) *ἱεροφάντας καὶ προφήτας* ἐπονομάζῃ, ποίους ἄλλους εἶχε κατὰ νοῦν ὁ Φίλων, εἰμὴ τοὺς θεοφορήτους προφήτας, ὧν αἱ βίβλοι μετὰ τοῦ νόμου, ὡς μία θείων θεσπισμάτων περιοχὴ, συγχρόνως ἀνεγινώσκοντο; Καὶ τούτων ἄρα πάντων τῶν θεοπνεύστων τοῦ ἱεροῦ κώδηκος βιβλίων τὸ πλῆθος ὑποσημαίνων, ἱστόρησε τοὺς Ο ἑρμηνεῖς, ὅτι ἀνέτειναν ἕκαστος τὰς χεῖρας *ἅμα ταῖς βίβλοις* εἰς οὐρανόν (βλ. ὄπισθ. κεφ. ς. §. ιζ. σελ. 376).

β) Ὁ Φίλων ἑρμηνεύων τοὺς Μωσέως νόμους πολλαχοῦ τῶν συγγραφῶν, συμπαραλαμβάνει καὶ τῶν ἄλλων ἱερῶν βιβλίων ῥήσεις, ὡς ὁμογενεῖς καὶ ἰσοδυνάμους, καὶ (καθὼς εἶπεν ἐπὶ λέξεως) *λόγους ἱερούς*. Οὕτως, ἐξηγῶν τὸ « *οἶνον καὶ σίκερα οὐ πίεσθε* » (Ἐξόδ. λϐ, 17), ἐπάγει καὶ ἐκ τῆς Α, Βασιλ. (α. 11, 15)· « Διὰ τοῦτο ὁ καὶ βασιλέων καὶ προφητῶν μέγιστος Σαμουὴλ *οἶνον καὶ μέθυσμα, ὡς ὁ ἱερός φησι λόγος*, ἄχρι τελευτῆς οὐ *πίεται* » (τόμ. α, σελ. 379. Μ.). Καὶ (τ. α. 600. πρβ. σελ. 271) « *τὸ ᾀδόμενον ᾆσμα τῆς χάριτος* » λέγει τὴν αὐτόθι (Α. Βασ. ϐ) θεσπεσίαν ᾠδὴν τῆς Ἄννης (*χάριν* δὲ σημαίνει τὸ *Ἄννα*). Καὶ καθόλου δὲ τῶν Βασιλειῶν ὡς *ἱεροφαντικῶν* καὶ θείων βιβλίων μνημονεύει, λέγων· « Καὶ πολλαχοῦ μέντοι τῆς (Μωσέως) νομοθεσίας *υἱοὶ Ἰσραὴλ* καλοῦνται *τοῦ ὁρῶντος*, οἱ ἀκούοντες. — Ἄγαμαι δὲ καὶ τῶν ἐν ταῖς *βασιλικαῖς βίβλοις ἱεροφαντηθέντων*, καθ᾽ ἃς

οἱ πολλαῖς γενεαῖς ὕϛερον ἀκμάσαντες, καὶ βιώσαντες ὑπαιτίως, υἱοὶ τοῦ τὸν Θεὸν ὑμνήσαντος Δαβὶδ ἀναγράφονται » κτλ. (ἐκ τοῦ Ἔσδρ. 4, α) (α). Μνημονεύει καὶ τὸ ἐν Ἰησοῦ (α, 5) *Λόγιον τοῦ ἵλεω Θεοῦ* (τ. α, 430), καὶ τὴν τῶν *Κριμάτων* (ἤτοι τῶν Κριτῶν) *βίβλον* ἀναφέρει (424) (β). Καὶ τὸν Δαβὶδ *τὸν ὑμνογράφον* (τόμ. β. σελ. 605), « *ἕνα*, λέγει, *τῶν ἑταίρων Μωϋσέως* » (τόμ. α. σελ. 691), δηλονότι τῶν προφητῶν, καὶ « *ἕνα τῶν γνωρίμων τοῦ Μωϋσέως* » (410), καὶ ἔτι λαμπρότερον « *τοῦ Μωϋσέως θιασώτην* » (435)· καὶ ῥήσεις δὲ συχνὰς ἐκ τῶν Δαβιδικῶν ἀναφέρει ψαλμῶν, *ὕμνους* αὐτοὺς ὀνομάζων ἐξαιρέτως, καὶ *ὑμνῳδίας*, καὶ *ᾠδὰς* (690, 632, κτλ.). Ὡσαύτως καὶ τὸν Σολομῶντα, « ἕνα, λέγει, *τῶν Μωσέως φοιτητῶν* » (544), καὶ « *ἕνα τῶν ἐκ τοῦ θείου χοροῦ* » (362)· καὶ χρήσεις ἐκ τῶν Παροιμιῶν μνημονεύει συχνάς. Οὐδὲ τὸν Ἰὼβ παρεῖδεν ἀμνημόνευτον (585). Τοῦ δὲ πάλιν Ἡσαΐου ῥῆσιν ἀναφέρων, εἰς ὅλους τοὺς Προφήτας ἀνάγει τὸν λόγον καθολικώτερον « *καθάπερ* (φησὶν) *ἐν ταῖς προφητικαῖς ᾄδεται ῥήσεσι* » (604)· καὶ πάλιν τὸ τοῦ Μωσέως (Ἐξόδ. ζ. 1) *Κύριον* ἐξηγῶν (σελ. 581), συνάπτει καὶ τοὺς *ᾀδομένους* (δημοσίως ἀναγινωσκομένους) προφητικοὺς χρησμοὺς, λέγων· « *Κύριον ὠνόμασε* (τὸν Θεὸν ὁ Μωϋσῆς) πολλαχοῦ τῶν ὑπ' αὐτοῦ χρησθέντων· *ᾄδεται δὲ τὰ τοιαῦτα*· Τάδε λέγει Κύριος » (ὡς ἐν Ἡσ. α, 24. γ, 16. νϛ. ι, κτλ.). Οὕτω καὶ τοῦ Ἱερεμίου

---

(α) Φιλ. Περὶ συγχύσ. διαλέκτ. τόμ. α. σελ. 427. ὅπου ὁ ἐκδότης Mangey ὀρθῶς παρατηρήσας ἐσημείωσεν, ὡς σημειώσεως ἄξιον, ὅτι τὸ τοῦ Ἔσδρα βιβλίον ὡς μέρος τῶν Βασιλειῶν ὁ Φίλων μνημονεύει.

(β) Ὁ κλεινὸς Ἕρψης κατὰ λάθος ὑπέλαβεν, ὅτι ὁ Φίλων μνημονεύει μὲν ῥήσεις τῶν Κριτῶν, καὶ τοῦ Ἰὼβ, ἀλλ' οὐκ ὀνομάζων καὶ τὰ βιβλία, (Herbst l. c. p. 12) ἀλλ' ἀμφότερα κεῖνται παρὰ τῷ Φίλωνι ἐξ ὀνόματος, τά τε Κρίματα, ἤτοι, οἱ Κριταὶ (βλ. καὶ ἐφεξ. κεφ. θ. §. η), καὶ ὁ Ἰὼβ (Φίλων. Τ. α, σελ. 585). Περὶ τῶν ὑπὸ τοῦ Φίλωνος μνημονευομένων τευχῶν τῆς Γραφῆς, βλ. Horneman, Observationes ad illustrat. doctrinae de Canone Vet. Test. ex Philone. Hauniae, 1778.—Eichhorn, Einleit. I. pag. 123—163. — Horne, An Jntroduct. to the critical Study and Knowl. of the holy Script. vol. I. p. 41.

ῥῆσιν παρατιθείς, « ἣν λέγει ὁ Πατὴρ τῶν ὅλων διὰ προφητικῶν ἐθέσπισε ςομάτων» (τ. α, 575). Προσαγορεύει δὲ καὶ τοῦτον «τοῦ *προφητικοῦ θιασώτην χοροῦ* » (411)· καὶ τούτοις ἔτι προστίθησι· «Καὶ γὰρ ἐγὼ παρὰ Μωσεῖ τῷ θεοφιλεῖ μυηθεὶς τὰ μεγάλα μυςήρια, ὅμως αὖθις Ἱερεμίαν τὸν προφήτην ἰδὼν, καὶ γνοὺς ὅτι οὐ μόνον μύστης ἐστὶν, ἀλλὰ καὶ ἱεροφάντης ἱκανὸς, οὐκ ὤκνησα φοιτῆσαι πρὸς αὐτόν» (α, 147)· καὶ τοῦ Ἰεζεκιὴλ, εἰ καὶ ἀνωνύμως, ἀνέφερε ῥῆσιν (τ. β. σελ. 228), ὅτι « ὁ νομοθέτης τῷ Ἱερεῖ γάμον παρθένου καθαρᾶς μνᾶται» (μὴ χήρας, κτλ. βλ. Ἰεζεκ. μδ, 22 :) (α).

(α) Τοῦτο μὴ συνιδὼν ὁ σοφὸς τοῦ Φίλωνος ἐκδότης Μαγγέϋς, ὑπέλαβε γραπτέον ἀ ρ χ ι ε ρ ε ὺ ς, ἀντὶ τοῦ ἱ ε ρ ε ὺ ς, διότι ἐν Λευϊτ. κα, ι. μόνον τὸν ἀρχιερέα κωλύει ὁ νόμος χ ή ρ α ν λαμβάνειν. Καὶ αὐτὸς δὲ ὁ Φίλων παρακατιὼν τοῦτο λέγει (αὐτ. σελ. 228, 229). Ἀλλ' ἡ διάκρισις κεῖται ἐν τούτῳ, ὅτι οἱ μὲν ἱερεῖς, παρθένον ἀείποτε καὶ αὐτοὶ λαμβάνειν ὀφείλοντες, μόνον χ ή ρ α ν ἐ ξ ἱ ε ρ έ ω ς ἐλάμβανον ('Ιεζέκ. αὐτόθ.), ὁ δ' ἀρχιερεὺς οὐδὲ τοιαύτην. Καὶ ταῦτα μὲν οὕτως· Ὁ δὲ Φράγκελος εὐθύνει πως τὸν Εἰχόρνιον, διότι μεταξὺ τῶν ὑπὸ Φίλωνος μὴ μνημονευθέντων βιβλίων τῆς Γραφῆς οὐ συγκατηρίθμησε καὶ τὸν Ἰεζεκιήλ. Αὐτὸς δὲ ὁ Ῥαββὶς θέλων ἀποδεῖξαι, ὅτι μήτε κατ' Ἀλεξάνδρειαν ἡρμηνεύθησαν αἱ Γραφαὶ, μήθ' ὁ 'Ιεζεκιὴλ ἡρμηνευμένος ἦν ἐπὶ Φίλωνος, ἐπάγει κ α τ α φ α ν έ σ τ α τ ο ν δ ε ῖ γ μ α τὴν περὶ τοῦ Ἰεζεκιὴλ σιωπὴν αὐτοῦ τοῦ φιλαλληγόρου Φίλωνος· « Ποῦ γὰρ ἂν εὕρισκε (λέγει) πλείονας ἀφορμὰς ὁ Φίλων, ἵνα καὶ τὴν ἀλληγορίαν, καὶ τὴν ὑπόστασιν τοῦ λόγου παραγάγῃ ἐκ τῆς Γραφῆς, εἰμὴ ἐν τοῖς πρώτοις τοῦ Ἰεζεκιὴλ κεφαλαίοις, ἅπερ ἔχουσι χ ρ ω μ α τ ι σ μ ὸ ν ἐ ν θ ο υ σ ι ώ δ ο υ ς θ ε ο σ ο φ ί α ς (Schwärmerisch-theosophisches Colorit), καὶ κατὰ πολλοὺς λόγους ὑπενθυμίζουσι τὸν Νεοπλατωνισμόν ; » (Frank. l. c. p. 39). Ταῦτα περὶ τοῦ θεοπνεύστου προφήτου τῆς ἰδίας αὐτοῦ Συναγωγῆς ὁ Ὀ ρ θ ο λ ο γ ι σ τ ὴ ς (ὡς ἔοικεν) ἀ ρ χ ι ρ α β β ῖ ν ο ς. Ἀλλ' ὁ μὲν Φίλων καὶ ἐκ τῶν Μωσαϊκῶν καὶ ἐξ ἄλλων βιβλίων τῆς Γραφῆς ἠλ λ η γ ό ρ η σ ε πολλάκις ἀξίως τοῦ πρώτου τῇ ἀλληγορίᾳ θεοπρεπῶς χρησαμένου Μωσέως· καὶ τ ὴ ν ὑ π ό σ τ α σ ι ν τ ο ῦ λ ό γ ο υ, οὔτε πλατωνικῶς, οὔτε νεοπλατωνικῶς, ἀλλὰ συμφώνως τοῖς θείοις λόγοις ἀπέδειξε (βλ. Mangey praef. in Philon. t. I.). Ὁ δὲ Ῥαββὶς παραλογίζεται, συνάγων ἐκ τοῦ Φίλωνος τὰς ἐπ' αὐτοῦ ἡρμηνευμένας, ἢ μὴ, βίβλους τῆς Γραφῆς. Οὔτε κατάλογον τῶν κανονικῶν βιβλίων ἔγραψεν ὁ Φίλων, καὶ εἴ τινα τούτων οὐκ ἐμνημόνευσε, μὴ τυχούσης ἀφορμῆς, ἐν ταῖς σωζομέναις αὐτοῦ συγγραφαῖς· ἀλλ' ὑπῆρχον καὶ ταῦτα τρεῖς αἰῶνας ὅλους πρὸ τοῦ Φίλωνος ἡρμηνευμένα. Οὐδὲ τῆς Ἐσθὴρ, οὐδὲ τοῦ Δανιὴλ ὁ Φίλων ἐπεμνήσθη· ἀλλ' ἀνέφερεν ἀμφότερα διὰ μακρῶν ὁ τούτῳ σχεδὸν σύγχρονος καὶ πάντα τὰ τεύχη τῶν Ο, πυκνῶς ἀνελίττων, καὶ τούτων ἁπάντων τὴν ἑρμηνείαν

Ἀλλὰ καὶ τοῦ Ὠσηὲ *χρησμὸν* ἀναφέρει (350), καὶ τὸν Ζαχαρίαν εἶπεν « ἕνα τῶν ἑταίρων τοῦ Μωϋσέως » (414) κτλ. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα τοῦ Φίλωνος τί ἄλλο κηρύττουσιν, εἰ μὴ ὅτι καὶ αὐτὸς (ἐν βίῳ Μωσέως) *νόμον καὶ νομοθεσίαν* λέγων τὴν τοῦ Μωσέως, καὶ τὴν ἑλληνικὴν αὐτῆς ἑρμηνείαν (ᾗ περ καὶ αὐτὸς ἐχρῆτο) καθιστορῶν, συμπεριελάμβανε καὶ πάντας ἅμα τοὺς *Μωσέως καὶ τοῦ θείου χοροῦ θιασώτας* (ὡς ἅμα συναριθμηθέντας, καὶ τὸ σῶμα τῆς Γραφῆς συναπαρτίζοντας) ὑπὸ τ' ὄνομα τοῦ κορυφαίου χορηγοῦ καὶ *τελειοτάτου τῶν προφητῶν*;

γ) Πάλιν τὰ περὶ Μωσέως ἱστορῶν (βίῳ Μωϋσ. βιβλ. γ. σελ. 168, τ. β.) ἔγραψεν, ὅτι, καθὼς οὗτος ἐθέσπισεν, « εἰσέτι καὶ νῦν φιλοσοφοῦσι ταῖς ἑβδόμαις οἱ Ἰουδαῖοι *τὴν πάτριον φιλοσοφίαν* » (δηλονότι τὴν ἐκ τοῦ θείου νόμου διδασκαλίαν καὶ ἀκρόασιν) κτλ. Καὶ πάλιν· « Ἀναπέπταται γοῦν ταῖς ἑβδόμαις μυρία κατὰ πᾶσαν πόλιν *διδασκαλεῖα* » (προσευκτήρια, συναγωγαὶ) - « ἐν οἷς οἱ μὲν σὺν κόσμῳ καθέζονται· - ἀναστὰς δέ τις τῶν ἐμπειροτάτων ὑφηγεῖται τἄριστα καὶ συνοίσοντα. - Ἔστι δ', ὡς ἔπος εἰπεῖν, τῶν *κατὰ μέρος ἀμυθήτων λόγων καὶ δογμάτων δύω τὰ ἀνωτάτω κεφάλαια*, τό,τε πρὸς Θεὸν δι' εὐσεβείας καὶ ὁσιότητος, καὶ τὸ πρὸς ἀνθρώπους διὰ φιλανθρωπίας καὶ δικαιοσύνης - ἐξ ὧν δῆλόν ἐστιν, ὅτι Μωσῆς οὐδένα καιρὸν ἀπράκτους ἐᾷ τοὺς χρωμένους αὐτοῦ ταῖς ἱεραῖς ὑφηγήσεσι » (τόμ. β. σελ. 282). Ἐφιλοσόφουν λοιπὸν (λέγει Φίλων) οἱ Ἰουδαῖοι *τὴν πάτριον φιλοσοφίαν* ἐν ταῖς συναγωγαῖς ἀναγινώσκοντες τοὺς νόμους, ἢ τὰ *θεόχρηστα λόγια* (καθὼς εἶπεν ἀλλαχοῦ), « καὶ ἐκ πρώτης ἡλικίας τοῦτο τὸ μάθημα ἐπαιδεύοντο » (σελ. 577). Ταῦτα καὶ Ἰώσηπος εἶπεν ἀνωτέρω, *τὸν νόμον* ῥητῶς ὀνομάζων (§. γ. καὶ §. ιζ). Ἀλλ' ὅμως ταῦτα πάλιν τὰ θεόχρηστα λόγια σαφῶς καὶ ἐκπεφασμένως διεῖλεν « *εἰς νόμους* (τοὺς Μωσαϊκοὺς), καὶ *εἰς λόγια θεσπισθέντα διὰ τῶν προφητῶν*, *καὶ εἰς ὕμνους καὶ*

---

σαφῶς ἐξιστορήσας Ἰώσηπος· ὅστις καὶ τὸν Ἰεζεκιὴλ πολλάκις καὶ τὰς τούτου προφητείας ἐμνημόνευσεν· (τ. α, 520, 522, 523, 527). Ὁ δὲ Φράγκελος περπερεύεται.

*τ' ἄλλα, οἷς ἐπιστήμη καὶ εὐσέβεια συναύξονται καὶ τελειοῦνται*(βλ. ὄπισθ. §. β. σελ. 406 ). Τίς ἂν ἄλλη παρὰ ταῦτα λαμπροτέρα γένοιτο δεῖξις, ὅτι ὁ Φίλων καὶ ὅταν *Νόμους* ἁπλῶς λέγῃ (καὶ μάλιστα πληθυντικῶς), καὶ *λόγια θέσφατα*, καὶ *χρησμοὺς*, καὶ *ἱερὰ γράμματα* (τόμ. β. σελ. 475), καὶ *βίβλους ἱερὰς* ἐν τοῖς *συναγωγίοις ἀναγινωσκομένας* (τόμ. α. σελ. 675 καὶ τ. β, 458), καὶ *πάτριον φιλοσοφίαν* καθολικώτερον, συμπεριλαμβάνει καὶ τὰ *προφητικὰ*, *καὶ τοὺς ὕμνους*, *καὶ τὰ ἄλλα* τὰ βιβλία τοῦ ἱεροῦ κώδηκος;

δ) Τελευταῖον· ὁ Φίλων ἔζη ἐπὶ τῶν θείων Ἀποστόλων, ὁπότε καὶ αὐτοὶ αὐτοῦ *οἱ κατὰ σάρκα συγγενεῖς*, οἱ θεηγόροι Ἀπόστολοι, Παῦλος ὁ Ταρσεὺς, καὶ Ἰωάννης ὁ Ἱεροσολυμίτης, *Νόμον* ἔλεγον καὶ *πᾶσαν τὴν Παλαιὰν*, κατὰ τὴν ἔκπαλαι παρὰ τοῖς Ἰουδαίοις συνήθη τῆς λέξεως ἐκδοχήν (§. ιδ). Ὁ Φίλων ἀνεγίνωσκε πάντως καὶ τὰ Μακκαβαϊκὰ, καὶ τὴν Σοφίαν τοῦ Σειρὰχ, καὶ τὰ δύω σχεδὸν αἰῶνας πρὸ αὐτοῦ φιλοπονηθέντα συγγράμματα τοῦ συμφιλοσόφου καὶ συμπολίτου Ἀριστοβούλου, ὅστις καὶ αὐτὸς ἔταξε τὸ *Νόμος* ἐπὶ τῆς καθόλου σημασίας ὁλοκλήρου τοῦ κώδηκος τῶν Γραφῶν (ὡς ὀψόμεθα παρευθύς). Ὁ Φίλων, τέλος, ἀνέγνω πάντως (ὡμολόγησε δὲ καὶ Ὅδιος) καὶ τὴν Ἀριστέου συγγραφὴν (ὡς μετὰ μικρὸν καὶ Ἰώσηπος), καὶ ταύτην ἐνόησεν ἀκριβέστερον ὁπωσοῦν, παρὰ τοὺς περὶ τὸν Ὅδιον καινοτόμους· Πῶς λοιπὸν οἱ ἄνδρες οὗτοι διαβεβαιοῦσιν, ὅτι οὔτ' ἐγνώριζεν ὁ Φίλων, οὔτε μετεχειρίσθη πώποτε τὸ *νόμος* ὡς περιληπτικὸν ἐπὶ πάσης τῆς Γραφῆς; *Ἐλθέτωσαν νῦν* (κατὰ τὴν Ὁδίου φράσιν) *καὶ δειξάτωσαν οἱ ἀντιφάσκοντες κριτικοί*!

§. ιθ. Δ) Παρίτω καὶ Ἀριστόβουλος, στάζων ἔτι καὶ διάβροχος ὁ γηραιὸς ἀπὸ τῆς πολλῆς ἑωλοκρασίας, ὅσην αὐτοῦ κατέχεεν ἐν τοῖς ἔμπροσθεν ἡ τοῦ νήφοντος Ὁδίου μεθύουσα γραφίς, (βλ. βιβλ. α. κεφ. ιβ.). Νῦν δ' αὐτὸν ἀποδέχεται μάρτυρα περὶ τοῦ πράγματος, καὶ τοσούτῳ μᾶλλον ἀξιόπιστον, ὅσῳ (λέγει) καὶ παλαιότερον αὐτὸν χρονολογοῦσιν οἱ ἐναντίοι! Ναὶ, ὦ σοφώ-

τατοι, *περὶ μόνου τοῦ Μωσέως Νόμου* συνέγραψεν ὁ Ἀριστόβουλος τὰς μνημονευομένας πρὸς τὸν Φιλομήτορα *ἐξηγήσεις*, καὶ *Νόμον*, *καὶ Νομοθεσίαν*, *καὶ Νόμου γραφὴν*, τὴν Μωσαϊκὴν Πεντάτευχον ὀνομάζει· ὁμολογοῦμεν ταῦτα, καὶ συγκατανεύομεν καὶ συμφάσκομεν καὶ κεφαλῇ καὶ φωνῇ καὶ γραφῇ! ἀλλὰ τί ταῦτα πρὸς τὴν περὶ ἧς ὁ λόγος Ἀριστοβούλειον ῥῆσιν; Οὗτος λέγει κατὰ λέξιν τὰ ἑξῆς· « Φανερὸν, ὅτι κατηκολούθηκεν ὁ Πλάτων τῇ καθ' ἡμᾶς νομοθεσίᾳ· καὶ φανερός ἐστι περιειργασμένος ἕκαστα τῶν ἐν αὐτῇ λεγομένων. Διηρμήνευται (ἴσ. γρ. διηρμήνευτο) γὰρ *πρὸ Δημητρίου τοῦ Φαληρέως, δὶ ἑτέρων*, πρὸ τῆς Ἀλεξάνδρου καὶ (ἴσ. γρ. *κατὰ*) Περσῶν ἐπικρατήσεως, τά τε κατὰ τὴν ἐξαγωγὴν τὴν ἐξ Αἰγύπτου τῶν Ἑβραίων, ἡμετέρων δὲ πολιτῶν, καὶ ἡ τῶν γεγονότων ἁπάντων αὐτοῖς ἐπιφάνεια, καὶ κράτησις τῆς χώρας, καὶ [ἡ] τῆς ὅλης νομοθεσίας ἐπεξήγησις. - Ἡ Δ᾽ ὍΛΗ ἙΡΜΗΝΕΙΑ ΤΩΝ ΔΙΑ ΤΟΥ ΝΟΜΟΥ ΠΑΝΤΩΝ [γέγονεν] ἐπὶ τοῦ προσαγορευθέντος Φιλαδέλφου βασιλέως, σοῦ δὲ προγόνου, προσενεγκαμένου *μείζονα φιλοτιμίαν*, Δημητρίου τοῦ Φαληρέως πραγματευσαμένου τὰ περὶ τούτων » (α). Λέγει τοίνυν ἐν τούτοις ὁ Ἀριστόβουλος, ὅτι

---

(α) Ἀριστόβ. παρ' Εὐσεβ. Εὐαγ. Προπ. 663, 664. Α. (πρβλ. Κλήμ. Στρωμ. α, 410). Ἐν τῷ χωρίῳ τούτῳ διορθωτέον, ὡς οἶμαι, 1) τὸ ΚΑΙ, εἰς τὸ ΚΑΤΑ (Περσῶν) Οὕτως ἔγραψε καὶ Ὑέτιος (Huet. Demonst. Evang Pr. IV. c. 12. §. 3), εἴτ' αὐτὸς διορθώσας, εἴτε καὶ ὀρθοτέραν ἀναγνοὺς παρ' Εὐσεβίῳ γραφήν. Ἄλλοι τρέπουσι (μηδὲν δέον) τὸ καὶ Περσῶν εἰς τὸ καὶ Μακεδόνων. Ὁ δ' Οὐαλκενῆρος ὀβελίζει τὸν ΚΑΙ, γράφων «Πρὸ τῆς Ἀλεξάνδρου ΤΩΝ Περσῶν ἐπικρ.» Ἀλλ' ὁ Ἀριστόβουλος (νομίζομεν) τὴν ἐκ τῆς τοιαύτης μάλιστα ἐπαλληλίας τῶν δύω γενικῶν ἀσάφειαν τοῦ λόγου θεραπεύων, προσέθηκε τὴν ΚΑΤΑ (ἵνα ᾖ ὁ λόγος· «πρὸ τῆς Ἀλεξάνδρου ἐπικρατήσεως, ἣν κατὰ Περσῶν (στρατεύσας) ἐπεκράτησε». — 2) Μετὰ τὸ «ἡ δὲ ὅλη ἑρμηνεία» λείπει τὸ ῥῆμα. Ὁ Οὐαλκενῆρος νομίζει τὸ διαπεπόνηται, ἢ ἄλλο τι τοιοῦτον ὑπακουστέον ἔξωθεν, δυνάμει τοῦ προηγηθέντος διηρμήνευται (l. c. p. 61). Ἀλλὰ μεταξὺ τούτου καὶ τοῦ, ἡ δὲ ὅλη ἑρμηνεία μεσολαβοῦσιν ὅλοι στίχοι ὀκτώ· καὶ ἡ τοῦ λόγου συνθήκη δείκνυσιν ἀπίθανον τὴν τοιαύτην ἔξωθεν ὑπακοήν. Ὀρθότερον ἴσως ὁ Βάλτων προσέθηκε τὸ γέγονεν (ὃ καὶ ἡμεῖς κατεχωρίσαμεν ἀνωτέρω) πλὴν, ὅτι οὗτος ἔγραψε τὸ ῥῆμα μετὰ τό «προγόνου». συνάψας (κατὰ λάθος) τὸ προσενεγκαμένου πρὸς τὸ

«*Πρὸ Δημητρίου τοῦ Φαληρέως*» (δηλονότι πρὶν ἢ οὗτος πραγματεύσηται τὴν ὅλην τῶν διὰ τοῦ νόμου πάντων ἑρμηνείαν),

---

Δημητρίου, προσθεὶς δὲ καὶ εἰς τὸ πραγματευσαμένου περιττὸν σύνδεσμον, τὸν καὶ (Walt. Proleg. IX. 4).—3) Καὶ τὸ Διηρμήνευται τρεπτέον εἰς τὸ διηρμήνευτο (τοῦτο γὰρ ὁ νοῦς ἀπαιτεῖ). Ὁ δὲ κλεινὸς Οὐαλκενῆρος τοῦτο παριδὼν, ἔκρινεν ὀβελιστέον τὸ πρῶτον «πρὸ Δημητρίου τοῦ Φαλερέως» κτλ. (γράφων «διηρμήνευται γὰρ πρὸ τῆς Ἀλεξάνδρου» κτλ.), παρεμβεβυσμένον κρίνας τὸ κῶλον καὶ ἀνόητον, καὶ προσέτι ἀηδὲς διὰ τὴν ἐπαλληλίαν δύο γενικῶν ἀσυνδέτων «πρὸ Δημητρίου—πρὸ τῆς Ἀλεξάνδρου· προστίθησι δὲ καὶ ὅτι τὸ Φαληρέως λείπει παρὰ τῷ Κλήμεντι» (Valcken. de Aristob. Jud. p. 48, 49). Ἀλλ' ἀδίκως (ἂν μὴ σφάλλωμεν) ὤξυνε τὸν ὀβελὸν κατὰ τῆς φράσεως ὁ κριτικός. Τὸ Φαληρέως ἐξέπεσεν ἐκ τῶν παλαιῶν τοῦ Κλήμεντος ἀπογράφων, ὡς ἐξέπεσε καὶ τὸ ἀνωτέρω γέγονεν (ἤ τι τοιοῦτο), καὶ ἄλλο δὲ προσέτι ῥῆμα ἐν τῷ αὐτῷ τοῦ Ἀριστοβούλου χωρίῳ, τὸ κατεχώρισεν, ὅπερ ἐσῴθη παρ' Εὐσεβίῳ («Πυθαγόρας πολλὰ-μετενέγκας εἰς τὴν ἑαυτοῦ δογματοποιΐαν κατεχώρισεν». Εὐσέβ. Προπ. 666). Τοῦτο καὶ Οὐαλκενῆρος ἐσημείωσε (l. c. p. 66. πρβ. ὄπισθ. σελ. 158). Τὸ γοῦν Φαληρέως ἐκπεσὸν ἐκ τῶν τοῦ Κλήμεντος, σέσωσται παρ' Εὐσεβίῳ· μαρτυρεῖ δὲ καὶ ἡ τελευταία τῶν αὐτῶν φωνῶν ἐπανάληψις («Δημητρ. τοῦ Φαληρέως πραγματευσαμένου»). Καὶ ἄλλως δὲ τὸ ἐξοβελιζόμενον κῶλον (τὸ «Πρὸ τοῦ Δημητρίου» κτλ.) φαίνεται ἀναγκαῖον πρὸς τὸν σύνδεσμον τῆς ὅλης ἐννοίας. Τὸ προσκείμενον «δι' ἑτέρων« (ἢ, ὡς ἔχει Κλήμης, ὑφ' ἑτέρου, γρ. ὑφ' ἑτέρων) ἀπαιτεῖ πάντως τὰ προηγούμενα «πρὸ Δημητρίου τοῦ Φαληρ.», οὕτινες ἕτεροι ἦσαν ἐκεῖνοι οἱ πρότερον διηρμηνευκότες. Καὶ τούτων πάλιν τὴν ἐποχὴν διορίζει τὸ «πρὸ τῆς Ἀλεξάνδρου» κτλ. [ὡς εἴπερ ἐγέγραπτο· «Διηρμήνευτο πρὸ Δημητρ. τοῦ Φαληρέως (τουτ. πρὸ τῶν Δημητρίου χρόνων, ἢ πρὶν ἢ Δημήτριος πραγματεύσηται τὰ περὶ τὴν ἑρμηνείαν) ὑφ' ἑτέρων (γενομένων) πρὸ τῆς Ἀλεξάνδρου ἐπικρατήσεως.]. Καὶ ἄλλους δέ τινας ἐν ἄλλοις ἀδίκους (ὡς νομίζομεν) κατεθάῤῥησεν ὀβελισμοὺς ὁ σοφώτατος Οὐαλκενῆρος (εἰ χρὴ καὶ τούτων τινας ἐν παρόδῳ σημειῶσαι). Οἷον εἰς τὸ «Ἐν γὰρ τῷ 8 καὶ 30 ἔτει ΕΠΙ Εὐεργέτου Βασιλέως» (Σ. Σειρ. Προλόγῳ) ἀποκόπτει τὴν ΕΠΙ (l. c. p. 61. not.)· ἀλλ' ἡ φράσις ἐστὶν ἡ αὐτὴ καὶ ἡ, ἐπὶ βασιλεύοντος, ἐπὶ ἄρχοντος, ἐπὶ ἀρχιερέως (βλ. α, Μακκ. ιδ, 27) κτλ. χωρὶς δὲ τῆς ἐπὶ ἄδηλον ἀποβαίνει, πότερον, τῆς βασιλείας, ἢ τῆς ἡλικίας τοῦ Εὐεργέτου τὸ 38, ἔτος. — Πρόσθες καὶ ἄλλο χωρίον Ἀριστοβούλου (Valcken. l. c. p. 71) τὸ ἐφεξῆς. «Τὴν τοῦ πυρὸς δύναμιν, παρὰ πάντα θαυμάσιον ὑπάρχουσαν, διὰ τὸ πάντα ἀναλίσκειν, οὐκ ἂν ἔδειξε φλεγομένην ἀνυποστάτως, μηδὲν ΔΕ ἐξαναλίσκουσαν» («ἐξάλειψον, λέγει ὁ κριτικὸς, τὸν ΔΕ» — ἀλλ' ὤφειλε μᾶλλον εἰπεῖν· πρόσθες μετὰ τὸ φλεγομένην καὶ τὸν ΜΕΝ), «εἰ μὴ τὸ παρὰ τοῦ Θεοῦ δυναμικὸν αὐτῇ προσείη. Τῶν γὰρ φυομένων ἐν τῷ ὄρει ἐκείνῳ ΕΞΑΝΑΛΙ-

ὑπῆρχον διηρμηνευμένα (*διηρμήνευτο*) ὑφ' ἑτέρων (ἀνωνύμων ἑρμηνευτῶν), πρὸ τῆς Ἀλεξάνδρου κατὰ Περσῶν ἐπικρατήσεως γενομένων, (μέρη τινα τῆς Γραφῆς· ποῖα ;) *τά τε κατὰ τὴν ἐξαγωγὴν τῶν Ἑβραίων* (δηλονότι τὰ τῆς *Ἐξόδου*, ὡς ὠνόμασε ταύτην καὶ ὁ παλαιὸς Ἰεζικιὴλ ὁ τραγῳδοποιὸς, *Ἐξαγωγὴν* ἐπιγράψας τὸ ἑαυτοῦ ποίημα), *καὶ τὰ κατὰ* τὴν ἔρημον *ἐκ θείας ἐνεργούσης ἐπιφανείας* θαυμαστὰ συμβεβηκότα (τὰ κατ' αὐτὴν δηλονότι *τὴν Ἔξοδον*, καὶ ἐν τοῖς ἐφεξῆς βιβλίοις τῆς Πεντατεύχου, οἷον ἐν τοῖς *Ἀριθμοῖς* [θ, 15: ι, 11, 34. ις, 30: ιζ, 8: κ, 11: κτλ.], καὶ ἐν τῷ *Λευϊτικῷ* [θ, 24: ι, 1] ἱστορούμενα), *καὶ ἡ* (μέχρις Ἰορδάνου) *κυρίευσις τῆς χώρας* (τῆς Παλαιστίνης), *καὶ* τέλος, *ἡ τῆς ὅλης* (Μωσαϊκῆς) *νομοθεσίας ἐπεξήγησις καὶ* περίληψις, αὐτὸ δηλαδὴ τὸ *Δευτερονόμιον* (ὅπερ ὁ Πλατωνίζων Φίλων ὠνόμασε καὶ *Ἐπινομίδα*. τόμ. β. σελ. 363). Ταῦτα λοιπὸν τὰ Δ, τῆς Πεντατεύχου βιβλία (ἢ μᾶλλον μέρη τινὰ τούτων καὶ συνοπτικὰ ἀποσπάσματα) λέγει ὁ Ἀριστόβουλος διηρμηνευμένα πρὸ Δημητρίου (α). Ἡ δὲ ὍΛΗ ἑρμηνεία

---

ΣΚΟΜΕΝΩΝ *σφοδρῶς, οὐδὲν ἐξανάλωσε » κτλ.* Τοῦτο τὸ ἐ ξ α ν α λ ι σ κ ο μ έ ν ω ν *ἔτρεψεν ὁ σοφὸς ἀνὴρ εἰς τὸ* ἐ κ κ α ι ο μ έ ν ω ν, *τὸ μὲν ὀρθῶς, τὸ δ' οὐκ ὀρθῶς· ὤφειλε γὰρ, οἶμαι, γράφειν* ἐ κ κ α ι ο μ έ ν Η (εἰμὴ μᾶλλον, κ α ι ο μ έ ν Η) *ἡ δύναμις δηλαδὴ τοῦ πυρὸς (ἣν ὁ Ἀριστόβουλος εἶπε καὶ ἀνωτέρω* φ λ ε γ ο μ έ ν η ν, *καὶ* ἐ ξ α ν α λ ί σ κ ο υ σ α ν) *ἵνα ᾖ ὁ λόγος (ὁμοίως τῇ προτέρᾳ φράσει), ὅτι «ἡ δύναμις τοῦ πυρὸς, καιομένη σφοδρῶς (ὡς τὸ φλεγομένη), οὐδὲν τῶν ἐν τῷ ὄρει φυομένων ἐξανάλωσε ».*

(α) Οὕτως ἑρμηνεύει τοὺς Ἀριστοβούλου λόγους καὶ ὁ κλεινὸς Οὐαλκενῆρος (l· c. p. 48), προστιθεὶς, ὅτι ἴσως ἐξέπεσαν ἐκ τοῦ Ἀριστοβουλείου χωρίου καί τινες ἄλλαι λέξεις (κείμεναι μετὰ τὸ ἐ π ι κ ρ α τ ή σ ε ω ς) οἷον· « Ἥ τ ε Γ έ ν ε σ ι ς κ ό σ μ ο υ », (Ὁ δὲ Δαῖνος, Dähne Th. 2. p. 72. νομίζει ὅτι ἡ Γ έ ν ε σ ι ς ὑπονοεῖται ὑπὸ τὸ Ν ο μ ο θ ε σ ί α, καθὸ παρὰ τοῖς Ἀλεξανδρινοῖς θεωρουμένη τὸ κύριον τῆς νομοθεσίας μέρος) ἵνα ᾖ τῶν Ἀριστοβούλου λόγων ὁ νοῦς, ὅτι διηρμήνευτο (πρὸ τοῦ Ἀλεξάνδρου) πᾶσα ἡ Πεντάτευχος. Ἄλλοι δὲ συνάγουσιν, ὅτι μόνον μέρη τινα τῆς Μωσαϊκῆς Νομοθεσίας ἐξελληνισθέντα πρὸ τῶν Ἀλεξάνδρου χρόνων βούλεται λέγειν ὁ Ἀριστόβουλος, (Βλ. Huet. Demonst. Evang. Pr. IV, c. 2, §. 3. p. 155. πρβ. F. Lee in proleg. T. III. Bibl. Gr. Grabij p. ii). Ὁ δ' οὖν Οὐαλκενῆρος δριμύτερον καὶ ὧδε (καθὼς εἴωθε) κατατρέχων Ἀριστοβούλου, τοῦτον αὐτὸν νομίζει πλαστουργὸν καὶ ταύτης δὴ τῆς πρὸ τῶν Ἀλεξάνδρου χρόνων λεγομένης ἑρμηνείας

(συνεχίζει λέγων) τῶν ΔΙΑ ΤΟΥ ΝΟΜΟΥ ΠΑΝΤΩΝ γέγονεν ἐπὶ τοῦ Φιλαδέλφου, ΜΕΙΖΟΝΑ (παρὰ τοὺς προτέρους ἐκείνους ἑρμηνεῖς) φιλοτιμίαν εἰς τὴν ὅλην ταύτην ἑρμηνείαν προσενεγκαμένου τοῦ βασιλέως, πραγματείᾳ καὶ σπουδῇ Δημητρίου τοῦ Φαληρέως ». Ἐν τούτοις οὖν τοῖς λόγοις τίς οὐ βλέπει ἐναργῶς ὅτι τὸ μὲν *ὅλη* ἀντιδιαστέλλεται πρὸς τὴν *μὴ ὅλην*, ἀλλὰ μερικὴν ἑρμηνείαν ἐκείνην τὴν παλαιάν. Τὸ δὲ ΠΑΝΤΩΝ πρὸς τὸ τινὰ (τὰ δ, ἢ ε, δηλονότι μνημονευθέντα Μωσαϊκὰ τεύχη τῆς ἀρχαίας ἑρμηνείας), καὶ ὅτι πάντως σημαίνει πάντα τὰ ΚΒ, κανονικὰ βιβλία τῆς Γραφῆς; ὥστε καὶ τὸ, τὰ διὰ τοῦ *Νόμου*, δηλοῖ καθόλου πᾶν τὸ πλήρωμα, ἢ τὸ σῶμα τῶν βιβλίων τῆς Παλαιᾶς Διαθήκης (ἅτινα καὶ *ἐνδιάθηκοι* βίβλοι λέγονται παρ᾽ Ὠριγένει Φιλοκαλ. γ. καὶ Εὐσεβ. Ἐκκλ. ἱς. γ, 3. καὶ ἄλλως, *ἐνδιάθετοι*, ὡς πάλιν ὁ Εὐσέβιος, Ἐπιφάνιος, Ἰσίδωρος)· ὡς ἂν εἴπερ ἔγραφεν ὁ Ἀριστόβουλος «Ἡ δὲ ὅλη ἑρμηνεία πάντων τῶν ἐν πάσῃ τῇ Γραφῇ, ἢ *ἐνδιαθηκῶν* (βιβλίων) ἐγένετο » κτλ. Τὸ γὰρ « *διὰ τοῦ νόμου* » ἰσοδυναμεῖ τῷ « *ἐν τῷ νόμῳ* » (α). Ἐκφράζει δὲ καὶ ἄλλως ἡ *διὰ* πρόθεσις καὶ τὴν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους παράτασιν καὶ συνέχειαν τῶν βιβλίων ὅλου τοῦ κώδηκος τῆς Γραφῆς. Ταῦτα λέγει ὁ Ἀριστόβουλος. Καὶ (πρὸς ἐμφαντικωτέραν ἐξήγησιν) ἐπὶ μὲν τῆς Μωσαϊκῆς Πεντατεύχου

---

τῆς Πεντατεύχου (ὡς μηδεμιᾶς ἄλλης πρὸ τοῦ Φιλαδέλφου γενομένης ἑλληνικῆς μεταφράσεως μηδενὸς χωρίου τῆς Γραφῆς)· ἀλλὰ περὶ τῆς τοιαύτης ἀρχαίας ἑρμηνείας λέγομεν ἐν τοῖς ἐφεξῆς· ἤδη δ᾽ ἀπαλλάττοντες (τό γ᾽ ἐφ᾽ ἡμῖν) τὸν Ἀριστόβουλον τῆς εἰς αὐτὸν ἐπαγομένης ἐνοχῆς, λέγομεν, ὅτι καὶ Ἀριστέας (ὃν καὶ αὐτὸς Οὐαλκενῆρος προγενέστερον εἶπεν Ἀριστοβούλου, l. c. p. 60) ἔγραψεν, ὅτι ὁ Θεόπομπος ἔμελλέ « τινα ΤΩΝ ΠΡΟΗΡΜΗΝΕΥΜΕΝΩΝ ἐπισφαλέστερον ΕΚ ΤΟΥ ΝΟΜΟΥ προσιστορεῖν » (σελ. XXXV. ed. Hody). Ὑπῆρχον ἄρα καὶ κατὰ τοὺς Θεοπόμπου χρόνους προηρμηνευμένα τινα ἐκ τοῦ νόμου, καίτοι ἐπισφαλέστερον καὶ μὴ ἀκριβῶς·

(α) Οὕτω καὶ ἀλλαχοῦ ὁ αὐτὸς Ἀριστόβουλος εἶπε· « λέγεται διὰ τῆς γραφῆς τοῦ νόμου », ἀντὶ ἐν τῇ γραφῇ τοῦ νόμου » κτλ. Valcken. l. c. p. 62. ὅστις καὶ ἐκ τῶν Ἑλλήνων φέρει παραδείγματα παρομοίας φράσεως, (Ἀθήν. δ, 178, ς, 271, θ, 388 κτλ.). Ὁ δὲ Ἰώσηπος εἶπεν ἀνωτέρω καὶ χωρὶς προθέσεως τὰ τοῦ νόμου (βιβλία).

μετεχειρίσθη τὸ *Νομοθεσία* (« Κατηκολούθηκεν ὁ Πλάτων τῇ καθ' ἡμᾶς *νομοθεσίᾳ*. - διηρμήνευτο γὰρ πρὸ Δημητρίου τοῦ Φαληρέως » κτλ.). Ἐπὶ δὲ τῆς *ὅλης ἑρμηνείας* ἰδίως ἔθηκε τὸ *Νόμος* (« τῶν *διὰ τοῦ Νόμου* πάντων »), καθὼς καὶ παρὰ τῷ Ἀριστέᾳ καὶ Ἰωσήπῳ καὶ ἐν τοῖς Μακκαβαϊκοῖς καὶ ἐν τῇ Καινῇ Διαθήκῃ κεῖται μάλιστα τὸ *Νόμος* περιληπτικῶς ἐπὶ πάσης τῆς Γραφῆς, ὡς προείπομεν. Ταύτην εἶναι τὴν γνησίαν ἔννοιαν τοῦ Ἀριστοβουλείου χωρίου ὡμολόγησαν καὶ ἐξ αὐτῶν τῶν Διαμαρτυρουμένων ἄνδρες εὐκλεέστατοι· οἷον Ὀττιγγῆρος, Βοβέριος, Βάλτων, ὁ τῆς Ἐκδικίας συγγραφεὺς, Οὐόσσιος, Οὐαλκενῆρος, καὶ εἴ τις ἕτερος (α).

---

(α) Ὁ δὲ ῥαββῖνος Φράγκελος (l. c. p. 16) συμμαχεῖ μὲν Ὀδίῳ, θέλων πάντως καὶ αὐτὸς, ὅτι τὸ Ἀριστοβούλειον « ἡ δὲ ὅλη ἑρμηνεία » σημαίνει μόνην τὴν Πεντάτευχον ἑρμηνευθεῖσαν ἐπὶ τοῦ Φιλαδέλφου· (καίτοι καὶ τοῦτο μῦθον ὁ Ῥαββὶς ὑπολαμβάνει, καὶ τὸν Ἀριστόβουλον ὡς ἀόριστον πρόσωπον διαγράφει· βλ. ὄπισθ. τ. α. σελ. 423), ἀποβαίνει δὲ καὶ πολὺ δριμύτερος Ὀδίου, κατεξελέγχων τὸν Οὐαλκενῆρον ὡς ἠπατημένον περὶ τὴν ἐκδοχὴν τῶν ἀνωτέρω (σελ. 458) λόγων τοῦ Ἀριστοβούλου. — α) λέγει, ὁ Ἀριστόβουλος ἐν τῷ « διηρμήνευται πρὸ τοῦ Δημητρίου »· οὐδὲν λέγει περὶ ἑλληνικῆς ἑρμηνείας· ἀλλὰ μόνον ἁπλῶς, « ὅτι διηρμήνευται »· εἰς ποίαν δὲ γλῶσσαν οὐ διορίζει· ὑπολάβοι δ' ἄν τις, ὅτι Αἰγυπτιαστὶ, χάριν τῶν τὴν Αἴγυπτον πρὸ τῆς τοῦ ναοῦ καταστροφῆς κατοικούντων Ἰουδαίων » — Ἀλλὰ πρῶτον μὲν (ἀπαντῶμεν). Εἴπερ ὁ Ἀριστόβουλος οὐ διορίζει τὴν εἰς ἣν διηρμήνευτο γλῶσσαν, πῶς ὁ Φράγκελος εὐμορφολογῶν διορίζει τὴν Αἰγυπτιακὴν, καὶ τὸν χρόνον καὶ τὸν τόπον ἐπ' ἀδείας προστιθείς; Ἔπειτα, ὁ Ἀριστόβουλος διώρισε σαφῶς τὴν ἑρμηνείαν ταύτην οὖσαν ἑλληνικὴν, εἰπὼν προηγουμένως ὅτι « κατηκολούθηκε καὶ Πλάτων τῇ Νομοθεσίᾳ » κτλ. (βλ. σελ. 456)· ἢ μήπως ὁ Φράγκελος ἔμαθεν ἄλλοθέν ποθεν, ὅτι ὁ Πλάτων ἀνέγνω ταύτην τὴν ἑρμηνείαν Αἰγυπτιστὶ (πάντως ὅτε διέτριβεν ἐν Αἰγύπτῳ, καθ' ἣν ἴσως ᾀείποτ' ἐφθέγγετο καὶ ἀνεγίνωσκεν Αἰγυπτιακά!). Καὶ πάλιν, προσθεὶς ὁ Ἀριστόβουλος ὅτι « διηρμήνευτο πρὸ τοῦ Φαληρέως », ἀπέδειξεν ὅτι καὶ τῶν τεμαχίων ἐκείνων ἡ ἡρμηνεία ὑπῆρχεν ὁμόγλωσσος τῇ γενομένῃ κατὰ τὸν Φαληρέα. Καὶ πολὺ δὲ πλέον ἐναργῶς τοῦτ' αὐτὸ κατέδειξεν, ἐπισυνάψας τὸ « ἡ δὲ ὅλη ἑρμηνεία γέγονεν ἐπὶ Φιλαδέλφου ». Ὡς γὰρ ταύτην, τὴν Ὅλην, ἑλληνικὴν ἐνόει ὁ Ἀριστόβουλος, οὕτω καὶ τὴν τῶν ἀρχαίων τεμαχίων ἐκείνων· (πλὴν εἰμή που ὁ Φράγκελος Αἰγυπτίαν καὶ τὴν ἐπὶ Φιλαδέλφου νομίζει, διότι μηδὲ ταύτην ὁ Ἀριστόβουλος διώρισε ῥητῶς ἑλληνικήν!) — β) Ἀντιλέγων ὁ Φράγκελος πρὸς Οὐαλκενῆρον ἐξηγήσαντα ταῦτα τὰ τεμάχια τῆς Πεντατεύχου (βλ. σελ. 458), « Ἀλλ' ἐκ τούτων, λέγει, λείπει τὸ

§. κ. Ε) Ὅσον δὲ περὶ τῶν Ταλμουδικῶν καὶ ἄλλων νεωτέρων Ῥαββίνων, ὅτι πολλὰ πολλάκις ἀμαθαίνουσι καὶ ληροῦσι, καὶ αὐτὸς Ὅδιος πολλάκις ὡμολόγησεν· οὕτως ἐψεύσθησαν καὶ περὶ τοῦ ποσοῦ τῶν ἑρμηνευθέντων βιβλίων. Εἰ μή που καὶ αὐτοὶ τὸν Μωσέως νόμον ἐξέλαβον ἐπὶ πάσης τῆς Γραφῆς, καθὼς εἶπέ τις ἐξ αὐτῶν, ἴδιος αὐτῶν Ῥαββὶς, ὁ Ἀζαρίας, ᾧ τινι καὶ ἄλλοι συμφωνοῦσι πολλοὶ καὶ ἀγαθοί (α). Καταιδέσουσι δὲ πάντως τοὺς

---

Λευΐτικόν ». — Ἀλλὰ καὶ τὸ Λευΐτικὸν (ἀπαντῶμεν), ἤτοι μέρη τούτου, περιείχοντο ὑπὸ τὴν λέξιν Νομοθεσία (ὡς καὶ ἡ Γένεσις, κατὰ τὸν Δαΐνον, πλὴν εἰ μήπου τοῦτο ἐξέπεσε τῆς Ἀριστοβούλου περικοπῆς, κατὰ τὸν Οὐαλκενῆρον. βλ. τὴν σημείωσιν αὐτόθ.) — γ) Ἀλλ' αὕτη (λέγει) ἡ περικοπὴ περιέχει πλείονα τῆς Πεντατεύχου· τό. ἡ Κράτησις τῆς χώρας ἀνήκει εἰς τὸν Ἰησοῦν » — Ἄπορον (ἀπαντῶμεν) πῶς ὁ Ῥαββὶς ἐπελάθετο τῶν ἐπὶ Μωϋσέως ἐντεῦθεν τοῦ Ἰορδάνου τοσούτων κεκρατημένων τῆς Χαναναίας χωρῶν, ἃς ζῶν ἔτι ὁ Νομοθέτης διένειμεν εἰς τὰς 2 ½ φυλάς· ὁ δὲ Φράγκελος οὐδεμίαν ἀποδέχεται κράτησιν τῆς χώρας πρὸ τοῦ Ναυΐδου Ἰησοῦ! Ἔπειτα καὶ τούτου τὸ βιβλίον ἀνῆκεν εἰς τὴν Πεντάτευχον (ὡς παράρτημα. βλ. ἐφεξῆς §. κη. ), ὃ καλῶς μὲν συνεῖδεν ὁ Βλῆκκος (Bleck) κακῶς δ' ἀνένευσεν ὁ ἀρχιραββῖνος. — δ) « Ἡ δὲ τῶν γεγονότων αὐτοῖς ἐπιφάνεια » εἰς ποῖον ἄλλο (λέγει) βιβλίον ἀνήκει, εἰ μὴ εἰς τὴν Ἔξοδον; ἀλλ' αὕτη προεμνημονεύθη (« τὰ κατὰ τὴν ἐξαγωγήν »). Ἀλλ' (ἀπαντῶμεν) οὐ μόνον εἰς τὴν Ἔξοδον ἀνήκει ἡ τῶν θαυμασίων συμβεβηκότων ἐπιφάνεια, ἀλλὰ καὶ εἰς τοὺς Ἀριθμοὺς, καὶ εἰς τὸ Λευΐτικὸν, ὡς προείπομεν (σελ. 458). Τελευταῖον ὁ Ῥαββὶς συμπεραίνει, ὅτι « μήτε χωριστὰ βιβλία, μήτε τούτων ἑρμηνείαν εἶχε κατὰ νοῦν ὁ Ἀριστόβουλος· αἱ δὲ λέξεις αὐτοῦ δεικνύουσιν Ἐπιτομήν τινα ἢ Σύνοψιν (ein Compendium), περιεκτικὴν τῶν ἐπισημοτάτων τῆς πατρίου ἱστορίας συμβεβηκότων, καί τινα ἐπεξήγησιν, ἢ ἐπιδιήγησιν, ἄλλων τινων, μὴ συμπεριεχομένων ἐν τῇ Συνόψει. οἷον τῆς τοῦ κόσμου δημιουργίας, τῶν νόμων, καὶ ἄλλων πολλῶν ». — Ἀλλ' ὁ Ἀριστόβουλος λέγει « ἡ τῆς ὅλης νομοθεσίας ἐπεξήγησις· ὅπερ οὐδὲν ἄλλο δύναται σημαίνειν, εἰμὴ τὴν Ἐπινομίδα, ἤτοι τὴν τῶν νόμων ἐπανάληψιν, ἢ τὸ Δευτερονόμιον. Εἰ δ' ὁ Φράγκελος φαίνεται γελοῖος οὕτω διαστρέφων τὸ Ἐπεξήγησις, ἀποβαίνει καὶ παράδοξος, ὁμολογήσας τὴν Σύνοψιν ἢ Ἐπιτομὴν, δι' ἧς κατεσκεύασεν ὅ,τι βούλεται ἀναιρεῖν. Αὕτη γὰρ, ἥν φησιν, ἡ Σύνοψις ἐγένετο πάντως ἔκ τινων βιβλίων Ἰουδαϊκῶν. Ταῦτα δὲ ὁ Ἀριστόβουλος ἐννοεῖ καὶ γράφει σαφῶς, ὅτι ἦσαν τὰ τῆς Μωσαϊκῆς Πεντατεύχου, τί λοιπὸν ἄλλο καὶ ὁ Φράγκελος ὁμολογεῖ, εἰμὴ ὅ,τι εἶπον οἱ περὶ τὸν Οὐαλκενῆρον, ἐξηγοῦντες ἐξ αὐτῶν τῶν Ἀριστοβούλου λόγων τὰ βιβλία τῆς Πεντατεύχου, ἐξ ὧν γέγονεν ἡ Ἐπιτομή;

(α) R. Azaria apud Hotting. Thes. phil. p. 315. πρβλ. Masij praef. in Josuam. — Vales. in Epist. ad Usser. etc. Βλ. ὄπισθ. σελ. 412.

κριτικοὺς καὶ τῶν Ἰουδαίων οἱ ἀρχαιότατοι (οὓς αὐτοὶ μαρτύρονται) *οἱ ἑλληνιστὶ συγγράψαντες*, Ἀριστόβουλος καὶ Φίλων καὶ Ἰώσηπος, οἵτινες ἐκλαμβάνουσι τὸ *νόμος* καὶ καθολικώτερον ἐπὶ τῆς Γραφῆς· καὶ πᾶσα δὲ ἡ παλαιὰ Συναγωγὴ ἀνεγίνωσκε τοὺς προφήτας, ὡς ἑρμηνείαν τῶν Ο, καθὼς καὶ τὴν Πεντάτευχον. Εἰ δὲ καὶ ἰδιότροπος πεισμονὴ προτιμᾷ καὶ τέθηπε τοὺς νεωτέρους Ῥαββίνους, φθόνος οὐδείς! σπάτω τοῦ καλοῦ κρατῆρος τῆς Ταλμουδοῦ σοφίας, ἂν θέλῃ, χανδόν· ἀλλὰ μὴ συμπαρασυρέτω καὶ τὸν μακάριον Ἱερώνυμον, ἅτε δῆθεν ἀκριβῶς ὁμοφρονοῦντα (§. η). Ποίαν ἔχουσιν ὁμοίωσιν αἱ τούτου τοῦ Πατρὸς μερικαί τινες καὶ ἄστατοι καὶ κοῦφαι παρεκτροπαὶ (ἃς αὐτὸς πάλιν ἀλλαχοῦ διορθοῦται τὰς πλείστας), πρὸς τὰς ἐκ προθέσεως καὶ ἐπιμόνους ὕβρεις καὶ δυσφημίας, ὅσας πολλοὶ τῶν νεωτεριστῶν ἀνέδην ἐξηρεύξαντο κατά τε τῆς ἑρμηνείας, καὶ κατὰ τῶν θείων Πατέρων, μηδ᾽ αὐτὸν πολλάκις ἐξαιροῦντες τὸν Ἱερώνυμον; ἀλλὰ περὶ τούτου καὶ ἐφεξῆς (§. κϐ).

§. κα. Ἐν δὲ τῷ μεταξὺ σφοδρὸς πρὸς Οὐαλέσιον καὶ χειμαῤῥώδης ἐπιπίπτων ὁ κάλαμος τοῦ κριτικοῦ, παρασύρει (ὅπερ δὴ ἐλέγομεν) καὶ τοὺς μακαρίους ἡμῶν Πατέρας, προστιθεὶς καὶ ἄλλα τούτων ὀνόματα πολλῶν, ὅσους ὁ Οὐαλέσιος συμπεριέλαβεν, ἐπιτομώτερον εἰπών, « *καὶ πάντες οἱ ἐκκλησιαστικοὶ συγγραφεῖς* ». Ὁ δὲ Ὅδιος καὶ κατ᾽ ὄνομα πάντας σχεδὸν τούτους ἀπαριθμεῖ, τὸ μέν, ἴσως, πρὸς ἐπίδειξιν κριτικῆς πολυμαθείας ἀτρομήτου καὶ παντόλμου, «*δι᾽ ἣν ἂν καὶ Οὐρανίωσι μάχοιτο*», τὸ δέ, καὶ ἵνα μηδεὶς τῶν θεοφόρων καὶ σεβασμίων ἐκείνων ἀνδρῶν ἀνύβριστος ἀπομείνῃ, προπηλακισθῶσι δὲ πάντες καὶ ἐξ ὀνόματος. « *Οὐδὲ τοῦ Ἀριστοβούλου* » (οὗτινος τὰς μνημονευομένας *ἐξηγήσεις* ψευδεπιγράφους ἀνεκήρυττεν ἐν τοῖς προλαβοῦσιν, εἰς τὸν ϐ, αἰῶνα κατακυλίων), *οὐδ᾽ αὐτοῦ τοῦ* (καθὼς αὐτὸν μυριάκις ὀνομάζει) *Ψευδαριστέου*, τίθησιν ἀντάξιον ὅλον συνάμα τῶν ἀρχαίων τῆς Ἐκκλησίας διδασκάλων τὸν ἱερώτατον θίασον! Πάντες (κατ᾽ αὐτὸν) καὶ οἱ Ἀποστολικοί, καὶ οἱ τούτων

ἐφεξῆς διάδοχοι Πατέρες οὐδαμόθεν ἄλλοθεν εἶχόν τι μαθεῖν περὶ τῶν Γραφῶν, εἰ μὴ παρὰ τῶν Ἰουδαίων, καὶ τούτων συγγραψάντων μετὰ Χριστὸν (διότι καὶ τὴν Ἀριστέου *πλαστογραφίαν* τίθησι μεταξὺ τῶν Ἰωσήπου καὶ Φίλωνος χρόνων!). Καὶ ὅμως οὐδ' οὕτως οὐδὲν πάλιν παρ' αὐτῶν ἐδιδάχθησαν οἱ Πατέρες! οὐδ' ἐνόησαν τὰς Ἀριστέου καὶ τοῦ Φίλωνος καὶ Ἰωσήπου συγγραφάς· ἀλλ' ἐν ᾧ οὗτοι μόνην ἐπὶ Φιλαδέλφου τὴν Πεντάτευχον ἱστοροῦσιν ἑρμηνευθεῖσαν, οἱ νωθροὶ γέροντες ἐκεῖνοι, μὴ νοήσαντες αὐτῶν τὴν διάνοιαν, ἐπλανήθησαν, καὶ *κεκλεισμένοις ὄμμασι* (τὸ τῆς παροιμίας) ἀπεδέξαντο, ὡς τῶν Ο ἑρμηνέων ἔργον, ὁλόκληρον τὸν κώδηκα τῶν Γραφῶν! καὶ τοῦτο, μόνον καὶ μόνον διότι τοῦτον ἔβλεπον ὅλον ἐξελληνισμένον *πρὸ τῶν Ἀκύλα χρόνων*! (ἔτεσι δὲ πόσοις πρὸ τοῦ Ἀκύλα πρότερον ἡρμηνεύθη, οὐδόλως ἐξήτασαν· ἐπλανᾶτο δὲ ἄρα κἀκείνων ὁ νοῦς ἀορίστως, ὡς καὶ αὐτὴ ἡ κενόφωνος Ὁδίου φράσις ῥέμβεται πλανῆτις, «*κατὰ σκότον* ἀοριστίας *ἠλάσκουσα*»). Αἱ δ' ὑπὸ τῶν Ἀποστόλων πανταχοῦ συσταθεῖσαι (καὶ μάλιστα αἱ ἐξ ἐθνῶν) Ἐκκλησίαι, καὶ πρῶται παρ' αὐτῶν τὰς προφητικὰς παραλαβοῦσαι Γραφὰς, οὐδὲν οὐδόλως ἤκουσαν ἀπὸ τῶν θεοπνεύστων ἐκείνων στομάτων ἀσφαλὲς καὶ βέβαιον περὶ τοῦ κύρους τῆς ἑρμηνείας τῶν ἑβραϊκῶν Γραφῶν. Οὐδὲ Κλήμης, οὐδ' Ἰγνάτιος, οὐδ' ἄλλος τις Ἕλλην τὸ γένος, ἢ ἑλληνιστὴς, ὀπαδὸς τῶν Ἀποστόλων καὶ διάδοχος, οὐδ' αὐτὸς γοῦν ὁ Τιμόθεος, οὐδὲν οὐδέποτε παρ' αὐτῶν (ἐμπαρόδως κἂν καὶ διηγηματικῶς) ἀκηκόασι *περὶ τῶν βιβλίων*, τίνες ἄρα ταῦτα καὶ πόσα καὶ πότε μεθηρμήνευαν ἑλληνιστὶ ἐκ τῆς Ἑβραΐδος φωνῆς (α).

---

(α) Ἐν τῷ «Φέρε καὶ τὰ βιβλία, καὶ μάλιστα τὰς μεμβράνας» (β. Τιμ. δ. 13) οἱ ἐξηγηταὶ βιβλία, λέγουσι, τὰ τῆς θείας Γραφῆς. Ὁ δὲ ἱερὸς Θεοδώρητος «Μεμβράνας (λέγει) τὰ εἰλητὰ κέκληκεν· οὕτω γὰρ Ῥωμαῖοι καλοῦσι τὰ δέρματα· ἐν εἰλητοῖς δὲ εἶχον πάλαι τὰς θείας Γραφάς· οὕτω δὲ καὶ μέχρι τοῦ παρόντος ἔχουσιν Ἰουδαῖοι» (βλ. ὄπισθ. σελ. 377). Ὁ δὲ Θεοφύλακτος γενικώτερον εἶπεν, ὅτι «αἱ μεμβράναι ὠφελιμώτερά τινα περιεῖχον» (ἑρμ. αὐτόθ.). Καί τις ἄλλος ἀρχαῖος σχολιαστὴς «Μεμβράνας, ἐχούσας τὸν νόμον

Ἀλλ᾽ οὕτω κἀκεῖνοι, κἀκείνων οἱ μαθηταὶ (καί τοι ἄλλως καὶ τῆς κατὰ κόσμον σοφίας καὶ φιλολογίας ὄντες ἐγκρατεῖς) ἄκριτοι καὶ προβατώδεις ἀνεγίνωσκον καὶ ἐκήρυττον τὰς Γραφὰς τῶν προφητῶν, ἀποδεχόμενοι πᾶν τὸ προστυχὸν ὡς ἑρμηνείαν τῶν Ο! Τὸ δὲ παραδοξότατον, ὅτι συνεφώνουν μετ᾽ αὐτῶν καὶ πάντες οἱ τότε σύγχρονοι Ἰουδαῖοι, συνομολογοῦντες κἀκεῖνοι πάσας τὰς ἐνδιαθήκους Γραφὰς ἡρμηνευμένας ὑπὸ τῶν Ο. Καὶ μάρτυς ὁ Τρύφων, ἐλλόγιμος Ἰουδαῖος, συμφάσκων περὶ τούτου χωρίς τινος ἀντιλογίας πρὸς τὸν συνδιαλεγόμενον Ἰουστῖνον, τὸν μάρτυρα καὶ φιλόσοφον, ὁσάκις οὗτος ἐξέφερε πρὸς αὐτὸν ῥήσεις προφητικὰς ἐκ τῆς ἑρμηνείας τῶν Ο· καὶ ῥητῶς δὲ τοῦ περὶ τὴν ἑρμηνείαν ἱστορήματος ἐπεμνήσθη (Διαλ. πρὸς Τρύφωνα, §. 71. κτλ.). Ἀλλὰ καὶ αὐτοὶ οἱ περὶ τὸν Ὅδιον τοῦτο φρονοῦντας τοὺς Ἰουδαίους ἐκείνους ὡμολόγησαν ἐν τοῖς ἔμπροσθεν, διαβεβαιοῦντες, ὅτι *περὶ τῶν οἰκίσκων* ἠπάτησαν δῆθεν τὸν Ἰουστῖνον οἱ τὸν μῦθον τοῦτον πλάσαντες Ἰουδαῖοι (κεφ. ς. §. β. σελ. 341). Τί γὰρ ἄλλο κἀκεῖνοι πρὸς τὸν μάρτυρα ἀπεδείκνυον, εἰ μὴ πάσας τὰς βίβλους τῆς Γραφῆς ἑρμηνευθείσας ἐν τοῖς οἰκίσκοις; Ὅτι δὲ καὶ ἐπὶ τῶν Ἀποστόλων (κατὰ τοὺς Ἰωσήπου δηλαδὴ καὶ Φίλωνος χρόνους), καὶ πολὺ πρό-

---

ἐν αὐταῖς γεγραμμένον ». Οἱ δὲ, βιβλία μὲν, τὰς ἑβραϊκὰς γραφὰς, μεμβράνας δὲ, τὴν ἑλληνικὴν ἑρμηνείαν αὐτῶν. Τῶν δέ τινες νεωτέρων τὰ βιβλῖα μόνον ἐπὶ τῶν θείων γραφῶν ἐκδεχόμενοι, μεμβράνας εἶπον, οἱ μὲν τὰς πρὸς τὸν Ἀπόστολον ἐπιστολὰς τῶν Ἐκκλησιῶν (βλ. α. Κορ. ζ. 1), οἱ δὲ, τὰ ἀντίγραφα τῶν αὐτοῦ τοῦ Ἀποστόλου πρὸς τὰς Ἐκκλησίας ἐπιστολῶν. Οἱ δὲ, καὶ κενὰς, ἢ παντάπασιν ἀγράφους ὑπέλαβον τὰς μεμβράνας, ἃς εἶχεν, ὡς χάρτας, πρὸς τὸ γράφειν (Zegerus Annot. in h. l. καὶ Demagistr. l. c.). Οἱ δὲ περὶ τὸν Γρότιον (Annot. in h. l.), ὡς περιεχούσας ἐξ Ἑλλήνων τινων ἀποσπάσματα (οἷα τὰ, οἷς ἐχρήσατο, τοῦ Ἐπιμενίδου, τοῦ Ἀράτου, τοῦ Φιλήμονος). Οἱ δὲ περιεργότατοι, τέλος, ἔκριναν ὅτι περιεῖχον σημειώσεις τινας ἀπηνθισμένας οὐ μόνον ἐξ ἐθνικῶν τινων συγγραφέων, ἀλλὰ καὶ ἐκ τῶν θείων Γραφῶν! (βλ. Suicer. Thesaur. T. 2. p. 341.). Ὡς ἂν εἴπερ ὁ οὐρανοβάμων Παῦλος « δι᾽ οὗ ἐλάλει τὸ πνεῦμα τὸ ἅγιον » εἶχε χρείαν (οὐχ ὁρᾷς;) προχείρων τινων (promptuarium), τουτέστι σημειωματικῶν ἀνθολογίων (ἢ σημειωματαρίων) εἰς μνήμης ἐπιβοήθημα πρὸς τὸ κήρυγμα τοῦ θείου λόγου, κατὰ τοὺς πρωτοπείρους ἱεροκήρυκας!

τερον, οἱ πανταχοῦ γῆς ἑλληνίζοντες Ἰουδαῖοι ἀνεγίνωσκον ἐν ταῖς Συναγωγαῖς τὸν νόμον καὶ τοὺς προφήτας κατὰ τὴν μίαν τότε καὶ μόνην ἑρμηνείαν τῶν Ο, τοῦτο καὶ αὐτοὶ συνομολογοῦσιν οἱ κριτικοί. Ἤδη δὲ πρὸς πάντας ὀρθοὺς λογισμούς, καὶ αὐτοὶ πρὸς ἑαυτοὺς ἰσχυρῶς ἀντιφάσκοντες, παριστάνουσι τοὺς μὲν Ἀποστολικοὺς Πατέρας ἀποπλανηθέντας τῆς περὶ τὴν ἑρμηνείαν ἱστορικῆς ἀληθείας, ὡς ἀταλαιπώρους καὶ λίαν ὀκνηροὺς περὶ τὴν ζήτησιν αὐτῆς γενομένους, τοὺς δὲ διαδόχους ἐκείνων κατόπιν ἅπαντας πλάνοις ἴχνεσιν ἰλαδὸν παρηκολουθηκότας! – Ἀλλ' ὦ σοφώτατοι ἀνδρῶν, εἴπερ οἱ τῶν Ἀποστόλων μαθηταί, καὶ πρὸς αὐτοῖς γενόμενοι τοῖς πράγμασι πλησιέστατοι, παρεξετράπησαν τῆς ἀληθοῦς ἱστορίας, τί λοιπὸν ἔπαθον, ὅσοι μετὰ τοσούτους ἀναστάντες αἰῶνας, ποδηγέτας δὲ καὶ διδασκάλους, ἀντὶ τῶν θείων Πατέρων, λήρους Ταλμουδοὺς παραλαβόντες, καί τινας ψυχῆς ἐμπαθοῦς καὶ δοκησισόφου νόθους λογισμοὺς ἀναπλάσαντες, ἐκαινοτόμησαν ἄλλην ἱστορίας ἀτραπὸν, ἐναντίον τῶν ὑπὸ πάσης μὲν τῆς ἀρχαίας Συναγωγῆς, ὑπὸ πάσης δὲ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἀνέκαθεν ὡμολογημένων; Οὗτοί εἰσι (νομίζομεν) οἱ πλανηθέντες πλάνην ἀληθινήν, καὶ περιπεσόντες εἰς ἀτοπίας πολλὰς καὶ στραγγαλιώδεις. Συμφωνοῦντες πρὸς οὓς λέγουσι Ῥαββίνους, ἀντιπεριπίπτουσι μὲν αὐτοὶ πολλάκις εἰς ἑαυτούς, ἀντιμάχονται δὲ καὶ πρὸς πάντας τοὺς ἀρχαίους Ἰουδαίους, καὶ ἰδίως πρὸς τὸν Ἰώσηπον, τὸν Φίλωνα, τὸν Ἀριστόβουλον, τὸν Ἀριστέαν αὐτόν. Διαβάλλοντες τὴν ἀποστολικὴν Ἐκκλησίαν ὡς ἠπατημένην περὶ τὴν ἀποδοχὴν τῆς τῶν θείων Γραφῶν ἑρμηνείας (ἐπειδή, ψευδῶς νενομισμένην ὡς ὅλην τάχα τῶν Ο, ὅλην αὐτὴν ὡς κυρίαν καὶ γνησίαν ἡ Ἐκκλησία παρεδέξατο καὶ ἐπίστευσε), κατεξανίστανται κατὰ τῆς ἀπλανοῦς ἁγιότητος αὐτῆς, «*ἥτις ἐστὶ στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας*». Ἐκσφενδονίζοντες, τέλος, τὴν μετάφρασιν ὅλων τῶν ἄλλων (πλὴν τῆς Πεντατεύχου) προφητικῶν βιβλίων, ἀόριστον καὶ σκοτεινὴν πλανωμένην εἰς οὓς λέγουσι πρὸ τοῦ Ἀκύλα χρόνους, καὶ μηδόλως ἔχοντες εἰπεῖν μήτε τὸν χρόνον τῆς ἑρμηνείας, μήτε τοὺς ἑρμηνεῖς, ἐσύ-

λησαν (ὅσον τὸ ἐπ᾽ αὐτοῖς) τὸ κῦρος τῶν προφητικῶν Γραφῶν (ὅπερ καί τινες τῶν παρ᾽ αὐτοῖς εὐλαβεστέρων ἀπεδιοπομποῦντο, φρίσσοντες δικαίως ὡς ἀποτρόπαιον) (α), καὶ δεινῶς προσέκρουσαν « *πρὸς τῷ θεμελίῳ τῶν Προφητῶν καὶ Ἀποστόλων* ». - Τὰς δὲ τῶν Μαρωνιτῶν περὶ τῆς Συριακῆς τῶν γραφῶν μεταφράσεως παχυλὰς μυθολογίας εἰς μάτην, μᾶλλον δὲ, καὶ καθ᾽ ἑαυτῆς ἐμνημόνευσεν ἡ τοῦ Ὀδίου πολυμάθεια. Οὔτε γὰρ τὴν ὑπὸ τῶν Ο, πασῶν τῶν Γραφῶν ἑρμηνείαν ἐκεῖνοι ἠρνήσαντο πώποτε, καὶ πρὸς ταύτης τὸ παράδειγμα προφανῶς φιλοτιμηθέντες τινες ἐξ αὐτῶν, πολλοὺς μετὰ Χριστὸν αἰῶνας, διεσκεύασαν τὸν μῦθον τῆς Συριακῆς ἑρμηνείας (περὶ ἧς λέγομεν ἀλλαχοῦ). Ὥστε καὶ ὁ μῦθος οὗτος εἰκονίζει τὴν ἀλήθειαν, καθὼς καὶ ὁ περὶ τῶν γραμματικῶν τοῦ Πεισιστράτου (κεφ. ς. §. ια, κε. σελ. 359, 400).

§. κβ. Ἔσχατον πρόμαχον οἱ ἄνδρες προβάλλονται τὸν μακάριον Ἱερώνυμον (§. η). Ἀλλ᾽ ὅσον περὶ τούτου, ἐπειδὴ καὶ οἱ περὶ τὸν Ὅδιον καταφρονοῦσι τοῦ Βαρονίου καὶ τῶν ἄλλων Δυτικῶν, ἀκουσάτωσαν τὸν αὐτοῖς ὁμόδοξον Βάλτωνα. « Καὶ αὐτός (φησιν) ὁ Ἱερώνυμος, καίτοι που φαινόμενος ὡς ἀμφιβάλλων, ἀλλ᾽ ὅμως ἐν τοῖς *εἰς τοὺς προφήτας* ὑπομνήμασι παρὰ τὴν (ἐκ τῆς ἑβραΐδος) λατινικὴν ἑρμηνείαν παρατίθησι κατὰ σειρὰς, ἢ στήλας ὑπαλλήλους, καὶ τὴν ἀρχαίαν τὴν ἐκ τῆς Ἑλληνίδος, ῥητῶς αὐτὴν ἐπιγράφων *κατὰ τοὺς* Ο· *καὶ* ταύτην ἐξηγεῖται, καὶ πανταχοῦ γνησίαν ἐκείνων ἐπιγινώσκει. Καὶ ἐν τῷ β, δὲ βιβλίῳ τῶν πρὸς Ῥουφῖνον, « Ἐγὼ (κράζει), ἐγώ που κατεῖπον κατὰ τῶν Ο, οὓς καθ᾽ ἑκάστην ἐν τῇ συνάξει τῶν ἀδελφῶν ἑρμηνεύω; Πᾶσαί μου αἱ πραγματεῖαι ταῖς τούτων μαρτυρίαις συνεξυφάνθησαν. Οἱ εἰς τοὺς ιβ προφήτας ὑπομνηματισμοί μου καὶ τὴν ἐμὴν (ἐκ τοῦ ἑβραϊκοῦ), καὶ τὴν τῶν Ο, περιέχουσιν ἑρμηνείαν ». Ἀλλαχοῦ δὲ πάλιν· « *Ἡ κοινὴ* (Vulgata) λέγει τῶν ψαλμῶν ἔκδοσις ἡ

---

(α) Wower. de LXX. p. 72. Ὅθεν ἐπῄνει καὶ ὁ Μάσιος τοὺς φρονοῦντας « μὴ μόνον τὴν Πεντάτευχον ἀλλὰ καὶ τὰς ἄλλας ἱστορικὰς βίβλους καὶ τὰς τῶν ἁγίων Προφητῶν ἑρμηνευθείσας ὑπὸ τῶν Ο ». Mas. Praef. in Jos.

αὐτή ἐστι καὶ ἡ τῶν Ο » (α). Ταῦτα περὶ Ἱερωνύμου λέγει Βάλτων (β). Πρόσθες, ὅτι καὶ πολλὰ χωρία τῶν Προφητῶν οὐ κατὰ τὸ Ἑβραϊκὸν ἀκράτως ἐξελατίνισεν ὁ Πατὴρ, ἀλλὰ μᾶλλον κατὰ τοὺς Ο, ὡς αὐτὸς ὁμολογεῖ (γ). Ἀλλὰ καὶ αὐτὴν τὴν περὶ τῆς ἑρμηνείας μόνης δῆθεν τῆς Πεντατεύχου παράδοξον γνώμην οὐχ ὡς οἰκείαν ἐξέφερεν, ἀλλ' εἰς ἄλλους μᾶλλον ἀποῤῥίπτει, εἰς τὸν Ἀριστέαν καὶ τὸν Ἰώσηπον, κρησφύγετον ἐν τούτοις ζητῶν πρὸς ἀπολογίαν περὶ ὧν αὐτὸς ἐκ τῆς Ἑβραΐδος ἡρμήνευσεν ἄλλως, ἢ ὡς ἔχουσιν οἱ Ο. Οὐδ' ἂν ἐξέπιπτεν εἰς τοιαύτην παραδοξολογίαν, εἴπερ ὀρθῶς κατενόει τὸν Ἀριστέαν καὶ τὸν Ἰώσηπον (ὡς ὤφειλεν ὁ μακάριος, ὁδηγούμενος ὑπὸ τοῦ Ἰουστίνου, καὶ Κλήμεντος τοῦ Ἀλεξανδρέως, καὶ μάλιστα τοῦ Ὠριγένους καὶ Εὐσεβίου, ὧν τὰς συγγραφὰς καὶ ἐπῄνει καὶ ἀντέγραφεν ἐν πολλοῖς). Νῦν δὲ τῆς Ἀριστέου καὶ Ἰωσήπου γνησίας ἐννοίας ἀπολειφθεὶς, καὶ νομίσας, ὅτι κἀκεῖνοι μόνην τὴν Πεντάτευχον ἱστοροῦσιν ἑρμηνευθεῖσαν ὑπὸ τῶν Ο, ἀμφεταλαντεύετο ἐνίοτε ζυγομαχῶν· καὶ νῦν μὲν τὴν Πεντάτευχον εὕρισκε μᾶλλον τῶν προφητικῶν συμφωνοῦσαν πρὸς τὸ κατ' αὐτὸν ἑβραϊκὸν (καίτοι καὶ ταύτης οὐκ ὀλίγας διαφορὰς πρὸς ἐκεῖνο παρατηρήσας)· νῦν δὲ πάλιν ὑπεῖχεν οὓς ἀμφίβολον πρός τινας τῶν κατ' αὐτὸν Ῥαββίνων ἀφορῶν, οἵτινες (ὁμοίως ἴσως κἀκεῖνοι τοὺς Ἰωσήπου λόγους παρεξηγοῦντες), προσετίθουν καὶ τοὺς ἰδίους ὀνείρους, ὡς δόξας τῆς Ἑβραΐδος σχολῆς. Ἀλλ' εἴπερ οὕτως ἐφρόνει ἡ ἐπὶ Ἱερωνύμου τῶν Ἰουδαίων σχολὴ, διέφερε λοιπὸν οὐ μόνον τῆς ἐπ' Ἀριστοβούλου καὶ Ἰωσήπου, ἀλλὰ δὴ καὶ αὐτῆς τῆς ἐπὶ τοῦ μάρτυρος Ἰουστίνου· καὶ λίαν ἐπλανᾶτο, « *ψηλαφῶσα τὸ μεσημβρινὸν ἴσα νυκτί* ». *Πεπαιδευμένους*

---

(α) Epist. ad Sun. et Fretel. — (β) Walt. Proleg. c. IX. §. 11. καὶ X. §. 7.

(γ) Οἷον εἰς τὸν Ἐκκλησιαστήν· « Sed et Hebraeo transferens, magis me τῶν Ο, Interp. consuetudine coaptavi » etc. (Prooem. in Eccles.). Περὶ τῶν ἐν τῇ λατινικῇ Βουλγάτᾳ τοιούτων ἀναμίξεων τοῦ ἑβραϊκοῦ πρὸς τοὺς Ο, καὶ τοὺς λοιπούς. βλ. Schaefer. Institut. Script. Part. I. Sect. I. c. 4, καὶ Dissertat. sur la Vulgate. — Walton Proleg. X. §. 9. sqq. — Carpzov. Crit. Sacr. II. c. VI. §. 3. pag. 679.

δὲ λέγων ὁ Ἱερώνυμος, ἐνόει πάντως τοὺς περὶ τὸν Ἀριστέαν καὶ τὸν Ἰώσηπον (ὡς καὶ Βάλτων ἐξεδέξατο τὴν φωνήν). Ἡ δὲ φίλερις Ὀδίου ἀντιλογία συναρπάσασα τὴν λέξιν, ἐξελέπισεν ἡμῖν ἐξ αὐτῆς, ὡς ὄρνις ἐξ ὠῶν, ἢ ἐκ σίμβλου μέλισσα, σμῆνος ἀνωνύμων πεπαιδευμένων (ἀδιορίστως, Ἰουδαίων τε καὶ Χριστιανῶν), οἵτινες ἐπὶ τοῦ Ἱερωνύμου συνωμολόγουν τὴν τοιαύτην ἀλήθειαν! Οὕτως ὁ δίκαιος κριτικὸς τοὺς μὲν ὀνομαστοτάτους τῶν θείων τῆς Ἐκκλησίας Πατέρων ἀπεσκυβάλισεν, ὡς πεπλανημένους· πλάττει δὲ πιστοὺς τῆς ἀληθείας ἴδμονας ἀνθρώπους, ὧν οὐδὲ τὰ ὀνόματα προφέρειν ἐπίσταται. Καὶ παρακατιὼν δὲ πάλιν εἰσάγει καὶ ἄλλους ἀνωνύμους Πατέρας δῆθεν τῆς Ἐκκλησίας (ὧν τὸ κῦρος σέβεται παρὰ πολύ!), συνεξηγοῦντας μετὰ τοῦ Ἱερωνύμου τὴν Ἠσαΐου ῥῆσιν ὡς προφητεύουσαν διὰ τῶν Ε, τῆς Αἰγύπτου πόλεων, μόνης τῆς Πεντατεύχου τὴν ἑρμηνείαν! Ἀλλ᾽ ὁ μὲν Ἱερώνυμος αὐτός τε ἠλληγόρησε, « καὶ οἱ *πλεῖστοι* (λέγει) τῶν *ἡμετέρων*, εἰς τὰς *πέντε αἰσθήσεις* τὰς πέντε τοῦ προφήτου πόλεις ἀλληγοροῦσιν » (α). Ἔπειτα δὲ μνημονεύει καὶ τὴν γνώμην *τῶν ἀνωνύμων*, ὅσοι τὸ προφητικὸν ῥητὸν ἠλληγόρουν εἰς τὴν ἑλληνικὴν ἑρμηνείαν τῆς Πεντατεύχου (καίτοι μὴ πάνυ πιθανῶς· ἡ γὰρ τῶν Ἑλλήνων γλῶσσα διαφέρει παρὰ πολὺ τῆς τῶν Χαναναίων, ἣν ὠνόμασεν ὁ προφήτης λέγων, « *Ἔσονται πέντε πόλεις ἐν Αἰγύπτῳ λαλοῦσαι τῇ γλώσσῃ τῇ Χαναναίτιδι* »). Ἀλλ᾽ ἐν τούτοις οὔτ᾽ ἐκεῖνοι οἱ ἀνώνυμοι, οὔτ᾽ αὐτὸς ὁ Ἱερώνυμος ἀπέκλειον, οὐδ᾽ ἠρνοῦντο καὶ τῶν ἄλλων βίβλων τῆς Γραφῆς τὴν ἐν Ἀλεξανδρείᾳ ὑπὸ τῶν Ο, μετάφρασιν (ὡς προσεσημείωται σελ. 415). *Πέντε* πόλεις εὕρηκαν παρὰ τῷ Προφήτῃ, εἰς τὴν Πεντάτευχον αὐτὰς ἠλληγόρησαν (ταύτην προτιθέντες ὡς κεφάλαιον τῶν ἄλλων Γραφῶν). Εἰ δὲ τὰς πόλεις εὕρισκον *δώδεκα*, φέρ᾽ εἰπεῖν, ἢ *δύω καὶ εἴκοσι* μνημονευομένας, ἐφήρμοζον ἂν πάλιν εἰς αὐτὰς τὸ *Δωδεκαπρόφητον*, ἢ καὶ *πάσας*

---

(α) Hieron. Com. in Esai. c. XIX. p. 172. Tom. 2. Paris 1609.

τὰς κβ, *κανονικὰς βίβλους τῆς Γραφῆς*. Οὕτως ἄλλοι πάλιν καὶ παλαιοὶ καὶ νεώτεροι τὰ, κατ᾽ ἄλλην τινα (συνήθη καὶ παρ᾽ Ἑβραίοις) διαίρεσιν, ΚΔ ἀριθμούμενα τεύχη τῆς παλαιᾶς Διαθήκης, παρέβαλον πρὸς τοὺς ΚΔ πρεσβυτέρους τῆς ἱερᾶς Ἀποκαλύψεως (δ, α) (α). Σημείωσαι πρὸς τούτοις, ὅτι καὶ αὐτοὶ οἱ τὴν *Πεντάπολιν* εἰς τὴν *Πεντάτευχον* μεταλαβόντες, οὐ *Πεντάτευχον* αὐτὴν ὠνόμασαν ἀλλὰ *Νόμον*, συμπεριλαμβάνοντες δηλονότι ὑπὸ τὰς κεφαλαιώδεις *πέντε* καὶ τὰς ἄλλας βίβλους τοῦ ἱεροῦ κώδηκος. Ὅτι δὲ καὶ αὐτὸς ὁ Ἱερώνυμος Νόμον εἶπε πολλαχοῦ καὶ πᾶσαν τὴν Γραφὴν, προείρηται ἀνωτέρω (§. β. σημ.) καὶ ἄλλοι δὲ τοὺς οβ, φοίνικας ἠλληγόρησαν εἰς τὰ ἰσάριθμα βιβλία τῆς παλαιᾶς καὶ νέας Διαθήκης (βλ. ὄπισθ. 227). Κᾀκεῖνο δὲ προσθετέον. Ὁ Ἱερώνυμος καὶ τὸ « *θέλω δὲ πέντε λόγους* » κτλ. (α. Κορινθ. ιδ, 19) εἰς τὴν Πεντάτευχον ἠλληγόρησε « ταύτην λέγων εἶναι *τοὺς πέντε λόγους*, οὓς ἐκαυχᾶτο θέλειν ἐν τῇ Ἐκκλησίᾳ λαλεῖν ὁ Ἀπόστολος » (β). Λέγων δὲ τὴν Πεντάτευχον ὁ Πατὴρ, συνυπενόει πάντως καὶ τὰς ἄλλας βίβλους τῆς Γραφῆς (ἃς εὐθὺς ἐφεξῆς ἐν τῷ αὐτῷ χωρίῳ προσαριθμεῖ). Ἢ μήπως ἤθελεν ἡμῖν παραστῆσαι τὸν Ἀπόστολον ἐκ μόνης τῆς Πεντατεύχου θέλοντα διδάσκειν ἐν τῇ Ἐκκλησίᾳ, οὐχὶ δὲ καὶ ἐκ τῶν Προφητῶν; Ἀλλ᾽ ὁ σοφὸς Ὅδιος ἀπὸ τοιούτων ὁρμώμενος συλλογισμῶν, ἠδύνατο καὶ ἄλλα κατασκευάσαι θαυμαστότερα. Οἷον, τὰ Δ Εὐαγγέλια προσηγόρευσεν ὁ θεῖος Χρυσόστομος « *τετράπωλον ἅρμα τῶν Εὐαγγελιστῶν*, ἀλληγορῶν εἰς αὐτοὺς τὸ τετράμορφον ὁμοίωμα τῆς προφητικῆς ἐκείνης ὁράσεως (Ἰεζεκ. α, 4, κτλ. πρβλ. Ἀποκαλ. δ, 7). Καὶ ἄλλοι δὲ τῶν Πατέρων ὡσαύτως ἠλληγόρησαν (γ)· οἱ δέ τινες καὶ τοὺς δ, ποταμοὺς τοῦ

---

(α) Βλ. Hotting. Thes. Phil. p. 102. — (β) S. Hieron. Epist. 103. ad Paulin. T. 1. p. 1010. Ὁ δὲ Ἔρασμος (καὶ ἴσως οὐκ ἀδίκως) βεβιασμένην ἔκρινε τὴν ἀλληγορίαν (αὐτόθ. Schol. Victor.). Βλ. Θεοδώρητ. Θεοφύλακτ. Οἰκουμέν. ἑρμην. εἰς α, Κορινθ. αὐτόθ.

(γ) Χρυσόστ. ὁμιλ. ρκβ.—Ἀθανάσ. Συνόψ. τόμ. β. σελ. 155.— Θεοφύλ. εἰς Μάρκ. σελ. 190· κτλ. Sedulius lib. I. p. 51. κτλ. (πρβλ. Suicer. Thes. T. 1· p. 1234).

παραδείσου εἰς τὴν τετρακτὺν τῶν Εὐαγγελίων ἀνῆγον. Ἠδύνατο λοιπὸν ὁ κριτικὸς καὶ ἐκ τούτων τῶν Γραφικῶν ἀλληγοριῶν ἐπίσης συναγαγεῖν, ὅτι πλὴν τῶν Δ, Εὐαγγελίων οὐδὲν ἕτερον τῶν θεοπνεύστων τῆς καινῆς Διαθήκης βιβλίων ἐνόμιζον οἱ Πατέρες ὑπὸ τῶν Ἀποστόλων συγγεγραμμένον! Αὐτὸς ὁ Ἱερώνυμος καὶ τὰς παρὰ τῷ Ἰεζεκιὴλ (μ, 42) *τέσσαρας τραπέζας* ἠλληγόρησεν εἰς τὰ ὀνόματα τῶν Δ Εὐαγγελιστῶν (α)· μήπως φαίνεται παρὰ τοῦτο μηδεμίαν ἄλλην τῶν ἀποστολικῶν ἀποδεχόμενος συγγραφῶν; Ἀλλὰ παύομεν τὸν περὶ τούτου λόγον, ἓν ἔτι μόνον προσθέντες· ὅτι « *Ἔαρ χελιδὼν οὐ καθίστησιν μία* »· καὶ εἷς καὶ μόνος τῶν ἁγίων τῆς Ἐκκλησίας πατέρων, ὁ Ἱερώνυμος, οὐ δύναται κατισχύσαι τῶν ἐκφαντορικῶν καὶ θεοφθόγγων στομάτων ὅλου τοῦ πανσέπτου τῆς ἀληθείας χοροῦ, καθ' ὅσα πρὸς τοῦτον φαίνεται διαφωνῶν (ὡς, εἰ καὶ μὴ ὧδε, ἀλλ' ἐν ἄλλοις εἴωθεν), ἀνθρώπινα πάσχων, καὶ αὐτὸς δὲ πρὸς ἑαυτὸν ἀντιφάσκων, καὶ πάλιν τὰ χείρω τοῖς κρείττοσι διορθῶν, ὡς ὀψόμεθα καὶ ἀλλαχοῦ (Κεφ. Ι. §. κβ).

§. κγ. Ἐφεξῆς ὁ Ὅδιος (§. θ) ἀντιλέγων πρὸς τοὺς περὶ τὸν Μάσιον καὶ τοσούτους ἄλλους νεωτέρους ἄνδρας, εἰ μὴ καὶ μᾶλλον, ἀλλ' οὐχ ἧσσον αὐτοῦ κριτικοὺς καὶ πολυμαθεῖς (ὅσοι δηλαδὴ καὶ ἐκ τῆς τοῦ Φιλαδέλφου φιλοτιμίας τε καὶ φιλομαθείας ἀποδεικνύουσιν ἑπομένην τὴν ἑρμηνείαν μὴ μόνον τῆς Πεντατεύχου ἀλλὰ καὶ τῶν λοιπῶν ἑβραϊκῶν γραφῶν), πρὸς τούτοις ἀντιλέγων, οὐδὲν εἶπε πρὸς ἔπος. Ἀντιτάσσει τοὺς ἀρχαίους ἑλληνιστὰς Ἰουδαίους (τὸν Ἀριστόβουλον καὶ Φίλωνα καὶ Ἰώσηπον), ἀλλὰ τούτους ἴδομεν τἀναντία μαρτυροῦντας. Ἀπορεῖ, πῶς ὅλων τῶν βιβλίων τῆς Γραφῆς ἑρμηνευθέντων, ἔπειτα πάντες οἱ παλαιοὶ Ἰουδαῖοι, καὶ Ἀλεξανδρινοὶ καὶ Ἱεροσολυμῖται καὶ Ταλμουδικοί, τοσοῦτον ἐπλανήθησαν, ὥστε νομίσαι μόνην τὴν Πεντάτευχον ἑρμηνευθεῖσαν ἐπὶ τοῦ Φιλαδέλφου, καὶ τὸ ἄπορον τοῦτο (λέγει

---

(α) S. Hieron. Com. in Ezech. XL. p. 948. tom. 2.

χαριέντως). « *Δηλίου δεῖται κολυμβητοῦ* ». Ἀλλ᾽ οὐ Σφιγγὸς τὸ αἴνιγμα· οὐδὲ Δηλίου κολυμβητοῦ, ἢ καὶ Καλυμνίου, καί τινος τῶν ἀπὸ Σύμης σπογγοδίφου χρήζει πρὸς εὕρεσιν καὶ ἐπίλυσιν· νοῦ δὲ μόνον κοινοῦ, καὶ ἧττον ὑπεροπτικῆς ἐπιστασίας εἴς τε τῶν ἀρχαίων ἑλληνιστῶν Ἰουδαίων τὰς συγγραφὰς, καὶ τῶν ἱερῶν Πατέρων τὰς ὁμοφώνους μαρτυρίας. Ὅστις τούτους μετὰ προσοχῆς ἀναγινώσκει, βλέπει τὴν ἀλήθειαν. Εἰ δέ τινες τῶν μεταγενεστέρων Ῥαββινίσκων παραληροῦσιν, οὐκ ἐπιστρέφεται, πέμπει δὲ τούτους εἰς κωνείου ῥιζοτομίαν ἀμελλητί. Καὶ ὀρθῶς ἄρα μετὰ πολλῶν καὶ ἄλλων νεωτέρων σοφῶν καὶ ὁ Ὑέτιος *πρόῤῥιζον ἀνεσπασμένην* ἀνεκήρυξε καὶ *συντετριμμένην* τὴν γνώμην, ἥτις θέλει τὴν Πεντάτευχον μόνην ἐξελληνισθεῖσαν ὑπὸ τῶν Ο (α).

§. κδ. Σφόδρα τὸν Ὅδιον ἤρεσε καὶ ὁ διορισμὸς τοῦ χρόνου, καθ᾽ ὃν εἰσήχθη (λέγει) τὸ πρῶτον ἐν ταῖς Συναγωγαῖς ἡ ἀνάγνωσις τῶν Προφητῶν, δηλονότι μετὰ τὸν ὑπ᾽ Ἀντιόχου διωγμόν (§. ι). Ἀλλ᾽ ὁ πρῶτος ταῦτα χρονολογήσας Ἰουδαῖος (Ἠλίας ὁ Λευΐτης, εἷς τῶν νεωτέρων Ῥαββίνων) οὐδεμίαν ἔχει πάροδον εἰς τὸν χορὸν τῶν συγγραψάντων *χρόνων ἀναγραφὰς*, ὡς μῦθον πλάττων, ἄσχημον σεσηρότα, καὶ προφαίνοντα τοῦ ψεύδους τὰς ῥυτίδας. Ὅθεν καὶ τὴν τούτου γνώμην ὡς μυθώδη καὶ νόθον ἀπέῤῥιψαν ἄνδρες ἐπισημότατοι μεταξὺ τῶν νεωτέρων κριτικῶν (β). Οὐδ᾽ ὠφέλησε τὸν Λευΐτην ὁ Βερθόλδυς, Ὀδίῳ συμφωνήσας, καὶ κατασπασάμενος καὶ αὐτὸς ὡς ὀρθὴν τὴν τοῦ Ῥαββίνου γνώμην (γ), ἥτις πανταχόθεν ἐξελέγχεται ἀπίθανος. Καὶ γὰρ, α) Ὁ Ἀντίοχος ἀναγκάζων τοὺς Ἰουδαίους πρὸς ἀλλοφυλισμὸν, ἀφήρει τούτους πάντως πᾶν βιβλίον ἱερὸν, δι᾽ οὗ πρὸς τὴν πάτριον θρησκείαν ᾠκοδομοῦντο. Εἰ δὲ τὸν Νόμον ἠφάνιζε, πολὺ μᾶλλον ἔμελλε καὶ τοὺς Προφήτας συναφανίζειν. Ἢ μήπως οἱ Προφῆται ἄλλο τι τοὺς Ἰουδαίους

(α) Huet. Demonst. Evang. Prop. IV. p. 293. T. 1.

(β) Vitringa in Observat. Sacr. c. VIII. — Carpzov. Crit. Sac. pag. 148. — Reinhard. de version. Alex. pag. 13. — Herbst, l. c. p. 77.

(γ) Berthold's Einleitung. etc. I. Bd. pag. 203.

παρὰ τὰ τοῦ Νόμου ἐδίδασκον καὶ τὰς θείας ἐπαγγελίας; - β) Ἐπὶ τοῦ διωγμοῦ ἐκείνου, ἢ ἦσαν δεδημοσιευμένα εἰς κοινὴν χρῆσιν καὶ τὰ προφητικὰ, ἢ ἔκειντο εἰσέτι ἀπόθετα καὶ ἀδημοσίευτα. Ἀλλ' εἰ μὲν τὸ πρῶτον· κατέτρεχε λοιπὸν ὁ Ἀντίοχος οὐχ ἧττον καὶ τὰ προφητικὰ, « καὶ πᾶσαν ἱερὰν βίβλον » (ὡς μετ' ὀλίγον ὁ Ἰώσηπος μαρτυρήσει). Εἰ δὲ πάλιν τὰ τῶν Προφητῶν ὑπῆρχον εἰσέτι ἀδημοσίευτα, πῶς λοιπὸν ἐν μέσῳ τῆς ταραχῆς ἐκείνης καὶ συμφορᾶς ἠδυνήθησαν οἱ Ἰουδαῖοι κατὰ τὴν Παλαιστίνην εὑρεῖν ἀντίγραφα τῶν Προφητῶν, καὶ τούτων περικοπὰς ὁρίσαι καὶ διατάξαι εἰς δημοσίαν καὶ θρησκευτικὴν ἀνάγνωσιν; Καὶ ταῦτα, αὐτογνωμόνως καὶ χωρὶς θεσπίσματος τῆς μεγάλης Συναγωγῆς; Τότε δὲ καὶ ὁ ναὸς ὑπῆρχε βεβηλωμένος, καὶ ἀρχιερεὺς ἦν ὁ μιαρὸς Μενέλαος, καὶ πρὸ τούτου Ἰάσων, ὁ τὰ πάτρια προδεδωκὼς, καὶ θύων τοῖς εἰδώλοις (Α, Μακ. α, 54: Β, δ, 10-20: κτξ.)-γ). Ὁ Μακκαβαῖος Ἰούδας, ἀνέλαβε τὴν πόλιν τῶν Ἱεροσολύμων καὶ τὸν ναὸν ἐκαθάρισε μετὰ τριετίαν ἀπὸ τῆς βεβηλώσεως αὐτοῦ, καὶ ἐτήσιον διέταξε τῶν ἐγκαινίων ἑορτήν (Α. Μακκ. δ, 36-59)· τί μὴ πάλιν διέταξε καὶ τὸ ἀρχαῖον ἔθος τῆς ἀναγνώσεως μόνης τῆς Πεντατεύχου; ἢ μήπως ἠβουλήθη καταλιπεῖν καὶ τὰς δι' ὀλίγων ἐτῶν εἰσαχθείσας περικοπὰς, ἢ *Χαφθάρας*, τῶν προφητῶν, εἰς διηνεκῆ καὶ ἐπονείδιστον ἀνάμνησιν τοῦ δι' ὃν εἰσήχθησαν διωγμοῦ; - δ). Ὁ μὲν Ἀντίοχος ἐδίωκε μόνον (καθὼς λέγουσι) τὸν Νόμον ἐν τῇ Παλαιστίνῃ. Οἱ δ' ἐν Αἰγύπτῳ Ἰουδαῖοι ποῖον εἶχον φόβον ὑπ' Ἀντιόχου, ἵνα διατάξωσι καὶ αὐτοὶ τὰς προφητικὰς περικοπὰς εἰς δημοσίαν ἀνάγνωσιν, ἐν ᾧ εἶχον ἀνεμπόδιστον τὴν τοῦ Νόμου; Καὶ ἐστράτευσε μὲν ὁ Ἀντίοχος δὶς κατὰ τῆς Αἰγύπτου· ἀλλ' ὅμως, πρὶν ἢ στρατεύσῃ κατὰ τῶν Ἱεροσολύμων, καὶ κινήσῃ τὸν κατὰ τῶν Ἰουδαίων διωγμόν. Καὶ στρατεύσας δὲ κατὰ τῆς Αἰγύπτου, οὐκ ἐκράτησε τῆς Ἀλεξανδρείας (α). Ὅθεν οὐδ' εἰς ἀνάγκην ἦλθον οἱ κατ' Αἰγυ-

(α) Βλ. Α. Μακκ. α. 43 κτλ. Β. Μακκ. ε. 1. — Ἰώσ. Ἀρχ. ιϐ, ε, 2. — Πολύϐ. πρεσϐ. 78, 81. — Liv. L. 45, c. 12. — Champollion-Fig. Ann. des Lagides T. 2. p. 129. sqq.

πτον Ἰουδαῖοι καινοτομῆσαι περὶ τὴν πάτριον ἀνάγνωσιν τῶν Γραφῶν. Καὶ ἄλλας δὲ δείξεις ἐφεξῆς ὁ λόγος προσεπιμετρήσει περὶ τοῦ πλάσματος τῆς ἐπ᾽ Ἀντιόχου δῆθεν εἰσαχθείσης ἀναγνώσεως τῶν Προφητῶν. Παρίτω δὲ καὶ ὁ σοφὸς Καρψόβιος λέγων ἐπὶ λέξεως ταῦτα. « Ὅσον εὔμορφος ἐπλάσθη οὗτος ὁ μῦθος, οὐδεμιᾷ μαρτυρίᾳ τῶν ἀρχαίων προσεμπεδοῦται, καὶ αὐτὸς καθ᾽ ἑαυτὸν οὐχ ἑνί τινι μέρει φαίνεται πονῶν. Αὐτίκα ἐν τῇ Α, τῶν Μακκαβαίων (α, 56—57) οὐ μόνον καθ᾽ ἑνὸς βιβλίου, *τοῦ Νόμου*, μανεὶς ὁ Ἀντίοχος ἱστορεῖται, ἀλλὰ καθ᾽ ὅλης τῆς Γραφῆς. « Καὶ τὰ βιβλία (λέγει) τοῦ νόμου ἐνεπύρισαν πυρὶ, κατασχίσαντες. Καὶ ὅπου εὑρίσκετο παρά τινι *βιβλίον τῆς διαθήκης*, καὶ εἴτις συνηυδόκει *τῷ νόμῳ*, τὸ σύγκριμα (*διάταγμα*) τοῦ βασιλέως ἐθανάτου αὐτόν ». ΒΙΒΛΙΟΝ δὲ ΤΗΣ ΔΙΑΘΗΚΗΣ ἀναμφιβόλως ὁλόκληρός ἐστιν ὁ κώδηξ τῶν ἱερῶν Γραφῶν » (βλ. ὄπισθ. σελ. 424· τὸ δ᾽ αὐτὸ σημαίνει καὶ τὸ προηγούμενον, *τὰ βιβλία τοῦ νόμου*). « Καὶ ἄλλως δέ (φησιν) ὁ Ἀντίοχος, ὅστις τοῦτο μάλιστα ἐσπούδαζεν, ὅπως διὰ τῆς ἀπαγορεύσεως τοῦ νόμου ἀποστρέψῃ τοὺς Ἰουδαίους ἀπὸ τῆς λατρείας καὶ ἐπιγνώσεως τοῦ ἀληθινοῦ Θεοῦ εἰς τὴν μιαρὰν τῶν ἐθνικῶν δεισιδαιμονίαν, οὐδόλως φαίνεται πιστευτὸν, ὅτι συνεχώρησεν αὐτοῖς ἐλευθέραν καὶ ἀζήμιον τὴν δημοσίαν ἀνάγνωσιν τῶν Προφητῶν. Ὅθεν ἐγγυτέρω (λέγει) τῆς ἀληθείας ἐπλησίασεν ὁ Βιτρίγγας, ἀναγαγὼν τὴν ἀρχὴν τῆς δημοσίας ἀναγνώσεως τῶν Προφητῶν εἰς τὸν μείζονα ζῆλον καὶ τὴν θερμοτέραν τῶν Ἰουδαίων σπουδὴν, ὅσην ἐπεδείξαντο μετὰ τὴν ὑπὸ τῶν Μακκαβαίων ἀποκατασταθεῖσαν πάτριον πολιτείαν, ἀναζητοῦντες, ἀθροίζοντες, ἀνακρίνοντες πάντα τὰ ἱερὰ βιβλία τῆς ἐπὶ τοῦ Ἔσδρα ἀνακαινισθείσης Γραφῆς. Ἐπειδὴ δ᾽ ἐπέγνωσαν τά τε τοῦ Μωσέως καὶ τὰ προφητικὰ τεύχη μίαν καὶ τὴν αὐτὴν ὑπόθεσιν πραγματευόμενα, καὶ πρὸς τὸν αὐτὸν ἀφορῶντα σκοπὸν, ἔκριναν ἀμφότερα συνάψαι ἐν ταῖς κατὰ πᾶν σάββατον καὶ τὰς ἄλλας ἑορτὰς δημοσίαις ἀναγνώσεσι » κτλ. Τοιαῦτα ὁ Καρψό-

διος (α). Ἀλλ' ἡμεῖς ἀποροῦμεν, πῶς τὸν ἔτι νεωτέραν τοῦ κατ' Ἀντίοχον διωγμοῦ χρονολογοῦντα τὴν ἀρχὴν τῆς τῶν προφητῶν ἀναγνώσεως, πολυμαθέστατον Βιτρίγγαν, εὕρηκεν ἐγγύτερον τῆς ἀληθείας γενόμενον ὁ Καρψόδιος, ἀφ' οὗ πρῶτον αὐτὸς εἶπε (καὶ εἶπεν ὀρθῶς), ὅτι τὸ ὑπ' Ἀντιόχου διωκόμενον *βιβλίον τῆς Διαθήκης* ὑπῆρχεν *ὁλόκληρος ὁ κώδηξ τῶν Γραφῶν*! Μὴ γὰρ ἐκ τοῦ κώδηκος οὐκ ἀνεγίνωσκον δημοσίᾳ καὶ τοὺς προφήτας ὡς καὶ τὸν νόμον; καὶ πῶς λοιπὸν ὁ κώδηξ ὠνομάζετο *βιβλίον τῆς Διαθήκης*; Ἔπειτα καὶ ἄλλως, ὁ Βιτρίγγας ὀψέ ποτε εἰσάγει τοὺς Ἰουδαίους ἐπιγνόντας τὴν πρὸς τὰ προφητικὰ συμφωνίαν τῶν Μωσαϊκῶν τευχῶν (μετὰ τὴν ὑπὸ τῶν Μακκαβαίων, λέγει, ἀποκατάστασιν τῆς πολιτείας!). Ἀνέκρινον μὲν γὰρ (καὶ μάλιστα μετὰ τοὺς πολέμους) καὶ ἐπισυνῆγον, καὶ ἐξήταζον ἐπιμελῶς τὰς ἱερὰς βίβλους, μή τις ἐν αὐταῖς συνέβη διαφθορὰ, κατὰ μεταβολὴν, ἢ προσθήκην, ἢ ἀφαίρεσιν. Ἀλλ' ἡ τῶν προφητικῶν βίβλων συμφωνία ὑπῆρχε παρ' αὐτοῖς ἔκπαλαι γνωστή. Ἢ ποῦ μένει λοιπὸν ἡ ἐπὶ τοῦ Ἔσδρα διάταξις τῶν θείων κεκριμένων καὶ ἐπίσης θεοπνεύστων κανονικῶν Γραφῶν;

§. κε. Διὰ ταῦτα (ἐάν τι λέγωμεν), ἴσως ἂν οἱ ἄνδρες οὗτοι πολὺ μᾶλλον πρὸς τὴν ἀλήθειαν ἐπλησίαζον, εἴγε τὴν ἀρχὴν τῆς ἐν ταῖς Συναγωγαῖς ἀναγνώσεως τῶν προφητῶν εἰς ἔτι παλαιοτέρους χρόνους ἀνῆγον, καὶ ἀμέσως μετὰ τὴν ὑπὸ τοῦ Ἔσδρα ἔκδοσιν τοῦ κανόνος, τῶν θεοπνεύστων Γραφῶν (β). Ἐν τῷ Ἔσδρᾳ οὐδὲν ἕτερον βλέπομεν ἀναγινωσκόμενον δημοσίως, εἰ

---

(α) Carpzov. Crit. Sacr. p. 148, 149, καὶ Camp. Vitringa de Synagog. Veter. Lib. 3. par. 2. c. 10.

(β) «Ἐκ γενεῶν ἀρχαίων» εἰθισμένην τὴν ἐν ταῖς συναγωγαῖς κατὰ σάββατον ἀνάγνωσιν τοῦ Μωσέως, καὶ τῶν ἄλλων ἱερῶν βιβλίων ὑπέλαβον καὶ οἱ περὶ τὸν Φαβρίκιον (βλ. Fabric. Bibliograph. antiq. c. XI. §. 18. p. 531.). Ἀπὸ τῶν Ἔσδρα χρόνων μετὰ τῶν τοῦ νόμου περικοπῶν καὶ προφητικάς τινας περιοχὰς ἀναγινωσκομένας κατὰ πᾶν σάββατον ἔκρινεν ὀρθῶς καὶ ὁ κλεινὸς Γρότιος Annot. ad Act. Apost. c. 13. 15). βλ. καὶ ἐφεξ. §. κζ.

μὴ τὸ *βιβλίον τοῦ νόμου* (τὴν Πεντάτευχον), κατὰ τὴν θείαν τοῦ Μωσέως διαταγήν (α). Ἀλλ᾽ ὡσαύτως παρὰ τῷ Ἔσδρᾳ οὐδὲν ἀναφέρεται ῥητῶς, οὐδὲ περὶ τοῦ παρ᾽ αὐτοῦ θεσπισθέντος, καὶ ὑπὸ τοῦ μεγάλου Συνεδρίου κυρωθέντος κανόνος τῶν ΚΒ θεοπνεύστων Γραφῶν, ἐν αἷς εἰσι καὶ οἱ Προφῆται. Ὅτι δὲ καὶ πρὸ τοῦ κανόνος, καὶ πρὸ τῆς μετοικεσίας ἀνεγίνωσκον, ἢ ἔψαλλόν τινας περικοπὰς ἐκ τῶν προφητικῶν βίβλων, φαίνεται ἐκ τοῦ ἐφεξῆς. Ὁ Ἰώσηπος ἱστόρησε τοὺς ψαλμοὺς τοῦ Δαβὶδ *κατὰ πᾶν σάββατον καὶ τὰς ἄλλας ἑορτὰς ψαλλομένους*, ἔτι ζῶντος τοῦ Προφητάνακτος (Ἀρχ. ζ, ιβ, §. 3). Καὶ βλέπομεν σαφῶς ἔν τε ταῖς *Βασιλείαις* κἀν τοῖς Παραλειπομένοις ᾀδομένους τινας τῶν ψαλμῶν τοῦ Δαβίδ, καὶ τοὺς ὑπ᾽ αὐτοῦ διαταχθέντας ἱεροψάλτας « ὑμνῳδοῦντας ἐν οἴκῳ Θεοῦ, καὶ τὸν Κύριον ὑμνοῦντας ἐν λόγοις *Δαβὶδ καὶ Ἀσὰφ τοῦ προφήτου* » (β). Καὶ αὐτὸς δὲ ὁ τὴν αἰχμαλωσίαν αὐτῶν διαγράφων ρλϛ ψαλμὸς μαρτυρεῖ, ὅτι καὶ πρὸ τῆς μετοικεσίας ᾖδον οἱ Ἰουδαῖοι *λόγους ᾠδῶν*, δηλονότι προφητικάς τινας ᾠδὰς εἰς Θεόν· « Πῶς ᾄσομεν (λέγει) *τὴν ᾠδὴν Κυρίου* ἐπὶ γῆς ἀλλοτρίας; ». Ὅτι δὲ καὶ ἐκ τῆς Πεντατεύχου τινὰς ᾠδὰς ἔψαλλον, φανερόν· ἔψαλλον δὲ πιθανῶς καὶ τὴν Δεβόῤῥας

---

(α) Δευτερ. λα, 9—14. πρβλ. ϛ, 3—13. Ἰησ. α, 7—8: θ, 35. βλ. καὶ τὰ Φίλωνος καὶ Ἰωσήπου ἐν τοῖς προηγηθεῖσι. Περὶ δὲ τῆς διαιρέσεως τῶν κατὰ σάββατον ἀναγνωσμάτων τοῦ νόμου, βλ. Huet. Dem. Ev. Prop. IV. 1—6. — Pfeiffer Crit. Sacr. I. 4. p. 22. — Carpzov. l. c. p. 143. πρβ. καὶ Jahn Einl. I. p. 364.

(β) Β. Βασιλ. κβ: Α, Παραλ. ιϛ, 8: κε, 1—16: Β, Παραλ. κθ, 30: βλ. καὶ Νεεμ. ιβ, 36, κτλ. πρβλ. τὰ Κρυσίου παρὰ Schimid. l. c. p. 267. καὶ Schulz Schol. in V. T. vol. 4. pag. 359, 367, 370. Καὶ τὰς προφητικὰς δὲ περικοπὰς (ἢ Χαφθάρας) πολλοὶ θέλουσι ψευδῶς, ὡς δῆθεν ὡρισμένας ἐξ ἀρχαίας διαιρέσεως, φέροντες εἰς δεῖξιν τὸ τοῦ θείου Λουκᾶ (δ, 17). Ἀλλ᾽ ἐκ τούτου πᾶν τοὐναντίον φαίνεται, « Ἐπεδόθη (φησὶν) αὐτῷ βιβλίον Ἠσαΐου — καὶ ἀναπτύξας εὗρε τὸν τόπον » κτλ. Ὥστε ὀρθῶς ἔκριναν οἱ περὶ τὸν Ἰάννην (Jahn Einleit. I, 366), ὅτι ὁ μὲν Ἀρχισυνάγωγος, ὡς φαίνεται, διώριζε τὸν προφήτην· ὁ δ᾽ ἀναγνώστης αὐτὸς ἀναπτύσσων τὸ βιβλίον, ἀνεγίνωσκεν, ὅπερ ἐκλέγων, ἔκρινεν ἀναγνωστέον χωρίον (ἤτοι περιοχὴν, περικοπήν· τοῦτο γὰρ ὁ τόπος, ὡς καὶ τὸ συνηθέστερον χωρίον σημαίνει. καὶ λατ. locus). Ὥστε φαίνεται καὶ ὁ ἀναγνώστης τὸ πάλαι πρόσωπον οὐκ ἄσημον (βλ. ἐφεξ. §. κζ.)

ᾠδὴν (Κριτ. ε), ἴσως καὶ τὴν τῆς Χάριτος Ἄννης (ὡς εἶπε Φίλων), καὶ τὴν Ἰωνᾶ (Ἰων. β), καὶ τὴν Ἀββακοὺμ (Ἀββ. γ), καὶ εἴ τινας ἄλλας ἐκ τῶς ἀρχαιοτέρων Προφητῶν. Ἴσως δὲ καί τινα τοῦ Σολομῶντος (α). Μετὰ δὲ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπιστροφὴν, ἐκδοθέντος ἤδη τοῦ κανόνος τῶν θείων βιβλίων, εἰσήχθησαν καὶ ἄλλα τῶν Προφητῶν ἀναγνώσματα, ὧν τὰς θείας βίβλους καὶ κατὰ μέρος ἐμελέτων, ὡς ὁ Τωβὶτ τὰς Ἰωνᾶ προφητείας (Τωβ. ιδ, 4—8)· καὶ αὐτὸς ὁ προφήτης Δανιήλ· « Συνῆκα (λέγει) ἐν τοῖς *βιβλίοις* τὸν ἀριθμὸν τῶν ἐτῶν, ὃς ἐγενήθη λόγος κυρίου πρὸς Ἱερεμίαν τὸν προφήτην » (Δαν. θ, 2). Διετήρουν δὲ καὶ ἐν τῷ ἱερῷ τῶν προφητικῶν βιβλίων ἀκριβέστατα ἀντίγραφα μετὰ τῶν Μωσαϊκῶν τευχῶν, θησαυρίσαντες ἐν τῇ κιβωτῷ μετὰ τὴν ἔκδοσιν τοῦ κανόνος τῶν ἐνδιαθήκων Γραφῶν (β)· καὶ τοιοῦτον ἴσως πλήρη τὸν ἱερὸν κώδηκα ἐννοεῖ καὶ ὁ Ἰώσηπος λέγων « *τὴν ἐν τῷ ἱερῷ ἀνακειμένην γραφὴν* » (γ). Λέγουσι δὲ καὶ οἱ Ταλμουδικοὶ « *τὴν βίβλον τοῦ ἱεροῦ* ».

---

(α) Τῶν ψαλμῶν τοῦ Δαβὶδ ὡς ἀνέκαθεν ψαλλομένων μνημονεύουσι καὶ αὐτοὶ οἱ Ῥαββῖνοι (Bava Bathra cap. 1)· καὶ ἄλλους δέ τινας ὕμνους ἀριθμοῦσι μελῳδουμένους· καὶ ἐξαιρέτως τοὺς ἐ ν ν έ α, τέσσαρας μὲν ἐκ τῆς Πεντατεύχου (Ἐξόδ. κε. Ἀριθμ. κα. Δευτερ. λβ, καὶ ὃν λέγουσιν ὅτι δῆθεν ἔψαλλον ἐν Αἰγύπτῳ, ὡς ὑπεσήμανεν Ἡσ. λ. 29), τοὺς δὲ λοιποὺς ἐκ τῶν ἄλλων βιβλίων τῆς Γραφῆς (Ἰησ. Ι. 12: Κριτ. ε: Β. Βασιλ. κβ: Β. Παραλ. κ: Ἡσ. μβ. κτλ.). βλ. Fabric. Bibliograph. c. XI. §. 13. p. 516. Πρόσθες, ὅτι καὶ ἐκ τῶν παρ' αὐτοῖς ἁγιογράφων πέντε ἐπονομάζουσιν ἑορταστικὰ, ὡς ἀναγινωσκόμενα παλαιόθεν (καὶ ἴσως οὐ πολλοὺς μετὰ τὸν Ἔσδραν χρόνους εἰσαχθέντα) κατ' ἔτος ἐν ταῖς ἑορταῖς. Ἦσαν δὲ ταῦτα α) τὸ Ἆσμα τοῦ Σολομῶντος (ἴσως τεμάχιά τινα), κατὰ τὴν ἑορτὴν τοῦ Πάσχα. β) ἡ Ῥοὺθ, ἐν τῇ τῶν ἑβδομάδων ἑορτῇ. γ) οἱ Θρῆνοι (Ἱερεμ.), τῇ 9. Ἰουλ. δ) ὁ ἐκκλησιαστὴς, τῇ (κατὰ Σεπτέμβρ.) ἑορτῇ τῆς Σκηνοπηγίας. ε) ἡ Ἐσθὴρ, τῇ κατὰ φεβρ. ἑορτῇ Φρουραὶ, ἢ Φουρὶμ (Ἐσθὴρ, 1. 3). Βλ. Carpzov. l. c. p. 134.

(β) Ἐπιφάν. π. μέτρ. §. δ.—Ἰω. Δαμασκην. Ὀρθοδ. πίστ. δ. 18. πρβ. Carpzov. l. c. Ἡ δὲ κ ι β ω τ ὸ ς αὕτη τῆς Δ ι α θ ή κ η ς (ἑβρ. ἀ ρ ώ ν. Ἐπιφ. αὐτ.) διάφορος ἦν τῆς ἀρχαίας ἐκείνης τῆς Μωσαϊκῆς. Ὠνομάσθη δὲ συνωνύμως, ὡς περιέχουσα καὶ αὕτη τὰ Μωσαϊκὰ μετὰ τῶν προφητικῶν τευχῶν, ἤτοι πᾶσαν τὴν παλαιὰν Διαθήκην. Ὅθεν πρὸς διαστολὴν ὁ Τερτυλλιανὸς armarium αὐτὴν εἶπε· βλ. Huet. Dem. Evang. Prop. IV. §. 8. p. 295.—(γ) Ἀρχαιολ. Γ, α, §. 7. Ηαν. καὶ Σημ. Reh.

§. κϛ. Ὅτι δὲ μετὰ τὴν ὑπὸ τοῦ Ἔσδρα ἔκδοσιν τοῦ κανόνος τῶν Γραφῶν, πολὺ δὲ πρὸ τῶν Ἀντιόχου χρόνων, ὑπῆρχον συνημμένα καὶ τὰ προφητικὰ μετὰ τῶν Μωσαϊκῶν ἀναγνώσματα, μαρτυροῦσι καὶ τὰ ἐφεξῆς. α)· Οἱ Ο, μετέφρασαν ὅλον τὸν κώδηκα τῆς γραφῆς (μάρτυρες Ἀριστέας, Ἀριστόβουλος, Φίλων, Ἰώσηπος, κτλ.). Καὶ ἦσαν ἄρα τότε μετὰ τῶν Μωσαϊκῶν καὶ τὰ προφητικὰ εἰς χρῆσιν δημοσίαν παρὰ τοῖς Ἰουδαίοις. Ὅθεν καὶ ὁ Φιλάδελφος (ἐν τῇ πρὸς Ἐλεάζαρον ἐπιστολῇ) ἐζήτει τῆς ἱερᾶς βίβλου τὴν ἑρμηνείαν, « *βουλόμενος χαρίζεσθαι πᾶσι τοῖς κατ᾽ οἰκουμένην* (ἑλληνίζουσιν) *Ἰουδαίοις* » - β)· Ὁ ἐπὶ Πτολεμαίου, τοῦ α, Εὐεργέτου, ἢ καὶ τοῦ Ἐπιφανοῦς, ἀκμάσας γέρων Ἰησοῦς ὁ Σειρὰχ (ἤτοι περίπου 40, ἢ 80, ἔτη μετὰ τοὺς Ο), ἀφ᾽ οὗ τὰς Μωσέως βίβλους, καὶ ἄλλας, καὶ τοὺς γ, μεγάλους Προφήτας ἐμνημόνευσε, συνάπτει καὶ τὸ Δωδεκαπρόφητον (Σ. Σειρ. με-μθ. 10)· ὅθεν ἀποδείκνυται μὲν σαφῶς ὁ κατὰ τὸν Ἔσδραν κανονισμὸς τῶν ἐνδιαθήκων βιβλίων (α)· φαίνεται δὲ πιθανωτάτη καὶ ἡ τότε δημοσία χρῆσις ὅλου τοῦ κώδηκος τῶν Γραφῶν. Καὶ γὰρ καὶ τὰς προφητικὰς ὁ Σειρὰχ ἀπαριθμεῖ (μη, μθ), ὡς κοινῶς ἐγνωσμένας καὶ σεπτὰς ἐπίσης κατὰ τὸν Μωσέως νόμον (με), καὶ τὸν Ἰησοῦν τοῦ Ναυῆ προστίθησι μετὰ τῶν Κριτῶν (μϛ), καὶ τὰ κατὰ τὸν Δαβὶδ καὶ Σολομῶντα, καὶ τὰς Βασιλείας (μζ, μη), καὶ τέλος, τὸν Νεεμίαν (μθ), μηδὲν σημεῖον ἐπάγων διαφορᾶς. Ὅθεν ὕστερον καὶ Σειραχίδης, ὁ μεταφραστὴς τῆς τοῦ πάππου Σοφίας, καὶ σύγχρονος τοῖς Μακκαβαϊκοῖς, ἀνέφερεν ἐν τῷ προλόγῳ *τὸν Νόμον καὶ τοὺς Προφήτας καὶ τὰ λοιπὰ τῶν βιβλίων*, ὡς τοῖς πᾶσι γνώριμον καὶ σύνηθες ἀνάγνωσμα. - γ) Ἐπὶ Πτολεμαίου τοῦ Φιλοπάτορος (ἐγγόνου τοῦ Φιλαδέλφου), οἱ ἐν Ἀλεξανδρείᾳ κινδυνεύσαντες Ἰουδαῖοι (Γ. Μακκ. ϛ) προσηύχοντο καὶ ἀπὸ τῶν προφητῶν (βλ. ἐφεξ. κεφ. Θ, §. κθ). - δ) Ἡ Α, τῶν Μακκαβαίων, ἥτις ἱστορεῖ καὶ τὴν κατὰ τῶν θείων βίβλων μανίαν τοῦ Ἀντιόχου

---

(α) Huet. Dem. Evang. Prop. IV. p. 293.

καὶ τὸν ὑπὸ τοῦ Ἰούδα μετὰ γ, ἔτη καθαρισμὸν τοῦ ναοῦ, καὶ τὴν τοῦ πατρίου σεβάσματος ἀποκατάστασιν, οὐδὲν λέγει οὔτε περὶ τῆς ἐπ᾽ Ἀντιόχου ἀντικαταστάσεως τῶν προφητικῶν ἀντὶ τῶν ἐκ τοῦ Νόμου κωλυθέντων ἀναγνωσμάτων, οὔτε περὶ τῆς ἐφεξῆς ἀμφοτέρων αὐτῶν συνάψεως. Πᾶν δὲ μάλιστα τοὐναντίον, ἱστορεῖ τὸν διωγμὸν ὁλόκληρον τοῦ *βιβλίου τῆς Διαθήκης*· καὶ ἦσαν ἄρα τότε τῶν Προφητῶν αἱ γραφαὶ δημοσίως ἐν χρήσει παρὰ τοῖς Ἰουδαίοις. Ὅθεν καὶ ὁ Ματταθίας ἀποθνήσκων, καὶ τοὺς υἱοὺς τοὺς Μακκαβαίους ὑπομιμνήσκων « τὰ ἔργα τῶν πατέρων ἃ ἐποίησαν », φέρει παραδείγματα οὐ μόνον ἐκ τῆς Πεντατεύχου, ἀλλὰ καὶ Ἰησοῦ τοῦ Ναυῆ, καὶ τοῦ Δαβὶδ, καὶ Ἡλία (ἐκ τῶν Βασιλειῶν), καὶ τῶν τριῶν παίδων καὶ Δανιὴλ τοῦ προφήτου (ἐκ τῆς προφητικῆς αὐτοῦ βίβλου) κτλ. (α. Μακκ. β, 51, κτλ.). Κἀκείνη δὲ ἡ φράσις, « *τὰ βιβλία τὰ ἅγια* (« ἅπερ οἱ περὶ τὸν Μακκαβαῖον Ἰωνάθαν *εἶχον ἐν ταῖς χερσὶν αὐτῶν παράκλησιν* »· Α, Μακ. ιβ. 9), ὅλον σημαίνει τὸν κώδηκα τῶν Γραφῶν. Ὡσαύτως καὶ Ἰούδας ὁ Μακκαβαῖος (Β, Μακκ. η, 16—24) παρορμῶν τοὺς περὶ αὐτὸν πρὸς τὸν κατ᾽ Ἀντιόχου πόλεμον, « προσανελέγετο αὐτοῖς » (ἐκ τῶν Γραφῶν) καὶ τὰς ἐπὶ τῶν προγόνων γενομένας (θεόθεν) ἀντιλήψεις, *καὶ τὴν ἐπὶ τοῦ Σενναχηρὶμ καταστροφὴν τῶν* 185 *χιλιάδων*, ὡς ἀπώλοντο (Δ, Βασ. ιθ, 35). «*Καὶ τὴν ἱερὰν παρανεγίνωσκε βίβλον* (ὅλον τὸν κώδηκα), ἐκλέγων τὰ παραδείγματα, καὶ « *παραμυθούμενος ἐκ τοῦ Νόμου* καὶ τῶν Προφητῶν » (Β. Μακκ. ιε, 9). - ε) Ἀλλὰ καὶ Ἰώσηπος, ὁ καὶ τὸ Α, τῶν Μακκαβαίων ἀκριβῶς ἀπανθίσας, καὶ τὸ δ, (ἐκ τοῦ β) συγγράψας αὐτὸς (Λόγ. εἰς Μακκαβ.), φαίνεται σαφῶς φρονῶν, ὅτι κατὰ τὴν ἀρχὴν τοῦ ἐπ᾽ Ἀντιόχου διωγμοῦ ἀνεγινώσκοντο δημοσίως αἱ βίβλοι τῶν προφητῶν. Ἐκφράζων γὰρ κατ᾽ ἠθοποιΐαν τοὺς λόγους τῶν ἑπτὰ παίδων τῆς Σολομονῆς, εἰσάγει τούτους (§. ιγ) μνημονεύοντας τοὺς τρεῖς ἐν Βαβυλῶνι παῖδας (ἐκ τῆς προφητείας τοῦ Δανιὴλ)· περὶ δὲ τὸ τέλος (§. ιη), καὶ τὴν Ἡσαΐου γραφὴν, καὶ τὴν Ἰεζεκιήλου, καὶ τὰς Παροιμίας Σολομῶντος, καὶ

τὸν ὑμνῳδὸν Δαβὶδ μνημονεύει, προσθεὶς καὶ ὅτι, τούτους τοὺς ἑπτὰ παῖδας ὁ πατὴρ « *ἐδίδασκε τὸν νόμον καὶ τοὺς προφήτας* » (α). Ἐν δὲ τοῖς κατὰ Ἀπίωνος (α. §. 8) ὁ Ἰώσηπος καὶ πάνυ δῆλός ἐστιν ἀρχαιότατον καὶ σεπτότατον ἀνάγνωσμα καὶ τοὺς Προφήτας μετὰ τοῦ Μωσαϊκοῦ νόμου παριστῶν. Ἀπαριθμήσας γὰρ τὰ ΚΒ βιβλία τῆς Γραφῆς « *τὰ δικαίως θεῖα πεπιστευμένα* », προστίθησι· « Δῆλον δ' ἐστὶν ἔργῳ, πῶς ἡμεῖς τοῖς ἰδίοις γράμμασι πεπιςεύκαμεν· *τοσούτου γὰρ αἰῶνος ἤδη παρῳχηκότος*, οὔτε προσθεῖναί τις οὐδὲν, οὔτε ἀφελεῖν αὐτῶν, οὔτε μεταθεῖναι τετόλμηκε· πᾶσι δὲ σύμφυτόν ἐστιν εὐθὺς *ἐκ τῆς πρώτης γενέσεως* τοῖς Ἰουδαίοις τὸ *νομίζειν* αὐτὰ *Θεοῦ δόγματα*—καὶ ὑπὲρ αὐτῶν, εἰ δέοι, θνήσκειν ἡδέως ». Καὶ ὁ Φίλων δὲ λέγων « *τὰς ἱερὰς βίβλους ἐν τοῖς συναγωγίοις ἀναγινωσκομένας* », καὶ ταύτας πάλιν εἰς *Νόμον* καὶ *προφήτας* καὶ *ὕμνους* διαιρῶν » (βλ. ὄπισθ. σελ. 454), φανερός ἐστιν ἔκπαλαι συνήθη παρ' Ἰουδαίοις νομίζων ἀμφότερα τὰ ἀναγνώσματα. - ς)· Τελευταῖον, ἐν τῇ τοῦ Μακκαβαίου Ἰούδα καὶ τῶν Ἱεροσολυμιτῶν πρὸς τοὺς ἐν Αἰγύπτῳ Ἰουδαίους καὶ πρὸς Ἀριστόβουλον ἐπιστολῇ (β Μακκ. α, 9, 18) βλέπομεν, ὅτι διατάσσεται ἡ τῶν ἐγκαινίων τοῦ ναοῦ ἑορτὴ, ἵνα καὶ ταύτην οἱ ἐν Αἰγύπτῳ κατ' ἔτος ἐπιτελῶσι. Περὶ δὲ προφητικῶν ἀναγνωσμάτων, λόγος οὐδείς· Εἰ δὲ ταῦτα τότε νεωστὶ ἐθεσμοθέτει ἡ Μεγάλη τῶν Ἱεροσολύμων Συναγωγὴ, πῶς ἂν ἔπειτα παρέλειπε καὶ τῶν ἔξω παροικούντων Ἰουδαίων τοὺς λαοὺς ἀδιδάκτους τῆς θρησκευτικῆς ταύτης διατάξεως; Ἐν τῇ αὐτῇ Ἐπιςολῇ βλέπομεν· (α, 30: β, 13—15), ὅτι καὶ ἐπὶ τοῦ Νεεμίου « οἱ

---

(α) 'Αδίκως ὑπωπτεύθησαν ὡς ἀλλοτρίας χειρὸς προσθήκην ὁ μὲν σοφὸς Lowth τὸ πλεῖστον μέρος, ὁ δὲ Ἀβερκάμιος καὶ ὅλον τὸν ιη, καὶ τελευταῖον παράγραφον τοῦ εἰς τοὺς Μακκαβαίους λόγου τοῦ Ἰωσήπου (βλ. 'Ιωσηπ. τόμ. β. σελ. 519. Hav.). Ἅπαντα τὰ παλαιὰ τοῦ 'Ιωσήπου χειρόγραφα φέρουσι τὸν παράγραφον· οὐδ' ἡ φράσις διαφέρει τῆς 'Ιωσηπείου· καὶ οἱ πρὸς τοὺς παῖδας λόγοι τῆς μητρὸς παθητικώτατα ἐτάχθησαν πρὸς τὸ τέλος τοῦ ἐπιλόγου. 'Αλλὰ τὰ περὶ τούτου διευκρινεῖν, οὐχ ὁ τόπος ἐνταῦθα.

ἱερεῖς Κυρίου ἐπέψαλλον τοὺς ὕμνους» (καθὼς καὶ πρὸ τῆς μετοικεσίας), καὶ ὅτι ἐν ἀρχαίαις (μετὰ τὸν Ἱερεμίαν) ἀπογραφαῖς, ἢ δημοσίοις ὑπομνήμασιν, ἀναφέρεται καὶ ἡ ἐπὶ Σολομῶντος (ἐν τῇ τοῦ ναοῦ καθιερώσει) ὑπὸ πυρὸς οὐρανίου καταναλωθεῖσα θυσία (Β. Παραλειπομέν. ζ. 1, πρβ. Γ, Βασ. η, 63)· ὥστε φαίνονται ἔκπαλαι (μετὰ τὸν Ἔσδραν) εἰς κοινὴν χρῆσιν δεδημοσιευμένα τὰ μνημονευόμενα κανονικὰ βιβλία τῆς Γραφῆς, καὶ γνωστὰ ἐπίσης καὶ τοῖς ἐν Αἰγύπτῳ Ἰουδαίοις, ὡς καὶ τοῖς ἐν Ἱεροσολύμοις. Εἰ δὲ ταῦτα τὰ ἱστορικὰ καὶ πρὸ τῶν Μακκαβαϊκῶν χρόνων κατ' ἰδίας μελέτας ἀνεγίνωσκον, διὰ τί μὴ μᾶλλον ἀνεγίνωσκον ἔκτοτε καὶ τὰς προφητικὰς περικοπὰς ἐν ταῖς Συναγωγαῖς; (α). Καὶ κατὰ ταῦτα ἄρα ἀπὸ τῶν Νεεμίου χρόνων

---

(α) Ἐν τῇ αὐτῇ ἐπιστολῇ γράφουσιν οἱ ἐν Ἱεροσολύμοις πρὸς τοὺς ἐν Αἰγύπτῳ ἀδελφούς, καὶ ὅτι ὁ Νεεμίας συνέστησε βιβλιοθήκην (ἐν τῷ ναῷ πάντως. βλ. Valckenaer. l. c. p. 39. καὶ Huet. l. c. p. 294)· καὶ ὅτι τὰ ἐκ ταύτης τῆς βιβλιοθήκης διὰ τὸν (κατ' Ἀντιόχου) πόλεμον διαπεπτωκότα βιβλία ἐπισυνήγαγε πάντα Ἰούδας ὁ Μακκαβαῖος (αὐτὸς ὁ γράφων τὴν ἐπιστολήν)· καὶ εὐθὺς ἐπιφέρουσιν «Ὧν οὖν ἐὰν χρείαν ἔχητε, τοὺς ἀποκομιοῦντας ὑμῖν ἀποστέλλετε». — Ποῖα δὲ ἦσαν τὰ βιβλία ταῦτα τῆς Νεεμιάδος, καὶ Μακκαβαίας βιβλιοθήκης; ὅσον ἐκ τῶν ἀπαριθμουμένων εἰκάζεται («τὰ περὶ τῶν βασιλέων καὶ Προφητῶν, καὶ τὰ τοῦ Δαβὶδ, καὶ ἐπιστολαὶ βασιλέων περὶ ἀναθημάτων»), ἦσαν μὲν ἴσως καὶ σωμάτια τῶν θείων Γραφῶν ἐπισυνηγμένα, ὑπῆρχον δὲ καὶ ἄλλα τινα δημόσια τῶν Ἰουδαίων ὑπομνήματα, καὶ χρονικὰ (πλὴν τῶν Κανονικῶν). Οἱ δέ τινες (οὐκ ὀρθῶς) ὑπέλαβον ὅτι ἦσαν μόνον τῆς Γραφῆς ἀντίγραφα (ἐν ᾧ μήτε τὰ Μωσαϊκά, μήτε τὰ τῶν Προφητῶν ἰδίως, ἀλλὰ τὰ περὶ τῶν Προφητῶν λέγει ἡ ἐπιστολή). Ἐκ τούτων ὁρμηθεὶς καί τις Διοδάτος (= Διόδοτος, ἢ Θεόδοτος), δωρεὰν καὶ οὗτος ἐχθρὸς τῶν Ο, ἐπεχείρησεν ἀποδεῖξαι ψευδῆ τὴν ἱστορίαν τῆς ἑρμηνείας· διότι (λέγει), εἴπερ ἐν Αἰγύπτῳ γέγονεν ἡ ἑρμηνεία, τί πρὸς τούτους οἱ ἐξ Ἱεροσολύμων προσέφερον ἀντίγραφα τῶν Γραφῶν; τοὐναντίον ἔδει μάλιστα τὸν Ἰούδαν ἐκ τῆς Αἰγύπτου μετακομίσαι καὶ ἀναπληρῶσαι τὰ διαπεπτωκότα» κτλ.. (Diodat. de Christo graece loquent. p. 197). Ἀλλὰ πρῶτον μέν, τὰ συνηγμένα βιβλία ἐκεῖνα οὐκ ἦσαν πάντα ἀντίγραφα τῶν θείων Γραφῶν (ὡς προείπομεν). Ἔπειτα, καὶ εἰ τοῦτ' ἐσήμαινεν ἡ ἐπιστολή, πάλιν ὁ Διόδατος οὗτος εἰς μάτην περιείργασται. ὁ δὲ λόγος ἁπλοῦς. Οἱ ἐξ Ἱεροσολύμων εὐαγγελίζονται τοῖς ἐν Αἰγύπτῳ ἀδελφοῖς, ὅτι πάλιν ἀνεκτήσαντο τὰς δεδιωγμένας θείας Γραφάς, καὶ ταύτας εἰς πλῆθος ἀντιγράφων ὑπὸ

καὶ τῆς ἐκδόσεως τοῦ Ἐσδραίου κανόνος μέχρι καὶ τῶν χρόνων Ἰούδα τοῦ Μακκαβαίου (καὶ πολὺ μᾶλλον ἐφεξῆς) φαίνονται καὶ οἱ προφῆται μετὰ τῶν Μωσαϊκῶν δεδημοσιευμένοι, καὶ ἑπομένως ἀναγινωσκόμενοι παρὰ πᾶσι τοῖς Ἰουδαίοις. Ὅθεν καὶ ὁ Ἀντίοχος ἠφάνιζε κατακαίων οὐ μόνον τὰ Μωσαϊκὰ τεύχη, ἀλλ' ἄρδην ὁλόκληρον τὸ *βιβλίον τῆς Διαθήκης*, ὡς εἶπε τὸ ἱερὸν κείμενον, συμμαρτυρεῖ δὲ καὶ Ἰώσηπος λέγων· « Ἠφανίζετο δὲ εἴ που *βίβλος εὑρεθείη ἱερὰ, καὶ νόμος* » (τουτέστιν ὅλον τὸ βιβλίον τῆς Διαθήκης). Ἀρχ. ιβ. ε, 4, (βλ. καὶ ὄπισθ. κεφ. γ. §. ις).

§. κζ. Ἐκ τούτων ἀνακεφαλαιοῦμεν τὰ ἐφεξῆς. Ἀπ' ἀρχῆς ἀνεγινώσκετο δημοσίως ἐν ταῖς Συναγωγαῖς μόνος ὁ Μωσαϊκὸς νόμος· « Μωσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει, ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον ανα-

---

*τοῦ Ἰούδα συνηγμένων εἰς τὴν βιβλιοθήκην· ὥστε δύνασθαι καὶ ἄλλοις μεταδιδόναι. Ἐὰν λοιπὸν (λέγουσι) καὶ ὧν τινων βιβλίων χρήζητε, ἀποστελοῦμεν· « ὧν ἐὰν χρείαν ἔχητε ». Ὑποθετικῶς καὶ μερικὴν προβάλλονται τὴν ὑπόσχεσιν, ᾔδεισαν γὰρ τοὺς ἐν Αἰγύπτῳ κοινῶς χρωμένους τῇ ἑλληνικῇ ἑρμηνείᾳ. Πλὴν ἀλλ' ἦσαν καὶ παρ' αὐτοῖς ἑβραΐζοντές τινες τῶν λογίων (οἷοι καὶ οἱ παρὰ τῷ Ἀριστέᾳ λογιώτατοι τῶν Ἀρχιερέων), οἵτινες ἐχρῶντο καὶ τοῖς ἑβραϊκοῖς τῶν Γραφῶν πρωτοτύποις ἐν ταῖς ἰδίαις μελέταις. Τοὺς οὖν τοιούτους ἐννοοῦντες οἱ Ἱεροσολυμῖται, ὑπισχνοῦντο τὸ ἐπίσταλμα, καὶ τοῦτο πάνυ ἀποδεκτόν. Οἵ τε γὰρ ἐν Αἰγύπτῳ καὶ οἱ πανταχοῦ τῆς οἰκουμένης Ἰουδαῖοι τὴν ἱεράπολιν τῶν Ἱεροσολύμων ὡς μητρόπολιν τοῦ ἔθνους καὶ τοῦ θρησκεύματος ἐθεώρουν, καὶ ταύτῃ συμβούλῳ περὶ τῶν θείων πραγμάτων ἐχρῶντο, καθὼς φαίνεται ἐκ τῶν Ἰωσήπου μάλιστα καὶ τοῦ Φίλωνος (τομ. β. σελ.* 524. *πρβλ.* Huet. l. c. p. 295). *Ὁ δὲ Διόδατος ἄρα τούτων ἐπελάθετο! ἐπελάθετο δὲ (χείρονα λήθην), ὅτι καὶ Σειραχίδης κατὰ τοὺς αὐτοὺς τοῖς Μακκαβαίοις χρόνους (ἐπὶ τοῦ Β. Εὐεργέτου) διεκήρυττεν ἐξ Αἰγύπτου τὴν ἐν Αἰγύπτῳ κοινὴν καὶ γνώριμον χρῆσιν τῆς ἑλληνικῆς ἑρμηνείας τῶν Γραφῶν. Ἐπελάθετο (τὸ χείριστον), ὅτι καὶ αὐτὸς ὁ Ἀριστόβουλος, πρὸς ὃν αἱ περὶ τὸν Ἰούδαν ἔγραφον τὴν ἐπιστολὴν, διεκήρυξεν, ὅτι ἐπὶ τοῦ Φιλαδέλφου μεθηρμηνεύθησαν « τὰ διὰ τοῦ* Νόμου ΠΑΝΤΑ » (*βλ. σελ.* 456). *πρβλ. καὶ* Demagistr. Diss. I. p. 350. *Φρονεῖ δὲ οὗτος τὴν ὑπὸ τοῦ Ἰούδα συσταθεῖσαν βιβλιοθήκην ἐκείνην ὡς ἐξ ἄλλων τινων συγκειμένην βιβλίων, καὶ μηδόλως ἐκ τῶν θείων Γραφῶν. Ἀλλ' ἡ βιβλιοθήκη περιεῖχε μὲν πάντως καὶ ἀναγραφὰς, καὶ ὑπομνήματα ἱστορικὰ (ὡς καὶ ἡ τῶν Περσῶν· βλ. Ἔσδρ. ς. ι, καὶ Ἐσθὴρ, β,* 23. *πρβλ. καὶ Ἰωσήπ. Ἀρχ.* 1. *α.* §. *δ, ἐκ τοῦ* Δ. Βασιλ. *ιθ,* 14)· *οὐχ ἧττον δὲ ὅμως ὑπῆρχον ἐν αὐτῇ ἐπισυνηγμένα καὶ ἀντίγραφα τῶν βιβλίων τῆς θείας Γραφῆς.*

γινωσκόμενος » (Πράξ. ιε, 21). Ἀπὸ δὲ τοῦ Δαβὶδ καὶ ἐφεξῆς εἰσήχθησαν οἱ ψαλμοὶ, καὶ οἱ ὕμνοι, « *οὓς ᾖδον οἱ ψαλτῳδοὶ κατέναντι τοῦ θυσιαστηρίου* ». Μετὰ δὲ τὴν ὑπὸ τοῦ Ἔσδρα ἔκδοσιν τοῦ κανόνος τῶν Γραφῶν, συνήφθησαν μετὰ τοῦ Νόμου καὶ περικοπαὶ τῶν προφητῶν εἰς δημοσίαν ἀνάγνωσιν (πρὸς ἣν ἀπέβλεπε πάντως καὶ ὁ θεοφόρητος Ἔσδρας, κανονίζων τὰς θεοπνεύστους βίβλους· ἢ πρὸς τί ἄλλο συνῆπτε μετὰ τοῦ Νόμου καὶ τὰ τῶν προφητῶν, εἴπερ ἔμελλον ταῦτα κεῖσθαι ἐν τῷ κιβωτίῳ τεθησαυρισμένα, καὶ ἀκήρυκτα πρὸς τὸν λαόν;). Ἡ δὲ τοιαύτη ἔκτοτε συνάφεια τῶν ἀναγνωσμάτων ἀμφοτέρων ὑπῆρχεν ἀναγκαία οὐ μόνον πρὸς κοινὴν ἐκ τῆς προφητικῆς διδασκαλίας ὠφέλειαν, ἀλλὰ καὶ ἵνα διατηρῆται διὰ τῆς συνεχοῦς ἀκροάσεως ἀσφαλὲς παρ' Ἰουδαίοις καὶ πάγιον τὸ σέβας τὸ πρὸς τὰ θεόπνευστα βιβλία τῶν προφητῶν, ἅπερ ἔκτοτε ἀπέβαλλον οἱ τῶν προφητῶν ὑβρισταὶ, καὶ τοῖς Ἰουδαίοις ἔχθιστοι Σαμαρεῖται, μόνην τὴν Μωσαϊκὴν πεντάτευχον ἀποδεχόμενοι (α)· οἵτινες οὔτε τὸν ὑπὸ τοῦ Ἔσδρα κανόνα τῶν Γραφῶν ἀπεδέξαντο, καὶ τοὺς Ἰουδαίους, εὐθὺς ἐκ τῆς αἰχμαλωσίας ἐπανελθόντας, ἐκάκωσαν, ἐπηρεάσαντες καὶ κατ' αὐτὴν τοῦ ναοῦ τὴν οἰκοδομήν. Ἐφεξῆς δὲ ἐπί τε τῶν Ο, καὶ Ἰησοῦ τοῦ Σειρὰχ, καὶ ἐπὶ Ἰούδα τοῦ Μακκαβαίου, φαίνονται σαφῶς καὶ τὰ τῶν προφητῶν μετὰ τῶν Μωσαϊκῶν ἐν ταῖς Συναγωγαῖς ἀναγινωσκόμενα, καθὼς καὶ μετὰ ταῦτα ἐπὶ τοῦ Κυρίου ἡμῶν, «*ᾧ ἐπεδόθη ἀναγνῶναι βιβλίον Ἡσαΐου τοῦ προφήτου*» (Λουκ. δ. 17). Εἶπε δὲ καὶ ῥητῶς ὁ Κύριος, ὅτι «*Ἔχουσι Μωσέα καὶ τοὺς προφήτας*» κτλ. καὶ ὁ Φίλιππος ἐκήρυττεν «*Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται*» (Ἰωάν. α, 46)· καὶ ὁ Πέτρος ἐδίδασκε τὸν λαὸν καὶ ἐκ τῆς προφητείας Ἰωὴλ, καὶ τῶν Δαβιδικῶν ψαλμῶν (Πράξ. β, 16 κτλ.), καὶ πάλιν ἀλλαχοῦ βλέπομεν « *τὴν ἀνάγνωσιν τοῦ Νόμου καὶ τῶν προφητῶν*» (Πράξ. ιγ, 15 καὶ 27) κτλ. Καὶ πίπτει λοιπὸν ὁ πρῶτον

---

(α) Ἐπιφάν. αἱρέσ. δ. πρβλ. Carpzov. l. c. p. 596 sqr.

ἐπὶ τῶν Μακκαβαίων τὴν ἐν ταῖς Συναγωγαῖς τῶν προφητῶν ἀνάγνωσιν διορίζων Ῥαββινικὸς μῦθος· συγκαταπίπτει δὲ καὶ τὸ τῶν Ὀδιακῶν ἐπιμύθιον, οἵτινες ἐκ τούτου συνάγουσιν, ὅτι τότε δῆθεν, μετὰ τὸν ἐπ' Ἀντιόχου διωγμὸν, ἡρμηνεύθησαν καὶ τὰ προφητικὰ, καὶ πάντα τ' ἄλλα (πλὴν τῆς Πεντατεύχου) τεύχη τῆς Γραφῆς (βλ. καὶ ἐφεξῆς κεφ. θ). Τιμῶσιν οἱ Ἰουδαῖοι τὸν νόμον τοῦ Μωσέως κατ' ἐξοχὴν, εἶπεν Ὅδιος ὀρθῶς· ἀλλ' ὁ Ἰώσηπος προςίθησιν, ὅτι μετὰ τούτου καὶ τἄλλα τεύχη τῆς Γραφῆς «*θεῖά τε πεπίστευται παρ' αὐτοῖς*», καὶ «*δόγματα θεοῦ*». Καὶ τὴν ἐν ταῖς Συναγωγαῖς ἀνάγνωσιν τῶν προφητῶν οὕτω ταπεινὴν Ὅδιος παρέστησε καὶ οὐδενόσωρον, ὥστε τὸν τούτων ἀναγνώστην εἰσάγει παῖδά τινα, ἢ ἕτερον ἀνθρωπάριον τριωβολιμαῖον (ἀγνοῶ ποῖον τυπικὸν τῆς νεωτέρας Συναγωγῆς ἀναγνούς). Ἀλλ' ὅμως καὶ αὐτοὶ οἱ νεώτεροι Ῥαββῖνοι τὸν ἀναγνώστην τῶν παρ' αὐτοῖς προφητικῶν περικοπῶν (Haphtaras) πολὺ τιμιώτερον ἔχουσι, καὶ καλοῦσι *μαφθὶρ* (maphtir) (οἷον ἀπολύτην) (α). Ἄπορον δὲ, καὶ ὅπως ὁ σοφὸς Ἀρχιδιάκονος, ἄλλαις πάλιν Ῥαββινικαῖς διατάξεσι πεπιστευκὼς, οὐκ ἐνεθυμήθη κἂν τὸν ἤδη κατὰ σάρκα *τριακοντούτη* Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν, ὅστις «Εἰσῆλθεν — ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν Συναγωγὴν, καὶ *ἀνέστη ἀναγνῶναι· καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου*· καὶ ἀναπτύξας - *εὗρε τὸν τόπον*» κτλ. καὶ καθεξῆς· «Καὶ *πτύξας τὸ βιβλίον* — *ἐκάθισε*», καὶ ἐδίδασκε, «*καὶ πάντες ἐμαρτύρουν αὐτῷ*» (Λουκ. δ. 16—22). Φαίνεται γὰρ ἐκ τούτου σαφῶς, ὅτι οὐ μόνον τεταγμένοι ἀναγνῶσται, οἱ *Μαφθὶρ*, ἀλλὰ καὶ διδάσκαλοι νομομαθεῖς ἀνεγίνωσκον τὰς προφητικὰς περικοπάς (β).

---

(α) Ἤλ. Λευΐτ. παρὰ Carpzov. l. c. p. 146. καὶ Buxtorf. Synagog. Jud. c. 16. p. 327. βλ. καὶ Fabric. Bibliograph. antiq. p. 672.

(β) Βλ. Carpzov. l. c. p. 147. πρβλ. καὶ ὄπισθ. σελ. 475. Αὐτὸν δὲ τὸν ἀναγνώστην ὁ Φίλων ὡς ἕνα καὶ τὸν αὐτὸν ἔν τε τοῖς Μωσαϊκοῖς καὶ τοῖς προφητικοῖς ἀναγνώσμασιν ὑπογράφει λέγων· «Ὁ μὲν τὰς βίβλους ἀναγινώσκει λαβὼν, ἕτερος δὲ τῶν ἐμπειροτάτων ὅσα μὴ γνώριμα, παρελθὼν, ἀναδιδάσκει» (τ. β. σελ 458). πρβλ. Πράξ. ιγ, 15.

§. κη. Ὁ δὲ Βοβέριος οὐχ οὕτως ὑψηλὸν καὶ (κατὰ τὸν Ὅδιον §. ια) ἐξαίσιον, ἢ ἀνίατον ἔπαθε πέσημα, διότι εἶπεν εἰς ἕνα τόμον μετὰ τῶν Μωσαϊκῶν καὶ τὰ λοιπὰ βιβλία τῆς Γραφῆς συνεστοιχισμένα. Καὶ ὑπῆρχε μὲν πολλάκις εἰς ἓν σωμάτιον ἡ Πεντάτευχος μόνη, ἀπὸ τῶν ἄλλων τευχῶν κεχωρισμένη· [ὅθεν καὶ *βιβλίον* (ἢ *βίβλος*) *τοῦ νόμου*, καὶ μόνον *βίβλος*, ἢ *βιβλίον*, καὶ *νόμος* ἁπλῶς, πολλαχοῦ τῶν ἱερῶν ὀνομάζεται δέλτων (α), ἐνίοτε δὲ καὶ Μωσῆς] (β)· ἀλλ' ὅμως ὑπῆρχε πάλιν καὶ καθ' ἕκαστον τεῦχος διῃρημένη· οὐδ' ἐφέροντο τὰ πέντε τεύχη εἰς ἕνα τόμον ἀείποτε συνηνωμένα (καθὼς Ὅδιος ὑπέλαβεν). Αὐτίκα, τὸ Δευτερονόμιον *ἔγραψε Μωσῆς εἰς βιβλίον*. Καὶ τὸ *βιβλίον τοῦ* (δευτέρου) *νόμου τούτου* (ἦν τεθειμένον) *ἐκ πλαγίων τῆς κιβωτοῦ τῆς διαθήκης* (γ). Ἐκ τούτου καὶ ὁ ἄρχων ἀντέγραφε πρὸς χρῆσιν ἰδίαν ἀντίγραφον (δ). Μαρτυρεῖ δὲ καὶ τὸ τοῦ ψαλ-

---

(α) Ἰησ. Ναυ. α, 8: Νεεμ. η, 3, 8, 18, κτλ. Ἔσδρ. ς, 18, ζ. 6, 12: Ψαλμ. λθ, 7, κτλ. Ὅτι δὲ τὸ βιβλίον καὶ ὡς σύγγραμμα θεωρούμενον διῃρεῖτο πάλιν καὶ εἰς τμήματα, ἢ τεμάχια, ἢ τομίδια, καὶ εἰλήματα διάφορα, φανήσεται εὐθὺς ἀνωτέρω.

(β) Λουκ. ις, 29, 31: Β. Κορ. γ. 5, κτλ. Οὕτω καὶ παρὰ τοῖς ἔξω συγγραφεῦσιν· Ὅμηρος, (Ἀριστοφ. Ὄρν. 471), Πίνδαρος, Πλάτων, κτλ. ἀντὶ τῶν συγγραφῶν.

(γ) Δευτ. λα, 24, 26 (πρβλ. Ἰωσήπ. Ἀρχ. δ. η, 44). Ἔγραψε δὲ καὶ ἐπὶ λίθων ὁ Ἰησοῦς «τὸ Δευτερονόμιον, νόμον Μωϋσῆ» (Ἰησ. θ. 32: κατὰ τὸ Δευτερ. κζ, 8). Ὁ δὲ Ἰώσηπος (αὐτόθ.) μόνας τὰς εὐλογίας καὶ τὰς κατάρας (τὰς ἐν Δευτερον. κη) λέγει ὅτι ἀνέγραψεν ὁ Ἰησοῦς ἐπὶ τῶν λίθων. Τοῦτο δὲ καί τισιν ἤρεσε τῶν νεωτέρων ἑρμηνευτῶν· οἱ δὲ, μόνον τὸν Δεκάλογον εἶπον· διότι στενὸν εὗρηκαν οἱ ἄνδρες οὗτοι τὸν τόπον εἰς τὸ χωρῆσαι τοσούτους λίθους, περιέχοντας ὅλον τὸ Δευτερονόμιον· ἀλλὰ τὸ θεῖον ῥητὸν λέγει σαφῶς καὶ κατὰ λέξιν «τὸ Δευτερονόμιον» — καί, «πάντα τὸν νόμον τοῦτον»· καὶ τῶν νεωτέρων πολλοὶ συνομολογοῦσι (βλ. Michaelis Jus Mosaïc. P. II. §. 69, καὶ Schutz. Schol. in Vet. Testament. vol. i. p. 707).

(δ) Δευτ. ιζ, 18. Τοῦ Δευτερονομίου ἀντίγραφον, ἢ αὐτὸ τὸ Μωσέως αὐτόγραφον, ἀλλ' οὐχὶ τῆς Πεντατεύχου σωμάτιον ὁλόκληρον ὑπέλαβόν τινες καὶ τὸ ἐπὶ Ἰωσίου εὑρεθὲν ἐν τῷ ναῷ τεθαμμένον «βιβλίον νόμου Κυρίου»· Β. Παραλ. λδ, 14—26. πρβλ. Sigonij De Republ. Hebr. I. c. 4. p. 50: καὶ Schulz. Schol. in V. Test. vol. 3. p. 387.

μῳδοῦ «*ἐν κεφαλίδι βιβλίου*» (Ψαλμ. λθ. 7: πρβ. Ἑβρ. Ι. 7)· κεφαλίδα δὲ λέγει τὸ (κατ᾽ Ἀκύλαν καὶ Σύμμαχον) *εἴλημα*, τόμον εἱλητὸν, ἢ κυλινδρωτὸν εἱλητάριον, ἀποτελοῦν μέρος *τοῦ βιβλίου* (τῆς Μωσαϊκῆς Πεντατεύχου) (α). Ὅθεν εἶπε καὶ Ἰώσηπος· «παραδίδωσι τοῖς ἱερεῦσι Μωσῆς *τὰ βιβλία*» (Ἀρχ. δ. η. §. 44), τὰ εἰλήματα δηλονότι, ἢ *τὰς κεφαλίδας* τῆς Πεντατεύχου. Αὐτὸ δὲ τὸ ὄνομα ἡ Πεντάτευχος (ἐλλειπτ. *νομοθεσία*) σημαίνει μᾶλλον τὴν ὡς ἐκ τῆς ὑποθέσεως εἰς *πέντε τεύχη*, ἢ βιβλία (κεφαλαιώδη μέρη) διαίρεσιν τῆς ὅλης καὶ μιᾶς ἑνὸς καὶ τοῦ αὐτοῦ συγγραφέως, ἢ ἑνὸς εἴδους συγγραφῆς, οὐχὶ τὴν ὡς ἐκ τῆς διαθέσεως τῶν χαρτίων, ἢ σελίδων, εἰς πέντε τόμους ἢ σωμάτια κατατομὴν, πρὸς ἣν Ὅδιος ἀποβλέπων εἶπε τὴν Πεντάτευχον οὕτως ὠνομασμένην, ὡς πέντε σωματίων περιεκτικὴν, εἰς ἕνα τόμον (κώδηκα) συμπεπηγμένων καὶ συνεστοιχωμένων· διότι, ὡς ἐκ τῆς διαθέσεως τῶν χαρτίων, πᾶν σύγγραμμα καὶ μονότομον, ἢ μονόβιβλον γίνεται, καὶ εἰς πλείονας τόμους καὶ εἰς ἐλάσσονας διαιρεῖται. Οὕτω καὶ *Ὀκτάτευχον* ἐπέγραψαν βιβλίον μόνον ἐκ δύω τόμων συνεστηκὸς, ἐν᾽ ᾧ περιέχεται μετὰ σχολίων καὶ τὸ κείμενον αὐτῆς τε τῆς Πεντατεύχου, καὶ τριῶν ἄλλων βιβλίων ὁμοειδῶν, δηλονότι τῆς παλαιᾶς θείας Γραφῆς (β). Ὅτι δὲ τὸ

---

(α) Οὕτω καὶ Ἰεζεκ. γ, 1: καὶ Ἔσδρ. ς. 2. «Εὑρέθη κεφαλὶς μία, καὶ ἐν αὐτῇ γεγραμμένον» κτλ. (ἀφ᾽ οὗ ἡ Α. Ἔσδρ. ς, 23: «τόμος», καὶ παρά τισιν ἐσφαλμένως, γράφει τόπος)· τὸ γὰρ αὐτὸ εἴλημα καὶ «τόμος χάρτου» λέγεται (Ἡσ. η, 1), καὶ χάρτης (Ἱερ. μγ, 23) κτλ. «Κεφαλίδα, εἰλητάριον (Εὐθύμ. Ἑρμ. εἰς ψαλμ. λθ: Θεοδώρητ. κτλ.). Κεφαλὶς δὲ, διὰ τὰς ἑκατέρωθεν κεφαλὰς, καὶ οἷον κιονόκρανα τοῦ κυλινδροειδοῦς στυλίσκου, περὶ ὃν τυλίσκεται τὸ εἰλητὸν, ἢ εἴλημα· ἐκ τοῦ (ἔλω) εἰλέω, καὶ ἄλλως, ἐλύω, ἐξ οὗ τὸ λτ. voluo (ὀλύω) καὶ volumem (ὄλυμα = ἔλυμα), ὡς ἄγημα, agmen, κτλ. Πρβλ. Voss. de LXX. p. 67 - Schleusn. Thes. V. T. καὶ Lex. N. T. v. Κεφαλίς. - J. Capell. in Psalm. Com. ad calcem L. Capell. Comentar. p. 661.

(β) Βλ. τὴν Ὀκτάτευχον ἐκδ. τοῦ ἀοιδίμου Νικηφόρου Θεοτόκου ἐν τόμοις β. Λειψίᾳ αψοβ.—Οὕτω καὶ παρ᾽ Ἕλλησι· «τὰ δέκα βιβλία, ἢ Διάλογοι, τῆς Πλάτωνος Πολιτείας ἐπεῖχον χώραν βιβλίου (εἰλήματος, ἢ τόμου) ἑνός· καὶ ἑνὸς (ὡσαύτως) τὰ δυοκαίδεκα τῶν νόμων (Λαέρτ. γ, 35). Καὶ ὅμως οὐκ ἐλέγετο παρὰ τοῦτο

πάλαι εἰς τὴν Μωσαϊκὴν Πεντάτευχον πιθανῶς ἐμπεριείχετο καὶ τὸ βιβλίον Ἰησοῦ τοῦ Ναυῆ, λέγομεν ἐφεξῆς. Ὥστε ἐσφάλη (νομίζομεν) αὐτὸς ὁ κριτικὸς, ἀποδεικνύων τὴν ἀείποτε εἰς ἕνα κώδηκα συστοιχίαν καὶ συσσωμάτωσιν τῶν πέντε Μωσαϊκῶν τευχῶν, ὡς ἐκ τῆς ὀνομασίας τῆς *Πεντατεύχου*. Καὶ ἄλλα δέ τινα μάτην αὐτοῦ φαίνεται τοξεύσας ὁ νοῦς. Εἶπεν, ὅτι πολλαχοῦ τῶν Γραφῶν ἡ Πεντάτευχος *καλεῖται βιβλίον τοῦ νόμου* (διὰ τὸ μονότομον), ἀλλ' οὐχὶ *βιβλία*! καὶ ὅμως εὑρίσκομεν καὶ πληθυντικῶς «*τὰ βιβλία τοῦ νόμου*» καὶ ὄντα καὶ καλούμενα (Α, Μακκ. α, 56. πρβ. ὄπισθ. σελ. 485) κτλ. πότερον, ἡ Πεντάτευχος ἆρα ἐλέγετο καὶ *βιβλία* (διῃρημένη κατὰ τόμους); ἢ, τὸ καὶ τοῦτο ἀληθὲς (ὃ μηδ' αὐτὸ θελήσει Ὅδιος), συνάμα μετὰ τῆς Πεντατεύχου συνηριθμοῦντο πολλάκις καὶ τὰ *προφητικὰ*, καὶ τὰ λοιπὰ *βιβλία τοῦ νόμου* (τῆς Γραφῆς); *Μονότομον βιβλίον* θέλει τὴν Πεντάτευχον· καὶ ἅμα διατείνεται, ὅτι ταύτης μόνον ἓν ἀντίγραφον κομίσαι καὶ μεταφράσαι τοὺς πρεσβυτέρους ὅ,τε Φίλων καὶ Ἰώσηπος ἱστοροῦσι, καὶ αὐτὸς ὁ Ψευδαριστέας! καὶ ὅμως οὗτοι πάντες τρανῶς διαγράφουσι τοὺς Ο, φέροντας μεθ' ἑαυτῶν *βίβλους, τεύχη, διαφόρους διφθέρας* τοῦ νόμου (βλ. ὄπισθ. σελ. 376). Ταῦτα πῶς διαλλάττονται, αὐτοὶ πάλιν οἴδασιν οἱ περὶ τὸν Ὅδιον.

Ἡμεῖς δὲ προστιθέμεθα, ὅτι, καθὼς ἡ Πεντάτευχος, ὡσαύτως καὶ τῶν ἄλλων προφητῶν αἱ θεῖαι βίβλοι καὶ συνημμέναι φαίνονται εἰς ἕνα τόμον, καὶ διῃρημέναι πάλιν εἰς τόμους ἰδιαιτέρους. Εἴδομεν ἐν τοῖς προλαβοῦσιν (§. β. σημ.), ὅτι τῶν *ἁγιογράφων* καλουμένων (εἰς ἕνα τόμον συνεχομένων) τὸν πρῶτον τόπον ἐπεῖχεν ὁ

---

καὶ ἡ δ ε κ ά β ι β λ ο ς τοῦ Πλάτωνος Πολιτεία. Ἄλλοτε δὲ πάλιν καὶ ἓν παχυμερὲς βιβλίον (κεφαλαιῶδες τμῆμα) ἑνός τινος συγγράμματος ἐχωρίζετο εἰς δύω, ἢ καὶ τρεῖς τόμους, ἢ εἰλήματα, διὰ τὸ εὐμεταχείριστον. (βλ. τὴν ἐφεξῆς σημείωσιν). πρβλ. καὶ τὰ τοῦ Εὐσεβίου (ὄπισθ. σελ. 418. σημ.). Ἑνὶ λόγῳ· εἰς τὰς τῶν συγγραμμάτων κατατομὰς θεωρεῖται κυρίως ἡ διαίρεσις τῆς πραγματείας ἀπὸ τῶν βιβλίων, ἤτοι τῶν κεφαλαιωδῶν τμημάτων, εἰς ἃ διεῖλε τὴν ὑπόθεσιν ὁ συγγραφεὺς, οὐκ ἀπὸ τῶν τόμων καὶ σωματίων, ἢ εἰλημάτων, εἰς ἃ κατατέμνει πολλάκις τὴν συγγραφὴν ὁ ἀντιγραφεὺς, ἢ βιβλιογράφος, καὶ αὐτὸς ἐνίοτε ὁ βιβλιοδέτης.

Ἰώϐ. Ἀλλὰ καὶ οἱ Δ μεγάλοι προφῆται ἐφέροντο καὶ κατὰ μέρος ἕκαστος, τέσσαρα βιϐλία ἀποτελοῦντες (καὶ μάλιστα ἐν ταῖς Συναγωγαῖς πρὸς χρῆσιν εὐκολωτέραν)· καὶ μαρτυρεῖ τὸ « *ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου* » (Λουκ. δ. 18. πρβλ. καὶ Πράξ. η, 28). Οὕτω καὶ « *ἡ βίβλος τῶν ψαλμῶν* » (τοῦ Δαϐίδ. Πράξ. α, 20). Τὸ δὲ πάλιν Δωδεκαπρόφητον ὅλον ἓν βιϐλίον ἐλογίζετο, καὶ ἕνα τόμον ἀπετέλει· ὅθεν καὶ ὁ θεῖος Στέφανος ῥῆσιν τοῦ Ἀμὼς ἀναφέρων, λέγει· «γέγραπται ἐν βίϐλῳ τῶν προφητῶν» (Πράξ. ζ, 42). Καὶ Μελίτων (παρ' Εὐσεϐ. Ἐκκλ. ἱστορ. δ. 26) εἶπε « *τοὺς δώδεκα ἐν μονοβίβλῳ* ». « Εἰς ἑνὸς *εἰλησαρίου* στενοχωρίαν συγκαθειργμένους » ἀνεγίνωσκε τοὺς ιβ προφήτας καὶ ὁ μακάριος Ἱερώνυμος (α). Καὶ τἄλλα δὲ παρομοίως τὰ κανονικὰ βιϐλία φαίνονται καὶ καθ' ἕνα, καὶ κατὰ πλείονας τόμους διῃρημένα (β). Οὕτω τὸ « *βιβλίον λόγων τῶν ἡμερῶν βασιλέων Ἰούδα* » (Γ. Βασιλ. ιε, 23), ἕνα τόμον ἐμφαίνει. Καὶ τὴν α, καὶ β, βίϐλον τῶν Βασιλειῶν ὡς ἓν τεῦχος ἠρίθμουν· τὴν δὲ γ, καὶ δ, περιεῖχε πάλιν ἕτερον βιϐλίον ἕν, καὶ ἓν τὰς δύο τῶν Παραλειπομένων, καὶ ἓν τὴν Ῥοὺθ μετὰ τῶν Κριτῶν, καὶ τὰ λοιπὰ παραλείπομεν (βλ. Ἐπιφ. π. Μέτρ. §. 3, 4). Ἀλλ' ἀπ' ἄλλου μέρους πάλιν φαίνεται καὶ αὐτὴ ἡ Πεντάτευχος τὸ πάλαι συνημμένη μετὰ τοῦ βιϐλίου τοῦ Ναυΐδου Ἰησοῦ. « *Ἔγραψεν Ἰησοῦς τὰ ῥήματα ταῦτα* (τὴν ἰδίαν αὐτοῦ συγγραφὴν) *εἰς βιβλίον νόμων τοῦ Θεοῦ* » (Ἰησ. κδ, 26). Καὶ φαίνεται λοιπόν, ὅτι πρὸς τῇ Πεντατεύχῳ παρηκολούθει, ὡς παράρτημα, καὶ τὸ τεῦχος τοῦ Ἰησοῦ, εἰς ἓν σωμάτιον συνημμένον· ἢ τί ἄλλο παρὰ τὴν Πεντάτευχον σημαίνει.

(α) « XII prophetae in unius voluminis angustias coartati » etc. S. Hieron. Epist. 103. p. 1009. T. 1. Οὕτω καὶ Γρηγ. Ναζ. τόμ. β. σελ. 92: Col.

(β) *Περὶ τῆς κατὰ τεύχη διαιρέσεως τῶν βιβλίων βλ. Ἐπιφάν. περὶ Μέτρ. §. δ. Ὁ δὲ σοφὸς Οὐόσσιος ἀπαριθμῶν τὰ παρ' Ἰωσήπῳ κϐ, μνημονευόμενα θεῖα βιϐλία (βλ. ὄπισθ. σελ. 429), διαιρεῖ εἰς κβ, εἰλητάρια, διακρίνων οὑτωσί. Τῆς Πεντατεύχου 5. — Ἰησοῦ, Κριτῶν, Ῥοὺθ 1. — Τῶν Δ. Βασιλ. καὶ Β. Παραλ. 6. — Ἔσδρα, Νεεμία, Ἐσθὴρ 1. — Τῶν Δ, μεγάλων προφητῶν, 4. — Τὸ Δωδεκαπρόφητον. 1. — Τοῦ Ἰὼϐ, 1. — Τοῦ Ψαλτῆρος, 2: τοῦ Σολομῶντος (Παροιμ. Ἐκκλ. Ἆσμ.) 1.* (J. Voss. de Sibyl. oracul. c. XII. in Variar. observat. p. 263).

τὸ *βιβλίον τῶν νόμων τοῦ Θεοῦ*; (α). Τοιαύτην σύναψιν τοῦ Ἰησοῦ μετὰ τῆς Πεντατεύχου γνωρίζουσι καὶ οἱ περὶ τὸν Βλῆκκον,

---

(α) Μόνος ὁ Ἀλεξανδρινὸς κώδηξ ἔχει νόμον (αἰτιατ.). «ἔγραψεν εἰς βιβλίον, νόμον τοῦ θεοῦ»· ἀλλὰ καὶ τοῦτο ἡ νόμων ἐγράφη (ὡς ἔχει ὁ Βατικανὸς καὶ οἱ λοιποί), ἡ νόμου (γενική) ὡς ἔχει καὶ τὸ ἑβραϊκόν. Καὶ φαίνεται λοιπὸν ἐπὶ μέγα μῆκος καὶ πλάτος ἐκτεινόμενον ἐκεῖνο τὸ πρωτόγραφον εἰλητὸν τῆς Πεντατεύχου· πλὴν εἰμὴ που βιβλίον νόμων τοῦ Θεοῦ, λέγει ἰδίως τὸ Δευτερονόμιον «ὅπερ καὶ αὐτὸς ἔγραψε Μωσῆς εἰς βιβλίον» (βλ. ἀνωτέρω). Καὶ Ἰώσηπος δὲ λέγει πληθυντικῶς, «τὰ βιβλία παρέδωκε τοῖς ἱερεῦσιν ὁ Μωϋσῆς» (Ἀρχ. δ. η, 44). Ὅτι δὲ παρὰ τοῖς ἀρχαιοτάτοις ὑπῆρχε μάλιστα συνήθης ἡ εἰς εἰλητὰ μικρότερα διαίρεσις μιᾶς τινος πραγματείας, καὶ μάλιστα μακρᾶς καὶ σχοινοτενοῦς, δείκνυσι μὲν καὶ ὁ λόγος τῆς εὐχρηστίας. Συγγραφαὶ μακραὶ (οἷον αἱ τοῦ Θουκυδίδου, καὶ Ἡροδότου, κτλ.) εἰς ἓν εἴλημα συνεχόμεναι, δυσμεταχείριστον ἀπέβαινον πρᾶγμα, διὰ τὸ λίαν ὀγκῶδες (καὶ μάλιστα γεγραμμέναι κατὰ τὸν ἀρχαῖον τρόπον, τετραγώνοις, ἢ κεφαλαίοις γράμμασι)· τὴν δὲ τῶν τοιούτων εἰς μικρότερα βιβλία, ἢ εἰλήματα, κατατομὴν βλέπομεν ἐν πολλοῖς ἀρχαίοις παραδείγμασιν. Οὕτω τὰ συγγράμματα τοῦ Ἀντισθένους ἦσαν εἰς δέκα τόμους διῃρημένα (Λαέρτ. ς. 9). Περὶ τῶν τοῦ Πλάτωνος, εἴπομεν (σελ. 485). Μαρτυρεῖ καὶ Πλίνιος λέγων « Libri tres, in sex volumina propter amplitudinem divisi (Apup. L. Vallam). Καὶ τῶν ἐν ταῖς ἀνασκαφαῖς τῆς Ἡρακλείας εὑρεθέντων συγγραμμάτων Φιλοδήμου, Ἐπικούρου, Πολυστράτου, κτλ. παρόμοια παπύρων εἰλήματα δείκνυνται ἐν Νεαπόλει. Τοιαῦτά τινα ἦσαν καὶ τῆς Ὁμήρου Ἰλιάδος καὶ Ὀδυσσείας τὰ τεμάχια, « ἃ τὸ μὲν πρῶτον διῃρημένα ᾖδον οἱ παλαιοί, οἷον τὴν ἐπὶ ναυσὶ μάχην, καὶ Δολωνίαν, καὶ νεῶν κατάλογον, κτλ. Ὀψὲ δὲ καὶ Λυκοῦργος πρῶτος ἀθρόαν τὴν Ὁμήρου ποίησιν ἐκόμισεν εἰς τὴν Ἑλλάδα (Αἰλιαν. Ποικ. ἱστορ. ιγ, ιη), καὶ ὕστερον ὁ Πεισίστρατος συνέπηξε τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν, εἰς ἓν ἴσως σωμάτιον συναρμόσας ἑκατέραν. Καὶ τοιαύτη φαίνεται, μονόβιβλος, ἡ παρὰ τῷ Μ. Ἀλεξάνδρῳ « ἐκ τοῦ Νάρθηκος» λεγομένη Ἰλιάς (Πλούτ. Ἀλεξ.). Καὶ ἐξ ἄλλων δὲ καὶ ἐκ τοῦ Οὐλπιανοῦ (Digest. L. 32, 50). βλέπομεν μεγάλα συγγράμματα εἰς ἓν εἰλητάριον ἐμπεριεχόμενα. Πότε δὲ τὸ πρῶτον ἤρξαντο συναρμόζειν τὰς μεμβράνας, ἢ διφθέρας, εἰς ἓν σωμάτιον, ἢ τόμον, ἄδηλον. Ὁ Οὐόσσιος κατάγει (κατωτέρω τοῦ δέοντος ἴσως) τὴν ἀρχὴν τοῦ πράγματος εἰς τοὺς χρόνους Ἀττάλου, Βασιλέως Περγάμου. Ἀλλὰ τὰ περὶ τούτων ἔχουσι διαφόρους ἀντιλογίας. Βλ. J. Voss. ad Catul. p. 50. - Salmas. ad Solin. p. 270, 706. et de modo Usur. c. 10. - Schikart de festo Purim. - Calmet. Dissert. I. (ad calcem. Comm. in Genes.). - Montfauc. Palaeograph. p. 34. - Schwarz de ornament. libror. p. 213. καὶ Laur. Valla Elengant. L. VI. c. 43: πρβλ. καὶ Rambachs Archaeolog. Untersuchungen pag. 295. Οὗτος ἐκ τοῦ Jugler (Biblioth. Histor. Literat. Tom. I. p. 140), ἀναφέρει, καὶ ὅτι ἐν τῇ Ἀλεξανδρινῇ βιβλιοθήκῃ εὑρίσκετο ἀντίτυπον τῆς ἑλληνικῆς (κατὰ τοὺς Ο) ἑρμηνείας τῆς Πα-

φέροντες πρὸς ἀπόδειξιν, ὅτι καὶ οἱ Σαμαρεῖται ἔχουσι παρὰ τῇ Πεντατεύχῳ καὶ τὸ βιβλίον τοῦ Ἰησοῦ, ὡς κανονικόν (α). Ἀποδέχονται δὲ καὶ οἱ κριτικοὶ τὸν τῆς Πεντατεύχου μετ' ἄλλων βιβλίων εἰς ἕνα τόμον συστοιχισμόν. Οὕτως ὁ Καρψόβιος διαιρῶν (κατὰ τὴν παρ' Ἑβραίοις τριχοτομίαν) *τὰ ἁγιόγραφα* ἀπό τε τῶν *προφητικῶν καὶ τῆς Πεντατεύχου*, ὑπενόησεν ἅπαντα ταῦτα εἰς ἕνα κώδηκα περιεχόμενα, ἀπὸ τῆς Γενέσεως, μέχρι τοῦ τέλους τῶν Παραλειπομένων, (β). Τελευταῖον· Ἐν αὐτῇ τῇ ἱερᾷ Γραφῇ

---

λαιᾶς Διαθήκης, γεγραμμένον γράμμασι χρυσοῖς, καὶ διῃρημένον εἰς τόμους 72, Οὐκ ἔχομεν ἀνὰ χεῖρας τὸ τοῦ Ἰυγλέρου σύγγραμμα τοῦτο· οὐδ' ἄλλῳ τινὶ περιετύχομεν τοιούτου κώδηκος μεμνημένῳ. Μήποτε δὲ Χ ρ υ σ ό γ ρ α φ ο ν ἑρμηνείαν λέγει τὴν ὑπὸ τῶν Ο, δ ω ρ ο φ ο ρ η θ ε ῖ σ α ν χρυσόγραφον τῷ Φιλαδέλφῳ ἑβραΐδα Γραφήν; (βλ. ὄπισθ. βιβλ. Α. κεφ. κβ. σελ. 629)· ἀλλ' ὁποιανδήποτ' ἂν λέγῃ, συμμαρτυρεῖ μετὰ τῶν ἄλλων τῶν νεωτέρων καὶ Ἰύγλερος, ὅτι πᾶσαν οἱ Ο, μετέφρασαν τὴν Γραφήν.

(α) Βλ. Bleck's Einig. Aphor. Beitraege zu den Unters. über den Pentateuch in Rosenmüllers Biblis - Exegetisches Repertorium etc. ς. Bd. p. 57.

(β) Carpzov. Crit. Sacr. part. 1. c. 4. §. 3. p. 137. Ἀλλ' ὅτι μὲν ἠδύναντο καὶ τοιοῦτοι κώδηκες γενέσθαι παρ' Ἰουδαίοις, τοῦτο πιθανόν, οὐδὲ παράδοξον εἶπεν ὁ κριτικός. Ὁ δὲ λόγος εἰς ὃν ἐπιστηρίζει τὴν τοιαύτην εἰκασίαν, φαίνεται καὶ σφόδρα παράδοξος· λέγει δὲ τοιαῦτα. «Εἴπερ (φησὶν) ὁ Ζαχαρίας ἐκεῖνος, «ὃ ν ἐ φ ό ν ε υ σ α ν μ ε τ α ξ ὺ τ ο ῦ ν α ο ῦ κ α ὶ τ ο ῦ θ υ σ ι α σ τ η ρ ί ο υ (Ματθ. κγ, 35) ὑπῆρχεν ὁ ἐν τῷ ναῷ φονευθεὶς υἱὸς Ἰωδαέ, τ ο ῦ α ὐ τ ο ῦ κ α ὶ Β α ρ α χ ί ο υ (ὅπερ, λέγει, καὶ ἀπέδειξεν (!) ἀλλαχοῦ· ἐν Introduct ad Libr. V. T. P. III. c. 17. §. ι), ἤρχετο λοιπὸν ὁ κώδηξ ἀπὸ τῆς Γενέσεως (ὅθεν εἶπεν ὁ Σωτὴρ «ἀ π ὸ α ἵ μ α τ ο ς Ἄ β ε λ». Γενέσ. δ, 10), καὶ ἔληγε μετὰ τῆς Β, τῶν Παραλειπομένων, ὅπου ἱστορεῖται ὁ φόνος Ζαχαρίου τοῦ υἱοῦ Ἰωδαὲ (β. Παραλ. κδ, 26· ὅθεν εἶπε πάλιν ὁ Σωτήρ, «ἕ ω ς α ἵ μ α τ ο ς Ζ α χ α ρ ί ο υ υ ἱ ο ῦ Β α ρ α χ ί ο υ». Ματθ. αὐτ.). Ὥστε ὁ λόγος τοῦ Σωτῆρος συμπεριλάμβανεν ἐν τοῖς δυσὶ τούτοις παραδείγμασι πάντας τῶν δικαίων τοὺς φόνους, τοὺς ἱστορουμένους ἀπὸ τῆς Γενέσεως μέχρι τέλους τοῦ κώδηκος τῆς παλαιᾶς Γραφῆς» κτλ. — Ταῦτα πῶς οὐ παράδοξα; Α) Ἐπὶ τοῦ Σωτῆρος ἡμῶν ἡ τοιαύτη τοῦ ἱεροῦ κώδηκος τριχοτομία παρ' Ἰουδαίοις ἄγνωστος ἦν, ὡς ἀπεδείχθη προηγουμένως (σελ. 428: πρβ. καὶ σελ. 405. σημ.). Β) Καὶ κατ' αὐτὴν τὴν τριχοτομίαν, ὁπότ' ἂν αὕτη καὶ τεθῇ, ὁ Κώδηξ τῆς Παλαιᾶς Γραφῆς ἔληγεν οὐκ εἰς τὴν β, τῶν Παραλειπομ. ἀλλ' εἰς τὴν ἐσχάτην τῶν Ἁγιογράφων Ἐσθὴρ· καὶ μάρτυς ὁ Ἱερώνυμος (Prol. Galeat. et in Bibliothec. Divina). Ὁ δὲ κριτικὸς τιθεὶς τὰ Παραλειπόμενα κατόπιν τῆς Ἐσθήρ, καὶ τοῦ Ἔσδρα, καὶ Νεεμίου, ὑποτίθησι π ρ ᾶ γ μ α ἀντιβαῖνον εἰς τὴν χρονολογικὴν τάξιν τῶν βιβλίων· Γ) Τὸ κδ, κεφάλαιον (ἐν ᾧ ὁ φόνος Ζαχαρίου) οὐκ ἔστι τέλος τῆς β, τῶν Παραλειπομένων, ἀλλὰ τὸ λς. ὁ δὲ Καρψόβιος παρεῖδε τὰ ἀπὸ

ἀναγινώσκομεν ὅλων τῶν κανονικῶν βιβλίων τὸν κώδηκα νῦν μὲν κατὰ βίβλους (εἰλητάρια) διηρημένον· ὡς, « *τὰ βιβλία τὰ ἅγια* » (α. Μακ. ιβ, 9) καὶ « *τὰ βιβλία τοῦ νόμου* » (ὄπισθ. σελ. 486), καὶ τοιαῦτα εἰλητὰ διαφόρων βιβλίων τῆς Γραφῆς εἶχον οἱ Ἰουδαῖοι μέχρι τῶν Θεοδωρήτου χρόνων (420 π. Χ. βλ. ὄπισθ. σελ. 377)· σῴζονται δὲ καὶ νῦν ἐν ταῖς βιβλιοθήκαις· ἄλλοτε δὲ πάλιν βλέπομεν ὅλας τὰς κανονικὰς βίβλους περιεχομένας εἰς ἕνα καὶ μόνον τόμον (ἐκ τετραγωνικῶν ἴσως διφθερῶν), ὅλον συνεστηκότα καὶ συμπαγῆ, καθὼς δηλοῖ «*τὸ βιβλίον τῆς Διαθήκης*» (σελ. 473). Τοιοῦτο Διαθήκης βιβλίον (ὅλων τῶν κανονικῶν γραφῶν περιεκτικὸν) φαίνεται κἀκεῖνος ὁ *Νόμος* (ὡς ὀνομάζει Ἰώσηπος τὸν ἱερὸν κώδηκα, κατὰ τὴν καθολικὴν τοῦ *νόμος* σημασίαν) ὁ μέχρι τῆς ἐσχάτης ἁλώσεως ἐν τῷ ναῷ τῶν Ἱεροσολύμων (ἀπὸ τῶν Ἔσδρα χρόνων, ἴσως, σῷος καὶ ἐπ᾽ αὐτῆς τῆς Ἀντιόχου μανίας) διαφυ-

---

*τοῦ κδ, καὶ ἐφεξῆς ιβ, κεφάλαια, ὅπου ἱστοροῦνται καὶ ἄλλοι μετὰ τὸν τοῦ Ζαχαρίου φόνοι δικαίων (εἰ καὶ ἀνωνύμως), ὡς οἱ ὑπὸ τοῦ Μανασῆ, « ὅ σ τ ι ς ἔ π λ η σ ε τ ὴ ν Ἱ ε ρ ο υ σ α λ ὴ μ α ἵ μ α τ ο ς ἀ θ ῴ ο υ », καὶ οἱ τοῦ Ἰωακεὶμ (β, Παραλ. λς, 5. πρβλ. δ. Βασιλ. κα, 16, κδ, 4. Ἱερεμ. λγ. 20 καὶ Ἰώσηπ. Ἀρχ. I. γ. §. 1). Δ) Λίαν ἄτοπα λέγει, διορίζων τὴν κατὰ τῶν μιαιφόνων θείαν δίκην πρὸς τὸ μέτρον τῆς περιοχῆς τῶν ἄλλοτε ἄλλως ποικιλλομένων κωδήκων. Ἂν ὑποτεθῶσι κώδηκες λήγοντες εἰς τὴν Β. τῶν Παραλειπομένων, ἦσαν πάλιν καὶ ἄλλοι λήγοντες εἰς τὴν Ἐσθὴρ, ἀλλὰ μήπως ὁ Σωτὴρ ἡμῶν ἐκφωνῶν τὸν τελευταῖον ὄλεθρον τῶν προφητοκτόνων, ἀπέβλεπε πρὸς τὴν παρ᾽ Ἰουδαίοις ποικιλομένην τριχοτομίαν, καὶ τὰ γραμμικὰ κανόνια τῶν βιβλιογράφων καὶ βιβλιοπηγῶν τοῦ ἑβραϊκοῦ κώδηκος; Ε) τὸ ἀτοπώτατον· ἀποκλείει τῆς θείας δίκης, ὡς ἀθῴους, τοὺς φονεῖς τῶν μετὰ τὸν Ἰωδαΐδην Ζαχαρίαν ἀποκτανθέντων δικαίων καὶ προφητῶν, ὧν ἕνα καὶ ὀνομάζει, Οὐρίαν, ὁ θεῖος Ἱερεμίας. λγ. 20. (καὶ αὐτὸν δὲ τὸν Ἱερεμίαν ἐν Τάφναις τῆς Αἰγύπτου κατὰ τὴν αἰχμαλωσίαν ὑπὸ τῶν Ἰουδαίων φονευθέντα ἱστορεῖ ἡ Ἐκκλησιαστικὴ παράδοσις). ϛ) Ὁ Πατὴρ τοῦ Ζαχαρίου οὐδαμοῦ τῶν Γραφῶν ὀνομάζεται Βαραχίας, οὔτε διώνυμος Ἰωδαὲ καὶ Βαραχίας, ἀλλὰ πάντοτε καὶ πανταχοῦ καὶ παρ᾽ αὐτῷ τῷ Ἰωσήπῳ, Ἰωδαέ. Ἄλλος οὖν ὑπῆρχεν ὁ παρὰ τῷ θείῳ Ματθαίῳ Ζαχαρίας τοῦ Βαραχίου· τοῦτον δ᾽ εἶναι τὸν αὐτὸν καὶ τὸν πατέρα τοῦ θείου Προδρόμου Ζαχαρίαν (Λουκ. α, 5. γ, 2) ἄλλοι τε τῶν ἀρχαίων καὶ θείων Πατέρων εὐλόγως κεκρίκασι, καὶ Πέτρος ὁ Ἀλεξανδρείας ἐν τοῖς ἱεροῖς αὐτοῦ κανόσι (Καν. ΙΓ)· οὓς ἐπεσφράγισε καὶ ἐκύρωσεν ἡ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία. (ϛ, Οἰκουμενικ. Συνόδ. καν. Β). Ταῦτα ἐν ὀλίγοις πρὸς τὴν περὶ τῆς μορφῆς τῶν ἑβραϊκῶν κωδήκων παράδοξον γνώμην τοῦ Καρψοβίου.*

λαχθεὶς, ὅστις, τελευταῖος τῶν ἐκ τῆς καταστραφείσης πόλεως λαφύρων φερόμενος, ἐστόλιζε τὸν ἐν Ῥώμῃ θρίαμβον τοῦ Οὐεσπασιανοῦ καὶ τοῦ Τίτου, καὶ, τέλος, ἀπετέθη ἐν τοῖς βασιλείοις (α).

§. κθ. Ταῦτα τοίνυν καὶ εἴ τι ἄλλο τοιοῦτο κατὰ νοῦν ἔχων ὁ Βοβέριος, εἶπε συντόμως, ὅτι ἡ Πεντάτευχος οὐκ ἦν κεχωρισμένη τῶν λοιπῶν βιβλίων τῆς Γραφῆς. Ὁ δὲ Ὅδιος ἔπαθεν ἀνθρώπινα, νομίσας αὐτὴν ἴδιον σωμάτιον ἀείποτε συνιστῶσαν, χωρὶς τῶν ἄλλων. Μνημονεύει τοὺς ἐν διαφόροις γλώσσαις εὑρισκομένους μονοτόμους κώδηκας μόνης τῆς Πεντατεύχου· ἀλλ᾽ οὐδόλως ἐνεθυμήθη καὶ τοσούτους ἄλλους πάλιν μονοτόμους, περιέχοντας ὅλας τὰς κανονικὰς γραφὰς, οὐδ᾽ αὐτὸν γοῦν τὸν ἐν Λονδίνῳ τεθησαυρισμένον Ἀλεξανδρινὸν κώδηκα, ὅστις ἐμπερικλείει πάντα τὰ θεῖα πυκτία τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, ἀθρόα συνεστοιχωμένα, οὐδὲ τὸν Βατικανὸν, καὶ εἴ τι ἄλλο παλαιότατον τῶν σωζομένων ἀπογράφων. Καὶ ἄλλον δὲ κώδηκα τῶν ἀρχαίων μνημονεύει ὁ Κασσιόδωρος, ὅλων τῶν βιβλίων τῆς Π. Γραφῆς περιεκτικόν (β). Ὁ δὲ κριτικὸς οὐδὲ τοῦτον γοῦν ἐνταῦθα (§. ια) ἐνεθυμήθη, ἐν ᾧ παρακατιὼν (§. ιβ) καὶ αὐτοῦ τοῦ Κασσιοδώρου τὴν ῥῆσιν ἐπὶ λέξεως ἀντιγράφει, καὶ τὸ μονότομον τοῦ κώδηκος ὁμολογεῖ (βλ. ἐφεξῆς §. λ). Μνημονεύει τὴν ὑπὸ Ὀγκέλου Χαλδαϊκὴν παράφρασιν μόνης τῆς Πεντατεύχου, ὡς μονοτόμου· ἀλλ᾽ ἀπεσιώπησε τοσούτους ἄλλους ὁλοσχερεῖς καὶ μονοτόμους κώδηκας ἑβραϊκοὺς, καὶ μάλιστα τὸν Χιλλέλειον, καὶ τὸν Αἰγύπτιον, οὓς ἀρχαίους θέλουσι ῥαββίνων παῖδες (ὅθεν καὶ *βίβλον*, καὶ *βίβλους* καλοῦσιν

---

(α) Ἰώσηπ. Ἰουδ. πολέμ. Ζ. ε. §. 5 καὶ 7. Τινὲς δὲ τὸ Νόμος ἐνταῦθα ἐξέλαβον ἐπὶ μόνης τῆς Πεντατεύχου (Schleusn. Lex. N. T. v. Νόμος)· ἀδίκως· διότι ποῦ καὶ ἄλλοθι, εἰμὴ ἐν τῷ ναῷ ὤφειλε τηρεῖσθαι τὸ τελειότατον χειρόγραφον ὅλων τῶν κανονικῶν θείων Γραφῶν;

(β) « Tertia Scripturae divisio est - in codice grandiore, litera clariore conscripto, qui habet quaterniones 95, in quo LXX. Interpret. translatio V. T. in libris 44 continetur ». Cassiod. Institut. Div. c. 14. apud Hody pag. 177.

οἱ Ταλμουδικοὶ τά τε κατὰ μέρος τεύχη, καὶ ὅλον περιληπτικῶς τὸν κώδηκα τῆς Γραφῆς) (α). Ὁ δὲ κλεινὸς Κεννικῶτος ἀπηρίθμησε πλείονας τῶν πεντήκοντα ἑβραϊκῶν κωδήκων, ἐν διαφόροις βιβλιοθήκαις ἀποκειμένων, οἵτινες περιέχουσιν ὅλα τὰ βιβλία τῆς Γραφῆς ἐν σωματίῳ ἑνὶ, καὶ πάλιν ἄλλους τοιούτους ὕστερον ὁ περιώνυμος Ῥόσσις (β). Καὶ ταῦτα μὲν ταύτῃ.

§. λ. Περὶ δὲ τοῦ ἀριθμοῦ τῶν ὑπὸ τῶν Ο, ἑρμηνευθέντων βιβλίων τῆς Γραφῆς λέγομεν ἐκτενέστερον ἀλλαχοῦ (Βιβλ. Δ). Τοὺς δὲ Γαλατίνους, καὶ Καρίωνας, καὶ ὅσους ἄλλους ῥωπογράφους ἀνέφερεν Ὅδιος (παραβάλλων αὐτοὺς πρὸς τοὺς περὶ τὸν Ἱεροσολύμων Κύριλλον κτλ.), παρατρέχομεν σιωπῶντες. Οὔτε κίβδηλα νομίσματα ἀτιμάζουσι τὴν ἀξίαν τῶν πρὸς ἃ μεμίμηνται γνησίων, οὔτε παραδοξασίαι ληρούντων ἀνθρώπων καταχραίνουσι τὴν ἀλήθειαν· ἀλλ' ὁ κριτικὸς παρενείρει συνήθως πρὸς τοὺς λόγους τῶν σπουδαίων καί τινας ἄλλας μωρολογίας, « *σβεννύων ἥλιον καπνῷ* ». Πρὸς δὲ τὸν Κοτελέριον διορθοῦντα δικαίως τὸν παρ' Ἐπιφανίῳ ἡμαρτημένως ἐκδεδομένον ἀριθμὸν μὴ συγκαταφάσκων, κάκιστα ποιεῖ· συνομολογήσει δὲ καὶ πᾶς τις ἀπαθῶς ἀναγινώσκων τὸ χωρίον τοῦ ἱεροῦ Ἐπιφανίου. Ἀδίκως ἔψεξεν ὁ κριτικὸς καὶ τὸν ἱερὸν Κασσιόδωρον, ὡς νομίσαντα ἔργον τῶν Ο, καὶ τὴν ἑρμηνείαν τοῦ Σειρὰχ καὶ τῶν Μακκαβαίων. Ὁ Κασσιόδωρος ἁπλῶς ἀπαριθμεῖ τὰς μδ, βίβλους, ὅσας περιέχει ὁ παρὰ τῆς Ἐκκλησίας παραδεδεγμένος κώδηξ τῆς παλαιᾶς Γραφῆς, ἐν ᾧ καὶ ἡ τῶν Ο περικλείεται ἑρμηνεία, ἀφ' ὧν καὶ συνήθως παρονομάζεται (ὡς τούτων συμπλη-

---

(α) Hotting. Thes. Phil. p. 106 sq. καὶ 101 - Jac. Capell. Observat. in Pentat. ad calcem Lud. Capell. Comment. p. 579.

(β) Βλ. B. Kennicot. Dissert II. super ratione Test. Hebr. V. T. p. 501—517 etc. (Lipsiae 1765), *ὅπου καταλέγονται καὶ ἄλλοι κώδηκες ὅλης τῆς Γραφῆς δίτομοι, καὶ τρίτομοι, καὶ ἕτεροι πάλιν περιέχοντες οἱ μὲν ὅλα, οἱ δέ τινα τῆς Πεντατεύχου, οἱ δὲ μόνα τὰ προφητικὰ, ἢ τὰ ἁγιόγραφα, καὶ ἢ συνάμα, ἢ καθέκαστα κατὰ μέρος, κτλ. Τοιοῦτον κατάλογον πλατύτατον ἐξέδωκεν ὕστερον καὶ* J. B. De-Rossi in Apparat. Hebraeo-biblicus etc. Parmae 1782 *καὶ* in Variae Lection V. Test. etc. Parmae, 1784.

ρούντων πάντα, παρ᾽ ὀλίγον, τῆς βίβλου τὸν ὄγκον). Πόσα δὲ τῶν ἐν αὐτῷ βιβλίων μετὰ τοὺς Ο συνεγράφησαν, ἐγνώριζε πάντως, οὐχ ἧττον τοῦ κριτικοῦ, καὶ ὁ λαμπρὸς ἔν τε λόγοις ἐπίσης, καὶ ἐν βασιλείοις, καὶ μοναστηρίοις ἀκμάσας, ὁ *ὕπατος*, ὁ *συγγραφεὺς*, ὁ *ἀββᾶς* Κασσιόδωρος, τὴν πατρίδα Καλαβρὸς (τῷ 514—575). Ὡμολόγησεν ἐφεξῆς τὴν ἀληθινὴν τοῦ Κασσιοδώρου γνώμην καὶ ὁ κριτικὸς, ἀλλ᾽ ἡ ὁμολογία αὕτη ἐπήχθη στάλιξ ἄλλου δικτύου, δι᾽ οὗ πειρᾶται παρασύρειν καὶ τὸν Ὠριγένην αὐτὸν, ὡς μνημονεύοντα δῆθεν τὴν Σωσάννης ἱστορίαν οὐχὶ κατὰ τὴν ἑρμηνείαν τῶν Ο, ἀλλὰ διότι ἔκειτο ἐν τῷ αὐτῷ τόμῳ μετὰ τῶν τευχῶν τῆς κατὰ τοὺς Ο θείας Γραφῆς. Δι᾽ ὅλης τῆς πρὸς τὸν Ἀφρικανὸν ἐπιστολῆς [ἣν καὶ Ἱερώνυμος ἐν τῷ καταλόγῳ τῶν ἐκκλησιαστικῶν συγγραφέων ὠνόμασε *σοφὴν* (doctam), ἢ *δεδοκιμασμένην*, ὡς ἡρμήνευσε τὴν λέξιν ὁ Σωφρόνιος, αὐτόθ.] διδάσκει τὸν Ἀφρικανὸν ὁ Ὠριγένης, ὅτι καὶ ἡ Σωσάννα γνήσιόν ἐςι μέρος τῆς προφητείας τοῦ Δανιὴλ, καὶ ἡ τοῦ Βὴλ καὶ δράκοντος ἱςορία, ὅπερ καὶ «*τελευταίαν περικοπὴν τοῦ Δανιὴλ*» ἐκάλεσε κατὰ λέξιν, προστιθεὶς, ὅτι οὐ μόνον ἐν τῇ τῶν Ο, ἀλλὰ κἀν τῇ Θεοδοτίωνος ἑρμηνείᾳ τοῦ Δανιὴλ κεῖνται καὶ ταῦτα καὶ ἡ Σωσάννα. Ὁ δὲ σοφὸς Ὅδιος οὐκ ὤκλασε παρασπῶν καὶ τὸν Ὠριγένην ὡς ὁμόφρονα τῆς καινοτόμου δόξης, ἥτις ἀπέκοψε τὰς ἱστορίας ταύτας ἐκ τοῦ τεύχους τοῦ Δανιὴλ, ἅτε δῆθεν ἀποκρύφους μυθολογίας, ἀρχηγέτην καὶ τούτου τοῦ θράσους προβαλλομένη τὸν Ἱερώνυμον· ἀλλὰ περὶ τούτων μὲν ἰδίως ἐν τῷ οἰκείῳ τόπῳ. Ὅσα δὲ περὶ τῆς ἰδίας Ἱερωνύμου γνώμης ὑποσυνῆψεν ὁ κριτικὸς ἐξηλέγχθησαν ἐκεῖ παρὰ πόδας (σελ. 421). Τελευταῖον, περιέφερε πάλιν καὶ τοὺς νεωτέρους Γραικοὺς ἔσχατον τῆς τρυφώσης αὐτοῦ σοφίας τρωγάλιον, κατεξελέγχων αὐτοὺς, ὅτι δῆθεν ἔπλασαν καὶ βίβλον ἀνήκουστον, *Ὀπτασίας τοῦ Δανιὴλ*, λέγοντες καὶ ταύτας ἑρμηνευθείσας ὑπὸ τῶν Ο! (σελ. 421). Ἀλλ᾽ ἡ μὲν ἀθλία σημείωσις τοῦ Ἀνωνύμου (μεθ᾽ οὗ συμπεριέλαβεν ἀθρόους καὶ πάντας τοὺς κατ᾽ αὐτὸν Γραικύλους ὁ μεγαλεπήβολος κριτικὸς) συνέχεε προφανῶς τὰς ψευδῶς εἰς τὸν Δανιὴλ ἐπιγεγραμμένας χρησμολογικὰς ὀπτα-

σίας, πρὸς ἃς οἱ Ο ἡρμήνευσαν θείας *ὁράσεις*, ἢ *ὀπτασίας* τοῦ προφήτου, αὐτὰς δηλονότι τὰς προφητείας τοῦ Δανιὴλ, ὡς ἐπιγράφονται ἀπὸ τοῦ α, μέχρι τοῦ ιϐ, κεφαλαίου. Καὶ μαρτυρεῖ μὲν τὸ Ἀλεξανδρινὸν χειρόγραφον, « *Ὅρασιν* » ἔχον ἐπιγεγραμμένον ἕκαστον τῶν εἰρημένων κεφαλαίων τοῦ Δανιήλ· μαρτυρεῖ δὲ καὶ ἄλλος κώδηξ παλαιὸς τῆς Κοισλιανῆς βιϐλιοθήκης (ἀπὸ τῶν ἐν Ἄθωνι βιϐλιοθηκῶν ἐκεῖ μετακομισθεὶς), ὅστις καὶ αὐτὸς τὰ ῥηθέντα ια, κεφάλαια τοῦ προφήτου περιέχει ῥητῶς ἐπιγεγραμμένα· « *Ὁράσεις ἕνδεκα τοῦ προφήτου Δανιὴλ* » (α). Ὅθεν καὶ ὁ ἱερὸς Ἀθανάσιος (ἐν τῇ Συνόψει τῆς Γραφῆς) συνοψίζων τὸν Δανιὴλ, « βλέπε δὲ (λέγει) καὶ *ὁράσεις τελείας* ». Καὶ πολὺ δὲ πρότερον ὁ ἱερομάρτυς Ἱππόλυτος (περὶ τὰ τέλη τοῦ β, αἰῶνος) ὠνόμαζε « τὰς τῶν *δραμάτων* προφητείας τοῦ μακαρίου Δανιήλ » (β). Καὶ Σουλπίκιος ὁ Σεϐῆρος ὡσαύτως εἶπε « *τὰς ὁράσεις Δανιὴλ* » (γ), καὶ αὐτὸς ὁ Ἱερώνυμος οὐχ ἅπαξ ὠνόμασε *τὰς ὁράσεις*. Ἐντεῦθεν προῆλθεν ἡ τῆς ἀμούσου σημειώσεως σύγχυσις. Ὁ δὲ σοφὸς Ὅδιος πολλαχῶς ἠσχημόνησε, βαρϐάρως μὲν ἀντιγράψας ἣν ἀνέφερε σημείωσιν (§. ιβ), ἀσμένως δὲ ταύτην ἀποδεξάμενος, οὕτω προφανῶς ληροῦσαν, καὶ συμφύρουσαν τὰς θείας τοῦ προφήτου Δανιὴλ ὁράσεις πρὸς τὸ χρησμολογικὸν βιϐλιδάριον (δ), καὶ, τέλος,

---

(α) Biblioth. Coislian. Cod. IV. p. 39. παρὰ Demagistr. in ἐκδόσει Δανιὴλ κατὰ τοὺς Ο. praefat. p. XVII.

(β) Ἱππολύτ. λείψαν. παρὰ Demagistr. in Edit. Δανιὴλ κατὰ τοὺς Ο, pag. 95.

(γ) « Visiones ejus, quibus consequentium saeculorum ordinem revelavit » Sulp. Sever. Hist. L. II. c. 7.

(δ) Τούτου τοῦ Βιϐλιδαρίου ἐμνημόνευσε καὶ ὁ πολλοὺς αἰῶνας πρότερον Ὀδίου ἀκμάσας Λουϊπράνδης, ὅστις καὶ πολὺ παρὰ τὸν Ὅδιον δικαιότερον διέκρινεν αὐτὸ, προσειπὼν Σιϐυλλιακόν. « Habent Graeci et Saraceni libros, quos ὁ ρ ά σ ε ι ς, sive visiones Denielis vocant, in quibus scriptum reperitur quot annis Imperator quisque vivat » etc. (Luitprand. in Legatione ad Nicephor. Phocam Imperat. Constantinop. etc). Τοιαῦτα καὶ ἄλλα ψευδεπίγραφα χρησμολογικὰ βιϐλία περιεφέροντο· οἷον, Ὁ ρ ά σ ε ι ς τ ο ῦ ἁ γ ί ο υ Π α ύ λ ο υ.—Ἡ τελευταία ὅρασις τοῦ Προφήτου Δανιὴλ διὰ Μεθοδίου Πατάρων, κτλ. (βλ. Fabric. Codex pseudepigraph. V. T. p. 1136. —Meurs. Glossar. λ. Ὁράσεις.—Du-Cange εἰς Ζωναρ.)·

δὶ αὐτὴν προπηλακίσας πάλιν ὅλους τοὺς νεωτέρους Ἕλληνας!

§. λα. Ἀλλ' ὅτι μὲν οἱ Ο, μεθηρμήνευσαν οὐχὶ μόνην *τὴν Πεντάτευχον*, ἀλλὰ καὶ πάσας τὰς κανονικὰς βίβλους τῆς Παλαιᾶς θείας Γραφῆς, λέγομεν καὶ ἐν τοῖς ἐφεξῆς, συγκεφαλαιοῦντες τὰς ἀποδείξεις (κεφ. θ. §. κθ). Ἤδη δὲ μεταβαίνομεν εἰς ἄλλα θεωρήματα τῆς Ὀδιακῆς πολυμαθείας.

## ΚΕΦΑΛΑΙΟΝ Η'.

*Περὶ τοῦ βιβλίου Ἰησοῦ τοῦ Ναυῆ, πότε μετεφράσθη.*

§. α. Οἱ περὶ τὸν Ὅδιον σοφοὶ καὶ *ἄλλου ἄθλου πειρῶνται*, σπουδάζοντες, ὅπως καὶ ἐκ τοῦ χαρακτῆρος τοῦ λόγου καὶ τῆς φράσεως ἐξελέγξωσι πάντα τὰ λοιπὰ (πλὴν τῆς Πεντατεύχου) βιβλία τῆς Γραφῆς ἑρμηνευθέντα πολὺ νεώτερον τῆς ἱστορουμένης ἐποχῆς τῶν Ο. Ἓν ὁλόκληρον κεφάλαιον ἐν ὅλαις ἐννέα ἵμεγάλαις σελίσι συνέταξεν ὁ πολὺς Ὅδιος (σελ. 178—187), να μόνον τὸ τοῦ Ἰησοῦ βιβλίον ἐκ μιᾶς καὶ μόνης λέξεως, τῆς *γαισὸς*, ἀποδείξῃ μετὰ τὴν τοῦ Λάγου Πτολεμαίου τελευτὴν (καὶ ἑπομένως πολὺ ὕστερον τῆς ἐπὶ ζῶντος ἔτι τούτου τιθεμένης ἐποχῆς τῶν Ο) μεθηρμηνευμένον. Ἰδοὺ τὸ ἀπάνθισμα καὶ τούτων τῶν παρὰ πολλοῖς καὶ ἄλλοις νεωτέροις κριτικοῖς κεκροτημένων ἀποδείξεων αὐτοῦ (α).

§. β. Πιθανὸν (λέγουσιν), ὅτι ἡ τῶν Ο μετάφρασις ἐγένετο κατὰ τοὺς δύω τοὺς τελευταίους Πτολεμαίου τοῦ Λαγίδου χρόνους, ὁπότε συνεβασίλευσεν αὐτῷ ὁ υἱὸς ὁ Φιλάδελφος (βιβ. α. κεφ. ς. §. β, σελ. 127, κτλ.)· ἀλλὰ καὶ τούτου δοθέντος, μόνη τότε ἡ Πεντάτευχος φαίνεται μεταγλωττισθεῖσα· τὸ δὲ τεῦχος Ἰησοῦ τοῦ Ναυῆ μία λέξις, ἡ *γαισὸς* (β), ἐξελέγχει χρόνους τινας ὕστερον μετὰ τὸν Λαγίδου θάνατον ἐξελληνισθέν· α) διότι ἡ λέξις *γαι-*

(α) Βλ. Horne, An Introduction to the crit. Study etc. vol. 2. part. 1. p. 208. κτλ. — (β) «Ἔκτεινον τὴν χεῖρά σου ἐν τῷ γαισῷ» (Ἰησ. η, 18). Ἡ δ' αὐτὴ λέξις κεῖται καὶ ἐν Ἰουδείθ, θ, 7. «Ἤλπισαν ἐν ἀσπίδι καὶ γαισῷ».

σὸς ὑπάρχει Γαλλική· β) οἱ δὲ Γάλλοι εἰσέβαλον εἰς τὴν Ἀσίαν μετὰ τὴν Λαγίδου τελευτήν. (α).

§. γ. Καὶ ὅτι μὲν τὸ γαισὸς Γαλατῶν ἐςὶν ὄνομα, σημαῖνον *ἀκόντιον* (β), καὶ ὅτι ἀπὸ τούτων παρέλαβον τὴν φωνὴν καὶ Ἕλληνες μετὰ τῶν Ῥωμαίων, ὑπάρχει πρᾶγμα παμμαρτύρητον (testatissimum) καὶ σαφέστατον. Ὁ Ῥωμαῖος Στάτιος ἀπέδωκε

---

(α) Κέλται, καὶ Κελτοὶ, καὶ Γαλάται, καὶ Γάλλοι οἱ αὐτοί. Τὸ δ' ἀρχαιότατον, Κέλται, οἱ νεμόμενοι τὴν Ναρβωνῖτιν ἐπικράτειαν (Γαλλίας) — « ἀπὸ τούτων οἶμαι καὶ τοὺς σύμπαντας Γαλάτας Κελτοὺς ὑπὸ τῶν Ἑλλήνων προσαγορευθῆναι » (Στράβ. δ. 189). Ὅθεν ὁ Ἡσύχ. Κελτοὶ, ἔθνος Γαλατῶν ». Κελτοὶ ἐλέγοντο καὶ καθ' ἑαυτούς. Παυσαν. α, 3, καὶ σημ. Kühn· πρβλ. Caes. Bell Gal. l. ὕστερον δὲ, Γάλλοι, λατ. Galli, ὅθεν καὶ τὸ Gaulois. Τὸ δὲ Γαλάτης ἐκ τοῦ Γάλλος ὑφέσει τοῦ ἑνὸς λ » (Στέφ. Βυζαντ. λ. Γαλάται). Ἀλλ' ὁ Ἀππιανὸς (Ἰλλυρ. α. §. β. σελ. 831. τ. α. Schw.) ἀποδέχεται τοῦτο μάλιστα (καίτοι μυθευόμενον), ὅτι Πολυφήμου τοῦ Κύκλωπος καὶ Γαλατίας παῖδες Κελτὸς καὶ Ἰλλυριὸς καὶ Γάλας, ἐξ ὧν καὶ οἱ Κελτοὶ, καὶ Ἰλλυροὶ, καὶ οἱ Γαλάται (οὐκ ἄρα τοῦτο παρὰ τὸ Γάλλος, οὔτε παρὰ τὸ Κελτός). βλ. καὶ Σουΐδ. λ. Κελτοί· πρβλ. Ménage Diction. Etymol. m. Celtes, etc. Σημ. ἡμετ.

(β) Γράφεται γαισὸς, γαῖσος, γεσὸς, καὶ τὸ γαισὸν, ἢ γαῖσον, λατ. gaesum gaessum, gessum, gesum = δόρυ ἀνδρικὸν (hastam virilem) (Serv. ad Aeniad.). Λόγχη (Αὐγουστῖν.). Βέλος Γαλατῶν (Nonius)· Δόρυ ὁλοσίδηρον (Πολυδ.). Ἐμβόλιον ὁλοσίδηρον (Ἡσύχ. καὶ Διογενιαν. καὶ Εὐστάθ. εἰς Ἰλ. ε). Ἀκοντίου εἶδος (Γλωσσάρ.)· Δόρυ, ἐν ᾧ τὸν βασιλέα τῆς Γαὶ ἐκρέμασεν (ὁ Ἰησοῦς) ἐπὶ ξύλου διδύμου, - ἢ ἀκόντιον (Εὐσέβ. Ἐμέσ. Σχολ. εἰς Ἰησ.)· Ἐμβόλιον σιδηροῦν, τριηρῶν· οἱ δὲ τὴν φωνὴν τάττεσθαι ἐπὶ τῶν ἀκοντίων, ἃ οἱ Ῥωμαῖοι καλοῦσιν ὑσσούς (Ἐτυμολ. καὶ Ἀππιαν.). Γαῖσα (τὰ) καὶ γαισὸς, κοντὸς, εἶδος ἀμυντηρίου, οἷον δόρατος (Σουΐδ) καὶ λ. Γεσοί. « Ὅπλον, ἢ κοντὸς, μακρόθεν κεντοῦν » (αὐτ.) κτλ. Πλανῶνται δὲ οἱ λέγοντες αὐτὸ ὁλοσίδηρον. καὶ γὰρ εἷς στρατιώτης δύω γαισοὺς ἔφερε καὶ δόρυ (Liv. 8, 8: 9 36)· καὶ Πολύβιος διαγράφων τὸν Ῥωμαίων ὁπλισμὸν λέγει, « ὑσσοὶ δύο, καὶ περικεφαλαία» κτλ. (ϛ, 21). Τί δὲ σημαίνει κυρίως ἡ πρὸς τὸ γαισὸς ἀντιστοιχοῦσα ἑβραϊκὴ φωνὴ Kidon (Κιδὼν) περὶ τούτου διαφέρονται οἱ σοφοί. Ὁ Σύμμαχος καὶ ἡ Βουλγάτα ἔχουσιν ἀσπίδα (καὶ συμφωνοῦσι Γρότιος, Μάσιος, καὶ ἄλλοι). Ἡ δὲ Σ. Σειρὰχ (μϛ, 3) ἔχει ῥομφαίαν (καὶ τοῦτο ἀρέσκει Δρουσίῳ)· Δόρυ, ἢ λόγχην ἡρμήνευσέ τις τῶν ἀρχαίων (παρὰ Προκοπίῳ. Οὕτω καὶ ὁ Pagninus). Βάταβλος δὲ καὶ ἡ Συναγωγὴ πᾶσα Κοντὸν (κοντάριον, τὸ φέρον τὴν σημαίαν)· Σκήπωνα δὲ εἶπε καί τις τῶν ἀρχαίων (παρὰ Προκοπίῳ) κτλ. Hody.

τὸ γαῖσον καὶ εἰς τοὺς ἀρχαίους Ἕλληνας (ἀδείᾳ ποιητικῇ, καὶ κατὰ τὸ σχῆμα τῆς προλήψεως), λέγων τοὺς Ἀδράστου ὀπαδοὺς, καὶ τοὺς ἐπ' Ἀχιλλέως Μακέτας, γαῖσον φέροντας ὅπλον (α). Οὕτω καὶ Σίλιος τοῦτ' ἀπέδωκεν εἰς τοὺς Ἄφρους, ἢ Λίβυας (Poenos) (β). Ὁ δὲ ἱερὸς Αὐγουστῖνος « θαυμάζω (λέγει), πῶς οἱ Ο, γράψαντες γαισὸν, ἠθέλησαν ἐν ἑλληνίδι γλώσσῃ διασημάναι δόρυ, ἢ λόγχην Γαλλικήν ». Καὶ ὁ Καῖσαρ (Πολέμ. Γαλλικ. 3) λίθους καὶ γαῖσα βάλλοντας τοὺς πολεμίους (Γαλάτας) ἱστορεῖ. Λέγει δὲ καὶ Σέρβιος, « Ὑσσὸς (pilum) κυρίως δόρυ Ῥωμαίων, ὡς γαῖσα Γάλλων, σάρισσαι Μακεδόνων. Καὶ Οὐϊργίλιος (Αἰνειάδ. η) « *Ἄλπεια γαῖσα* » (αἱ δὲ Ἄλπεις ὄρη Γαλλίας). Καὶ Προπέρτιος ὡσαύτως (βιβλ. Δ) *γαισοῖς* ὥπλισε τὸν Γαλάτην Βριτόμαρτον. Καὶ Κλαυδιανὸς (εἰς Εὐτρόπ. β) Γάλλων τὰ γαῖσα λέγει. Ὅθεν καὶ τὸν Γάλλον Κάρνον δύο γαῖσα χειρὶ κρατοῦντα εἰκονίζει παλαιὰ λίθινος *εἰκών*. Ἀλλ' ἐκ τῶν Ἑλλήνων ὁ μὲν Πολύβιος τὰς τῶν Γάλλων πρὸς Ῥωμαίους μάχας ἱστορῶν, οὐδὲν ἐμνημόνευσε περὶ τῶν ἀκοντίων αὐτῶν. Ἀλλ' οὐδὲ Διόδωρος ὁ Σικελιώτης, ἐν οἷς διαγράφει τῶν Γάλλων τὸν ὁπλισμόν· λέγει δὲ μόνον ὅτι « λόγχας προβάλλονται, ἃς ἐκεῖνοι *λαγκίας καλοῦσι*, » κτλ. (βιβλ. Ε. §. 30.). Πῶς λοιπὸν ὑπῆρχε Γάλλων ὅπλον *ὁ γαισός; ἀλλ'* ὑπῆρχε· διότι εἶχον καὶ ἀκόντια βλητὰ [πόῤῥωθεν βαλλόμενα, ἢ ἀκοντιζόμενα· τὰ λατινιστὶ missilia, καὶ παρὰ τοῖς Βυζαντινοῖς *ῥιπτάρια*], ὡς ἔκ τε τῶν ἀνωτέρω δείκνυται, καὶ ἐκ τοῦ Ῥωμαίου ἱστορικοῦ Λιβίου (βιβλ. Ι. κεφ. 28). Καὶ Στράβων δὲ (Δ. 196) διαγράφων τῶν Γάλλων τὸν ὁπλισμὸν, « Ἔστι δέ τι (λέγει) καὶ γρόσφῳ ἐοικὸς ξύλον, ἐκ χειρὸς, οὐκ ἐξ ἀγκύλης ἀφιέμενον, τηλεβολώτερον καὶ βέλους, ᾧ μάλιστα καὶ πρὸς τὰς τῶν ὀρνέων χρῶνται θήρας » (ἰδοὺ τὸ γαῖσον). Καὶ Ἀππιανὸς διαγράφων τὰ δόρατα τῶν Γαλατῶν καὶ τῶν Ῥωμαίων (ἅπερ ἦσαν τότε παρόμοια) λέγει· « Τὰ δὲ δόρατα ἦν οὐκ ἐοικότα (ἴσ.

(α) Statius Theb. IV. καὶ Achil. II.

(β) Silius II, 444.

ἀπεοικότα) ἄκοντι, ἃ Ῥωμαῖοι καλοῦσι νησσοὺς (γρ. *καλοῦσιν ὑσσοὺς*) (α), ξύλου τετραγώνου τὸ ἥμισυ, καὶ τὸ ἄλλο σιδήρου, τετραγώνου καὶ τόδε (ἴσ. γρ. *καὶ τοῦδε*), καὶ μαλακοῦ, χωρίς γε τῆς αἰχμῆς » (Ἀππιαν. Ῥωμ. Κελτικῇ). Ὅθεν καὶ Γαισάτας, ἀρχαῖον ἔθνος Κελτικὸν μνημονεύει Στράβων (ε, 212, 216), οἳ καὶ Γεσσάται γράφονται παρὰ Πλουτάρχῳ (Μαρκέλ. §. γ. ϛ.), καὶ ἄλλως Γαιζάται (Πολύϐ. ϐ. 22· ὅπου ὅμως διορθοῦσι *γεσσάται*), καὶ Γαιζῆται (Μ. Ἐτυμ. ἐξ Εὐφορίωνος), καὶ *Γαζάται* (αὐτ. ἐκ τοῦ Πολυΐστορος), καὶ Γαζῆται (Στ. Βυζάντ. λ. γάζα). Ὁ δὲ Πολύϐιος (β, 22), καὶ ὁ Πλούταρχος (αὐτόθ.) καὶ Ὀρόσιος ἐνόμισαν *γαισάτας* παρὰ τοῖς Γαλάταις λέγεσθαι « *τοὺς μισθοῦ στρατευομένους* ». Ἔχει δὲ καὶ Ἡσύχιος « *γαισὸς κατά τινας ὁ μισθός* ». Ἀλλ' ἴσως οἱ περὶ τὸν Πολύϐιον ἠπατήθησαν συγχύσαντες τὸ ὅπλον τὸ γαισὸς πρὸς τὸ γαιὸς, ἢ γάϊος, παρ' Ἰταλιώταις καὶ Ταραντίνοις ὁ μίσθιος (Εὐστάθ. εἰς Ἰλ. β. καὶ Μ. Ἐτυμολόγ.). Λέγουσι δὲ ὅμως οἱ καλούμενοι Καμϐρο-Βρεττανοὶ (Cambro-Britanni, ὧν ἡ διάλεκτος ἔχει πολλὰ κοινὰ πρὸς τὴν ἀρχαίαν Γαλλικὴν) *γύεσιν* (guesin), *τὸν μίσθιον*

(α) Ἀλλὰ μήποτε ὁ Ἀππιανὸς (ὅστις ἠπίστατο, νομίζομεν, οὐ Ῥωμαίαν οὖσαν λέξιν τὴν ὑ σ σ ὸ ς) ἔγραψε γ α ι σ σ ο ὺ ς; ὅπερ ἀντιγραφεὺς ἀμαθὴς ἀντέγραψε γ η σ σ ο ὺ ς (ὡς ἔχει καὶ Δουκάγγιος· « Κοντάριον, γ η σ σ ό ς ». βλ. καὶ Στεφ. Ἐῤῥίκ. Θησαυρ. λ. γαῖσα, ἐκδ. 1834 Paris)· ἀμαθέστερος δὲ τυπογράφος ἔτρεψε τὸ γησσὸς εἰς τὸ ν η σ σ ό ς; Εἰ δὲ πάλιν ὑ σ σ ὸ ς ἔγραψεν ὁ Ἀππιανὸς, (ὡς καὶ ὁ Μέγ. Ἐτυμολ. καὶ ὁ Διογενιανὸς, εἰπόντες « Ῥ ω μ α ῖ ο ι κ α λ ο ῦ σ ι ν ὑ σ σ ο ύ ς »), ἀλλ' ἴσως πάντες οὗτοι ἐννόουν, ὅτι Ῥωμαῖοι καλοῦσι ταῦτα (ὀ ν ό μ α τ ι ῥ ω μ α ϊ κ ῷ σ η μ α ί ν ο ν τ ι) ὑ σ σ ο ύ ς. Οὕτως ἔγραψε καὶ Στράβων· « Τ ο ῦ Μ α ρ α θ ῶ ν ο ς καλουμένου πεδίου τῇ Λατίνῃ γλώττῃ » (γ. 160) δηλονότι κατ' ὄνομα λατινικὸν, σημαῖνον μ α ρ α θ ῶ ν α (foenicularium λέγει τοῦτο Κικέρων, Epist. ad Attic. πρβλ. καὶ Casaub. Comment. p 73). Τοιοῦτο καὶ τὸ « Κελτοὶ περιάγονται συμβιωτὰς, — οὓς καλοῦσι π α ρ α σ ί τ ο υ ς » (Ἀθην. ϛ)· καὶ τὸ τοῦ Ῥωμαίου Κυρτίου (Curtij), ὅτι τὰ στενὰ οἱ Πέρσαι καλοῦσι Susidas Pylas (Σουσίδας πύλας) κτλ. Εἰ δὲ τέλος καὶ οἱ περὶ τὸν Ἀππιανὸν ἠπατήθησαν ῥωμαϊκὸν νομίσαντες τὸ ἑλληνικὸν ὑ σ σ ὸ ς (ὡς καὶ Στράβων Ῥωμαϊκὸν. τὸ λ α ῖ ν α [ὅθεν ἡ χ λ α ῖ ν α] Δ, 196, καὶ Casaub. Comm. αὐτ.), ἀλλὰ πολὺ μᾶλλον ἠπατήθη ὁ κλεινὸς Ὅδιος (p. 180), ὑπολαβὼν τὸ ὑ σ σ ὸ ς παρεφθαρμένον ὑπὸ τῶν ἀγελαίων Ῥωμαίων στρατιωτῶν ἐκ τοῦ γαλλικοῦ γ α ι σ σ ό ς· βλ. καὶ ἐφεξῆς §. ιϛ. Δ. σημ. — Σημ. ἡμετ.

*θοῦλον.* Ἀλλ᾽ ὅπως ἂν ἔχῃ τὸ πρᾶγμα, ἡμῖν γε μᾶλλον ἀρέσκει ἡ γνώμη τῶν ἐτυμολογούντων τοὺς *γαισάτας*, παρὰ τὸ γαισὸς τὸ ὅπλον (ᾧ περ ἐχρῶντο μάλιστα) (α). Εἴδομεν παρὰ τῷ Οὐϊργιλίῳ τὰ *Ἄλπεια γαῖσα*· πλησίον δὲ καὶ κατ᾽ αὐτὰς τὰς Ἄλπεις κατῴκουν καὶ τῶν Γαλατῶν οἱ καλούμενοι Γαισάται (Πολύβ. Β, 28, 34). Οἱ δ᾽ Ἕλληνες γραμματικοὶ γελοίως (ὡς εἰώθασιν) ἐτυμολογοῦσιν, οἱ μὲν *παρὰ τὴν* (γρ. τὸ) *γαῖαν ζητεῖν* (Εὐστάθιος, καὶ Μ. Ἐτυμολόγ.), ὁ δὲ Στέφανος (λ. Γάζα) παρὰ τὸ γάζα (οἷον γαζάται), ὡς πλουσίους νομιζομένους τοὺς γαισάτας «ἔθνος Γαλατῶν χρυσοφοροῦν». Ὁ δὲ Βοχάρτος σοφώτερα μὲν τούτων, ἀλλ᾽ οὐχὶ καὶ ἀληθέστερα συνείκασεν, ἐτυμολογῶν παρὰ τὸ ἑβραϊκὸν gaias, (ὁ στρατὸς), οὗ τὸ πληθυντ. παρὰ Σύροις (gaisin), καὶ τὸ θηλυκὸν (gaisata) (β). Παρὰ τοῖς Γαλάταις καὶ οἱ ἀνδρεῖοι ἐλέγοντο γαῖσοι (gaesi) κατὰ τὸν Σέρβιον· ὅθεν καὶ τὸ δόρυ, ὁ γαισός (γ).

§. δ. Πλὴν ἀλλ᾽ ἐν τούτοις οὐχὶ κρυπτέον, ὅτι ὁ Πολυδεύκης (ζ. 33) λέγει τὸ γαισὸς ὄνομα λιβυκόν. « *Δορύξυς*, δόρυ ὁλοσί-

---

(α) Οὕτω Xylandr. not. in Plutarch. - Ortelius Thes. Geogr. - Cluverius de Germ. antiq. L. 1. p. 298.

(β) Bochart. in Chanaan L. I. cap. 42. — ['Αλλ' ἐν Geograph. Sac. I. 62. ὁ Βοχάρτος ἐτυμολογεῖ « παρὰ τὸ ἑβρ. chets βέλος, ἀκόντιον » — Τοῦτο παρέλιπεν Ὅδιος· ὑπέμνησε δ' αὐτὸν καὶ Demagistr. l. c. p. 432. Σημ. ἡμετ.].

(γ) Ὁ Σέρβιος (ad Aeneid. 8) ἑρμηνεύει τοὺς γαισοὺς, hastas viriles (ἀνδρικὰ δόρατα), διότι λέγει, καὶ τοὺς ἀνδρείους (fortes) οἱ Γάλλοι γαισοὺς καλοῦσι (gaesos). Τοῦτο τὸ gaesos ὁ Βοχάρτος ὀρθῶς ἔκρινε τρεπτέον εἰς τὸ gaesatus, ἀλλ᾽ ὁ Ὅδιος ἀντιλέγει μὴ μετακινητέον τὴν γραφήν. Ἀλλὰ κἂν αὕτη γνησία ἐκληφθῇ, κἂν (τὸ κυριώτατον) ὑποτεθῇ καὶ αὐτὸς ὁ Σέρβιος, ὅτι κατενόει ἀκριβῶς τὰς κατ᾽ αὐτὸν γαλατικὰς φωνὰς, φαίνονται λοιπὸν καὶ οἱ γαῖσοι (οἱ ἀνδρεῖοι) πάλιν ἀντὶ τοῦ γαισάτοι (ἐκ τοῦ δόρατος τοῦ γαισοῦ) μετωνυμικῶς (ὡς, « τὰ ὅπλα » πληθ. ἀντὶ οἱ ὁπλῖται »)· καὶ οὗτοι ἀνδρικοὶ, καθὸ δορυσθενεῖς ἄνδρες, καὶ ἐγχέσπαλοι, ἢ ἐγχείῃσι κεκασμένοι. Πλὴν ἀλλὰ καὶ οὕτως ἡμεῖς τὴν Σερβιακὴν ταύτην ἐτυμολογίαν τοῦ γαισοῦ νομίζομεν πολὺ γελοιοτέραν, ἢ ὅσον Ὅδιος ἐνόμισε τὰς τῶν Ἑλλήνων γραμματικῶν· καὶ δικαιότερος ἂν ἔδοξεν, εἰ καὶ τὸ τοῦ Σερβίου ἔτυμον ἔκρινεν ἄτοπον, ὡς καὶ τὸ τοῦ Delacerda, ὅστις (not. in Virgil.) παρήγαγε τὸ gessus παρὰ τὸ λατ gesto (φέρω). Σημ. ἡμετ.

δηρον· καλεῖται δὲ γαισός· καὶ ἔστι Λιβυκόν » (α). Πότερον ἆρα τῆς Πολυδεύκους μνήμης, ἢ τοῦ ἀντιγραφέως τὸ ἁμάρτημα; Ὁ Κλυβέριος κρίνει διορθωτέον τὸ *Λιβυκὸν* εἰς τὸ *Κελτικόν*. Ὁ δὲ πάλιν Ἀθήναιος (ς, 273) *Ἰβηρικὸν* ὅπλον εἶπε τὸν γαισόν. « Παρὰ Σαυνιτῶν ἔμαθον (Ῥωμαῖοι) θυρεοῦ χρῆσιν, παρά τε Ἰβήρων *γαίσων* ». Ὡσαύτως καὶ Προκόπιος ὁ Γάζης (Σχόλ. εἰς Ἡσ. η)· « Ἰβηρικῇ γλώσσῃ ἀκόντιον, ὅπερ οἱ Ῥωμαῖοι γαισὸν καλοῦσιν»· (Ἀνάγνως μεταθείς· « Ἰβηρικῇ γλώσσῃ γαισὸν, ὅπερ οἱ Ῥωμ. ἀκόντιον καλοῦσι »· *Ῥωμαίους* δὲ τοὺς νεωτέρους Ἕλληνας ὁ Προκόπιος εἶπε) (β). Ἀλλ' οὐδ' οὗτοι ἀντιφάσκουσι πρὸς τοὺς λέγοντας Γαλλικὸν τὸ γαισός. Ἰβηρία γὰρ παρὰ τοῖς ἀρχαίοις οὐ μόνον ἡ Ἱσπανία, ἀλλὰ καὶ πᾶσα ἡ Γαλλία περιληπτικώτερον· ὅθεν καὶ *Ῥῆνος Ἴβηρ* (Νόνν. Διονυσ. κγ, 93). Ὁ δὲ Σκύλαξ πᾶσαν τὴν μεταξὺ Λιγυστικῆς καὶ τῶν Ἡρακλέους στηλῶν Ἰβηρίαν καλεῖ, καὶ τοὺς Λίγυας αὐτοὺς *Ἴβηρας μιγάδας*. Καὶ ὁ Στράβων (γ, 166), « Ἰβηρίαν, ὑπὸ μὲν τῶν προτέρων καλεῖσθαι πᾶσαν τὴν ἔξω τοῦ Ῥοδανοῦ καὶ τοῦ Ἰσθμοῦ, τοῦ ὑπὸ τῶν Γαλατικῶν κόλπων σφιγγομένου, οἱ δὲ νῦν ὅριον αὐτῆς τίθενται τὴν Πυρήνην». Τοιαῦτα περὶ τῶν Ἰβήρων καὶ Ἡρόδωρος παρὰ Στεφάνῳ τῷ Βυζαντίῳ (λ. Ἰβηρία). Καὶ Μαρκιανὸς, ἢ μᾶλλον Σκύμνος ὁ Χῖος (Περιηγ.) εἶπε τοὺς Φωκαεῖς ἐλθόντας εἰς *Ἰβηρίαν* κτίσαι τὴν Μασσαλίαν (γ).

---

(α) Τὸ Δορύξους (τὸ αὐτὸ καὶ δορυξόος, καὶ δορατοποιὸς) ἀνήκει εἰς τὰ προηγούμενα ὁπλοποιῶν ὀνόματα, ἅπερ ὁ Πολυδεύκης ἐν τῷ αὐτῷ κεφαλαίῳ ἀριθμεῖ. Ὁ δὲ Ὅδιος κατὰ λάθος προσῆψε τοῦτο καὶ πρὸς τὸ παρεπόμενον πάντῃ διάφορον « δόρυ ὁλοσίδηρον » κτλ. ὅπερ ἐφεξῆς ὁ Πολυδεύκης τίθησιν ἀπ' ἄλλης ἀρχῆς, ὀνομάζων ἁπλῶς τὸ εἶδος τοῦ δόρατος. Ὁ γὰρ δορυξόος οὔτε δόρυ ὁλοσίδηρόν ἐστιν, οὔτε γαισός! Ἡ αὐτὴ περὶ τὸ Δορύξους ἀπροσεξία εἰσεῤῥύη καὶ παρὰ τῷ σοφῷ Wesseling εἰς Διόδωρ Τόμ. α. σελ. 586. Σημ. ἡμετ.

(β) Ῥωμαῖοι μὲν ἐλέγοντο τότε καὶ οἱ τῶν Ῥωμαίων αὐτοκρατόρων ὑπήκοοι Ἕλληνες· ἀλλ' ὁ Προκόπιος τοὺς κυρίως Ῥωμαίους ἐννοεῖ· μὴ γὰρ τὸ ἀκόντιον οἱ νεώτεροι μόνον Ἕλληνες λέγουσιν, οὐχὶ δὲ καὶ οἱ παλαιοί; Ἄλλως οὖν, οἶμαι, διορθωτέον τὸ χωρίον· « Ἀκόντιον, ὅπερ οἱ Ῥωμαῖοι Ἰβηρικῇ γλώσσῃ γαισὸν καλοῦσι » (gaesum). Σημ. ἡμετ.

(γ) Ἀλλ' ὅμως αὐτὸς ὁ τὸν γαισὸν ἰβηρικὸν ὀνομάσας Ἀθήναιος (ιβ, 523)

Καὶ Αἰσχύλος τὸν Ἠριδανὸν (ὃν ἐνόμιζε τὸν αὐτὸν καὶ Ῥοδανὸν) ἐν Ἰβηρίᾳ ἐντοπίζει (τὴν Γαλλίαν ἐννοῶν· ὁ δὲ Πλίνιος, ΛΖ, 2, ἐσφάλη νομίσας, ὅτι τὴν Ἰσπανίαν ἐνόει ὁ Αἰσχύλος). Καὶ Πλούταρχος δὲ, τέλος, εἶπε « Κελτικὸν ἔθνος τοὺς τὴν Ὑπαλπείαν νεμομένους Ἴβηρας (Μαρκέλλ. §. ϛ) (α). Ἐν δὲ τῷ Ἀλεξανδρινῷ χρονικῷ (σελ. 514) καὶ αὐτὴ ἡ λέξις Σπανία (ἡ Ἰσπανία) τίθεται ἀντὶ τοῦ Γαλλία, ὡς καὶ παρ' Ἰωσήπῳ (φησὶ), λέγοντι « τὸν Ἡρώδην εἰς τὴν ὑπερόριον ἀπεληλάσθαι, Λούγδουνον τῆς Σπανίας πόλιν οἰκεῖν καταδικασθέντα ». Ἀλλ' ἐσφάλη τὴν μνήμην ὁ χρονογράφος· ὁ γὰρ Ἰώσηπος οὐχὶ *Σπανίας*, ἀλλὰ *Γαλλίας* τὸ Λούγδουνον ἔγραψεν (Ἀρχ. ιη, ζ). Καὶ τοῦτο δὲ σημειωτέον, ὅτι οἱ Ῥωμαῖοι οὐ παρέλαβον τὴν χρῆσιν τοῦ γαισοῦ παρ' Ἰσπανῶν, διότι πρὶν ἔτι πρὸς αὐτοὺς εἰς πόλεμον καταστῶσιν, ἐχρῶντο γαισοῖς, καθάπερ ἐπὶ τοῦ πολέμου, ὃν ἐπολέμησαν κατὰ τοὺς χρόνους Μανιλιανοῦ (Λίβιος, η, 8), μετὰ τὰς πρώτας πρὸς Γαλάτας συμπλοκὰς, καὶ πρὸ τῶν Ἰσπανικῶν. Καὶ φαίνονται ἄρα παρὰ τῶν Γαλατῶν ἀμέσως οἱ Ῥωμαῖοι μαθόντες τὴν χρῆσιν τοῦ γαισοῦ, καθὼς καὶ οἱ Τυῤῥηνοὶ, γείτονες ὄντες καὶ πυκνὰ πολεμοῦντες πρὸς τοὺς τὴν Ὑπαλπείαν Ἰταλίαν (ἤτοι τὴν ἐντὸς Κελτικὴν) οἰκοῦντας Κελτούς. Ταῦτα περὶ τῆς ἀρχῆς καὶ ὀνομασίας τοῦ γαισοῦ, ὅπερ ἦν τὸ πρῶτον· ἴδωμεν δὲ ἤδη καὶ πότε τὸ ὄνομα εἰσεῤῥύη καὶ εἰς τὴν γλῶσσαν τὴν ἑλληνικήν.

§. ε. Καθὼς οἱ Ῥωμαῖοι, ὡσαύτως καὶ οἱ Ἕλληνες ἔμαθον τὴν χρῆσιν τοῦ γαισοῦ παρὰ τῶν Γαλατῶν, πολεμοῦντες πρὸς αὐτοὺς καθ' ὃν χρόνον εἰσέβαλον τὴν Ἑλλάδα καὶ τὴν Ἀσίαν· ὅτι δὲ ὁ χρόνος οὗτος ἐγένετο μετὰ τὴν Λαγίδου τελευτὴν, δείξομεν εὐθύς. Δημήτριος ὁ Βυζάντιος ἐν ιγ, βιβλίοις συνέγραψε τὴν εἰς τὴν Ἀσίαν ἐξ Εὐρώπης διάβασιν τῶν Γαλατῶν (Λαέρτ. Ε, ε, 11)· ἀλλὰ τούτου τοῦ συγγράμματος ἐφθόνησεν ἡμῖν ὁ βιβλιοφάγος

---

διακρίνει τὴν Μασσαλίαν ἀπὸ τῆς Ἰβηρίας ('Ισπανίας), καὶ τοὺς Μασσαλιώτας ἀπὸ τῶν 'Ισπανῶν, «καί τοι τὸν αὐτὸν Ἴβηρσι φορεῦντες κόσμον», Σημ. ἡμετ.

(α) Gallos cisalpinos, Liv. 9, 36: Plin. 3. 4: Στράβ. ε, 220.

χρόνος. Ἐκ δὲ τῶν σωζομένων, ὁ Παυσανίας καὶ πάνυ σαφῶς τὰς εἰς τὴν Ἑλλάδα τῶν Κελτῶν ἐφόδους ἱστορεῖ. Λέγει δὲ ταύτας τρεῖς. *Πρώτην* ἐποιήσαντο στρατείαν ὑπὸ Καμβαύλῃ ἡγεμόνι. Προελθόντες δὲ ἄχρι τῆς Θράκης, τὸ πρόσω τῆς πορείας οὐκ ἀπεθάρσησαν (Παυσαν. Φωκικ. ιθ. §. 4). Τότε καὶ Κάσσανδρος, Μακεδονίας βασιλεὺς, ἐπολιόρκησεν αὐτοὺς ἐπὶ τοῦ Αἵμου (τῆς Θράκης), χάρακα ἐκ ξύλων καὶ τάφρον ποιησαμένους. Ὅθεν, τέλος, καὶ ἐξεῤῥύησαν ὑπεκφυγόντες, καὶ ἐπανῆλθον ἐπ' οἴκου (α). *Δευτέραν* στρατείαν οἱ Γαλάται στρατευσάμενοι, εἰς μοίρας τρεῖς ἔνειμον τὸν στρατόν· καὶ οἱ μὲν μετὰ Κερεθρίου ἐπὶ Θρᾷκας ἤλασαν, οἱ δὲ ἐπὶ Παιονίαν, Βρέννον καὶ Ἀκιχώριον ἄρχοντας ἔχοντες. Ὁ δὲ Βόλγιος ἐπί τε Μακεδόνας καὶ Ἰλλυριούς· καὶ εἰς ἀγῶνα πρὸς Πτολεμαῖον (τὸν Κεραυνὸν) καταστὰς, νικᾷ καὶ ζωγρεῖ καὶ κτείνει τὸν Πτολεμαῖον (ὃς Γαλάταις πρῶτος ὧν ἴσμεν βασιλέων ἀντιτάξασθαι ἐτόλμησεν)· ἀλλ' οὐδὲ τότε προελθεῖν ἐπὶ τὴν Ἑλλάδα ἐθάῤῥησαν οἱ Κελτοὶ, ἀλλ' ἐπανῆλθον εἰς τὴν οἰκείαν (Παυσ. Φωκ. αὐτόθ. καὶ Ἀττικ. ις). *Τρίτης* δὲ, τέλος, στρατείας τῶν Γάλλων Βρέννος ἡγεῖτο· καὶ τότε εἰσβαλόντες εἰς τὴν Ἑλλάδα, μετὰ μάχας πολλὰς ἐν Δελφοῖς καὶ Σπερχειῷ διεφθάρησαν, « ὡς *μηδένα οἴκαδε ἀποσωθῆναι* » (β). Ἐγένετο δὲ ἡ τῶν Κελτῶν στρατεία τε ἐπὶ τὴν Ἑλλάδα, καὶ ἡ ἀπώλεια, Ἀναξικράτους Ἀθήνησιν ἄρχοντος, ἔτει β, τῆς ρκε, Ὀλυμπιάδος· τῷ δὲ ἔτει τῷ ἐφεξῆς, Δημοκλέους Ἀθήνησιν ἄρχοντος, οἱ δὲ αὖθις εἰς τὴν Ἀσίαν διαβαίνουσιν οἱ Κελτοί » (γ). Ταῦτα ὁ Παυσανίας.

§. ς. Τοιαῦτα καὶ Ἰουστῖνος ὁ Τρόγος ἱστόρησε περὶ Γαλατῶν. Ὅτι τούτων οἱ μὲν ἐῤῥύησαν εἰς Ἰταλίαν, καὶ τὴν Ῥώμην εἷλον· οἱ δὲ διαβάντες τοὺς κόλπους τῆς Ἰλλυρίας, ἱδρύθησαν ἐν

(α) Senec. Nar. Quaest. L. 3. c. 11. — Plin. 31, 4.

(β) Παυσ. Φωκ. κ-κγ. 9. Ἀλλ' ἐν Ἀττικ. δ, 1-6 λέγει πάλιν ὁ Παυσανίας ὅτι Γαλατῶν οἱ πολλοὶ » (μετὰ τὴν ἐν Δελφοῖς καταστροφὴν) « ναυσὶν εἰς τὴν Ἀσίαν διαβάντες τὰ παραθαλάσια αὐτῆς ἐλεηλάτουν ». πρβλ. Πολύβ δ, 46.

(γ) Παυσ. Φωκ. κγ. 9.

Παιονίᾳ, καὶ τοὺς Παίονας ὑποτάξαντες, *διὰ πολλῶν ἐνιαυτῶν* πρὸς τοὺς ὁμόρους ἐπολέμουν· εἶτα δὲ στρατεύουσιν οἱ μὲν εἰς τὴν Ἑλλάδα μετὰ Βρέννου, οἱ δ' ἐπὶ Μακεδόνας μετὰ Βολγίου (α). Μετὰ δὲ τὴν Πτολεμαίου τοῦ Κεραυνοῦ καταστροφὴν, ἐβασίλευσε Μακεδόνων Μελέαγρος μῆνας δύω· εἶτα Ἀντίπατρος, ἡμέρας με, μετέπειτα Σωσθένης, ὁ τοὺς Γαλάτας τῶν ὁρίων τῆς Μακεδονίας ἐκβαλὼν (β). Τοῦτον δὲ πάλιν ὁ Βρέννος ἐπελθὼν νικᾷ, κἀκεῖθεν στραφεὶς εἰς Δελφοὺς, ἀπόλλυται πανστρατιᾷ, « μηδενὸς εἰς μνήμην γοῦν τῆς τοσαύτης φονοκτονίας ὑπολειφθέντος » (γ). Ἀλλ' αὐτὸς πάλιν ὁ Ἰουστῖνος ἀλλαχοῦ (λβ, 3) λέγει περὶ τῶν Γαλατῶν, ὅτι μετὰ τὸν Βρέννου θάνατον μέρος μὲν ἔφυγον εἰς τὴν Ἀσίαν, μέρος δὲ εἰς Θρᾴκην, ὅθεν πάλιν ἐπανῆλθον οἴκαδε. Τούτου δὲ μοῖρά τις κατέμεινε περὶ τὰς συμβολὰς Ἴστρου καὶ Σάβα τῶν ποταμῶν, καὶ Σκορδίσκοι ἐπεκλήθησαν. Καὶ πάλιν ἔγραψεν, ὅτι προσεκλήθησαν εἰς Ἀσίαν ὑπὸ Νικομήδους βασιλέως Βιθυνίας· καὶ σὺν αὐτῷ νικήσαντες τοὺς Βιθυνοὺς, ἐμοιράσαντο τὴν βασιλείαν· τὴν δὲ χώραν, ἣν κατέσχον, Γαλλογραικίαν (καὶ Γαλατίαν) ἐπωνόμασαν (δ). Ἤδη δὲ βασιλεύοντος Μακεδόνων Ἀντιγόνου τοῦ Γονατᾶ (ἐβασίλευσε δὲ τρίτῳ ἔτει μετὰ τὸν θάνατον Πτολεμαίου τοῦ Κεραυνοῦ. Εὐσέβ. Χρον. α, 58), καὶ ἄλλοι Γαλάται διέβησαν εἰς Μακεδονίαν· καὶ φόνῳ πολλῷ φθαρέντες ὑπὸ τῶν Μακεδόνων, ἠναγκάσθησαν εἰρήνην σπείσασθαι πρὸς Ἀντίγονον (Ἰουστῖν. κε, 1).

§. ζ. Καὶ Μέμνων ὁ Ἡρακλεώτης (παρὰ Φωτ. ἀναγ σκδ) ὡσαύτως ἱστορεῖ τοὺς Γαλάτας ἀπὸ τοῦ Βυζαντίου εἰς τὴν Ἀσίαν τὸ πρῶτον ἐπὶ Νικομήδους περαιωθῆναι, Λεοννόριον καὶ Λουτάριον

---

(α) Justin. L. 24 c. 4.

(β) Εὐσέβ. Χρονικ. Β. καὶ Α. σελ. 58. — (γ) Justin. L. 24. c. 4.

(δ) Ὅθεν καὶ Γαλάτας καὶ Γαλλογραικοὺς, καὶ Ἑλληνογαλάτας τοὺς κατοίκους ἀπεκάλεσαν καὶ οἱ Ἕλληνες (Διόδ. ε, 32. Wes. — Στράβ. β, 130. ιβ, 566). Ὡσαύτως καὶ τὴν χώραν (Βιθυνίας καὶ Φρυγίας μέρος), Γαλλογραικίαν (Στράβ. αὐτ.), καὶ Γαλατίαν ἑλληνίδα (Θεμίς. λόγ. κγ), καὶ Ἑλληνογαλατῶν χώραν (παρὰ τοῖς Βυζαντινοῖς «χώραν τῶν Βουκελλαρίων»)· βλ. Σουΐδ. καὶ Στέφ. Βυζάντ. περβλ. καὶ Schleusn. Lex. N. T. vol. 1. p. 485. Σημ. ἡμετ.

ἔχοντας ἡγεμόνας. Ὁ δὲ Λίβιος λέγει μὲν τοὺς Γαλάτας ἀφικομένους εἰς Δαρδανίαν, *Βρέννου στρατηγοῦντος*, ἀλλ᾽ ἔπειτα προστίθησι, καὶ ὅτι δισμύριοι τούτων διακριθέντες μετὰ Λεοννορίου καὶ Λουταρίου ἐστράφησαν εἰς τὰ ἐπὶ Θρᾴκης, καὶ Βυζαντίου κρατήσαντες καὶ τῶν πέριξ πόλεων, κατεῖχον εἰς φόρον τὸν εἴσπλουν τῆς Προποντίδος. Μετὰ ταῦτα κατῆλθον εἰς Ἑλλήσποντον, κἀκεῖθεν ὁ Λουτάριος εἰς Ἀσίαν διέβη, μετ᾽ οὐ πολὺ δὲ Λεοννόριος, Νικομήδους μεταστειλαμένου, κτλ. (α).

§. η. Οὕτως ἅπαντες οἱ ἱστορικοὶ συμφωνοῦσιν, ὅτι μετὰ τὴν Βρέννου τελευτὴν οἱ Γαλάται διέβησαν εἰς τὴν Ἀσίαν, δηλονότι ὀλίγους ὕστερον ἐνιαυτοὺς μετὰ τὸν Πτολεμαίου τοῦ Λαγίδου θάνατον· διότι τὸ γ, τῆς ρκε, Ὀλυμπ. (ὅτε τὸ πρῶτον ἐπεραιώθησαν εἰς τὴν Ἀσίαν, κατὰ τὸν Παυσανίαν) συμπίπτει πρὸς τὸ ζ, ἢ γοῦν τὸ ς, ἔτος ἀπὸ τῆς Λαγίδου τελευτῆς. Τοῦτο δείκνυται καὶ ἐκ τοῦ χρόνου, καθ᾽ ὃν ἐβασίλευσε Βιθυνίας Νικομήδης. « Ζιποίτης γὰρ ὁ Νικομήδους πατὴρ, Ἀντιόχου τοῦ Σελεύκου παιδὸς καθυπέρτερος ἐγένετο » πολεμήσας· (ὁ δ᾽ Ἀντίοχος ἐβασίλευσεν ἐπὶ Φιλαδέλφου, δευτέρῳ ἔτει μετὰ τὸν θάνατον τοῦ Λαγίδου). Πρόσθες ὅτι καὶ Ζιποίτης οὗτος ἐβασίλευσε Βιθυνίας ἐπὶ ἔτη 47. Ὁ δὲ τούτου πατὴρ Βᾶς, ἔτι κατὰ τὴν εἰς Ἀσίαν Ἀλεξάνδρου τοῦ Μακεδόνον ἀνάβασιν (τῷ 332, π. Χ. καὶ 52 πρὸ τῆς Λαγίδου τελευτῆς) ἔζη καὶ ἐβασίλευεν εἰς τὴν Βιθυνίαν (Μέμνων, αὐτόθ.).

§. θ. Καὶ οὐδεμία ἄρα μένει ἀμφιβολία, ὅτι μετὰ τὴν εἰς Ἀσίαν τῶν Γάλλων διάβασιν εἰσεχώρησε παρά τε τοῖς Ἀσιανοῖς καὶ τοῖς ἐν Αἰγύπτῳ Ἕλλησιν ἡ γαλλικὴ λέξις γαισὸς, ἣν οἱ τοῦ Ναυΐδου Ἰησοῦ μεταφρασταὶ μετεχειρίσθησαν ὡς ἑλληνικήν. Ὅση μὲν γὰρ ἡ δόξα τῶν Γαλατικῶν ὅπλων διὰ πάσης ἐχώρησε τῆς Ἀσίας, ὅσον δὲ φιλοτίμως εἶχον καὶ οἱ ἐν Ἀσίᾳ βασιλεύοντες Ἕλληνες

---

(α) Liv. 38. c. 16, Ἀλλ᾽ ὁ Σικελιώτης Διόδωρος (ἀποσπάσμ.) τὴν εἰς Δαρδανίαν ἄφιξιν τῶν Γαλατῶν ἱστόρησε γενομένην μετὰ τὸν θάνατον τοῦ Βρέννου· πρβλ. καὶ Κωνστ. Πορφυρ. περὶ θεμάτ. α, 6.

πρὸς τὸ μισθοῦσθαι Γαλάτας εἰς τοὺς πολέμους, ἐδήλωσαν οἱ ἱστορικοί (α). Τούτων εἷς τῶν βασιλέων ἐγένετο καὶ Πτολεμαῖος ὁ Φιλάδελφος, ὅστις, « ἡνίκα παρεσκευάζετο ἀμύνασθαι Μάγαν, ξένους ἐπηγάγετο καὶ ἄλλους, καὶ Γαλάτας ἐς τετρακισχιλίους » (Παυσ. Α. ζ). Πότε δὲ συνέστη ὁ πόλεμος οὗτος τοῦ Φιλαδέλφου πρὸς τὸν Μάγαν (Κυρήνης βασιλέα), δῆλον ἐξ ὧν ἱστόρησεν Ἰουστῖνος (κϛ. 3)· ὅθεν οἱ τῆς ἱστορίας καὶ χρονολογίας ἴδμονες εὐκόλως ἐκ τούτων ἀποδεικνύουσιν, ὅτι τοὺς μισθοφόρους Γάλλους εἰς τοῦτον τὸν πόλεμον ἐπηγάγετο Πτολεμαῖος ἔτει περί που *εἰκοστῷ* μετὰ τὴν Λαγίδου τελευτήν. Ἄλλοι δὲ Γάλλοι πρὸ τούτων οὐδένες παρ᾽ οὐδενὶ τῶν ἱστορικῶν μνημονεύονται διαβάντες εἰς Αἴγυπτον· τούτους πρώτους λέγει καὶ ὁ Καλλιμάχου σχολιαστὴς (ἐν Καλλιμ. ὕμν. εἰς Δῆλ. στίχ. 175).

§. ι. Ἂν δέ τις ἀπηνέστερον ἀντιβαίνων πρὸς ταῦτα διατείνηται, ὅτι καὶ οἱ ἐν Ἀσίᾳ καὶ οἱ Ἀλεξανδρεῖς Ἕλληνες ἔμαθον τὸ *γαισὸς* οὐ παρὰ τῶν Γάλλων αὐτῶν, ἀλλὰ παρὰ τῶν Ἑλλήνων, εἰς οὓς ἐστράτευον οἱ Γαλάται, πρὶν εἰς Ἀσίαν περαιωθῶσι· κἂν λέγῃ προστιθεὶς, ὅτι καὶ διὰ πάσης χώρας Ἑλληνίδος ἐκράτησεν ἡ λέξις εὐθὺς μετὰ τὴν πρὸς Γαλάτας συμπλοκὴν καὶ τὸν φόνον τοῦ Κεραυνοῦ, πάλιν ὁ ταῦτα λέγων οὐδὲν κερδαίνει· ἡ γὰρ τῶν Γαλατῶν πρὸς Κεραυνὸν μάχη συνέβη τὸ γ, ἢ δ, ἔτος μετὰ τὸν θάνατον τοῦ Λαγίδου· καὶ ἰδοὺ τῶν χρόνων ὁ ἐπιλογισμός. Ὁ Λαγίδης Πτολεμαῖος ἐτελεύτησε πρὶν ἢ Σέλευκος (ὃν ὁ Κεραυνὸς διεδέξατο) τὴν Μακεδόνων βασιλείαν κατάσχῃ, νικήσας Λυσίμαχον (Ἰουστῖν. ιζ, 1). Ὁ δὲ Σέλευκος οὗτος 12 ἔτει μετὰ τὸν Ἀλεξάνδρου θάνατον βασιλεὺς Συρίας ἀναγορευθεὶς (κατὰ τὸν Διόδωρον), καὶ βασιλεύσας ἔτι ἔτη 32 (κατὰ τὸν Δέξιππον, ἐν Εὐσεβ. χρονικ. α, 58), ἐπέζησε μετὰ τὸν Ἀλέξανδρον οὐκ ἔλασσον τῶν 43: ἐτῶν, δηλονότι τρία τοὐλάχιστον ἔτη μετὰ τὸν Πτολεμαῖον (40, μόνον ἔτη ζήσαντα μετ᾽ Ἀλέξανδρον). Καὶ συνάγεται λοιπὸν

(β) Justin. l. 25, c. 2: — Liv. L. 38. c. 16.

ἐντεῦθεν, ὅτι ὁ Κεραυνὸς διεξέξατο τὸν Σέλευκον εἰς τὸ βασίλειον τῆς Μακεδονίας τρίτῳ ἔτει μετὰ τὴν τελευτὴν τοῦ πατρὸς αὐτοῦ, τοῦ Λαγίδου. Πάλιν (κατὰ τὸν Εὐσέβιον) ὁ Λυσίμαχος ἐβασίλευσε Μακεδόνων διετίαν ὅλην μετὰ τὸν θάνατον τοῦ Λαγίδου. Ὁ δὲ τὸν Λυσίμαχον ἀποκτείνας καὶ διαδεξάμενος Σέλευκος, ἔζησε μῆνας ἑπτὰ (Ἰουστῖν. ιζ, 2). Καὶ ἰδοὺ πάλιν τρίτον ἔτος μετὰ τὸν Λαγίδου θάνατον, καθ' ὃ ἐβασίλευσεν ὁ Κεραυνός. Εἰ δὲ καὶ μόνον 42, ἔτη ἐπέζησε μετ' Ἀλέξανδρον ὁ Σέλευκος (κατὰ τὸν Ἀππιανόν· Ῥωμαϊκ. Συριακ. σελ. 208), ἐκράτησε λοιπὸν τῆς Μακεδόνων ἀρχῆς ὁ Κεραυνὸς ἐν ἔτει 2, μετὰ τὸν θάνατον τοῦ Λαγίδου. Πόσον δὲ χρόνον βασιλεύσας ἐφονεύθη ὑπὸ τῶν Γάλλων, ἀβέβαιον· δύω ἔτη λέγει Μέμνων, ὁ δὲ Δέξιππος ἓν καὶ μῆνας ε, κατὰ δὲ τὸν Εὐσέβιον μόνους μῆνας, θ.

§. ια. Ἀλλ' ἐν τούτοις οὐδὲ τὰ Πολυαίνου παραλειπτέον, μή τις ἐξ αὐτῶν παραπεισθεὶς ἀποπλανηθῇ. Λέγει τοίνυν ὁ Πολύαινος (Στρατηγ. Δ. ς, 17), ὅτι « *Ἀντίγονος* ἐμισθώσατο Γαλάτας, Ἀντιπάτρῳ πολεμῶν ». Ἀντίγονον δ' ἐνταῦθα νοεῖ *τὸν πρῶτον* (ὡς φαίνεται καὶ ἐκ τῶν προηγουμένων, καὶ ἐκ τῶν ἐφεξῆς ἱστορουμένων στρατηγημάτων)· καὶ συγχέει λοιπὸν τοῦτον πρὸς *Ἀντίγονον τὸν β, (τὸν Γονατᾶν)*, ὅστις ἱστορεῖται καὶ μισθοφόρους Γαλάτας μισθώσας, καὶ πρὸς αὐτοὺς ὕστερον πολεμήσας (Ἰουστῖν. κε, 3: κς, 2. πρβλ. Πλουτάρχ. Πύῤῥ. §. κς). Φαίνεται δὲ καὶ ἄλλως ὁ Πολύαινος τὰ στρατηγήματα μᾶλλον, ἢ τὰ πρόσωπα ἐξακριβῶν. Οὕτως ἐν τῷ αὐτῷ κεφαλαίῳ (ς, 20) συγχύζει πάλιν τοὺς δύω τούτους Ἀντιγόνους, ἀπονέμων εἰς τὸν πρῶτον τὸ πρὸς ἅλωσιν τῶν Ἀθηνῶν στρατήγημα, ὅπερ ἀνήκει προφανῶς εἰς τὸν Γονατᾶν, τὸν ἑλόντα τὰς Ἀθήνας (Παυσαν. Γ. ς, 3). Καὶ πάλιν ἀλλαχοῦ (Δ, θ, 6) συγχέει τοὺς Σελεύκους, ἀναγράφων εἰς τὸν Α, τὴν πρὸς τοὺς βαρβάρους μάχην, ἣν ἐπολέμησεν ὁ Β, Σέλευκος, ὁ Καλλίνικος· οἱ δὲ βάρβαροι οὗτοι Γαλάται ἦσαν, ὧν καὶ ἀλλαχοῦ ἐμνημόνευσε (Η. ξα. πρβλ. Ἀθήν. ιγ, 593: Ἰουστῖν. κζ, 2). Ἱστορῶν δὲ τὰ στρατηγήματα Διονυσίου, τυράννου Σικελίας, τοῦ πρε-

σϐυτέρου, παρεμϐάλλει καί τινα τοῦ νεωτέρου Διονυσίου, ὡς τὸ περὶ τοῦ Δίωνος (Ε, ε, 8). Ἄλλοτε δὲ πάλιν (Η, ιζ, 4) ἀνέφερεν ἀπόφθεγμα τοῦ πρεσϐυτέρου Σκηπίωνος, ὅπερ ὁ Πλούταρχος εἰς τὸν νεώτερον ἀποδίδωσιν (Ἀποφθ. Βασιλ.). Ταῦτα δὲ καὶ Κασωϐῶν πρότερον ἡμῶν παρατηρήσας, ἐσημείωσεν· ὅτι « Ὁ Πολύαινος οὐχ ἅπαξ τοὺς ὁμωνύμους συνέχεε » (Σημ. εἰς Πολύαιν.). Παρομοίαν πλάνην ὁ στρατηγηματογράφος οὗτος ἐπλανήθη καὶ ἐν οἷς ἱστορεῖ τὰ στρατηγήματα τοῦ Εὐμένους, ἑνὸς τῶν Ἀλεξάνδρου στρατηγῶν (τελευτήσαντος ἔτει 30, πρὸ τῆς Λαγίδου τελευτῆς)· διότι συμϐάλλει τοῦτον πρὸς τοὺς Γαλάτας, ἀφ᾽ ὧν καὶ αὐτὸν διώκεσθαι γράφει (Δ, η, ι). Ἀλλ᾽ οὗτος ἦν Εὐμένης, Βιθυνίας βασιλεὺς, σύγχρονος Πτολεμαίου τοῦ Εὐεργέτου, ἐγγόνου τοῦ Λαγίδου, ὁ στρατεύσας πρὸς Ἀντίοχον τὸν Ἱέρακα (Σελεύκου τοῦ Καλλινίκου ἀδελφὸν), καὶ τοὺς αὐτῷ συμμαχοῦντας Γαλάτας (Ἰουςῖν.) (α).

§. ιβ. Ταῦτα περὶ τοῦ χρόνου τῆς εἰς τὴν Ἀσίαν εἰσϐολῆς τῶν Γαλατῶν· τὴν δὲ λέξιν, τὴν *γαισὸς*, ὑπ᾽ ἐκείνων διαδοθεῖσαν πανταχοῦ γῆς ἑλληνικῆς, καὶ πολιτογραφηθεῖσαν εἰς τὴν ἑλληνίδα φωνὴν, ἐδανείσθησαν καὶ Σύροι, οἱ τελοῦντες ὑπὸ τοῖς Ἕλλησιν. Ἐντεῦθεν καὶ ἐν τῇ τοῦ Ἰωνάθαν Χαλδαϊκῇ παραφράσει τῆς β, Βασιλειῶν (ιη, 14) ἱστορεῖται, ὅτι ἔλαϐεν ἐν χερσὶ (κατὰ τοῦ Ἀϐεσσαλὼμ) ὁ Ἰωὰϐ τρία *γισεσὶν* (*ἢ γισσὶν*), τουτέστι τρία βέλη. Ὁ δὲ σοφώτατος Βοχάρτος καὶ πάνυ ἀλόγως θέλει τὸ *γαισσὸς* ἀσιανὸν ὄνομα, παρὰ τῶν Φοινίκων εἰς τοὺς Γάλλους μεταδοθέν (ϐ). Τίς τῶν παλαιῶν εἶπε βέλος Σύρων τὸν γαισὸν,

---

(α) Τἄλλα μὲν Ὅδιος ἄριστα παρετήρησε περὶ τὸν Πολύαινον (ὡς καὶ ἄλλοι πρὸ αὐτοῦ)· τὸ δὲ περὶ τῶν ἀποφθεγμάτων περιεργότερον εἶπε. Πόθεν δῆλον, ὅτι καὶ ὁ πρεσϐύτερος Διονύσιος οὐκ ἀπεφθέγξατο ὅ,τι καὶ ὁ νεώτερος ἐπανέλαϐε; καὶ ἐπὶ τοῦ Σκηπίωνος ὁμοίως· Ἔπειτα, πόσα καὶ ἄλλα ἀποφθέγματα ἀποδίδονται εἰς δύω διαφόρους ἐπισήμους ἄνδρας τὰ αὐτὰ, οἷον τὸ τοῦ Λάκωνος Ἀριγέως ἀναφερόμενον καὶ εἰς τὸν Σωκράτην (Πλούταρχ. Ἀποφθ. Λακων.), καὶ ἄλλα πολλὰ πολλῶν. Σημ. ἡμετ.

(ϐ) Bochart. de Phoenic. Col. Libr. I. c. 42.

ὡς εἶπον τοῦτο τῶν Γαλατῶν; Ἔπειτα, καὶ ἄλλας μυρίας φωνὰς παρὰ τῶν Ἑλλήνων ἐδανείσαντο καὶ Σύροι καὶ οἱ Ῥαββῖνοι, καί τις ἐξ αὐτῶν (Δαβίδης ὁ Δελάρας) καὶ βιβλίον ὁλόκληρον ἐξέδωκε περὶ τούτου. Ἠδύναντο δὲ παραλαβεῖν τὴν λέξιν οἱ Σύροι καὶ παρ᾽ αὐτῶν ἀμέσως τῶν Γαλατῶν, πρὸς οὓς καὶ Σέλευκος ὁ Καλλίνικος ἐπολέμησε, Συρίας βασιλεύς. Καὶ ὀψώνια δὲ τοῖς Γαλάταις παρεῖχον οἱ βασιλεῖς τῆς Συρίας, κατὰ τὸν Λίβιον (λη, 16), ὅστις καὶ τὸν μέγαν ἐπονομαζόμενον Ἀντίοχον ἱστόρησεν ὑπὸ Γαλατῶν ἀποκρουσθέντα (αὐτόθ.). Ὁ δὲ Πολύαινος (Η. ν) καὶ φυλακὴν μισθοφόρων Γαλατῶν ἱστόρησεν ἐν Ἀντιοχείᾳ κατὰ τοὺς χρόνους Ἀντιόχου τοῦ Θεοῦ.

§. ιγ. Ταῦτα κεφαλαιωδῶς τὰ περὶ τοῦ γαισοῦ σοφὰ τοῦ πολυμαθοῦς Ὀδίου φιλολογήματα, δι᾽ ὧν ἀποδείκνυσι τὸ περιέχον τὴν λέξιν βιβλίον Ἰησοῦ τοῦ Ναυῆ, πολλοῖς ἐνιαυτοῖς μετὰ τὸν Πτολεμαίου τοῦ Λάγου θάνατον ἐξελληνισθέν.

*Ἀπαντῶμεν.*

§. ιδ. Ὁ περίφημος Δοδουέλλος, μεταξὺ πολλῶν καὶ ἄλλων ὧν ἔγραψε παραδόξων, ἐπεχείρησεν ἐξελέγξαι καὶ τὸν Ὅμηρον νεώτερον Φερεκύδου τοῦ Συρίου, διότι εἶπε τὰς κατὰ τὴν Σύρον «*τροπὰς ἠελίοιο*» (Ὀδυσ. Ο, 403), ὅπερ τινες ἐξέλαβον ἀντὶ *ἡλιοτροπίου* (α). Ἡλιοτρόπιον δὲ (λέγει) πρῶτος εὗρε Φερεκύδης (β).

---

(α) Τὸ τροπὰς ἠελίοιο ὁ Ψευδοδίδυμος ἡρμήνευσε «τὸ ἡλίου σπήλαιον, δι᾽ οὗ σημειοῦνται τὰς τοῦ ἡλίου τροπάς». Τὸ ὁμηρικὸν χωρίον καὶ ὁ Λαέρτιος αἰνιττόμενος, «σῴζεται δὲ λέγει καὶ ἡλιοτρόπιον ἐν τῇ νήσῳ Σύρῳ» (Λ. ια, §. 6). Ἴδιον δὲ ὅμως τοῦ ἡλιοτροπίου εὑρέτην οὔτε Φερεκύδην, οὔτ᾽ ἄλλον ἐμνημόνευσεν ὁ Λαέρτιος. Πρῶτος ὁ σοφὸς Σαλμάσιος ἀπένειμεν εἰς τὸν Φερεκύδην τὴν κατασκευὴν παραπήγματος, ἢ γνώμονος, ἐφ᾽ οὗ ἐδείκνυντο αἱ τοῦ ἡλίου τροπαὶ (ad Solin. p 635)· ἀλλ᾽ ὁ Σαλμάσιος οὐκ ἐδόξαζε καὶ ὅτι τὸ τοῦ Φερεκύδου παράπηγμα τοῦτο σημαίνει τὸ ὁμηρικὸν «ὅθι τροπαὶ ἠελίοιο». Οἱ δὲ καὶ τοῦτο δοξάζοντες νεώτεροι (Ὑέτιος, Βοχάρτος, Μενάγιος κτλ,) ἔκριναν τὸν Φερεκύδην οὐχ εὑρέτην ἀλλ᾽ ἀνακαινιστὴν τοῦ κατὰ τὴν Σύρον καὶ πρὸ Ὁμήρου ὑπάρχοντος ἡλιοτροπίου. Βλ. Menag. Observ. in Laert. vol. 2. p. 68. πρβλ. καὶ τοῦ σοφοῦ καὶ περικλεοῦς Α. Μουστοξύδου τὸ περὶ Ἐπιγραφ. Σύρου κτξ. ἐν Αἰγιναίᾳ (ἐφημερίδι) σελ. 16. ἔτ. 1831.

(β) Dodwell apud J. Barnes not. in Ὀδυσ. Ο, 403.

Οὕτω δὲ τὸ πάλαι καὶ Ποσειδώνιος, ἢ μᾶλλον, ὁ Ἔφορος παρ᾽ ὀλίγον ἐκινδύνευσε καὶ τοῦ Ἀναχάρσιδος νεώτερον τὸν Ὅμηρον ἀποδεῖξαι, διότι μνημονεύει *τὸν τροχὸν τοῦ κεραμέως* (Ἰλ. Σ. 601), Ἀναχάρσιδος εὕρημα ψευδῶς παρά τισι νομισθέντα (α). Πλὴν ἀλλ᾽ ὅμως ὁ ἀρχαῖος οὗτος κριτικὸς ἠρκέσθη μόνους τοὺς δύω στίχους, ἔνθα μνημονεύεται ὁ κεραμικὸς τροχὸς, ὡς νόθους τῆς Ἰλιάδος ἐξοβελίσας. Ἡ δὲ μεγαλοπράγμων Ὀδίου πολυμάθεια, καὶ τῆς Δοδουέλλου θερμουργοτέρα, ἐκ μιᾶς καὶ μόνης λέξεως οὐχὶ δύω καὶ τρεῖς στίχους ἐκ τῆς Ἰησοῦ βίβλου, ἀλλ᾽ ὅλην ἐξεκήρυξε τὴν ἑρμηνείαν, νόθον ἀποφθεγξαμένη καὶ ψευδώνυμον, καὶ μήτε τοῦ καλάμου μήτε τῶν χρόνων τῶν Ο, πολὺ δὲ νεώτερον καὶ σκότιον ἀνωνύμου πατρὸς γέννημα· καὶ πρὸς τούτου δεῖξιν συνέγραψεν ἐν ὁλοκλήρῳ κεφαλαίῳ σχοινοτενῆ πραγματείαν, « δι᾽ ἧς ὅμως ἀπέδειξεν οὐχ ὅ,τι ἐπεχείρησεν, ἀλλὰ τὴν ἐν παντοδαποῖς συγγράμμασι λιπαρὰν αὐτοῦ μελέτην », ὡς ἔκρινε περὶ αὐτοῦ συντόμως ὁ σοφὸς Οὐαλκενῆρος (β). Ἀλλ᾽ ἀναλάβωμεν ἑκάτερα τὰ κεφάλαια τῶν, ὧν ἔφερεν ἀποδείξεων, καὶ πρῶτον τὸ περὶ τῆς γενέθλης τοῦ γαισοῦ.

§. ιε. Α. Θέλει τὴν φωνὴν τῆς γλώσσης τῶν ἀρχαίων Κελτῶν· ἀλλ᾽ οὐδεμίαν ἔφερεν ὁμολογουμένην περὶ τούτου καὶ *παμμαρτύρητον* δεῖξιν, (ἐξ ἐκείνης δηλαδὴ ἐξενεγκὼν τῆς τότε συνήθους

---

(α) Στράβ. ζ, 303. πρβλ. καὶ Casaub. Comm. ibid. - Senec. epist. 90. - Barnes. not. εἰς Ἰλ. σ, 601. Τὸν κεραμευτικὸν τροχὸν καὶ πρίονα καὶ τόρνον, εὗρε Τάλως ὁ Δαιδάλου (συγχρονίσαντος Ἡρακλεῖ). Διόδωρ. δ. §. 76. Wes.

(β) Valcken. de Aristob. Jud §. XXI. p. 63. *Ὁ δὲ ῥαββῖς ὁ Φράγκελος ἀντιλέγων Ὀδίῳ, τὴν ἐπιτομωτάτην ἐβάδισε, ψηφίσας ἀποτόμως (ὡς εἴωθεν) ὅτι οἱ Ο, οὐκ ἔγραψαν γαῖσος, ἀλλ᾽ αὐτὸ τὸ ἑβραϊκὸν Κειδὼν, ἢ Καιδὼν (γράφει καὶ διὰ τῆς αι, ἐκ μέρους τῶν Ο, ἵνα τάχιον ἐπιφέρῃ τὴν διόρθωσιν) « Ὁ δὲ (λέγει) μεταγραφεὺς (μεταγράφων δηλονότι καθ᾽ ὑπαγόρευσιν) ἀπατηθεὶς ὑπὸ τῆς ὁμοιοφωνίας, ἀντὶ Καιδὼν ἔγραψε γαῖσος* (Frank. l. c. p. 65). *Ἀλλ᾽ ὁ μεταγραφεὺς, νομίζομεν, οὐκ ἂν εὕρισκε πολλὴν ὁμοιοφωνίαν τῶν δύω τούτων λέξεων, πλὴν εἰμή τις δύσκωφος ἦν, ὡς οἱ κρινόμενοι δύω δύσκωφοι ἐκεῖνοι τοῦ ἀστείου ἐπιγράμματος, « ὧν πολὺ μᾶλλον ἦν ὁ κριτὴς τούτων τῶν δύω κωφότερος »! (Ἐπιγρ. βιβ.* B. *σελ.* 225: Brod.)

Κελτικῆς λαλιᾶς) οὔτε ὀρθογραφικὴν, οὔτε καθ᾽ ἐτυμολογίαν, ἢ ἄλλην θεωρίαν γραμματικήν. Ἀλλὰ καὶ αὐτοὶ οἱ λατῖνοι συγγραφεῖς, ὅσους φέρει μάρτυρας, λέγουσι μὲν τὸν γαισὸν ὅπλον Γαλατῶν (ὡς τούτων αὐτῷ μάλιστα χρωμένων), ἀλλ᾽ οὐδεὶς εἶπε καὶ τὴν φωνὴν γαλατικὴν, οὐδὲ γαλατῶν εὕρημα τὸ γαῖσον (πλὴν εἰ μὴ λέγοις τὰ κοῦφα καὶ ἀνάλατα τοῦ Σερβίου, τὰ ἐν §. γ. σημ.)· ἀλλὰ περὶ τῆς γενέθλης τοῦ ὀνόματος καὶ ἐν τοῖς ἐφεξῆς. Ἀπὸ δὲ τῆς σημασίας, θεωρούμενον συγκριτικῶς πρὸς τὴν ἀντίςοιχον ἑβραΐδα λέξιν, πολλὰς παρέχει ἀμφιβολίας. Αὐτὸς Ὅδιος εἶπεν, ὅτι τὸ γαισὸς παρὰ μὲν τοῖς Γάλλοις σημαίνει ἀκόντιον (jaculum)· τὸ δὲ τῶν Ο, γαισὸς (Ἰησ. η, 18, 19) οὐ μόνον ἄκοντα καὶ δόρυ, ἀλλὰ καὶ *θυρεὸν*, καὶ *ἀσπίδα* τινες ἡρμήνευσαν. Καὶ τοῦτο μάλιστα διατείνονται ὅτι σημαίνει τὸ ἀντίστοιχον ἑβραϊκὸν *Κιδὼν* (Kidon, ἄλλ. Chidon), ὃ καὶ νῦν ἐν τῷ καθ᾽ ἡμᾶς ἑβραίῳ κώδηκι κεῖται οὐ μόνον ἐν Ἰησοῦ (η, 18, 26) ἀλλὰ καὶ ἀλλαχοῦ (Ἰὼβ λθ, 23: μα, 40: α, Βασιλ. ιζ. 6: Ἱερεμ. ϛ. 23. ν, 42). Φαίνεται δὲ ὅμως πιθανώτατον, ὅτι ἡ ἑβραϊκὴ φωνὴ ἐσήμαινεν ὅπλον ἀμυντήριον, ἢ σκεπαστήριον, καὶ πρόβλημα πλατυκώτερον (μαρτυρεῖ δὲ καὶ τὸ ῥιζικὸν αὐτῆς θέμα σημαῖνον παρ᾽ Αἰθίοψιν, ὡς λέγουσι, τὸ σκέπειν, προφυλάττειν, ὑπερασπίζειν). (α). Ὅθεν οἱ Ο, τὴν πολυσήμαντον λέξιν ἑρμηνεύοντες ἀντετίθουν τὴν κατὰ νόημα καταλληλοτέραν εἰδικὴν παρ᾽ Ἕλλησιν ὀνομασίαν. Καὶ ἐν μὲν α, Βασιλ. (ιζ, 6) ἡρμήνευσαν *ἀσπίδα* (οὕτω καὶ Σύμμαχος, καὶ ἡ Βουλγάτα, καὶ πάντες σχεδὸν οἱ νεώτεροι), καὶ τὸ νόημα δὲ τοῦ χωρίου προφανῶς ἀπαιτεῖ. Τὸ δὲ ἐν τῷ Ἰὼβ (λθ, 23), *μάχαιραν*

---

(α) Βλ. Schulz Shol. in V. Test. vol. 2. p. 32, καὶ vol. 10. p. 87. - Schleusn. Thes. V. T. v. ἀσπίς. Οὕτω καὶ τὰ ἑλληνικὰ Πρόβλημα, Ὅπλον, καὶ αὐτὸ τὸ Ἔγχος σημαίνουσιν ἐν γένει πᾶν ὅπλον ἀμυντήριον (δόρυ, ξίφος, βέλος, κτλ.) «καὶ τὸ γ έ ῤ ῥ ο ν δὲ (τὴν ἀσπίδα) ὁ Ἀλκμὰν ἐπὶ τῶν ὀ ϊ σ τ ῶ ν τέθεικε» (Σχολ. Λουκιαν. Ἀναχ. 32). Ὁ δὲ Διόδωρος οὐ μόνον ἀ μ υ ν τ ή ρ ι α, ἀλλὰ καὶ σ κ ε π α σ τ ή ρ ι α πρὸς διάκρισιν λέγει (α, 24· γ, 33. πρβλ. ε, 33 καὶ σημ. Wes. βλ. καὶ Riemer. ἑλληνογερμ. λεξικ. λ. ἔγχος, κτλ). Κατὰ τὸν Βοχάρτον, τὸ Kidon παρὰ τὸ Chid, ἢ Kid, ὁ φόνος· ὁμοφωνεῖ δὲ τὸ Kid καὶ πρὸς τὸ κ ύ τ ο ς, σκύτος, scutum.

εἶπον οἵ τε Ο, καὶ οἱ λοιποί· «τόξον καὶ μάχαιραν» (οἱ δὲ νεώτεροι μεταφράζουσι « λόγχην καὶ δόρυ »). Ἐν δ' Ἱερεμίᾳ (ς, 23), *ζιβύνην* ἔγραψαν οἱ Ο, καὶ Ἱερώνυμος ἐν τοῖς ὑπομνήμασι («scutum, seu zibynam) (α)· οἱ δὲ νεώτεροι, *λόγχην* (lanceam). Οὕτω γράφουσι καὶ Ἱερεμ. (καθ' ἑβρ. ν. 42), ὅπου οἱ Ο, *ἐγχειρίδιον* (κζ, 42). Εἰς δὲ τὸν Ἰησοῦν ἡρμήνευσαν *γαισὸς* τὸ *Κιδὼν*, καὶ ὁ Ἀκύλας *ἀκόντιον*, οἱ δὲ πολλοὶ τῶν νεωτέρων *λόγχην*, ἀλλ' ὁ Σύμμαχος *ἀσπίδα*· ὡσαύτως καὶ Ἱερώνυμος (β). Ὅθεν καὶ τὸ τῶν Ο, γαισὸς ἀσπίδα φαίνετ' ἐκλαβὼν καὶ ὁ Σύμμαχος, ὡς καὶ ὁ Ἰώσηπος, κατὰ τὸν Θεοδώρητον (γ). Ἀσπίδα ἔγραψαν ἀλλαχοῦ καὶ οἱ Ο, (ὡς προείπομεν)· καὶ θαυμαστὸν οὐδὲν, εἰ καὶ ὧδε μετεχειρίσθησαν τὸ γαισὸς ἐπὶ τῆς ἀσπίδος. Ἐπιδέχεται δὲ τὸ χωρίον ἀμφοτέρας τὰς σημασίας (εἴτε δόρυ γὰρ, εἴτ' ἀσπίδα τῇ χειρὶ κρατῶν ὁ Ἰησοῦς, καὶ εἰς ὕψος ἀνακραδάνας, παρέσχε τοῖς λοχῶσι σημεῖον, ἵνα τῆς ἐνέδρας ἐξαναστῶσιν. Ἰησ. η, 18). Εἰ δὲ καὶ ὁ Σειραχίδης ἔγραψε *ῥομφαίαν*, αἰνιττόμενος τὸ τῶν Ο γαισὸς (κατὰ τὴν Ὀδίου γνώμην, ἥτις ὅμως φαίνεται ψευδής. βλ. ἔμπροσθ. κεφ. θ. §. ι.), ἀλλὰ καὶ οἱ Ο, μετέφρασαν (ὡς ἴδομεν) τὸ *Κιδὼν*, μάχαιραν, καὶ ἐγχειρίδιον. Καὶ φαίνεται λοιπον

---

(α) « Ζιβύνη (καὶ σιβύνη, καὶ σιγύνη κτλ.) ὁλοσίδηρον ἀκόντιον, ἢ λόγχη, ἢ σπάθη, ἢ μάχαιρα » (Ἡσύχ.). « Σιγύνη, τὰ δόρατα παρὰ Μακεδόσι ». καὶ « Σιβύνη, ἀκόντιον ῥωμαϊκόν ». Σουΐδ. βλ. καὶ Sturz. de Dialect. Macedon. p. 46: Schleusn. Thes. V. T. κτλ.

(β) Quaest. Hebr. in Paralip.

(γ) « Τὸ μὲν γαῖσον — ἀσπίδα ἡρμήνευσεν ὁ Ἰώσηπος, ὡσαύτως δὲ καὶ Σύμμαχος» (Θεοδώρ. ἐν Ἀπόρ. εἰς Ἰησ. η, ἐρωτ. ια). Ἀλλὰ παρ' Ἰωσήπῳ τὰ νῦν οὔτε γαῖσον, οὔτ' ἀσπὶς ἀναγινώσκεται, ἀλλ' ἁπλῶς σημεῖον. « Σημεῖόν τε δούς » κτλ. (Ἀρχ. ε, α. § 15. σελ. 270. τόμ. α. Hav.). Ὅθεν ὁ Βερνάρδος (not. ibit.) ὑπέλαβε, μήπως ὁ Θεοδώρητος ἀνέγνω παρ' Ἰωσήπῳ « Ἀσπίδι τε σημεῖον δούς » κτλ. (καὶ ξένον οὐδὲν, εἴπερ ἐκ τῶν Ἰωσήπ. ἀντιγράφων ἐξέπεσε τὸ ἀσπίδι). « Πλὴν εἰ μὴ (προστίθησιν ὁ Βερνάρδος), ἢ τὸν Θεοδώρητον ἠπάτησεν ἡ μνήμη, ἢ τὸν τούτου ἀντιγραφέα ἡ ἀβλεψία, γράψαντα Ἰώσηπον ἀντὶ τοῦ παρὰ Θεοδωρήτῳ γεγραμμένου Ἀκύλα » κτλ. Ταῦτα ὁ Βερνάρδος. Οὕτω καὶ Βοχάρτος (Hieroz. P. I. L. 11. c. 8. p. 137). Ἀλλ' ὅμως ὁ Ἀκύλας ἐν τούτῳ τῷ χωρίῳ ἔγραψεν ἀκόντιον, οὐκ ἀσπίδα

ἐκ τούτων τὸ *γαισὸς* (καθὼς εἶπεν ὁ Βοχάρτος) (α) λέξις Ἀσιανὴ, σημασίαν ἔχουσα καθολικωτέραν τοῦ ἀκοντίου, ἢ τοῦ δόρατος. Οἱ δὲ Γαλάται μαθόντες τὴν λέξιν, ἴσως, παρὰ Φοινίκων, ἔταξαν ἰδίως ἐπὶ τοῦ παρ᾿ αὐτοῖς ἀκοντίου. Πλὴν ἀλλ᾿ ὅμως ἡμεῖς συμφωνοῦμεν Ὀδίῳ, ὅτι τὸ γαισὸς (ἐν Ἰησ. η) σημαίνει δόρυ (καθὼς καὶ ἐν Ἰουδὶθ, θ, 7, ὅπου καὶ διαστέλλεται πρὸς τὸ ἀσπίς). Προστιθέμεθα δὲ ὅτι καὶ ἡ *ζιβύνη* τῶν Ο, (ἐν Ἱερεμ. ϛ, 23, καὶ ἐν Ἰουδὶθ, α, 13) φαίνεται συνώνυμος τοῦ γαισὸς (ὡς κἀκείνη σημαίνουσα οὐ μόνον σπάθην, κτλ. ἀλλὰ καὶ ἀκόντιον ὁλοσίδηρον). Προσεπιμετροῦμεν δὲ (χάριν Ὀδίου), ὅτι καὶ ἀλλαχοῦ οἱ Ο τὸ αὐτὸ ἑβραϊκὸν Kidon ἡρμήνευσαν *πυρφόρον*, τουτέστιν ὀϊστὸν (Ἰὼϐ, μα, 20. ὅπου ὁ Ἀκύλας *ἀσπίδα*, ὁ δὲ Σύμμαχ. *θυρεὸν*, ἡ δὲ Βουλγάτα *δόρυ*). Ὅθεν συμπεραίνεται πιθανῶς, ὅτι καὶ τὸ γαισὸς οἱ Ο ἐθεώρουν ὡς ὅπλον ἓν τῶν τηλεϐόλων. Ἀλλ᾿ ὅμως ἐν τούτοις ἐρωτῶμεν τὸν κριτικόν. Εἴπερ οἱ τὸν Ἰησοῦν καὶ τὴν Ἰουδὶθ ἐξελληνίσαντες ἔμαθον τὸ γαισὸς παρὰ τῶν πολὺ μετὰ τὸν Λαγίδου θάνατον ἀφικομένων εἰς τὴν Αἴγυπτον Γαλατῶν, τί μὴ τοῦτο μετεχειρίσθησαν κυρίως ἐπὶ τῆς σημασίας τοῦ εἴδους τῶν γαλατικῶν ἀκοντίων; ἢ ποίαν καὶ ὅλως εἶχον ἀνάγκην τῆς νεογράφου ταύτης φωνῆς; Μὴ γὰρ ὁ γαισὸς, ὁ ἐν χειρὶ Ἰησοῦ, καὶ ἐκείνων δὲ τῶν ἐπὶ τῆς Ἰουδὶθ Ἀσσυρίων οἱ γαισοὶ, εἶχον ὁμοίωσίν τινα πρὸς τὰ *Ἄλπεια γαῖσα*, ἅπερ ἕκαστος Γαλάτης, δόρυ φέρων, ἔφερε καὶ ταῦτα μετὰ χεῖρα *διπλᾶ*; (κουφότερα πάντως παρὰ τὰ *δύο δοῦρα* τῶν Ὁμηρικῶν ἡρώων! Ἰλιάδ. Π. 139. κτλ.). Ἀλλ᾿ ἴσως ἄν τις εἴποι, πιθανώτερα λέγων, ὅτι καὶ οἱ Σύροι, ἢ Ἀσσύριοι, τὰ παρ᾿ ἑαυτοῖς μακρὰ καὶ ὁλοσίδηρα ἀκόντια καὶ δόρατα (ὡς τὰ τῶν Ἑλλήνων *χάλκεια καὶ χαλκήρη ἔγχεα*) ὠνόμαζον ἀνέκαθεν *γαισοὺς*, καθὼς ἔλεγον καὶ οἱ Κελτοὶ τὰ ἰδιάζοντα παρ᾿ αὐτοῖς ἀκόντια.

---

(α) **Bochart. Hierozoic. P. I. Libr. II. c. 8. p. 135—141,** *καὶ* **Chan. Libr. I. c. 42.** *πρβλ.* **Bernard. not. in Joseph Archaeol l. c.** *καὶ* **Fischer. de vers. graec. Libr. V. Test. p. 64.**

§. ιϛ. Β) Οὐδεὶς τῶν ἀρχαίων ἐθεώρησε τὸ γαῖσον ὡς εὕρημα καὶ ὄνομα Γαλατικόν. Εἶπε καὶ Οὐϊργίλιος « *Ἄλπεια γαῖσα* », καὶ οἱ λοιποὶ τῶν Λατίνων, οὓς Ὅδιος ἐμνημόνευσε· καὶ οὐδεὶς ἀμφιβαλεῖ, εἰ καὶ Γαλάται γαισοῖς ἐχρῶντο· καὶ φυλὴ γάρ τις αὐτῶν ὠνομάζετο γαισάται, ἴσως παρὰ τὸ γαῖσον (πληθ. *γαῖσα*, τὰ, gaessa, gaessatus, ὡς hasta, hastatus, κτλ. παράβαλε τὰ, κορύνη, *κορυνήτης*· τόξον, *τοξότης*· ἀσπὶς, *ἀσπιδιώτης*, κτλ.). Παραχωροῦμεν καὶ τοῦτο τῷ κριτικῷ (ἐπειδὴ καὶ βούλεται), προτιμῶντες αὐτοῦ τὴν γνώμην καὶ αὐτῆς τῆς Πολυβίου καὶ τῶν ἄλλων τῶν ἀρχαίων, ὅσοι μαρτυροῦσι « τοὺς Γαλάτας προσαγορευομένους *γαισάτους*, διὰ τὸ μισθοῦ στρατεύειν· ἡ γὰρ λέξις αὕτη τοῦτο σημαίνει κυρίως » (α). Οὐδὲ παρὰ τὸ *γάζα*, ἢ τὸ *γαῖαν ζητεῖν* λέγομεν τοὺς *γαισάτας*, διότι γράφονται (κατά τινας τοπικὰς ἴσως προφορὰς) καὶ *γαιζῆται*, ἢ *γαζῆται*, καὶ *γεζῆται*, καὶ *γαζάται* (καί τοι καὶ ὁ Πολυΐστωρ ἄλλως ἔκρινε παρὰ τὸν Ὅδιον, καὶ ὁ Εὐφορίων ἔψαλλεν « Οἱ δὲ Γαιζῆται, περιδείρεα [ἴσ. γρ. *περὶ δειρὴν*] χρυσοφορεῦντες » (β). Ἀλλὰ τούτων ἡμεῖς παρακούομεν, ἐπειδὴ καὶ ὁ σοφὸς Ὅδιος ἀποσκυβαλίζει τοὺς παλαιοὺς ἡμῶν γραμματικοὺς (εἰς οὓς ὅμως ὀφείλει τὸ πλεῖστον τῆς ἐν τούτῳ τῷ κε-

(α) Πολύβ. β. 22.—Πλούταρχ. Μαρκέλ. §. γ (*ὅπου γράφεται διά τε τοῦ ε, καὶ δύο σσ, γεσσάται. παρὰ δὲ Σουΐδα δι' ἑνὸς σ.*). *Ὅτι δὲ τὸ γαισάτης ὑπῆρχεν οὐκ ἐθνικὸν ὄνομα καθόλου τῶν Γαλατῶν, ἀλλὰ μόνον τῶν μ ι σ θ ο φ ό ρ ω ν, διδάσκει σαφῶς ὁ Βοχάρτος ἐξ Ὀροσίου* (Libr. 4. c. 13. *βλ. καὶ* Bernard. com. *εἰς Στέφ. Βυζάντ. λ. γάζα*). *Λέγει δὲ καὶ ὁ περικλεὴς* Ἀδελούγγιος, *ὅτι τὸ ἀρχαῖον* Κελτικὸν Gwes, *ἢ* Gus, *δηλοῖ μ ί σ θ ι ο ν στρατιώτην* (Adelung. Mithridat. I. 9). *Ὥστε, εἴπερ τὸ γαισάτης σημαίνει μ ί σ θ ι ο ν, φαίνεται καὶ τοῦτο παρὰ τὸ γ α ῖ σ ο ς ὁ μισθός.* Ἡσύχ (*καθὰ καὶ τὸ* Soldatus *ἐκ τοῦ* Sold, *σ ο λ δ ί ο ν*). Τὸ δὲ *γαῖσος, (ὁ μισθὸς)· καὶ γαῖος εὑρίσκεται, καὶ γάϊος ὁ μίσθιος* (Μ. Ἐτυμολογ. Εὐστάθ.). Ἴσως *ἐκπτώσει τοῦ σ, κατὰ διάλεκτον (ὡς τὸ* Λακων. *μ ῶ α, ἢ μ ῶ σ α, κτλ)· πλὴν εἰ μή που τὸ γ α ῖ σ ο ς συνεχύθη πρὸς τὸ γ α ϊ ό ς, καὶ γ ά ϊ ο ς, ὃ παρὰ τὸ γ α ῖ α δοκεῖ (γῆς ἐργάτης, μίσθιος), κατὰ τὸ γ α ῖ ο ς β ο ῦ ς κτλ.*

(β) Παρὰ τῷ Μ. Ἐτυμολ. *καὶ* Στεφάν. Βυζ. *λ. γάζα.* Καὶ ὁ Κασωβὼν *διαπορεῖ, εἴπερ οἱ* Γαισάται *οὗτοι* Γάλλοι *ἦσαν οἱ αὐτοὶ τοῖς* Γαζάταις *καὶ* Γαιζήταις· *οὐδ' ἀποβάλλει τὰς ἐτυμολογίας* (Casaub. not. *εἰς* Σράβ. ε, 212).

φαλαίῳ πολυμαθείας). Ἓν μόνον ἐρωτῶμεν τὸν κριτικόν· τίς τῶν, ὅσοι τοῖς Γαλάταις ἀπέδωκαν γαισὸν, ἀπέδειξε καὶ ὅτι Γαλάται τοῦτον ἐξεῦρον; Εἶπεν ὁ Σέρβιος «Ὑσσὸς (pila) Ῥωμαίων, *γαῖσα Γάλλων*, σάρισσαι Μακεδόνων». Ἀλλ' ὁ Σέρβιος (ἢ μᾶλλον ὁ Οὐάῤῥων ἐν τῷ π. Λατ. Γλώσ. κ. 4. ἐξ οὗ ἀντέγραψεν ὁ Σέρβιος) κατέλεξε τὰ εἴδη τῶν ἀκοντίων τούτων, ὡς ἐκ τῆς κατ' ἔθνη συνηθεστέρας χρήσεως, οὐκ ἀπὸ τῆς πρώτης εὑρέσεως αὐτῶν. Αὐτίκα, λέγεται *Σάρισσα Μακεδονικὴ*, καὶ *σαρισσοφόρος* φάλαγξ Μακεδόνων (Πολύβ. ιϐ. 11)· ἀλλ' ὅμως ὁ Πολυδεύκης (Ι. 143) καταλέγει τὰς σαρίσσας καὶ ἁπλῶς ὡς συνώνυμον τοῦ *δόρατα*, μὴ μνημονεύων ὅλως τοὺς Μακεδόνας (ὡς καὶ παρ' ἄλλοις τὸ ὅπλον σύνηθες ὄν). Οὕτω καὶ Πολύβιος (Ϛ, 21). Ὅθεν ὁ Ἡσύχιος « *Σάρισσα, δόρυ μακρὸν, εἶδος ἀκοντίου Ἑλληνικοῦ* » (ὅπερ οἱ κριτικοὶ, μηδὲν δέον, διορθοῦσι, *δορυφορικοῦ*, ἢ *Περσικοῦ*, ἢ *Μηδικοῦ*), « *σπάθη βαρβαρική· Μακεδόνες* » (α). Οὕτω καὶ Σουΐδας· « Σιγύνη (τὸ αὐτὸ καὶ Ζιβύνη, καὶ Σιγύνης, καὶ Σίγυννος, Σίγυνον,) δόρυ παρὰ Μακεδόσι »· καὶ πάλιν, « Σιβύνη ἀκόντιον Ῥωμαϊκόν » (ϐ). Ὁ δὲ Ἀριστοτέλης (Ποιητικ. §. κε) « τὸ Σίγυνον, λέγει, παρὰ *Κυπρίοις* κύριον » (ὡς τῆς Κυπρίων διαλέκτου)· ἀλλ' ὁ Ῥωμαῖος Ἔννιος *Ἰλλυρικὴν* ὠνόμασε τὴν σιβύνην (γ)· ἄλλος δὲ *Θρᾳκικὴν*, ἀπὸ τῶν Σιγύνων, ἔθνους Θρᾳκῶν (Σχολ. Ἀπολ. Ἀργον. δ, 320), καὶ ἄλλος, *τῶν Ἰσαύρων* (Κυρίλ. Λεξικ.). Ὅθεν καὶ ὁ Στούρζιος πιθανῶς ὑπέλαβε τὴν λέξιν Περσικὴν, ἢ Συριακὴν, ἀπὸ τῶν διαφόρων τῆς Ἀσίας λαῶν, εἰς τοὺς Θρᾷκας πρῶτον καὶ τοὺς Ἰλλυριοὺς μεταναστεύσασαν (δ). Οὕτω

---

(α) Βλ. Πολύδ. α, 138. — Πλούτ. Εὐμέν. §. ιδ: Παῦλ. Αἰμ. §. ιθ. — Πολύϐ, β, 69, κτλ. Εἶχε δὲ *μῆκος ἡ σάρισσα* 12 *πηχέων* (Θεόφρ. π. φυτ. γ. ιβ), ἢ κατ' ἄλλους 14 (Ἡσύχ. Albert.). πρβλ. καὶ τὸ τοῦ Ἕκτορος « *ἔγχος ἑνδεκάπηχυ* » (Ἰλ. ζ, 319). « *Ὁ δὲ Κλεομένης ἐδίδαξε καὶ τοὺς Λάκωνας σαρίσσῃ χρῆσθαι* » (Πλούταρχ. Κλεομέν. §. ια), καὶ ὁ Κύρτιος ἀπέδωκε τὰς σαρίσσας καὶ τοῖς Ῥωμαίοις· καὶ τοὺς σαρισσοφόρους ἡρμήνευσεν ἁπλῶς hastatos (Curt. 7. 4, 36). πρβλ. καὶ Sturz de Dial. Maced. p. 45.

(ϐ) Βλ. Schweigh. Σημ. εἰς Ἀθήν. Τ. β. σελ. 400. — (γ) Enn. apud Fest. v. Sibyn. — (δ) Sturz. l. c. p. 46. πρβλ. Riemer λ. Σιγύνη.

καὶ τὸ τῆς ζιβύνης σχεδὸν συνώνυμον *γαισὸς* (Ἰουδὶθ, α, 15, καὶ θ, 7) παρέλαβον οἱ Γαλάται παρὰ τῶν Ἀσιανῶν, διὰ δὲ τὸ σύνηθες τῆς χρήσεως ἐπωνομάσθη (παρὰ τοῖς Ῥωμαίοις μάλιστα) καὶ τῶν Γαλατῶν ἰδίως τὸ δόρυ, καθὼς καὶ τῶν *Μακεδόνων* ἐξόχως ἡ σάρισσα (α). Οὕτως ἐλέγετο *καὶ γαλατικὸς θυρεὸς* (Διόδωρ. ε.). Ἀλλὰ μήπως ὁ *θυρεὸς* ὑπῆρχεν εὕρημα καὶ ὄνομα καὶ μεταχείρισμα μόνων τῶν Γαλατῶν; Εἶχον καὶ οὗτοι, καθὼς καὶ ἄλλα ἔθνη, θυρεὸν ἑλληνικόν. Καὶ ἄλλων δὲ παντοίων ὅπλων εἴδη παρὰ πολλοῖς ὑπῆρχον κοινά· καὶ πολλάκις ἀπὸ τῶν χρωμένων παρωνομάζοντο, ἢ ὡς μάλιστα συνήθη, ἢ καὶ ὡς διαφέροντά πως κατὰ τὴν κατασκευήν· οἷον, *Ἀργολικὴ ἀσπὶς, τόξον Κρητικὸν, σφενδόνη Ἀκαρνάνων, ἀκόντιον Αἰτωλικὸν, μάχαιρα Κελτικὴ, πέλεκυς Θράκιος κτλ.* (β). Κἀκεῖνο δὲ σημειωτέον· ὅτι οὐδὲ καθ' ὅλου τοῦ Κελτικοῦ ἔθνους φαίνεται κεκρατηκὸς εἰς πάγκοινον χρῆσιν οὔτε τὸ ὅπλον, οὔτε τ' ὄνομα τὸ γαισός· καὶ δηλοῦσι τῶν Κελτῶν οἱ παρὰ τῷ Πολυβίῳ καὶ τῷ Στράβωνι ἰδίως καλούμενοι *Γαισάται* (καθὸ μόνοι τῶν ἄλλων οὗτοι φέροντες *γαισὸν*, ὡς Ὄδιος ἐτυμολογεῖ· καὶ ἴσως οὐδ' οὗτοι πάντες). Ὅθεν οὐδ' ὁ Πολύβιος εἰσάγει τοὺς Γαλάτας γαίσοις χρωμένους ἐν ταῖς πρὸς Ῥωμαίους μάχαις· ἀλλ' οὐδ' αὐτοὺς ἐκείνους τοὺς κατὰ τὰς Ἄλπεις νεμομένους Γαισάτας, καίτοι καὶ τὸν ὁπλισμὸν αὐτῶν διαγράψας, καὶ ἐξ ὀνόματος μνημονεύσας. Οὐδ' αὐτὸς ὁ

---

(α) Οὕτω *καὶ τὸ σαύνιον, ἢ σαυνίον, ἀκόντιον βαρβαρικὸν* (Ἡσύχ.) « ᾧ *καὶ Ἰνδοὶ καὶ* Πέρσαι *ἐχρῶντο* » (Στράβ. ιε, 734, 717, καὶ not. Casaub.), καὶ Αἰγύπτιοι (Διόδ. α. §. 86), καὶ Ἕλληνες Ἀττικοὶ (Μένανδρ. παρὰ Πολυδ. I. 31), καὶ Μολοσσοὶ (Πλούτ. Πύῤῥ. §. β), καὶ Λυσιτανοὶ (Διόδ. ε, §. 34), καὶ αὐτοὶ Γαλάται, «σαυνιάζοντες τοὺς ἐναντίους» (Διόδ. ε, 29)· *χρησιμώτατον ἀνέκαθεν ὑπῆρχε μάλιστα καὶ παρὰ τοῖς διὰ τοῦτο* Σαυνίταις καὶ Σαμνίταις *καλουμένοις κατοίκοις* τῆς Ἰταλίας (Fest. πρβλ. Στραβ. 250, καὶ Riemer. λ. σαυνίον). Ὡσαύτως καὶ ἡ Ῥομφαία « Θρακικὸν ὁρίζεται ἀμυντήριον, *μάχαιρα, ξίφος, ἢ ἀκόντιον μακρὸν* » (Ἡσύχ. Σουΐδ. Φώτ. Λεξ. - Πλούταρχ. II. Αἰμιλ. §. ιη, καὶ Gellius. N. A. X, 25. « Romphaea, genus est teli Thracae nationis »)· *καὶ ὅμως ὑπῆρχεν οὐχ ἧττον συνήθης καὶ παρὰ τοῖς ἀρχαίοις* Ἀσιανοῖς (Γενέσ. γ, 24. Ἐξόδ. ε, 21, κτλ.).

(β) Πολυδεύκ. Α, 10: πρβλ. Wessel. εἰς Διόδωρ. Ε, 30.

Διόδωρος, ἐν οἷς καταλέγει πᾶσαν τὴν γαλατικὴν πανοπλίαν, ἠρίθμησεν ὅλως πρὸς τοῖς ἄλλοις καὶ τὸν γαισὸν (ὅπερ καὶ Ὅδιος ἄκροις χείλεσιν ὡμολόγησε)· προσῆκε δὲ δήπου τῷ Διοδώρῳ μάλιστα, ἵνα καὶ τὸ ὅπλον μνημονεύσῃ καὶ τ᾽ ὄνομα ὡς γαλατικὸν (εἴπερ τοιοῦτον ἐνόμιζεν), ὡς εἶπε καὶ ὅτι « τὰς λόγχας οἱ Γαλάται *Λαγκίας καλοῦσι* » (καίτοι καὶ τοῦτο λέγων ὁ Διόδωρος, οὐ προσέθηκεν, ὅτι καὶ μόνοι Γαλάται οὕτω καλοῦσι) (α)· τὸν δὲ γαισὸν οὐκ ἀπέδωκεν αὐτοῖς ὁ ἱστορικὸς, διότι τοῦτον ἐνόμιζε κυρίως Λιβυκὸν, ὡς λέγομεν ἐφεξῆς. Ἀλλὰ καὶ ὁ Στράβων ὑπογράφων τά τε ἄλλα ὅπλα καὶ τὸ *γρόσφῳ* ἐοικὸς ξύλον τῶν Γαλατῶν, οὐ προσέθηκεν ὅμως καὶ τ᾽ ὄνομα τὸ *γαισὸς* (ἢ μήπως ἠγνόει τὴν λέξιν ὁ Στράβων, οὕτως οὖσαν παρὰ Καίσαρι καὶ τοῖς Ῥωμαίοις συνήθη τότε καὶ πασίδηλον; ). Ὅτι δὲ τὸ γροσφοειδὲς τοῦτο ξύλον, « *βέλους τηλεβολώτερον ὂν* », οὔτε πρὸς τὸ *γαῖσον* ἅλις ἁρμόζει, οὔτε πρὸς τὴν *κάτειαν*, ἢ *κατεῖαν* (cateia, ἄλλο δόρυ Γαλατῶν), ἐσημείωσεν ὁ Κασωβών (β). Ἀλλ᾽ οὐδ᾽ ὁ Πλούταρχος ἱστορῶν τὸ δόρυ κραδαίνοντα καὶ στίλβοντα τῇ πανοπλίᾳ τὸν βασιλέα τῶν Γαλατῶν (καὶ τούτων μάλιστα Γαισσατῶν), οὐδ᾽ αὐτὸς ἐμνημόνευσε καὶ γαισοῦ (Μαρκέλ. §. ς, ζ)· ἦν δ᾽ ὁ βασιλεὺς

---

(α) Τὸ λαγκία ταὐτόν ἐστι καὶ τὸ λατ. lancea (συγγενὲς τοῦ λόγχη)· ἀλλὰ μήπως οἱ Ῥωμαῖοι ἔμαθον τὸ lancea παρὰ Γαλατῶν; ὠνομάσθη δὲ τούτων ἰδίως ἡ φωνὴ διὰ τὸ παρ᾽ αὐτοῖς ἰδιόμορφον τῆς λαγκίας, ἢ λόγχης, μακρὸν ἐχούσης καὶ πλατὺν τὸν σίδηρον, καὶ τὰ ἐπιθέματα (τὰ πρὸς τὰ κάτω τοῦ σιδήρου ἑκατέρωθεν ἐξέχοντα σεληνοειδῆ κοπίδια). Διόδ. ε, 30, καὶ σημ. Wes. Ταύτας ἴσως καὶ Διονύσιος ὁ Ἁλικαρνασσεὺς εἶπε κοπίδας μακροτάτας. (βλ. Nova fragment. Scriptor. Vatican. Tom. 2. p. 490, καὶ Bullet. de l'Instit. de la corresp. Archaeol. 1841. pag. 111). Καὶ ἦσαν ἄρα αἱ λαγκίαι τῶν Γάλλων ὡς αἱ καθ᾽ ἡμᾶς Alebardes (Casaub. not. εἰς Στράβ. pag. 196)· τὰς δ᾽ αὐτὰς (Casaub. ibid), ἢ μικρότερά τινα δοράτια, καὶ ἄγγους (Εὐστάθ.), ἢ ἄγγωνας (Ἐτυμ. καὶ Ἀγαθίας Β. σελ. 46) ὠνόμαζον οἱ Γαλάται (ἔχει καὶ Ἡσύχιος, ἄγχος, τὸ ἔγχος). Ὁ δὲ Οὐάῤῥων καὶ αὐτὸ τὸ λαγκίας εἶπεν ἰβηρικόν.

(β) Casaub. εἰς Στράβ. ibid. Ἔχει καὶ ὁ Festus « Gessum, grave jaculum (ἀκόντιον βαρύ). Ὁ δὲ πάλιν Isidorus, « Gessum, hasta, Jaculum ».

οὗτος ὁ Βριτόμαρτος (ἄλλ. Βριδόμαρος, Virdomarus), ὃν ὁ Ῥωμαῖος Προπέρτιος ἀνωτέρω (§. β) παρ' Ὀδίῳ, ποιητικώτερον γράφων, ὥπλισε καὶ γαισοῖς. Οὐδ' ὁ Καλλίμαχος, τέλος, ὠνόμασε γαισοὺς, ἐν οἷς ἐζωγράφησε τὰ ἀπὸ τῶν Γαλατῶν ὑπὸ τοῦ Φιλαδέλφου τῷ Ἀπόλλωνι καθιερωθέντα λάφυρα· μόνα δὲ λέγει « *Φάσγανα, καὶ ζωστῆρας ἀναιδέας, ἐχθομένας τε Ἀσπίδας* » (ὕμν. εἰς Ἀπόλλ. ςιχ. 183). *Θυρεοὺς* δὲ μόνους (οὐχὶ δὲ καὶ γαισοὺς) καὶ Πύῤῥος « *Ἰτωνίδι δῶρον Ἀθάνᾳ ἀπὸ θρασέων ἐκρέμασε Γαλατᾶν* » (Παυσαν. I. 21, 22. καὶ Πλούτ. Πύῤῥ. §. κς). ὅθεν οὐδ' ἐξ ὧν ἐπέφερεν Ὅδιος μαρτυριῶν ἀποδείκνυται τὸ γαῖσον ὄνομα καὶ δόρυ μόνων Γαλατῶν. Ἴδιον δὲ τούτοις ὅπλον, καὶ τὴν φωνὴν κελτίζον, ὑπῆρχε μάλιστα ἡ Μάταρις (παλτοῦ εἶδος), ἧς καὶ Στράβων μέμνηται (δ, 196), καὶ ὁ Κικέρων, ὅστις καὶ ταύτην διορίζει γνώρισμα τῶν Γαλατῶν, ὡς τὴν Σάρισσαν τῶν Μακεδόνων (α).

§. ιζ.' Γ) Ἄλλαι μαρτυρίαι τῶν ἀρχαίων ἀποδεικνύουσι τὸ γαῖσον Ἰβηρικὸν, καὶ Λιβυκὸν, οὐχὶ τῶν Γαλατῶν ἴδιον. Εἴπερ ὁ Ῥωμαῖος Στάτιος ἀπέδωκε καὶ εἰς τοὺς Ἀδράστου στρατιώτας τὸ γαῖσον, εἴτε κατὰ πρόληψιν (ἢ ἀναχρονισμὸν) κατὰ τὸν Ὅδιον, εἴτε καὶ ἁπλῶς, ὡς συνώνυμον τοῦ δόρυ (καθὼς ἡμεῖς νομίζομεν), οὐδὲν τοῦτο πρὸς τὴν ὑπόθεσιν. Ἀλλ' ὁ Σίλιος, οὗτινος τοὺς στίχους ἀντέγραψεν ὁ κριτικὸς, οὔτε κατὰ πρόληψιν, οὔτε καταχρηστικῶς καὶ ὡς συνώνυμον, ἀλλὰ κυρίως καὶ ῥητῶς ὀνομάζει *Λιβύων* (Poenum) ὅπλον τὸ γαῖσον, καὶ *πάτριον αὐτοῖς ἔθιμον* (β). Καὶ ὀρθῶς λοιπὸν ὁ Πολυδεύκης εἶπε τὸν γαῖσον ὅτι

---

(α) Cicer. ad Herenn. IV. πρβλ. Casaub. εἰς Στράβ. σελ. 196: Ἡσύχ. λ. μαδάρεις. Ὁ δὲ Βοχάρτος καὶ αὐτὸ τὸ μάταρις, καὶ τὸ Cateja, καὶ ἄλλα ἄλλων ὅπλων καὶ μηχανῶν καὶ στρατιωτῶν ὀνόματα, παρὰ τοῖς Γαλάταις εἰθισμένων, παράγει ἀπὸ θεμάτων Ἀσιανῶν· καὶ συναινεῖ ὁ Demagistr. l. c. p. 432.

(β) « Omnia Poenum-Armenti vigilem patrio de more sequuntur, Gesa que, latrator que Cydon » etc. Sil. L. 2. apud Hody p. 179. πρβλ. Jung. not. ad Πολυδεύκ. σελ. 799, καὶ Lipsij Poliorc. IV. Dial. IV. p. 574.

ἐστι *Λιβυκόν*. Ὁ δὲ Ὅδιος ἄπορον, πῶς, ἀφ' οὗ ἔγραψε τὰ τοῦ Σιλίου, ἔπειτα ἔκρινεν ἢ τὸ τοῦ Πολυδεύκους « *Λιβυκὸν* » τρεπτέον εἰς τὸ « *Κελτικὸν* » (κατὰ τὴν εἰς τοῦτο ἀκρισίαν τοῦ Κλυβερίου), ἢ ὅτι ἔσφηλεν ἡ μνήμη τὸν Πολυδεύκην, ἐν ᾧ ἔγραψε περὶ πράγματος οὕτω κατ' αὐτὸν γνωστοῦ καὶ συνήθους τῷ τε Κομμόδῳ τῷ Αὐτοκράτορι πρὸς ὃν ἔγραφε, καὶ τοῖς τότε Ῥωμαίοις, οἵτινες ἔτι μετεχειρίζοντο γαισούς! Ἔλαθε τὸν Ὅδιον καὶ Διόδωρος ὁ Σικελιώτης, ὅστις καὶ αὐτὸς τὸν γαισὸν τοῖς *Λίβυσι Καρχηδονίοις* ἀπονέμει (α), καὶ Ἡσύχιος ὡσαύτως (β). Ὁ δὲ πάλιν Ἀθήναιος *Ἰβήρων* εἶπε τὸν γαισὸν (δηλονότι τῶν Ἱσπανῶν)· τοῦτο καὶ Προκόπιος ἐπανέλαβε, συναινεῖ δὲ καὶ ὁ περικλεέστατος Κασωβῶν (ὡς αὐτὸς ὁμολογήσει μετ' ὀλίγον)· καὶ ὁ λαμπρὸς Βεσσελίγγιος οὐ μᾶλλον Γαλατῶν, ἢ τῶν Ἰβήρων (Ἱσπανῶν) ἔκρινε τὸ ὅπλον (Σημειώσ. εἰς Διόδωρ. ιγ, 57). Ὁ δὲ σοφὸς Ὅδιος, παίζων ἴσως μᾶλλον, ἢ σπουδάζων, ἐξέλαβε τὴν παρ' Ἀθηναίῳ Ἰβηρίαν ἐπὶ τῆς ἐκτὸς τοῦ Ῥοδανοῦ χώρας τῶν Γαλατῶν, καὶ φέρει μάρτυρας τὸν Αἰσχύλον καὶ Ἡρόδωρον καὶ τὸν Σκύλακα, καὶ αὐτὸν τὸν κατ' Αἰσχύλον ποιητικώτερον ἀρχαΐζοντα Νόννον. Ἀλλ' οὕτως ὁ ἀνὴρ ἠδύνατο καὶ τοὺς Κᾶρας ἁπλῶς ἑρμηνεῦσαι Φοίνικας, διότι καὶ τὴν Καρίαν εἶπον Φοινίκην ἡ Κόριννα καὶ ὁ Βακχυλίδης (παρ' Ἀθηναίῳ, δ, 174). Καὶ πάντας τοὺς προσβόῤῥους λαοὺς Σκύθας καὶ Κελτοσκύθας ἐκάλουν οἱ παλαιοὶ (Στράβ. ια, 507). Καὶ αὐτὴν

---

(α) Διόδ. ιγ. §. 57, καὶ σημ. Wess.

(β) « Γαιὸς, ΜΑΚΡΟΚΕΝΤΗΣ, ἢ κοντοὺς (κώδ. κοντὸς) ΛΑΜΒΑΝΩΝ ». Ἡσύχ. ἐκδ. Albert, ὅπου οἱ κριτικοὶ διορθοῦσι τὸ μὲν μακροκέντης εἰς τὸ μακρόκοντος, τὸ δὲ γαιὸς εἰς τὸ γαισός. Καὶ τοῦτο μὲν ὀρθῶς (οὕτω διόρθου καὶ παρ' Εὐσταθίῳ εἰς Ἰλ. Β.)· ἀλλὰ τὸ μακρόκοντος οὔτε πρὸς τὸ γαισὸς ἔχει σχέσιν, οὔτε πρὸς τὸ ἑπόμενον « ἢ κοντοὺς λαμβάνων· ἀλλ' οὐδὲ πρὸς τὸ σαφὲς τοῦ Σουΐδα (λέξ. γέσοι) « Γεσὸς, ὅπλον μακρόθεν κεντοῦν, ἢ κοντός ». Γραπτέον οὖν (εἰ δοκεῖ) τὰ παρ' Ἡσυχίῳ οὕτω· « Γαισὸς, ΜΑΚΡΟΚΕΝΤΡΟΣ κοντός· ΛΙΒΥΩΝ ». Ὡς τὸ παρὰ Πολυβίῳ (ς. 4) « τοῦ δὲ γαισοῦ τὸ κέντρον, μακρὸν ὡς τρεῖς πήχεις » [οὕτω καὶ γρόσφου κέντρον (αὐτ. ς, 20), ἡ αἰχμὴ δηλονότι, ἡ καὶ ἄλλως λόγχη, καὶ σίδηρος, ὁ κεντῶν].

δὲ, τέλος, τὴν Κελτικὴν δύναταί τις παρατεῖναι καὶ μέχρι Γαδείρων, ὡς ὁ Ἔφορος, καὶ εἴ τις ἄλλος τῶν ἀρχαίων (Στράϐ. δ, 199, καὶ ϐ, 107). Ἀλλ' ὁ Ἀθήναιος οὔτε ἐπὶ Αἰσχύλου (τοῦ συγχύσαντος τὸν Ἠριδανὸν πρὸς τὸν Ῥοδανὸν), οὔτ' ἐπὶ τοῦ Σκύλακος ἔγραφεν· ἀλλὰ μετ' Ἀριστοτέλην καὶ Στράϐωνα καὶ τοὺς ἄλλους σοφοὺς, ἐφ' ὧν ὑπῆρχον ἤδη γνωστὰ καὶ διωρισμένα καὶ τῆς ἐντὸς τῶν Ἄλπεων Κελτικῆς, καὶ τῆς ἐκτὸς Ἰϐηρίας, τῆς καὶ Ἱσπανίας ὁμωνύμως λεγομένης τὰ ὅρια (α). Μαρτυρεῖ δὲ καὶ αὐτὴ ἡ παρ' Ὀδίῳ μνημονευθεῖσα τοῦ Στράϐωνος ῥῆσις (§. δ), ὅτι παρὰ *τῶν προτέρων* (τῶν παλαιτέρων δηλονότι) ἐκαλεῖτο Ἰϐηρία καὶ ἡ ἔξω τοῦ Ῥοδανοῦ Κελτική· ἀλλ' ὁ κριτικὸς, ὡς ἔοικεν, οὐ προσεῖξε πρὸς τοῦτο τὸ *παρὰ τῶν προτέρων* τοῦ Γεωγράφου. Ὁ δὲ πάλιν, ὁ Πλούταρχος (§. δ) *Κελτικὸν ἔθνος* εἰπὼν τοὺς τὴν ὑπαλπείαν Ἰταλίαν νεμομένους Ἴϐηρας (ὡς ἐκ τῆς ἀρχαίας αὐτῶν γενέθλης), οὐδαμοῦ τὴν Ἰϐηρίαν ὅμως συνέχεε πρὸς τὴν Κελτικὴν, ἀλλὰ πανταχοῦ διακρίνει τοὺς Γαλάτας ἀπὸ τῶν Ἰϐήρων (τῶν Ἱσπανῶν). Οὕτω καὶ Οὐάῤῥων, διορίζων τὴν *λαγκίαν* Ἰϐήρων ὅπλον, ἀλλ' οὐ Γαλατῶν. Ἄλλα μυρία σιωπῶμεν. Ὁ δὲ σοφὸς Ὅδιος ταῦτα παριδὼν, διώρθου μὲν τὸν Πλίνιον, ὡς μὴ κατανοήσαντα τὴν παρ' Αἰσχύλῳ Ἰϐηρίαν· ἐπεχείρει δ' ἀποδεῖξαι καὶ ἐκ τοῦ Ἀλεξανδρινοῦ Χρονικοῦ μὴ μόνον Ἰϐηρίαν, ἀλλὰ καὶ Σπανίαν τὴν Γαλλίαν ὠνομασμένην· καὶ πάλιν κακίζει τὸ Χρονικὸν, ὡς περιέχον ῥῆσιν μὴ κειμένην παρ' Ἰωσήπῳ, ἥτις ὅμως κεῖται λαμπρῶς (ϐ). Καὶ ταῦτα μὲν περὶ τῆς Ἰϐηρίας

---

(α) Στράϐ. γ, 166—176, καὶ ϐ, 127—128. πρβλ. Ἀριστοτ. Ζώων γενέσ. β. 8. καὶ Πολιτ. η, 2: Πολύϐιον, Διόδωρον, Πλούταρχον, Παυσανίαν, Διονύσ. Περιηγ., Στέφ. Βυζάντ. λ. Ἰϐηρία, κτλ.

(ϐ) Ὁ Ἰώσηπος ἐν μὲν Ἀρχ. ιη, ζ. §. ϐ. λέγει, ὅτι « τὸν Ἡρώδην (ὁ Γάϊος) φυγῇ ἀϊδίῳ ἐζημίωσεν, ἀποδείξας οἰκητήριον αὐτοῦ Λ ο ύ γ δ ο υ ν ο ν, π ό λ ι ν τ ῆ ς Γ α λ λ ί α ς » κτλ. Ἐν δὲ τῷ Ἰουδ. Πολ. β. θ. §. ς, « Ἡρώδης (ὑπὸ Γαΐου) ἐπιτιμᾶται φυγῇ εἰς τὴν Ἱσπανίαν - καὶ ἐν Ἱσπανίᾳ τελευτᾷ ». Ἐντεῦθεν ὁ συγγραφεὺς τοῦ Ἀλεξανδρινοῦ Χρονικοῦ (ὄπισθ. σελ. 501), εἴτε διαλλάττων τὴν παρ' Ἰωσήπῳ ταύτην ἐναντιοφάνειαν, εἴτε καὶ τῆς Ἱσπανίας πόλιν Λούγδουνον ὁμώνυμον πρὸς τὴν τῆς Γαλλίας κατὰ λάθος

τοῦ Ἀθηναίου. Εἰ δὲ καὶ οἱ περὶ τὸν Ὅδιον ἐπιμένουσιν εἰς ἣν ἀστεϊζόμενοι προβάλλουσιν ἀρχαϊκὴν αὐτῆς σημασίαν, προσκαλοῦμεν καὶ ἡμεῖς ἐξ αὐτῶν τῶν ἡρωϊκῶν χρόνων μάρτυρα τὸν Ἡρακλῆν, ὅστις διαβὰς εἰς Ἰβηρίαν ἐκ τῆς Λιβύης, καὶ τὰς ὁμωνύμους στήσας στήλας, διέκρινε τὴν τῶν Ἰβήρων χώραν καὶ βασιλείαν ἀπὸ τῆς Κελτικῆς (Διόδωρ. δ, 18). Ἐκείνων οὖν τῶν ἀφ᾽ Ἡρακλέους Ἰβήρων ἦσαν ἀπόγονοι καὶ οἱ παρ᾽ Ἀθηναίῳ διδάξαντες τοὺς Ῥωμαίους τὸν γαισόν! Τελευταῖον, αὐτὸς ὁ Στράβων (γ, 154) διαγράφων καὶ τὰ ὅπλα τῶν Λυσιτανῶν Ἰβήρων, λέγει, « ἀκόντια δ᾽ αὐτῶν ἕκαστος ἔχει *πλείω*· τινὲς δὲ καὶ δόρατι χρῶνται ». Ταῦτα δὲ τὰ *πλείω* τῶν Ἱσπανῶν ἀκόντια πάντως ἦσαν τὰ γαῖσα, ἃ καὶ οἱ Κελτίβηρες, καὶ αὐτοὶ οἱ γείτονες Κελτοὶ παραλαβόντες κατὰ μίμησιν, ἔφερον τὸ γρόσφῳ ἐοικὸς ξύλον (εἴγε τοῦτο δηλοῖ τὸν γαισόν)· καὶ πάλιν ἕκαστος, « *δύο γαῖσα καὶ δόρυ* », καθὼς καὶ τῶν Ῥωμαίων οἱ λεγόμενοι ψιλοὶ (leves) (α), καὶ οἱ Γερμανοὶ (β), τοὺς Ἴβηρας καὶ οὗτοι μιμηθέντες. Καὶ μαρτυρεῖ Κασωβὼν, πολὺ παρὰ τὸν Ὅδιον ἐμβριθέστερος μάρτυς, καὶ τοσούτῳ μᾶλλον ἀξιοπιστότερος, ὅσῳ καὶ Γαλατῶν ἀπόγονος ὢν, οὐκ ἀνέφερεν ὅμως τοὺς γαισοὺς εἰς τοὺς Γαλάτας πρώτους, ἄκαιρον φιλοτιμίαν ἐπιδεικνύμενος, ἀλλὰ τῶν Ἱσπανῶν ὁρίζει τὸ ὅπλον, λέγων (γ)· « Ταῦτα τὰ (παρὰ Στράβωνι) *πλείω ἀκόντια* τῶν

ἐκλαβὼν, συνῆψεν ἀμφότερα, γράψας· « εἰς Λούγδουνον τῆς Σπανίας ». Αὐτὸς δὲ ὁ Ἰώσηπος τοιαῦτα γράφων οὐκ ἀντιφάσκει πρὸς ἑαυτόν. Πρῶτον μὲν γὰρ εἰς τὴν Γαλλίαν Ἡρώδης ἐξωρίσθη, μετέπειτα δὲ εἰς τὴν Ἱσπανίαν, ἵνα πορρωτέρω τῆς πατρίδος ἀπέχῃ » (Scalig. Animadvers. in Euseb.). Ὁ δὲ Ὕσδων (Hudson not. εἰς Ἰωσήπ. Ἰουδ. Πολ. σελ. 168. Hav.) εἰσάγει τὸν Ἰώσηπον ἀπατηθέντα τὸ πρῶτον ὑπὸ τῆς φήμης περὶ τοῦ τόπου τῆς Ἡρώδου ἐξορίας, ὅθεν ἔγραψε τὴν Ἱσπανίαν, ἔπειτα τ᾽ ἀληθέστερον ἀκριβώσας ἔγραψε τὸ Λούγδουνον τῆς Γαλλίας ἐν τῇ Ἀρχαιολογίᾳ, (ἣν ὕστερον συνέγραψεν). Ὡς ἂν εἴπερ ἔγραφεν ὁ Ἰώσηπος περὶ ἀντιπόδων, ἀλλὰ μὴ περὶ πραγμάτων ἐν ὄψεσιν αὐτοῦ γενομένων! Ἀλλ᾽ ὁ σοφὸς Ὕσδων οὕτως ἐν πολλοῖς καινότερά τινα λέγειν φιλοτιμεῖται.

(α) « Leves qui hastam tantum gessa que gerere, vocabantur ». Liv. VIII 8.

(β) Tacit. de situ, morib. German. c. 6. Tom. 4. p. 7. Mannhemij, 1781.

(γ) Casaub. Comm. in Strab. L. III. p. 154.

Ἰβήρων εἰσὶ τὰ γαῖσα. Ἴδια δὲ ταῦτα τοῖς Ἱσπανοῖς. Ὅσοι γὰρ τῶν Γάλλων εὕρημα ταῦτα θέλουσι (διότι εἶπεν Οὐϊργίλιος « *Ἄλπεια γαῖσα* ») σφάλλονται· πλὴν, εἰ μήπως ὁ Ἀθήναιος ἔσφηλεν ἐμὲ, λέγων, ὅτι γαίσων χρῆσιν ἔμαθον οἱ Ῥωμαῖοι παρ᾽ Ἱσπανῶν· οἶδα μέντοι παρὰ πολλῶν συγγραφέων τὰ γαῖσα τοῖς Γάλλοις ἀπονεμόμενα. Τὴν δὲ τοῦ Πολυδεύκους περὶ τοῦ γαισοῦ ἄγνοιαν καὶ θαυμάσαις ἂν δικαίως » (δηλονότι ὡς Λιβυκὸν εἰπόντος τὸ ὅπλον) (α). Ταῦτα ὁ Κασωβών.

Καὶ λοιπὸν συμπεραίνομεν, ὅτι εἴτε Λίβυες πρῶτοι τὸν γαισὸν εὗρον (κατὰ τὸν Πολυδεύκην καὶ Σίλιον καὶ Διόδωρον καὶ Ἡσύχιον), εἴτε Ἴβηρες (κατὰ τὸν Στράβωνα καὶ τὸν Ἀθήναιον καὶ τοὺς περὶ τὸν Κασωβῶνα), παρὰ τούτων ἄρα καὶ Γαλάται καὶ Τυῤῥηνοὶ καὶ Ῥωμαῖοι τὴν χρῆσιν ἔμαθον τοῦ ὅπλου. Καὶ τὰ τοῦ Οὐϊργιλίου « *Ἀλπήϊα γαῖσα* » φαίνονται πρότερον ὄντα *Πυρηναῖα*, καὶ ἴσως ἔτι πρότερον Καρχηδόνια, ἢ *Ἀτλάντεια* (ἐκ τοῦ Ἄτλαντος ὄρους Λιβυκοῦ). Οὐδὲν δὲ ξένον, εἰ καὶ αὐτοὶ οἱ Λίβυες, καὶ οἱ Ἴβηρες παρέλαβον τὸν γαισὸν παρὰ τῶν καταπλεόντων Τυρίων καὶ Φοινίκων, ἀφ᾽ ὧν καὶ ἄλλας ἔσχον λέξεις, καὶ αὐτὰ τὰ Γάδειρα (β). Εἰ δὲ καὶ οἱ περὶ τὸν Καύκασον ἑῷοι Ἴβηρες (οἱ νῦν Γεωργιανοὶ) τῶν ἑσπερίων εἰσὶν ἄποικοι (τῶν Ἱσπανῶν), ἢ καὶ τἀνάπαλιν (ὡς ἄλλοι θέλουσι πιθανώτερον), οὗτοι ἐξ ἐκείνων (γ),

---

(α) Ἀλλ᾽ ὅμως οἱ τοῦ Πολυδεύκους σχολιασταὶ διακριτικώτερον ἔκριναν, λέγοντες· « ὅτι τὸ γαῖσον ἠδύνατο τοῖς μὲν Ἱσπανοῖς ὡς πρώτοις εὑρέταις ἀνήκειν, Γάλλοις δὲ καὶ Λίβυσιν, ὡς ἐπίσης τῷ εὑρήματι χρησαμένοις. Οὐχ ἧττον δὲ καὶ Ἀθηναίοις καὶ Ναξίοις καὶ Σικελοῖς ὑπὸ τῶν συγγραφέων ἀπονέμονται γαῖσα· καὶ Ῥωμαίοις παρέσχεν ὅ,τε Λίβιος (η, 8), καὶ ὁ Κρίτων (παρὰ Σουΐδ. λ. γέσοι) etc. (Kühn not. ad Πολυδ. ζ. 33: καὶ lungerm. αὐτ. p. 799.). Πρόσθες καὶ τὰ παρὰ Βεκκήρῳ (Anecdot. Bekker. vol. 1. p. 188) « Γαῖσον, τὸ ὅπλον, δοκοῦν εἶναι ἰταλικόν. βλ. καὶ Στεφ. Ἐῤῥίκ. Θησαυρ. λ. Γαῖσα.

(β) « Γάδειρα, τὰ περιφράγματα. Φοίνικες »· Ἡσύχ. Οὕτω καὶ Plin. 4, 22. πρβλ. Στέφ. Βυζ. καὶ Casaub. εἰς Στράβ. σελ. 58. Ὁ δὲ Μ. Ἐτυμολ. ἠπατήθη λέγων, παρὰ τὸ « γᾶς δειρά ».

(γ) Στράβ. α, 61 : ια, 499; καὶ Casaub. ibid.

ἐπεφέροντο λοιπὸν τοὺς γαισοὺς αὐτῶν οἱ Ἴβηρες καὶ παρὰ τὰς Ἡρακλείους στήλας ἐπίσης, καὶ παρὰ τὰς πύλας τὰς Κασπίας, «Ἀνδράσιν Ὑρκανίοισι φόνον καὶ κῆρα φέροντες» (Διονύσ. περιηγ.). Καὶ τίς οἶδεν, εἰμὴ καὶ τὸ γαισὸς ὑπῆρχεν ἓν τῶν ὀνομάτων τῶν σκευῶν, ὅσα πρόπαλαι μετωχέτευσε καὶ εἰς τὸν Θύμβριν ὁ Σύρος Ὀρόντης, κατὰ τὸν σατυρικὸν ποιητήν; (α). Τίς οἶδεν, εἰ μήπως ὑπάρχει τ᾽ ὄνομα (κἂν ἑτεροσήμαντον) συγγενὲς τοῦ γεῖσον, ἢ γεῖσσον (καὶ ὁ γεῖσος), ὅπερ ὅ,τε Ἰώσηπος εἶπε τῆς *ἐπιχωρίου γλώττης* (τῆς συροχαλδαϊκῆς. Ἀρχαιολογ. η, γ, 9), καὶ οἱ πλεῖστοι τῶν νεωτέρων, *συριακόν*; (β). Ὥστε λίαν πιθανῶς ὁ σοφὸς Βοχάρτος ἔκρινεν Ἀσιανὸν καὶ τὸ πρᾶγμα καὶ τὸ ὄνομα τοῦ γαισοῦ. Εἰ μὲν οὖν ἔστι πάντως αὐτὸ τὸ τοῦ Βοχάρτου γαΐας (gaias. σελ. 499), ἢ ἄλλη τις λέξις τῆς τῶν Σύρων, ἢ τῆς Φοινίκων φωνῆς, κρινέτωσαν πάλιν οἱ δεινοὶ περὶ τὴν Ἀσιανὴν φιλολογίαν. Ὅτι ὅμως ἡ κατὰ Βοχάρτον ἐτυμολογία φαίνεται πολὺ πιθανωτέρα παρὰ τὴν τοῦ γραμματικοῦ Σερβίου (εἰ χρὴ καὶ ταύτην ἐτυμολογίαν ὅλως καλεῖν), φανερόν. Οἱ δὲ περὶ τὸν Διογενιανὸν παρέβαλον πρὸς τὸ γαισσὸς τὸ (καθὼς ἐνόμιζον) ῥωμαϊκὸν *ὑσσός* (γ). Ἐκ δὲ τούτου κινηθεὶς ὁ σοφὸς Ὅδιος ἐξέλαβε τὸ *ὑσσὸς* παρατραύλισμα τῶν ἀγελαίων τῆς Ῥώμης στρατιωτῶν διαφθαρὲν, ἐκ τοῦ γνησίου γαλλικοῦ *γαισὸς*, « καθὼς (λέγει) τἀνάπαλιν ἐγένετο καὶ τὸ ἴννος ἐκ τοῦ γίννος (!), καὶ τὸ *ὕφὸς* (ἤθελε γράφειν *ὕβὸς*) ἐκ τοῦ κυ-

(α) « Jam pridem Syrus in Tyberim deflexit Orontes — Et linquam, et mores, et cum tibicine chordas — obliquas vexit ». Juvenal. Sat. III. 62. πρβλ. καὶ Le Moyen Var. Sacr. vol. 2. p. 472—480.

(β) Capell. Spicileg. ad Ephes. p. 112. — Schleusn. Thes. V. T. v. γεῖσος πρβλ. Demagistr. l. c. p. 433.

(γ) « Ὁ δὲ Λεξογράφος (γράφ. ΛεξΙγράφος) Διογενιανὸς, ἐμβόλιον ὁλοσίδηρον (λέγει τὸν γαισόν)· οἱ δὲ ἀκόντιον, οἱ δε Ῥωμαῖοι ὑ σ σ ό ν (Σχολ. εἰς Ἰησ. Ναυ. η, παρὰ Montfaucon εἰς Ἑξαπλ. καὶ ἐν τῇ τῶν Ο, ἐκδ. Bos, βλ. καὶ ὄπισθ. σελ. 496 καὶ Ἑῤῥ. Θησαυρ. λ. γαῖσα). Οὕτω καὶ Ἡσύχιος « Γαισὸς, ἐμβόλιον ὁλοσίδηρον κτλ., καὶ ὄ ν ο μ α π ο τ α μ ο ῦ· (τοῦτο οἱ Κριτικοὶ αὐτόθι νομίζουσιν ἐκ τοῦ Γαιὼν (Γενεσ. β. 13. οὕτω καὶ Στεφ. Ἑῤῥικ. Θησαυρ.). Ἀλλ᾽ ἴσως ὁ Ἡσύχιος γαισὸν λέγει τὸν Γαίσωνα, Ἰωνίας ποταμόν. Ἡρόδ. Θ. 97).

φός » (σελ. 180). Ἔστω, δεχόμεθα καὶ ταύτην τὴν πρωτοφανῆ συγγένειαν τοῦ γαισὸς πρὸς τὸ ὑσσός· πλὴν ἀλλ' ἐνθυμίζομεν ἅμα τὸν κριτικὸν, ὅτι οὐδεὶς τῶν ἀρχαίων ἐθεώρησε τὸ ὑσσὸς ὡς χυδαίαν καὶ τριοδῖτιν τῶν ἐν Ῥώμῃ *καλλιγάτων* φωνήν. Αὐτοὶ πρῶτοι οἱ Ῥωμαίων γλωσσογράφοι τὸ ῥωμαϊκὸν *pilum* ἐξελληνίζουσιν *ὑσσός*. Ἐκ δὲ τῶν Ἑλλήνων ὅ,τε Πολύϐιος (α, 21, ὅπου καὶ τὰ εἴδη καὶ τὰ μήκη τῶν διαφόρων ὑσσῶν ζωγραφεῖ), καὶ ἄλλοι τῶν ἀρχαίων, καὶ τῶν καθ' ἡμᾶς Εὐρωπαίων λεξικογράφων οἱ διασημότατοι καλὴν καὶ γνησίαν Ἑλλήνων φωνὴν γνωρίζουσι τὸ ὑσσὸς (παρὰ τὸ ὕω, ἀντὶ ἕω [ἵημι], ἐσσὸς, ἢ οἴω, οἰσός) (α). Τὰ θεματικὰ ὄω, ἕω, ἄω, κίνησιν ἐμφαίνοντα καὶ φορὰν, ἢ ὁρμὴν, ὑπάρχουσι πρὸς ἄλληλα συγγενῆ, καὶ σχεδὸν ταὐτά. Ἐκ τοῦ ὄω (οἴω, ὀΐω) τὸ *ὀϊστός*· ἐκ τοῦ ἕω (εἴω, ἴω) ὁ ἰὸς (τὸ βέλος)· καὶ ἕω ἕσω (ἧσω) τὸ *ἐσσὸς* (καὶ ὑσσὸς), μετὰ τοῦ διγάμματος *γεσσὸς*, καὶ πάλιν ἄω (αἴω, ἀΐω, ἀΐσσω) αἰσὸς, καὶ *γαισὸς* (ἐκ τοῦ ἀΐσσω φαίνεται καὶ ὁ *Γαίσων* Ἰωνίας ποταμός). Ἀλλὰ ταῦτα μὲν ὅπως ἂν ἔχωσιν, αὐτοὶ πάλιν ὄψονται οἱ πρῶτοι τὸν ὑσσὸν ἀποφηνάμενοι συγγενῆ τοῦ γαισοῦ. Ἡμεῖς δὲ προστιθέμεθα πρᾶγμα καὶ αὐτὸν τὸν Ὅδιον λαθὸν, ὅτι καὶ τὰ νῦν εἰς τὴν διάλεκτον τῶν Βάσκων, ἢ Βασκώνων (φύλου ἤδη γαλλικοῦ) τὸ Gesi σημαίνει δόρυ, ἢ ἀκόντιον (ϐ). Καὶ ἴσως παρέμεινεν αὐτοῖς ἡ φωνὴ ἀπὸ τῶν πάλαι προγόνων, τῶν Γαισατῶν. Ἀλλ' ἐν ᾧ ἐκεῖνοι τὸ παρ' αὐτοῖς λεγόμενον *γέσον* ἔκπαλαι μετεχειρίζοντο, καὶ κατ' ἐκεῖνον ἴσως τὸν καιρὸν, ὅτε Βρέννος ὁ πρεσϐύτερος μετὰ τῶν σὺν αὐτῷ Γαισατῶν, τὴν Ῥώμην κατὰ κράτος ἑλὼν, ἔλεγε πρὸς τοὺς ὑπερηφάνους Ῥωμαίους, « *οὐαὶ (ἢ ὀδύνη) τοῖς νενι-*

---

(α) Riemer Ἑλληνογερμ. Λεξικ. λ. ὑσσὸς, (οὕτω καὶ ὑσίον καὶ οἰσίον, οἶδνον καὶ ὕδνον, κτλ. διὰ τὸ ὁμοιόφθογγον τῆς οι πρὸς τὸ υ).

(ϐ) Adelung Mithridat. p. 60. Ὁ δὲ Μενάγιος λέγει, ὅτι τὸ Gesus ἢ gessus ἐσῴζετο ἐν Προϐεγκίᾳ μέχρι τοῦ 1300. Dict. Etymol. Tom. 1. p. 668. πρϐλ. T. 2. part. 2. p. 106. Οἱ Ἰσλανδοὶ λέγουσι Kesia (Wachter). ὁ δὲ Lipsius ἐνόμισεν, ὅτι τὸ γέσον παρήχθη ἐκ τοῦ Γερμαν. egissor (φόϐος, τρόμος).

*κημένοις* » (περὶ τὸ 585 π. Χ.), κατὰ τοὺς αὐτοὺς ἐκείνους χρόνους καὶ οἱ ἐν Ἀσίᾳ Ἕλληνες, οἷον οἱ ἐν Φοινίκῃ καὶ Συρίᾳ, ἔλεγον καὶ μετεχειρίζοντο κατὰ τόπους τὸν καθ᾽ ἑαυτοὺς γαισὸν, ἢ γεσόν. Εἰ δὲ καὶ μὴ παρὰ τοῖς τότε παλαιοῖς Ἕλλησι, παρὰ δὲ τοῖς Ο πρῶτον καὶ τοῖς μετὰ τὸν Ἀλέξανδρον συγγραφεῦσιν ἡ λέξις ἀπαντᾷ, τί παράδοξον; Πάμπολλαι καὶ ἄλλαι φωναὶ (καὶ μάλιστα τῶν Ἀσιανῶν Ἑλλήνων) οὐχ εὑρίσκονται παρὰ τοῖς σωζομένοις ἐνδόξοις συγγραφεῦσι. Καὶ αὐτὸς ὁ Ἡσύχιος, καὶ εἴ τις ἄλλος λεξικογράφος, ὀλιγώτατα τοιαῦτα γλωσσηματικὰ ὀνόματα διέσωσαν καὶ εἰς ἡμᾶς· δυσχερέστατα δὲ τούτων καὶ ἡ τοπικὴ διάλεκτος ὁρίζεται καὶ ἡ ἡλικία. Αὐτίκα τὸ *γρόσφος*, πρῶτος (ὡς νομίζομεν) ὁ Πολύβιος φαίνεται μεταχειρισθείς· ἀλλὰ τίς ἂν εἴποι καὶ ὅτι πρὸ τοῦ Πολυβίου, καὶ πολὺ πρότερον οὐχ εὑρίσκετο ἡ λέξις εἰς οὐδεμίαν διάλεκτον ἑλληνικήν; Καὶ τὸ (ἴσως θρᾳκικὸν) *ῥομφαία* παρ᾽ οὐδενὶ τῶν ἐνδόξων ἀττικῶν, ἢ τῶν ἄλλων τοῦ χρυσοῦ τῆς Ἑλλάδος αἰῶνος συγγραφέων ἀναγινώσκεται· ἀλλὰ μήπως οὐχ ὑπῆρξε καὶ ἐπ᾽ ἐκείνων λεγόμενον κατὰ τόπους; Ἐκ τῶν ἅπαξ παρὰ Καλλιμάχῳ λεγομένων, καὶ πρῶτον παρ᾽ αὐτῷ, βλέπομεν καὶ τὸ *ἐσσὴν* (ὁ βασιλεὺς), κατὰ διάλεκτον ἴσως τῶν Κυρηναίων. Ἀλλ᾽ ὁ Παυσανίας ὕστερον ἐπελθὼν, ἔδειξε τὴν λέξιν συνήθη καὶ παρ᾽ Ἐφεσίοις, οἵτινες ἔλεγον ἐσσῆνας τοὺς γινομένους τῇ Ἀρτέμιδι ἑστιάτορας (η, 13). Ὀλίγῳ πρότερον (κεφ. δ. §. ιη) μόλις ἔσωσαν τοὺς Ο, ἐκ τοῦ Αἰγυπτιασμοῦ παρελθόντες οἱ Φασηλῖται μετὰ τῆς ἀρχαϊκῆς αὐτῶν *σισόης*. Καὶ αὐτὸ τὸ περσικὸν ἢ φρυγικὸν *Βαλλὴν*, εἰ μὴ καὶ παρ᾽ Αἰσχύλῳ εὑρίσκετο, καὶ τῷ Σοφοκλεῖ, ἀπηντᾶτο δὲ πρῶτον (ἐξ ὑποθέσεως) παρὰ τοῖς Ο, τότε μηδὲν μελήσας, ἴσως, ὁ κλεινὸς Ὅδιος, ἔλεγεν ἂν, ὅτι καὶ τὸ τεῦχος ἐκεῖνο τῆς Γραφῆς μεθηρμηνεύθη μετὰ τὴν στρατείαν τῶν Φράγγων σταυροφόρων, διότι καὶ οἱ πάλαι Βρεττανοὶ καὶ οἱ γείτονες αὐτῶν ἔλεγον τὸν ἄρχοντα Belin, ἢ Belenus!

§. ιθ. Δ) Τελευταῖον, συγχωροῦμεν Ὀδίῳ πρὸς ὥραν, ὅτι τὸ πολυθρύλλητον τοῦτο γαῖσος, ἢ γεσὸς, γνήσιόν ἐστιν ὄνομα Γα-

λατικὸν, μετὰ τῶν ἀρχεγόνων Κελτῶν συγγεννηθὲν καὶ συναυξηθὲν ἐπὶ τὰ τῶν Ἄλπεων ὕψη, (κατὰ τὴν ἐν Πηλίῳ *μελίαν* τοῦ Ἀχιλλέως), κᾀκεῖθεν μεταδοθὲν καὶ εἰς ἄλλα τῆς γῆς ἔθνη πολλὰ, καὶ ἑῷα καὶ ἑσπέρια· καὶ ἔστωσαν λοιπὸν οἱ Γαλάται, Ὀδίου χάριν, οἰκουμενικοὶ διδάσκαλοι τοῦ γαισοῦ· ἀλλ᾽ ὅμως οὐ συγχωροῦμεν καὶ τὸν χρόνον, καθ᾽ ὃν διώρισεν ὁ κριτικὸς τὴν εἰς τοὺς Ἀσιανοὺς παράδοσιν τούτου τοῦ διδάγματος. Ὑπάρχουσι καὶ διδάσκαλοι, οἵτινες ἐκπαιδεύουσι τοὺς ἑαυτῶν μαθητὰς οὐχὶ πάντοτε πάντα αὐτοπροσώπως, ἀλλὰ καὶ δι᾽ ἄλλων ἐνίοτε μαθητῶν. Καὶ φήμη δὲ πολλάκις εὐμαρὲς καὶ κοῦφον μάθημα διέδωκεν, ἀπὸ στόματος εἰς στόμα καὶ ἐκ χειρὸς εἰς χεῖρα παραπέμπουσα, μέχρι ποῤῥωτάτω τοῦ πρώτου εὑρέτου. Τοιοῦτό τι συνέβη καὶ περὶ τὸ γαισός. Πολὺν χρόνον πρὸ τῆς Ἀλεξάνδρου ἀναβάσεως οἱ Γαλάται συνεμίγησαν πρὸς τοὺς Τυῤῥηνούς (Πολύβ. Β, κεφαλ. 17, 18: βλ. καὶ Πλούταρχ. Καμίλλ. §. 16). Ἴβηρες δὲ πάλιν πρὸς τοὺς γείτονας Κελτοὺς τοσαύτην εἶχον ἀνέκαθεν ἐπιμιξίαν, ὥστε καὶ Κελτίβηρες συνέστησαν, ἐξ ἀμφοτέρων ἀνάμικτος φυλή· καὶ ἡ μέχρι δὲ τοῦ Ῥοδανοῦ Κελτικὴ ἐκαλεῖτο καὶ Ἰβηρία (ὅπερ Ὅδιος μάλιστα ἀξιοῖ). Καὶ ἡ Λιβύη δὲ παράκειται πρὸς τὴν Ἰβηρίαν καὶ τὴν Ταρτησσίν. Φοίνικες δὲ πάλιν τῆς Ἰβηρίας καὶ Λιβύης τὴν ἀρίστην κατεῖχον, μέχρις οὗ Ῥωμαῖοι κατέλυσαν αὐτῶν τὴν ἡγεμονίαν (Στράβ. σελ. 150)· καὶ οἱ Γαδειρανοὶ τὰ μέγιστα καὶ πλεῖστα ναυκλήρια ἔστελλον εἴς τε τὴν καθ᾽ ἡμᾶς θάλασσαν, καὶ εἰς τὴν ἐκτὸς (αὐτ. σελ. 168). Ἐκ ταύτης λοιπὸν τῆς παντοίας τῶν ἀρχαίων τῆς Εὐρώπης ἐθνῶν πρός τε ἄλληλα καὶ πρὸς Ἀσιανοὺς καὶ Λίβυας ἐπιπλοκῆς καὶ ἐπιμιξίας, μετεδόθη πρώϊμα καὶ τὸ (καθ᾽ Ὅδιον) γαλατικὸν γαισὸς οὐ μόνον εἰς τοὺς Ἰταλοὺς καὶ Σικελοὺς καὶ Ῥωμαίους, ἀλλὰ καὶ εἰς πολλοὺς τῆς Ἀσίας λαοὺς, ἄλλους τε καὶ ἑλληνικούς. Καὶ εἴπερ ἡ φήμη τῆς ὑπὸ τῶν Γαισατῶν τῆς Ῥώμης ἁλώσεως *διῆλθεν εὐθὺς τότε καὶ εἰς τὴν Ἑλλάδα* (Πλούταρχ. Καμίλλ. §. 22), πολλῷ πλέον ἐφεξῆς ἐγένοντο γνωστότερα τὰ Κελτικὰ καὶ ἔθνη καὶ ἤθη καὶ ὅπλα, ἀφ᾽ οὗ καὶ Ῥωμαῖοι πρὸς

τοὺς Κελτοὺς ἐπολέμουν, καὶ αὐτοὶ πάλιν οἱ Κελτοὶ πρὸς Ἰλλυριοὺς καὶ Παίονας καὶ Θρᾷκας ἐστράτευον, καὶ ἀνεμίγνυντο κατὰ τόπους τὰ Κελτικὰ πρὸς τὰ Ἰλλυρικὰ καὶ Θρακικὰ, πρὶν ἔτι οἱ περὶ τὸν Βρέννον εἰσβάλωσι καὶ ταφῶσιν εἰς τοὺς Δελφοὺς, καὶ πρὶν ἐπὶ Νικομήδους διαπεραιωθῶσι σταθερῶς εἰς τὴν Ἀσίαν. Καὶ ὑπῆρχεν ἴσως ὁ γαισὸς παρ᾽ Ἕλλησι, καὶ μάλιστα εἰς τὴν Ἀσίαν, ὄνομα καὶ ὅπλον ἐν χρήσει καὶ κατὰ τοὺς χρόνους ἔτι τῆς ἐν Περγάμῳ μαντιπόλου Πυθίας Φαεννίδος· ἥτις γενεᾷ πρότερον μιᾷ, πρὶν ἐκ τῆς Εὐρώπης διαβῶσιν οἱ Γαλάται εἰς τὴν Ἀσίαν, ἐθέσπισε τὸν παρὰ Παυσανίᾳ (Ι, ιε) γνωστὸν ἐκεῖνον χρησμόν· « Δὴ τότ᾽ ἀμειψάμενος στεινὸν πόρον Ἑλλησπόντου, Αὐλήσει Γαλατῶν ὀλοὸς στρατός » κτλ.

§. κ. Ὁ δὲ σοφὸς Ὅδιος πάσας τὰς ἀρχαίας τῶν Γαλατῶν πρὸς τοὺς ἄλλους λαοὺς ἐπιπλοκὰς ὑπερπηδήσας, κατῆλθεν εἰς τὰς μεταγενεστέρας ὑπερορίους αὐτῶν στρατείας, ὅπως ὀψιαίτατα τὸν γαισὸν τοῖς Ἕλλησιν ἐπιδείξῃ. Ὅθεν περιχαρακώσας ἀσφαλῶς, καὶ συγκλείσας ἀγχιστίνους, ὡς ἂν πρόβατα, σεσηκασμένους, ἐν Αἵμῳ τῆς Θρᾴκης τοὺς μέχρις αὐτοῦ κατὰ τὴν πρώτην στρατείαν προελθόντας Γαλάτας, ἀπέστειλεν ὀπίσω πάλιν αὐτοὺς εἰς τὴν Ἰλλυρίαν, ἢ καὶ τὴν Κελτικὴν, ἐξολισθήσαντας καὶ διαφυγόντας ἐκ τῆς χάρακος ἠρέμα, καὶ διὰ νυκτὸς ἴσως ἀσελήνου. Ὥστε οὔτε τὰ πρόσωπα, οὔτε τὸν ὁπλισμὸν, ὅθεν οὐδὲ τὸν γαισὸν αὐτῶν κατεῖδον οἱ περὶ τὸν Κάσσανδρον πολιορκήσαντες αὐτοὺς Μακεδόνες· διότι ἄλλως ὁ γαισὸς ἔκτοτε (περὶ τὴν ρκ. Ὀλυμπιάδα, καὶ μετὰ τὰ μέσα τῆς Λαγίδου βασιλείας) ἐκινδύνευε γενέσθαι γνωστὸς τοῖς Μακεδόσι (δι᾽ αὐτῶν δὲ καὶ εἰς τὴν Ἀσίαν καὶ τὴν Αἴγυπτον), καὶ πρὶν ὁ Λάγου Πτολεμαῖος τελευτήσῃ τὸν βίον. Ἀπέφραξε δὲ πρὸς τούτοις (ὡς ἔοικεν) ὁ κριτικὸς καὶ πάντα πόρον, καὶ πᾶσαν ὁδὸν τῆς Ἰλλυρίας καὶ Παιονίας, ὅπου χρόνον μακρὸν (κατὰ τὸν Ἰουστῖνον) ἱδρύθησαν οἱ Γαλάται, φοβούμενος, μήπως κἀκεῖθεν διαφύγῃ τις ἐν τῷ μεταξὺ φέρων γαισὸν εἰς τοὺς Μακεδόνας, πρὶν ἀποκτείνωσι τὸν Κεραυνὸν αὐτοὶ στρατεύσαντες οἱ

Γαλάται, τετραετίαν ὅλην δηλονότι μετὰ τὴν Λαγίδου τελευτήν. [Ἐκινδύνευε δὲ γενέσθαι ἐν τῷ μεταξὺ καὶ τοιαύτη τις τοῦ γαισοῦ παρακομιδή. Μὴ γὰρ ἡ Μακεδονία ἀπεῖχε τῆς Ἰλλυρίας μακρότερον, ἢ ὅσον ἀπὸ τῆς Ἑλλάδος ἡ χώρα τῶν Σινῶν, ἢ Σηρῶν, ὅθεν ἔφερον οἱ μοναχοὶ τὸ σπέρμα τοῦ σηρὸς, ἤτοι τοῦ μεταξουργοῦ σκώληκος; Προκόπ. Πολέμ. Γοτθ. δ: - ἢ καὶ ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, ὅθεν ὁ Προμηθεὺς κατεβίβασεν ἐν νάρθηκι κρύψας τὸ σπέρμα τοῦ πυρός; ]. Ἀλλ᾽ ἡμεῖς καὶ ὧδε ὑπενθυμίζομεν τὸν κριτικὸν, ὅτι καὶ τὰ εἴδη καὶ τὰ ὀνόματα πολλῶν πολλάκις πραγμάτων μεταβαίνουσιν ἀφ᾽ ἑνὸς εἰς ἕτερον ἔθνος, καὶ πρὶν ἐπιμιγῶσι ταῦτα πρὸς ἄλληλα διὰ μετοικεσίας, ἢ στρατείας πολεμικῆς. Τὸ Περσικὸν *γέῤῥον* (εἶδος ἀσπίδος πλεκτῆς) ἐγνώριζον οἱ Ἕλληνες καὶ ἐπὶ Ἀλκμᾶνος (περὶ τὸ 600, π. Χ.) πολὺ πρὶν εἰσβάλωσιν οἱ Πέρσαι εἰς τὴν Ἑλλάδα. Ὁ δὲ πάλιν Ἀρχίδαμος ὁ Ἀγησιλάου, μὴ στρατεύσας εἰς Σικελίαν, καὶ ἤκουσε καὶ ἴδε τὸ τότε πρῶτον κομισθὲν εἰς τὴν Ἑλλάδα *καταπελτικὸν* βέλος, ἐφ᾽ ᾧ καὶ ἀπεφθέγξατο τὸ « ἀπόλωλεν ἀνδρὸς ἀρετά » (Πλούτ. Ἀποφθ.) Καὶ τὸ σαύνιον μετεχειρίζοντο Μολοσσοὶ καὶ Ἠπειρῶται, καὶ πρὶν ὅλως ἀκούσωσι τὸ ὄνομα τῶν ἐκ τοῦ σαυνίου παρωνυμουμένων Σαυνιτῶν, ἢ Σαμνιτῶν. Καὶ αὐτῶν δὲ τέλος τῶν Ἀττικῶν πολλοί τινες ἐγνώριζον τὸ γαλατικὸν *ὕσγη*, καὶ τὰ ὕσγινα, καὶ ὑσγινοβαφῆ ἱμάτια, ἅπερ ἐμνημόνευσεν ὁ Ξενοφῶν, καίτοι μηδ᾽ ὄναρ ἴσως ἄνθρωπον Γαλάτην ἰδών (α). Παραλείπομεν ἄλλα

---

(α) Ὕσγινον, τὸ κόκκινον, παρὰ τὸ ὕ σ γ η, ὁ κόκκος (τὸ συνήθ. πρινοκόκκιον = κόκκος πρίνου θαμνώδους), καὶ αὐτὸς ὁ κοκκοφόρος θάμνος. « Γαλάται γὰρ οἱ ὑπὲρ Φρυγίας φωνῇ τῇ ἐπιχωρίῳ σφίσι (τὸν κόκκον) ὀνομάζουσιν ὗς » (Παυσαν. I. 36). γαλλικ. houx (Γαλλικ. μετάφρ. Παυσαν. ὑπὸ Clavier. πρβλ. Salmas. Exercit. Plin. p. 273 et 962, καὶ Riemer Ἑλληνογερμ. λεξ. λ. ὕσγη. Ὁ δὲ Μενάγιος ἐτυμολογεῖ καὶ αὐτὸ τὸ houx παρὰ τὸ ὀ ξ ὺ ς, ὡς ἀκανθῶδες τὸ φυτόν). Ἐπειδὴ δὲ ὁ κόκκος οὗτος, ἡ ὕσγη, φύεται ὡς ἐπίφυμα ἐπὶ τοῦ πρινίνου φύλλου, ἐντεῦθεν ἴσ. καὶ ἡ συνήθως ὕ σ κ α (οἷον ὕσγα), ὡς ἐπίφυμα καὶ αὔτη ἐπὶ τῶν κορμῶν τῶν δένδρων, καὶ οἷον ἐπίδενδρος ἀ μ α ν ί τ η ς (ὅθεν λέγουσι καὶ τὸ γαλλ. a m a d o u). « Ὕσκα (γράφεται καὶ ἴσκα, υ = ι) ὀψάριον, καὶ ξ ύ λ ο ν, ἐ ν ᾧ ἅ π τ ε τ α ι π ῦ ρ ». Σουΐδ. (Οἱ δέτινες εἶπον τὸ ὕσκα τοῦτο παρὰ τὸ λατ. esca, καθὸ τάχα τ ρ ο φ ὴ ν τοῦ πυρός!).

παραδείγματα καὶ παλαιὰ καὶ τῶν νεωτέρων ἐθνῶν, παρ᾽ οἷς ἐπεξενώθησαν καὶ νῦν εἰσιν ἐν χρήσει πολλαὶ καὶ ποικίλαι παντοίων πραγμάτων χρήσεις καὶ φωναὶ, καίτοι μηδέποτε πρὸς ἄλληλα συμπεσόντων. Τοιουτοτρόπως καὶ τὸ Κελτικὸν λεγόμενον γαισὸς μετέβη καὶ εἰς τοὺς ἑῴους λαοὺς πολὺ πρότερον τῆς εἰς τὴν Ἀσίαν καὶ τὴν Αἴγυπτον διαβάσεως τῶν Γαλατῶν.

§. κα. Θέλεις Ὄδιε (καὶ εἴ τις ἄλλος μετὰ σοῦ) γαλατικὸν ἰδίως ὄνομα καὶ ὅπλον τὸν γαισόν; φρόνει ὅπως θέλεις· οὐδὲν μέλει περὶ τούτου τοῖς περὶ τὸν Ἀθήναιον καὶ Πολυδεύκην καὶ Διόδωρον καὶ τὸν Στράβωνα· ἀλλὰ βλέπε, μήπως εὕρῃς τοῦτο τὸ Κελτοφυὲς ὄνομα καὶ ὅπλον κομισθὲν ἐπὶ τῆς Ἀσίας ὑπό τινων Μασσαλιωτῶν, παρὰ τοῖς ἀρχαίοις αὐτῶν συγγενέσι, τοῖς Φωκαεῦσι, πάνυ πρῴην ἐπιξενωθέντων, πολλὰς πρότερον δεκάδας ἐνιαυτῶν, πρὶν ἐπιστρατεύσωσιν οἱ Γαλάται εἰς τὴν Ἀσίαν. Βλέπε, μήπως εὕρῃς τοῦτο καὶ εἰς τὴν Ἑλλάδα ἔτι κατὰ τὸ δ, τῆς ρϐ, Ὀλυμπιάδος (τῷ 368 π. Χ.), ὁπότε ἐκ τῆς Σικελίας Κελτοὶ καὶ Ἴβηρες δισχίλιοι κατέπλευσαν εἰς Κόρινθον, ἐκπεμφθέντες ὑπὸ Διονυσίου συμμαχῆσαι Λακεδαιμονίοις (κατὰ Βοιωτῶν)· καὶ πολλὰς χρείας παρασχόμενοι, καὶ τιμηθέντες ὑπὸ τῶν Λακεδαιμονίων, πάλιν ἐξαπεστάλησαν εἰς τὴν Σικελίαν (Διόδωρ. ιε. §. 70. Τ. β, σελ. 57). Βλέπε, μήπως εὕρῃς τοῦτο καὶ κατὰ τὴν πρώτην στρατείαν τῶν Γαλατῶν ἐκ τοῦ Αἵμου τῆς Θρᾴκης εἰς τὴν Μακεδονίαν μετὰ Κασσάνδρου συμπαρακολουθῆσαν, κἀκεῖθεν εὐθὺς καὶ εἰς τοὺς ἐν Ἀσίᾳ καὶ ἐν Αἰγύπτῳ Μακεδόνας μεταφοιτῆσαν. Βλέπε, μήπως εὕρῃς τοῦτο μεταδοθὲν εἰς τοὺς Μακεδόνας καὶ ἐκ τῆς γείτονος Παιονίας, εἰς ἣν οἱ Γαλάται καταστάντες, καὶ κρατήσαντες διὰ μακροῦ, πρὸς τοὺς ὁμόρους ἐπολέμουν. Βλέπε, τέλος, μήπως εὕρῃς τοῦτο καὶ μετ᾽ αὐτοῦ τοῦ Ἀλεξάνδρου συναναβὰν εἴς τε τὴν Ἀσίαν καὶ τὴν Αἴγυπτον. Διδάξει δὲ τὸ πιθανὸν τοῦ πράγματος αὐτὸς ὁ τοῦ Λάγου Πτολεμαῖος (οὗτινος ἀπὸ τῆς τελευτῆς πλέον, ὡς λέγεις, ἢ εἴκοσιν ἐτῶν παρελθόντων ἐπεγνώσθη κατ᾽ Ἀσίαν ὁ γαισός). Οὗτος γὰρ ὁ καθ᾽ ὅλας τὰς στρατείας ἀχώριστος ἱστο-

ριογράφος Ἀλεξάνδρου καὶ στρατηγὸς συνανεστράφη, Ὅδιε, μετὰ τῶν Κελτῶν, καὶ πάντως ἴδε τὸν ὁπλισμὸν αὐτῶν, ὁπότε συνήντησαν οἱ Κελτοὶ τῷ Μ. Ἀλεξάνδρῳ φιλικῶς. Ἄκουε, πῶς αὐτὸς ἱστορεῖ ταύτην τὴν συνάντησιν. « Ἀλεξάνδρῳ τῷ Φιλίππου κατὰ τὴν ἐπὶ Θρᾷκας ὑπὲρ τοῦ Αἵμου στρατείαν » (ὁπότε καὶ εἰς τοὺς Γέτας διέβη) « συνέμιξαν οἱ Κελτοὶ οἱ περὶ τὸν Ἀδρίαν, φιλίας καὶ ξενίας χάριν. Δεξάμενος δὲ αὐτοὺς φιλοφρόνως ὁ βασιλεὺς, ἤρετο παρὰ τὸν πότον· *τί μάλιστα εἴη ὃ φοβοῖντο*; (νομίζων, αὐτὸν ἐρεῖν)· αὐτοὶ δὲ ἀπεκρίναντο· οὐδένα· πλὴν εἰ ἄρα μὴ *ὁ οὐρανὸς αὐτοῖς ἐπιπέσοι*· φιλίαν γὲ μὴν ἀνδρὸς τοιούτου περὶ παντὸς τίθεσθαι » (α). Ἆρά γε ἀμφιβάλλεις, Ὅδιε, ὅτι οἱ Κελτοὶ οὗτοι μακρόθεν, ἐκ τῆς περὶ τὸν Ἀδρίαν διατριβῆς, εἰς τὴν πέραν τοῦ Ἴστρου Κελτικὴν διαβάντες, ἦλθον ἔνοπλοι καὶ γαισοφόροι, *δισσὰ* (καθὼς αὐτοὺς ὁπλίζεις ἐκ τῶν Ῥωμαίων ποιητῶν), *δισσὰ* φέροντες ἕκαστος *Ἀλπήϊα γαῖσα καὶ δόρυ*, πρὸς ἀσφάλειαν τῆς ὁδοιπορίας; Τότε λοιπὸν καὶ Ἀλέξανδρος, καὶ Πτολεμαῖος αὐτὸς, καὶ οἱ Μακεδόνες καὶ ἴδον τὸν μέχρι τότε (κατὰ σὲ) ἄγνωστον αὐτοῖς γαισὸν, καὶ κατέμαθον, καὶ ἡσθέντες τῷ ὅπλῳ συνανεβίβασαν μεθ' ἑαυτῶν εἰς τὴν Ἀσίαν, καὶ τοῖς ἐν Αἰγύπτῳ καὶ Συρίᾳ παρέδωκαν Ἕλλησιν, ἑξήκοντα σχεδὸν ἔτεσι, πρὶν οἱ Ο μεθερμηνεύσωσι τὰς Γραφάς. Εἰ δὲ καὶ ὁ τοῦ Λάγου Πτολεμαῖος ἐν τῇ ἀνωτέρω περικοπῇ οὐδὲν λέγει κατὰ λέξιν καὶ περὶ γαισοῦ, οὐδὲ Διόδωρος ἐν τῇ τῶν Κελτῶν ἐκ Σικελίας εἰς Κόρινθον ἀποστολῇ, μήπως πάλιν ὁ Παυσανίας καὶ Μέμνων καὶ Ἰουστῖνος, οἱ τὴν εἰς Ἀσίαν στρατείαν τῶν Γαλατῶν ἱστοροῦντες μετὰ τὸν Λαγίδου θάνατον (καθὼς Ὅδιος θέλει) τὸ πρῶτον γεγενημένην, μήπως οὗτοι, λέγω, προσέθηκαν καὶ ῥητῶς, ἢ ὅτι ὁ γαισός ἐστιν ὅπλον Κελτικὸν, ἢ ὅτι τότε πρῶτον ἐφάνη εἰς τὴν Ἀσίαν, καθὼς Ὅδιος ἐμάντευσε;

(α) Πτολεμ. παρὰ Στράβωνι Ζ, 302. Τοιαῦτα καὶ Ἀῤῥιανὸς (Ἀναβ. Α, α. σελ. 11), προστιθεὶς, καὶ ὅτι τούτους Ἀλέξανδρος φίλους τε ὀνομάσας, καὶ συμμάχους ποιησάμενος ἀπέπεμψε, τοσοῦτον ἐπειπὼν, ὅτι « ἀλαζόνες οἱ Κελτοί εἰσι ».

§. κγ. Τούτων οὕτω κειμένων, περιττὴ λοιπὸν ἀποβαίνει πᾶσα ἀπάντησις ἰδίως πρὸς τὸ δεύτερον τεθὲν ἄρθρον τοῦ κριτικοῦ (§. β), δι' οὗ διώρισεν ἀραρότως καὶ βεβαίως, ὡς ἐκ γεωμετρικῶν πινάκων, τὸν χρόνον τῆς εἰς τὴν Ἀσίαν ἀναβάσεως τῶν Κελτῶν. Εἴπερ τὸ γαισὸς ὑπάρχει πιθανώτατα ὄνομα καὶ πρᾶγμα Ἀσιανὸν, ἢ Λιβυκὸν, ἢ καὶ πᾶν ἕτερον μᾶλλον, παρὰ γνησίως γαλατικὸν, καὶ εἴπερ (καὶ τούτου δοθέντος) ἠδύνατο πολλαχόθεν μεταβῆναι τὸ ὅπλον εἰς τὴν Ἀσίαν καὶ πρὸ τῆς διαβάσεως τῶν Γαλατῶν, διαπεραιούσθωσαν λοιπὸν οὗτοι, ὅταν θέλῃ Ὅδιος· οὐδεμία περὶ τούτου φροντίς. Οἱ Ο ἐγνώριζον καὶ ἔγραψαν τὸν γαισὸν, ὡς ἤδη συνηθέστατον παρὰ τοῖς Ἀσιανοῖς λαοῖς, ἄλλοις τε καὶ Ἕλλησι, πολλοὺς πρότερον ἐνιαυτοὺς οὐ μόνον πρὸ τῆς τελευτῆς, ἀλλὰ καὶ πρὸ τῆς ἀρχῆς αὐτῆς τοῦ Λαγίδου Πτολεμαίου· ὁ δὲ σοφὸς Ὅδιος παντάπασιν ἠπατήθη περὶ τὴν κρίσιν. Καίτοι καὶ περὶ τὸν διορισμὸν αὐτὸν τοῦ χρόνου τῆς διαβάσεως τῶν Γαλατῶν (εἴ τι χρὴ καὶ περὶ τούτου εἰπεῖν) οὐκ ἀξίως τῆς αὐτοῦ σοφίας, οὐδ' ἀπαθῶς ἔκρινε. Μετὰ πολλῆς φιλοπονίας συνήθροισε τὰς ἐπισήμους ὧν ἐμνημόνευσε συγγραφέων περικοπάς· ἀλλὰ τὰς μεταξὺ τούτων προφανεστάτας διαφωνίας ἀπεσιώπησεν· ἢ μόλις, ὁδοῦ πάρεργον, ὡς ἄν τινα ξένην ἀγγελίαν, ἐκ παραδρομῆς ἀποῤῥίψας, ἔσπευσε δρομαῖος πρὸς τὸ φίλον αὐτῷ συμπέρασμα. Ἀλλὰ σημειοῦμεν ἡμεῖς ἐπιτόμως τινὰς τῶν εἰρημένων παρὰ τοῖς μνημονευθεῖσιν ἱστορικοῖς διαφωνιῶν. α) Ὁ Παυσανίας ἱστορῶν τοὺς Κελτοὺς ἐπὶ τῆς πρώτης στρατείας μέχρις Αἵμου προελθόντας, καὶ πάλιν ἐπιστραφέντας, φαίνεται ἀγνοῶν ὅτι καὶ Κάσσανδρος ἀπήντησεν αὐτοῖς, καὶ κατεπολιόρκησεν ἐκεῖ (καθὼς ὅ,τε Σενέκας καὶ Πλίνιος προσέθηκαν)· λέγει δὲ καὶ ῥητῶς ὁ Παυσανίας, ὅτι «*πρῶτος ὧν ἴσμεν βασιλέων ὁ Κεραυνὸς* ἐτόλμησεν ἀντιτάξασθαι Γαλάταις». Καὶ τοῦτο μὲν ἔστω μικρὸν εἴτε λάθος τοῦ Παυσανίου, εἴτε καὶ τοῦ λόγου πρὸς ἄλλα σπεύδοντος συγκοπή· ἀλλ' ὁ αὐτὸς οὗτος ἱστορικὸς εἰπὼν, ὅτι μετὰ τὴν ἐν Δελφοῖς δυστυχίαν, Γαλατῶν οἱ πολλοὶ εἰς τὴν Ἀσίαν διαβάντες,

τὰ παραθαλάσσια αὐτῆς ἐλεηλάτουν (Α, δ. παράβαλε καὶ Πολύβ. Α, 6. καὶ Δ, 46), ἔπειτα προϊὼν, ἅπαντας αὐτοὺς ἐν Δελφοῖς ἀποκτείνει, « ὡς μηδένα οἴκαδε ἀποσωθῆναι » (Ι, κγ.). Διορίσας δὲ τὴν εἰς Ἀσίαν αὐτῶν διάβασιν ἓν ἔτος μετὰ τὴν ἐν Δελφοῖς συμφορὰν, πάλιν ἀλλαχοῦ φαίνεταί πως ἀμφιγνοῶν, « *ὅντινα δὴ τρόπον* (οἱ Γαλάται ναυσὶ) *διαβεβήκασιν εἰς τὴν Ἀσίαν* (Ζ, 6). Οὕτω καὶ Ἰουστῖνος διαφωνεῖ πρὸς ἑαυτὸν καὶ πρὸς ἄλλους (βλ. §. ϛ), καὶ Διόδωρος λέγει τῶν μετὰ Βρέννου στρατευσαμένων « οὐδεὶς ὑπελείφθη ἀπελθεῖν [εἰς] οἶκον » (ἐν Ἐκλογῶν κβ. σελ. 497. τόμ. Β. ἐκδ. Βεσελ.). Ὁ δὲ Λίβιος καὶ πρὸ τῆς ἐν Δελφοῖς συμφορᾶς εἰσάγει τὸν Βρέννον εἰς τὴν Δαρδανίαν ἐλάσαντα, καὶ δυσμυρίους τῶν μετ᾽ αὐτοῦ καταλιπόντα, παραμείναντας μέχρι τινὸς εἰς τὴν Βυζαντίων χώραν ἀντικρὺ τῆς Ἀσίας. Ἀλλ᾽ ὁ παρὰ τῷ Σουΐδα ἀνώνυμος, τρισμυρίους ἱστορῶν καὶ αὐτὸς Γαλάτας ἅμα Βρέννῳ στρατηγῷ προελθόντας, « Οἱ μὲν, λέγει, *ἐπὶ τὴν εἴσω Πυλῶν Ἑλλάδα*, οἱ δὲ, ἐπὶ Θράκην καὶ τὴν *Ἀσίαν* ἐτράποντο, ἀμφὶ τὰς δύω-μυριάδας ὄντες· καὶ *κρατήσαντες τῷ πολέμῳ πάντων μικροῦ τῶν ἐπὶ τάδε τοῦ Ταύρου Ἀσιανῶν γενῶν*, - τὰ περὶ τὸν Ἅλυν ποταμὸν χωρία κατασχόντες ἐνέμοντο » κτλ. (Σουΐδ. λ. Γαλάται). Καὶ κατὰ ταῦτα λοιπὸν οἱ Γαλάται διέβησαν εἰς τὴν Ἀσίαν συγχρόνως, ὁπότε καὶ οἱ μετὰ Βρέννου εἰς τὴν Ἑλλάδα, πρὸ τῆς τούτου δηλονότι καταστροφῆς. Ὁ δὲ Μέμνων λέγει μὲν ὅτι ἐπὶ Νικομήδους εἰς τὴν Ἀσίαν τὸ πρῶτον μετεστάλησαν οἱ Γαλάται (πολλοῖς ἔτεσιν ἔπειτα, μετὰ τὴν παρὰ τῷ Παυσανίᾳ διάβασιν αὐτῶν), προστίθησι δὲ ὅμως, ὅτι καὶ πρότερον « πολλάκις μὲν ἐπεχείρησαν εἰς Ἀσίαν περαιωθῆναι, τοσαυτάκις δ᾽ ἀπέτυχον ». Φαίνονται λοιπὸν, ὅτι καὶ πρὸ τῆς ἀπωλείας τοῦ Βρέννου ἐποίουν τινὰς εἰς τὰ παράλια τῆς Ἀσίας ἀποβάσεις, εἰ καὶ μὴ σταθερὰς, κατὰ τὸν Μέμνονα, κατ᾽ ἄλλους δὲ καὶ πάνυ διαρκεῖς (α). Ὅθεν καὶ ὁ Παυσανίας ἱστορῶν τὴν μετὰ τὰ Βρεν-

(α) Βλ. Παυσαν. Α. 4 καὶ Α. 8. πρβλ. Στράβ. ιβ, 566, καὶ ιγ, 624.

νικά, τῷ ἐφεξῆς ἔτει, διάβασιν αὐτῶν, λέγει· « Οἱ δὲ ΑΥΘΙΣ εἰς τὴν Ἀσίαν διαβαίνουσιν οἱ Κελτοί » (Ι, κγ. βλ. καὶ ὄπισθ. τ. α. σελ. 301). Τελευταῖον, ἡ Μιτυληναία ποιήτρια Ἀνύτη, ἥτις ἤκμαζε περὶ τὴν 120: Ὀλυμπιάδα (τῷ 296 π. Χ.), ὕμνησε δι' ἐπιγράμματος τῶν τρισσῶν Μιλησίων παρθένων τὴν σωφροσύνην, αἵτινες ἀπέθανον, « Τὰν ἄνομον Γαλατᾶν ὕβριν ἀναινόμεναι » (α). Καὶ κατὰ ταῦτα λοιπὸν ὁ *Κελτῶν Ἄρης* ἐτάραττε τὰ παράλια τῆς Ἀσίας 14 περίπου ἔτη καὶ πρὸ τῆς Λαγίδου τελευτῆς (τῷ 282 π.Χ. ἢ Ὀλυμπ. 124 τὸ β). Ταύτας καὶ τὰς τοιαύτας εἴτε δοκούσας, εἴτε καὶ οὔσας διαφωνίας ὤφειλε πρῶτον ὁ κριτικὸς ὁμαλῶς διαλλάξαι, ἵνα στήσῃ βεβαίαν τὴν ἐποχὴν τῆς εἰς τὴν Ἀσίαν πρώτης περαιώσεως τῶν Κελτῶν ἅμα καὶ τοῦ *γαισοῦ* (ἐπειδὴ καὶ ἀπὸ τούτου ἐξήρτησε τὸν χρόνον τῆς ἑρμηνείας τοῦ Ἰησοῦ)· ἀλλ' αὐτὸς διὰ τοσούτων φαινομένων ἀκανθωδῶν δυσχερειῶν, ὡς ἂν διὰ πάντων ἀναμφιλέκτως ὁμολογουμένων, καὶ οἷον διὰ μαλακῶν λευκοΐων, βαδίσας, συνεπέρανε *χωρὶς οὐδεμιᾶς ἀμφιβολίας* (§. θ.) ὅ,τι δὴ καὶ συνεπέρανε. Φροντίζων δὲ κηδεμονικώτατα, μή τις τῶν ἀναγνωστῶν Πολυαίνῳ πιστεύσας, ἀπατηθῇ τὴν μεγίστην ἀπάτην (βλ. §. ια), ἔπειτα οὐκ ἔβλεπεν αὐτὸς ἑαυτόν τε καὶ τοὺς ἀναγνώστας οὕτω μακρὰν τῆς ἀληθείας ἀποπλανῶν.

§. κδ. Εἰς μάτην δὲ καὶ τὸν Βοχάρτον ἠρώτησε, « τίς τῶν παλαιῶν εἶπε Σύρων βέλος τὸν γαισόν »; (§. ιβ). Εἰ γάρ τις καὶ ἔλεγεν, Ὅδιε, μήπως ἐπιστεύετ' ἂν παρ' ὑμῖν; Πολὺ τῇ ἀληθείᾳ ἐπιστεύθησαν Ἀθήναιος καὶ Πολυδεύκης, ὧν τὰς γνώμας οὕτως ἀπηνῶς ἀπέῤῥιψας. Ἀλλ' ἰδοὺ ὁ Ἰωνάθαν, ἀρχαιότατος Ταργουμιστής, εἶπε συριστὶ τὸ *gissesin* (ἐπὶ βέλους)· τί λοιπὸν καὶ τοῦτον ἀπεσκυβάλισας; ἢ ποίας ἔχων βεβαίας γνώσεις τῆς κατὰ τὸν Ἰωνάθαν ἐκείνης Χαλδαϊκῆς, ἔκρινας οὕτως ὁριστικῶς καὶ ἐκπεφασμένως οὐχὶ γνησίαν τῶν Σύρων, ἀλλ' ἢ παρὰ τῶν Γαλατῶν, ἢ καὶ παρὰ τῶν ὕστερον ἀρξάντων Μακεδόνων ὀψέποτε δεδα-

(α) Βλ. Delect. Epigram. Graec. ὑπὸ Jacobs c. XI. p. 435.

νεισμένην τὴν φωνήν; Σὺ δὲ, ὦ σοφώτατε, οὐδὲ τὸν σκότιον καὶ χθιζὸν ῥαββινίσκον *Δελάραν* ὤκνησας εἰς μέσον παραγαγεῖν πρὸς ἀπόδειξιν (ἐπειδὴ καὶ τὸ πρᾶγμα μεγάλην [οὐχ ὁρᾷς;] ἀποδείξεως εἶχε χρείαν!), ὅτι πολλὰ τῆς Ἑλληνίδος ἐδανείσθησαν οἱ μεταγενέστεροι Σύροι καὶ Ῥαββῖνοι. Ἀλλ' εἰ μὲν πολλὰ, ἢ ὀλίγα τὰ δάνεια ταῦτα, τίς σε περὶ τούτων ἐρωτᾷ; Περὶ τοῦ *γισσεσὶν* ὁ λόγος, Ὅδιε· τοῦτο καὶ πρῶτον καὶ μόνον ὤφειλες μετὰ τῶν ὁμοφρόνων ἀποδεῖξαι παρὰ τῶν Γαλατῶν εἰς τὰ τῶν Σύρων ϛόματα μεταβάν· καὶ τὸν χρόνον δὲ προσαποδεῖξαι καὶ τὸν τόπον, ὅπου τὸ πρῶτον ἡ λέξις ἐπεξενώθη παρὰ Χαλδαίοις· πρόδηλον γὰρ, ὅτ, ταύτην ὁ παραφραστὴς μετεχειρίσθη καθὸ γνωστὴν καὶ συνήθη τοῖς, δὶ οὓς παρέφραζε τὸ ἑβραϊκὸν, ἰδίοις ὁμογενέσι. Καὶ ὅταν ἀποδείξῃς τὸ *γισσεσὶν* γνήσιον ὂν γαλατικὸν, καὶ αὐτῶν ἐκείνων τῶν *γαισατῶν* (διότι γνωρίζεις πάντως τὰς ἀρχαίας διαλέκτους τῶν ὑπαλπείων καὶ ὑπεραλπείων ἐκείνων Κελτῶν, «*καίτοι μὴ πάντων ὁμογλώττων σφίσι γενομένων*», κατὰ τὸν Στράβωνα ι) μένει πλέον, ἵνα καὶ τοὺς Λίβυας ὡσαύτως ἀποφήνῃς ταύτην τὴν φωνὴν γαλλίζοντας ἁπαξαπλῶς ἅπαντας, τοὺς ἀπὸ στηλῶν μέχρι Νείλου κατοικοῦντας, ἐξελέγχων ἅμα καὶ τοὺς περὶ τὸν ἀφιλόλογον Πολυδεύκην. Μετὰ δὲ ταῦτα μεταβὰς διδάξεις καὶ τοὺς ἄλλους τοὺς ἑσπερίους λαοὺς, ἰδίως δὲ μάλιστα τοὺς Ἴβηρας, ἵνα μηδ' αὐτοὶ τοῦ γαισοῦ σὺν τοῖς περὶ τὸν Ἀθήναιον ἀντιποιῶνται (ῥᾶστα δὲ ταῦτα δείξεις, ὡς εὑρήσων ἐκεῖ παρὰ τοῖς Τουρδούλοις «*τῆς παλαιᾶς μνήμης συγγράμματα*». Ἐπίστασαι δὲ καὶ τὰ ἰδιώματα τῶν ἄλλων Ἰβήρων, οἵτινες «*χρῶνται μὲν γραμματικῇ, ἀλλ' οὐ μιᾷ ἰδέᾳ· οὐδὲ γὰρ γλώττῃ μιᾷ*». (Στράβ. σελ. 139). Ἀφ' οὗ δὲ ταῦτα κατορθώσῃς, πληροφορήσεις δήπου καὶ τοὺς Ἕλληνας, ἵνα μὴ πλανῶνται μάτην ὑποπτευόμενοι, μήπως τὸ *γαισὸς* ἔμαθον παρὰ τῶν ἐγγόνων τῆς Ἑλλάδος Μασσαλιωτῶν καὶ οἱ λοιποὶ Γαλάται, τοσοῦτον φιλέλληνες γεγονότες, «*ὥστε καὶ τὰ συμβόλαια γράφειν ἑλληνιστί*. (Στράβ. σελ. 181). Συντάξεις δὲ πρὸς τούτοις καὶ ὁδοιπορικὸν ἡμερολόγιον τοῦ ἀρχαίου τούτου Κελτι-

κοῦ πράγματος καὶ ὀνόματος, ὅπως ἀποδείξῃς, ὅτι τοῦτο βεβαίως οὐδείς, οὔτε Γαλάτης μεταναστεύσας, οὔτε Φοῖνίξ τις, ἢ Θρᾷξ, ἢ Ἰλλυριὸς (« *ἐκ τῶν ἐπιμεμιγμένων τοῖς Κελτοῖς* ». Στράβ. ζ, σελ. 304) ἐξέφερεν ἐκ τῆς Κελτικῆς, ἢ τῆς ἄλλης Εὐρώπης εἰς τὴν Ἀσίαν πρὸ τῶν ὡρισμένων στρατειῶν τῶν Γαλατῶν, ἀλλὰ παρὰ μὲν τοῖς Ἀσιανοῖς ἦλθεν ὁ γαισὸς ἀκριβῶς *ἕκτῳ ἔτει* μετὰ τὴν Λαγίδου τελευτὴν (§. η), εἰς δὲ τὴν Αἴγυπτον, συνάμα μετὰ τῶν ἐπὶ Φιλαδέλφου μισθοφόρων Γαλατῶν, ἔτει μετὰ τὸν Λαγίδου θάνατον ἀκριβῶς *εἰκοστῷ* (§. θ) « *τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο* »! διορίσεις δὲ καὶ πόσην ἡλικίαν ἄγουσα μετὰ τὴν Λαγίδου τελευτήν, ἀπέβαλε τὸν γνώμονα τῆς γαλλικῆς αὐτῆς γενέθλης ἡ λέξις, καὶ συνεχύθη μετὰ τῶν ἑλληνικῶν, ὁποίαν, τέλος, αὐτὴν ἐξέλαβε καὶ ὁ τοῦ Ἰησοῦ μεταφραστής, καθὼς ἐρεῖς ἐν τοῖς ἐφεξῆς (κεφ. θ. §. ι). Καὶ ὅταν ἅπαντα ταῦτα μετὰ τῆς συνοίκου σοι πολυμαθείας λαμπρὰ καὶ ἀρίδηλα καταστήσῃς, τότε παρελθὼν εἰς τὸ συνέδριον τῶν τῆς φιλολογίας Ἀμφικτυόνων, ἐπιτρέψεις τὴν κρίσιν, εἰ *διὰ μίαν καὶ μόνην λέξιν* ἐξελέγχεται νόθος ὁλόκληρος ἑνός τινος βιβλίου ἡ ἑρμηνεία, καὶ προσέτι πολὺ νεωτέρα ἄλλης πάλιν (τῆς Πεντατεύχου), ἧς τινος ὁμόχρονος καὶ ὁμόγνιος ἀδελφὴ διὰ τοσούτων αἰώνων, καὶ ἐθνῶν ὡμολόγηται, καὶ ἧς τινος τὰς φράσεις, τὴν σύνταξιν, τοὺς ἰδιωτισμούς, τὴν κατασκευήν, ὅλον τοῦ λόγου τὸν χαρακτῆρα φέρει, τὸν αὐτὸν ἀπ' ἀρχῆς μέχρι τέλους καὶ ἀπαράλλακτον. Ταῦτα καὶ περὶ τοῦ γαισοῦ.

## ΚΕΦΑΛΑΙΟΝ Θ'.

*Περὶ τοῦ πότε μετεφράσθησαν ἐν γένει τὰ (μετὰ τὴν Πεντάτευχον) ὑπόλοιπα βιβλία τῆς Γραφῆς. Ἐν ᾧ καὶ ἄλλαι τινὲς περὶ τῆς ἑρμηνείας γνῶμαι τῶν νεωτεριστῶν.*

§. α. Εἴδομεν ἐν τοῖς προηγηθεῖσι (λέγουσιν οἱ περὶ τὸν Ὅδιον σελ. 188 κτλ.), ὅτι κατὰ μὲν τοὺς χρόνους τῶν πρώτων Πτολεμαίων μόνη τοῦ Μωσέως ἡ Πεντάτευχος ἀνεγινώσκετο δημο-

σίως ἐν ταῖς Συναγωγαῖς· διὰ τοῦτο καὶ μόνη αὕτη ἐπὶ Φιλαδέλφου, τῷ πατρὶ συμβασιλεύοντος, ἐξελληνίσθη. Ἡ δὲ τῶν Προφητῶν ἀνάγνωσις ὕστερον εἰσήχθη μετὰ τὸν ὑπ' Ἀντιόχου τοῦ Ἐπιφανοῦς (ὃν *ἄθεον* Ἰουδαῖοι καλοῦσι) κινηθέντα κατὰ τῆς Μωσαϊκῆς βίβλου διωγμόν. Ἐβασίλευσε δὲ τῆς Συρίας ὁ Ἀντίοχος οὗτος ἔτει ε, βασιλεύοντος Αἰγύπτου Πτολεμαίου τοῦ Φιλομήτορος (τετάρτου ἀριθμουμένου ἀπὸ τοῦ Φιλαδέλφου), καὶ ἐτελεύτησεν ἔτει ιζ, τῆς αὐτοῦ βασιλείας. Ἐντεῦθεν εὐκόλως ἔξεστι συμπεραίνειν ἐξ εἰκασίας, κατὰ τίνα περίπου χρόνον ἐξελληνίσθησαν καὶ τὰ βιβλία τῶν Προφητῶν. Οἱ γὰρ κατ' Ἀλεξάνδρειαν ἑλληνίζοντες Ἰουδαῖοι, μιμούμενοι πάντως τοὺς Ἱεροσολυμίτας εἰσαγαγόντας εἴς τε τὸν ναὸν καὶ τὰς Συναγωγὰς τὴν ἀνάγνωσιν τῶν Προφητῶν, εἰσήγαγον καὶ αὐτοὶ τὸ ἔθος εἰς τὰς ἰδίας Συναγωγάς, δι' ἀνδρῶν ἐπισήμων (ὡς φαίνεται) καὶ σοφῶν ἑρμηνεύσαντες τοὺς Προφήτας (ὡς καὶ πρῴην οἱ πρόγονοι τὴν Πεντάτευχον). Ὅτι γὰρ αἱ βίβλοι τῶν Προφητῶν καὶ ἄλλαι τινες, ὀλίγων ἤδη χρόνων ἀπὸ τῆς τελευτῆς τοῦ Φιλομήτορος παρελθόντων, ἦσαν ἡρμηνευμέναι, ὑπάρχει πρᾶγμα βεβαιότατον.

§. β. Ὅτι δὲ τῶν Προφητῶν ἡ ἑρμηνεία ἐγένετο βασιλεύοντος τοῦ Φιλομήτορος, συνάγεται ἔκ τε τῆς τοῦ πράγματος πιθανότητος, καὶ ἐκ τῶν ἐφεξῆς ἐπισήμων τεκμηρίων.

α) Πόσον ἦσαν κατ' ἐκεῖνον τὸν χρόνον ἐπιρρεπεῖς οἱ Ἀλεξανδρεῖς Ἰουδαῖοι πρὸς μίμησιν τῶν Ἱεροσολυμιτῶν, δείκνυται ἐκ τοῦ ναοῦ, ὃν ᾠκοδόμησαν ἐν τῷ Ἡλιουπολίτῃ νομῷ τῆς Αἰγύπτου, ἀπομίμημα τοῦ ναοῦ τῶν Ἱεροσολύμων, καταστήσαντες καὶ νέον ἀρχιερέα, καὶ ἱερεῖς, καὶ λευΐτας, καὶ θυσίας, καὶ τὰς ἄλλας τελετάς. Ταῦτα δὲ κατέπραξεν Ὀνίας τις, ὁ πρῶτος ἐν Αἰγύπτῳ γενόμενος μέγας Ἀρχιερεύς (α). Οὗτος τοίνυν φαίνεται πρῶτος εἰς τὸν

(α) Ἀλλ' ὁ Ἰώσηπος λέγει περὶ τοῦ Ὀνίου τούτου, ὅτι κατασκευάσας ἐν Αἰγύπτῳ τὸ ἱερὸν, μικρότερον καὶ πενιχρότερον τοῦ ἐν Ἱεροσολύμοις, «εὗρε καὶ Ἰουδαίους ΤΙΝΑΣ ὁμοίους αὐτῷ (τουτ. παρανόμους), καὶ ἱερεῖς. καὶ λευΐτας τοὺς ἐκεῖ θρησκεύοντας» (Ἀρχ. ιγ, γ. §. 3. Βλ. καὶ ὄπισθ.

νεόδμητον ναὸν εἰσαγαγὼν καὶ τὴν δημοσίαν τῶν Προφητῶν ἀνάγνωσιν, μιμούμενος κατὰ πάντα τοὺς Ἱεροσολυμίτας, καὶ μάλιστα σκοπῶν, ὅπως ἐπισπάσηται πολλοὺς Ἰουδαίους ἐξ Ἱεροσολύμων. (Ἰώσηπ. Ἀρχ. ιγ, γ. §. 3. καὶ κ, ι. §. 1. - Ἰουδ. Πολ. ζ. ι. §. 2).

β) Εἰς τὸ η, ἔτος τῆς Βασιλείας Πτολεμαίου τοῦ Φιλομήτορος ἀναφέρει τὴν ἑρμηνείαν τῆς Πεντατεύχου καὶ ὁ συγγραφεὺς τοῦ ἑβραϊκοῦ χρονικοῦ (α). Τοῦτο δὲ φαίνεται ποιήσας ὁ χρονογράφος οὗτος, διότι πάντως ἤκουσεν, ὅτι κατ᾽ ἐκείνους τοὺς χρόνους ἐξελληνίσθησαν ἑβραϊκά τινα βιβλία τῆς Γραφῆς.

γ) Ἐντεῦθεν, ὡς ἔοικεν, ἠπατήθη καὶ Ἀνατόλιος ὁ Λαοδικείας, νομίσας ἕνα τῶν Ο καὶ τὸν Ἀριστόβουλον, ὅστις συνέγραψε βίβλους ἐξηγητικὰς τοῦ νόμου Μωσέως. Τοῦτον δὲ Κλήμης καὶ Εὐσέβιος ὑπέλαβον τὸν αὐτὸν καὶ τὸν ἐν τῷ προοιμίῳ τῆς β, Μακκαβαίων μνημονευόμενον Ἀριστόβουλον, διδάσκαλον Πτολεμαίου τοῦ Φιλομήτορος ἀδελφοῦ. Ἀλλ᾽ ὅτι μὲν κατ᾽ ἐκείνους τοὺς χρόνους ἤνθει κατ᾽ Ἀλεξάνδρειαν Ἰουδαῖός τις σοφὸς (εἰς οὗτινος τὸ ὄνομα μόνον ἐξεδόθησαν αἱ προειρημέναι ἐξηγήσεις), ἀμφιβάλλειν οὐ δυνάμεθα. Οὗτος τοίνυν πιθανῶς ἡρμήνευσε καὶ μέρη τινα τῆς ἑβραϊκῆς Γραφῆς· καὶ ἐντεῦθεν ἄρα σφαλεὶς ὁ Ἀνατόλιος, ὑπέλαβεν αὐτὸν ἕνα τῶν Ο.

---

σελ. 29). Ὁ δὲ Ὄδιος αὐξάνων τὸ πρᾶγμα πρὸς ἐνίσχυσιν τοῦ ἐπιχειρήματος, εἰς πάντας τοὺς Ἀλεξανδρινοὺς Ἰουδαίους πλουσίᾳ χειρὶ τὴν οἰκοδομὴν τοῦ ἱεροῦ ἀπονέμει. Καὶ πρῶτον ἐν Αἰγύπτῳ μέγαν Ἀρχιρέα τὸν Ὀνίαν ὀνομάζει· ὡς ἂν εἴπερ εἶχεν ἔκ τινος καταλόγου καὶ δεύτερόν τινα, καὶ τρίτον, καὶ ἄλλους μεγάλους ἀρχιερεῖς κατ᾽ Αἴγυπτον ἀριθμεῖν, περὶ ὧν οὔτε Ἰώσηπος, οὔτ᾽ ἄλλος οὐδεὶς τῶν ἱστορικῶν μνημονεύει (καί τοι τοῦ ναοῦ ἐκείνου διαρκέσαντος μέχρι Καίσαρες, ἐπὶ ἔτη 343: Ἰώσηπ. Ἰουδ. Πολ. ζ, ι, §. 4). Αὐτὸς δὲ Ὀνίας ἐτήρει τὴν ἐπωνυμίαν, ὡς ἀρχιερατεύσας ἐν Ἱερουσαλήμ· ὅθεν ἐκπεσὼν τῆς ἀξίας, κατέφυγεν εἰς Αἴγυπτον. Ἀλλὰ καὶ μετὰ τὴν οἰκοδομὴν τοῦ βεβήλου τούτου ναϊδρίου, πόσον ἐσέβοντο τὸ ἐν Ἱεροσολύμοις ἱερὸν οἱ Ἀλεξανδρινοὶ Ἰουδαῖοι, μαρτυρεῖ μὲν ὁ Φίλων πολλαχοῦ, μαρτυρεῖ δὲ μάλιστα καὶ ἡ πρὸς τοὺς Σαμαρείτας αὐτῶν διένεξις, καὶ ἡ δίκη ἣν ἐδικάσθησαν ἐνώπιον αὐτοῦ τοῦ Φιλομήτορος ἐν Ἀλεξανδρείᾳ, κινδυνεύσαντες ὑπὲρ τοῦ ναοῦ τῆς Ἱερουσαλὴμ (Ἰώσηπ. Ἀρχ. ιγ. γ. §. 4). βλ. ἐφεξ. §. ιη. καὶ Reinhard. de Version. Alexandr. auctor. etc. Diss. I. p. 16. Σημ. ἡμετ.

(α) Seder Olam Zuta ἐπιγράφεται τὸ χρονικὸν τοῦτο.

δ) Ὅ,τι κοινῶς ἀποδίδοται εἰς Ἐλεάζαρον τὸν Ἀρχιερέα, τοῦτο ἄλλοι τῶν ἀρχαίων εἰς Ὀνίαν ἀπονέμουσι, τὸν ἀδελφὸν τοῦ Ἐλεαζάρου· τουτέστι τὸ ἐφεξῆς· ὅτι « Πτολεμαῖος ὁ Φιλάδελφος τοὺς κατ' Αἴγυπτον αἰχμαλώτους Ἰουδαίους - ἐλευθέρους ἀνῆκεν· ἀναθέματά τε βασιλικὰ ἐν Ἱεροσολύμοις *Ὀνίᾳ Σίμωνι τῷ ἀρχιερεῖ, ἀδελφῷ Ἐλεαζάρου*, διαπεμψάμενος, τὰς Ἰουδαίων γραφὰς ἐκ τῆς Ἑβραίων φωνῆς εἰς τὴν ἑλλάδα μεταβληθῆναι ἐσπούδασε διὰ τῶν ΟΒ, παρ' Ἑβραίοις σοφῶν » (Ἀλεξ. Χρονικ. σελ. 326. Β.) (α). Ἆρά γε ἡ πλάνη αὕτη οὐκ ἐξῆρψεν ἔκ τινος φήμης παλαιᾶς διαθρυλλούσης, ὅτι βίβλοι τινες τῆς Γραφῆς ἡρμηνεύθησαν σπουδῇ καὶ ἐπιστασίᾳ Ὀνίου, τοῦ πρώτου τῶν ἐν Αἰγύπτῳ κατοικούντων Ἰουδαίων ἀρχιερέως;

ε) Σκοπείτωσαν καὶ ἄλλοι, μήποτε διὰ τὴν αὐτὴν αἰτίαν καὶ Ἰωάννης ὁ Χρυσόστομος εἶπε τοὺς Ο, τὰς γραφὰς ἑρμηνεῦσαι «*πρὸ ἑκατὸν, ἢ καὶ πλειόνων ἐτῶν πρὸ τῆς Χριστοῦ παρουσίας*»· Μήπως ἆρα διὰ τοῦτο συνέστειλεν οὕτως ὀλίγον τὸ μεταξὺ τῆς ἑρμηνείας καὶ τῆς σωτηρίου ἐποχῆς χρονικὸν διάστημα, διότι παρειλήφει καὶ αὐτὸς ἐξ ἀκοῆς ποιάν τινα μετάφρασιν γενομένην περὶ τοὺς χρόνους ἐκείνους; (ὁ γὰρ Φιλομήτωρ ἐτελεύτησε τῷ 143, π. Χ.). Ὅσον τὸ κατ' ἐμὲ (λέγει Ὅδιος) ἡ γνώμη αὕτη τοῦ Χρυσοστόμου φαίνεται σαφὴς παραλογισμός· διότι γνωρίζω πόσον εὐκατάφοροι ῥέπουσιν εἰς τοιαύτας ἀπάτας οἱ ἁγιώτατοι Πατέρες ἐκεῖνοι!

ϛ) Τελευταῖον, ἡ βίβλος τῆς Ἐσθὴρ μετεφράσθη, βασιλεύοντος τοῦ Φιλομήτορος, ὡς ὁ περικλεὴς Ὑσσέριος συνήγαγεν ἐκ τῆς πρὸς τῷ τέλει τοῦ βιβλίου τῆς Ἐσθὴρ προστεθειμένης ἱστορικῆς σημειώ-

---

(α) Ταῦτα καὶ Σκαλίγηρος κακῶς ἔχοντα, κακῶς ποιῶν μετέγραψεν ἐκ τοῦ Ἀλεξανδρινοῦ καὶ εἰς τὸ τοῦ Εὐσεβίου χρονικόν. Ἀλλὰ περὶ τούτων εἴπομεν (βιβλ. α. κεφ. ι. §. β. σημ. σελ. 297). Σὺ δ' ἐνταῦθα σημείωσαι, ἀναγνῶστα, πῶς ὁ σοφὸς Ὅδιος τὸ λάθος ἑνὸς καὶ μόνου μεταγραφέως τοῦ Ἀλεξανδρινοῦ χρονικοῦ, ὡς γνώμην καὶ ἄλλων ἀρχαίων ἀναφέρει, τὸ ἓν ψεῦδος πολλὰ ποιῶν καὶ ὧδε, κατὰ τὸ εἰκός! Σημ. ἡμετ.

σεως ἐκείνης· « Ἔτους τετάρτου βασιλεύοντος Πτολεμαίου καὶ Κλεοπάτρας, εἰσήνεγκε Δοσίθεος, ὃς ἔφη εἶναι ἱερεὺς καὶ λευΐτης, καὶ Πτολεμαῖος ὁ υἱὸς αὐτοῦ τὴν προκειμένην ἐπιστολὴν τῶν Φρουραὶ, ἣν ἔφασαν εἶναι, καὶ ἡρμηνευκέναι Λυσίμαχον Πτολεμαίου τὸν ἐν Ἱερουσαλὴμ ». Ὅτι δὲ *Πτολεμαῖος* οὗτος ὁ *βασιλεύων* ἦν ὁ Φιλομήτωρ, μαρτυρεῖ Ἰώσηπος λέγων· « Ὁ δὲ Φιλομήτωρ Πτολεμαῖος καὶ ἡ γυνὴ αὐτοῦ Κλεοπάτρα τὴν βασιλείαν ὅλην τὴν ἑαυτῶν Ἰουδαίοις ἐπίστευσαν, καὶ στρατηγοὶ πάσης τῆς δυνάμεως ἦσαν Ὀνίας καὶ Δοσίθεος, Ἰουδαῖοι » (Β. κατ. Ἀπίων. §. ε). Ἡ δὲ Κλεοπάτρα σύζυγος ἦν ἡ αὐτὴ καὶ ἀδελφὴ τοῦ Φιλομήτορος, καὶ κοινωνὸς τῆς βασιλείας· ὅθεν ἀμφοτέρων καὶ τὰ ὀνόματα ἐπὶ τῶν διαταγμάτων ἐπεγράφοντο (Ἰώσ. Ἀρχ. ιγ. γ). Τοῦ Φιλομήτορος ἀποθανόντος ἡ Κλεοπάτρα συνεβασίλευσε νυμφευθεῖσα μετὰ τοῦ ἑτέρου ἀδελφοῦ, τοῦ Φύσκωνος Πτολεμαίου· ἀλλ' ἡ τῆς Ἐσθὴρ σημείωσις τὸ τοῦ Φιλομήτορος ἐννοεῖ, καὶ μαρτυρεῖ τὸ μνημονευόμενον ὄνομα τοῦ Δοσιθέου. Καὶ λοιπὸν ἡ βίβλος τῆς Ἐσθὴρ ἡρμηνεύθη ἐπὶ ζῶντος ἔτι τοῦ Φιλομήτορος, διὰ τοῦτο καὶ Πτολεμαῖος ἁπλῶς ἐπιγράφεται, χωρὶς τοῦ ἐπιθέτου (α).

§. γ. Ἔτι τοίνυν ἀνθούντων ἐν Αἰγύπτῳ τῶν Ἰουδαϊκῶν πραγμάτων, ἡρμηνεύθησαν τὰ βιβλία τῶν Προφητῶν, κατ' ἐπιταγὴν τῶν Ἰουδαϊκῶν ἀρχόντων, εἰς χρῆσιν δημοσίαν τοῦ τε Ἡλιοπολίτου ναοῦ καὶ τῶν ἐν Ἀλεξανδρείᾳ Συναγωγῶν· τὰ δὲ λοιπὰ βιβλία τῆς Γραφῆς, εἰ καὶ μὴ πάντα, τινὰ δ' οὖν ὅμως ἐξελληνίσθησαν ὑπό τινων ἰδιωτῶν, εὐπαιδεύτων τε καὶ ἀπαιδεύτων, καὶ ἐν πρώτοις ἡ βίβλος τῆς Ἐσθὴρ, ἧς οὐδεμία (μετὰ τὴν Πεντάτευχον) ἄλλη προσφιλεστέρα καὶ τιμιωτέρα παρ' Ἰουδαίοις (β). Σημείωσαι δὲ, ὅτι βίβλους λέγοντες Προφητῶν, τὰς τῶν κυρίως Προφητῶν ἐννοοῦ-

---

(α) Ὅτι καὶ ζῶν ἐπεγράφετο Φιλομήτωρ, βλ. ὄπισθ. τ. α. σελ. 158. Σημ. ἡμετ.

(β) Εἶτα, τοιαύτην οὖσαν, Ὅδιε, τὴν βίβλον τῆς Ἐσθὴρ, καὶ οὕτω παρὰ πᾶσιν Ἰουδαίοις τετιμημένην, οὐκ εἶχον λοιπὸν οἱ Ἑλληνισταί; οὐδ' ἀνεγίνωσκον δι' ὅλων 130 ἐτῶν (ἀπὸ τοῦ κατὰ τὸν Φιλάδελφον Ἐλεαζάρου, μέχρι καὶ τοῦ ψευδαρχιερεως Ὀνίου) ἐν ταῖς Συναγωγαῖς αὐτῶν, ὁπότε κατ' ἔτος ἑώρταζον τὰ φουρὶμ (purim); Σημ. ἡμετ.

μεν, τουτέστιν Ἡσαΐου, Ἱερεμίου, Ἰεζεκιὴλ, καὶ τὸ Δωδεκαπρόφητον. Παρὰ δὲ τοῖς Ἑβραίοις, ὅτι μὲν ἡ τῶν ἱερῶν βιβλίων εἰς Νόμον καὶ εἰς Προφήτας καὶ εἰς Ἁγιόγραφα διαίρεσις ὑπάρχει ἀρχαιοτάτη, οὐδόλως ἀμφιβάλλομεν· ἀλλὰ καὶ οὐδόλως πιστεύομεν πάλιν, ὅτι παρὰ τοῖς ἀρχαίοις Ἑβραίοις συνηριθμοῦντο μετὰ τῶν Προφητῶν, καὶ τὰ ἱστορικὰ βιβλία, λέγω δὲ τὸ τοῦ Ἰησοῦ, καὶ τὸ τῶν Κριτῶν, καὶ τὰ Δ, τῶν Βασιλειῶν, καθὼς οἱ νεώτεροι Ἰουδαῖοι ἔτι ἀπὸ τῶν Ἱερωνύμου χρόνων ἀτόπως συναριθμοῦσι· καίτοι μηδ᾽ αὐτοὶ συμφωνοῦντες ἅλις πρὸς ἀλλήλους περὶ τῶν προφητικῶν καὶ τῶν Ἁγιογράφων. Οὕτω τὴν ἐπὶ Ἱερωνύμου μετὰ τῶν προφητικῶν ἀριθμουμένην Ῥοὺθ (α) ὁ Μαϊμονίδης ἀνήγαγεν εἰς τὰ Ἁγιόγραφα. Ὡσαύτως καὶ τοὺς Ἱερεμίου Θρήνους, οἱ μὲν τῶν Ῥαββίνων εἰς τὰ προφητικὰ, οἱ δὲ εἰς τὰ Ἁγιόγραφα καταλέγουσιν (β). Ἀλλ᾽ ὅτι μὲν οἱ ἀρχαῖοι Ἑβραῖοι Ἁγιόγραφα λέγοντες ἐνόουν πάντα τἄλλα (πλὴν τοῦ Νόμου καὶ τῶν Προφητῶν) βιβλία τῆς Γραφῆς, ὅσα διὰ μὲν ἁγίου πνεύματος συνεγράφησαν, ἀλλ᾽ οὐκ εἰσὶ καὶ προφητικὰ, μαρτυρεῖ καὶ Ἐπιφάνιος, διαστέλλων ἀπὸ τῆς Μωσαϊκῆς Πεντατεύχου, ὡς ἄλλην Πεντάτευχον « τὰ καλούμενα Γραφεῖα παρά τισι, καὶ Ἁγιόγραφα λεγόμενα » κτλ. (Ἐπιφάν. π. Μέτρ. καὶ ἐν Αἱρέσ. κθ. 7). Ὡσαύτως καὶ ἐν Ἀποστόλων Διαταγαῖς (Α. ε, καὶ ς) διακρίνονται αἱ βίβλοι τῶν Βασιλειῶν ἀπὸ τῶν προφητικῶν. Τὸν δὲ Δανιὴλ οἱ Ῥαββῖνοι, εἰ καὶ

---

(α) S. Hieron. praefat. in Reg. Ἀλλαχοῦ δὲ πάλιν εἶπε, καὶ ὅτι τὴν Ῥοὺθ τινὲς τῶν Ἑβραίων συγκαταλέγουσι μετὰ τῶν Ἁγιογράφων. — Καὶ τὴν Ἰουδὶθ καὶ τὸν Τωβὶτ ὁ Ἱερώνυμος λέγει συναριθμούμενα μετὰ τῶν Ἁγιογράφων (Praef. in Judith, et Praef. in Tobit)· ἀλλὰ σφάλμα τοῦτο τυπογραφικόν· ὅθεν τὸ Ἁγιογράφων διορθοῦσιν εἰς τὸ Ἀποκρύφων. Hody pag. 190.

(β) Περὶ τῶν διαφόρων μεταβολῶν, ὅσας ἐπενόησαν οἱ Ταλμουδικοὶ καὶ Μασορῖται εἰς τὴν διαίρεσιν τῶν ἱερῶν βίβλων τῆς Παλαιᾶς Γραφῆς, βλ. Schmid, Histor. antiqu. et vindic. etc. p. 256. sq. Ὅστις καὶ τὴν εἰς Δ, Πεντατεύχους ἰουδαϊκὴν διαίρεσιν τῶν ἱερῶν τευχῶν (ἧς καὶ ὁ ἅγιος Ἐπιφάνιος ἐπεμνήσθη, ὄπισθ. σελ. 429) ὑπὸ τῶν Φαρισαίων περὶ τὸν β, καὶ γ, αἰῶνά φησιν ἐξευρῆσθαι. (id. ib. p. 159). Σημ. ἡμετ.

διὰ λόγους ψυχρούς, ἀλλ' ὅμως ἐκβάλλουσιν ἐκ τοῦ ἀριθμοῦ τῶν Προφητῶν, ἀριθμοῦντες μετὰ τῶν Ἁγιογράφων ἔτι ἀπ' αὐτῶν τῶν Ἱερωνύμου καὶ τοῦ Μαϊμονίδου χρόνων. Τούτων τοίνυν τὰς ἑρμηνείας οὐδ' ἡμεῖς (φησιν Ὅδιος) συναριθμοῦμεν μετὰ τῶν προφητικῶν βίβλων, τῶν ἐπ' Ἀντιόχου τοῦ Ἐπιφανοῦς ἀναγινωσκομένων ἐν ταῖς Συναγωγαῖς παρά τε τοῖς Παλαιστινοῖς καὶ τοῖς Ἀλεξανδρεῦσιν. Οὐδὲ γὰρ ἤδη καθ' ἡμᾶς ἀναγινώσκουσιν αὐτὰς οἱ Ἰουδαῖοι μετὰ τῶν ἄλλων Προφητῶν (ἀνεγίνωσκον δ' ἄν, εἴπερ ἀνέκαθεν παρελάμβανον). Ἔπειτα καὶ ἄλλως, ἡ τοῦ Δανιὴλ ἑρμηνεία τοσοῦτον ἀμαθῶς διηρμήνευται, καὶ οὕτω διαφώνως πρὸς τὸ κείμενον τὸ ἑβραϊκόν, ὥστε παρὰ μὲν τῆς ἀρχεγόνου (primitiva) Ἐκκλησίας ἐξεῤῥίφθη, βαρέως δὲ καὶ Ἱερώνυμος ἐνεβριμήσατο κατ' αὐτῆς. Διὰ ταῦτα καὶ ἡμεῖς αὐτὴν συναριθμοῦμεν μετά τινων καὶ ἄλλων βιβλίων τῆς Γραφῆς, κατὰ τοὺς Φιλομήτορος χρόνους, ἢ καὶ ὕστερον ἐξελληνισθέντων.

§. δ. Εἰ δέ τινι τυχὸν ἀρέσκει, μὴ πάντα τὰ βιβλία ὑπ' Ἀλεξανδρινῶν Ἰουδαίων ἑρμηνευθῆναι, ἀλλά τινα καὶ παρ' ἄλλων ἀλλοδαπῶν, οἷον Παλαιστινῶν τινων, ἢ Ἀντιοχέων, εἰς χρῆσιν τῶν ἰδίων αὐτῶν πατριωτῶν, οὐδὲ πρὸς ταύτην τὴν δόξαν ἀντιλέγομεν. Μαρτυρεῖ δὲ καὶ ὁ συγγραφεὺς τῶν *λατινοβαρβάρων χρονικῶν ἀπανθισμάτων*, ὅτι τοὺς Παλαιστινοὺς Ἰουδαίους Ἀντίοχος ὁ Ἐπιφανὴς ἐκέλευσε διαλέκτῳ χρῆσθαι μόνῃ ἑλληνικῇ, ἢ (καθὼς ἐκφράζεται ὁ βάρβαρος ἀπανθιστής), « *ἑλληνίδι φράσει κατηνάγκαζε* » (α). Καὶ τὸ πρᾶγμα πάνυ φαίνεται πιθανόν· εἴπερ

---

(α) « Andiochus - Judaeos expugnans G r a e c a l o c u t i o n e c o g e b a t ». Auct. Excerpt. Chronologicor. Latino - barbarorum. apud Hody p. 191.— [Ἀμφίβολος καὶ αὕτη ἡ καθ' Ὅδιον ἐξήγησις τῆς Λατινοβαρβάρου φράσεως τοῦ Ἀπανθιστοῦ! Οὗτος γὰρ καὶ τοιοῦτος ὤν, ἴσως ἐννόει ὅτι ὁ Ἀντίοχος ἑ λ λ η ν ί δ ι φ ρ ά σ ε ι γράφων τὰ διατάγματα (καθὸ Μακεδὼν), « ἀπέστελλεν ἐν χειρὶ ἀγγέλων εἰς Ἱερουσαλήμ· — καὶ ἦλθον οἱ κ α τ α ν α γ κ ά ζ ο ν τ ε ς τ ο ὺ ς Ἰ ο υ δ α ί ο υ ς εἰς ἀ π ο σ τ α σ ί α ν » τουτέστιν εἰς ἑ λ λ η ν ι σ μ ὸ ν (εἰς τὴν εἰδωλοθρησκείαν) καὶ τὰ ἔθιμα τῶν Ἑλλήνων. (Α. Μακκαβ. α, 41, 44: β, 15. καὶ Β. Μακ. δ, 10, κτλ.). Εἰ δὲ καὶ τῷ ὄντι τὸν ἑ λ λ η ν ι σ μ ὸ ν τοῦτον ὁ Ἀπανθιστὴς

ὁ Ἀντίοχος, ὡς ἐπιστάμεθα βεβαίως, κατηνάγκαζε τοὺς Ἰουδαίους ἀσπάσασθαι τὰ ἤθη καὶ ἔθιμα τὰ ἑλληνικά. Καὶ λοιπὸν οὐδόλως ἀπέχει τοῦ πιθανοῦ καὶ ὁμοιαλήθους, ὅτι κατ᾽ ἐκείνους τοὺς χρόνους ἡρμηνεύθησαν καί τινα τῶν βιβλίων ὑπ᾽ αὐτῶν τῶν Παλαιστινῶν. Κἀκεῖνο δὲ σημειοῦμεν (ὃ καὶ προηγουμένως ἐμνημονεύσαμεν), ὅτι καὶ Ἐλεάζαρος ἐκεῖνος, ὁ μαρτυρήσας ἐπ᾽ Ἀντιόχου, συναριθμεῖται μεταξὺ τῶν λεγομένων Ο (α). Ἀλλὰ καὶ Λυσίμαχον τὸν Ἱεροσολυμίτην, ὅστις *ἡρμήνευσε τὴν ἐπιστολὴν τῶν φρουραὶ* (καθὼς λέγει ἡ σημείωσις τῆς Ἐσθὴρ), καὶ τοῦτον ἄν τις ὑπονοήσοι δικαίως, ὅτι μεθηρμήνευσεν ἑλληνιστὶ μέρη τινα τῆς Γραφῆς. Τὸν δὲ πάλιν Ἐκκλησιαστὴν ὅτι Σύρος τις ἡρμήνευσε, φαίνεται πιθανὸν ἔκ τινος λέξεως ἣν μετέφρασεν οὐχὶ κατὰ τὴν ἑβραϊκὴν, ἀλλὰ κατὰ τὴν Συριακὴν σημασίαν. Τὸ γὰρ « Καὶ ἰδοὺ τὰ σύμπαντα ματαιότης, καὶ προαίρεσις πνεύματος » (Ἐκκλ. α. §. 14) σχολιάζων ὁ Ἱερώνυμος, λέγει· « Τὸ (τοῦ *προαίρεσις* ἀντίστοιχον ἑβραϊκὸν) Routh, Ἀκύλας μὲν καὶ Θεοδοτίων ἡρμήνευσαν *νομήν*. Σύμμαχος δὲ, *βόσκησιν*· οἱ δὲ Ο, οὐχὶ τὴν ἑβραϊκὴν ἀλλὰ τὴν κατὰ Σύρους ἀπέδωκαν σημασίαν, ἑρμηνεύσαντες *προαίρεσιν* » (β).

---

ἀναγνοὺς ἐξέλαβεν οὕτως, ὡς Ὅδιος ἡρμήνευσεν, ἐχέτω λοιπὸν τὸν ἄνδρα μάρτυρα τῆς αὐτοῦ γνώμης ὁ κριτικὸς, καί τοι μηδοπωσοῦν ὠφελοῦντα. Βλ. ἔμπροσθ. §. κε. Σημ. ἡμετ.].

(α) *Περὶ τοῦ Ἐλεαζάρου τούτου βλ. ὄπισθ. σελ.* 309. *Σημ. ἡμετ.*

(β) *Παράδοξον πρᾶγμα. Ὁ Ἱερώνυμος λέγει ῥητῶς ὅτι οἱ Ο, μεθηρμήνευσαν τὴν ἑβραϊκὴν λέξιν κατ᾽ ἐξοχὴν Συριακήν.* « LXX. interpretes non hebraïcum sermonem expresserunt, sed Syrum» etc (Com. in Eccles. c. 1. p. 1567. tom. I. Paris 1609). *Καὶ ὅτι μὲν ὁ Δαλμάτης πατὴρ ἠπατήθη καὶ κατὰ τοῦτο ὑπὸ τοῦ ἰδίου (διδασκάλου) Ἑβραίου, λέγοντος αὐτῷ, ὅτι παρ᾽ Ἑβραίοις κυρίως ἡ λέξις σημαίνει θλίψιν (ὃ καὶ τῶν νεωτέρων πολλοὶ μεταφράζουσι· βλ.* Schleusn. Thes. V. T. v. *Προαίρεσις, καὶ* Drusij Fragm. V. Interp. GG. pag. 1053), *ἄλλος περὶ τούτου λόγος. Ἀρκοῦσιν ἄλλοι πάλιν τῶν νεωτέρων, ὅσοι χακίζουσι τὴν Ἱερωνύμειον ἐκδοχὴν, οὐδένα Συρισμὸν βλέποντες εἰς τὴν ἑρμηνείαν· καὶ μεταφράζουσι τὸ* routh *ἢ νομὴν καὶ βόσκησιν (κατ᾽ Ἀκύλαν, Θεοδοτίωνα, καὶ Σύμμαχον), ἢ τοῦτ᾽ αὐτὸ προαίρεσιν (βλ.* Schulz Schol in V. T. vol. 5. p. 267)· *ὀρθότερον δ᾽ ἂν ἐξεδέχοντο τοῦτο, = ὁρμὴν ἀλόγιστον ψυχῆς (ὡς Γρηγόρ. Νεοκαισαρείας ἐν μεταφράσει τοῦ Ἐκκλησιαστοῦ, καὶ Γρηγορ. Ναζιαζ. « ὁρμὴν*

Πλὴν ἀλλ᾽ ἴσως καὶ Ἀλεξανδρινός τις ὢν ὁ ἑρμηνεὺς, ἐπειδὴ συνανεστρέφετο μετὰ τῶν ἐν Αἰγύπτῳ καὶ μάλιστα κατ᾽ Ἀλεξάνδρειαν πολυπληθῶν οἰκούντων Σύρων, ἠδύνατο τὴν κατ᾽ ἐκείνους τῆς λέξεως σημασίαν ὡς ἑβραϊκὴν ἐκλαβὼν, ἀτόπως καὶ ἀσυνέτως ἐν τούτῳ τῷ χωρίῳ *προαίρεσιν* ἑρμηνεῦσαι. Συγγενὴς δὲ τῆς ἑβραΐδος καὶ ἡ Σύρων γλῶσσα καὶ ἡ τῶν Χαλδαίων, ἣν ὁ Ἱερώνυμος ἔκρινε « μέσην μεταξὺ τῆς Ἑβραίας καὶ Αἰγυπτίας ».

§. ε. Ἀλλ᾽ ἴσως ἀντερεῖ τις, ὅτι ὁ κατὰ τοὺς χρόνους Πτολεμαίου τοῦ Α, Εὐεργέτου (υἱοῦ τοῦ Φιλαδέλφου) ἀκμάσαι νομιζόμενος Ἰησοῦς, ὁ τὴν σοφίαν τοῦ Σειρὰχ ἐξελληνίσας, ἐμνημόνευσεν ἐν τῷ προοιμίῳ οὐ μόνον τὸν Νόμον καὶ τοὺς Προφήτας, ἀλλὰ καὶ τὰ λοιπὰ τῶν βιβλίων ἐπ᾽ αὐτοῦ μεθηρμηνευμένα, λέγων· « Οὐ γὰρ ἰσοδυναμεῖ αὐτὰ ἐν ἑαυτοῖς ἑβραϊστὶ λεγόμενα, καὶ ὅταν μεταχθῇ εἰς ἑτέραν γλῶσσαν. Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ αὐτὸς ὁ νόμος καὶ αἱ προφητεῖαι καὶ τὰ λοιπὰ τῶν βιβλίων, οὐ μικρὰν ἔχει τὴν διαφορὰν ἐν ἑαυτοῖς λεγόμενα ». Ἀλλ᾽ ὁ Σειραχίδης οὗτος Ἰησοῦς (ἀπαντῶμεν) ψευδῶς ἐνομίσθη σύγχρονος τοῦ Α, Εὐεργέτου, κἂν μαρτυρῶσιν Εὐσέβιος, καὶ τὸ Ἀλεξανδρινὸν Χρονικὸν, καὶ Κεδρηνὸς, καὶ ἄλλοι, ἀπατηθέντες ἐκ τῶν τοῦ προοιμίου λόγων ἐκείνων· « *Ἐν γὰρ τῷ ὀγδόῳ καὶ τριακοστῷ ἔτει ἐπὶ τοῦ Εὐεργέτου βασιλέως* ». Ἡμεῖς δὲ (λέγει Ὅδιος) μετὰ Γροτίου καὶ Ὑσσερίου καὶ Οὐαλεσίου λέγομεν, ὅτι ὁ μνημονευόμενος οὗτος Εὐεργέτης ὑπῆρχεν ὁ Β, Εὐεργέτης, ὁ καὶ Φύσκων ἐπικληθεὶς, ἀδελφὸς καὶ διάδοχος τοῦ Φιλομήτορος Πτολεμαίου· καὶ ἡ δεῖξις ἐγγύς.

Τὸ ἀνωτέρω « *ὄγδοον καὶ τριακοστὸν ἔτος* » οἱ μὲν ἐξέλαβον

---

αὐτόνομον » λόγ. ιθ. σελ. 269. πρβλ. Γρηγ. Νύσσης εἰς Ἐκκλησ. - Κυρίλ. Λεξικ. κτλ.). Ὁ δ᾽ οὖν σοφὸς Ὅδιος, ἐν ᾧ μνημονεύει τὴν Ἱερωνύμου μαρτυρίαν, ἀποδιδόντος τὴν ἑρμηνείαν τοῦ Ἐκκλησιαστοῦ ῥητῶς εἰς τοὺς Ο, ἐξ αὐτῆς ταύτης τῆς μαρτυρίας κατασκευάζει τὴν ἀπόδειξιν, ὅτι τὸν Ἐκκλησιαστὴν ἡρμήνευσαν οὐχ οἱ Ο, ἀλλά τις Σύρος! ἢ Συρίζων Ἀλεξανδρινός! Οὕτω καὶ ὧδε μία πόλιν λέξις, νομισθεῖσα Συρίζουσα, ἤρκεσκεν ἀποδεῖξαι καὶ τὸ γένος τῶν ἑρμηνευτῶν, καὶ τὸν χρόνον τῆς ὅλης ἑρμηνείας! Ὁμολογοῦμεν, ὅτι πρὸς τοιούτων ἀποδείξεων κατασκευὴν ἀπαιτεῖται πολλὴ γενναιοκαρδία! Σημ. ἡμετ.

ἐπὶ τῆς ἡλικίας τοῦ Σειραχίδου (α)· οἱ δὲ τὸν χρόνον εἶπον, ἀφ' οὗ συνέγραψεν ἑβραϊστὶ τὸ βιβλίον ὁ πάππος αὐτοῦ Ἰησοῦς ὁ Σειρὰχ (β), οἱ δὲ, τὸν ἀφ' οὗ τοὺς Ἰουδαίους ἠλευθέρωσεν ὁ Φιλάδελφος, καθὼς ἱστόρησεν Ἀριστέας (γ)· ἄλλοι, τὸν ἀφ' ὅτου παρεγένετο εἰς Αἴγυπτον ὁ Σειραχίδης (δ). Ὁ δὲ Σκαλίγηρος ἐχρονολόγησε κατὰ τὴν ὑπὸ Διονυσίου τοῦ μαθηματικοῦ εἰς τιμὴν τοῦ Φιλαδέλφου διορισθεῖσαν ἐποχήν. « Ὥστε (λέγει) ὁ Σειραχίδης ἦλθεν εἰς Αἴγυπτον τῷ 38: ἔτει μετὰ τὴν ἀρχὴν τῆς Φιλαδέλφου βασιλείας, ἤτοι τῷ α, ἔτει τοῦ Εὐεργέτου βασιλεύοντος. Ταύτην δὲ, λέγει, τὴν ἐποχὴν καὶ οἱ κατ' Ἀλεξάνδρειαν Ἰουδαῖοι μετεχειρίζοντο ἐν τοῖς συμβολαίοις, ἑλληνιστὶ γράφοντες, ἀναγκάζοντος Πτολεμαίου » (ε). Τοῦτο τοῦ Σκαλιγήρου τὸ πλάσμα καὶ ἄλλοι κατησπάσθησαν, καὶ ὁ Καλουΐσιος, *θαυμαστὴν ἀποκάλυψιν* ὀνομάσας. Ἀλλ' ὅμως οὐδὲν αὐτοῦ ψευδέστερον· α) Διότι ὁ 38, ἐνιαυτὸς πίπτει πρὸ τῆς Εὐεργέτου βασιλείας, ἔτι ζῶντος τοῦ Φιλαδέλφου, ὅστις (κατὰ τὸν Ἰώσηπον) ἐβασίλευσεν ἐπὶ ἔτη ἑνὸς δέοντα τεσσαράκοντα (ζ). β) Ὁ Διονυσιακὸς ἐνιαυτὸς μόνον οὐράνιος ἦν, εἰς χρῆσιν τῶν ἀστρονόμων, οὐχὶ δὲ καὶ πολιτικὸς, ὡς φαίνετ' ἐκ τῶν ὀνομάτων τῶν μηνῶν, « *Αἰγὼν, Ταυρὼν, Ὑδρὼν, Διδυμὼν, Παρθενὼν, Λεοντὼν*, κτλ. Καίτοι καὶ αὐτὸς ὁ Σκαλίγηρος οὐκ ἔχεται τῆς γνώμης ταύτης ἀπρίξ· εἰσφέρει δὲ καὶ ἄλλην, λέγων, ἵνα τὸ 38 ἔτος τοῦ Σειραχίδου ἀριθμηθῇ ἐπὶ τοῦ 25: *Ἰουβιλαίου* (τῆς ἰουδαϊκῆς *πεντηκονταετηρίδος*). Ὅτι δὲ ἠρίθμουν οἱ Ἰουδαῖοι τὰ ἔτη καὶ ἐπὶ τῶν Ἰουβιλαίων (μὴ προστιθέντες καὶ τὴν τούτων προσωνυμίαν), φέρει δύω παραδείγματα, τὸ μὲν ἐξ Ἱερεμίου· « *Καὶ ἐγένετο ἐν τῷ*

---

(α) Genebrand. Chron. - Drusius, etc.

(β) Bertram. Lucubrat. Franktal. c. 5.—(γ) Torniell. Annal. A. M. 3898.

(δ) Petav. de Doctrin. Tempor. IV. 16. καὶ εἰς Ἐπιφάν. animadv. p. 383,

(ε) J. Scaliger. de Emend. Temp. 4. p. 268.

(ζ) Μόνος ὁ Ἰώσηπος λέγει τοῦτο· οἱ δ' ἄλλοι πάντες 38, λογίζονται τὰ ἔτη τῆς κατὰ μόνας βασιλείας τοῦ Φιλαδέλφου (βλ. ὄπισθ. Βιβλ. Α. κεφ. θ. §. κα. σελ. 280). Ἀλλὰ καὶ οὕτως οὐδὲν ἐκ τούτου τοῦ ἐπιχειρήματος ὠφελεῖται ἡ Σκαλιγήρειος ἀποκάλυψις, ἢ ὀνείρωξις! (πρβλ. καὶ ὄπισθ. κεφ. α. §. γ. σελ. 3). Σημ. ἡμετ.

*τετάρτῳ ἔτει* » κτλ. (Ἱερεμ. λε, 1. καθ᾽ ἑβρ. κη), τὸ δὲ ἐκ τοῦ Ἰεζεκιὴλ (κθ, 17)· ἐν τούτοις οὖν τοῖς τόποις κρίνει τὰ ἔτη λογιστέα κατὰ τὸν Ἰουβιλαῖον. Κατὰ δὲ ταῦτα καὶ τὸν 38, ἐνιαυτὸν τοῦ 25: Ἰουβιλαίου ἀνάγει εἰς τὸ 9 ἔτος τῆς βασιλείας τοῦ Α, Εὐεργέτου (α). Ἀλλὰ κἂν δῶμεν τῷ Σκαλιγήρῳ κατ᾽ Ἰουβιλαῖον ἀριθμεῖσθαι τοὺς παρὰ τῷ Σειραχίδῃ ἐνιαυτοὺς, τοῦτο πάλιν ὁμαλῶς ἐφαρμοσθήσεται καὶ εἰς τὸν Β, Εὐεργέτην· καὶ ὁ 38 τοῦ 26: Ἰουβιλαίου συμπίπτει τῷ 5 τοῦ Β, Εὐεργέτου. Εἰς τοιαύτας εἰκασίας κατέφυγον ἐξ ἀνάγκης οἱ πολυΐστορες οὗτοι, διότι τὸν παρὰ τῷ Σειραχίδῃ Εὐεργέτην ἐξέλαβον τὸν Α, ὅστις ἐβασίλευσεν ἔτη μόνον 26. Ἀλλ᾽ ἐὰν ἐκλάβωμεν τὸν Β, Εὐεργέτην, πᾶσα δυσκολία αἴρεται ἐκ μέσου. Οὗτος γὰρ ὁ Εὐεργέτης ὁ Β, ἐβασίλευσε μὲν ἔτη μόνον 29· ἐπειδὴ δὲ βασιλεύων ἔτι ὁ ἀδελφὸς αὐτοῦ Φιλομήτωρ κατὰ τὸ 11, ἔτος τῆς βασιλείας προσελάβετο καὶ αὐτὸν κοινωνὸν, ἐβασίλευσε δ᾽ ἐκεῖνος τὰ πάντα ἔτη 24, μετὰ τὸν ἐκείνου θάνατον μοναρχήσας ὁ Β, Εὐεργέτης προσέταξεν, ἵνα καὶ τὰ ἔτη τῆς τοῦ Φιλομήτορος βασιλείας προστεθῶσιν εἰς τὰ τῆς ἑαυτοῦ. Καὶ οὕτως ἀριθμοῦνται τὰ πάντα τοῦ Εὐεργέτου ἔτη 53. Καὶ μαρτυρεῖ Πορφύριος ἐν τῷ περὶ Πτολεμαίων. Ἡ δὲ τοῦ Σειραχίδου φράσις, ἡ, « *ἔτει* 38 *ἐπὶ τοῦ Εὐεργέτου βασιλέως* », εὑρίσκεται ἡ αὐτὴ καὶ ἀλλαχοῦ· οἷον (Α. Μακκ. ιδ, 27) « *Καὶ τοῦτο ἔτος τρίτον ἐπὶ Σίμωνος ἀρχιερέως* » [βλ. καὶ ὄπισθ. σελ. 457].

§. ς. Συνεγράφη δὲ τὸ πρῶτον ἡ Σοφία τοῦ Σειρὰχ ἐπὶ τοῦ Α, Εὐεργέτου, ἢ καὶ μετὰ θάνατον αὐτοῦ· διότι μνημονεύεται ἐν αὐτῇ (κεφ. ν) Σίμων ἀρχιερεὺς, ὁ αὐτὸς καὶ Σίμων ὁ Δίκαιος, ὁ Ὀνίου, ἀρχιερατεύσας τῷ 15, ἔτει τῆς Φιλαδέλφου βασιλείας, τελευτήσας δὲ τῷ 37 (β). Καὶ γνωρίζω μὲν τὴν Γροτίου γνώμην

(α) Scaliger. l. c. et Animadv. Euseb. an 1785, et Canon Isag. lib. 3. p. 295.

(β) Ὁ Εὐσέβιος (καὶ οἱ ὀπαδοὶ, Rabanus, Lyranus, Sigonius) τὸν Σίμωνα τοῦτον νομίζουσι τὸν ἔγγονον τοῦ ἀρχαιοτέρου Σίμωνος τοῦ Δικαίου, ἀρχιερατεύσαντα περὶ τὸ ιε, ἔτος τῆς Εὐεργέτου τοῦ α. βασιλείας, καὶ τελευτήσαντα τῷ ιγ τῆς τοῦ Φιλοπάτορος. Hody.

καὶ ἄλλων, οἵτινες νομίζουσι τὸ τοῦ Σίμωνος ἐγκώμιον προστεθειμένον ὑπὸ τοῦ νεωτέρου Σειραχίδου, τοῦ μεταφραστοῦ τῆς τοῦ πάππου Σοφίας. Οἶδα δὲ καὶ ὅτι τῶν ἀρχαίων τινες ἐνόμισαν τὸν Σειραχίδην τοῦτον εἰς τὴν ἑλληνικὴν ἑρμηνείαν ἐγκαταμίξαντα καί τινα ἀφ' ἑαυτοῦ, ὡς συμπεραίνεται ἐκ τῶν ἐφεξῆς τῆς Συνόψεως τοῦ Μ. Ἀθανασίου. « Ἐπεὶ οὖν τὴν βίβλον ταύτην ὁ πρῶτος Ἰησοῦς καταλιπὼν (α) ἐξ ἀνθρώπων ᾤχετο, Σειρὰχ ὁ υἱὸς μετ' αὐτὸν λαβὼν, πάλιν τῷ οἰκείῳ παιδὶ κατέλιπεν Ἰησοῦ. Ὁ δὲ ταύτης λαβόμενος, εἰς (ἴσ. γρ. *καὶ) ἓν ἅπασαν ἐναρμόνιον σύνταγμα ποιησάμενος*, σοφίαν ἐπί τε τῷ αὐτοῦ, καὶ τῷ τοῦ πατρὸς, καὶ τῷ τοῦ πάππου ὀνόματι ἐπικέκληκεν ». Ὁ δὲ Εὐσέβιος « τὸν ἔγγονον » λέγει (τὸν Σειραχίδην τὸν μεταφραστὴν) « τὸν τὴν καλουμένην *πανάρετον* σοφίαν *συντάξαντα* (Εὐαγγ. Ἀποδείξ. η, σελ. 393, καὶ ἐν τῷ Χρονικῷ). «*Συγγράψαι τοῦτον*» λέγουσι καὶ τὸ Ἀλεξανδρινὸν Χρονικὸν, καὶ ὁ Κεδρηνός. Ἀλλ' ὅμως αὐτὸς ὁ Σειραχίδης οὐδαμοῦ τοῦ προλόγου ἐδήλωσεν, ὅτι καὶ αὐτός τι προσέθηκε· πᾶν δὲ τοὐναντίον λέγει « *μεθερμηνεῦσαι τήνδε τὴν βίβλον* (β). Μαρ-

(α) Ἄλλοι γράφουσι « σχεδόν τι συνειλεγμένην καταλιπών » (παρὰ Δρουσίῳ ἐν ἐκδ. Σ. Σειρ. ὅπου ὑπὸ τὸν κύριον Πρόλογον τῆς Σ. Σειρ. ὑπεσημείωσε καὶ τὴν ἀνωτέρω ῥῆσιν, καὶ τἄλλα τῆς Συνόψεως, ἐπιγράψας, « praefatio incerti autoris » Πρόλογος ἀδήλου συγγραφέως. Ὡσαύτως ἐξέδωκε τὴν ὑποσημείωσιν καὶ ὁ Βάταβλος· (ἀλλὰ χωρὶς τῆς προσθήκης, τῆς « σχεδόν τι συνειλεγμένην »). Hody pag. 194. — [Ἡ προσθήκη αὕτη λείπει καὶ ἐκ τῆς Συνόψεως αὐτῆς τοῦ Μ. Ἀθανασίου (βλ. τόμ. 6, σελ. 106. ἐκδ. Comel.), καὶ φαίνεται νεωτέρας χειρὸς, καὶ μάλιστα τὸ σχεδὸν, ὅπερ ἀντίκειται προφανῶς πρὸς τὰ τῆς ἐφεξῆς ἐννοίας, ἐν οἷς ἡ βίβλος ἅπασα (τουτ. ἐντελῶς συντεθειμένη) διαγράφεται. Σημ. ἡμετ. ].

(β) Τὸ τῆς Συνόψεως, « καὶ ἓν ἅπασαν ἐναρμόνιον σύνταγμα ποιησάμενος », ἀναφέρεται εἰς τὴν ἑρμηνείαν, δι' ἧς ὁ Σειραχίδης συνηρμολόγησεν εὐτάκτως εἰς ἓν ὁλόκληρον σύνταγμα τὰς ἐν κεφαλαίοις διῃρημένας ποικίλας γνώμας τοῦ συγγραφέως, διατάξας καθ' ἕκαστον κεφάλαιον τὰς ὁμοειδεῖς, ὡς ὑπῆρχον δηλονότι καὶ ἐν τῷ πρωτοτύπῳ, καὶ τούτῳ σύμφωνον καὶ ὁμόῤῥυθμον ἀπαρτίσας τὴν ἑρμηνείαν. Ὡσαύτως καὶ τὸ τοῦ Εὐσεβίου συντάξασθαι ἀναφέρεται εἰς τὴν ἑρμηνείαν (συντάττει γὰρ καὶ ὁ ἑρμηνεύς). Οὕτως εἶπε καὶ Νεῖλος ὁ ἱερώτατος « Ὡς λίαν εὔχαρις, ὁ πολύπειρος Σειρὰχ, συγγράφων καὶ συντάττων ὠφέλιμα ῥήματα » (Ἐπιστ. ρις.). Ὁ δὲ Ὅδιος εἰς μάτην ἐξέλαβε καὶ τὸν Μ. Ἀθανάσιον

τυρεῖ δὲ καὶ Ἱερώνυμος, ὅτι εἶδε τὴν βίβλον ἑβραϊστὶ γεγραμμένην, ἐπεγέγραπτο δὲ *παραβολαί* (α). Ἐν τῷ αὐτῷ προλόγῳ γράφει ὁ Σειραχίδης « *Εὗρον* (ἐν Αἰγύπτῳ) *οὐ μικρᾶς παιδείας ἀφόμοιον* ». Καὶ τοῦτο τὸ *ἀφόμοιον* ἠπάτησε πολλούς (β). Ἀλλ' ἀντ' αὐτοῦ ἀναγνωστέον *ἀφορμὴν* (ὅπερ ἔχουσι καί τινα τῶν ἀντιγράφων)· ὁ δὲ νοῦς τοῦ συγγραφέως οὗτός ἐστιν· ὅτι εὗρον ἐν Αἰγύπτῳ δεξιὰν *εὐκαιρίαν* (opportunitatem) ἐκπαιδευθῆναι τὴν ἐπιστήμην τῶν καλῶν γραμμάτων καὶ τῆς ἑλληνίδος φωνῆς κτλ. Ταῦτα περὶ τῆς ἐποχῆς τῶν Σειραχιδῶν. Ἐπάνιμεν δὲ ἤδη καὶ εἰς τὰ τοῦ *Προλόγου* (§. ε).

§. ζ. Λέγει τοίνυν ὁ Σειραχίδης, ὅτι ὑπῆρχον ἤδη κατ' αὐτὸν ἡρμηνευμένα ὁ *νόμος* καὶ αἱ *προφητεῖαι* καὶ ΑΛΛΑ τῶν βιβλίων (alios libros)· ἀλλὰ τοῦτο τὸ *καὶ ἄλλα* οὐκ ἐκλειπτέον ἀναγκαίως ἐπὶ *πάντων τῶν ἄλλων* βιβλίων τῆς Γραφῆς (ὡσανεὶ ἐνόει ὁ Σειραχίδης, ὅτι πάντα κατ' αὐτὸν ἦσαν ἡρμηνευμένα)· ἔστι γὰρ κἀκεῖνο *δυνατὸν*, ὅτι διὰ τοῦ *καὶ ἄλλα* διεσήμανε μόνα τῶν *λοιπῶν ἐκεῖνα*, ὅσα τότε κατ' αὐτὸν ἐτύγχανον ἐξελληνισμένα. Ἔξεστι γὰρ δήπου πάντως ὑποτοπάζειν, ὅτι οὐ μόνον μετὰ τὸν Φιλομήτορα καὶ τὸν ἀδελφὸν αὐτοῦ τὸν β, Εὐεργέτην, ἀλλὰ καὶ μετ' αὐτὴν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τὴν ἐπιφάνειαν ὑπῆρχον ἔτι ἀμετάφραστά τινα βιβλία τῆς Γραφῆς. Οὐδ'

---

καὶ τὸν Εὐσέβιον, ὡς νομίσαντας τὸν Σειραχίδην ἐγκαταμίξαι καί τινα ἀφ' ἑαυτοῦ εἰς τὴν ἑρμηνείαν. Κἀκεῖνοι ἀνεγίνωσκον τὸν Πρόλογον τῆς Σ. Σειρ. καὶ πάντως κατενόουν, ὅ,τι καὶ αὐτὸς ὁ κριτικὸς ὀρθῶς παρατηρεῖ ἐφεξῆς. Τὸ δ' Ἀλεξανδρινὸν Χρονικὸν (ἐξ οὗ καὶ ὁ Κεδρηνὸς ἀντέγραψεν) εἰς μάτην ἀνέφερε· διότι τοῦτο μνημονεύει μόνον τὸν συγγραφέα τῆς Σοφίας, τὸν α, Ἰησοῦν, καὶ τοῦτον λέγει συγγράψαντα τὸ βιβλίον, ὡς ὀψόμεθα ἐφεξῆς. §. κς. Σημ. ἡμετ.

(α) Hieron. praef. ad Libr. Solom.

(β) Ἡ Βουλγάτα ἔχει « inveni libros relictos non parvae neque contemnendae doctrinae » (εὗρον καταλελειμμένας βίβλους οὐ σμικρᾶς οὐδὲ φαύλης παιδείας!). Ἐκ τούτου ἄλλα ἄλλοι συνεπέρανον. Ὁ δὲ Cornel. à Lapide ἡρμήνευσεν, ὅτι εὗρεν ἀντίγραφον τῆς ἑλληνικῆς τῶν Γραφῶν ἑρμηνείας, ὅπερ ἐλάνθανεν ἐν τῇ Ἀλεξανδρινῇ βιβλιοθήκῃ (!). Hody. — [ Ἀλλ' ὁ Ὑέτιος (l. c. pag. 231) ἐσημείωσεν, ὅτι ἡ Βουλγάτα ἔχει καί τινας προσθήκας εἰς τὴν Σ. Σειράχ, ἀγνώστους παντάπασιν εἰς τὴν ἐξ ἧς μετεφράσθη ἑλληνικὴν ἑρμηνείαν. Σημ. ἡμετ. ].

ἀπηρτίσθη πλήρης ἡ ἑλληνικὴ ἑρμηνεία σύμπαντος τοῦ κώδηκος τῶν ἑβραϊκῶν τευχῶν, εἰ μὴ κατὰ τοὺς χρόνους τοὺς μεταξὺ Φίλωνος τοῦ Ἰουδαίου, καὶ Ἀκύλα τοῦ Σινωπέως (40—120. μ. Χ.)· καὶ δηλοῦταί πως ἐκ τῶν ἐφεξῆς.

§. η. Ὁ Ἰώσηπος φαίνεται νομίζων, ὅτι πλὴν τῆς Πεντατεύχου *οὐδεμία τῶν ἱστορικῶν* βίβλων (nullos libros historicos), ἢ κἂν οὐ πᾶσαι *πάντως* ἦσαν ἑλληνιστὶ μεταβεβλημέναι, καθ' ὃν χρόνον συνέγραφεν αὐτὸς τὴν Ἰουδαϊκὴν Ἀρχαιολογίαν. Λέγει γὰρ ἐπὶ λέξεως, ὅτι « Οὐ πᾶσαν ἐκεῖνος (ὁ Φιλάδελφος) ἔφθη λαβεῖν τὴν ἀναγραφήν· ἀλλ' αὐτὰ μόνα τὰ τοῦ νόμου παρέδωκαν οἱ πεμφθέντες ἐπὶ τὴν ἐξήγησιν » κτλ. Λέγων δὲ μὴ *πᾶσαν τὴν Γραφὴν*, ἀλλὰ *μόνον τὸν νόμον* ὑπὸ τῶν ἑρμηνευτῶν ἐκείνων ἐξελληνισθέντα, τί ἄλλο ἐννοεῖ, εἰ μὴ τοῦτο, ὅτι οὔπω τότε (κατ' αὐτὸν) ἐτύγχανον εἰς τὴν ἑλλάδα γλῶσσαν μεθηρμηνευμένα *πάντα τὰ ἱστορικὰ βιβλία* τῆς Γραφῆς; (α). Ὅτι τοίνυν πλὴν τῆς Πεντατεύχου καί τινα τῶν ἱστορικῶν ὑπῆρχον ἑλληνιστὶ καὶ πρὸ τῶν Ἰωσήπου χρόνων ἐκδεδομένα, οὐδεὶς ἂν ἔξαρνος γένοιτο. Περὶ τῆς βιβλίου τῆς Ἐσθὴρ, ἑρμηνευθείσης ἐπὶ τοῦ Φιλομήτορος, εἴπομεν ἀνωτέρω. Καὶ

---

(α) Περὶ τοῦ *π ᾶ σ α ν τ ὴ ν ἀ ν α γ ρ α φ ὴ ν* κτλ. εἴπομεν ἐν τοῖς προηγουμένοις (Βιβλ. Β. Κεφ. ζ. §. ις). Σὺ δ' ἐνταῦθα σημείωσαι ἀναγνῶστα, πῶς ὁ κλεινὸς Ὅδιος κατασκευάζων τὸ ἐπιχείρημα, ὅτι ἐπὶ Ἰωσήπου οὐχ ἦσαν ἐξελληνισμένα *π ά ν τ α τ ὰ ἱ σ τ ο ρ ι κ ὰ β ι β λ ί α* (τινὰ δὲ μόνον), φέρει πρὸς ἀπόδειξιν αὐτὴν τὴν Ἰωσήπου ῥῆσιν τὴν « *Ο ὐ π ᾶ σ α ν τ ὴ ν ἀ ν α γ ρ α φ ή ν* » κτλ. Ὥστε θέλει πάντως ἤδη εἰ καὶ μὴ πάντα, τινὰ δ' οὖν ὅμως καὶ τῶν *ἱ σ τ ο ρ ι κ ῶ ν* συνάμα μετὰ τοῦ νόμου μεταγλωττισθέντα ἐπὶ τοῦ Φιλαδέλφου, ἐναντία λέγων πρὸς ὅσα διϊσχυρίζετο ὡς ἐκ τῶν Ἰωσήπου τούτων λόγων ἐν τοῖς ἔμπροσθεν (Κεφ. ζ. §. γ). Ἀλλὰ καὶ ὧδε προεῖπεν ἀρτίως, ὡς ἂν καὶ τοῦτο πoριζόμενον ἐξ Ἰωσήπου, ὅτι οὐδεμία τῶν ἱστορικῶν βίβλων ἡρμηνεύθη (nullos libros historicos)! Κἀκεῖνο δ' ἴσως ἀπορήσεις, ποῦ εὗρεν ὁ κριτικὸς καὶ *τ ὰ ς ἱ σ τ ο ρ ι κ ὰ ς β ί β λ ο υ ς* ἐν τοῖς εἰρημένοις Ἰωσήπου λόγοις, ἐξ ὧν κατασκευάζει τὸ ἐπιχείρημα· πλὴν ἀλλ' ἔχει καὶ *τ ῶ ν ἱ σ τ ο ρ ι κ ῶ ν* ἡ προσθήκη τὸ χρήσιμον· διότι ἐπὶ τῶν Ἰωσήπου χρόνων ὑπῆρχον ἤδη αἱ προφητικαὶ βίβλοι ἡρμηνευμέναι (καθὼς φαίνεται ἐκ τοῦ προλόγου τοῦ Σειράχ). Ἐντεῦθεν στενούμενος ὁ κριτικὸς ἐπενόησεν ἐν τοῖς Ἰωσήπου λόγοις τὰς *ἱ σ τ ο ρ ι κ ὰ ς*, καὶ ταύτας οὐ πάσας, ἀλλὰ τινὰς καὶ μόλις ἡρμηνευμένας! Ὅθεν καὶ ὁ Οὐαλκενῆρος (De Aristob. Jud. p. 61), ἐν λέξεσιν ὀλίγαις Ὁδίου καθήψατο. Σημ. ἡμετ.

τοῦ Σαμουὴλ αἱ βίβλοι (ἡ Α, καὶ Β, τῶν Βασιλειῶν) φαίνονται πρὸ τοῦ Φίλωνος ἑλληνιστὶ μεταβεβλημέναι· διότι οὗτος (σελ. 826) μνημονεύει τὸ τῆς Ἄννης «Στεῖρα ἔτεκεν ἑπτά» κτλ. (Α. Βασιλ. β). Ἀλλ' ἡ ἑρμηνεία τῆς βίβλου τῶν Κριτῶν οὐκ ἦν ἐπὶ Φίλωνος, καθὼς συνάγεται ἔκ τινος ῥήσεως, ἣν αὐτὸς ὁ Φίλων ἐν τῷ *Περὶ Συγχύσεως διαλέκτων* ἀπεμνημόνευσεν ἐκ τοῦ τεύχους τῶν Κριτῶν (η, 9)· γράφει δὲ τὴν ῥῆσιν ταύτην οὕτως· «*Ὤμοσε* Γεδεὼν τοῖς ἀνδράσι Φανουήλ, λέγων· ἐν τῷ με ἐπιστρέφειν *μετ' εἰρήνης* τὸν πύργον τοῦτον κατασκάψω» κτλ. Τὸ ἑβραϊκὸν ἔχει ἐπὶ λέξεως οὕτως «*Εἶπε* Γεδεὼν τοῖς ἀνδράσι *Πενουήλ*, ἐν τῷ με ἐπιστρέφειν κατασκάψω τὸν πύργον τοῦτον (α). Ἡ δ' Ἑλληνικὴ μετάφρασις, οὕτως· «*Εἶπε* Γεδεὼν πρὸς ἄνδρας Φανουήλ· ἐν ἐπιστροφῇ μου μετ' εἰρήνης κατασκάψω τὸν πύργον τοῦτον» (κατὰ τὸν Βατικανὸν κώδ. Κατὰ δὲ τὸν Ἀλδῖνον, πλησιέστερα πρὸς τὰ τοῦ Φίλωνος· «Εἶπε Γεδεὼν τοῖς ἀνδράσι Φανουήλ· *ἐν τῷ ἐπιστρέφειν με μετ' εἰρήνης* κτλ.). Τοῦτο λοιπὸν τὸ χωρίον ὁ Φίλων, οὐκ ἀπὸ τῆς ἑλληνικῆς ἑρμηνείας, ἀλλ' ἐκ τοῦ Ἑβραϊκοῦ μνημονεύσας φαίνεται οὐ μόνον ἐκ τοῦ *ὤμοσεν*, ἀντὶ τοῦ *εἶπεν* (β), ἀλλὰ μάλιστα καὶ διότι μνημονεύων τὴν ἐπιγραφὴν τῆς βίβλου τῶν Κριτῶν (ὅπου

---

(α) Τὸ ἑβραϊκὸν ἔχει καὶ τὸ μ ε τ' ε ἰ ρ ή ν η ς, ὡς ἔχει καὶ ὁ Φίλων, καὶ οἱ Ο, καὶ ἡ Βουλγάτα· (Κριτ. η, 9). Ὁ δὲ Ὅδιος (pag. 195), ὁ τῆς ἀκριβείας ἀδυσώπητος κριτής, ἀντιγράφων λατινιστὶ τὸ ἑβραϊκὸν κατὰ λέξιν, ὡς λέγει, (verbatim), παρέλιπεν ὅμως τὸ in pace (μ ε τ' ε ἰ ρ ή ν η ς)· ἀλλὰ τοῦτο θῶμεν ἁμάρτημα τυπογραφικόν. Ἐκεῖνο δὲ πρόσθες· ὅτι τὸ ἑβραϊκὸν (ὡς ἀναγινώσκουσι τὴν σήμερον) ἔχει Π ε ν ο υ ὲ λ (Penuel)· ὅπερ οἱ Ο, ᾀείποτε ἐξελληνίζουσι Φ α ν ο υ ή λ, ὡς ἔχει καὶ ὁ Φίλων· ὥστε καὶ τοῦτο δείκνυσιν ὅτι ἀντέγραψε τὴν ῥῆσιν ἐκ τῶν Ο. Σημ. ἡμετ.

(β) Καὶ μήπως ἔχει τὸ ἑβραϊκὸν, ὤ μ ο σ ε ν; «Ε ἶ π ε» καὶ τοῦτο γράφει ῥητῶς, καθὼς καὶ αὐτὸς Ὅδιος ὡμολόγησε καὶ ἔγραψε λατινιστὶ (dixit)! Τί ὀνειρεύεται ἐνταῦθα ἡ Ὁδιακὴ γραφίς, μάντευσον ἀναγνῶστα, ἂν δυνηθῇς· ἡμεῖς ἀποροῦμεν. Ἓν μόνον προστιθέμεθα, ὅτι καὶ τὸ Ἀλεξανδρινὸν ἀπόγραφον (ὅπερ Ὅδιος ἀνωτέρω παρεσιώπησεν) ἔχει ἀπαραλλάκτως (πλὴν τοῦ ὤ μ ο σ ε) καθὼς ὁ Φίλων, «Καὶ εἶπε Γεδεὼν τοῖς ἀνδράσι Φαν. λέγων· ἐν τῷ ἐπιστρέφειν με» κτλ. Καὶ φαίνεται λοιπὸν ὁ Ἀλεξανδρινὸς Φίλων κώδηκι χρησάμενος ὁμοίῳ τῷ καθ' ἡμᾶς Ἀλεξανδρινῷ. Τὸ δὲ ὤ μ ο σ ε ν ἀντὶ τοῦ ε ἶ π ε ν ἀνθυπέβαλεν ἐξ ἑαυτοῦ, ἐλευθέρως τὴν ῥῆσιν τῶν Ο, πρὸς τὴν σειρὰν τῶν ἑαυτοῦ νοημάτων ἐφαρμόσας, ὃ καὶ πολλαχοῦ φαίνεται ποιῶν (βλ. τόμ. α. σελ. 601. Μ. κτλ).

γέγραπται ἡ ῥῆσις), ὀνομάζει ταύτην οὐχὶ *τῶν Κριτῶν*, ἀλλὰ «τὴν *τῶν Κριμάτων* ἀναγεγραμμένην βίβλον». Καὶ φαίνεται λοιπὸν ὅτι ἀντὶ τοῦ Sophetim, τουτ. *τῶν Κριτῶν* (ὡς ἔχει ἡ ἑλληνικὴ ἑρμηνεία, καὶ ὡς ἀναγινώσκομεν καὶ τὴν σήμερον ἐν τῷ ἑβραϊκῷ), ὁ Φίλων ἀνέγνω Sephatim, ὃ *Κρίματα* σημαίνει, διὰ μὲν συμφώνων γραφόμενον τῶν αὐτῶν (ὡς καὶ τὸ πρῶτον), διαφόροις ὅμως φωνήεσι διαρθρούμενον (α).

---

(α) Καὶ λοιπὸν, δυοῖν θάτερον· ἢ ὁ Φίλων ἠγνόει καὶ αὐτὸ τὸ συλλαβίζειν ἑβραϊστὶ, καὶ τότε λοιπὸν ἔλαβε πάντως τὴν ὅλην ῥῆσιν ἐκ τῶν Ο, πρὸς ἣν καὶ συμφωνεῖ κατὰ πάντα τἄλλα, πλὴν τοῦ *ὤμοσεν*, ὅπερ οὔτε (παρ' Ἑβραίοις, οὔτε παρὰ τοῖς Ο, κεῖται)· ἢ αὐτὸ τὸ τῶν *Κριτῶν* ἡ τῶν ἀντιγραφέων ἀβλεψία κατέστρεψεν εἰς τὸ *Κριμάτων*, καθὼς καὶ παρ' Ἰουστίνῳ μετεμόρφωσε τὸ *ἱερεῖ*, ἢ (*ἀρχιερεῖ*) εἰς τὸ *Ἡρώδῃ* (βλ. ἐφεξῆς §. ιδ). Κἂν δὲ δῶμεν Ὁδίῳ, ὅτι πάντως ἐκ τοῦ ἑβραϊκοῦ μετέφρασε τὴν ῥῆσιν ὁ Φίλων, προχείρου τυχόντος, πόθεν δῆλον ὅτι οὐκ εἶχε πορρωτέρω κείμενον καὶ τὸ ἑλληνικὸν τεῦχος τῶν Κριτῶν μετὰ τῆς ἄλλης τῶν Ο ἑρμηνείας, ᾗπερ ἐχρῆτο συνήθως; Ἐκ τῶν Ο, πάντοτε σχεδὸν ἐλάμβανον οἱ θεῖοι Ἀπόστολοι τὰς γραφικὰς μαρτυρίας. Εὑρίσκονται δὲ καί τινες ὀλίγισται προφητικαὶ ῥήσεις, ἃς ἔλαβον ἀμέσως (καθὼς θέλουσιν) ἐκ τοῦ ἑβραϊκοῦ. Τί λοιπόν; οὐχ ὑπῆρχεν ἐπὶ τῶν Ἀποστόλων ἡ ἑρμηνεία τῶν προφητῶν; Εἰ δὲ καὶ τὸ τῆς ἐπιγραφῆς αὐτῆς ἀκριβέστερον θεωρήσομεν, ἀποδειχθήσεται τρανώτερον τὸ λάθος τοῦ κριτικοῦ. Ἔτι κατὰ τὸν α, αἰῶνα μετεφράσθη ἐκ τῆς ἑρμηνείας τῶν Ο, ἡ λατινικὴ Γραφὴ, καὶ συνάμα μετὰ τῶν τευχῶν καὶ αἱ ἐπιγραφαὶ (οἷον Judicum τὸ Κριτῶν, Numeri τὸ Ἀριθμοὶ, κτλ.). Καὶ ὅμως ὁ Τερτυλλιανὸς (ἕνα ὕστερον αἰῶνα) ἔγραφεν ἑλληνικώτερον Critarum, Arithmi, Basiliarum, κτλ. (βλ. Demagistr. l. c. p. 431). μὴ δὴ παρὰ τοῦτο φῶμεν, ὅτι οὐχ ὑπῆρχεν ἐπὶ Τερτυλλιανοῦ ἡ μετάφρασις τῆς ἀρχαίας Βουλγάτας, ἢ Ἰτάλας; *Εὐαγγέλια* συνήθως ἐπιγράφονται ἀνέκαθεν τῶν θείων Εὐαγγελιστῶν τὰ βιβλία· καὶ ὅμως ὁ Ἰουστῖνος (Ἀπολογ. Β), καὶ αὖτις ὁ Εὐσέβιος (Ἐκκλ. ἱς γ, 24) ὠνόμασαν αὐτὰ (ὡς ἐκ τῆς ἱστορικῆς ὑποθέσεως) *ὑπομνήματα*. Τὴν δὲ πάλιν *περὶ ἰουδαϊκοῦ πολέμου*, ἢ *ἰουδαϊκὴν ἱστορίαν περὶ ἁλώσεως* ἐπιγραφομένην συγγραφὴν τοῦ Ἰωσήπου ὁ μὲν Πορφύριος προσεῖπεν ἁπλῶς *ἰουδαϊκὴν ἱστορίαν* (π Ἀποχ. δ, 11). Ὁ δὲ Φώτιος συνοψίζων, οὐδ' ἐμνημόνευσεν ὅλως τὴν ἐπιγραφὴν, εἰ μὴ περιφραστικῶς (*«τὰ κατὰ τοὺς Ἰουδαίους πάθη, καὶ ἡ τῶν Ἱεροσολύμων ἅλωσις*). Τελευταῖον, αὐτὸς ὁ Φίλων καὶ ἄλλου βιβλίου τὴν ἐπιγραφὴν, τῶν *Βασιλειῶν*, μνημονεύων, εἶπε *βίβλους βασιλικὰς* (βλ. ὄπισθ. κεφ. ζ. §. ιη, σελ. 451), «ὡς ἱςορούσας τὰ τῷ λαῷ συμβεβηκότα κατὰ τὸν βασιλέων καιρόν» (Θεοδώρ. εἰς τὰ Ἄπορ.). Οὕτω καὶ τὴν τῶν *Κριτῶν* προσεῖπε καινοπρεπέστερον τὴν τῶν *Κριμάτων*, ὡς τὰ κατὰ τοὺς Κριτὰς *κεκριμμένα* ἔργα περιέχουσαν, δηλαδὴ τὰ κατ' αὐτοὺς συμβεβηκότα. Σημ. ἡμετ.

§. θ. Τὴν δὲ βίβλον τοῦ Ἰὼβ ὁ Κόδυρκος (Codurcus) ἐξήγγειλεν ἤδη, ὅτι πάντως οὐκ ἔσχε τοὺς αὐτοὺς καὶ τ᾽ ἄλλα βιβλία μεταφραστάς. Καὶ τοῦτο δείκνυται ἀληθὲς ἐκ τῆς πρὸς τῷ τέλει τοῦ βιβλίου προστεθειμένης σημειώσεως ἐκείνης· « *Οὗτος ἑρμηνεύεται ἐκ τῆς Συριακῆς βίβλου* », τουτέστιν ἐκ τοῦ *ἑβραϊκοῦ* (καθὼς ἡρμήνευσεν ὀρθῶς Ἰουλιανὸς ὁ Ἁλικαρνασσεύς). Εἰ δὲ μετὰ τῶν ἄλλων τευχῶν διηρμήνευτο συγχρόνως καὶ τὸ τοῦ Ἰὼβ, ἄτοπον ἂν ἦν καὶ γελοῖον τοῦτο τὸ σημείωμα. Ὁ δὲ τῆς ἐκ τοῦ Ἑλληνικοῦ γενομένης Ἀραβικῆς ἑρμηνείας μεταγραφεὺς, ἐκλαβὼν τοὺς λόγους τῆς σημειώσεως ὡς αὐτοῦ τοῦ Ἄραβος μεταφραστοῦ, προσέγραψε· « τοῦτο τὸ βιβλίον ἐκ τῆς Συριακῆς εἰς τὴν Ἀραβικὴν μετηνέχθη ». Περὶ δὲ τοῦ χρόνου τῆς ἑλληνικῆς τοῦ Ἰὼβ ἑρμηνείας τοῦτο μόνον βέβαιον ἔχομεν, ὅτι γέγονεν ἀρχαιοτέρα τῆς τοῦ Φίλωνος ἡλικίας· μνημονεύει γὰρ οὗτος ῥήσεώς τινος ἐξ αὐτῆς (ἐν τῷ περὶ Μετονομαζομένων).

§. ι. Τὸ τεῦχος Ἰησοῦ τοῦ Ναυῆ μετὰ τὴν Λαγίδου τελευτὴν, ἐνιαυτούς τινας ὕστερον, καὶ ἑπομένως μετὰ τὴν Πεντάτευχον ἐξελληνισθὲν ἀπεδείξαμεν ἀνωτέρω ἐκ τῆς λέξεως τῆς *γαισός*. Ἀλλ᾽ ἐκ τῆς αὐτῆς λέξεως συνάγεται, ὅτι μὴ μόνον *ἐνιαυτοὺς*, ἀλλὰ καὶ ἡλικίας ὅλας ὕστερον μετὰ τὸν Λαγίδου θάνατον ἡρμηνεύθη τὸ τεῦχος, ἀφ᾽ οὗ δηλονότι τοσοῦτον ἡ λέξις εἰς τὴν Ἑλληνικὴν ἐπεκράτησε γλῶσσαν (διὰ μακροῦ τοῦ χρόνου συνειθισθεῖσα), ὥστε μηκέτι διακρίνεσθαι κοινῶς ὡς φωνὴ γαλατική. Καὶ ἔζη ἄρα ὁ τοῦ Ἰησοῦ μεταφραστὴς κατ᾽ ἐκείνους τοὺς χρόνους, ὁπότε τὸ γαισὸς ἐνομίζετο γνησία λέξις ἑλληνική· ἄλλως γὰρ οὐκ ἂν ἐχρήσατο τῇ λέξει, εἴπερ ἐγίνωσκεν αὐτὴν σημαίνουσαν γαλατικὸν βέλος. Εἰ δὲ καὶ Κορνήλιος ὁ Ἀλάπιδος ἀληθεύει λέγων, ὅτι ὁ μεταφραστὴς τῆς Σοφίας Σειρὰχ παρακολουθεῖ τὰς λέξεις τῆς ἑλληνικῆς τῶν Γραφῶν ἑρμηνείας (Ὑπόμνημ. εἰς πρόλογ. Σ. Σειρ.), δείκνυται καὶ ἐκ τούτου, ὅτι τὸ βιβλίον τοῦ Ἰησοῦ ἐξελληνίσθη μετὰ τὴν βασιλείαν τοῦ Β. Εὐεργέτου, διότι ὁ Σειραχίδης ἔγραψεν οὐχὶ *γαισὸν*, ἀλλὰ *ῥομφαίαν*. « Ὡς ἐδοξάσθη (ὁ Ἰησοῦς) ἐν τῷ

ἐπάραι τὰς χεῖρας αὐτοῦ, *καὶ ἐν τῷ ἐκτεῖναι ῥομφαίαν ἐπὶ πόλεις* (Σ. Σειρ. μϛ. 3) (α).

§. ια. Ἡ δὲ τῶν Ψαλμῶν ἑρμηνεία μνημονεύεται καὶ παρὰ τῷ

---

(α) Τοῦτο πολὺ πρότερον Ὁδίου ἐσημείωσεν ὁ Βοχάρτος (Hieroz. P. I. Lib. II. c. 8. p. 137). Ἀλλὰ τὸ «Ἔκτεινον τὴν χεῖράσου ἐν τῷ γαισῷ τῷ ἐν τῇ χειρί σου ἐπὶ τὴν πόλιν (Ἰησ η, 18) οὐδεμίαν ἔχει σχέσιν κατὰ νόημα πρὸς τὴν ἀνωτέρω ῥῆσιν τοῦ Σειραχίδου. Ἐκεῖ (Ἰησ. η) ἐκτείνει τὴν χεῖρα ὁ Ἰησοῦς, καὶ τὸν ἐν αὐτῇ γαισὸν, ὡς ἁπλοῦν σύνθημα πρὸς τοὺς ἐνεδρεύοντας, ὅπως ἀναστάντες καταλάβωσι μίαν πόλιν, τὴν Γαί. Ὁ δὲ Σειραχίδης ἐπαινεῖ καθόλου τὸν Ἰησοῦν, διότι χεῖρας βριαρὰς ἐπάρας πρὸς μάχην, (ὡς τὸ «ἐπάρας χεῖρας ἐν λίθῳ σφενδόνης» Σ. Σειρ. μζ, 4), ἐξέτεινε τὴν ῥομφαίαν, οὔτε πρὸς σύνθημα δεικνὺς, οὔτε μόνον ἐπὶ πόλιν μίαν, ἀλλ᾽ ἐπὶ πόλεις καὶ μητροπόλεις τῶν Χαναναίων αὐτὴν καταφέρων πολλὰς, «ἃς ἐφόνευσεν ἐν στόματι ῥομφαίας (Ἰησ. ϛ, 21), ἤτοι ἐν στόματι ξίφους (αὐτ. Ι. 28—39: ια, 11—14). Ὥστε παραβιάζουσιν οἱ περὶ τὸν Ὅδιον τὸ νόημα τοῦ Σειραχίδου, καὶ ἄλλος δὲ μετὰ τὸν Ὅδιον παρομοίως ἔκρινεν, ὁ Μοντεφαλκώνιος (Montfaucon. Origen. Hexapl. vol. 1. p. 207). Οἱ δὲ τοιοῦτοι καὶ τὸν Σειραχίδην ἐξελέγχουσιν ὡς ἀμαθῆ σχεδὸν καὶ τῆς πατρῴας φωνῆς· διότι τὸ ἑβραϊκ. Kidon (ὡς ὤφειλε πάντως ἔχειν τὸ ἑβραϊκὸν κείμενον τῆς Σ. Σειρ.) οὐδεὶς τῶν ἑρμηνέων εἶπε κατὰ λέξιν ῥομφαίαν, ἀλλ᾽ ἢ γαισὸν (δόρυ καὶ λόγχην), ἢ ζιβύνην, ἢ ἀσπίδα, ἢ μάχαιραν, καὶ ἐγχειρίδιον· (βλ. ὄπισθ. σελ. 511). Καὶ φαίνεται λοιπὸν πιθανώτατον, ὅτι μόνας τὰς λέξεις ἐπάραι καὶ ἐκτεῖναι μετέγραψεν ὁ Σειραχίδης ἐκ τοῦ Ἰησοῦ. Κἂν δὲ καὶ δοθῇ ὅτι ἐξέφρασεν αὐτὸ (καθὼς θέλουσι) τὸ χωρίον τοῦ Ἰησοῦ μετεχειρίσθη λοιπὸν τὸ ῥομφαίαν κατὰ τὴν σπανιωτάτην αὐτοῦ σημασίαν (σελ. 515) ἀντὶ τοῦ δόρυ, ἢ ἀκόντιον μακρὸν, συνωνύμως δηλονότι πρὸς τὸ γαισὸς, ὅπερ ἀνεγίνωσκεν ἐν τῷ πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ κειμένῳ ἑλληνικῷ τεύχει τοῦ Ἰησοῦ. Οὕτως ἐξήγησε καὶ Βοχάρτος (l. c.) τὸ ῥομφαία τοῦ Σειραχίδου, ἐπαγόμενος καὶ τὸν Σύρον ἑρμηνεύσαντα, δόρυ (hastile). Ὅτι δὲ τὸ ἑλληνικὸν τοῦ Ἰησοῦ τεῦχος εἶχεν ὁ Σειραχίδης πρὸ ὀφθαλμῶν δηλοῦσι καὶ ἄλλαι φράσεις καὶ λέξεις, ἃς ἀντέγραψεν ἐκ τῆς ἑρμηνείας· οἷον, «λίθους χαλάζης ἐπὶ τῆς καταβάσεως» (Ἰησ. Ι. 11, καὶ Σ. Σειρ. μϛ, 6. Πρβλ. καὶ Ἰησ. ιδ, 11: Σ. Σειρ. μϛ, 9, κτλ.). Ὅσον δὲ περὶ τῆς ἡλικίας τοῦ γαισοῦ, καλῶς ἐποίησεν Ὅδιος ἀνωτέρω θεωρήσας τὴν λέξιν κατὰ τοὺς χρόνους τῆς Ἰησοῦ ἑρμηνείας πεπαλαιωμένην ἤδη καὶ γενειῆτιν, ὡς πολὺ πρὸ τῶν Λαγίδου χρόνων εἰθισμένην παρὰ τοῖς Ἀσιανοῖς μάλιστα Ἕλλησι. Καίτοι καὶ ὁ χρόνος τῆς τῶν λέξεων πολιτογραφίας ὑπάρχει συντομώτερος πολλάκις, ἢ ὅσον Ὅδιος αὐτὸν ὥρισεν. Ὁ Μένανδρος μετεχειρίζετο ἐν τῷ θεάτρῳ λέξεις Μακεδονικὰς, ἀσυνήθεις εἰς τὸν σύγχρονον αὐτῷ Δημοσθένην καὶ τοὺς πλείστους Ἀττικοὺς, καὶ ὁ Αἰσχύλος τὸν σύαγρον, ἢ κάπρον ἔλεγεν ἀσχέδωρον, σικελικώτερον λαλῶν πρὸς τοὺς αὐτόχθονας Ἀθηναίους. Τί μὴ τοιοῦτο συνέβαινε καὶ περὶ τὴν χρῆσιν τοῦ γαισοῦ; Ἀλλὰ γαισοφλυγίας ἅλις! Σημ. ἡμετ.

Φίλωνι (152, 170, κτλ.), καὶ ἐν τοῖς θείοις Εὐαγγελίοις· ὥστε καὶ περὶ ταύτης οὐδεμία ἀμφιβολία, ὅτι τοὐλάχιστον πρὸ τῆς Χριστοῦ γεννήσεως μεθηρμήνευτο.

§. ιϐ. Ταῦτα περὶ τούτων εἴχομεν εἰπεῖν· συμφωνεῖ δὲ καὶ Κρόϊος. Ἰδοὺ καὶ τούτου τὸ ψήφισμα (decretum!). « Οἱ λεγόμενοι Ο, τὴν Πεντάτευχον μόνην ἡρμήνευσαν. Ἐφεξῆς ἡρμηνεύθησαν οἱ Προφῆται. Κατόπιν δὲ τούτων τὴν τῶν Ἁγιογράφων μετάφρασιν ἐξεπόνησαν ἀδαεῖς τινες Ἰουδαῖοι Ἀλεξανδρινοί ».

§. ιγ. Ὁ δὲ Φραγκῖσος ὁ Ἰούνιος ἐπὶ μὲν τοῦ Φιλαδέλφου Πτολεμαίου μόνην λέγει καὶ αὐτὸς τὴν Πεντάτευχον ἑρμηνευθεῖσαν ὑπὸ τῶν Ο, πλὴν ἀλλ' ἐγένετο (λέγει) καὶ ἄλλη ἑρμηνεία ὁλοκλήρου τοῦ κώδηκος τῆς Παλαιᾶς Διαθήκης ἐπὶ Πτολεμαίου τοῦ ἐσχάτου, καὶ νεωτέρου τῆς βασιλίσσης Κλεοπάτρας ἀδελφοῦ, πεμφθέντων εἰς Αἴγυπτον ὑπὸ τοῦ βασιλέως τῆς Ἰουδαίας Ἡρώδου ΟΒ ἑρμηνευτῶν, κατὰ ζήτησιν αὐτοῦ τοῦ Πτολεμαίου, ὅστις ἠθέλησεν ἀνακαινίσαι τὴν ἐπὶ Καίσαρος πυρποληθεῖσαν ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκην. Καὶ ταύτην τὴν ἔκδοσιν ὁ Ἰούνιος ἐνόμισεν ἐπονομασθεῖσαν ὕστερον *κοινήν* » (α). Παράδοξος τῷ ὄντι εἰκασία! (λέγει Ὅδιος)· καὶ εἰς ποίαν ἀπόδειξιν θεμελιοῦται; εἰς οὐδεμίαν ἄλλην, εἰ μὴ εἰς τὸ μνημονικὸν σφάλμα (!) τοῦ φιλοσόφου καὶ μάρτυρος Ἰουστίνου, ὅστις διηγούμενος τὴν ἱστορίαν τῶν Ο, ἀντὶ τοῦ ἀρχιερέως Ἐλεαζάρου (πρὸς ὃν ὁ Φιλάδελφος ἀπέστειλε περὶ τῆς ἑρμηνείας), ἔγραψεν, ὅτι ἀπέστειλε « *τῷ βασιλεύοντι Ἡρώδῃ* » (περὶ τούτου λέγομεν καὶ ἐφεξῆς). Παρομοίως καὶ Σαμουῆλος ὁ Πετῖτος ἐδόξασεν, ὅτι τὰ βιβλία τῶν Προφητῶν ἡρμηνεύθησαν ὑπὸ τῶν ἑρμηνέων, οὓς ὁ βασιλεὺς Ἡρώδης ἀπέστειλε πρὸς τὸν Πτολεμαῖον. Ἀλλὰ καὶ τοῦτο ῥαδίως ἐξελέγχεται ὑπὸ τοῦ Προλόγου τῆς Σοφίας τοῦ Σειρὰχ (ὅπου μνημονεύονται τὰ τῶν Προφητῶν, ὡς ἤδη μεθηρμηνευμένα) (β).

---

(α) Franc. Junius Animadv. in Bellarmin. Controv. I. L. 2. cap. 5, 6.

(β) Οὕτω « π ό ν ο ς π ό ν ῳ π ό ν ο ν φ έ ρ ε ι », καὶ « π λ ά ν η π λ ά ν η ν π ο λ ύ τ ο κ ο ν ἔ τ ε κ ε ν ». Ἀφ' ἑνὸς ἀντιγραφέων σφάλματος (τοῦ παρὰ τῷ

§. ιδ. Ὁ δὲ πάλιν Ὑσσέριος ἐδογμάτισεν, ὅτι οἱ Ο πρεσβύτεροι μετακληθέντες εἰς Ἀλεξάνδρειαν ὑπὸ τοῦ Φιλαδέλφου, μόνην τὴν Πεντάτευχον ἡρμήνευσαν ἀκριβέστατα πρὸς τὸ κείμενον· καὶ ἡ ἑρμηνεία ἀπετέθη εἰς τὴν βασιλικὴν βιβλιοθήκην. Ἐπὶ δὲ τοῦ Φιλομήτορος ὕστερον Ἰουδαῖός τις Ἀλεξανδρεὺς θεραπεύων ὁπωσδήποτε τὴν περιέργειαν τῶν ἐθνικῶν, βουλομένων τὰ τῶν Ἰουδαίων ἱερὰ καὶ νόμιμα μαθεῖν, ἐξελλήνισεν αὐτήν τε τὴν Πεντάτευχον ἐξ ὑπαρχῆς, καὶ πάντα τὰ λοιπὰ βιβλία τῆς Γραφῆς. Αὕτη δὲ ἡ ἑρμηνεία τὸ μὲν ὅλον διέφερε τοῦ ἑβραϊκοῦ κειμένου· συνεφώνει δὲ τὸ πλεῖστον κατὰ τὴν Πεντάτευχον (ὁ γὰρ ὕστερος ἑρμηνεὺς ἐβοηθεῖτο καθοδηγούμενος ἐκ τῆς ὑπὸ τῶν Ο, προλαβόντως ἡρμηνευμένης). Καὶ ἡ μὲν τῶν Ο, μετάφρασις ἐγένετο περικλεεστάτη.

Ἰουστίνῳ, Ἡ ρ ώ δ ῃ) τὸ πρῶτον ὁρμηθέντες φιλόκαινοι κριτικοί, παρανοήσαντες δὲ καὶ τοὺς περὶ τῆς ποσότητος τῶν ἐπὶ τοῦ Φιλαδέλφου ἑρμηνευθέντων βιβλίων λόγους τοῦ Ἀριστέου καὶ Φίλωνος καὶ τοῦ Ἰωσήπου (πρὸς τοῦτο πρώτου προηγησαμένου Ἱερωνύμου), ἔπλασαν οἱ ἄνδρες τοσαῦτα καὶ τοιαῦτα περὶ τῆς ἑρμηνείας τῶν Ο. Μόνην τὴν Πεντάτευχον καθίδρυσαν εἰς τοὺς ἐπὶ τοῦ Φιλαδέλφου χρόνους. Ἐφαντάσθησαν δὲ καὶ διπλᾶς ἑρμηνείας ὅλης τῆς Γραφῆς· ὡς ὁ Ἰούνιος οὗτος, καὶ ὁ ἐφεξῆς μνημονευόμενος Ὑσσέριος. Ὁ δὲ Βάλτερος πρὸ τούτων καὶ εἰς τέσσαρας ἐπολλαπλασίασε τὰς ἑρμηνείας, παρεξηγήσας τὰ τοῦ Ἀριστοβούλου, καὶ διαχωρίσας τὴν συμβασιλείαν τοῦ Λαγίδου καὶ Φιλαδέλφου (βλ. ὄπισθ. σελ. 10—11, καὶ Βιβλ. Α. σελ. 125). Ἀπὸ τῶν αὐτῶν Ἀριστοβούλου λόγων ὁρμηθεὶς καὶ ὁ Στρόθιος ἐπλαστούργησε τὰς πρὸ τοῦ Μεγάλου Ἀλεξάνδρου ποικίλας τῆς Γραφῆς ἑρμηνείας· ἐξ ὧν ἔπειτα ὁ Πείπφερος συνέρραψε τὸν κέντρωνα τῆς καθ' ἡμᾶς ἑρμηνείας τῶν Ο. Πρὸς τούτῳ δ' ἐφεξῆς ὁ περίσοφος Βερθόλδυς προσῆψε καὶ τὸ παράδειγμα τῶν μετὰ τὴν παντελῆ τῶν Ἰουδαίων καταστροφὴν καὶ καταβαρβάρωσιν ἐφευρημένων χαλδαϊκῶν παραφράσεων. Ὁ δὲ πάλιν Ὀβὴν διαφόρους ἐθέλει καὶ τῶν Μωσαϊκῶν βιβλίων τοὺς ἑρμηνεῖς. (βλ. Mücke u. s. p. 80). Ἐκ τούτων ὁρμηθεὶς καὶ καθ' ἡμᾶς ὁ ῥαββῖνος Φράγκελος ἠρτοκόπησε τὰ κατ' αὐτὸν κόμματα καὶ πόπανα τῆς ἑρμηνείας, « μ ά ζ α ν μ ά ξ α ς κ α ὶ α ὐ τ ὸ ς ὑ π' ἄ λ λ ω ν μ ε μ α γ μ έ ν η ν », καὶ ταύτην εὐρωτιῶσαν καὶ σαπράν. (βλ. ὄπισθ. σελ. 11, 15, 22). Οὕτω πολύγονος ἀνεφάνη ἡ πλάνη, γεννήματα τεκοῦσα πολλά, καὶ τὸ αἶσχος ἀδελφὰ καὶ ὁμοιόμορφα, ὁποῖα φ ῦ λ α π ο ι κ ί λ' ὀ ν ε ί ρ ω ν ν υ κ τ ὸ ς ἐ ρ ε ύ γ ε τ α ι σ κ ό τ ο ς. Ἀλλὰ ταῦτα μὲν τὰ φαντάσματα ἐξελέγχει τῆς ἱστορίας τὸ φῶς· διακηρύττουσι δ' αὐτῶν τὴν νοθείαν καὶ ἐξ αὐτῶν πάλιν τῶν φιλοκαινοτόμων οἱ κριτικώτεροι. Ὡς καὶ Ὅδιος μετ' ἄλλων, τὰ ἀνωτέρω τοῦ Ἰουνίου, καὶ τὰ παρεπόμενα τοῦ Ὑσσερίου. Βλέπε καὶ ἐφεξῆς §. ις. σημ. — Σημ. ἡμετ.

κοινοτάτη δὲ ἡ δευτέρα τοῦ ὅλου κώδηκος τῆς Γραφῆς· διὸ καὶ μᾶλλον αὔξουσα καὶ ἐπικρατοῦσα, προσεκτήσατο καὶ τὸν τόπον τῆς πρώτης καὶ τὸ ἐπώνυμον (ἐπικληθεῖσα καὶ αὕτη τῶν Ο). Εἰσήχθη δὲ πρῶτον πρὸς δημοσίαν ἀνάγνωσιν εἰς τὸν ἐν Ἡλιουπόλει ναὸν, ὃν ᾠκοδόμησεν Ὀνίας. Τούτου γὰρ οἱ ἱερεῖς καὶ λευῖται, μηδόλως εὐλαβούμενοι ἐν βεβήλῳ θρησκεύειν ναῷ, οὐδὲ περὶ τὴν ἀληθῆ τῶν Γραφῶν ἑρμηνείαν ἐφιλοπόνουν. Ἐντεῦθεν καὶ εἰς τοὺς ἄλλους τοὺς παρ᾽ Ἕλλησιν οἰκοῦντας Ἰουδαίους ἡ δευτέρα αὕτη ἑρμηνεία διεδόθη, καὶ ἀνεγινώσκετο συνήθως ἐν ταῖς Συναγωγαῖς. Παρὰ δὲ τῶν ἑλληνιστῶν Ἰουδαίων μετέλαβον αὐτὴν ἐφεξῆς καὶ οἱ τούτοις συνοικοῦντες, καὶ διὰ τοῦ κηρύγματος τῶν Ἀποστόλων εἰς Χριστὸν πιστεύσαντες Ἕλληνες· παρὰ δὲ τούτων, τέλος, οἱ Λατῖνοι. Ἐκεῖνο δὲ τὸ πρῶτον χειρόγραφον τῆς Πεντατεύχου τῶν Ο, κατεκάη μὲν μετὰ τῆς ἐπὶ Καίσαρος, Ἀλεξανδρεῦσι πολεμοῦντος, πυρποληθείσης βιβλιοθήκης τοῦ Πτολεμαίου, πλὴν ἀλλ᾽ ἔμειναν καί τινα τῆς ἑρμηνείας ἐκείνης ἀπόγραφα εἰς χεῖρας ἰδιωτῶν. Καὶ ταύτην ὁ Φίλων τὴν ἑρμηνείαν ἀναγνοὺς, ἀνεκήρυξε τὴν θαυμασίαν αὐτῆς πρὸς τὸ πρωτότυπον συμφωνίαν. Αὐτὸς δὲ ὅμως ὁ Φίλων ἐν τοῖς συγγράμμασι μετεχειρίζετο τὴν δευτέραν, ὡς κοινοτέραν. Κατὰ δὲ τὴν ἐν Ἀλεξανδρείᾳ κατασκευασθεῖσαν ὑπὸ τῆς Κλεοπάτρας βιβλιοθήκην ἀπεθησαυρίσθη καὶ ταύτης τῆς δευτέρας ἑρμηνείας ἀπόγραφον, ὑπό τινος ἐμπείρου τῆς ἑβραϊκῆς γλώσσης διασκευασθὲν, καὶ ἐν πολλοῖς τόποις διορθωθὲν (ὡς λέγομεν ἐφεξῆς). Καὶ τοῦτο διετηρεῖτο ἐν τῇ βιβλιοθήκῃ μέχρι καὶ τῶν Ἰωάννου τοῦ Χρυσοστόμου χρόνων (ὅστις αὐτοῦ μνημονεύει). Ἐκ τούτου καὶ Ὠριγένης λαβὼν ἐγκατέταξεν ἐν τοῖς Ἑξαπλοῖς τὴν ἑρμηνείαν τῶν Ο, διαφέρουσαν τῆς *Κοινῆς*, καθὸ καθαρωτέραν καὶ πρὸς τὸ κείμενον πλησιεστέραν. Ἐκείνην τὴν τῆς Κλεοπάτρας βιβλιοθήκην ἐπικοσμῶν καὶ Ἡρώδης ὁ βασιλεὺς, ἀπέστειλε τὰς ἱερὰς βίβλους τῆς Γραφῆς ἑβραϊστὶ γεγραμμένας, ἅμα δὲ καὶ τὰς τῆς κοινῆς ἑρμηνείας (ᾗπερ ἐχρῶντο καὶ οἱ ἐν Συρίᾳ καὶ Παλαιστίνῃ ἑλληνισταὶ) κατὰ τὸ προῤῥηθὲν χειρόγραφον, ὡς συμπεραίνεται ἐκ τῆς Ἰου-

στίνου, β, Ἀπολογίας. Ὅστις ὅμως, κατὰ παράδοξον ἀβλεψίαν, συνέχεε τὴν ἱστορίαν τῆς Πτολεμαίου τοῦ Φιλαδέλφου, καὶ τῆς ἐπὶ Κλεοπάτρας βιβλιοθήκης ». Ταῦτα ὁ Ὑσσέριος (α). Ἀλλ' ἐγὼ (λέγει Ὅδιος) οὐδέποτ' ἂν ἀποδεξαίμην, οὔτε ὅτι καὶ δεύτερον ἡ Πεντάτευχος ἡρμηνεύθη ἐπὶ τοῦ Φιλομήτορος, οὔτε ὅτι ὁ Ἰουστῖνος

(α) Usser. Syntagm. de edit. LXX. interpr. cap. 1. et 3. pag. 9—30. [Σοφώτατος καὶ περικλεὴς ὁ Ὑσσέριος· ἀλλὰ καὶ ὁ ὄνειρος μακρὸς καὶ χειμερινός! Ὁποῖαι παραδοξολογίαι! Οἱ Ο, μετέφρασαν μόνην τὴν Πεντάτευχον, καὶ ταύτης τὴν ἀκριβεστάτην καὶ περίφημον ἑρμηνείαν ἠγνόουν, ἢ παρέβλεπον οἱ τότε ἑλληνίζοντες Ἰουδαῖοι. Ἄλλη δέ τις γίνεται σεσυρμένη καὶ μὴ ἀκριβὴς ἑρμηνεία παρά τινος ἰδιώτου (ἀνωνύμου), εἰδότος ὅμως τὴν λανθάνουσαν τῆς Πεντατεύχου ἑρμηνείαν, ὑφ' ἧς καθωδηγεῖτο (ἀντιγράψαι δὲ ταύτην, ὡς εἶχεν, οὐκ ἤθελεν οὗτος, ἀλλ' ἔχαιρεν, ὡς ἔοικε, σφετεριζόμενος τὰ ἀλλότρια)· ἡ δὲ τοιαύτη ἑρμηνεία γέγονε χάριν τῆς περιεργίας τινων ἐθνικῶν (καὶ τούτων ἀνωνύμων). Καὶ ταύτην οἱ Ἰουδαῖοι παρέλαβον βίᾳ καὶ μόλις ἐπὶ τοῦ Φιλομήτορος, καὶ μάλιστα παρὰ βεβήλων ἱερέων, καὶ τοῦ δυσσεβήσαντος Ὀνίου. Ταύτην εἶχον καὶ οἱ Ἀπόστολοι πάντως (ὡς ταύτῃ χρησάμενοι), καὶ πάντες οἱ δι' αὐτῶν πιστεύσαντες Ἕλληνες καὶ ἄλλοι τῶν ἐθνικῶν. Ἡ δὲ γνησία τῶν Ο, ἑρμηνεία κατεκάη· ἀπόγραφον δὲ ταύτης οὐδὲν ἐσώθη ἐν ταῖς Συναγωγαῖς, εἰμὴ παρ' ἰδιώταις. Εἶχε δὲ καὶ Φίλων· ἀλλ' ὅμως ἐν τοῖς φιλοσόφοις αὐτοῦ συγγραφαῖς παρέβλεπε μὲν ταύτην (ἧς ἀνεκήρυττε τὴν ἀκρίβειαν), ἐχρῆτο δὲ τῇ κοινῇ καὶ ἐσφαλμένῃ. (Καὶ Ἰώσηπος ὡσαύτως, καὶ αὐτὸς ἴσως, ὁ ἐπὶ τοῦ Φιλομήτορος Ἀριστόβουλος μετὰ τοῦ Σειραχίδου). Ἀλλά, τέλος, διορθοῦται καὶ αὕτη ἐν πολλοῖς χωρίοις ἡ ἐσφαλμένη, καὶ ἀποτίθεται ταύτης ἀντίγραφον ἐν τῇ βιβλιοθήκῃ τῆς Κλεοπάτρας, ἀποσταλὲν ὑπὸ τοῦ Ἡρώδου (!), καθὼς λέγει ὁ Ἰουστῖνος (!) Ἐκ τούτου δὲ ὅμως τοῦ διωρθωμένου χειρογράφου οὐ διορθοῦται καὶ ἡ κοινὴ ἑρμηνεία· μένει δὲ αὕτη πάλιν πλήρης σφαλμάτων. Ἐντεῦθεν καὶ κατὰ τοὺς Ὠριγένους χρόνους διέφερεν ἡ Κοινὴ τῆς ἐν τοῖς Ἑξαπλοῖς διωρθωμένης. Περὶ τούτων δὲ πάντων οὐδὲν ἄρα ᾔδεισαν οὔτ' αὐτὸς ὁ τοσαῦτα περὶ τοὺς Ο πονήσας Ὠριγένης, οὔθ' οἱ πρὸ τούτου πάντες, Κλήμης, Εἰρηναῖος, Ἰουστῖνος αὐτὸς (ὀρθῶς ἀναγινωσκόμενος)· ἀλλ' οὐδ' αὐτὸς Ἱερώνυμος· ὅστις ἐνίοτε καὶ γογγύσας ἐπί τισι χωρίοις τῶν Ο, ἀλλ' ὅμως οὐδ' οὗτος ἠπίστατο, ὅτι ἄλλην τῆς τῶν Ο διάφορον ἀνεγίνωσκεν ἑλληνικὴν ἑρμηνείαν τῶν Γραφῶν! Ἀλλόκοτα φαντάσματα, καὶ πάντῃ τῆς Ὑσσερίου σοφίας ἀνάξια· Καὶ ὅμως καὶ ἐν τούτοις ὁ ἀνὴρ ἐφάνη τῶν Ὀδιακῶν ὁπωσοῦν μετριώτερος. Δέχεται μὲν γὰρ καὶ τὴν ἱστορίαν τῶν Ο, ὁμολογεῖ δὲ καὶ τὴν ὅλην τῶν βιβλίων τῆς γραφῆς ἑρμηνείαν πρὸ Χριστοῦ γεγενημένην, (ὅπως ἄν, καὶ οἵαν, καὶ ὁπότ' ἂν λέγῃ, ὅτι ἐγένετο). - Τὰ δ' ἄλλα πέπονθε καὶ ὁ κλεινὸς Ὑσσέριος ὅ,τι πάσχουσι πάντες οἱ μεταίροντες ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες ». Σημ. ἡμετ.].

ἠπατήθη δι᾿ ἄλλην αἰτίαν, εἰ μὴ διὰ μνήμης ἁμαρτίαν (!). Ἐρνέστης δὲ ὁ Γράβιος ὑπέλαβεν, ὅτι οὐδ᾿ ἔγραψεν ὅλως ὁ Ἰουστῖνος « *τῷ τότε βασιλεύοντι Ἡρώδῃ* » (καθὼς ἐν ταῖς ἐκδόσεσι φέρεται. Ἀπολογ. β), ἀλλά, « *τῷ τότε βασιλεύοντι ἱερεῖ* »· καὶ πάλιν, « ὁ *βασιλεύων ἱερεὺς* » (ἀντὶ ὁ βασιλεὺς *Ἡρώδης*). Οὕτω καὶ Φίλων (οὗτινος τὸ χωρίον καὶ αὐτὸς Ἰουστῖνος ἐν τῷ Παραινετικῷ μνημονεύει) ῥητῶς ἔγραψεν, ὅτι (πρέσβεις ἐξέπεμψεν ὁ Φιλάδελφος) « πρὸς τὸν τῆς Ἰουδαίας *ἀρχιερέα καὶ βασιλέα*, ὁ γὰρ αὐτὸς ἦν » (Φίλ. βίῳ Μωσ. τόμ. β. σελ. 139. Μ.). Καὶ Ἰώσηπος ὡσαύτως ἱστόρησεν (Ἀρχ. ια, δ), ὅτι οἱ ἀρχιερεῖς προειστήκεισαν καὶ τῶν πραγμάτων (τῆς πολιτείας). Ἀντιγραφεύς δέ τις τῆς Ἰουστίνου συγγραφῆς, ἄπειρος καὶ ἀμαθὴς τῆς Ἰουδαϊκῆς πολιτείας, ἐξέλαβε τὸ *ἱερεῖ* καὶ *ἱερεὺς* ὡς κύριον ὄνομα, καὶ διεφθαρμένον, ἢ καὶ στενογραφικώτερον γεγραμμένον ὑπονοήσας, μετεποίησεν εἰς τὸ *Ἡρώδῃ* καὶ *Ἡρώδης* ». Ταῦτα ὁ Γράβιος (α).

(α) Grab. not. ad Iustin. Martyr. Apolog. — [Ὀρθῶς ὁ κλεινὸς Γράβιος· ὁ δὲ σοφὸς Κλέρικος τούτων ἄρα μηδὲν εἰδὼς κατέκρινε τὸν θεῖον Ἰουστῖνον, καὶ ὡς ἐξαίσιον ἁμάρτημα πράξαντα περὶ τὴν χρονολογίαν ἐξ ἀμαθείας (Cleric. Art. Crit. vol. I. p. 15.). Οὕτω καὶ πρὸ τοῦ Κλερίκου ὁ Σκαλίγηρος (εἰς Εὐσεβ. Χρον. σελ. 132), ᾧ συνήνεσε καὶ Μοντεφαλκώνιος (Proleg. εἰς Ἑξαπλ. κεφ. γ. 4), καὶ Καλμέτης (Diction. de la Bible, Tom. 3. p. 532). Ἀλλὰ πολὺ παραδοξότερος ἐφάνη ὁ Ῥεϊνάρδος, ὅστις πλέον ἢ 70 ἔτη καὶ μετὰ τὸν Γράβιον καὶ μετὰ τὸν Ὅδιον γενόμενος, ἔκρινε καὶ οὗτος τὸν Ἰουστῖνον πάσης ἀκοῆς ἀνάξιον! διότι εἶπε τῷ βασιλεύοντι Ἡρώδῃ! (Reinhart. de Vers. Alex. Autorit. etc. pag. XII)· καὶ τοιαῦτα μὲν οὗτοι. Ὁ δ᾿ ἐκδότης τοῦ Ἰουστίνου Θαλεμὰν (Thaleman), καὶ μετ᾿ αὐτοῦ ὁ Μύκκης (Mücke de Orig. vers. LXX. p. 40) ἀθῳοῦντες τοῦ παραχρονισμοῦ τὸν Ἰουστῖνον, ἐθεώρησαν τὸ Ἡρώδῃ, παρεισρυὲν εἰς τὸ κείμενον ἐκ τοῦ περισελίδου, ὅπου τις τῶν ἀμαθεστέρων, ἀγνοῶν τὸν Βασιλέα, προσέγραψεν ὡς ἐπεξήγησιν τὸ Ἡρώδην. Ἀλλὰ πολὺ τῆς τούτων γνώμης ὀρθοτέρα ἡ τοῦ Γραβίου διόρθωσις. Τοῦ δὲ Γραβίου πάλιν πλησιέστερος πρὸς τὴν ἀλήθειαν ὁ κλεινὸς ἐφάνη Μαγγεὺς, ὅστις καὶ τὸ ἱερεῖ καὶ ἱερεὺς διορθοῖ εἰς τὸ ἀρχιερεῖ καὶ ἀρχιερεὺς (Mang. not. εἰς Φίλ. περὶ ἀρετῶν σελ. 586. τόμ. β.). αὐτὸ γὰρ τὸ τοῦ Φίλωνος ἀνωτέρω χωρίον (« ἀρχιερέα καὶ βασιλέα ») εἶχε πάντως πρὸ ὀφθαλμῶν ὁ μακάριος Ἰουστῖνος, ἐν ᾧ ἔγραφε « τῷ τότε βασιλεύοντι ἀρχιερεῖ » κτλ. Λέγει δὲ καὶ πάλιν ὁ Φίλων (αὐτ. σελ. 586)

Τὴν δὲ τοῦ Ὑσσερίου ἀστήρικτον γνώμην (ἥν τινες καὶ ἄλλοι ἀπεδέξαντο) μετὰ πολλῆς τῆς κρίσεως ἀνεσκεύασαν Οὐαλέσιος καὶ Οὐόσσιος καὶ Βαΐλλιος, καίτοι μὴ ἐξακριβώσαντες ἔν τισι τὴν Ὑσσερίου διάνοιαν (α).

§. ιε. Ἄλλοι δέ τινες, ὡς προείπομεν, ἐγνωμάτευσαν, ὅτι οἱ λεγόμενοι Ο πρῶτον ἡρμήνευσαν τὴν Πεντάτευχον· ἔπειτα δὲ, πρὶν ἐξ Αἰγύπτου ἀναχωρήσωσιν, ἢ καὶ δεύτερον ἐξ Ἱεροσολύμων ἐπανελθόντες, ἐξελλήνισαν οἱ αὐτοὶ καὶ τὰ λοιπὰ βιβλία τῆς Γραφῆς. Τῆς αὐτῆς ἔχεται γνώμης καὶ Οὐαλέσιος· ἀλλ᾽ ὅμως οὐδ᾽ ἀρνήσασθαι πάλιν ἐτόλμησεν, ὅτι τὰ λοιπὰ (πλὴν τῆς Πεντατεύχου) βιβλία τῆς Γραφῆς ἠδύναντο καὶ ὑπ᾽ ἄλλων τινων Ἀλεξανδρινῶν Ἰουδαίων ἑρμηνευθῆναι. Προστίθησι δὲ καὶ ὅτι, «Παντάπασιν ἀπίθανον εὑρίσκει τὴν γνώμην, ὅτι δῆθεν οἱ Ἰουδαῖοι ἀπὸ τῶν Φιλαδέλφου μέχρι τῶν Φιλομήτορος χρόνων ἐστεροῦντο ἑλλη-

---

« πάππων καὶ προγόνων β α σ ι λ έ ω ν ἔλαχον, ὧν οἱ πλείους ἐλέγοντο ἀ ρ χ ι ε ρ ε ῖ ς » κτλ. Τὸ δὲ β α σ ι λ ε ὺ ς, ὡς ἐπὶ τοῦ Ἡρώδου (ὅστις ἦν τετράρχης), οὕτω καὶ ἐπὶ τοῦ ἀρχιερέως πλατυκώτερον κατ᾽ ἀρχὰς ἐκδεκτέον, ἀντὶ ἄρχων, ἡγεμὼν, « ὡς ἔξαρχος τῶν ἱερέων καὶ ἡγεμὼν, (Φίλ. σελ. 367) καὶ ἐπόπτης καὶ πρόεδρος τῶν κρίσεων». (οἱ γὰρ ἱερεῖς ἦσαν καὶ κριταί, Δευτ. κα, 5: Ἰεζ. μδ, 24), μετὰ δὲ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον, καὶ πάσης τῆς πολιτείας ἡγεμονεύων. « Μετὰ γὰρ Ζοροβάβελ οὐκ ἦρξεν ἄλλος ἐξ Ἰούδα· ἀλλ᾽ οἱ ἀρχιερεῖς ἡγεμόνευον » — Οἱ γὰρ Ἰουδαῖοι τῇ τῶν Μακεδόνων ἀρχῇ — ἐτέλουν ὑπόφοροι —, ἀντὶ βασιλέων ὑπὸ τῶν ἀρχιερέων διεπόμενοι τὰ πολλὰ μετ᾽ εἰρήνης» (Ἀφρικανὸς παρὰ Συγκέλ. σελ. 468 καὶ σελ. 526. Bon.). Μετὰ δὲ τὰ Μακκαβαϊκὰ καὶ ῥητῶς βασιλεῖς οἱ ἀρχιερεῖς ὠνομάσθησαν «Ἀριστοβούλου πρώτου τὸ διάδημα ἑαυτῷ περιθεμένου » (Ἰωσηπ. Ἀρχ. ΙΓ. ια. πρβλ. Εὐσεβ. Ἐκκλ. ἱστορ. α, 6). βλ. καὶ ὄπισθ. σελ. 192. Σημ. ἡμετ.].

(α) Vales. epist. de LXX. — Is. Voss. de LXX. — Rob. Baillius de Chronolog. - [Πόσον ἀκριβῶς καὶ τὴν διάνοιαν τοῦ Ὑσσερίου κατενόησε καὶ τὴν πλάνην ἐξήλεγξεν ὁ Οὐαλέσιος, φαίνεται ἐν τῇ πρὸς αὐτὸν τὸν Ὑσσέριον σοφῇ αὐτοῦ ἐπιστολῇ, ἣν ἐξέδωκεν ἐν τῷ τέλει τῆς Εὐσεβίου ἱστορίας (Historiae Ecclesiasticae Scriptores Graeci T. 1. ad calcem p. 16. ect.). Ὡσαύτως καὶ ὁ κλεινὸς Οὐόσσιος. Πρόσθες καὶ Βάλτωνα (Proleg. IX. 18), καὶ Λουδ. τὸν Καπέλλιον (Appendic. Crit. Sacr.), καὶ τὸν Φαβρίκιον (Biblioth. Gr. vol. 3. p. 671 Harl.), καὶ τὸν Μύκκην (Mücke l. c. p. 67), καὶ τὸν καθ᾽ ἡμᾶς ἀρχιραββῖνον Φράγκελον (l. c. p. 21)· ὅστις καὶ αὐτὸς ψέγει τὸ ἀπίθανον τοῦ Ὑσσεριακοῦ πλάσματος, ὀρθῶς συλλογιζόμενος, ὡς ὤφειλε καὶ ἐν τοῖς καθ᾽ ἑαυτόν ! Σημ. ἡμετ. ]

νικῆς τῶν προφητικῶν τευχῶν ἑρμηνείας. Οἱ γὰρ Ἀλεξανδρεῖς Ἰουδαῖοι ἀπὸ τῶν Φιλαδέλφου χρόνων καὶ ἐφεξῆς, οὐκ ἄλλως, εἰμὴ ἑλληνιστὶ τὰς ἱερὰς βίβλους ἐν ταῖς Συναγωγαῖς ἀνεγίνωσκον ». — Ἀλλ' ἠγνόει ἄρα ὁ σοφὸς ἀνὴρ ὅτι μέχρι τοῦ Φιλομήτορος μόνας τὰς Μωσαϊκὰς βίβλους ἀνεγίνωσκον ἐν ταῖς συναγωγαῖς (!).

§. ιϛ. Ὁ δὲ Λιχθόφωτος (α) φαίνεταί πως ἀμφιβάλλων, εἴγε καὶ ἡρμήνευσαν ὅλως οἱ Ο λεγόμενοι καὶ τὴν Πεντάτευχον αὐτήν· ὑφορᾶται δὲ, μή ποτε μόνον ἀπόγραφον ἐκ τοῦ ἑβραϊκοῦ κώδηκος μετέγραψαν καὶ προσήνεγκαν Πτολεμαίῳ τῷ Φιλαδέλφῳ. Τοῦτο δὲ φρονοῦντας καὶ τοὺς Ταλμουδικοὺς αὐτοὺς ἀποδεῖξαι πειρᾶται ἐκ τῶν ιγ, ἐκείνων χωρίων τῆς Γραφῆς, ἅπερ οὗτοι λέγουσιν ὅτι διέστρεψαν δῆθεν οἱ Ο, οὐχὶ περὶ τὴν ἑρμηνείαν ῥᾳδιουργήσαντες, ἀλλ' εἰς αὐτὴν τῶν ἑβραϊκῶν λέξεων τὴν μεταγραφήν (β). Ἀλλ' ὅμως

---

(α) Lightfoot, Hebr. et Talmudic. exerc. in I. Cor. c. 7, 8 et. c. II.

(β) Οἱ Ταλμουδικοὶ (ἐν τῷ Ταλμουδίῳ, Τμήμ. Megilla, φύλλ. 9. 1) σημειοῦσι ιγ, χωρία τῆς Πεντατεύχου, ὡς ἐξεπίτηδες ὑπὸ τῶν Ο, κατ' ἄλλην ἔννοιαν, ἢ ὡς ἔχουσιν ἐν τῷ ἑβραϊκῷ, μεταφρασθέντα. Ταῦτα δὲ πάντα (πλὴν τεσσάρων) ὅτι ὡσαύτως ἔχουσι καὶ ἐν τῷ ἑβραϊκῷ, δῆλον καὶ ἐξ ἁπλῆς ὄψεως. Παρατιθέμεθα δὲ καὶ ταῦτα, χάριν τῶν πρωτοπείρων ἀναγνωστῶν, ὅπως ἴδωσι καὶ ἐξ αὐτῶν μέχρι πόσης ἀναιδείας προῆλθεν ἡ Ῥαββινικὴ ψευδοποιΐα. (1) Λέγουσιν· ἐν Γενέσ. α, 1, οἱ Ο, ἔγραψαν « Ὁ Θεὸς ἐποίησεν ἐν ἀρχῇ » καὶ οὐχ ὡς ἔχει τὸ ἑβραϊκὸν, « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός »! — (2) Ἐν Γενέσ. α, 26, ἔγραψαν « Ποιήσω », καὶ οὐχὶ « ποιήσωμεν ἄνθρωπον »! — (3) Γενέσ. β, 2, ἔγραψαν « Συνετέλεσεν ὁ Θεὸς ἐν ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ », καὶ οὐχ ὡς ἔχει τὸ ἑβραϊκὸν, « τῇ ἑβδόμῃ » (περὶ τούτου βλ. ἐφεξῆς κεφ. ια. §. β.). — (4) Γενέσ. ια, 7, ἔγραψαν, Καταβῶ, καὶ οὐ κατὰ τὸ ἑβρ. « Δεῦτε καταβῶμεν » ! — (5) Γενέσ. ιη, 12, ἔγραψαν, « Ἐγέλασε Σάῤῥα μετὰ τῶν πλησίον αὐτῆς », καὶ οὐ κατὰ τὸ ἑβραϊκ. « ἐγέλασεν — ἐν ἑαυτῇ » ! — (6) Γενέσ. μθ, 6, « Ἀπέκτειναν ταῦρον », καὶ οὐχ ὡς τὸ ἑβραϊκ. « Ὑπέσκαψαν τοῖχον » (βλ. ἐφεξῆς κεφ. ια. §. β.) — (7) Ἐξόδ. δ, 20: ἔγραψαν « ἐπὶ τὸ φέρον τοὺς υἱοὺς τῶν ἀνθρώπων » ! καὶ οὐχ ὡς τὸ ἑβρ. « Ἐπὶ ὄνον » ! (ἀλλ' οἱ Ο, ἔγραψαν ἐπὶ τὰ ὑποζύγια = κτήνη) — (8) Ἐξόδ. ιβ, 40, ἔγραψαν « (Ἡ δὲ κατοίκησις τῶν υἱῶν Ἰσραὴλ) ἣν κατῴκησαν ἐν γῇ Αἰγύπτῳ καὶ ἐν ταῖς λοιπαῖς γαίαις » (οἱ Ο, ἔχουσιν ἐν γῇ Χαναὰν) « ἔτη 430 »· τὸ δὲ ἑβρ. ἔχει, « ἣν κατῴκησαν ἐν Αἰγύπτῳ, ἔτη 430 » (βλ. ἐφεξ. βιβλ. Γ.) — (9) Ἐξόδ. κδ. 11 ἔγραψαν « Καὶ τῶν ἐλαχίστων τῶν υἱῶν Ἰσραήλ », καὶ οὐχ ὡς τὸ ἑβραϊκ. « καὶ τῶν ἡγεμόνων » (ἀλλ' οἱ Ο, ἔχουσι καὶ τῶν ἐπιλέκτων = ἐκλεκτῶν, ἡγουμένων)-

ἡ γνώμη αὕτη τοῦ Λιχθοφώτου δείκνυται παντάπασι ματαία καὶ φληναφώδης. Περὶ ἑλληνικῆς τοῦ νόμου ἑρμηνείας, οὐχὶ περὶ

---

(10) Λευϊτ. ια, 5, τὸ ἑβραϊκ. ἔχει λαγὼν (arnebeth), καὶ οἱ Ο, ἔγραψαν βραχύπουν, ἢ τοὺς πόδας βραχὺν» (τὸ τῶν Ο, δασύπουν!) «διότι ἡ σύζυγος τοῦ βασιλέως ὠνομάζετο Λαγὸς, ὅθεν καὶ παρεσιώπησαν τὴν λέξιν, μὴ δόξωσιν ἐμπαίζειν τῇ βασιλίσσῃ, καταλέγοντες αὐτῆς τὸ ὄνομα μεταξὺ τῶν ἀκαθάρτων ζώων»! (Οὕτως ἠγνόουν οἱ παχύδερμοι Ῥαββεῖς καὶ τὴν κοινὴν σημασίαν τοῦ δασύποδος, καὶ τὴν ἰδίαν αὐτοῦ πρὸς τὸ λαγὼς συνωνυμίαν, καὶ τῆς βασιλίσσης τὴν ὀνομασίαν, ἐπιβάλλοντες εἰς αὐτὴν τὴν ἐπωνυμίαν τοῦ Λάγου, πάππου τοῦ Φιλαδέλφου). — (11) Ἀριθμ. ις, 15. οἱ Ο, ἔγραψαν «Οὐδὲ ἐπιθύμημα οὐδενὸς αὐτῶν εἴληφα», καὶ οὐχ ὡς τὸ ἑβραϊκ. «οὐδ' ὄνον παρ' αὐτῶν εἴληφα» (βλ. ἐφεξῆς βιβλ. Γ) — (12) Δευτερ. δ, 49 οἱ Ο, προσέθηκαν «ἵνα φωτίζωσι πάντας τοὺς λαούς»· ἀλλὰ τοῦτο λείπει ἐκ τοῦ ἑβραϊκοῦ». (οὐδὲ παρὰ τοῖς Ο, κεῖται τοιουτῶδες οὐδέν) — (13) Δευτερ. ιζ, 3: οἱ Ο, παρέλιπον τὰ ἐφεξῆς, ἅπερ ἔχει τὸ ἑβραϊκόν· «Προσκυνήσουσιν αὐτοῖς, καὶ λατρεύσουσι τῷ ἡλίῳ, καὶ πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ» (Καὶ τοῦτο ψεῦδος· κεῖται γὰρ τὸ χωρίον καὶ παρὰ τοῖς Ο). Ταῦτά εἰσι τὰ ιγ, χωρία, ἅπερ ἔπλασεν ὁ ῥαββινικὸς ἐγκέφαλος, ὡς δῆθεν μεταβολὰς τοῦ κειμένου ἐξεπίτηδες ὑπὸ τῶν Ο γενομένας, χάριν τῆς πρὸς ἐθνικὸν βασιλέα οἰκονομίας· καὶ ἀποδίδουσιν οἱ Ταλμουδικοὶ καὶ τοὺς λόγους τῆς μεταβολῆς, οὐ χείρονας τοῦ περὶ τοῦ Λάγου καὶ λαγοῦ! Ἔγραψε δὲ τὰ χωρία καὶ Βάλτων (Proleg. c IX, §. 16. pag. 377), καὶ Καρτόβριχθος (Cartwrigth. Mellific. Hebr. L. IV. c. 3, μετά τινων διαφορῶν), καὶ Carpzovius Crit. Sac. p. 519. καὶ Hotting. Thes. phil. pag. 328, καὶ εἴ τις ἕτερος. Ταῦτα τοίνυν ὁ Λιχθόφωτος ὑπέλαβεν ὅτι μετέστρεψαν οἱ Ο, οὐ μεταφράζοντες, ἀλλ' ἀντιγράφοντες τὸ ἑβραϊκὸν κείμενον, ὃ προσήνεγκαν Φιλαδέλφῳ. Ταῦτα καὶ ὁ Τύξην ἐπανέλαβεν, ἀποδεικνὺς καὶ οὗτος ἐξ αὐτῶν, τὴν καθ' ἑαυτὸν ὑπόθεσιν (περὶ ἧς ἐφεξῆς §. λα). Μνημονεύει τῶν χωρίων καὶ ὁ Ῥαββὶς ὁ Φράγκελος (l. c p. 25—32) ἁπλῶς καὶ ὡς ἐν παρέργῳ· διατείνεται δὲ καὶ οὗτος ὅτι αἱ μεταβολαὶ γεγόνασιν ἐν τῷ ἑβραϊκῷ κειμένῳ, ὅπερ ὅ,τε Πτολεμαῖος ἐζήτησεν εἰς πλουτισμὸν τῆς βιβλιοθήκης, καὶ οἱ σοφοὶ (ἑβραῖοι) παρέδωκαν. Οὕτως ὁ Ῥαββὶς εὑρίσκει γεγραμμένον ἐν τῷ Ἱεροσολυμιτικῷ Ταλμουδίῳ, ὅπερ θεωρεῖ μετὰ τῆς Μελχίτας ὡς ἀνοθεύτους Παλαιστινὰς πηγὰς τῶν περὶ τῆς ἑρμηνείας τῶν Γραφῶν ἰουδαϊκῶν φρονημάτων. Τὸ δὲ Βαβυλωνικὸν Ταλμούδιον κατακρίνει ὡς παρέμβυστον· διότι τοῦτο περιέχει καὶ τοὺς 72 γέροντας, καὶ τὸν τούτων ὑπὸ θεοῦ φωτισμὸν εἰς τὴν ἑρμηνείαν, καὶ τὰ δωμάτια, καὶ πάσας τὰς τῆς ἱστορίας περιστάσεις. Ποῖος δέ τις (Ῥαββῖνος πάντως) ὁ ταύτας εἴτ' ἐν τῷ Βαβυλωνικῷ (καθὼς θέλει) ῥαδιουργήσας, εἴτε τυχὸν ἀποκόψας ἐκ τοῦ Ἱεροσολυμιτικοῦ, περὶ τούτου οὐδὲν ἔκρινεν ὁ Ῥαββίς. Εὑρίσκει δὲ καί τινας περὶ τὸν ἀριθμὸν διαφορὰς τῶν ἀνωτέρω χωρίων, ἐν μὲν τῷ Ἱεροσολυμιτικῷ Ταλμούδῳ 13 γραφομένων, ἐν δὲ τῷ Βαβυλωνίῳ 15! Καὶ πῶς καὶ πειρᾶται δικαιοῦν τινας τῶν παρὰ τοῖς Ῥαββίνοις φερομένων λόγων ἐπὶ τῶν σεσημειωμένων ἀνυπάρκτων μεταβολῶν! Οὕτως ὁ κριτικὸς Ἰουδαῖος, σεμνὸς καὶ βρενθυόμενος, ἀναφέρει καὶ τὰς μετὰ τὴν

ἀντιγραφῆς τοῦ ἑβραίου κώδηκος οἱ Ταλμουδικοὶ προφανέστατα ποιοῦνται τὸν λόγον. Περὶ δὲ τῆς ἐπὶ Φιλαδέλφου μεταφράσεως τῆς Πεντατεύχου (εἴπερ καὶ ἐγένετο, λέγει, κατ᾽ ἀλήθειαν), ταῦτα πιστεύειν ὁ Λιχθόφωτος ὁμολογεῖ. Ἐπειδή (φησι) μέγα πλῆθος Ἰουδαίων κατῴκει τὴν Αἴγυπτον, ἠθέλησεν ὁ βασιλεὺς ἐξερευνῆσαι καὶ ἐπιγνῶναι τὰ κατ᾽ αὐτοὺς νόμιμα καὶ θρησκευτικὰ καθεστῶτα, εἴπερ ὅλα συμφωνοῦσι καὶ συμπνέουσι πρὸς εἰρήνην καὶ ἀσφάλειαν τοῦ βασιλείου· καὶ διὰ ταῦτα τὸν νόμον αὐτῶν εἰς τὴν ἑλλάδα γλῶσσαν ἐκέλευσε μεταβαλεῖν. Ἡ ἑρμηνεία ἀνετέθη εἰς 5, πρεσβυτέρους· διαπερανθεῖσα δὲ παρεδόθη εἰς χεῖρας οβ, ἑτέρων πρεσβυτέρων πρὸς ἀνάκρισιν, μήτοι δολίως καὶ κακῇ τῇ πίστει ἐξετελέσθη ». Περὶ δὲ τῶν λοιπῶν βιβλίων τῆς Γραφῆς ἀποφαίνεται οὕτω· « Πολλαχοῦ τῶν τῆς οἰκουμένης χωρῶν κατὰ μῆκος καὶ πλάτος διεσπαρμένων τῶν Ἰουδαίων, τὸ μέγα τῶν Ἱεροσολύμων Συνέδριον φοβηθὲν, μήπως ὑπονοήσωσιν οἱ, ὑφ᾽ οἷς διῆγον, ἐθνικοὶ ἡγεμόνες, ὅτι ἐν ταῖς ἱεραῖς αὐτῶν βίβλοις ἐμπεριείχοντο καί τινα πολέμια πρὸς τὴν πολιτικὴν τῶν ἐπαρχιῶν εὐστάθειαν καὶ εἰρήνην, μεθηρμήνευσαν ἑλληνιστὶ πάντα τὰ (μετὰ τὴν Πεντάτευχον) ὑπόλοιπα τεύχη τῆς Γραφῆς. Ἀσμένως δὲ τὴν φροντίδα ταύτην ἀνέλαβον οἱ πρεσβύτεροι τοῦ Συνεδρίου, μή ποτε, τυχὸν, ὑπ᾽ ἄλλων τινων ἐκδοθῶσιν αἱ ἑρμηνεῖαι μὴ πεφυλαγμένως καὶ μεθ᾽ ὑποκρύψεως, ἀλλ᾽ ἀπαρακαλύπτως ἐκπεφρασμέναι, καὶ διαῤῥήδην ἐκπομπεύουσαι τὰ ἱερὰ μυστήρια εἰς τοὺς ἐθνικούς. Ὅθεν ὀλίγον αὐτοῖς ἐμέλησε περὶ τῆς ἀληθοῦς καὶ γνησίας ἑρμηνείας. Τοῦτο μόνον ἔβλεπον, ὅπως ἥτε δόξα τοῦ ἔθνους μὴ διαλυμανθῇ, καὶ τὰ μυστήρια μὴ παντάπασιν ἀνέδην ἐξαγορευθῶσι ». Τελευταῖον ὁ Λιχθόφωτος ἀποφαίνεται, ὅτι « μεταξὺ τῶν περιφερομένων ποικίλων

---

ἄλωσιν Παλαιστινὰς αὐτοῦ πηγὰς, ὡς δῆθεν ἀπόδειξιν τῶν πραγμάτων. Ὡς ἂν εἴπερ ἐφρόντιζεν ἡ ὑγιὴς κριτικὴ, εἴγε καὶ ὑπάρχουσιν ὅλως τοιαῦται ἰουδαϊκαὶ πηγαὶ (ἢ φρέατα συντετριμμένα) βρύουσαι, οὐχ ὕδωρ ἀληθείας ζῶν καὶ ἁλλόμενον, ἀλλὰ ψευδοσύνης ἀναιδεστάτης ἅμα καὶ παχυλῆς ἀμαθίας θολερὰν ἀνατροπὴν, ἐν οἷς πρὸς τὴν ἱστορικὴν ἀλήθειαν ἀντιλέγουσι.

ἀπογράφων τῆς ἑλληνικῆς ἑρμηνείας, μᾶλλον γνησιώτερα νομίζει, οὐχὶ τὰ μᾶλλον πρὸς τὴν ἑβραϊκὴν ἀλήθειαν πλησιάζοντα, ἀλλὰ τὰ μάλιστα προφαίνοντα τοιαύτας ὑποκρύψεις, ἢ πεφυλαγμένας ἐκφράσεις». —Ἡμεῖς δὲ (λέγει Ὄδιος) ταύτας τὰς εἰκασίας τοῦ σοφωτάτου Λιχθοφώτου παραλείπομεν εἰς τὴν κρίσιν τοῦ ἀναγνώστου, οὔτοι πάνυ προχείρως (ὡς νομίζομεν) τὴν ἰδίαν καταθησομένου ψῆφον εἰς ἔγκρισιν αὐτῶν (α).

*Ἀπαντῶμεν.*

§. ιζ. Α) Ὁ μῦθος τῆς ἐν ταῖς Συναγωγαῖς μετὰ τὸν Ἀντιόχου διωγμὸν εἰσαχθείσης ἀναγνώσεως τῶν Προφητῶν, μόνος ὁ λεπτόνους οὗτος μῦθος κατεβλήθη ὡς θεμέλιον ὅλων τῶν ἐν τῷ παρόντι κεφαλαίῳ θεωρημάτων (§. α). Ἐπειδὴ δ᾽ ἐκεῖνος ἐφάνη ἐν τοῖς ἔμπροσθεν (κεφ. ζ. §. κδ) «*καπνὸς αἰθέρα λακτίζων μάτην*», οἴχονται λοιπὸν καὶ τὰ ἐξ αὐτοῦ πορίσματα. Ταῦτα δὲ καὶ καθ᾽ ἑαυτὰ ἐξεταζόμενα, σαθρότατα ἐξελέγχονται.

§. ιη. Β) Πόθεν βέβαιον, ὅτι ἐπὶ τοῦ Φιλομήτορος ἡρμηνεύθησαν τὰ προφητικὰ βιβλία *καὶ ἄλλα τινά;* καὶ πόσα πάλιν ὡρισμένως ταῦτα τὰ *τινά;* (καλὸν τοῦ ψεύδους κρησφύγετον ἡ ἀοριστία!).

---

(α) Εὖγε ποιεῖς, Ὅδιε! πρῶτος αὐτὸς τετρυπημένην καὶ μέλαιναν ψῆφον τιθεὶς ἐφ᾽ ὧν ἐμνημόνευσας ἀνηκούστων τερατολογιῶν. Ὁ γὰρ ἐπὶ πολυμαθείᾳ περικλεέστατος Λιχθόφωτος οὐχ ὡς κριτικὸς διαλέγεται περὶ τῶν ἱερῶν, ἀλλ᾽ ὡς ἀγκυλομήτης καὶ μεγαλοπράγμων πολιτικὸς, εἰς ἀστυνομικάς τινας καὶ βαθυβούλους ἐρεύνας τῆς ἐπ᾽ εὐσταθείᾳ τῶν λαῶν ἐπαγρυπνούσης κοσμικῆς ἐξουσίας τὴν αἰτίαν τῆς ἑρμηνείας τῶν θείων λόγων ἀποδιδούς. Καὶ αὐτὸ δὲ τὸ μέγα Συνέδριον σφόδρα κακύποπτον καὶ κακόηθες διαγράφει, μετὰ πολλῆς καὶ αὐτόχρημα ἰουδαϊκῆς ἐντρεχείας προλαμβάνον τὴν ἐκπόμπευσιν τῶν ἑβραϊκῶν μυστηρίων, διὰ τῆς δολίας καὶ σκοτεινῆς αὐτῶν ἐκφράσεως (καίπερ ἄλλως «πάτριον ὂν τοῖς Ἰουδαίοις τὸ μηδὲν ἔχειν τῶν καλῶν ἀπόῤῥητον». Ἰώσηπ. Ἀρχ. προοίμ.). Ἔπειτα καὶ ἄλλως (οὐχ ὁρᾷς;), οἱ χρησμοὶ τῶν Προφητῶν, καὶ αὐτὸ δὲ τὸ ἱστορικὸν τῆς κοσμογονίας εἴς τε τὴν ἑβραϊκὴν γλῶσσαν ὑπῆρχον τοῖς πᾶσι καταληπτὰ καὶ περίτρανα, καὶ εἰς τὴν ἑλληνικὴν (εἴπερ ἐξεφράζοντο καθ᾽ ἣν λέγει ἑβραϊκὴν ἀλήθειαν) ἀπέβαινον ἂν ἀρίγνωτα τοῖς ἐθνικοῖς καὶ φανώτατα· ἔδοξαν δ᾽ ἂν, ἴσως, καὶ στασιαστικά! διὸ καὶ τὸ ἑβραϊκὸν ἔθνος ἔμελλε τὸν ἔσχατον κίνδυνον κινδυνεύσειν, οὕτως ἀποστατικὰ καὶ ἀπάνθρωπα θρησκεῦον, καὶ κατὰ τῆς Περσῶν, ἢ καὶ τῶν Μακεδόνων ἀρχῆς (ἧς ὑπήκοον ἦν) ῥᾴστην καὶ βαρεῖαν βυσσοδομεῦον τὴν ἐπίθεσιν! Ὢ λόγων σοφῶν! ὢ χρόνου καὶ χάρτου καὶ μέλανος καὶ ἐλαίου εἰς μάτην ἀναλωθέντων! Σημ. ἡμετ.

Εἰ μὲν γὰρ μετὰ τὴν Φιλομήτορος τελευτὴν ὑπῆρχον βεβαίως καὶ ταῦτα δὴ τὰ « *καί τινα* » μετὰ τῶν προφητικῶν ἡρμηνευμένα, τί μὴ προϋπῆρχον καὶ πρὸ τῆς ἀρχῆς, καὶ πρὸ τῆς γεννήσεως αὐτῆς τοῦ Φιλομήτορος; τίς τῶν ἀρχαίων ἠρνήσατο τοῦτο; τίνας δὲ καὶ πόθεν ὑμεῖς, ὦ σοφώτατοι, φέρετε τὰς ἐνδείξεις; Ὠκοδόμησαν οἱ περὶ τὸν Ὀνίαν τὸν ἐν Ἡλιουπόλει βέβηλον ἐκεῖνον καὶ ἄναον ναόν· καὶ τοῦτο σαφῶς καὶ οὐχ ἅπαξ ἱστόρησεν ὁ Ἰώσηπος, παρ' οὗ καὶ μόνου τὸ πρᾶγμα καὶ ὑμεῖς ἐμάθετε. Ἀλλὰ πόθεν ἔγνωτε καὶ ἣν ὅλως ἐκεῖνος ἠγνόει διὰ τοῦτο τάχα τὸ Ὀνεῖον γενομένην ἑρμηνείαν τῶν Προφητῶν; Ἢ πῶς ἂν ἠδύνατο τοιαῦτα λέγειν καὶ φρονεῖν ὁ Ἰώσηπος, ὅστις ἱστόρησε ῥητῶς ἐπὶ τοῦ Φιλαδέλφου ὑπὸ τῶν Ο, μεθερμηνευθέντα *τὸν νόμον καὶ τὰς βίβλους τῶν ἱερῶν Γραφῶν ;* Οὕτω διαῤῥήδην ὁ ἱστορικὸς ἐκεῖνος ἐξελέγχει τὰ ὑμέτερα φαντάσματα (βλ. ὄπισθ. σελ. 29). Ὑμεῖς δὲ, ὦ βέλτιστοι, οὔτε δίκαια, οὔτε ὅσια ποιεῖτε, τὴν ἄχραντον καὶ θεσπεσίαν τῶν προφητικῶν χρησμῶν ἑρμηνείαν, οὓς τὸ Πνεῦμα τὸ ἅγιον ἐπανέλαβε φθεγγόμενον διὰ τῶν Ἀποστόλων, ἀπονέμοντες εἰς ἑρμηνεῖς, οὐ μόνον ἀγνώστους καὶ ἀνωνύμους, ἀλλὰ καὶ συνενόχους τῆς Ὀνίου βδελυρίας, εἰς *οὕτινος τὴν κεφαλὴν* καὶ αὐτὸς ὁ Φιλομήτωρ μετὰ τῆς Κλεοπάτρας (εὐσεβέστερα κρίνοντες) *ἀνέθεσαν τὴν ἁμαρτίαν* τῆς ἀνομωτάτης ἐκείνου τοῦ βωμοῦ κατασκευῆς, ὡς ὁ αὐτὸς Ἰώσηπος ἱςορεῖ (Ἀρχ. ιγ, γ. §. β). Τὸ δὲ χείριστον, ὅτι καὶ καθ' ὑμῶν αὐτῶν ἀντιστρέφει τὸ ἐπιχείρημα. Καὶ γὰρ, α) ὁ Ὀνίας ἐν τῇ πρὸς τὸν Φιλομήτορα Πτολεμαῖον ἐπιστολῇ (δι' ἧς ἐξητεῖτο τὴν ἄδειαν τῆς κατασκευῆς τοῦ ναοῦ) μνημονεύει μὲν τὸν προφήτην Ἡσαΐαν, καθὸ γνωστὸν (ἐκ τῆς προφητικῆς αὐτοῦ βίβλου) τῷ Φιλομήτορι (μαθητῇ τοῦ Ἀριστοβούλου), γράφει δὲ καὶ τὸ ὄνομα τοῦ προφήτου, ὡς ἔγραψαν πρῶτοι οἱ Ο, *Ἡσαΐαν* (οὐχὶ ἑβραϊκῶς, *Ἰεσαΐα*). Ἐκφέρει δὲ καὶ αὐτὴν τοῦ προφήτου τὴν ῥῆσιν ἐκ τῶν Ο, ταυτὰ σχεδὸν μεταγράφων· « Καὶ γὰρ (λέγει) Ἡσαΐας ὁ προφήτης τοῦτο προεῖπε. « Ἔσται θυσιαστήριον ἐν Αἰγύπτῳ Κυρίῳ τῷ Θεῷ » (Οὕτω καὶ Ἡσαΐ. ΙΘ. 19 « Ἔσται θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ

Αἰγυπτίων ». Τὸ δ' ἑβραϊκὸν ἔχει *ἐν μέσῳ γῆς Αἰγύπτου*) (α). Καὶ αὐτὸς ὁ Πτολεμαῖος ἀπαντῶν πρὸς τὸν Ὀνίαν, φαίνεται λαλῶν περὶ τοῦ Ἡσαΐου ὡς ἤδη παρ' αὐτῷ γνωστοῦ ἐκ τῆς ἑρμηνείας· τὴν δὲ σημασίαν τῶν προφητικῶν λόγων εἰς Ὀνίαν ἀνατίθησι, λέγων· « Ἐπειδὴ δὲ σὺ φῂς Ἡσαΐαν τὸν προφήτην ἐκ πολλοῦ χρόνου τοῦτο προειρηκέναι » κτλ. Καὶ ἐξ αὐτῶν λοιπὸν τῶν κατὰ τὸν Ὀνίαν ἐξελέγχεται τὸ ὄνειρον τῶν ἐγρηγορότων Ὀδιακῶν (ϐ). – β) Ὁ θεῖος νόμος ἕνα μόνον τοῖς Ἰουδαίοις ναὸν διέταξεν ἔχειν (Δευτερ. ιϐ, 5-14). Ὅθεν οὐ μόνον ὁ Ἱεροσολυμίτης Ἰώσηπος ἔκραζεν· « *Εἷς ναὸς ἑνὸς*

---

(α) Δικαίως δ' ἄν τις θαυμάσοι καὶ τὸν περικλεῆ Βοχάρτον, ὅστις καὶ αὐτὸς ἐνόμισεν ἐπὶ τοῦ Ὀνίου τούτου τὰς γραφὰς ἐξελληνισθείσας, διὰ τοὺς ἐφεξῆς λόγους. Ὅτι « ἔν τισιν ἀπογράφοις Κλαυδίου Πτολεμαίου (τοῦ γεωγράφου) ἡ Ἡλίου μητρόπολις γράφεται Ὀ ν ί ο υ μητρόπολις· κατὰ δὲ τοὺς Αἰγυπτίους λέγεται Ὂν (ἢ Ὦν). Ταύτην δὲ καὶ ἡ ἑλληνικὴ ἑρμηνεία γράφει « Ἡ λ ί ο υ π ό λ ι ν » (Γενέσ. μα). Ὀ ν ί ο υ δὲ χώρα ἤρξατο λέγεσθαι ἀπὸ Ὀνίου τοῦ ἀρχιερέως, τοῦ ἐπὶ Φιλομήτορος καθιδρύσαντος τὸν ναὸν ἐν τῷ Ἡλιουπολίτῃ νομῷ (κατὰ τὴν Λεοντόπολιν). Ὅθεν συνάγεται, ὅτι ἡ ἑλληνικὴ τῶν Γραφῶν ἑρμηνεία ἐγένετο οὐχ ἐπὶ Φιλαδέλφου, ἀλλ' ἐπὶ τοῦ (κατὰ τὸν Φιλομήτορα) Ὀνίου, ἢ καὶ μετὰ τὸν Ὀνίαν » (Bochart. Hieroz. P. I. L. II. c. 18). Ἀλλ' ὁ σοφὸς Βοχάρτος ἔπαθεν ἐν τούτοις διπλοῦν παραλογισμόν· α) τὸ παρὰ τῷ γεωγράφῳ Πτολεμαίῳ Ὀ ν ί ο υ προφανῶς ἐστιν αὐτὸ τὸ Αἰγυπτιακὸν Ὦν (διὰ τοῦ Ω, μεγάλου, ὡς ἐν Ἐξόδ. α), καὶ κατὰ κλίσιν ἑλληνικὴν Ὤ ν ο υ (χάριν δὲ τοῦ μὴ γνωρίζοντος τὸ ω, ἐν τῷ λατινικῷ ἀλφαβήτῳ λατινιστοῦ, ἔστω καὶ Ὄ ν ο υ), τὸ αὐτὸ καὶ Ἡλίου πόλις (Ὦν = ἥλιος, Αἰγυπτιακ.). Οἱ δ' ἀντιγραφεῖς τοῦ Κλαυδιανοῦ ἀπογράφου ἀντὶ Ὤνου μετέγραψαν κατὰ λάθος Ὄνου, καὶ Ὀνίου πόλις. Ὥστε κακῶς συγχέεται τοῦτο πρὸς τὸ κύριον ὄνομα τοῦ ἀρχιερέως Ὀνίου· πρόσθες ὅτι καὶ Στράβων καὶ Διόδωρος καὶ Ἰώσηπος καὶ πάντες ἄλλοι ἀγνοοῦσι τὴν Ὀ ν ί ο υ ταύτην χώραν. β) Κἂν (ἐξ ὑποθέσεως) ἀπὸ τοῦ ἀρχιερέως ἐκληφθῇ παρωνομασμένη ἡ παρὰ τῷ Γεωγράφῳ Ὀνίου χώρα, τὸ δὲ παλαιότερον Ἡ λ ι ο ύ π ο λ ι ς καλουμένη, οἱ Ο, λοιπὸν ἡρμήνευσαν τὴν γραφὴν πολὺ πρὸ τοῦ Φιλομήτορος καὶ τοῦ κατ' αὐτὸν Ὀνίου, διότι τὸ Ὀ ν ί ο υ χ ώ ρ α παντάπασιν ἀγνοοῦσι· γράφουσι δὲ πανταχοῦ τὴν Ὦ ν, τοῦτ' αὐτὸ Ὦ ν, καὶ Ἡ λ ι ο ύ π ο λ ι ν, (Γενέσ. μα, 45; Ἐξόδ. α, 11: Ἰεζεκ. λ. 17). Βλ. καὶ Demagistr. I. pag. 352.

(ϐ) Ὁ δὲ Φράγκελος (l. c. p. 40) ὠνειρώξατο καὶ ῥαββινικώτερον· ὅτι δῆθεν, ἐπειδὴ κατὰ τὸν Ὀνίειον τοῦτον ναὸν ἐγίνοντο καὶ θρησκευτικαὶ μυήσεις καὶ τελεταί, ἐντεῦθεν πιθανῶς προῆλθε καὶ ἡ μετάφρασις τοῦ Ἡσαΐου »· Καὶ ἀναφέρεται ἀσυστόλως ὁ Φράγκελος εἰς αὐτὸ τὸ Ἡσαΐου ῥητὸν (τὸ « ἔσται θυσιαστήριον » κτλ.] φέρει δὲ καὶ μάρτυρα τὸν ὁμόγνωμον αὐτῷ Γεσένιον (Gesenius Comment. zu Jesaia p. 62.) Ἀλλ' οἱ Ταλμουδικοὶ μήτε τὸν ναὸν τοῦτον, μήτε τὸν Ὀνίαν πολλῆς ἀξιοῦσι τιμῆς. Βλ. Cartwrigth. Mellific. Hebraic. L. γ. c. 5.

*Θεοῦ, - κοινὸς ἁπάντων, κοινοῦ Θεοῦ ἁπάντων* (Β, κατ. Ἀπίων. §. κγ), ἀλλὰ καὶ Φίλων ὁ Ἀλεξανδρεὺς πολὺ μᾶλλον διεβεβαίου, « Ὡς οὔτε πολλαχόθι, οὔτ' ἐν ταυτῷ πολλὰ κατασκευασθήσεται ἱερά· ἐπειδὴ εἷς ἐστι Θεὸς, καὶ [ἓν] ἱερὸν εἶναι μόνον (δικαιοῖ). Εἶτα τοῖς βουλομένοις ἱερουργεῖν ἐν ταῖς οἰκίαις αὐτῶν οὐκ ἐφίησιν, ἀλλ' ἀνισταμένους ἀπὸ περάτων γῆς εἰς τοῦτ' ἀφικνεῖσθαι κελεύει » κτλ. (τ. β. σελ. 223). Καὶ ὅτε Γάϊος ὁ Καῖσαρ προσέταξεν ἀνδριάντα εἴσω τῶν ἀδύτων τοῦ ναοῦ τῶν Ἱεροσολύμων ἀνατεθῆναι, οἱ Ἀλεξανδρεῖς Ἰουδαῖοι ἐθεώρουν τὸ πρᾶγμα *κίνδυνον τῆς καθολικωτέρας πολιτείας τῶν Ἰουδαίων*, κτλ. (αὐτ. τ. β. σελ. 574)· ὡς οὐδενὸς αὐτοῖς ἔτι ναοῦ ὑπολειπομένου. Πόσον λοιπὸν βέβηλον καὶ παράνομον καὶ ἀσεβὲς ἔργον ἐκεῖνο τὸ *μικρὸν καὶ πενιχρὸν* Ὀνιεῖον καὶ αὐτοὶ οἱ Ἀλεξανδρεῖς ἐθεώρουν, καὶ πῶς ἔβλεπον τοὺς εἰς αὐτὸ συναγομένους (βλ. ὄπισθ. σελ. 535 σημ.), δῆλον ἔκτε τῶν εἰρημένων, καὶ ἐξ ἄλλων πολυαρίθμων αὐτοῦ μάλιστα τοῦ Φίλωνος μαρτυριῶν. Καὶ τοίνυν διὰ τοῦτον τὸν ψευδώνυμον ναὸν ἡρμηνεύθησαν αἱ προφητικαὶ γραφαί; καὶ ταύτας ἀπὸ τούτου καὶ ὑπὸ τοιούτων ἑρμηνευθείσας παρέλαβον εἰς τὰς δημοσίας αὐτῶν προσευχὰς καὶ ἁγιστείας αὐτοί τε πάντες οἱ Ἀλεξανδρεῖς, καὶ οἱ πανταχοῦ τῆς οἰκουμένης ἑλληνισταὶ Ἰουδαῖοι; Ἀλλὰ τοῦτο καὶ αὐτὸς Ὅδιος εἴπερ ἐλάμβανε κατὰ νοῦν, ἠρυθρίασεν ἂν, οἶμαι, καὶ μηδὲν μελλήσας ἐξήλειψεν ἂν ἄχρι καὶ κεραίας ὅσα περὶ τοῦ Ὀνιείου προλαβὼν ἔγραψε. - γ) Ἐπ' αὐτοῦ τοῦ Φιλομήτορος, καὶ ἐπ' αὐτοῦ Ὀνίου οἱ Ἀλεξανδρεῖς Ἰουδαῖοι ὑπερασπίσθησαν ἀπὸ τῆς Σαμαρειτῶν καταδρομῆς τὸν ναὸν τῶν Ἱεροσολύμων, μόνον τοῦτον ἀποδείξαντες ᾠκοδομῆσθαι κατὰ τοὺς Μωσέως νόμους (βλ. ὄπισθ. σελ. 536). Ὅθεν οὐδ' ἀπ' ἄλλου τινὸς ναοῦ κατεδέξαντ' ἂν οὐδέποτε τὰς προφητικὰς Γραφὰς εἰς τὰς ἑαυτῶν γνησίας Συναγωγάς. - δ) Ἐπ' αὐτοῦ τοῦ Φιλομήτορος καὶ ἐπ' αὐτοῦ Ὀνίου ὁ τοῦ Φιλομήτορος διδάσκαλος Ἀριστόβουλος ἔγραφεν, ὅτι « ἐπὶ τοῦ Φιλαδέλφου διηρμηνεύθησαν τὰ διὰ τοῦ Νόμου πάντα (σελ. 456). - ε) Ἐπ' αὐτοῦ τοῦ Φιλομήτορος, καὶ ἐπ' αὐτοῦ Ὀνίου, ἔζη καὶ ὁ Σειραχίδης, ὅστις ἔγραφεν ὅτι κατ'

αὐτὸν (καὶ ἑπομένως πρὸ τοῦ Ὀνίου) ὑπῆρχον *ἐξελληνισμένα, ὁ νόμος, καὶ οἱ προφῆται καὶ τὰ λοιπὰ τῶν βιβλίων* (σελ. 477).

§. ιθ. Γ) Τὸν Ῥαββῖνον χρονολόγον μετὰ τῆς *Ζούτας* αὐτοῦ (§. β.) χαίρειν ἐῶμεν, καὶ ληρεῖν πρὸς αὐλόν· συμπαρακαθήσθω δὲ καὶ εἴ τις ἄλλος θέλοι παρ' αὐτῷ, καὶ συναυλείτω, ψεύδη ψεύδεσι συναρμόζων καὶ συμφυσῶν· οὐδεὶς φθόνος τῆς συναυλίας.

§. κ. Δ) Τὰ περὶ τοῦ φερωνύμου τῆς Λαοδικείας ποιμένος Ἀνατολίου, εἴδομεν ἐν τοῖς ἔμπροσθεν (βιβλ. Α. κεφ. ιβ. §. ϛ. σελ. 403).

§. κα. Ε) Εἴπομεν ὡσαύτως καὶ τὰ κατὰ τὸν Ἀριστόβουλον (Βιβλ. Α. κεφ. ιβ. §. α, καὶ Βιβ. Β. κεφ. ζ. §. ιθ.). Καὶ περὶ τοῦ ἡμαρτημένου χωρίου τοῦ Ἀλεξανδρινοῦ Χρονικοῦ (Βιβλ. Α. κεφ. ι. §. β. σημ. σελ. 297). Τὸ δὲ πλέκειν ἀποδείξεις ἀπὸ σφαλμάτων ἀντιγραφέων, ἢ καὶ ἑνός τινος συγγραφέως μνημονικῶν παραπτωμάτων, ἐλεγχομένων προφανῶς ὑπὸ τῆς γνησίας ἱστορίας, οὔτε δίκαιον, οὔτε κόσμιον, ἀλλὰ καὶ μάλιστα φευκτὸν, ὡς καὶ τοῦτο (κατὰ τὴν τραγῳδίαν) « *ἐκλέγον θνητῶν συμφοράς* ».

§. κϐ. ϛ) Ἀλλὰ καὶ τὸ τοῦ θείου Χρυσοστόμου «*πρὸ ἑκατὸν ἢ καὶ πλειόνων ἐτῶν* » κτλ. (§. β, σελ. 537) φαίνεται ἡμαρτημένον ὑπὸ τῶν ἀντιγραφέων, (τρεψάντων τὸ ἀριθμητικὸν στοιχεῖον τ. (300), ἢ τὸ, σ (200) εἰς τὸ ρ, ὅπερ καὶ ὁλόγραφον ἔγραψαν, *ἑκατόν*. Αὐτὸς γὰρ ὁ Χρυσόστομος εἶπεν ἀλλαχοῦ *πρὸ τριακοσίων χρόνων*. Εἴπομεν καὶ περὶ τούτου ἐν τοῖς προλαβοῦσιν (Βιβλ. Α. κεφ. θ. §. κγ. σελ. 285). Ὁ δὲ κλεινὸς Ὅδιος ἐν τούτοις φαίνεται καὶ λίαν ἀστεῖος. Σπουδάζων, ὅπως περιβάλῃ τὴν ἑαυτοῦ δοξασίαν τὸ σεμνοπρεπὲς τῆς ἀρχαιότητος κόσμημα, πρῶτον μὲν διαπορεῖ καὶ σκέπτεται (συγκαλεῖ δὲ καὶ ἄλλους εἰς σκέψιν), μήποτε ὁ Χρυσόστομος ἐχρονολόγησεν οὕτως, διότι παρειλήφει καὶ αὐτὸς ἐξ ἀκοῆς, ὅτι ἄρα ἐγένετό τις ἑρμηνεία τῶν Γραφῶν ἐπὶ τοῦ Φιλομήτορος. Ἀλλ' ἔπειτα ἐξαίφνης ἐξελέγχει (μετὰ βαθυτάτης εὐλαβείας!) τοὺς Πατέρας ἐκείνους (τὸν Χρυσόστομον δηλαδὴ καὶ πάντας τοὺς ἀρχαίους), ὡς ἄγαν ἐπιῤῥεπεῖς εἰς ἀπάτας καὶ παραλογισμούς! Αὐτὸς δὲ μένει μόνος ἀκλινὴς δηλονότι, καὶ ἄπτωτος, καὶ ἀλάθητος.

δικαστὴς τῶν ἁγιωτάτων ἐκείνων ἀνδρῶν! Μῶν, ὤφειλεν ὁ τοσοῦτον βαθὺς κριτικὸς οὕτως ἀστατεῖν, ἢ παίζειν ἐν τοῖς σεμνοτάτοις, τιθεὶς καὶ πάλιν ἀνατιθεὶς καὶ μεταβάλλων τὰς γνώμας, ὡς τοὺς κύβους, ἢ τὰς ψηφῖδας οἱ ψηφοπαῖκται; « Ἀλλὰ περὶ τούτου σκοπείτωσαν καὶ ἄλλοι »!

§. κγ. Ζ) Συναποφαίνεται μετὰ τοῦ Ὑσσερίου περὶ τῆς βίβλου τῆς Ἐσθὴρ, ὅτι μετεφράσθη ἐπὶ τοῦ Φιλομήτορος, καθὼς κηρύττει (λέγει) ἡ πρὸς τῷ τέλει τοῦ τεύχους σημείωσις (α). Ἀλλ' ἡμεῖς ἀπαντῶμεν πρὸς τὸν κριτικόν. Πρῶτον· ὅτι παρὰ πολλὰς δεκάδας σοφωτάτων Ὑσσερίων καὶ Ὀδίων προτιμῶμεν ἐνταῦθα τὴν γνώμην τοῦ Ὠριγένους, ὅστις ἴδε πάντως καὶ ἀνέγνω καὶ αὐτὸς, ὡς οἱ κριτικοὶ, τὴν σημείωσιν ταύτην· καὶ ὅμως καὶ ἐφρόνει καὶ ὠνόμαζε « *τὴν Ἐσθὴρ κατὰ τοὺς Ο* » (β). Ὡσαύτως καὶ Ἱερώνυμος ἀνεκήρυξε τὴν ὑπὸ τῶν Ο, μετάφρασιν τῆς Ἐσθὴρ (γ). Παραλείπομεν τὸν ἱερὸν Ἀθανάσιον (Συνόψ.), τὸν Ἐπιφάνιον, ὅλους

---

(α) Τοῦτ' αὐτὸ κρίνει καὶ Eichhorn, Einleitung. ins A. Test. §. 164. (ὅστις καὶ τῶν Παροιμιῶν τὴν ἑρμηνείαν ἔτι νεωτέραν ἐψηφίσατο. πρβλ. καὶ Rosenmüller Handbuch. der Biblisch. Alterthums. IV. 23, καὶ Gesenius Hebr. Handw. S. 197: Leipzig, 1828). Ἀλλ' ὁ Οὐαλκενῆρος (De Aristob. Jud. p. 63) τὸ ἐκ τῆς Σημειώσεως ἐπαγόμενον ἐπιχείρημα περὶ τῆς ὅλης βίβλου τῆς Ἐσθὴρ, οὐχ ἅλις ἰσχυρὸν, ἢ πάγιον ἔκρινεν ὀρθῶς (non satis firmum)· ὀρθότερον δ' ἂν ἔλεγεν, ὅλως ἀπαγὲς καὶ ἀνίσχυρον. Ὁ δὲ σοφὸς Καλμέτης ἐπὶ τῆς σημειώσεως ἀκραδάντως ἐστηριγμένος, οὐ μόνον ἐπὶ τοῦ Φιλομήτορος ἑρμηνευθῆναι τὴν βίβλον τῆς Ἐσθὴρ ἀπεφήνατο, ἀλλὰ καὶ συνείκασεν ἄγαν ἐπιτυχῶς (Ὀδίῳ σιωπηλῶς παρακολουθῶν. βλ. ὄπισθ. σελ. 538), ὅτι ὁ Λυσίμαχος, ὃν ἡ σημείωσις ἀναφέρει ὡς μεταφραστὴν τῆς Ἐπιστολῆς, αὐτὸς οὗτος ἐκεῖνος προσῆψε καὶ τὰς προσθήκας, καθ' ἃς ἡ ἑλληνὶς τῆς Ἐσθὴρ ἑρμηνεία περιττεύει τοῦ κειμένου τοῦ ἑβραϊκοῦ! (Calmet. Diction. V. Esther). Ἀλλὰ τὰς μὲν λεγομένας προσθήκας ταύτας (ὧν ἐν μέρει καθήψατο καὶ Οὐαλκενῆρος· βλ. ὄπισθ. σελ. 129) ἀνέγνω καὶ Ἰώσηπος ἐν τῷ κατ' αὐτὸν ἑβραϊκῷ, ὡς ἀποδείκνυται πολλαχόθεν (Ἀρχ. ια)· μαρτυρεῖ δὲ καὶ Ὠριγένης (Ἐπιστ. πρὸς Ἀφρικ.). Ὁ δὲ Γαλάτης κριτικὸς ὤφειλε μᾶλλον ἐξευρεῖν, τίς ὁ μετὰ τὸν Ἰώσηπον περικείρας τὸ ἑβραϊκὸν, οἷον ἦλθε καὶ εἰς τὰς χεῖρας Ἱερωνύμου (βλ. ἐφεξ. σελ. 570)· πρβ. J. Hermann Janssens Herméneutique Sacrée, ou Indroduction à l'Ecriture Sainte etc. p. 139, 151. Paris 1841.

(β) Ὠριγέν. ἐπιστ. π. Ἀφρικαν. — (γ) S. Hieron. praef. in libr. Esther.

τοὺς ἄλλους Πατέρας, ὅσοι καὶ ῥητῶς ἀριθμοῦντες, καὶ ἁπλῶς μνημονεύοντες τὰ ὑπὸ τῶν Ο μεθερμηνευθέντα βιβλία τῆς Παλαιᾶς Διαθήκης, τάττουσιν ἐν τούτοις καὶ τὴν Ἐσθὴρ, καίτοι καὶ αὐτοὶ τὴν σημείωσιν ἀναγνόντες ἅπαντες. Δεύτερον. Ἡ σημείωσις ἀναφέρεται προφανῶς οὐκ εἰς ὅλον τὸ βιβλίον, ἀλλ᾿ εἰς μόνην τὴν (ἐν τῷ τελευταίῳ κεφαλαίῳ τῆς Ἐσθὴρ) ἐπιστολὴν τοῦ Μαρδοχαίου, τὴν περὶ τῶν ἡμερῶν τῆς ἑορτῆς Φρουραὶ, ἢ Φουραί (α). Τὴν προκειμένην, (λέγει) ἐπιστολὴν (ἑρμηνευθεῖσαν ὑπὸ Λυσιμάχου) « εἰσήνεγκε Δοσίθεος ἐπὶ Πτολεμαίου » κτλ. Ἡ δ᾿ ἐπιστολὴ (περὶ ἧς ἡ σημείωσις) ἀποτελεῖ (καθὼς προείπομεν) τὸ ἔσχατον

---

(α) Ὁ Ἀλεξανδρινὸς καὶ Βατικανὸς κώδηξ ἔχουσι « τῶν φρουραὶ (Ἐσθὴρ θ, 26, 28. ι, 3), καὶ Φρουραῖα (κεφ. θ, 13). Ὁ δὲ Κομπλουτηνὸς, φουρίμ (ἄλλοι καὶ Ὠριγένης, φουρουρείμ) καὶ ἑβραϊστὶ, Φουρὶμ (ἢ Purim) πληθ. ἐκ τοῦ ἑνικοῦ Pur, ἢ Phur. ἡ δὲ λέξις σημαίνει κλήρους (Ἐσθὴρ θ, 24. ὅπου καὶ Ὠριγένης « ἔβαλε φοὺρ, ὅ ἐστι κλῆρον » ). Ὁ δὲ Ἰώσηπος (κλίνων ὡς εἴωθεν ἑλληνικώτερον), ἔγραψεν « ἡμέρας φρουραίους ('Αρχ. ΙΑ. ς, 6. Hav. ἄλλ. κώδηκες ἔχουσι φουραίους, ὁ δὲ Ζωναρᾶς φυραίους). Τοῦτο δὲ τῷ παρ᾿ Ἰωσήπῳ ἑβρ. φρουραίους ὁ Ῥουφῖνος (νομίσας ἐκ τοῦ ἑλλην. φρουρῶ) ἐξελατίνισε conservatores. Ὅθεν ὁ Ὑέτιος ὑπέλαβε καὶ αὐτὸν τὸν Ἰώσηπον ἠπατημένον, ὡς ἑλληνικὸν ἐκλαβόντα καὶ γράψαντα τὸ φρουραίους· διὰ τοῦτο (λέγει) προσέθηκε καὶ τὸ « παραφυλάσσουσι » καὶ τὸ « παρατηροῦσιν » (Ἰουδαῖοι τὰς ἡμέρας)· ἀμφότερα δὲ τὰ ῥήματα συνώνυμα τοῦ φρουρεῖν (Huet. Dem. Evang. Prop IV. p. 203). Ἀλλ᾿ ὁ κλεινὸς Ὑέτιος ἠπατήθη· ἐπειδὴ α) ὁ Ἰώσηπος ἐγίνωσκε τὴν ἐκ τῆς Περσικῆς ἐξεβραϊσμένην λέξιν τοῦ φουρίμ· καὶ ῥητῶς αὐτὴν ἰουδαϊκὴν εἶπε λέγων· « Καὶ Ἰουδαῖοι τὰς — ἡμέρας ἑορτάζουσι προσαγορεύοντες φρουραίους ». Πρόσθες, ὅτι καὶ οἱ Ο λέγουσιν, ὅτι τῇ διαλέκτῳ αὐτῶν (τῶν Ἰουδαίων) καλοῦνται φρουραὶ (Ἐσθὴρ θ)· ἀνέγνω δὲ πάντως καὶ Ἰώσηπος τοὺς Ο. - β) Οὐδ᾿ ἑλληνίζων ἠδύνατο ὁ Ἰώσηπος γράφειν φρουραίους ἡμέρας, ἐτυμολογῶν παρὰ τὸ φρουρῶ· διότι οἱ Ἕλληνες οὐδέποτε λέγουσιν ἡμέραν τινα φρουρεῖν, ἀλλὰ φυλάττειν, τηρεῖν, παρατηρεῖν, κτλ. - γ) Ὅθεν ὁ Ἰώσηπος πιθανώτατα ἔγραψε Φουραίους (ἢ φουραίας), ὡς ἔχουσι καὶ οἱ μνημονευθέντες κώδηκες, ἐξελληνίζων τὴν κατάληξιν τοῦ παρὰ τοῖς Ο, Φουραί. Τοῦτο γὰρ εἶναι δοκεῖ καὶ παρὰ τοῖς Ο, ἡ γνησία γραφὴ (ὡς ἔχει καὶ ὁ Κομπλουτ. φουρίμ, καὶ ὁ λατ. ἔχει Phuraea)· εὐκόλως δὲ συγχέονται αἱ λέξεις φούριος καὶ φρούριος ἐν κώδηξι πολλοῖς. Βλ. Boecler Lection. Polybian. p. 33. πρβλ. Grotium ad l. c. Esther. c. 9. καὶ Reland not. in Iosephi Antiquit. XI. 6. p. 577. Hav.

μέρος τοῦ Ι, καὶ τελευταίου κεφαλαίου τῆς Ἐσθήρ. Περὶ δὲ τῶν ἄλλων Θ, κεφαλαίων ὅλου τοῦ τεύχους οὐδὲν οὔτε λέγει, οὔτε σημαίνει ἡ σημείωσις. Πῶς λοιπὸν οἱ σοφοὶ κριτικοὶ συνάγουσιν ἐξ αὐτῆς καὶ ὅλον τὸ βιβλίον τῆς Ἐσθὴρ ἑρμηνευθὲν ἐπὶ Πτολεμαίου; Τρίτον. Ὅτι ἐπὶ τοῦ Φιλομήτορος Πτολεμαίου ὑπῆρχεν ἡρμηνευμένη ἡ βίβλος τῆς Ἐσθὴρ, ἡ μάλιστα φίλη τοῖς Ἰουδαίοις (ὃ καὶ Ὅδιος ὡμολόγησε, σελ. 538), ἅλις ἀποδείκνυσι καὶ «ἡ *Μαρδοχαϊκὴ ἡμέρα*», ὡς ὀνόμαζει τὴν ἑορτὴν τῶν *Φουραὶ* ἡ Β, τῶν Μακκαβαϊκῶν (ιε, 36), μνημονεύουσα τῆς κατὰ Νικάνορος νίκης Ἰούδα τοῦ Μακκαβαίου, συγχρόνου τῷ Φιλομήτορι. Καὶ αὐτὸ τὸ *Μαρδοχαϊκὴ* ἐπίθετον ἐτυπώθη προφανῶς ἐκ τοῦ *Μαρδοχαῖος*, ὡς ἐξελλήνισαν τὸ Mardochaï πρῶτοι οἱ Ο ἐν τῇ βίβλῳ τῆς Ἐσθήρ. Τέταρτον. Τὸν ἐν τῇ σημειώσει Πτολεμαῖον οἱ μὲν περὶ τὸν Ὅδιον ἐκλαμβάνουσι τὸν Φιλομήτορα. Ἀλλ' ὁ κλεινὸς Ὑέτιος καὶ ἄλλοι τὸν Φιλάδελφον λέγουσι· καὶ τούτου σύζυγον τὴν Κλεοπάτραν. Τούτου τοίνυν τοῦ Φιλαδέλφου βασιλεύοντος ἔτει δ, εἰσήνεγκεν ὁ Δοσίθεος τὴν ὑπὸ Λυσιμάχου πρότερον ἐν Ἱεροσολύμοις ἐξελληνισθεῖσαν, καὶ πάντως ὑπὸ τοῦ μεγάλου Συνεδρίου δοκιμασθεῖσαν ἐπιστολὴν τοῦ Μαρδοχαίου περὶ τῶν Φουραί· καὶ ταύτην οἱ Ο, παραλαβόντες (εἴπερ ἡρμήνευσαν τὰς Γραφὰς ἔτει ζ, τῆς Φιλαδέλφου βασιλείας, κατὰ τὸν Ἐπιφάνιον), ἵνα μὴ τὰ καλῶς πεποιημένα μεταποιῶσιν, ἔταξαν, ὡς εἶχεν, ἀπαράλλακτον εἰς τὸ τέλος τῆς Ἐσθὴρ, αὐτοὶ προσθέντες καὶ τὴν σημείωσιν. Τοιαῦτα οἱ περὶ τὸν Ὑέτιον (α).

Ἀλλ' ἡμεῖς ἐνδίδομεν τοῖς περὶ τὸν Ὅδιον, ὅτι Πτολεμαῖος οὗτος ἦν ὁ *Φιλομήτωρ* καὶ Κλεοπάτρα ἡ τούτου σύζυγος καὶ

---

(α) Huet. Demont. Ev· Prop. IV. p. 204. πρβλ. I. Marchini de Divinitate et canonicit. sacror. Bibliorum. pag. 182. καὶ ὁ Grotius « accedo (dicit) de Philadelpho haec accipientibus» (Annot. in Esth). Ἀλλ' οὔτε Κλεοπάτρα Φιλαδέλφου σύζυγος ἱστορεῖται, οὔτε τῷ ζ, ἔτει τῆς Φιλαδέλφου βασιλείας ἡρμηνεύθησαν αἱ Γραφαὶ, καὶ τοῦ ζ, ἔτους ἡ παρ' Ἐπιφανίῳ γραφὴ μᾶλλον ἀποδείκνυται ἐσφαλμένη (βλ. ὄπισθ. Βιβλ. Δ. κεφ. θ. §. ιε. σελ. 257 καὶ 661.).

ἀδελφὴ (καίτοι τὰ ὀνόματα Πτολεμαῖος καὶ Κλεοπάτρα κοινὰ καὶ ἄλλοις ὑπῆρχον βασιλεῦσιν Αἰγύπτου, κατὰ τὸν Ὑέτιον) (α). Οὐ δώσομεν δὲ ὅμως, ὅτι καὶ Δοσίθεος ἦν ὁ τοῦ Φιλομήτορος στρατηγὸς, καθὼς Ὅδιος ἐνόμισεν. Ὁ μὲν γὰρ ἐν τῇ σημειώσει Δοσίθεος, « *ἔφη ἱερεὺς εἶναι καὶ λευΐτης* » (ἐμφαίνων δηλονότι ποῖός τις ἦν, καθὸ ξένος, ἱεροσολυμίτης, καὶ ἀγνοούμενος παρ' Ἀλεξανδρεῦσιν), εἶχε δὲ καὶ Πτολεμαῖον υἱόν. Τὸν δὲ παρὰ τῷ Φιλομήτορι Δοσίθεον ὁ Ἰώσηπος στρατιωτικὸν ἐπισημότατον διαγράφει, λέγων· « Στρατηγοὶ πάσης τῆς (τοῦ Φιλομήτορος) δυνάμεως ἦσαν Ὀνίας καὶ Δοσίθεος, Ἰουδαῖοι ». Τὸ γοῦν τὸν ϛρατηγὸν εἰς ἱερέα καὶ λευΐτην προχειρίζειν (καὶ τοῦτον ἄγνωστον τοῖς Ἀλεξανδρεῦσι) μή ποτε πρὸς τῷ ἀπιθάνῳ καὶ γελοῖον δοκῇ. (Ἢ μήπως πάλιν τ' ὄνομα Δοσίθεος ἑνὸς ὑπῆρχε καὶ μόνου τῶν τότε κατ' Ἀλεξάνδρειαν Ἰουδαίων; ). Κατὰ δὴ ταύτην τὴν ἐπὶ Φιλομήτορος χρονολογίαν ἐξετάσωμεν ἀναλαβόντες τὴν σημείωσιν. « Ἔτους δ, βασιλεύοντος Πτολεμαίου καὶ Κλεοπάτρας, εἰσήνεγκε Δοσίθεος, ὅς ἔφη ἱερεὺς εἶναι καὶ λευΐτης, καὶ Πτολεμαῖος ὁ υἱὸς αὐτοῦ τὴν προκειμένην ἐπιστολὴν τῶν φρουραὶ, ἣν ἔφασαν ΕΙΝΑΙ· καὶ ἡρμηνευκέναι Λυσίμαχον Πτολεμαίου τὸν ἐν Ἱερουσαλὴμ ». — Τοῦτο τὸ ΕΙΝΑΙ οἱ μὲν περὶ τὸν Ὅδιον παρέβλεψαν ὅλως, οὐδὲ μετέφρασαν (ὡς οὐδ' ἡ παλαιὰ λατινὶς ἑρμηνεία), ἀλλ' ὅμως εἶναί τι πάντως τοῦτο τὸ *εἶναι*, καί τι σημαίνειν, ἕκαστος εὐθὺς συνορᾷ. Διχῶς δὲ δύναται (νομίζομεν) ἐκληφθῆναι· καὶ πρῶτον οὑτωσί. Οἱ περὶ τὸν Δοσίθεον εἰσενεγκόντες τὴν περὶ τῶν φρουραὶ τοῦ Μαρ-

---

(α) Πτολεμαῖος ὁ Εὐεργέτης (υἱὸς τοῦ Φιλαδέλφου) Κλεοπάτραν εἶχε σύζυγον (Ἀντιόχου θυγατέρα)· Ἰώσηπ. Ἀρχ. ιϐ. δ. κτλ. Τοῦ γέ μην Φιλαδέλφου δύω μόνας συζύγους ὀνομάζει ἡ ἱστορία, Ἀρσινόην τὴν αὐταδέλφην, καὶ Ἀρσινόην τὴν Λυσιμάχου θυγατέρα (βλ. ὄπισθ. βιϐλ. α. κεφ. ϛ. §. ιϐ. καὶ κεφ. ζ. §. κγ.). Ὥστε δυσχερῶς ὡς ἐκ τούτου δείξουσιν οἱ περὶ τὸν Ὑέτιον τὴν Κλεοπάτραν γυναῖκα τοῦ Φιλαδέλφου. Πλὴν εἰμή που συμπερανοῦσι καὶ τρίτην τινα σύζυγον νυμφευθέντα τὸν Φιλάδελφον μετὰ τὰς δισσὰς Ἀρσινόας (ἢ καὶ μεταξὺ τῆς α. καὶ β), ἣν τοῦτο μόνον τὸ χωρίον τῆς σημειώσεως ἐμνημόνευσε Κλεοπάτραν· ἀλλὰ τὰ τοιαῦτα κατηναγκασμένα δοκεῖ.

δοχαίου ἐπιστολὴν ἔφασαν καὶ ὡμολόγησαν, ὅτι ἔστι μὲν καὶ κεῖται ἐν τῷ βιβλίῳ τῆς Ἐσθὴρ, καθὸ πρότερον ὑπὸ τῶν Ο, προεκδεδομένη· ἡρμήνευσε δὲ ὅμως αὐτὴν (καὶ πρὸ τῶν Ο) ὁ Λυσίμαχος ἐν Ἱερουσαλὴμ κτλ. ὡς ἂν εἰ ἐγέγραπτο πληρέστερον ἡ φράσις· « *ἣν ἔφασαν εἶναι μὲν ἤδη* (ἐκδεδομένην), *ἑρμηνεῦσαι δὲ* πρῶτον *τὸν Λυσίμαχον* ». Καὶ τούτου χάριν οἱ περὶ τὸν Δοσίθεον εἰσήνεγκαν καὶ αὐτὸ τοῦ Λυσιμάχου τὸ αὐτόγραφον (ἢ καὶ τούτου κύριον ἀπόγραφον), ἐπικυροῦντες τὸ παρὰ τῶν Ο, προεκτεθειμένον. Ἢ μᾶλλον τὸ *εἶναι* ἐκληπτέον ἀπολύτως ἀντὶ τοῦ ὑπάρχειν πραγματικῶς, *ἔστιν ὄντως*, ἵνα ᾖ τῆς σημειώσεως οὗτος ὁ νοῦς· « Εἰσήνεγκαν τὴν προκειμένην ἐπιστολὴν (οἱ περὶ τὸν Δοσίθεον πρῶτοι), ἣν ἔφασαν βεβαιοῦντες, ὅτι *ἔστι τῷ ὄντι αὐτὴ* ἐκείνη ἡ τοῦ Μαρδοχαίου ἐπιστολὴ περὶ τῶν φρουραὶ, ἥτις μνημονεύεται περιληπτικῶς καὶ ἐν τῷ βιβλίῳ τῆς Ἐσθὴρ » (Θ. §. 20—30). Ἐπειδὴ δὲ καὶ ἐν τούτῳ οὐχ ὑπῆρχεν ὁλόκληρος ἡ ἐπιστολὴ, ὕστερον δέ ποθεν (μετὰ τὴν ἑρμηνείαν τῶν Ο) ἀνευρέθη, πρῶτον μὲν ἐξερευνῆσαν ἀπεδέξατο (τίς ἀμφιβάλλει;), καὶ κατεκύρωσεν αὐτὴν τὸ μέγα τῶν Ἱεροσολύμων Συνέδριον, καὶ προσέθηκε δὲ ταύτην ὑποτάξαν εἰς τὸ ἑβραϊκὸν βιβλίον τῆς Ἐσθὴρ (καίτοι ταύτην, ὡς καὶ ἄλλα τῆς Ἐσθὴρ, οὐκ ἔχει τὸ νῦν ἑβραϊκὸν, οὐδ᾽ ὁ Ἱερώνυμος ἡρμήνευσε· καθότι καὶ αὐτὸς, μετὰ πολλοὺς αἰῶνας ἐπελθὼν, διεῤῥηγμένον εὕρηκεν ἐν πολλοῖς καὶ ἐλλειπὲς τὸ ἑβραϊκὸν κείμενον τῆς Ἐσθὴρ, περὶ οὗ λέγομεν ἀλλαχοῦ). Ἐν αὐτοῖς δὲ τοῖς Ἱεροσολύμοις (ὑπ᾽ ὄψιν πάντως τοῦ Συνεδρίου) ἐξελλήνισε τὴν ἐπιστολὴν Λυσίμαχος ὁ Πτολεμαίου (ἐπίσημος ἀνὴρ καὶ γνωστὸς παρ᾽ αὐτοῖς, ὡς συμπεραίνετ᾽ ἐκ τῆς ἁπλῆς τοῦ ὀνόματος ἀναφορᾶς), καὶ οὕτως ἐξελληνισμένην ἀπέστειλαν καὶ πρὸς τοὺς Ἀλεξανδρεῖς· καὶ εἰσήνεγκεν αὐτὴν ὁ ἱερεὺς καὶ λευΐτης Δοσίθεος, καὶ Πτολεμαῖος ὁ υἱὸς αὐτοῦ (σημείωσαι δὲ καὶ τὴν τοῦ υἱοῦ προσθήκην, καὶ τὴν τοῦ γένους τοῦ Δοσιθέου, πρὸς ἔνδειξιν τῆς ἐπισημότητος τοῦ πράγματος). Ἐκεῖνοι δὲ ταύτην, ὡς ὑπὸ τοῦ Συνεδρίου κεκυρωμένην, ἀπεδέξαντό τε καὶ προσέγραψαν εἰς τὸ

τέλος τοῦ βιβλίου, ὡς καὶ ταύτην κανονικὴν, ὡς σύγγραμμα τῆς Μαρδοχαίου χειρὸς (οὗτινος νομίζεται καὶ ὅλον τὸ βιβλίον τῆς Ἐσθήρ) (α). Ἔκτοτε δὲ καὶ ἡ ἐπιστολὴ μετὰ τῆς σημειώσεως ἀπέβη μέρος τῆς Ἐσθὴρ ἐν τῷ κώδηκι τῶν Ο, ὁποίαν αὐτὴν εἶχε καὶ ἐφεξῆς ἡ Συναγωγὴ, διατηρεῖ δὲ πάντοτε καὶ ἡ Ἐκκλησία παρ᾽ αὐτῶν τῶν Ἀποστόλων παραλαβοῦσα. Ὥστε ψευδέστατα συνήγαγον οἱ εἰπόντες, ὅτι μετεφράσθη τὸ τεῦχος ὅλον τῆς Ἐσθὴρ ἐπὶ τοῦ Φιλομήτορος, ἐφ᾽ οὗ μόνη ἡ σημείωσις, ἢ καὶ αὐτὴ ἡ ἐπιστολὴ προσετέθη εἰς τὸ τέλος τῆς ὑπὸ τῶν Ο, προεκδεδομένης ἑρμηνείας τῆς Ἐσθήρ. Ἔχει καὶ ἡ βίβλος τοῦ Ἰὼβ (ὡς ἡ τῆς Ἐσθὴρ) ὑποσημείωσιν, αὐτῆς μὲν τῆς συγγραφῆς νεωτέραν, ἐξ ἀρχαίων δὲ χρόνων πρὸς τῷ τέλει τοῦ τεύχους προστεθειμένην (ἣν ἀνέγνων καὶ ἡρμήνευσαν καὶ αὐτοὶ οἱ Ο)· ἀλλὰ τίς ὀρθὰ φρονῶν ἀπὸ ταύτης τῆς σημειώσεως συμπεραίνει, ὅτι ὁ ταύτην γράψας ὁ αὐτὸς συνέγραψε καὶ τὴν βίβλον τοῦ Ἰώβ; Καὶ

---

(α) Κλημ. Στρωμ. α, 392 (πρβλ. καὶ Ἐσθὴρ Θ, 20, 23, 29. Ὁ δὲ Marchini (l. c. p. 178) κακῶς ἐξέλαβε τὰ χωρία περὶ μόνης τῆς ἐπιστολῆς τῶν φρουραί. βλ. καὶ ὄπισθ. κεφ. ζ. σελ. 476). Ὁ δὲ σοφὸς Ὑέτιος εἰσάγει τὸν ἱερὸν Ἐπιφάνιον εἰς τὸν Ἔσδραν ἐπιγράφοντα τὴν συγγραφὴν τῆς Ἐσθὴρ (ἐν τῷ περὶ Μετρ. §. 4). Ἀλλ᾽ ἰδοὺ τὶ λέγει ὁ Ἐπιφάνιος. « Ἔμειναν καὶ ἄλλαι δύω (ἐκ τῶν κβ. βιβλίων τῆς Γραφῆς, εἰς Δ. Πεντατεύχους διαιρουμένων· βλ. σελ. 429), αἵτινές εἰσι, τοῦ Ἔσδρα, μία καὶ αὕτη λογιζομένη, καὶ ἄλλη βίβλος, ἣ τῆς Ἐσθὴρ καλεῖται (Ἐπιφ. π. μέτρ. §. 4. σελ. 162. Petav.). Ὥστε οὐδὲν ἐνταῦθα λέγει ὁ πατὴρ περὶ τοῦ συγγραφέως τῆς Ἐσθήρ· ἡ δὲ κατὰ κακὴν ἴσως στίξιν ἀνάγνωσις τοῦ χωρίου, τοῦ, α ἵ τ ι ν έ ς  ε ἰ σ ι, τ ο ῦ  Ἔ σ δ ρ α (ἢ Ἡ τ ο ῦ  Ἔ σ δ ρ α) μία, κτλ. ἀστίκτως ἀναγνωσθέντος (α ἵ τ ι ν ε ς  ε ἰ σ ὶ  τ ο ῦ  Ἔ σ δ ρ α) ἐγέννησε τὴν ἀπάτην ὅσον ἐκ τοῦ σεσημειωμένου χωρίου τοῦ Ἐπιφανίου. Εἰ δ᾽ ἐκ τούτου πρόπαλαι λαβὼν τὴν ἀφορμὴν καὶ ὁ ἱερὸς Αὐγουστῖνος ἐπέγραψεν εἰς τὸν Ἔσδραν τὸ βιβλίον τῆς Ἐσθὴρ (De Civ. Dei, 18, c. 36. ἐκ δὲ τούτου καὶ Ἰσίδωρος Orig. 6. 2.), οὐ πάνυ τι ἐχέγγυος οὐδὲ τοῦ Αὐγουστίνου ἡ μαρτυρία. Οὐδ᾽ ὁ κλεινὸς Eichhorn (Einleit. ins A. Test. I. §. 52 καὶ II. §. 511) φαίνεται πάνυ πιθανὸς γνωματεύων, ὅτι πάντα τὰ μετὰ τὴν μετοικεσίαν Βαβυλῶνος συγγραφέντα κανονικὰ βιβλία ἐπιγράφονται κοινῶς τὸ ὄνομα τοῦ Ἔσδρα. Ὁ δ᾽ Εὐσέβιος νεώτερά πως τοῦ Ἔσδρα φαίνεται νομίζων τὰ κατὰ τὴν Ἐσθὴρ (Χρον. β. πρβλ. Χρονικ. Πασχάλ. σελ. 162. καὶ Σύγκελ. σελ. 249). Ἑβραίων δὲ οἱ πλεῖστοι καὶ διασημότατοι εἰς τὸν Μαρδοχαῖον ἀπονέμουσι τὸ βιβλίον τῆς Ἐσθήρ. βλ. Huet. l. c. p. 202.

αὐταὶ τοῦ θείου Παύλου αἱ ἐπιστολαὶ ἔχουσιν ἀρχαιοτάτας ὑποσημειώσεις, ἢ ὑπογραφὰς, ὑπὸ τῶν πρώτων κατὰ τόπους Ἐκκλησιῶν ὑπογεγραμμένας, πρὸς δήλωσιν τῆς χώρας, ὅθεν, καὶ τοῦ προσώπου, δι' οὗ ἐστάλησαν ἕκασται τῶν ἐπιστολῶν (α). Ἂν δέ τινες ἀναστάντες κρίνωσι τὰς ἀποστολικὰς ἐπιστολὰς οὐχὶ τοῦ θείου Παύλου γνησίας, ἀλλὰ τῆς χειρὸς ἐκείνης, ἥτις ὕστερον ἐχάραξε τὴν ὑποκειμένην ἑκάστῃ σημείωσιν, ποῖοί τινες φανήσονται οἱ τοιοῦτοι κριτικοί;

§. κδ. Ἐφεξῆς (§. γ) ὁ Ὅδιος διασαλπίζει ὡς ἀρχαίαν τὴν *εἰς νόμον καὶ προφήτας ῥαββινικὴν* τριχοτομίαν τῆς Γραφῆς περὶ ἧς προείπομεν (κεφ. ζ. §. ιε. σελ. 429). Ἤδη δὲ καὶ λίαν ἀλγοῦμεν, βλέποντες τὸν σοφὸν Ἀρχιδιάκονον, ὅτι οὐκ ἠρκέσθη μόνον ἁπλῶς ἀναφέρων τὴν περὶ τοῦ θείου Δανιὴλ ἀνοσίαν γνώμην τῶν Ῥαββίνων (καθὼς ἐν παρέργῳ, ἢ διηγηματικῶς καὶ ὁ μακάριος Ἱερώνυμος αὐτῆς ἐπεμνήσθη) (β), ἀλλὰ καὶ συνεφώνησεν ἄσμενος μετὰ τοῦ Βὰρ-Μαϊμὼν (ἢ Μαϊμονίδου), συνεκβάλλων τὸν Δανιὴλ ἐκ τοῦ χοροῦ τῶν Προφητῶν εἰς τὴν κατωτέραν τάξιν τῶν λεγομένων *Ἁγιογράφων*, ἐν οἷς (λέγει) ὁ Δανιὴλ συνηριθμεῖτο καὶ ἄνωθεν ἐξ ἀρχῆς! Ὅθεν οὐδὲ κατὰ τοὺς Ἀντιόχου χρόνους τὰς αὐτοῦ προφητείας εἰς τὴν Συναγωγὴν δεχθείσας ἀποφαίνεται. Οὐδ' ἠδέσθη κἂν ὁ Δόκτωρ οὐδ' αὐτὸν τὸν Ἰουδαῖον Ἰώσηπον, ὅστις ἀνεκήρυξεν, ὅτι πρόπαλαι καὶ ἀνέκαθεν, ἔτι καὶ κατ' αὐτὸν,

---

(α) Οἷον· εἰς τὸ τέλος τῆς πρὸς Ῥωμαίους· «Πρὸς Ῥωμαίους ἐγράφη ἀπὸ Κορίνθου διὰ Φοίβης τῆς διακόνου τῆς ἐν Κεγχρεαῖς ἐκκλησίας». Οὕτω καὶ εἰς τὴν Α. Κορινθ. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Αἱ ὑποσημειώσεις αὗται, ἢ ὑπογραφαὶ, εὑρίσκονται καὶ ἐν τοῖς ἀρχαιοτάτοις ἀντιγράφοις τῆς Ν. Δ. οἷον ἐν τῷ Ἀλεξανδρινῷ, κτλ. καὶ παρὰ τῷ ἱερῷ Θεοδωρήτῳ (Ἑρμην. εἰς τὰς Ἐπιστολ.) κτλ.

(β) Ἀλλ' αὐτὸς ὅμως ὁ Ἱερώνυμος τὸν Δανιὴλ μετὰ τὸν Ἰεζεκιὴλ ἀμέσως ἔταξεν ἔν τε τοῖς Ὑπομνήμασι, καὶ ἐν τῇ πρὸς Παυλῖνον ἐπιστολῇ, ὡς ἕνα τῶν μεγάλων Προφητῶν ἀριθμῶν. Οὕτως ἀριθμοῦσι τοῦτον ἐν τοῖς τοῦ Κανόνος καταλόγοις πάντες οἱ ἀρχαῖοι Πατέρες τῆς Ἐκκλησίας: Μελίτων, Ὠριγένης, Ἀθανάσιος, Γρηγ. Ναζιανζηνὸς, Ἐπιφάνιος, Rufinus, Hilarius, Augustinus, Cassiodorus, Innocent. Papa, κτλ. καὶ ἡ ἐν Λαοδικείᾳ Σύνοδος (Καν. ΝΘ), καὶ ἡ ἐν Καρθαγένῃ (Καν. ΜΖ).

ἀνεγίνωσκον οἱ Ἰουδαῖοι τιμῶντες ὡς μέγιστον προφήτην τὸν Δανιήλ. « Ἅπαντα γὰρ αὐτῷ παραδόξως, ὡς ἐνί τινι τῶν μεγίστων εὐτυχήθη προφητῶν » — Καὶ, « τὰ βιβλία, ὅσα δὴ συγγραψάμενος καταλέλοιπεν, ἀναγινώσκεται παρ' ἡμῖν ἔτι καὶ νῦν, καὶ πεπιστεύκαμεν ἐξ αὐτῶν, ὅτι Δανιῆλος ὡμίλει τῷ Θεῷ ». Καὶ ὡς ἔξοχον δὲ τῶν προφητῶν αὐτὸν ἀναγράφει. « Οὐ γὰρ τὰ μέλλοντα μόνον προφητεύων διετέλει, *καθάπερ καὶ οἱ ἄλλοι προφῆται*, ἀλλὰ καὶ καιρὸν ὥριζεν, εἰς ὃν ταῦτα ἀποβήσεται. Ὅθεν τὸ τῆς προφητείας ἀκριβὲς αὐτοῦ καὶ ἀπαράλλακτον ἐποίησε δῆλον » κτλ. (Ἰώσηπ. Ἀρχ. βιβλ. Ι. ια. §. 7. πρβλ. καὶ Θεοδωρήτου ἑρμην. εἰς Δανιὴλ πρὸς τῷ τέλει). Ἀλλὰ τίς ἡ χρεία τῶν Ἰωσήπου λόγων; Αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος Ἰεζεκιὴλ τοῦ προφήτου τὴν τοῦ Δανιὴλ *σοφίαν* ἐφανέρωσε, καὶ τὴν *δικαιοσύνην*, καὶ παρέβαλεν αὐτὸν πρὸς τὸν Ἰὼβ καὶ τὸν Νῶε (α). Αὐτὸς ὁ Κύριος ἡμῶν ἀνεκήρυξε προφήτην τὸν θεῖον Δανιὴλ, μνημονεύσας « τὸ βδέλυγμα τῆς ἐρημώσεως, *τὸ ῥηθὲν διὰ Δανιὴλ* τοῦ *προφήτου* » (Ματθ. κδ, 15: Μάρκ. ιγ, 14: καὶ Δαν. θ, 27. ιβ, 11). Φανερὸν δὲ, κἂν μὴ λέγωμεν ἡμεῖς, ὅτι προφήτην εἶχον τὸν Δανιὴλ καὶ οἱ Ἰουδαῖοι ἐκεῖνοι, πρὸς οὓς ὁ θεάνθρωπος Κύριος ἐλάλει προφέρων τὴν ῥῆσιν ἐκ τῶν αὐτοῦ προφητειῶν, ὡς κοινῶς ἀνωμολογημένων καὶ δημοσίως ἀναγινωσκομένων. Ἀλλὰ καὶ μετὰ τὸν α, αἰῶνα μέχρι καὶ αὐτῶν τῶν Ὠριγένους χρόνων οἱ Ἰουδαῖοι τὸν Δανιὴλ μετὰ τῶν ἄλλων τῶν μεγάλων προφητῶν συνηρίθμουν, ὡς φαίνεται ἐκ τοῦ καταλόγου τῶν ἐνδιαθήκων Γραφῶν, ὧν αὐτὸς Ὠριγένης οὐ μόνον ἑλληνικοῖς ἀλλὰ καὶ ἑβραϊκοῖς ὀνόμασιν ἐμνημόνευσεν (β). Ὁ δὲ κλεινὸς Ἀρχιδιάκονος πάντα ταῦτα παρα-

---

(α) Ἰεζεκ. ιδ, 14, 20: καὶ κη, 3, πρβ. Θεοδωρήτ. ἑρμην. αὐτόθ. — S. Hieronym. Comment. ibid. — καὶ Grot. καὶ Rosenmüll. in h. l.

(β) Ὠριγέν. *εἰς* Ματθ. *σελ.* 203. Col. *καὶ παρ'* Εὐσεβ. Ἐκκλ. *ἱστ.* ς. 25. *βλ. ὄπισθ. σελ.* 405. *Σημειωτέον δὲ, ὅτι ὁ Σειραχίδης τοὺς τρεῖς μεγάλους προφήτας καὶ τοὺς ιβ μνημονεύσας* (Σ. *Σειρ. μη, μθ*), *οὐ προσέθηκεν ὀνομαστὶ καὶ τὸν Δανιήλ.* Ἀλλ' *οὗτος συντομώτερου ἐκφραζόμενος, οὐδὲ τοῦ* Ἔσδρα (*καίτοι τὸν* Νεεμίαν *ὀνομάσας*), *οὐδὲ τοῦ* Ἰὼβ, *οὐδὲ τῆς* Ἐσθὴρ *ἐξ ὀνόματος ἐμνημόνευσεν.*

δραμὼν, συνεφώνησε μετὰ τῶν παραπλήκτων ῥαββίνων τῆς Χριστοκτόνου Συναγωγῆς. « Οἵτινες εἰς τοσαύτην ἀναισχυντίαν ἤλασαν, ὡς καὶ τοῦ χοροῦ τῶν προφητῶν τὸν Δανιὴλ ἀποσχοινίζειν, καὶ αὐτῆς αὐτὸν τῆς προφητικῆς προσηγορίας ἀποστερεῖν », ὡς εἶπεν ὁ μακάριος Θεοδώρητος (α), οὐχ ἁπλῶς μόνον (ὡς ὁ Ἱερώνυμος) ἀναφέρων, ἀλλὰ καὶ ἐξελέγχων τὴν μιαρὰν τῶν Ἰουδαίων δόξαν (ὡς ὤφειλε καὶ ὁ Δαλμάτης πατήρ!). Ἀλλ' εἴπερ ὁ κριτικὸς οὕτως ἠσμενίζετο γνώμαις ἀκράτως Ἰουδαϊκαῖς, τί μὴ προσετίθει πάλιν ἐξ αὐτοῦ τοῦ Μαϊμονίδου κἀκεῖνα; ὅτι « Καὶ Δανιὴλ καὶ οἱ Ψαλμοὶ καὶ Ῥοὺθ καὶ Ἐσθὴρ, πάντα διὰ Πνεύματος ἁγίου συνεγράφησαν, καὶ πάντα ἐν γένει *προφῆται καλοῦνται* » (β). Ἄλλος δέ τις Ῥαββὶς Ἰαχιὰδ, ἀνεκήρυξε τὸν Δανιὴλ « καὶ εἰς ἄκρον ὅρον τῶν προφητῶν ἐληλακότα » (γ). Καὶ αὐτοὶ δὲ, τέλος, οἱ Ταλμουδικοὶ καὶ ἄκοντες, προφήτην ἐμαρτύρησαν τὸν Δανιὴλ, καὶ « κρείττονα τῶν αὐτῷ συγχρονισάντων προφητῶν, Ἀγγαίου καὶ Ζαχαρίου καὶ Μαλαχίου· διότι οὗτος εἶδεν ὅρασιν προφητικὴν, ἣν ἐκεῖνοι οὐκ εἶδον » (δ). Οὕτω καὶ τοὺς Ἰουδαίους αὐτοὺς, καίτοι παραφρονοῦντας, διέφυγον ὅμως ἐν τῷ μεταξὺ καί τινα νηφάλια ῥήματα. Καθήσθωσαν λοιπὸν οἱ περὶ τὸν Ὅδιον, καὶ φυλλομετρήτω-

---

Ἴσως δὲ συμπεριέλαβε καὶ τὸν Δανιὴλ μετὰ τοῦ Ἰεζεκιὴλ, (ὅστις ἐκήρυξε τοῦ προφήτου τὸν ἔπαινον). Ἔπειτα καὶ ἄλλως, ἡ τοῦ Ἰεζεκιὴλ μαρτυρία πολλῷ τῆς Σειραχιδῶν σιωπῆς λαμπροτέρα καὶ παρ' Ἑβραίοις αὐτοῖς ἂν εἴη. Μήποτε δὲ καὶ ἐξέπεσε πρώϊμα τὸ ὄνομα τοῦ Δανιὴλ ἐξ αὐτοῦ τοῦ ἑβραϊκοῦ τεύχους τοῦ Σειράχ; (Βλ. Demagistr. ἐκδ. Δανιὴλ κατὰ τὰ τοὺς Ο, pag. 125—127).

(α) Θεοδώρ. Προθεωρ. ἑρμην. εἰς Δαν. σελ. 514. τ. β. ἐκδ. Εὐγεν. Ὅτι δὲ μετὰ τὸν α, αἰῶνα, καὶ ἴσως περὶ τὰ τέλη τοῦ β, ἐξεμάνησαν οἱ μισόχριστοι κατὰ τοῦ θείου Δανιὴλ (ὡς καὶ τὸν χρόνον τῆς παρουσίας τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Χριστοῦ σαφέστατα προθεσπίσαντος, καὶ τὰ τοὺς χριστοκτόνους μετὰ τὴν ἀπιστίαν καταληψόμενα λυπηρά) κτλ. συμπεραίνεται ἐξ ὅσων ὁ μακάριος Θεοδώρητος προστίθησιν (αὐτόθ.) πρβλ. Carpzov. Crit. Sacr. p. 140. καὶ pag. 977. Huet. Dem. Ev. Prop. IV.

(β) Παρὰ Hotting. Thesaur. Phil. L. II. pag. 510.

(γ) Jachiad παρὰ Hotting· ibid.

(δ) In Megilla c. 1. fol. 3. πρβλ: Carpzov. Crit. Sacr. p. 977. καὶ Huet. l. c. p. 153.

σαν, ὅσον θέλουσι, τὸ μηνολόγιον τῆς Συναγωγῆς, ἵνα καὶ ἐκ τούτου δείξωσι μηδ᾽ ἐπὶ τοῦ Ἀντιόχου τοῦ Δανιὴλ ἡρμηνευμένον μετὰ τῶν ἄλλων προφητῶν. Καὶ φερέσθω καὶ ὧδε τούτων ἡ κρίσις τὸν τῆς ἀπάτης στέφανον διπλοῦν, ὡς καὶ ταῦτα ψευσθεῖσα κἀκεῖνα, τὰ κατὰ τὸν Ἀντίοχον. Ἄλλοι δὲ τούτων καὶ σοφώτεροι καὶ θερμότεροι προὐχώρησαν καὶ πολὺ πορρωτέρω, γνωματεύσαντες, ὅτι καὶ μετὰ τὴν Χριστοῦ γέννησιν ἡρμηνεύθησαν αἱ προφητεῖαι τοῦ Δανιὴλ (α). Οὕτω καὶ βαθεῖα σοφία πολλάκις ἠερέθεται καὶ κενεμβατεῖ! Περὶ δὲ τῆς κατὰ τοὺς Ο τοῦ Δανιὴλ ἑρμηνείας, πότε, καὶ διὰ τὶ, καὶ εἴπερ ἀληθῶς ἐγκατέλιπεν αὐτὴν ἡ Ἐκκλησία, ἀντιτάξασα τὴν κατὰ Θεοδοτίωνα (ὡς Ὅδιος διατείνεται), λέγομεν ἐν τοῖς ἑξῆς (κεφ. Ι. §. ϛ. καὶ §. κδ-κε). Ἐνταῦθα μόνον ἓν ἀποροῦμεν· πῶς ὁ κριτικὸς, ἐν ᾧ περιεσάλπιζε ταύτην δὴ τὴν κατὰ Θεοδοτίωνα τοῦ Δανιὴλ ἀντικατάστασιν ἀντὶ τοῦ κατὰ τοὺς Ο, οὐκ ἔβλεπε συγχρόνως, ὅτι καὶ αὐτὸς λοιπὸν (ὃν μαρτύρεται) ὁ Ἱερώνυμος καὶ πᾶσα ἡ Ἐκκλησία ἐπεγίνωσκε τοὺς Ο, ἑρμηνεύσαντας καὶ τὸν Δανιήλ.

§. κε. Ἀλλὰ βαρυνθεὶς (ὡς ἔοικεν) ὁ κριτικὸς, καὶ ἀποδυσπεπτήσας πρὸς τὸ ζητεῖν ἐν ταῖς ἀγυιαῖς τῆς Ἀλεξανδρείας τοὺς ἐν διαφόροις καιροῖς ἰδιώτας τε καὶ μὴ, πεπαιδευμένους καὶ ἀπαιδεύτους ἐργάτας τῆς τῶν Ο, λεγομένης ἑρμηνείας (§. γ, §. δ, καὶ σελ. 195), παρέδωκε, τέλος, αὐτὴν τοῖς τυχοῦσιν, ὡς λείαν Μυσῶν, παντοίους τινας καὶ παντοδαποὺς εἰς προνομὴν αὐτῆς καὶ λεηλασίαν, οἷον διὰ κηρύγματος, ἐπαφιείς. Καὶ, « Δεῦρ᾽ ἴτε (κράζει) ὅσοι Αἰγύπτιοι, καὶ ὅσοι Σύροι, καὶ Παλαιστινοὶ, καὶ Ἀντιοχεῖς, βέβηλοι

---

(α) Michaelis Biblioth. IV. p. 30 καὶ Bertholdt übers. und Erkl. des Daniels I. p. 142. πρβλ. De-Wette Lehrb. der histor. krit. Einleit. in die Bibel etc. p. 61. Ἄλλον δέ τινα λῆρον ἔγραψεν ὁ Ῥωμαῖος Ἰσίδωρος ὁ Ἰσπάλων (Orig. VI. 2), « Ἰεζεκιὴλ καὶ Δανιὴλ ὑπό τινων σοφῶν ἀνδρῶν συγγεγράφθαι παραδίδονται » — Τοῦτο δὲ καὶ ὁ Schmid ἐσημείωσε (Histor. antiqua et vindicat. canon. etc. p. 263). Ἀλλ᾽ ὤφειλε προσθεῖναι, ὅτι ἡ γελοία γνώμη αὕτη προῆλθεν ἐκ τῶν Ταλμουδικῶν, οἵτινες καὶ ταῦτα καὶ ἄλλα τοιαῦτα βαβάζουσιν ἐν Bava bathra. c. 1. Βλ. A. Masij praef. Comm. in Jos.

πάντες καὶ ἀνοργίαστοι καὶ χειρώνακτες, ἅμας καὶ σκάφας ἀναλαβόντες, κατασκάψατε τὸν ἀρχαῖον τῆς ἱστορίας περίβολον. «*Ἐκκενοῦτε, ἐκκενοῦτε* ἕως *θεμελίων* τὸ καθωσιωμένον τέμενος τῶν πατρῴων περὶ τὰς θείας Γραφὰς παραδόσεων καὶ παντοίων μαρτυριῶν· καὶ εἰσπεσόντες εἰς τὸ ἄδυτον τῆς Ἀποστολικῆς Ἐκκλησίας ἀνάκτορον, ἁρπάσατε καὶ καταδιέλεσθε τὰς ἱερὰς τῶν Ο βίβλους, ὡς ἰδιόκτητα σκῦλα. Ἡμεῖς δὲ, ὡς ἐπιφανεῖς ἀγωνάρχαι, κατακυροῦμεν αὐτοδίκως ἐφ' ὑμῖν τὴν ἰδιοκτησίαν, καίτοι μηδ' αὐτὰς ὑμῶν τὰς ὀνομασίας ἔχοντες εἰπεῖν, τίνες καὶ πόθεν ἐστέ· ἀλλ' ἴτε!». Τοιοῦτό τι κήρυγμα ἐξέδωκε κατὰ τῆς θυγατρὸς Σιὼν ἡ θυγάτηρ τῆς Βαβυλῶνος κριτικὴ, κατατρέχουσα τὴν ἑρμηνείαν οὐχ ἧττον ἐμπαθῶς, ἢ ὅσον ὁ ἐπιφανὴς Ἀντίοχος τὴν *βίβλον τῆς Διαθήκης*. Ἀλλ' εἰς μάτην ἐβραγχίασεν ὁ λάρυγξ τοῦ κήρυκος. Ἕωλον δὲ τὸ κήρυγμα καὶ εὐρωτιῶν ἤδη καὶ καθ' ἡμᾶς ὁ Φράγκελος διεδέξατο (καίτοι ἄλλως οὗτος οὐκ ἄπο τρόπου ποιῶν) (α). Ἡ θεία Διαθήκη, ἣν ὁ Κύριος *μετὰ τὰς ἡμέρας ἐκείνας* διέθετο πᾶσι τοῖς ἔθνεσι διὰ τῶν Ο πρεσβυτέρων, καὶ ἐπεκύρωσεν ὕστερον διὰ τῶν ἁγίων Ἀποστόλων, τοῦτο τὸ *ἔγγραπτον κρίμα*, ὃ ἐξήγαγε *διὰ τῶν ὁσίων αὐτοῦ*, μένει διὰ παντὸς ἀκατάλυτον καὶ ἀβεβήλωτον. «Ἄδικοι δὲ *γραμματεῖς εἰς κενὸν ἐμελέτησαν*».

Μέχρι καὶ τοῦ λατινοβαρβάρου ἀπανθιστοῦ κατήντησεν ὁ πολυγράμματος Ὅδιος (§. δ), φέρων ἐξ αὐτοῦ λίαν ἀμφίβολον καὶ βεβιασμένην μαρτυρίαν, ὅτι ὁ Ἀντίοχος ἠνάγκαζε τοὺς Ἰουδαίους ἑλληνιστὶ διαλέγεσθαι (διὸ καὶ τότε λοιπὸν ἐξελλήνιζον τοὺς Προφήτας!).

---

(α) Οὕτω καὶ οὗτος ὁ σοφὸς Ἰουδαῖος διαφόρων καὶ τόπων καὶ χρόνων καὶ προσώπων ἔργον ἀνακηρύττει τὴν ἑρμηνείαν (βλ. ὄπισθ. σελ. 22). Τὸν Ἡσαΐαν ἐξάγει ἐκ μέσου τοῦ κατὰ τὸν Ἡλιουπολίτην νομὸν ἐν τῇ Λεοντοπόλει κτισθέντος Ὀνιείου· Τὸν Ἰεζεκιὴλ, ἐκ τῆς Κυρήνης, ἤ τινος ἄλλης ἰουδαϊκῆς ἀποικίας τῶν ἐν τῇ βορρειοτέρᾳ Ἀφρικῇ. Τὸν Δανιὴλ, ἔκ τινος γωνίας τῆς μικρᾶς Ἀσίας. κτλ. (βλ. Frankel. l. c. p. 38—41). Οὕτως ὁ Ῥαββῖνος κριτικὸς εἴωθεν ἀείποτε πάντα τὰ παρὰ τοῖς προλαβοῦσι καινοτόμοις εἰρημένα ἄτοπα καὶ σαπρὰ συνάγειν καὶ συντιθέναι πρὸς τὸ σοφιστικώτερον· ὡς ὁ τοῦ κωμικοῦ μάγειρος, «ὅστις ἐξωμοποίει, ἕωλον ἰχθῦν ἐπαναπλάττων, καὶ λείψανα ἡμίβρωτα συντιθείς».

Ἀλλ᾽ ὁ Ἰώσηπος ἱστόρησεν, ὅτι καὶ πρὶν ἢ στρατεύσῃ κατὰ τῶν Ἱεροσολύμων ὁ Ἀντίοχος ὑπῆρχον ἑλληνίζοντες Ἰουδαῖοι, ὡς ὁ ἀρχιερεὺς Ἰησοῦς, ὃς *Ἰάσωνα ἑαυτὸν μετωνόμασε*, καὶ Ὀνίας ὁ *Μενέλαος* κληθεὶς, ὅστις καὶ πρῶτος ἐπρέσβευσε πρὸς Ἀντίοχον μετ᾽ ἄλλων τινων, « δηλοῦντες αὐτῷ, ὅτι *βούλονται* τὴν ἑλληνικὴν πολιτείαν ἔχειν,- καὶ γυμνάσιον ἐν Ἱεροσολύμοις οἰκοδομῆσαι » κτλ. (Ἰώσηπ. Ἀρχ. ΙΒ. ε. §. 1. πρбλ. Β. Μακκ. δ, καὶ ε)· βίαν δὲ πρὸς τὸ *ἑλληνιστὶ διαλέγεσθαι* οὐδεμίαν ἰδίως τοῖς Ἰουδαίοις ὑπ᾽ Ἀντιόχου ἐπενεχθεῖσαν οὔτε τῶν Μακκαβαίων ἡ βίβλος, οὔτε ὁ Ἰώσηπος ἱστόρησε. Πᾶν δὲ μάλιστα τοὐναντίον ἔτι καὶ κατὰ τοὺς Ἀλεξάνδρου τοῦ μεγάλου χρόνους οἴκοθεν ἠσπάζοντο τὸ ἑλληνίζειν οἱ Ἰουδαῖοι, ἄσμενοι καὶ ἐκ προαιρέσεως, διὰ τὴν μετὰ τῶν Ἑλλήνων ἐπιμιξίαν (α). Καὶ μάρτυς ὁ Ἰουδαῖος ἐκεῖνος, ὃν ὁ Ἀριστοτέλης (κατὰ τὴν Κλεάρχου μαρτυρίαν) εὔρηκεν ἐν Ἀσίᾳ « *καὶ τῇ διαλέκτῳ καὶ τῇ ψυχῇ ἑλληνικόν* ». Τοιοῦτος ἦν καὶ Ἐζεκίας, ἀρχιερεὺς τῶν Ἰουδαίων, ὃν ἱστόρησεν Ἑκαταῖος ἐπὶ Πτολεμαίου τοῦ Λαγίδου « *λέγειν δυνατόν* »· ὁ δ᾽ αὐτὸς τότε « πρός τινας *ἀνέγνω καὶ τὴν* (ἰουδαϊκὴν δηλαδὴ) *πολιτείαν, ἣν εἶχε γεγραμμένην* » (ἑλληνιστὶ πάντως) (б). Τοιοῦτοι ἦσαν ἐφεξῆς καὶ οἱ ἐπ᾽ αὐτοῦ Λαγίδου, καὶ ἐπὶ τοῦ Φιλαδέλφου (ἐφ᾽ οὗ καὶ μέχρις Αἰθιοπίας ἡ ἑλληνικὴ παιδεία διεβεβήκει) (γ), ὅ,τε μέγας ἀρχιερεὺς Ἐλεάζαρος, καὶ οἱ Ο τῶν Γραφῶν ἑρμηνεῖς. Ἐξ ἐκείνης τῆς σχολῆς ἐξῆλθε καὶ Ἰώσηπος ἐκεῖνος ὁ ἐπὶ τοῦ Πτολεμαίου, τοῦ Α. Εὐεργέτου (μεθ᾽ οὗ συνδιελέγετο ἡδέως ὁ βασιλεύς. Ἰώσηπ. Ἀρχ. ιβ. δ. §. 3. κτλ.), καὶ

---

(α) Ὅθεν ἀνακράζει καὶ ὁ Μύκκης· « Graeca lingua inde à temporibus Alexandri Magni Judaeis ita erat familiaris et cognita, ut nemo fere esset, qui eam ignoraret ». Mücke De Orig. Version. LXX. p. 49.

(б) Ἰώσηπ. κατ᾽ Ἀπίων. Α. §. κб. Ἀρχιερέα δὲ λέγει ὁ Ἑκαταῖος τὸν Ἐζεκίαν, ὡς τοῦ μεγάλου ἀρχιερέως (τοιοῦτος δ᾽ ἦν τότε Ὀνίας ὁ πρῶτος) δεύτερον κατὰ τὸ ἀξίωμα, (βλ. Usser. ad A. M. 3693, καὶ σημ. εἰς Ἰώσηπ. αὐτόθ. Hav.). βλ. καὶ ὄπισθ. σελ. 304. — (γ) « Κατὰ δὲ τὸν δεύτερον Πτολεμαῖον, ὁ βασιλεὺς τῶν Αἰθιόπων Ἐργαμένης, μετεσχηκὼς ἑλληνικῆς ἀγωγῆς, καὶ φιλοσοφήσας » κτλ. Διόδωρ. Γ. §. 6. Τ. Α. σελ. 178, Wes.

ἄλλοι, καὶ Ὀνίας αὐτὸς ὕστερον, ὁ τοῦ κατ᾽ Αἴγυπτον Ὀνιείου παράνομος ἱδρυτής, καὶ αὐτὸς ὁ καὶ τὰ ἤθη καὶ τὴν εὐσέβειαν παππῴζων Σειραχίδης, οὐχὶ πάντως τῆς Ἀντιόχου μυθώδους βιαιοδιδασκαλίας παιδεύματα γεγονότες! Ταῦτα διδάσκει λόγος ὀρθὸς καὶ ἡ ἱστορικὴ ἀλήθεια! Ἡ δὲ τῶν *Λατινοβαρβάρων ἀποσπασμάτων* (Excerptorum Chronologicorum Latinobarbarorum) τραυλόφωνος μοῦσα χαιρέτω. Παράδοξον δὲ καὶ τὸ ποριζόμενον ἀπὸ τοῦ Λυσιμάχου, τοῦ μεταφραστοῦ τῆς (ἧς πάλιν μνημονεύει) φρουραίας ἐπιστολῆς, ἐπιχείρημα τοῦ κριτικοῦ (§. δ.). Ἀλλ᾽ ὦ Ὄδιε, εἴπερ ὁ Λυσίμαχος οὗτος μιᾶς καὶ μόνης, καὶ ταύτης ὀλιγοστίχου, ἐπιστολῆς πολὺ τῶν Ο κατόπιν (καθὼς λέγεις) γενόμενος ἑρμηνεὺς, οὐκ ἀπεσιωπήθη, ἀλλ᾽ ἐγράφη « *χαραχθεὶς ἐν μνήμαις κυπαρισσίναις* », αὐτός τε καὶ ὁ πατὴρ αὐτοῦ, καὶ ἡ πατρὶς, ὡσαύτως δὲ κἀκεῖνος, ὁ τὴν ἑρμηνείαν ὕστερον εἰς τοὺς Ἀλεξανδρεῖς εἰσενεγκὼν Δοσίθεος, καὶ τὸ τούτου γένος καὶ ἐπάγγελμα, καὶ ὁ υἱὸς, καὶ ὁ χρόνος προσέτι καθ᾽ ὃν εἰσήνεγκε τὴν ἐπιστολὴν, πῶς λοιπὸν οἱ τοσοῦτον περὶ τὴν ἑρμηνείαν τῶν Γραφῶν ἀκριβεῖς Ἰουδαῖοι ἠδύναντο βαθυτάτῃ σιγῇ παρελθεῖν, εἴ τινες καὶ ἄλλοι, πλὴν τῶν Ο, μετέφραζον (ὡς λέγεις) καὶ ἄλλα τινὰ βιβλία τῆς Γραφῆς; Ἀλλὰ ταῦτα μὲν καὶ τὰ τοιαῦτα παρεῖδεν ἀθεώρητα ὁ σοφώτατος ἀνήρ· πλάττει δὲ, καθάπερ πηλίνους τινὰς πιθήκους, ὅσους καὶ οἵους καὶ ὅθεν βούλεται τῶν γραφῶν ἑρμηνεῖς, καὶ ἀπὸ μιᾶς τινος λέξεως εἰσάγει τούτους ἐπιγινωσκομένους πολλῷ πλέον εὐχερέστερον καὶ βεβαιότερον, ἢ ὅσον οἱ τραγῳδοὶ ποιοῦσι τὴν Ἠλέκτραν γνωρίζουσαν τὸν ἀδελφόν. Οὕτω παρέστησε Σύρον, ἢ Συρίζοντα Ἀλεξανδρέα καὶ τὸν ἑρμηνέα τοῦ Ἐκκλησιαστοῦ, παραβιάζων καὶ αὐτὴν τοῦ Ἱερωνύμου τὴν μαρτυρίαν, τοῦ πρώτως καὶ μηδ᾽ ἀκριβῶς εἰσηγησαμένου τὴν συριακὴν τῆς λέξεως ἐκδοχὴν (§. δ. σημ. ).

§. κϛ. Μετὰ ταῦτα μεταβαίνει εἰς τὴν ῥῆσιν τὴν ἐν τῷ προοιμίῳ τῆς Σοφίας Σειρὰχ (§. ε), ὡς ἀποδείξων καὶ ἐξ αὐτῆς οὐχὶ πάντα τὰ βιβλία τῆς Γραφῆς ἡρμηνευμένα ἐπὶ τοῦ Σειραχίδου.

Καὶ πρῶτον μὲν ἐξετάζει τὸν χρόνον, καθ' ὃν ἤκμασεν οὗτος ὁ τῆς τοῦ πάππου Σοφίας μεταφραστής· καὶ λέγει πιθανά. Εἰ δ' ἔχουσι τὰ λεγόμενα καί τινας ἀντιῤῥήσεις (α), ἡμεῖς οὐδὲν ἀντιλέγομεν (διότι βλέπομεν ὅτι, κἂν ὁ Σειραχίδης ἐπὶ τοῦ β, Εὐεργέτου τεθῇ, οὐδὲν Ὅδιος ὠφελήσεται)· καὶ κείσθω λοιπὸν ὁ ἔγγονος Ἰησοῦ τοῦ Σειρὰχ ἐπὶ τοῦ 38 ἔτους τοῦ β, Εὐεργέτου μεθερμηνεύσας ἐν Ἀλεξανδρείᾳ τὴν *Πανάρετον* τοῦ πάππου Σοφίαν (ϐ). Πότε δὲ αὕτη καὶ συνεγράφη ἑϐραϊστὶ ὑπὸ Ἰησοῦ υἱοῦ Σειράχ, ἀδιόριστον καὶ τοῦτο μένει παρὰ τοῖς κριτικοῖς. Οἱ μὲν θέλουσιν, ὅτι περὶ τὰ τέλη τῆς τοῦ Λάγου βασιλείας, καὶ τὰς ἀρχὰς τῆς τοῦ Φιλαδέλφου (γ), ἢ καὶ μικρῷ μετὰ τὸν θάνατον τοῦ πρώτου Σίμωνος τοῦ Δικαίου (ὃν μνημονεύει Κεφ. ν. §. 1), καὶ ἑπομένως περὶ τὸ τέλος τῆς Φιλαδέλφου βασιλείας. Ὀλίγῳ δὲ τούτων ἀπέχουσιν, ὅσοι μικρὸν ὑποκαταϐαίνουσιν εἰς τοὺς χρόνους τοῦ Α, Εὐεργέτου, υἱοῦ καὶ διαδόχου τοῦ Φιλαδέλφου (περὶ τὸ 231. π. Χ.). Πάντων δ' ἀπιθανώτατα χρονολογοῦσιν, ὅσοι κατάγουσι τὴν συγ-

---

(α) Οἷον· τὸ 38 ἔτος ἐπὶ τοῦ Εὐεργέτου βασιλέως οἱ περὶ τὸν Ῥεινάρδον καὶ μετὰ τὰς Ὀδίου δείξεις ἐκλαμϐάνουσιν ὡς σημαῖνον, ἢ τὸν χρόνον τῆς εἰς Αἴγυπτον ἀφίξεως τοῦ Σειραχίδου (ἦλθε δὲ κατὰ τὸν ἐπ' Ἀντιόχου τοῦ Ἐπιφανοῦς διωγμὸν, καταφυγὼν εἰς Αἴγυπτον, ὡς ὁ Καλμέτης διορίζει (Preface sur. le livr. d'Eccles.), ἢ (τὸ πιθανώτερον) τὸν ἀφ' οὗ ὁ πάππος αὐτοῦ Ἰησοῦς ἐξέδωκεν ἑϐραϊστὶ τὸ βιϐλίον· Reinhard de vers. Alexandrina etc. Dissert. I. §. 5. p. 15. Ὁ δὲ Γαλάτης Κλήμης (Clemens) τάσσει καὶ τοὺς χρόνους ἐπὶ τῆς ἡλικίας τοῦ μεταφραστοῦ, καὶ τὴν ἑρμηνείαν ἐπὶ τοῦ Α, Εὐεργέτου (Βλ. Ἀνασκευὴν τῆς τελευταῖον διερμηνευθ. Διαθήκ. σελ. 56). πρϐλ. καὶ Herm. Janssens. Herméneut. sacrée etc. p. 181.

(ϐ) « Π α ν ά ρ ε τ ο ν σοφίαν τὰς Σολομῶντος Παροιμίας ἐκάλουν » (Εὐσέϐ. Ἐκ. ἱστ. Δ, κβ.). Εἶπον δὲ καὶ τὴν Σολομῶντος Σοφίαν Π α ν ά ρ ε τ ο ν (Ἀθανάσ. ἐν Συνόψ. καὶ Ἐπιφ. π. Μέτρ.), καὶ αὐτὴν τὴν σοφίαν τοῦ Σειράχ. « Ἡ πανάρετος τοῦ Ἰησοῦ » (Ἱερών. praef. εἰς Παροιμ. Σολ.). Αὕτη δὲ παρὰ τοῖς Λατίνοις ἐπιγέγραπται Ἐ κ κ λ η σ ι α σ τ ι κ ὸ ς, Ecclesiasticus. διότι περιέχει καὶ παροιμίας καὶ γνώμας πολλὰς, ὡς αἱ Παροιμίαι καὶ ὁ Ἐ κ κ λ η σ ι α σ τ ὴ ς τοῦ Σολομῶντος. Ὅθεν ταύτην ὁ Ῥουφῖνος καὶ ἄλλοι τινὲς τῶν Ῥωμαίων ἀπερισκέπτως εἰς τὸν Σολομῶντα ἀπένεμον· (βλ. Huet. Dem. Evang. Prop. IV. vol. 1. p. 231. καὶ Vales. annot. in Euseb. u. s). — (γ) Βλ. Ἀνασκευὴν τῆς τελευτ. διερμην. Διαθήκ. σελ. 56.

γραφὴν εἰς τὰς ἀρχὰς τῆς βασιλείας τοῦ Φιλομήτορος (α). Τὸ δὲ χρονικὸν τῆς Ἀλεξανδρείας ἐπικυροῖ τὴν γνώμην τῶν ἐπὶ τοῦ πρώτου Εὐεργέτου τιθεμένων τὴν πρώτην τῆς Σειραχείου Σοφίας συγγραφὴν, λέγον· « Κατὰ τοῦτον (τὸν ἀρχιερέα Σίμωνα, Ὀλυμπιάδ. ρλζ, τὸ δ, ἤτοι τῷ 18 τῆς Εὐεργέτου τοῦ Α, βασιλείας) Ἰησοῦς ὁ τοῦ Σειρὰχ τὴν καλουμένην Πανάρετον Σοφίαν συντάξας, αὐτοῦ τοῦ Σίμωνος ἐμνημόνευσε » (β). Τοῦτον ἀντέγραψε καὶ ὁ Κεδρηνός. Ὅτι δὲ τῶν ἀρχαίων οὐδεὶς εἶπε τὸν Σειραχίδην ὅτι κατέμιξε καί τινα τῶν ἐξ ἑαυτοῦ εἰς τὴν ἑρμηνείαν τῆς τοῦ πάππου Σοφίας (ὡς Ὅδιος ὑπέλαβεν), ἐσημειώσαμεν ἐν τοῖς ἔμπροσθεν (σελ. 545) (γ). Πρόσθες καὶ τὰ τοῦ θείου Ἐπιφανίου· « Ἡ Σοφία τοῦ Ἰησοῦ υἱοῦ τοῦ Σειρὰχ, ἐγγόνου δὲ τοῦ Ἰησοῦ, τοῦ τὴν σοφίαν ἑβραϊστὶ γράψαντος, ἣν ὁ ἔγγονος αὐτοῦ Ἰησοῦς ἑρμηνεύσας ἑλληνιστὶ ἔγραψε » (δ)· καὶ ταῦτα μὲν οὕτω. Τὴν δ' ἐν τῷ Προλόγῳ

(α) Βλ. Marchini de divinit. et canon. sacr. Libr. p. 133—136. πρβλ. Huet. Demonst. Ev. Prop. IV. p. 230. — Schoell. Hist. de la littér. Grec. vol. 3. p. 416. — (β) Ἀλεξανδρ. Χρονικ. σελ. 331. Bon. Βλ. καὶ Συγέλ. Χρονογρ. σελ. 525. τόμ. α. καὶ ἐν τόμ. β. σελ. 513. ἐκδ. Bon. τὴν διόρθωσιν τοῦ παρὰ τῷ Συγκέλλῳ ὑπὸ τῶν ἀντιγραφέων διεφθαρμένου χωρίου, ἀνθ' οὗ μάτην ὁ Σύγκελλος ἐλέγχεται παρὰ Fabric. Biblioth. Gr. vol. 3. p. 720 Harl.

(γ) Ὁ δὲ Βερνισδόρφιος θρασύτερον οὐδ' ὑπάρξαι πώποτε τὸ ἑβραϊκὸν πρωτότυπον ἐτόλμησεν ἀποφήνασθαι (G. Wernsdorf. Dissert. quod liber Sapientiae etc. Witemb. 1702). Ἀλλὰ τὸ ἑβρ. πρωτότυπον τοῦ Σειρὰχ ἀπώλετο πρόπαλαι. Ὁ Ἱερώνυμος (praef. in Proverb.) λέγει, ὅτι εἶδε τὸ ἑβραϊκόν. Ὁ δὲ Σκαλίγηρος εἰς μάτην ὑπέλαβεν ὅτι μετάφρασιν μᾶλλον ἑβραϊκὴν ἐκ τοῦ ἑλληνικοῦ εἶδεν ὁ Ἱερώνυμος· τὸ δὲ νῦν παρ' Ἑβραίοις φερόμενον (ὡς λέγουσι) μετάφρασίς ἐστιν ἐκ τοῦ ἑλληνικοῦ. Ἄλλο δέ τι τὸ παρ' αὐτοῖς Ben-Sira. βλ. Fabric. Bibl. Gr. l. c. καὶ Huet. l. c.

(δ) Ἐπιφ. π. Μέτρ. §. δ. βλ. καὶ Αἱρέσ. οϛ. σελ. 941. πρβλ. Δαμασκην. Ὀρθοδ. Πίστ. Δ. 17. Οὕτως οἱ Πατέρες γράφουσι τὸν ἑρμηνεύσαντα ἔγγονον ὁμωνύμως πρὸς τὸν πάππον τὸν συγγράψαντα τὴν σοφίαν « Ἰησοῦν υἱὸν Σειράχ » (ὡς αὐτὸς ἑαυτὸν ὀνομάζει. Σ. Σειρ. ν. 27). « Ἐπικέκληκε γὰρ ὁ ἑρμηνεύσας τὴν Σοφίαν ἐπί τε τῷ αὐτοῦ (Ἰησοῦς), καὶ τῷ τοῦ πατρὸς (Σειράχ), καὶ τὸ τοῦ πάππου (Ἰησοῦ Σειρὰχ) ὀνόματι ». Ἀθανάσ. Συνόψ. βλ. ὄπισθ. σελ. 545. Ἐν δὲ τῷ Βατικανῷ καὶ Ἀλεξανδρινῷ ἀπογράφῳ τὸ βιβλίον ἐπιγράφεται (συντομώτερον ἴσως) « Σοφία Σειράχ ». Οὕτω καὶ Νεῖλος ἐπιστολ. 118 (καὶ συνήθως παρὰ πολλοῖς). Ὁ δὲ σοφὸς Ὑέτιος ὑπέλαβεν, ὅτι τὴν τοῦ πάππου ὀνομασίαν ἀπέδωκαν

λέξιν *ἀφόμοιον* ὁ μὲν κριτικὸς διώρθωσεν εἰς τὸ *ἀφορμὴν* (§. ϛ), ὡς καὶ ἄλλοι πρὸ αὐτοῦ· (οἱ δέ τινες καὶ εἰς *ἐφόδιον* ἔτρεψαν)· ἀλλ' ὅμως τὰ ἀρχαιότατα τῶν ἀντιγράφων (ἐξ ὧν καὶ αἱ ἐπισημόταται ἐκδόσεις) *ἀφόμοιον* ἔχουσι (καί τινα, *ἐφόμοιον*. βλ. τὸ Βατικ. ἐκδ. Βῶς) (α). Καὶ μᾶλλον πιθανώτερον φαίνεται λοιπὸν, ὅτι *ἀφόμοιον* ἔγραψε γνησίως ὁ Σειραχίδης· καὶ τοῦτο πάλιν ἀντὶ τοῦ *ἀφομοίωμα*, τουτέστι *παράδειγμα*, πρὸς ὃ δηλαδὴ καὶ αὐτὸς ἀποϐλέπων, « ἀναγκαιότατον ἐθέμην (λέγει) προσενέγκασθαί τινα σπουδὴν καὶ φιλοπονίαν τοῦ μεθερμηνεῦσαι τήνδε τὴν βίϐλον ». Καὶ ποῖον μὲν ὁ Σειραχίδης ἐννοεῖ τοῦτο δὴ « *τὸ πολλῆς παιδείας* ἀφόμοιον, ἢ *ἀφομοίωμα* » (τὸν σύλλογον ἆρα τῶν τότε κατ' Ἀλεξάνδρειαν πεπαιδευμένων ἑλληνιστῶν, ζῆλον ἐμποιοῦντα πρὸς μίμησιν, ἤ τινας ἀξιολόγους τῶν τοιούτων συγγραφάς;), ἄδηλον. πρόδηλον δὲ ὅμως καὶ προφανὲς, ὅτι οἱ κατόπιν τοῦ *ἀφόμοιον* ἀκολουθοῦντες λόγοι τοῦ Σειραχίδου οὐδόλως συμφωνοῦσι πρὸς τὸ *ἀφορμὴν* (ὡς διώρθωσεν ὁ κριτικὸς, ὅστις καὶ ἄλλως τὴν λέξιν παρερμηνεύει, παντάπασιν ἀπαίδευτον καὶ τῆς Ἑλληνίδος ἄμοιρον εἰσάγων εἰς τὴν Αἴγυπτον τὸν Σειραχίδην!). Καὶ ταῦτα μὲν παροδικώτερα· ἔλθωμεν δὲ καὶ πρὸς αὐτὸν τοῦ λόγου τὸν σκοπόν.

§. κζ. Ὁ Σειραχίδης λέγει· « Ὁ Νόμος καὶ αἱ Προφητεῖαι

---

*καὶ εἰς τὸν ἔγγονον οἱ Πατέρες, διότι ἀναγνόντες ἐν τῷ προλόγῳ « Σοφία Ἰησοῦ υἱοῦ Σειρὰχ πρόλογος », συνῆψαν τὸ πρόλογος πρὸς τὸ Ἰησοῦ κτλ. δέον στίζειν εὐθὺς μετὰ τὸ Σειράχ ». Ἀλλ' ὁ κλεινὸς ἀνὴρ ἠπατήθη, νομίσας ὅτι δύναταί τις Ἕλλην συνάψαι τὸ πρόλογος πρὸς τὸ Ἰησοῦ, καταλιπὼν ἀσύντακτον καὶ μεμονωμένον τὸ Σοφία. Πρόσθες, ὅτι καὶ ἐν τοῖς εἰρημένοις ἀπογράφοις ὁ πρόλογος ἀναγινώσκεται προηγουμένως (Πρόλογος Σοφίας [Ἰησοῦ] Σειράχ). Ὅθεν οὐκ ἀδίκως οἱ Πατέρες εἶπον καὶ τὸν ἔγγονον ὁμώνυμον τῷ πάππῳ. Ἡ δὲ γνώμη τῶν Ταλμουδικῶν (ἣν φαίνεται προτιμῶν ὁ Ὑέτιος) πλανᾶται προφανῶς. Διότι καταλέγουσι μὲν ἐν τοῖς ἁγιογράφοις* (Kethubim) *καί τινας* ΜΔ, *γνώμας τοῦ* Ben - Sira *(υἱοῦ Σειρᾶ)· ἀλλ' ἀγνοοῦσι τούτου τὴν κυριωνυμίαν· τὸν δὲ ἔγγονον λέγουσιν Ἰώσηπον!* Huet. l. c. p. 234. — Schoell. l. c. p. 440. — Fabric. Biblioth. Graec. vol. 3. p. 718 Harl. *Καὶ ὁ* Bochart. (Hieroz.) *ψευδεπίγραφον λέγει τὸ* Ben - Sira.

(α) Βλ. Critic. Sacr. T. V. p. 7315. ὅπου ὀρθῶς ὁ Γρότιος τὸ ἀφόμοιον προτιμᾷ, καὶ exemplum (παράδειγμα) μεταφράζει.

καὶ ΤΑ ΛΟΙΠΑ τῶν βιβλίων. Ὁ δὲ Ὅδιος ἀντὶ τοῦ « *τὰ λοιπὰ* » γράφει ΚΑΙ ΑΛΛΑ (alios). Καὶ τοῦτο πάλιν ἐξηγῶν, « τοῦτο δὲ (λέγει) τὸ *καὶ ἄλλα* οὐκ ἐκλειπτέον ἐξ ἀνάγκης *ἐπὶ πάντων τῶν ἄλλων* βιβλίων τῆς γραφῆς· δυνατὸν γάρ, ὅτι κτλ. » (§. ζ). Οὕτως ὁ κριτικὸς μεταξὺ *τοῦ ἀναγκαίου καὶ τοῦ δυνατοῦ*, μηδὲν δέον, φιλοσοφῶν, προκρίνει *τὸ δυνατὸν* εἰς ἀναίρεσιν *τοῦ ἀναγκαίου*. Ὁ Σειραχίδης λέγει ἐνάρθρως, *ΤΑ λοιπά*· καὶ πᾶς τις ἑλληνίζων, εἰδὼς τὴν ὁλοκληρωτικήν, καὶ ἐπὶ τῶν μάλιστα γνωστῶν ὁριστικὴν τοῦ ἄρθρου δύναμιν, ἐννοεῖ *κατὰ πᾶσαν ἀνάγκην* ὁλοσχερῶς καὶ διωρισμένως ΠΑΝΤΑ *τὰ λοιπὰ βιβλία* τῆς γραφῆς. Ὅλα δηλονότι τὰ (μετὰ τὸν Νόμον καὶ τοὺς Προφήτας) ὑπόλοιπα βιβλία, τὰ συναπαρτίζοντα τὸ πλήρωμα ὁλοκλήρου τοῦ ἱεροῦ κώδηκος (ἅπερ Ἰώσηπος μὲν καὶ Φίλων ἐπωνόμασαν *ὕμνους*, οἱ δὲ πολλῷ μεταγενέστεροι Ῥαββῖνοι, προστιθέντες καὶ ἄλλα κατ' ἄλλην διαίρεσιν, προσεῖπον Γραφεῖα καὶ Ἁγιόγραφα· βλ. σελ. 428). Ὥστε, ὅ,τι εἶπε ῥητῶς ὁ μικρῷ τοῦ Σειραχίδου προγενέστερος Ἀριστόβουλος, « τὰ διὰ τοῦ Νόμου ΠΑΝΤΑ » (ὄπισθ. σελ. 456), τοῦτ' αὐτὸ εἶπεν ὁ Σειραχίδης, καθ' ὁλομερῆ διαίρεσιν, ἢ κεφαλαιώδη ἀπαρίθμησιν, « *τὸν νόμον καὶ τὰς προφητείας καὶ τὰ λοιπὰ τῶν βιβλίων* ». Ὁ δὲ Ὅδιος ἀντὶ τοῦ ΤΑ λοιπὰ γράφει ἀορίστως *ἄλλα*, καὶ ταῦτα πάλιν (ἐπεκτείνων ἐπὶ πλέον τὴν ἀοριστίαν τῆς ποσότητος) ἐπεξηγεῖ κατὰ χρόνον συνεσταλμένον, « ὅσα ἤδη (μέχρι τοῦ Σειραχίδου) προϋπῆρχον ἡρμηνευμένα ». « Ταῦτα (λέγει) δυνατὸν ὅτι ἐνόει ὁ Σειραχίδης »! Κρῖνον ἤδη, ἀναγνῶστα, κατὰ σεαυτόν, εἴπερ ὁ κριτικώτατος Ὅδιος (ᾧ τινι καὶ ἄλλοι σοφοὶ κατὰ δυστυχίαν παρηκολούθησαν), ἐν ᾧ τοιουτοτρόπως διέφθειρε τῶν Σειραχίδου λόγων τὸν νοῦν, οὐκ ἐπρέσβευε παρόμοιον ἀξίωμα πρὸς ἐκεῖνο τὸ τοῦ Λυσάνδρου. « Ὅτι τοὺς μὲν παῖδας ἀστραγάλοις δεῖ ἐξαπατᾷν, τοὺς δὲ ἄνδρας σοφίσμασι ! (α).

---

(α) Βλ. τὸν Ῥεϊνάρδον (Reinhard De vers. Alexandr. auctor. et usu §. 5. p. 15)· ὅστις ὀρθῶν ἐξηγῶν τοὺς Σειραχίδου λόγους (ὡς ὤφειλε, καὶ τοὺς Ἀριστοβούλου **καὶ Ἰωσήπου** §. 3), ἀντιλέγει γενναίως πρὸς τὸν Ὅδιον. (πρβλ. καὶ

§. κη. Οὕτω δ' ὁμαλὴν καὶ ὀλισθηρὰν προλεάνας ὁ κριτικὸς τὴν ἐξήγησιν τῆς Σειραχείου ῥήσεως, διέδραμεν ἔπειτα δι' αὐτῆς

---

Valcken. de Aristob. p. 61). Ὁ δ' ἀρχιραββῖς ὁ Φράγκελος Ὀδίῳ πρὸς τοῦτο τὸ θεώρημα διδασκάλῳ χρησάμενος, ἀπέδειξε καὶ ἔργῳ, ὅτι «πολλοὶ μαθηταὶ κρείττονες διδασκάλων». Ἀφ' οὗ πρῶτον ὡμολόγησεν ἀγανακτῶν, ὅτι «ἡ προκειμένη ῥῆσις τοῦ Σειραχίδου ἐχορήγησε πολλὴν ὠφέλειαν τοῖς νομίζουσιν ὅτι ὅλη ἡ παλαιὰ Γραφὴ ἐξελληνίσθη ἐπὶ τοῦ Φιλαδέλφου», ἐπεχείρησε διαστρέψαι τὴν ῥῆσιν τοῦ Σειραχίδου· τί λέγων; ἄκουε. «Ὁ Σειρὰχ ἐκφράζεται ἀορίστως· λέγει γὰρ, οὐχ οἱ Προφῆται, ἀλλ' «αἱ προφητεῖαι». Ταῦτα δὲ ἠδύναντο εἶναι χωρία τινὰ προφητικὰ, μεθηρμηνευμένα πρὸς χρῆσιν ἴσως τῆς Συναγωγῆς, ἢ πρὸς ἄλλην χρείαν ἰδιαιτέραν. — Ἔπειτα (λέγει) ὁ Σειρὰχ ζητεῖ συγγνώμην, εἰ μὴ δόξει σύμφωνος ἡ μετάφρασις πρὸς τὸ πρωτότυπον τῆς τοῦ πάππου σοφίας, καὶ προστίθησιν. «Οὐ γὰρ ἰσοδυναμεῖ αὐτὰ ἐν ἑαυτοῖς ἑβραϊστὶ λεγόμενα, καὶ ὅταν μεταχθῇ εἰς ἑτέραν γλῶσσαν». Καὶ εὐθὺς ἐπακολουθοῦσιν αἱ ἀνωτέρω λέξεις (αἱ, Ἀλλὰ καὶ αὐτὸς ὁ νόμος καὶ αἱ προφητεῖαι, κτλ.) αἵτινες ἀνάγοιντ' ἂν ἐπίσης καλῶς καὶ εἰς τὴν Χαλδαϊκὴν καὶ εἰς τὴν ἑλληνικὴν ἑρμηνείαν» (Frankel, l. c. p. 22). Τοιαῦτα σοφιστεύεται ὁ Φράγκελος οὐδόλως φροντίσας, μήπως ἐκ τῆς σοφιστείας ἀναφανῇ καὶ τῶν ἄρθρων τῆς ἑλληνίδος γλώσσης, καὶ τῆς ὅλης συμφράσεως ἀμαθής. Ἀλλὰ Α) ὁ Σειραχίδης γράψας Αἱ προφητεῖαι, συμπεριέλαβε πάσας τὰς προφητείας, ἤτοι πάντα τὰ βιβλία τῶν προφητῶν. Οὕτω καὶ ἐν Β, τῶν Παραλειπομένων (λβ, 32) ἀναγινώσκομεν (ὅπερ διέφυγε τὸν Φράγκελον) «ἰδοὺ γέγραπται ἐν προφητείᾳ (τουτ. τῇ προφητικῇ βίβλῳ) Ἡσαΐου τοῦ Προφήτου» κτλ. Ὅθεν καὶ πάντες οἱ ὀρθὰ καὶ δίκαια φρονοῦντες, τὸ τοῦ Σειρὰχ «αἱ προφητεῖαι» ἐξηγοῦσι τὰ βιβλία τὰ γεγραμμένα ὑπὸ τῶν προφητῶν (βλ. Schleusn. Thes. V. Test. P. IV. p. 511). καὶ αὐτὸς Ὅδιος καὶ ἄλλοι πλεῖστοι τῶν Ὁδιακῶν ἐπὶ τοῦ Σειραχίδου τετελεσμένην ἤδη τὴν τῶν προφητῶν ἑρμηνείαν ὁμολογοῦσι (βλ Fabric. Bibl. Gr. T. 3. p. 612. Harl.). Οἱ δὲ, καὶ ὅλων τῶν βιβλίων τῆς Γραφῆς (Mücke l. c. p. 81.—Ernesti. Inst. N. T. p. 160, κτλ.). Β) Εἴπερ μερικά τινα κατὰ τὸν Φράγκελον προφητικὰ χωρία μεθηρμηνευμένα νοεῖ ὁ Σειραχίδης, διὰ τί λοιπὸν ἐπέφερε καθόλου καὶ τὰ λοιπὰ τῶν βιβλίων; τί ἄλλο δύναται σημαίνειν τοῦτο τὸ καὶ τὰ λοιπὰ, εἰ μὴ ὅτι καὶ τὰ προμνημονευθέντα (ὁ νόμος καὶ αἱ προφητεῖαι), ἦσαν κἀκεῖνα ὁλόκληρα μεθηρμηνευμένα; Γ) Ὁ Σειραχίδης περὶ τῆς ἑλληνικῆς ἑρμηνείας τῆς τοῦ πάππου σοφίας τὸν λόγον ποιούμενος, ἐπιφέρει καὶ τὰ περὶ τοῦ νόμου, καὶ τῶν προφητειῶν, κτλ, τὴν ἑλληνικὴν καὶ τούτων ἑρμηνείαν ἐναργῶς καὶ προφανῶς ἐννοῶν. Ὁ δὲ Φράγκελος ἀνάγει τὴν ῥῆσιν καὶ εἰς τὴν Χαλδαϊκὴν ἑρμηνείαν τῶν Γραφῶν. Ὡς ἂν εἴπερ ἐφαίνετο σκιὰ γοῦν ὑπονοίας χαλδαϊκῆς ἑρμηνείας ἐν τοῖς λόγοις τοῦ Σειραχίδου· ἢ ὡσανεὶ ὑπῆρχε καὶ ἐπὶ Σειραχίδου κἂν ἴχνος τῶν πολὺ μετὰ Χριστὸν γενομένων χαλδαϊκῶν ἑρμηνειῶν, ἢ παραφράσεων (Ταργουμίων) τῶν Γραφῶν! Τοῦτο δὲ καὶ σφόδρα ῥαββινικῶς ὁ κριτικὸς ἐψεύσατο Φράγκελος.

ἀπόνως καὶ ῥαδίως, ὡς ἐπὶ κρυστάλλου διολισθαίνων, καὶ οὕτω πολλῶν βιβλίων τὴν ἑρμηνείαν εἰς τοὺς κατωτάτω κατεκύλισε χρόνους, μέχρις οὗ κατήντησε καὶ εἰς αὐτὰ τὰ πρόθυρα τῶν ἡμερῶν Ἀκύλα τοῦ Σινωπέως (τῷ 120-130 μ. Χ.)· συμπαρέσυρε δὲ καὶ τὸν Ἰώσηπον καὶ τὸν Φίλωνα μαρτυροῦντας (§. ζ, καὶ η). Ἀλλὰ περὶ τούτων μὲν ἀπηντήσαμεν ἐκεῖ παρὰ πόδας. Περὶ δὲ τῆς βίβλου τοῦ Ἰὼβ (§. θ), καὶ τῆς εἰς αὐτὴν προστεθειμένης σημειώσεως λέγομεν τὰ ἐφεξῆς. Συγγραφέα τῆς βίβλου ταύτης οἱ μὲν λέγουσιν αὐτὸν τὸν Ἰὼβ, ἢ τοὺς φίλους αὐτοῦ (α), Συριστὶ μὲν συγγραφείσης τὸ πρῶτον, ἑβραϊστὶ δὲ μεθερμηνευθείσης ὕστερον ὑπὸ τοῦ προφήτου Μωϋσέως (β), εἰς ὃν ἀπονέμουσι καὶ τὴν ἐν τῷ τέλει τῆς βίβλου σημείωσιν (τὴν « *Οὗτος ἑρμηνεύεται ἐκ τῆς Συριακῆς βίβλου* » κτλ.). Ἄλλοι δὲ πάλιν, καὶ οἱ πλεῖστοι μάλιστα τῶν ἀρχαίων, οὐχὶ μεταφραστὴν, ἀλλὰ πρῶτον συγγραφέα λέγουσι τὸν Μωϋσῆν (γ). Καίτοι μόνην τὴν Πεντάτευχον συγγράψαι τὸν Μωϋσῆν ἄλλοι τε καὶ Ὠριγένης ἀποφαίνονται (δ). Ὁ δὲ Γρηγόριος ὁ Θεολόγος εἰς τὸν Σολομῶντα ἀπέδωκε τὴν συγγραφὴν, ὡς ὁ Πολυχρόνιος βεβαιοῖ (προιμ. Σειρᾶς εἰς Ἰώβ). Τῶν δὲ νεωτέρων ἄλλος ἄλλον λέγει τὸν συγγραφέα (ε). Ὁ δὲ Σπαγχέ-

---

(α) Ὠριγ. κ. Κέλσ. Δ: Gregor. Magn. in Iob. I. c. I. προλ. καὶ Σουΐδ. λ. Ἰώβ.

(β) Ὠριγέν. ἐν τοῖς εἰς αὐτὸν ἐπιγραφομέν. ὑπομνήμ. τοῦ Ἰώβ. — (γ) Μεθόδ. Πατάρ. παρὰ Φωτ. ἀναγ. σλε: Ἐφραὶμ ὁ Σύρος ἐν Προλόγ. Συριακ. Ἑρμ. (βλ. T. VI. Polyglot. Londin.)· Οὕτω καὶ Πολυχρόνιος καὶ Ἰουλιανὸς ὁ Ἁλικαρνασσεὺς (παρὰ Νικήτᾳ, προοιμ. Σειρ. εἰς τὸν Ἰὼβ), καὶ S. Hieron. Epist. ad Paulin. κτλ. Ταύτην ἔχουσι τὴν γνώμην καί οἱ ῥαββῖνοι (in Bava Bathra c. I). Συμφωνεῖ δὲ καὶ Ὑέτιος, ἀποδιδοὺς τὴν συγγραφὴν εἰς ἔτι νέον τὸν Μωσῆν, ὅτε διέτριβεν ἐν Ἀραβίᾳ (φυγὼν τὸν Φαραὼ), καὶ καθ᾽ ἡμᾶς ὁ Herm. Ianssens l. c. p. 154.

(δ) Ὠριγέν. τ. ε. εἰς Ἰωάν. καὶ Φιλοκαλ. κεφ. ε.

(ε) Οἷον Lutherus καὶ Grotius καὶ Doederlein, τὸν Σολομῶντα· Michaelis δὲ καὶ Ilgen καὶ ἄλλοι, τὸν Μωσῆν· ἄλλοι, τὸν Ἔσδραν. Ὁ δὲ Κόδυρκος (Φίλιππος) Ἰδουμαῖόν τινα προφήτην ὑποπτεύεται τὸν συγγραφέα τῆς βίβλου, κούφους τινας λήρους, ὡς λόγους, προβάλλων· ἀποκλίνει δὲ, τέλος, εἰς τὸν προφήτην Ἡσαΐαν (Codurc. praef. in Iob). Τοὺς δέ τινων νεωτέρων βλασφήμους εἰς τὴς θείαν βίβλον τοῦ Ἰὼβ καὶ παραλήρους ὀνειρωγμοὺς, ἀποπτύομεν. Βλ. Huet. Demons. Ev. Prop.

μιος λέγει μὲν αὐτὸν τὸν Ἰὼβ, ἤ τινα τῶν φίλων συγγράψαι τὴν βίβλον, κατὰ τὴν πάτριον γλῶσσαν τὴν Ἀραβικὴν (ἤτοι τὴν ἀρχαίαν Συριακήν)· περὶ δὲ τῆς ἑρμηνείας εἰκάζει κατὰ τοὺς Δαβὶδ ἢ τοῦ Σολομῶντος χρόνους ὑπό τινος ἑβραίου (πάντως προφητικοῦ) μεθερμηνευθῆναι τὸ τεῦχος ἑβραϊστί (α). Ὥστε καὶ ἡ σημείωσις, ἕπεται, ὅτι τὸ πρῶτον ἐγράφη ὑπὸ τοῦ μεταφραστοῦ, ἣν καὶ οἱ Ο, μετέφρασαν ὡς εὗρον αὐτὴν ἐν τῷ ἑβραϊκῷ κώδηκι πρὸς τῷ τέλει τοῦ βιβλίου ὑπογεγραμμένην. Ὅ γε μὴν Ὠριγένης (ἐπιστ. πρὸς Ἀφρικαν.), ἐξ αὐτοῦ δὲ καὶ Ὀλυμπιόδωρος, καί τις ἄλλος σχολιαστὴς ἀνώνυμος, εἰς αὐτοὺς τοὺς Ο ἀπέδωκαν τὴν σημείωσιν. Συριακὴν δὲ γλῶσσαν ἐξέλαβον τὴν ἑβραϊκὴν, ἐξ ἧς οἱ Ο καὶ τὰς λοιπὰς ἡρμήνευσαν γραφάς (β). Ἀλλ' ἐνταῦθα ἡ ὁμωνυμία τῆς Συριακῆς πρὸς τὴν ἑβραϊκὴν φαίνεταί πως ἀπίθανος.

---

IV. p. 205.—Wolf Bibl. Hebr. T. 2. p. 103. - Bauer proleg. in Iob. §. IV. ἐν τοῖς Schulz. Schol. in V. Test. vol. VI. etc. Rosenmüll. Schol. in V. T. in comp. red. vol. 4 proleg. in Iob. etc. Καὶ πρόπαλαι δὲ Θεόδωρος ὁ Μοψουεστίας ὁ αἱρετικὸς, δριμύς τις κριτικὸς ἀνεφάνη καθ' ὅσα τῆς θεοπνεύστου βίβλου τοῦ Ἰὼβ ματαίως κατεφλυάρησεν, (ὡς καὶ ἄλλα περὶ τὰ θεῖα δόγματα παρεφρόνησε, δι' ἃ καὶ ὑπὸ τῆς Ε, Οἰκουμενικῆς Συνόδου ἀναθέματι καθυποβέβληται). Ἀλλὰ μετὰ 1100 ἐνιαυτοὺς (τίς ἂν ἤλπισεν;) εὗρεν ὁ Μοψουεστίας οἷον ἀπολογητὴν τὸν σοφώτατον Καλμέτην, ὅστις ἐσημείωσεν, ὅτι ὁ Μοψουεστίας ἔκρινε παράλογα περὶ τοῦ Ἰὼβ, διότι ἀνεγίνωσκε τὴν βίβλον κατὰ τοὺς Ο, παρ' οἷς εὑρίσκονταί τινα εἰς τοὺς μύθους καὶ τὴν ποιητικὴν ἱστορίαν ἀναφερόμενα. Εἰ δ' ἔβλεπε τὸ ἑβραϊκὸν, οὐδὲν ἂν τῶν τοιούτων ἐσημείου » (Calm. Diction. de la Bible v. Iob). Ἀλλ' ἡ ἀπολογία αὕτη μηδὲν τὸν ὑπὲρ οὗ γέγραπται ὠφελήσασα, προσέτριψε καὶ μῶμον ἀκρισίας παχείας εἰς τὸν σοφὸν ἀπολογητήν. Οὐδὲν τῶν οἷς προσέκρουεν ἡ ἄνοια τοῦ Μοψουεστίας λείπει ἐκ τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ· καὶ καθ' ὅσα τοῦτο κεκολόβωται, ἐλλεῖπον ἐκείνου τοῦ κειμένου ἐξ οὗ οἱ Ο μεθηρμήνευσαν, οὐδὲν ἔχουσι ταῦτα κοινὸν πρὸς τοὺς λήρους τοῦ Μοψουεστίας.

(α) F. Spanhem. Hist. Iobi pr. IX. c. 16.

(β) Βλ. ὄπισθ. σελ. 308. Σημ. καὶ Huet. l. c. p. 209. Οἱ δὲ περὶ τὸν Ὀλυμπιόδωρον τὴν Συριακὴν ἐξέλαβον ἀντὶ τῆς Ἑβραϊκῆς. Οὕτω καὶ Β. Μακκ. ιε, 36 « Ἀδαρ λέγεται ὁ μὴν (ὁ δωδέκατος παρ' Ἰουδαίοις) Συριακῇ φωνῇ, τουτέστιν ἑβραϊκῇ ». (βλ. Grot. annot. in h. l.). Ἡ γὰρ Ἰουδαία, Συρίας μοῖρα (ὅθεν καὶ Ἡρόδοτος Β. §. 104. Σύρους λέγει τοὺς Ἑβραίους, καὶ Νόννος συχνάκις). Ἀλλαχοῦ δὲ ὅμως πανταχοῦ τῆς Γραφῆς τὸ Συριστὶ κυριωνυμεῖται ἐπὶ τῶν κυρίως Σύρων (ἑβρ. Aramoth), ὡς Δ. Βασ. ιη, 26. Ἔσδρ. δ, 7. Δανιὴλ β, 4.

Πῶς οἱ ἑρμηνεῖς ἐκεῖνοι μηδαμοῦ τῶν ἄλλων ἱερῶν τευχῶν, μηδ' αὐτῆς τῆς Πεντατεύχου, τοιοῦτό τι σημειώσαντες, ἔπειτα προσέθηκαν τὴν ὑπογραφὴν εἰς μόνην τὴν βίβλον τοῦ Ἰώβ; Ποία δὲ καὶ ὅλως ἀνάγκη συνήλασεν αὐτοὺς εἰς τὴν σημείωσιν; Μὴ γὰρ ἠγνόει τις αὐτοὺς ἐκ τῆς ἑβραϊκῆς ἑρμηνεύσαντας καὶ τὸν Ἰὼβ, ὡς καὶ τὰ λοιπὰ βιβλία τῆς γραφῆς; Πολὺ πιθανωτέρα φαίνεται ἡ γνώμη τῶν ἐκλαβόντων τὴν συριακὴν ἐπ' αὐτῆς κυρίως τῆς παλαιᾶς τῶν Σύρων φωνῆς, καὶ τὴν σημείωσιν ἀπονεμόντων εἰς αὐτὸν τὸν θεῖον Μωϋσῆν (ὡς ὁ Συγγραφεὺς τῶν εἰς Ὠριγένην ἐπιγραφομένων ὑπομνημάτων τοῦ Ἰώβ· ὑπομν. α), ἢ καὶ εἴ τις ἄλλος ἐγένετο πρῶτος ἐκ τῆς Συριακῆς εἰς τὴν ἑβραΐδα τῆς βίβλου προφητικὸς ἑρμηνεύς. (Ἔχει δὲ καὶ νῦν ἡ βίβλος πολλοὺς Συριασμοὺς, καὶ Ἀραβισμοὺς, καὶ Χαλδαϊσμοὺς, ὡς ὁ Ἱερώνυμος παρετήρησεν) (α). Εἰ δὲ πάλιν ὁ Μωϋσῆς οὐχ ἡρμήνευσεν, ἀλλὰ συνέγραψεν αὐτὸς τὸ Ἰώβειον τεῦχος, οὐδὲν παράδοξον, εἴγε, τὴν ἱστορίαν ὑπ' αὐτοῦ τοῦ Ἰὼβ ἁπλούστερον τὸ πρῶτον συριστὶ συγγεγραμμένην εὑρὼν, ἐξεβράϊσεν, εἰς στίχους ἐντείνας (ὡς ἔστιν ἐν τῷ ἑβραϊκῷ), καὶ θεοπνεύστως ἀνέπτυξε, καὶ διετράνωσεν, εἰς παραίνεσιν τοῦ Ἰσραὴλ, προσέθηκε δὲ καὶ τὴν σημείωσιν, εἰς δήλωσιν τῆς πρώτης συνθέσεως τοῦ βιβλίου. Ἀλλ' ὅπως ἂν ἔχῃ τὸ περὶ τούτου, ἡ σημείωσις, καίτοι πρὸ τῶν Ὠριγένους χρόνων ἐκ τοῦ καὶ ἄλλως κολοβωθέντος ἑβραϊκοῦ ἐκπεσοῦσα (ὅθεν οὐδ' Ἀκύλας αὐτὴν ἔσχε, τοιούτῳ τινὶ κώδηκι περιπεσὼν), ὅτι ὅμως ὑπάρχει ἀρχαιοτάτη, μαρτυροῦσι. α) Ὁ παρ' Ἀλεξάνδρῳ τῷ Πολυΐστορι μνημονευόμενος ἀρχαῖος καὶ περικλεὴς Ἀριστέας, ὅστις φαίνεται σαφῶς ταύτην ἀναγνοὺς, ἐξ ὧν λέγει παρ' Εὐσεβίῳ (β). — β) Ὁ Θεοδοτίων, ὅστις ἡρμήνευσε καὶ αὐτὸς τὴν σημείωσιν, τελειοτέρῳ παρὰ τὸν Ἀκύλαν κώ-

---

(α) S. Hier. praef. in Iob. πρβ. Calmet. Dict. v. Iob. - Rosenmül. l. c. p. 17. — (β) Εὐαγγ. Προπ. θ. σελ, 251. (βλ. καὶ ὄπισθ. σελ. 91 καὶ ἐφεξ. σελ. 529) πρβλ. Huet. l. p. 209. - Bonfrer. Praeloq. in tot. Script. Sacr. - Whiston, An Essay, towards restoring the true text. of the old Test. etc. p. 56, καὶ τὸν τούτοις ἀμφοτέροις εἰς μάτην ἀντιλέγοντα Carpzov. Crit. Sacr. p. 812.

δηκι χρησάμενος. - γ) Ἔχουσι τὴν σημείωσιν καὶ πάντες οἱ ἀρχαιότατοι κώδηκες τῶν Ο, καὶ ἡ Ἀραβικὴ ἑρμηνεία, καὶ πᾶσαι αἱ ἐκ τῶν Ο, παλαιαὶ μεταφράσεις. - δ) Ταύτης ὡς γνησίας μνημονεύουσι καὶ αἱ Ἀποστολικαὶ Διαταγαὶ (Ε, ζ), καὶ Ὠριγένης (Ἐπιςˑ. π. Ἀφρικανὸν), καὶ ὁ Χρυσόςομος (παρὰ Νικήτα προοιμ. Σειρ. εἰς Ἰὼϐ), καὶ Ἀθανάσιος (Συνόψ.), πέμπτον ἀπὸ Ἀϐραὰμ τὸν Ἰὼϐ ἀριθμῶν (ὡς ἔχει καὶ ἡ σημείωσις), καὶ Θεοφάνης ὁ Κεραμεὺς (ὁμιλ. 27), καὶ ἄλλοι (ἵνα τοὺς περὶ τὸν Πολυχρόνιον, καὶ Ὀλυμπιόδωρον, καὶ Νικήταν ἐν Προοιμ. τῆς εἰς τὸν Ἰὼϐ Σειρᾶς, παραλίπωμεν), καὶ αὐτὸς δὲ, τέλος, ὁ (καίτοι ἄλλως περὶ τὴν ἑρμηνείαν τοῦ Ἰὼϐ ἄγαν ἑϐραΐσας) φερώνυμος Ἱερώνυμος (α). Καὶ μετὰ ταύτης λοιπὸν τῆς σημειώσεως συνημμένην τὴν βίϐλον τοῦ Ἰὼϐ παρέδωκαν οἱ Ἀπόστολοι τῇ Ἐκκλησίᾳ, ὡς ἄριστα συμπεραίνει ὁ Ὀλυμπιόδωρος (ἔνθα ἀνωτέρω). Ὥστε καὶ ὁ κουφολόγος Κόδυρκος διελάλησε ψευδῆ, καὶ Ὅδιος ἠπατήθη τούτῳ πιστεύσας, καὶ συγκατασπάσας τὴν ἑρμηνείαν τοῦ Ἰὼϐ εἰς ὀλίγους τινας πρὸ τοῦ Φίλωνος χρόνους! Τούτους ἴσως μιμούμενοι καί τινες ἄλλοι τῶν νεωτέρων, προσέθηκαν κἄτι πλέον εἰς τὴν ἄζηλον τῶν διδασκάλων σοφίαν, νομίσαντες τὴν σημείωσιν καὶ αὐτοῦ τοῦ Φίλωνος ὑστερώτερον ἔργον χειρὸς χριστιανικῆς (ϐ).

§. κθ. Τελευταῖον, καὶ τὴν ἑρμηνείαν τῶν Ψαλμῶν τῆς αὐτῆς

(α) S. Hieron. Quaest. Hebr. in Genes. c. 36. p. 1339. Tom. 1. Τοὺς δὲ παραγραφομένους τὴν σημείωσιν ἤλεγξεν ὁ Ὀλυμπιόδωρ. (αὐτόθ.). —(ϐ) Bauer proleg. in Iob ubi supr. [ Καὶ τοῦτο κεκρίκασι, διότι ἡ σημείωσις περιέχει καὶ τὸ « γέγραπται δὲ αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ' ὧν ὁ Κύριος ἀνίστησιν » (Ἰὼϐ, μϐ, 17). Αὐτοὶ δὲ οἱ σοφοὶ διατείνονται ὅτι περὶ νεκρῶν ἀναστάσεως οὐδ' ὑπὸ Μωϋσέως ἐν τῇ Πεντατεύχῳ γίνεται μνεία. Ἀλλὰ πρὸς τούτους ἀποκρίνεται ἔνθεν μὲν ὁ Κύριος ἡμῶν, ὅ,τι εἶπε καὶ πρὸς τοὺς Σαδδουκαίους (Ματθ. κϐ, 29, 31—32), ἑτέρωθεν δὲ καὶ αὐτὸς ὁ Ἰὼϐ, προσδοκῶν ἀνάστασιν νεκρῶν (Ἰὼϐ, ιθ, 26. πρϐλ. Ἰεζεκ. λζ. Δαν. ιϐ, 2). Τοῦτο τὸ « γέγραπται δὲ — μεθ' ὧν ὁ Κύριος ἀνίστησι κτλ. », καὶ ὁ Σουΐδας αἰνιττόμενος (λ. Ἰὼϐ), ἐπάγει « Τοῦτο κερδάνας τῶν ἑαυτοῦ ἄθλων τὸ τελευταῖον καὶ ἔσχατον, τὸ μετὰ Χριστοῦ συναναστῆναι, καὶ τὸν τῆδε κόσμον θεάσασθαι πάλιν »· ἐκλαμβάνει δηλονότι ὁ Σουΐδας τὸν Ἰὼϐ ἀναστάντα καὶ τότε, μετὰ τῶν ἐπὶ τῆς Σταυρώσεως ἐγερθέντων ἁγίων. Ματθ. κζ, 52, 53].

ἠξίωσεν ὁ κριτικὸς καὶ τῆς τοῦ Ἰὼβ ἐποχῆς, μόλις ἀναβιβάσας αὐτὴν (*χωρίς τινος ἀμφιβολίας!*) εἰς ὀλίγῳ προτερήσαντας πρὸ τοῦ Σωτῆρος Χριστοῦ χρόνους· διότι (λέγει) μνημονεύουσι τῶν Ψαλμῶν οἱ θεῖοι Εὐαγγελισταὶ, καί που καὶ αὐτὸς ὁ Φίλων. Ὅτι δὲ τοὺς ψαλμοὺς τοῦ Δαβὶδ, ἀπ' αὐτοῦ τοῦ Δαβὶδ καὶ ἐφεξῆς ἔν τε τῷ ναῷ καὶ ταῖς Συναγωγαῖς ψαλλομένους (βλ. κεφ. ζ, §. κδ) ὤφειλον πάντως καὶ οἱ κατὰ τόπους Ἑλληνισταὶ ψάλλειν παρομοίως ἐν ταῖς προσευχαῖς, κατὰ τὸν πάτριον ἐθισμὸν, τοῦτο παρεῖδεν ἡ φιλόκαινος Ὁδίου χρονογραφία. Γνωρίζει δὲ τῆς τούτων ἑρμηνείας τὴν ἐποχὴν ἀφ' ὧν εἶπε πρώτων μνημονευσάντων! Καὶ λοιπὸν, κατὰ τὴν ἀσφαλεστάτην ταύτην μέθοδον τοῦ κριτικοῦ, καὶ τὰ Ὁμήρου ποιήματα συνεγράφησαν ὀλίγῳ πρὸ τῶν Ἡροδότου καὶ Θουκυδίδου χρόνων, διότι πρῶτοι τῶν σῳζομένων συγγραφέων οὗτοι μάλιστα μνημονεύουσι τὸν Ὅμηρον. Καὶ λοιπὸν, οὐδ' αἱ βίβλοι τοῦ Ἰὼβ καὶ τῆς Ἰουδὶθ καὶ τοῦ Τωβὶτ ὑπῆρχον ἐπὶ τοῦ Ἰωσήπου οὐδὲ γοῦν ἑβραϊστὶ συγγεγραμμέναι, διότι τούτων τῶν ἱστοριῶν ὁ Ἰώσηπος οὐδόλως ἐπεμνήσθη δι' ὅλης τῆς Ἀρχαιολογίας, ἣν συνέταξεν (ὡς λέγει) « μεταφράζων τὰς Ἑβραίων βίβλους εἰς τὴν ἑλληνίδα γλῶσσαν, καὶ μήτε προστιθείς τι τοῖς πράγμασιν αὐτὸς ἴδιον μήτ' ἀφαιρῶν » (Ἀρχ. Ι, ι. §. 6). Καὶ λοιπὸν, οὐδ' ἐπὶ τῶν Σειραχιδῶν ὑπῆρχον συγγεγραμμέναι οὔτε τοῦ Ἰὼβ, οὔτε ἡ τοῦ Ἔσδρα βίβλος, οὔτ' αὐταὶ τοῦ Δανιὴλ αἱ προφητεῖαι, διότι τούτων οὐδενὸς ἐμνημόνευσεν οὔθ' ὁ πάππος Ἰησοῦς, οὔθ' ὁ ἔγγονος ὁ Σειραχίδης (Σ. Σειρ. μδ-μθ). Οὐδ' αὐτὰ, τέλος, τὰ θεῖα Εὐαγγέλια τῶν προτέρων τριῶν Εὐαγγελιστῶν ὑπῆρχον ἐπὶ Ἰωάννου ἐκδεδομένα, διότι ταῦτα (καίτοι πάντως ἰδὼν καὶ ἀναγνοὺς) ὁ θεολόγος Ἰωάννης παρῆλθε σιωπῇ. Συνεγράφησαν δὲ ἄρα τὰ Δ, Εὐαγγέλια διετίαν μόλις, ἢ τριετίαν, πρὸ τῶν Ἀποστολικῶν Πατέρων, οἵτινες αὐτῶν ἐμνημόνευσαν! Εἰς τοιαύτας ἀτοπίας φέρει προφανῶς ἡ σοφὴ τοῦ κριτικοῦ μέθοδος, ἥτις ἐξευρίσκει βεβαίως τὸν χρόνον τῆς ἑρμηνείας ἑκάστου τεύχους τῆς Γραφῆς, ὡς ἐκ τῶν χρόνων τοῦ συγγραφέως ἐκείνου, ὅστις πρῶτος ἐμνημό-

νευσεν ὀνομαστὶ ταύτην, ἢ ἐκείνην τὴν βίβλον, ἢ καὶ ἐξ αὐτῆς τινας περικοπάς. Ἀλλὰ μὴ οὕτως, ὦ βέλτιστε Ὅδιε, παραχρόνιζε· « *οἶσθα δὲ πάντως καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι* »· καὶ δείγματα τῆς ἀληθείας ἔχεις πολλά. Ἐκτιθέμεθα δὲ καὶ ἡμεῖς ἐν ὀλίγαις λέξεσιν ἀθρόας τὰς ἀποδείξεις, ὅτι οἱ Ο, μεθηρμήνευσαν ὅλα τὰ τεύχη τῆς Γραφῆς.

α) Δημήτριος ὁ Φαληρεὺς συνέγραψε « *περὶ τῶν ἐν Ἰουδαίᾳ βασιλέων* », ἐκ τῶν Βασιλειῶν πάντως, καὶ τῶν *Παραλειπομένων*, καὶ τῶν ἄλλων δὲ τῶν ἀπὸ τῆς Πεντατεύχου καὶ ἐφεξῆς ἱστορικῶν ἀρυσάμενος τὴν ἰδίαν αὐτοῦ συγγραφὴν καὶ χρονολογίαν (βλ. ὄπισθ. κεφ. γ. §. β, κτξ. σελ. 78-94). Πάντα λοιπὸν τὰ βιβλία ταῦτα μεθηρμήνευσαν ἐπ' αὐτοῦ οἱ Ο.

β) Ὁ Ἀριστέας ἱστόρησε τοὺς Ο πᾶσαν ἑρμηνεῦσαι τὴν Γραφὴν, ἣν πολλάκις καὶ Νόμον ἁπλῶς ὠνομάζει, ὡς ὀνόμαζον αὐτὴν καὶ ἐπ' αὐτοῦ οἱ Ἰουδαῖοι, καὶ μετὰ ταῦτα οἱ περὶ τὸν Φίλωνα καὶ τὸν Ἰώσηπον καὶ οἱ λοιποί (α). Ὁ δ' αὐτὸς Ἀριστέας συνέγραψε καὶ ἰδίαν « *περὶ τῶν Ἰουδαίων* » συγγραφὴν, ἐξ ἧς ὁ Πολυΐστωρ διέσωσε καὶ εἰς ἡμᾶς τὴν περὶ τοῦ Ἰὼβ ἱστορίαν, μεταγεγραμμένην ἐναργῶς ἐκ τῶν Ο, μέχρι καὶ αὐτῆς τῆς ἐν τῷ τέλει τοῦ τεύχους σημειώσεως (βλ. ὄπισθ. σελ. 94. καὶ τόμ. α. σελ. 33). Ὥστε καὶ τὸν Ἰὼβ ὀνομαστὶ, καὶ τ' ἄλλα κατὰ συνέπειαν τὰ βιβλία τῆς Γραφῆς βλέπομεν ὑπὸ τῶν Ο, μεθηρμηνευμένα.

γ) Καλλίμαχος ὁ Κυρηναῖος ποιητὴς, Φιλαδέλφῳ σύγχρονος, ἀνέγνω τὴν Πεντάτευχον, τὸν Ἰησοῦν, τὴν βίβλον τῶν Ψαλμῶν, τὸν Ἱερεμίαν, τὰς Παροιμίας, κτλ. ὡς φαίνεται ἐκ τῶν σεσημειωμένων ἀπομιμήσεων αὐτοῦ (ὄπισθ. σελ. 98—102). Τούτοις πρόσθες καὶ τὸ, « Ἔρευθος - οἷαν Ἢ ῥόδον, ἢ *σίβδας κόκκος ἔχει χροΐαν* » (εἰς Λουτρὰ Παλλάδ. στίχ. 27), κατὰ τὸ, « *Ὡς λέπυρον ῥοᾶς μῆλόν*

(α) Βλ. ὄπισθ. σελ. 430. Ὅθεν καὶ ὁ Καρτόβριχθος, « Lex sumitur ita, ut totum Dei verbum, et universam scripturam, seu quamcumque ejus partem, ambitu suo comprehendat ». Gartwrigth, Mellificum Hebraicum Lib, IV. c. 7.

σου » (Ἆσμ. δ. 3), ἀπὸ τοῦ λεπύρου εἰς τοὺς κόκκους τῆς ῥοᾶς μετατεθέντος τοῦ παραδείγματος, διὰ τὸ ἐν ἀμφοτέροις ἐρυθροῦν (α).

δ) Καὶ Θεόκριτος ὁ ποιητὴς ἀνέγνω τὰ τεύχη τῆς Γραφῆς, καὶ μάλιστα τὸ τοῦ Ἄσματος (σελ. 103—105).

ε) Καὶ Λυκόφρων ὡσαύτως, καὶ μάλιστα τὸν Δανιὴλ, ἐξ οὗ καὶ τὰ περὶ τῶν Ῥωμαίων προφανῶς ἀντέγραψε (σελ. 105—116) (β).

ϛ) Τοῦτο συμπεραίνεται καὶ περὶ Ἀράτου, καὶ Κλεάνθους, ἐξ ὧν ἔχουσι γραφικῶν ἐννοιῶν. (σελ. 116, 117).

ζ) Καὶ Μανέθων ὁ Αἰγύπτιος εἶδε τὴν ἑρμηνείαν τῶν Ο (σελ. 117).

η) Ἐπὶ τοῦ Φιλοπάτορος Πτολεμαίου (τῷ 215 π. Χ.), κινδυνευόντων ἐν Ἀλεξανδρείᾳ τῶν Ἰουδαίων (γ), ὁ ἐγχώριος ἱερεὺς Ἐλεάζαρος μετ᾽ ἄλλων πρεσβυτέρων προσηύχετο, ἐπικαλούμενος τὸν Ὕψιστον βασιλέα, τὸν ἀπολέσαντα *τὸν Φαραὼ*, καὶ *τὸν Σενναχηρεὶμ* (Δ. Βασιλ. ιθ: Β. Παραλειπ. λϐ), καὶ ῥυσάμενον *τοὺς τρεῖς παῖδας ἐκ τοῦ πυρὸς, τὸν Δανιὴλ ἐκ τῶν λεόντων* (Δανιὴλ γ, ϛ), *τὸν Ἰωνᾶν ἐκ τοῦ κήτους* (Ἰων. α), κτλ. Δηλονότι οἱ Ἀλεξανδρεῖς ἑλληνισταὶ ἀνεγίνωσκον τότε τὸν νόμον καὶ τοὺς προφήτας κατὰ τοὺς Ο.

θ) Πτολεμαῖος ὁ Φιλομήτωρ (τῷ 175 π. Χ.), πρὸς ὃν ὁ διδάσκα-

---

(α) Βλ. καὶ Bauers Σχόλ. εἰς Ἆσμ. αὐτόθ.

(β) Βλ. καὶ σελ. 108, τὰ περὶ τοῦ Ἰωνᾶ καὶ τοῦ τ ρ ι έ σ π ε ρ ο ς. Τῶν Λυκόφρονος στίχων τούτων μέμνηται καὶ Rosenmüller (in Ionam Prolegomen. VI). ὅστις ὅμως (ὡς ἐπέοικε τοῖς ὑψηλοῖς κριτικοῖς) θέλει καὶ αὐτὸς τὰ κατὰ τὸν Ἰωνᾶν πλασθέντα ἐκ τοῦ προϋπάρχοντος πρῶτον, ἴσως, παρὰ τοῖς Φοίνιξιν, ἐκ δὲ τούτων καὶ εἰς τοὺς Ἕλληνας μεταβάντος μύθου τοῦ Ἡρακλέους. Ἀριθμεῖ δὲ καὶ ἄλλους τῶν νεωτέρων σοφῶν κατὰ τὸ μᾶλλον καὶ ἧττον ὁμοφρονοῦντας. Ὅτι δὲ ὁ τοῦ Ἡρακλέους μῦθος ἀποδεικνύεται ἐκ τῆς ἱστορίας τοῦ Ἰωνᾶ παρὰ τῶν πολλοῖς αἰῶσιν Ὁμήρου νεωτέρων μυθογράφων ἐπικεκοσμημένος, οὐδὲν περὶ τούτου φροντίζουσιν οἱ κριτικοὶ οὗτοι· προτιμῶσι δὲ μᾶλλον ἐκ Φοινίκων κατάγειν τὸ (καθὼς τοῦτο καλοῦσι) πλάσμα· διότι περιέχει πράγματα τὴν ἀ ν θ ρ ω π ί ν η ν π ί σ τ ι ν ὑπερτεροῦντα (!). Οὕτω « φρεσὶν ἀ π ί σ τ ο ι ς ο ὐ δ ὲ ν π ι σ τ ὸ ν », κατὰ Πίνδαρον.

(γ) Γ. Μακκαϐ. ϛ. 5—8. πρϐλ. καὶ Ἰώσηπ. κατ. Ἀπίων. Β. §. 5. ἐν τῇ λατινικῇ τοῦ ἐλλείποντος χωρίου μεταφράσει· ὅπου ὁ μεταφραστὴς ἀντὶ τοῦ Φ ι λ ο π ά τ ο ρ ο ς ἔγραψεν ἐψευσμένως Φ ύ σ κ ω ν α.

λος Ἀριστόβουλος προσεφώνησε τὰς εἰς τὸν Μωσέως νόμον ἐξηγήσεις, ἀνέγνω πάντως καὶ αὐτὸς τὸν Νόμον, καὶ τὰ *διὰ τοῦ Νόμου πάντα*, παρὰ τοῦ διδασκάλου μαθὼν τὴν ἐπὶ τοῦ ἰδίου προγόνου, τοῦ Φιλαδέλφου, περιώνυμον ἑρμηνείαν τῶν Ο.

ι) *Αὐτὸς* ὁ Ἀριστόβουλος τὴν *ὅλην* τῶν Γραφῶν ἑρμηνείαν διακηρύττει (σελ. 456).

ια) Ὁ Εὐπόλεμος (κατὰ τοὺς Φιλομήτορος χρόνους) χρονολογήσας « *περὶ τῶν ἐν Ἰουδαίᾳ βασιλέων* », καὶ « *περὶ τῆς Ἠλιοὺ προφητείας* » συγγράψας, ἀναγράψας δὲ καὶ τὰς Σολομῶντος πρὸς Χιρὰμ καὶ τὰς τούτου πρὸς ἐκεῖνον ἐπιστολάς, φαίνεται σαφῶς ἀναγνοὺς καὶ *τὰς Βασιλείας* καὶ τὰ λοιπὰ τεύχη τῆς Γραφῆς (σελ. 128 κτξ.).

ιβ) Τότε καὶ Ἀντίοχος ὁ Ἐπιφανὴς κατέτρεχε τὴν *βίβλον τῆς Διαθήκης*, ὅλον δηλαδὴ τὸν κώδηκα τῶν κανονικῶν παρ' Ἑβραίοις Γραφῶν (α). Συνεπληρώθη δὲ πάντως ὁ κώδηξ εὐθὺς μετὰ τὸν Ἐσδραῖον κανονισμόν (σελ. 477). Ὅλον λοιπὸν τοῦτον καὶ ὁ Ἀρχιερεὺς ἀπέστειλε τῷ Φιλαδέλφῳ, καὶ οἱ Ο, μεθηρμήνευσαν, ὅπως εἴς τε τὴν βιβλιοθήκην ἀποτεθῇ καὶ τοῖς ἑκασταχοῦ ἑλληνίζουσιν Ἰουδαίοις εἰς ἀνάγνωσιν διαδοθῇ (σελ. 477). Ἢ μήπως ὁ Ἀρχιερεὺς καὶ τὸ μέγα τῶν Ἱεροσολύμων συνέδριον ἠμέλουν τῶν ἐν Αἰγύπτῳ καὶ πολλαχοῦ τῆς Οἰκουμένης τοσούτων μυριάδων

(α) Βλ. σελ. 471. πρβλ. καὶ σελ. 127· ὅπου συνεικάσαμεν, ὅτι μετὰ τῆς ἑβραϊκῆς Γραφῆς, καὶ τὴν ἑλληνικὴν ἑρμηνείαν (εὑρισκομένην παρὰ τοῖς τότε κατὰ τὴν Παλαιστίνην Ἰουδαίοις ἑλληνισταῖς), κατέτρεχον πιθανῶς οἱ Συρο-Μακεδόνες ὑπηρέται τοῦ Ἀντιόχου. Τῆς δ' ὑπὸ τῶν Ἐθνικῶν εἰς τὰς Γραφὰς ὑβριστικῆς ἐπιγραφῆς τῶν εἰδωλικῶν μορφωμάτων (αὐτόθ.), φαίνεται καὶ ἄλλο παράδειγμα, τὸ ἐφεξῆς. Ὁ σοφὸς Τύξην (Tychsen, Tentamen de varijs etc. p. 31, 32) διαιρῶν τοὺς σωζομένους ἑβραϊκοὺς κώδηκας εἰς Μοσσοριτικοὺς καὶ Ἀντιμασσοριτικούς, προστίθησιν, ὅτι ἐν τοῖς ὑστέροις τούτοις φαίνονται πολλάκις προσγεγραμμένα ὁμοιώματα δρακόντων, σφιγγῶν, ἄρκτων, χοίρων, καὶ ἄλλων ἀκαθάρτων ζώων, εἰκονίζοντα (καθὼς ὑπέλαβε) τὴν Μάσσοραν, ἅπερ ἐχθροὶ τῶν Ἰουδαίων, Σαμαρεῖταί τινες, ἴσως, ἢ Σαδδουκαῖοι, πρὸς ὕβριν ἐπεχάραττον (βλ. καὶ Schmid. Hist. antiqu. etc. p. 249). Μοναχοὶ δὲ πάντως οὐκ ἂν ἐξύβριζον οὕτως εἰς τὰς θείας Γραφάς· (ὑπενόησαν γὰρ οἱ ἀμόναχοι σοφοὶ οὗτοι καὶ μοναχοὺς μεταξὺ τῶν Σαμαρειτῶν, καὶ τῶν ἄλλων, οὓς πιθανώτερον αἰτιῶνται).

ἑλληνιστῶν ὁμογενῶν, φθονοῦντες αὐτοῖς τῆς ἑρμηνείας ὁλοκλήρου τοῦ σώματος τῶν κεκανονισμένων θεοπνεύστων τευχῶν; Ἀλλ' αὐτοὶ καὶ ὕστερον ἐπὶ τῶν Μακκαβαίων ἔγραφον πρὸς τοὺς ἐν Αἰγύπτῳ περὶ τῶν ἱερῶν βιβλίων, διατάσσοντες καὶ τὴν ἔναγχος συστᾶσαν ἑορτὴν τῶν ἐγκαινίων.

ιγ) Ἐπὶ τοῦ αὐτοῦ Φιλομήτορος διαστασιάζοντες οἱ Ἀλεξανδρεῖς Ἰουδαῖοι πρὸς τοὺς Σαμαρείτας περὶ τῆς γνησιότητος μόνου τοῦ ἐν Ἱεροσολύμοις ἱεροῦ, ἐξέφερον τὰς ἀποδείξεις ἐκ τοῦ *Νόμου καὶ τῶν* (ἐν τοῖς ἱστορικοῖς καὶ προφητικοῖς βιβλίοις ἀναγεγραμμένων) *διαδοχῶν τῶν ἀρχιερέων* (Ἰώσ. Ἀρχ. ιγ, 3, §. 4), δηλονότι ἐκ τοῦ κώδηκος τῶν Γραφῶν.

ιδ) Ὁ Σειραχίδης ἐν τῷ Προλόγῳ διεκήρυξεν ἐπ' αὐτοῦ προϋπάρχοντα μεθηρμηνευμένα τὸν *Νόμον καὶ τὰς προφητείας καὶ τὰ λοιπὰ τῶν βιβλίων* (σελ. 582). Ταῦτα δὲ καὶ αὐτὸς ἀνεγίνωσκεν, ὡς ἐκ τῆς φράσεως φαίνεται πολλαχοῦ τῆς ὑπ' αὐτοῦ ἑρμηνευθείσης Σοφίας τοῦ πάππου Σειράχ (α).

ιε) Ὁ Πολυΐστωρ Ἀλέξανδρος ἀνέγνω *τὴν ἱερὰν βίβλον*, καὶ πολλὰ προφανῶς ἐκ τῶν τευχῶν αὐτῆς ἠρύσατο. (σελ. 139, 140) (β).

ις) Οἱ θεῖοι Ἀπόστολοι καὶ ἀνεγίνωσκον καὶ παρέδωκαν εἰς αἰῶνας τῇ Ἐκκλησίᾳ πλήρη καὶ ὁλόκληρον τὸν ἱερὸν κώδηκα τῆς παλαιᾶς Γραφῆς, περιέχοντα τά τε παρ' Ἑβραίοις *κανονιζόμενα* ἢ *Κανονικὰ* κβ βιβλία, καὶ τὰ *Ἀναγινωσκόμενα*, ἢ τετυπωμένα πρὸς ἀνάγνωσιν (ἃ καὶ *Δευτεροκανονικά* τινες εἶπον), περὶ ὧν λέγομεν ἰδίως ἐν τῷ Δ, βιβλίῳ.

---

(α) Βλ. ὄπισθ. σελ. 551. σημ. τὰ ἐκ τοῦ Ἰησοῦ τοῦ Ναυῆ· παράβαλε καὶ Α. Βασιλ. ζ, 10. ιβ, 3, καὶ Σ. Σειρ. μς, 17, 19. — Δ. Βασιλ. ιθ, 35, καὶ Σ. Σειρ. μη, 21.—Ψαλμ. ς, 5. ριγ, 17, καὶ Σ. Σειρ. ις. 18, 19. — Ἱερεμ. α, 5, 10 καὶ τὰ αὐτὰ κατὰ λέξιν ἐν Σ. Σειρ. μθ, 7. — Ἰεζεκ. β, 1, καὶ Σ. Σειρ. μθ, 8. Πολλὰ χωρία τῶν Παροιμιῶν, καὶ ἀπὸ τοῦ Ἐκκλησιαστοῦ, καὶ ἀπὸ τοῦ Ἄσματος εὑρίσκονται αὐτολεξεὶ καὶ παρὰ τῷ Σειράχ. Ὅλα τὰ κύρια ὀνόματα, ὅσα μνημονεύονται παρ' αὐτῷ, γράφονται ἀπαραλλάκτως, ὡς ἀναγινώσκονται καὶ ἐν τοῖς Προφητικοῖς καὶ ἐν τοῖς λοιποῖς βιβλίοις τῶν Ο. Ἀλλ' ἡ περὶ τούτων θεωρία μακροτέρα τοῦ παρόντος.

(β) Τὰ λοιπὰ, τὰ ἐκ τῶν ἐθνικῶν συναγόμενα συγγραφέων βλέπε ἐν σελ. 130.

ιζ) Ὁ Φίλων ἱστορῶν τὴν ἑρμηνείαν τῶν Μωσέως νόμων, εἶχε πρὸ ὀφθαλμῶν καὶ τὰς ἄλλας βίβλους τῆς θείας Γραφῆς, ἁπάσας ἐπ᾽ αὐτοῦ μεθηρμηνευμένας, ὡς ὑπῆρχον καὶ ἐπὶ τοῦ συμπολίτου αὐτοῦ Ἀριστοβούλου, καὶ ἐπὶ τοῦ Σειραχίδου (σελ. 450, 479).

ιη) Καὶ Ἰώσηπος ὡσαύτως ἱστόρησεν ἑρμηνευθέντας ἐπὶ τοῦ Φιλαδέλφου *τοὺς Νόμους καὶ τὰς βίβλους τῶν ἱερῶν Γραφῶν* (σελ. 438). Τοῦτο καὶ τότε, καὶ πολὺ ὕστερον ἔτι, μέχρι κα τῶν Ἰουστίνου τοῦ μάρτυρος χρόνων, ὡμολόγει καὶ πᾶσα τῶν Ἰουδαίων ἡ σχολή· πρὸς οἷς ἀριθμείσθωσαν καὶ τῶν μεταγενεστέρων Ῥαββίνων οἱ φρονιμώτεροι (σελ. 461).

ιθ) Πάντες οἱ θεῖοι Πατέρες τῆς Ἐκκλησίας, καὶ οἱ λοιποὶ συγγραφεῖς, ὅσοι τῆς ἑρμηνείας τῶν Γραφῶν ἐμνημόνευσαν, πάσας τὰς ἱερὰς βίβλους ὑπὸ τῶν Ο διδάσκουσι μεθερμηνευθείσας, μηδ᾽ αὐτοῦ τοῦ μακαρίου πατρὸς Ἱερωνύμου ἐξαιρουμένου, ἐν ὅσοις περὶ τούτων ἐλάλησεν ἀξίως τῆς ἐν αὐτῷ κατοικούσης χάριτος τοῦ Θεοῦ.

κ) Πάντες οἱ νεώτεροι κριτικοί, καὶ ἄλλοι παντοῖοι σοφοὶ καὶ τῶν Δυτικῶν καὶ τῶν Διαμαρτυρουμένων καὶ Ἀναμορφωτῶν, ὅσοι δικαίως καὶ σωφρόνως κρίνουσι περὶ τῆς ἑρμηνείας τῶν θείων Γραφῶν, τιμῶντες, ᾗ θέμις, καὶ τὴν παλαιὰν ἱστορίαν καὶ τὴν μετ᾽ αὐτῆς ἀλήθειαν, ἀμάραντον συνεπανθοῦσαν τῷ χρόνῳ, πάντες ἀποδέχονται τὴν ἐπὶ τοῦ Φιλαδέλφου γενομένην ἑρμηνείαν ὅλου τοῦ ἱεροῦ κώδηκος τῶν Γραφῶν.

§. λ. Ταῦτα λέγει ψηφίζουσα δἰ αἰῶνος ἡ σεμνὴ τῆς ἀληθείας φωνή. Κροΐων δὲ τὰ λεγόμενα (§. ιβ) *ψηφίσματα*, μᾶλλον ὀχλικῆς πυλαίας μύθοις ἢ δόγμασι Πυλαγορῶν ἐοικότα, καὶ ὅσα δὲ τῶν μετ᾽ αὐτοῦ συμψήφων τοιαῦτα γνωματεύματα, « οὐ δῆτα κύκνων, οὐδ᾽ ἀηδόνων μέλη », φωνὰς δέ τινας ἀσήμους ὄντα καὶ μαψιδίας, παραπέμπομεν « εἰς ὄρος, ἢ εἰς *κῦμα πολυφλοίσβοιο θαλάσσης* » !

§. λα. Περὶ δὲ τῶν Ἰουνίου καὶ Ὑσσερίου καὶ Λιχθοφώτου σοφῶν μυθολογιῶν (§. ιγ-ις) μικρά τινα σημειώσαντες ἐκεῖ παρὰ πόδας, εὐγνωμονοῦμεν Ὀδίῳ τῷ κλεινῷ, ὅτι προλαβὼν ἀπήλλαξεν

ἡμᾶς μακροτέρας εἰς τὴν τούτων ἀπάντησιν φροντίδος, αὐτὸς ἐκθέμενος καὶ αὐτὸς ἐξελέγξας τῶν πλασμάτων τὴν ἀτοπίαν. Οὕτως ἂν ἐξήλεγξεν, εἴπερ ἔβλεπε, καὶ τὰ τοῦ σοφοῦ Τύξηνος (ἢ Τύχσηνος, Tychsen), ὅστις τὸ τοῦ Λιχθοφώτου πλάσμα μετεκόσμησεν εἰς εὐμορφοτέραν, ἢ γελοιοτέραν πλαγγόνα. Οὗτος ἀποδέχεται μὲν τὴν Ἀριςέου ἱστορίαν ὡς ἀληθινὴν (πλὴν τινῶν, φησιν, ὑπερβολῶν, πρὸς τὸν Ἀσιανώτερον τρόπον ἐνυφασμένων), διατείνεται δὲ ὅτι οἱ Ο, καθὼς ἱστόρησεν Ἀριστέας (!), οὐ μεθηρμήνευσαν ἑλληνιστὶ τὰς Γραφὰς, ἀλλὰ μετέγραψαν καὶ μετεστοιχείωσαν τὰ ἑβραϊκὰ γράμματα εἰς ἑλληνικὰ, χάριν τῶν ἑβραϊστὶ μὴ ἐπισταμένων ἀναγινώσκειν Ἰουδαίων. Ἐκ δὲ τούτου (λέγει) τοῦ ἑβραιοελληνικοῦ κειμένου γέγονεν οὐ μόνον ἡ Ἀλεξανδρινὴ (τῶν Ο) ἑρμηνεία, ἀλλὰ καὶ αἱ τοῦ Ἀκύλα καὶ Συμμάχου καὶ Θεαδοτίωνος. Φέρει δὲ καὶ ἐκ τῶν Ταλμουδικῶν ἀπόδειξιν τὴν ἑβραϊκὴν φωνὴν Ketib (ἧπερ ἐκεῖνοι χρῶνται περὶ τῶν Ο) διατεινόμενος, ὅτι ἡ λέξις ἁπλῶς σημαίνει *γραφὴν*, καὶ *μεταγραφήν* (α). Ἀλλὰ ταύτην μὲν ὁ Φράγκελος ἀποδείκνυσιν, ὅτι

---

(α) Βλ. Ol. G. Tychsen, Tentamen de varijs codicum Hebraicor. Vet. Test. Mss. generibus, a Judaeis et Non-Judaeis descriptis etc. pag. 48, 55, 64, 81—124. Rostochij, 1772. καὶ τοῦ αὐτοῦ Befreyetes Tentamen von den Einwürfen der Herren M. Bruns, D. Dathe, Hofr. Michaelis etc. Rostock, 1774, καὶ Erster Anhang zu seinem befreyeten Tentamen, etc. Rostock, 1776. Κατὰ τὸν αὐτὸν χρόνον καὶ ὁ Graffman ἐξέδωκεν Hypomnemata historico-critica ad illustrandam hypothesin de codicibus Ebraeo-Graecis Vet. Test. (Halae, 1774), ὑπερασπιζόμενος τὴν ὑπόθεσιν τοῦ ἑβραιοελληνικοῦ τούτου κώδηκος, ἐξ οὗ θέλει καὶ αὐτὸς ὑπ' Ἀλεξανδρινῶν γενέσθαι τὴν τῶν Γραφῶν ἑλληνικὴν ἑρμηνείαν. Οὕτως οἱ σοφοὶ οὗτοι ἰδόντες ἐν τοῖς Ὠριγένους Ἑξαπλοῖς τὸ ἑβραϊκὸν κείμενον ἑβραϊκοῖς ἅμα καὶ ἑλληνικοῖς γράμμασι γεγραμμένον (ὅπερ Ὠριγένης ἐποίησεν, ἴσως δὲ καὶ ἄλλοι τινες Ἰουδαῖοι κατ' ἐκείνους τοὺς χρόνους συνήθως ἐποίουν, εὐκολύνοντες εἰς τοὺς πρωτοπείρους μαθητὰς τὴν μάθησιν τῶν δίχως φωνηέντων καὶ ἀστίκτων τότε γραφομένων ἑβραϊκῶν λέξεων). Τοῦτο παρατηρήσαντες οἱ σοφοὶ, ὠνειρεύθησαν καὶ ἐπὶ Φιλαδέλφου τοιαύτην ἑλληνοεβραϊκὴν λέξεων γραφήν. Εἰ δὲ καὶ ἔβλεπον τ' ἀνάπαλιν γράμμασιν ἑβραϊκοῖς γεγραμμένην τὴν παρ' Ἰουδαίοις γραικοβάρβαρον μετάφρασιν τῆς Πεντατεύχου, καὶ τῆς βίβλου τοῦ Ἰὼβ (βλ. Hody Libr. IV. pag. 633), τίς οἶδε ποῖον ἄλλον ὄνειρον ἔμελ-

σημαίνει καὶ *μετάφρασιν*, ἢ *ἑρμηνείαν* (α). Ὁ δὲ πάλιν, ὃν ὁ Τύξην ἀποδέχεται, Ἀριστέας οὐ μόνον *μεταγράψαι* λέγει, συνωνύμως τῷ ἑρμηνεῦσαι (βλ. ὄπισθ. σελ. 376, 381), ἀλλὰ καὶ αὐτὸ τοῦτο γράφει πολλάκις, τὸ *ἑρμηνεῦσαι*, καὶ *διερμηνεῦσαι*, καὶ « *μεθερμηνευθῆναι γράμμασιν ἑλληνικοῖς* », καὶ τὴν *ἑρμηνείαν* δὲ προστίθησι, καὶ προσέτι τὴν *διασάφειαν*. Ὡσαύτως καὶ Ἰώσηπος. Ὁ δὲ Φίλων καὶ διάτορον ἀνακηρύττει τὴν ἐκ θείας ἐπιπνοίας περὶ τὰς ταυτοσημάντους *ἑλληνικὰς* λέξεις συμφωνίαν τῶν ἑρμηνευτῶν. Ἔπειτα, μήπως ὁ Φιλάδελφος, καὶ ὁ Φαληρεὺς Δημήτριος ἐπὶ τούτῳ μόνον ἐπόνουν, ἵνα μεταγραφῇ δι' ἑλληνικῶν γραμμάτων ὁ κώδηξ ὁ ἑβραϊκός; τί δὲ καὶ οἱ ἑλληνίζοντες Ἰουδαῖοι κατενόουν ἀναγινώσκοντες ἐν γράμμασιν ἑλληνικοῖς τὰς ἑβραϊκὰς φωνάς; Ἀλλὰ τοῦτ' ἂν ἦν τὸ αὐτὸ, ὡς καὶ εἴτις τὴν Ὁμήρου, φέρ' εἰπεῖν, ποίησιν ἰταλικοῖς ἢ γερμανικοῖς γράμμασιν ἁπλῶς μεταγράψας, παρέχοι πρὸς διδασκαλίαν τοῖς παισὶ τῶν Ἰταλῶν καὶ Γερμανῶν. Ἀλλὰ τὰ τοιαῦτα παραδοξάσματα καὶ αὐτὰ καθ' ἑαυτὰ λεγόμενα ἀναιροῦνται, χωρὶς ἄλλης ἀπαντήσεως. Ἀπήντησαν δὲ ὅμως πρὸς τὰ Τυξήνια καὶ ἄλλοι πολλοὶ καὶ σοφοί (β). Ὡσαύτως ἐξήλεγξαν καὶ τὴν δῆθεν ἀπὸ κώδηκος Χαλδαϊκοῦ μετάφρασιν τῶν Ο, οἵαν ἐφαντάσθησαν οἱ τὸν Φίλωνα παρανοήσαντες (βλ. βιβλ. Α. κεφ. κα. §. η. σελ. 635). Οἱ δὲ περὶ τὸν Ἀσσεκάμπιον ὁρῶντες τὴν ἐν πολλοῖς συμφωνίαν τοῦ Σαμαρειτανοῦ κειμένου τῆς Πεντατεύχου πρὸς τὴν ἑρμηνείαν τῶν Ο, δέον ἐκ τούτου

---

λον ἀναπλάττειν! Τὸ δ' οὖν φάντασμα τοῦ Τύξηνος καὶ Σχίμιδος ὡς εὐάρεστον ὑπόθεσιν ἐμνημόνευσε (Schmid Hist. antiq. etc. pag. 250).

(α) Frankel l. c. pag. 31.

(β) Οἷον Dathe praefat. ad Prophet. minores pag. 23. Halae, 1773. — J. Michaelis Or. Biblioth. P. 5. pag. 48. — Stark in David. Carmin. p. 80. sq. — (Hassencamp) Der endeckte wahre Ursprung der alten Bibelübersetzungen etc. pag. 77—164. Minden, 1775. — Eichhorn Einleit. in d. Alt. Test. §. 182. — Mücke, l. c. p. 85. βλ. καὶ Fabric. Bibl. Graec. vol. 3. pag. 667. Harl. — Rosenmüllers Handbuch für die Literatur etc. 2 Bd. pag. 3—13, καὶ Horne, An Introduction etc. vol. 2. part. 1. p. 209.

συνιδεῖν τὴν τοῦ ἑβραϊκοῦ κειμένου διαφθοραν, εν οσοις αμφοτέρων (τοῦ τε Σαμαρειτανοῦ καὶ τῆς τούτῳ συμφώνου τῶν Ο μεταφράσεως) διαφέρει, οἱ δὲ μᾶλλον συνήγαγον, ὅτι οἱ Ο μετέφρασαν ἐκ τοῦ Σαμαρειτανοῦ! (α). Τοῦτο δὲ ἄρα οὔτε Ἀριστέας καὶ Ἀριστόβουλος, οὔτε Σειραχίδης αὐτὸς, οὔτε Φίλων καὶ Ἰώσηπος ἠπίσταντο, οὔτε πᾶσα ἡ κατ᾽ αὐτοὺς Συναγωγὴ τῶν Ἰουδαίων, οἵτινες οὐδέποτε « *συγχρώμενοι τοῖς Σαμαρείταις* », ἀλλὰ καὶ μισοῦντες αὐτοὺς μῖσος ἀδιάλλακτον, ὅμως τὴν ἐκ τοῦ Σαμαρειτανοῦ (κατὰ τὸν Ἀσσεκάμπειον μῦθον) ἐξελληνισμένην Γραφὴν ἐσέβοντό τε καὶ ἀνεγίνωσκον, καὶ ὁμότιμον ἀνεκήρυττον τῆς ἑβραΐδος ἀδελφήν (β). Ἀλλὰ καὶ πρὸς τὰς Ἀσσεκαμπείους

---

(α) Hassencap, Comment. philogic. critica de Pentateucho LXX. Interpret. Graeco, etc. Marburg. 1765. καὶ Der endeckte wahre Ursprung der alten Bibelübersetzungen etc. pag. 211. καὶ 256. πρβλ. I. B. de Rossi Variae lection. V. Test. vol. 1. proleg. §. 8. — Mücke l. c. p. 82.

(β) Ὁ Ἀσσεκάμπιος φέρει πρὸς ἀπόδειξιν τῆς ἰδίας αὐτοῦ γνώμης καὶ μαρτυρίας ἐκ τοῦ Ὠριγένους καὶ Ἱερωνύμου, τὰς ἐφεξῆς· «Ἔστι δὲ παρ᾽ αὐτοῖς (τοῖς Ἑβραίοις) καὶ τὸ ἀνεκφώνητον τετραγράμματον —. Κύριος δὲ καὶ τοῦτο παρ᾽ Ἕλλησιν ἐκφωνεῖται· καὶ ἐν τοῖς ἀκριβέσι τῶν ἀντιγράφων ἑβραϊκοῖς ἀρχαίοις γράμμασι γέγραπται, ἀλλ᾽ οὐχὶ τοῖς νῦν· φασὶ γὰρ τὸν Ἔσδραν ἑτέροις χρήσασθαι μετὰ τὴν αἰχμαλωσίαν » κτλ. (Ὠριγ. ἐν Ἑξαπλ. Montfauc. Praelim. T. I. p. 86). Λέγει καὶ ὁ Ἱερώνυμος· « Et nomem Domini tetragrammaton in quibusdam Graecis voluminibus, usque hodie, antiquis expressum litteris invenimus » (praef. in Libr. Regum)· τουτ. « Καὶ τὸ τετραγράμματον ὄνομα τοῦ Κυρίου ἔν τισι τεύχεσιν ἑλληνικοῖς, μέχρι σήμερον, ἀρχαίοις κεχαραγμένον γράμμασιν εὑρίσκομεν ». Ἐκ τούτων οἱ περὶ τὸν Ἀσσεκάμπιον συμπεραίνουσιν, ὅτι οἱ Ἑβραῖοι ἑρμηνεῖς τῆς Γραφῆς σεβόμενοι τὸ ἀνεκφώνητον ὄνομα τοῦ Θεοῦ, οὐκ ἐτόλμων αὐτὸ μεταφράζειν, ἀλλὰ μετέγραφον ἁπλῶς, καὶ τοῦτο, γράμμασιν ἀρχαίοις (Μωσαϊκοῖς, τοῖς αὐτοῖς καὶ Σαμαρειτανοῖς). Ἀλλὰ πῶς ἂν ἐχρῶντο Σαμαρειτανοῖς γράμμασιν, εἰ μετέφραζον ἐξ ἀντιγράφων ἑβραϊκῶν; (Hassencamp. l. c. πρβλ. καὶ Dathij praef. in Walton Prolegom. p. 49). Ἀπαντῶμεν· α) Ὁ Ὠριγένης ἀντίγραφα λέγων ἁπλῶς καὶ ἀορίστως, ἐννοεῖ οὐ μόνον ἑλληνικὰ, ἀλλὰ καὶ ἑβραϊκά· καὶ γὰρ καὶ Ἑβραῖοι ἀντιγραφεῖς διὰ τὸ αὐτὸ σέβας ἠδύναντο γράφειν, τὸ τετραγράμματον ὄνομα (τὸ Ἰεχωβὰ) τοῖς ἀρχαίοις γράμμασιν (τοῖς Μωσαϊκοῖς), ἀλλ᾽ οὐχὶ τοῖς νῦν παρ᾽ αὐτοῖς εἰθισμένοις. β) Τοὺς τοιούτους ἑβραϊκοὺς κώδηκας μιμούμενοι καί τινες τῶν παλαιῶν ἀντιγραφέων (οὐχ οἱ ἑρμηνεῖς) ἔγραφον ἔν τισιν (οὐχὶ πᾶσιν) ἑλληνικοῖς ἀπογράφοις τὸ τετραγράμματον διὰ τῶν ἀρχαίων ἑβραϊκῶν στοιχείων (δηλονότι διὰ τοῦ Iod, He, Vav, He). Ἐντεῦθεν ἀμαθεῖς τινες τῆς ἑβραΐδος

τερατολογίας ἀντεῖπον μὲν ἰδίως οἱ περὶ τὸν Ἐρνέστην (α)· ἐκσυρίττουσι δὲ ταύτας συμφώνως καὶ αὐτοὶ τῶν Ο οἱ πολέμιοι πάντες, ὅσοι τὴν ἐκ τοῦ ἑβραϊκοῦ μετάφρασιν τῆς ἑλληνίδος Γραφῆς ὁπωσδήποτε καθομολογοῦσιν. Εὖγε, ὦ σοφώτατοι ἀνδρῶν·

---

*βλέποντες ἐν τοῖς ἑλληνικοῖς βιβλίοις τὰ ἑβραϊκὰ ταῦτα στοιχεῖα παρόμοια πρὸς τὰ ἑλληνικὰ* ΠΙΠΙ, *ἀνεγίνωσκον τὴν λέξιν* π ι π ῖ, *ὡς αὐτὸς ὁ Ἱερώνυμος, ἐν τῇ πρὸς Μαρκέλλαν* 135 *ἐπιστολῇ, μαρτυρεῖ. (Καὶ νῦν δὲ παρ' ἡμῖν ἔν τισιν ἀρχαίαις ζωγραφίαις ἁγίων εἰκόνων, σῴζεται ἡ τοιαύτη γραφὴ* ΠΙΠΙ. *Ὁμοιάζουσι δὲ ταῦτα τὰ γράμματα πρὸς τὰ τοῦ ἑβραϊκοῦ τετραγραμμάτου, ἀντιστρόφως ἐκ δεξιῶν πρὸς τ' ἀριστερὰ θεωρούμενα)· γ) Αὐτοὶ δὲ οἱ ἑρμηνεῖς, οἱ* Ο, *τὸ τετραγράμματον ἡρμήνευσαν* Κ ύ ρ ι ο ς, *ὡς αὐτὸς Ὠριγένης ἀνωτέρω διακηρύττει. Καὶ οὕτω λοιπὸν ἐγράφετο τὸ ὄνομα κοινῶς καὶ συνήθως ἐν πᾶσι τοῖς ἀρχαίοις ἑλληνικοῖς χειρογράφοις (παρεκτός τινων, τῶν σεσημειωμένων, ἐν οἷς ἀντιγραφεῖς τινες εὐλαβέστεροι εἰσῆγον τὴν καθ' Ἑβραίους ἀρχαϊκὴν γραφὴν τοῦ τετραγραμμάτου). Ὅθεν οὔτε Ὠριγένης αὐτὸς ἐν τοῖς Ἑξαπλοῖς, οὔτε ὁ Ἱερώνυμος ἐχρήσαντο τῇ ἑβραϊκῇ ταύτῃ γραφῇ. δ) Αὐτὸς Ὠριγένης, καὶ αὐτὸς Ἱερώνυμος, οἱ ταῦτα τοὺς περὶ τὸν Ἀσσεκάμπιον διδάξαντες, οὐχ ᾔδεισαν ὅτι οἱ* Ο, *μεθηρμήνευσαν ἐκ τοῦ Σαμαρειτανοῦ. Πᾶν δὲ μάλιστα τοὐναντίον, ἀνακηρύττουσι μυριάκις τὴν ἐκ τοῦ ἑβραϊκοῦ μετάφρασιν τῶν* Ο. *ε) Ὁ Ἀριστέας, ὁ Ἀριστόβουλος, ὁ Σειραχίδης, ὁ Φίλων, ὁ Ἰώσηπος τοῦτο μαρτυροῦσι τρανοφθόγγοις στόμασι. Καὶ ἔπεστιν ἄρα σφόδρα θαυμάζειν, πῶς ἄνδρες πολυμαθεῖς ἀπώλλυον τὸν χρόνον, ἀναπλάττοντες φαντάσματα καὶ πρὸς αὐτὴν τὴν ἱστορικὴν ἀλήθειαν ἀντιβαίνοντα. Ὁ δὲ κλεινὸς Δάθιος φαίνεται καὶ λίαν ἀστεῖος, ἐν οἷς ἀντιλέγων πρὸς τὸν γεράσμιον Βάλτωνα, τὴν Ἀριστέου περὶ τῆς ἑρμηνείας ἱστορίαν ἐν πᾶσι σχεδὸν ἀποδεχόμενον καὶ τιμῶντα, «Ἀλλὰ ταύτην (λέγει) τὴν ἱστορίαν, ἢ μυθολογίαν, ἐν τοῖς καθ' ἡμᾶς χρόνοις οὐκέτι οὐδεὶς πιστεύει, εἰ μὴ μόνον, ὅστις τὸ ἀληθὲς ἀπὸ τοῦ ψευδοῦς, ἢ οὐκ ἐθέλει, ἢ οὐ δύναται διακρίνειν, ἀφ' οὗ μάλιστα Ὅδιος καὶ Βαν-Δάλης τὸ μάταιον τούτου τοῦ πλάσματος ἀπέδειξαν ἐναργῶς», (Dathe u. s. p. 36). Ἀλλ' εἴπερ ἡ τῶν πραγμάτων ἀλήθεια ἀπεδείκνυτο, καθὼς αὐτὴν ἀπέδειξαν Ὅδιος καὶ Βανδάλης, καὶ οἱ τούτων ὀπαδοὶ καὶ θιασῶται (ἐν οἷς καὶ αὐτὸς ὁ Δάθιος), προσφιλοτιμηθέντες πρὸς ταῖς ἐκείνων ἀποδείξεσι καὶ τὰς παρ' ἑαυτῶν συνεισενεγκεῖν (οἵαν εἰσέφερον καὶ περὶ τοῦ Σαμαρειτανισμοῦ τῆς ἑλληνικῆς Γραφῆς), τότε, πᾶν κῦρος ἔῤῥει. Τότε, πᾶσα μὲν ἱστορικὴ πίστις, συνάμα, καὶ αὐτὴ μετὰ τῆς Αἰδοῦς, ᾤχετ' ἂν ἐξ ἀνθρώπων «Ἀ θ α ν ά τ ω ν μ ε τ ὰ φ ῦ λ ο ν, κ α λ υ ψ α μ έ ν η χ ρ ό α κ α λ ό ν» ἀπελείποντο δὲ τοῖς ταλαιπώροις θνητοῖς ἄλγεα λυγρὰ, τὰ τοῦ πανωλέθρου πυῤῥωνισμοῦ. Ἀλλὰ, τῷ θεῷ χάρις, ὑπῆρχον καὶ κατ' αὐτοὺς τοῦ Δαθίου τοὺς χρόνους ἄνδρες πολλαχοῦ τῆς Εὐρώπης σοφοὶ, οἵτινες καὶ ἤθελον καὶ ἠδύναντο διακρίνειν, καὶ διέκριναν ἀπὸ τοῦ ψεύδους τὴν ἀλήθειαν, ἐξελέγξαντες τὴν σοφιστείαν, ἥτις καὶ τ ὸ π ι σ τ ὸ ν ἐ μ ή σ α τ ο π ο λ λ ά κ ι ς ἄ π ι σ τ ο ν ἀποδεῖξαι»!*

(α) Βλ. Ernesti neue theologis. Bibliothek. 6, Bd. 4. Abth. pag. 379.

οὕτω ποιεῖτε. Ἀντιφάσκετε πρὸς ἀλλήλους, μὴ συμφωνοῦντες ἐν πᾶσι κατὰ τῆς ἀληθείας, καὶ καταῤῥάσσετε τὰ ἕτερος ἑτέρου ὑπερήφανα ὑψώματα, τὰ κατεπαιρόμενα καὶ τραχηλιῶντα κατὰ τῆς ἑρμηνείας τῶν θεοφιλῶν Ο, γερόντων! Αὐτοὶ δ' ἐπᾴδουσιν ἥσυχοι τὸ τοῦ ψαλμῳδοῦ· « Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, τῶν λαλούντων ἐν ὑπερηφανείᾳ καὶ ἐξουδενώσει »!

§. λβ. Ταῦτα πρὸς ἀπάντησιν καὶ τούτου τοῦ κεφαλαίου τῆς Ὀδιακῆς κριτικῆς, ὅπερ κατεσκεύασε μὲν πρῶτος Ὅδιος φιλοτίμως, ἐκ παντοίας συναγείρας πολυμαθείας, καὶ *γάλα* (τὸ τῆς παροιμίας) *ὀρνίθων* ἀμέλξας, ἐπεκόσμησαν δὲ καὶ οἱ μεταγενέστεροι, παντοίους συνεισενεγκόντες ἐράνους, ἀπέδειξαν δὲ ὅμως πλῆρες ἐψευσμένων καὶ πλάνων λογισμῶν, καὶ σχεδὸν παρόμοιον τῆς καλλιπύργου πόλεως ἐκείνης, ἣν ἐκ τῶν κακίστων συνοικίσας ὁ Φίλιππος, *Πονηρούπολιν* προσηγόρευσε.

## ΚΕΦΑΛΑΙΟΝ Ι΄.

*Περὶ τῆς φράσεως τῆς τῶν Ο, ἑρμηνείας, ἐξ ἧς οἱ ἐναντίοι πολλὰς ἐπάγουσιν ἀποδείξεις, ὅτι δῆθεν οὔτε ὅλη ὑπὸ τῶν αὐτῶν ἑρμηνευτῶν ἐφιλοπονήθη, καὶ πολλὰ τῶν βιβλίων οὐ μόνον ὁλοκλήρως, ἀλλὰ καὶ κατὰ μέρη διαφόρους ἔσχον ἑρμηνευτάς.*

§. α. Κορωνίδα τοῦ β, βιβλίου χρυσῆν, ἢ ἀδαμαντίνην, ἐπέθηκεν Ὅδιος ἴδιον κεφάλαιον, ἐν ᾧ, τέλος, καὶ ὡς ἐκ τῆς φράσεως καὶ τῆς τοῦ λόγου συνθήκης (ᾗ θέμις, κριτικῶν νόμῳ) κατεξήλεγξε διαφόρους τινὰς καὶ ποικίλους γενομένους τοὺς τῆς Γραφῆς ἑρμηνεῖς, ἄλλους ἄλλοτε ἄλλα μεταφράσαντας. Τῶν μὲν οὖν κατοίκων μιᾶς καὶ τῆς αὐτῆς ἑλληνίδος νήσου, τῆς Κρήτης, ποικίλας εἶπε τὰς διαλέκτους ὁ ποιητὴς (Ὀδυσ. Τ. 175).

« *Ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοὶ, Ἐν δ' Ἐτεόκρητες, — ἐν δὲ Κύδωνες, ἐν δὲ Δωριεῖς, καὶ Πελασγοί* »· πλὴν ἀλλ' ἦσαν οὗτοι κατὰ δήμους γοῦν ὁμόφωνοι

πρὸς ἀλλήλους. Ὁ δὲ κριτικὸς εἰσάγει τοὺς ἑρμηνεῖς οὐ μόνον κατὰ βιβλία διαφέροντας περὶ τὴν λεκτικὴν ἑρμηνείαν, ἀλλὰ καὶ κατὰ τεμάχια, ἢ κεφάλαια, καὶ καθ᾿ ἕκαστον σχεδὸν πολλάκις ἐδάφιον· τοιαύτην εὕρηκε ποικιλογλωσσίαν, ἐκ δὲ ταύτης καὶ ποικιλομορφίαν παντοίων Ἑρμηνευτῶν! Καὶ ἀπέδειξε λοιπὸν τὴν κατὰ τοὺς Ο, Γραφὴν, ὅσον ἐκ τῆς φράσεως, ὁμοίαν τοῦ Τρωϊκοῦ στρατοπέδου, ὅπου « *πολύκλητοι ἦσαν ἄνδρες* », καὶ ὧν « οὐ πάντων ἦεν *ὁμὸς θρόος, οὐδ᾿ ἴα γῆρυς* » (Ἰλ. δ. 437)· ἢ μᾶλλον, παρομοίαν τῆς παμφωνοτάτης ἐκείνης λαλιᾶς τῶν πρὸς ἀλλήλους ἀξυνέτων πυργοποιῶν τῆς Βαβυλῶνος. Ἡ δὲ τούτου δεῖξις ὁποία τις ἄρα καὶ πόθεν; ἀκούσωμεν.

§. β. « Ἐπὶ τῆς κελεύσματι (λέγει) τοῦ βασιλέως Ἰακώβου τοῦ Α, φιλοπονηθείσης Ἀγγλικανῆς τῶν Γραφῶν ἑρμηνείας, εἰς ἣν ἄνδρες πλεῖστοι καὶ οἱ σοφώτατοι, πανταχόθεν τοῦ βασιλείου ἐκλεγέντες, ἐνίδρωσαν, τοιόνδε τι συνέβη. Πρῶτον οἱ μεταφρασταὶ συνέταξαν κανόνας ἀκριβῶς τηρητέους περὶ τὴν ἑρμηνείαν· ἔπειτα διαμερίσαντες τὰ τεύχη τῆς Γραφῆς εἰς τοσάδε τινα μέρη, διέταξαν καθ᾿ ἕκαστον μέρος τοσούτους τινας ἑρμηνεῖς· καὶ ὅ,τι μεθηρμήνευεν ἕκαστος ἐν χρόνῳ τακτῷ, παρεδίδετο τοῖς ἄλλοις εἰς ἀνάκρισιν· ἕως οὗ, τέλος, ὅλον τὸ ἔργον, ψήφῳ πάντων ἐγκριθὲν, ἐξῆλθεν εἰς φῶς, κοινῷ τῶν πάντων ὀνόματι ἐπιγεγραμμένον. Τοιουτοτρόπως ἐνόμισεν ὁ περικλεὴς Βάλτων καὶ τῶν Ο, τὴν ἑρμηνείαν ἀπαρτισθεῖσαν ἐν οβ, ἡμέραις, ὡς φησὶν Ἀριστέας. Ἐντεῦθεν (λέγει) προῆλθε πιθανῶς καὶ ἡ τοῦ ὕφους ἔν τισι βιβλίοις θεωρουμένη διαφορά· τὰ μὲν γὰρ συμφωνοῦσι μᾶλλον πρὸς τὸ ἑβραϊκὸν (οἷον ἡ *Πεντάτευχος*, κατὰ τὸν Ἱερώνυμον, καὶ ὁ *Ἱερεμίας* [γράφε Ἰεζεκιὴλ], κατὰ τὸν Ὑσσέριον), τὰ δὲ καὶ μᾶλλον ἀφίστανται κατὰ λέξιν. Ἐντεῦθεν, ἴσως, ἐγεννήθη καὶ τῶν δωματίων τὸ διήγημα· κατὰ μέρος γὰρ ἕκαστος ἐν διαφόροις δωματίοις ἑρμηνεύοντες ὡρισμένον τεμάχιον τῆς Γραφῆς, ἐκοινοποίουν ἔπειτα καὶ τοῖς ἄλλοις, ἐκφέροντες εἰς τὸ Συνέδριον, ὅπου τὸ κοινῇ κριθὲν καὶ δοκιμασθὲν ἐκυροῦτο. Ὅθεν (λέγει) οὐ μόνον πιθανὸν, ἀλλὰ

καὶ ἀναγκαῖον ὑπῆρχεν, ἵνα κατὰ μέρος ἕκαστος ἴδιον ἔχωσιν οἰκίσκον, ἢ δωμάτιον, σχολάζοντες κατὰ μόνας περὶ τὴν ἑρμηνείαν, χωρὶς ἐκείνης τῆς *βασιλικῆς* (οἰκίας, ἢ παστάδος), ἐν ᾗ συνεδρίαζον ἁπαξάπαντες κοινῇ συνιόντες ». Ταῦτα ὁ Βάλτων (Προλεγομέν. κεφ. θ. 10). Ἐγὼ δὲ (φησὶν Ὅδιος) τὴν μὲν περὶ τούτου κρίσιν τοῦ περικλεοῦς ἀνδρὸς ἐπαινῶ, τὴν δὲ πρόσκλισιν οὐκ ἐπαινῶ. Ὁ γὰρ Ἀριστέας (ὃν ὁ Βάλτων ἐνόμιζε γνήσιον) εἰσάγει τοὺς Ο, κοινῶς ἐν τῷ αὐτῷ τόπῳ φιλοπονοῦντας τὴν ἑρμηνείαν. Ὅτι δὲ τοῦτο βούλεται Ἀριστέας, οὕτω βέβαιον ὑπάρχει τὸ πρᾶγμα καὶ ἐναργὲς, ὡς οὐκ ἂν ἄλλο γένοιτο βεβαιότερον οὐδέν (α). Ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ἑρμηνείᾳ κεῖνται σχεδὸν *ἄπειρα* (infinita!) μὴ μόνον πρὸς τὴν Ἀριστέου παράδοσιν, ἀλλὰ καὶ πρὸς τὴν αὐτοῦ τοῦ Βάλτωνος εἰκασίαν ἀριδήλως ἀντιμαχόμενα.

§. γ. Θῶμεν (λέγει) πρὸς τὸ παρὸν μὴ μόνον οβ, γενομένους, καὶ παρ' αὐτοῦ τοῦ βασιλέως μετακληθέντας τοὺς ἑρμηνεῖς, ἀλλὰ καὶ πάσας τὰς Γραφὰς ὑπ' αὐτῶν διερμηνευθείσας (καίτοι τοῦτο ψευδέστατον ἐν τοῖς ἔμπροσθεν ἀπεδείξαμεν *ἱκανῶς καὶ ὑπερικάνως*! *satis superque*!). Ἀλλ' ἐκ τῶν ἐφεξῆς ἀποδειχθήσεται τρανῶς, ὅτι οἱ ἑρμηνεῖς οὗτοι, ὁσοιδήποτ' ἂν καὶ ἦσαν, ἦσαν διάφοροι παντοδαπῶς. Καὶ γὰρ καὶ τῶν διαφόρων βιβλίων τῆς Γραφῆς, καὶ τῶν διαφόρων δὲ μερῶν ἑνὸς καὶ τοῦ αὐτοῦ βιβλίου οὐχ οἱ αὐτοὶ γεγόνασι μεταφρασταί. Τοσοῦτον δὲ καὶ πρὸς ἀλλήλας αἱ ἑρμηνεῖαι διαφωνοῦσιν, ὥστε φαίνεται παντάπασιν ἀπίθανον, ἢ ὅτι διεκοίνωσαν πρὸς ἀλλήλους οἱ ἑρμηνεῖς, ἢ ὅτι κοινῇ ψήφῳ κατεκύρωσαν, ὅσα κατὰ μέρος εἷς τις ἕκαστος ἡρμήνευε. Καὶ ἕπεται ἄρα, ὅτι, καὶ εἰ μή γε ὑφ' ἑνὸς καὶ μόνου

---

(α) Κατὰ τὸν Ὅδιον! κατὰ δὲ τὴν ἀλήθειαν, οὐδὲν ἄλλο ψευδέστερον ἐρεῖς, ἀναγνῶσα, τὰ προδεδειγμένα διεξελθὼν (σελ. 371.). Πλὴν ἀλλὰ καὶ ταῦτα τοῦ Ὁδίου, σχήματά εἰσιν ὑπερβολῆς, οἷα καὶ τὰ ἐφεξῆς ἐρεῖ σφάλματα « ἄπειρα καὶ ἀναρίθμητα » (§. η), ἐν βιβλίῳ κείμενα πάντως κατ' ὄγκον πεπερασμένῳ, καὶ μὴ μόνον ἃ λέγει σφάλματα, ἀλλὰ καὶ πάσας τὰς λέξεις ἔχοντι πάντως ἀριθμητάς! Σημ. ἡμετ.

(καθὼς ἐνόμισεν ὁ Σκαλίγηρος) πεφιλοπόνηται ὅλη ἡ ἑρμηνεία, ὅλον ὅμως αὐτῆς τὸ κῦρος ἐξήρτηται ἐκ τῆς ἀξιοπιστίας ἑνός τινος ἑκάστου ἑρμηνέως καὶ μόνου.

§. δ. Ὅτι δὲ τῆς ἁπάντων τῶν τευχῶν ἑρμηνείας οὔτε συγγραφεῖς, οὔτε γοῦν διορθωταὶ γεγόνασιν οἱ αὐτοὶ, δείκνυται πρῶτον ἐξ ὧν ἄνδρες ἀπεφήναντο σοφοὶ, διακρίνοντες τὴν ὑπὲρ τὰς λοιπὰς βίβλους ὑπεροχὴν τῆς ἑρμηνείας τῆς Πεντατεύχου. Αὐτίκα ὁ μακάριος Ἱερώνυμος· « Ἰώσηπος, ὁ τὴν ἱστορίαν τῶν Ο προτιθεὶς, τὰ πέντε μόνον βιβλία τοῦ Μωσέως ὑπ᾽ αὐτῶν ἑρμηνευθῆναί φησι. Ταῦτα δὲ καὶ ἡμεῖς ὁμολογοῦμεν μᾶλλον τῶν ἄλλων πρὸς τὸ ἑβραϊκὸν συμφωνεῖν » (α). Μαρτυρεῖ δὲ καὶ Μάσιος (Ἱερωνύμῳ συμφωνῶν) (β), « ὅτι πλὴν τῆς Πεντατεύχου, τὰ λοιπὰ βιβλία πολλοῖς ἐν τόποις οὕτω διέστραπται, ὥστε παντελῶς ἀπίθανον δοκεῖν, εἴτις καὶ τούτων τὴν ἑρμηνείαν εἰς τοὺς ΟΒ σοφωτάτους ἄνδρας ἀναφέροι. — Μέγιστα γὰρ ἁμαρτήματα περιέχουσιν ἀπό τε *παραγραμματισμῶν* (δηλαδὴ τῶν παρὰ τὸ προσῆκον γράμμα ἀναγνώσεων τῶν τοῦ πρωτοτύπου λέξεων), καὶ ἀπὸ *παρεξηγήσεων* προελθόντα, καὶ ἀπὸ μακρῶν περὶ τὰς λέξεις *περιγραφῶν*. Κρίνω δὲ (λέγει) τὰ σφάλματα ταῦτα τῆς ἑρμηνείας οὐκ ἐκ τῆς γραφῆς τῶν καθ᾽ ἡμᾶς ἑβραϊκῶν κωδήκων (ἵνα μή τις ἀντιπροτείνῃ τὰς ἐν τούτοις εἰσφρησάσας ἁμαρτάδας τῶν ἀντιγραφέων, καὶ τὰς νεωτέρας τῶν Ἑβραίων στίξεις, καὶ τὰς Μασοριτείους προσθήκας τῶν φωνηέντων καὶ προσῳδιῶν, ἢ καὶ τὰς ἑκοντὶ καὶ ἐξεπίτηδες [ὡς θέλουσί τινες, οἷς ἐγὼ μέχρι τοῦ νῦν οὔπω συνήνεσα] γενομένας ὑπὸ τῶν ἀπίστων Ἰουδαίων περὶ τὸ κείμενον ἀλλοιώσεις καὶ διαφθοράς)· ἀλλ᾽ αὐτὰ τὰ πράγματα μηνύουσι σαφῶς πολλὴν πολλάκις καὶ ἄτοπον διαφωνίαν αὐτῶν τῶν λέξεων καὶ φράσεων, αἷς ἐχρήσαντο ἐκεῖνοι οἱ ἑρμηνεῖς.—

---

(α) Hieron. Quest. Hebr. in Genes. [Ἀλλ᾽ εἴπερ ἐπὶ τῆς Ἰωσήπου μαρτυρίας ἐπιστηρίζει τὴν ἰδίαν γνώμην (ὡς ἔοικεν) ὁ Πατὴρ, φροῦδα συνῆξε! Βλ. ὄπισθ. σελ. 439. Σημ. ἡμετ.].

(β) Masius Praefat. in Graec. Edit. Josuae.

Ἀλλ' ὅπως ἂν ἔχῃ τὸ περὶ τούτων, ἄν τις μ' ἐρωτήσῃ τί ποτε φρονῶ περὶ τῶν Ο, μηδὲν ἀποκρυψάμενος ὁμολογήσω, ὅτι ἡ ἑρμηνεία αὕτη, ὅταν αὐτὴν ἀναγινώσκω, ἐν πολλοῖς τισι χωρίοις ἀφυεστάτη μοι δοκεῖ καὶ τηλικούτων ἀνδρῶν ἀναξιωτάτη· ἐν ἄλλοις δὲ πάλιν θείαν αὐτὴν εὑρίσκω, καὶ μᾶλλον ὑπὸ προφητῶν, ἢ ὑπὸ κοινῶν ἑρμηνέων ἐξηγημένην». Τοιαῦτα ὁ Μάσιος (α).

§. ε. Μετὰ δὲ τὴν Πεντάτευχον (ἐπισυνείρει Ὅδιος), μεταξὺ τῶν ἄλλων τευχῶν τὴν τοῦ Ἰεζεκιὴλ ἑρμηνείαν πρωτεύουσαν μάλιστα, καὶ πρὸς τὸ ἑβραϊκὸν πλησιεστάτην μαρτυρεῖ πάλιν ὁ Ἱερώνυμος, ὅστις ἐκ τούτου καὶ τὸ διάφορον τῶν ἑρμηνέων οὐκ ἀπεικότως συνάγει λέγων. «Καὶ ἡ κοινὴ τοῦ Ἰεζεκιὴλ ἔκδοσις οὐ πολὺ ἀπέχει τοῦ Ἑβραϊκοῦ. Ὅθεν καὶ πάνυ θαυμάζω διὰ ποίαν αἰτίαν, εἴγε τοὺς αὐτοὺς ὅλων τῶν βιβλίων ἔχομεν ἑρμηνεῖς, ἐν ἄλλοις μὲν οὗτοι τὰ αὐτά, ἐν ἄλλοις δὲ παρηλλαγμένα μετέφρασαν» (β).

§. ς. Ἡ δὲ κατὰ τοὺς Ο, λεγομένη τοῦ Δανιὴλ ἑρμηνεία τοσούτοις ὑπὲρ τὰς τῶν ἄλλων βιβλίων ἁμαρτήμασιν ἔβρυεν, ὥστε παντελῶς ὑπὸ τῆς Ἐκκλησίας ἐξεῤῥίφθη, ἀντικατασταθείσης τῆς κατὰ τὸν Θεοδοτίωνα! Ἄκουε πάλιν τὸν ἄριστον ἄνδρα, τὸν Ἱερώνυμον. «Τὸν προφήτην Δανιὴλ αἱ τοῦ Θεοῦ Ἐκκλησίαι οὐκ ἀναγινώσκουσι κατὰ τοὺς Ο, χρῶνται δὲ τῇ τοῦ Θεοδοτίωνος ἐκδόσει. Διὰ τί δὲ τοῦτο συμβέβηκεν, ἀγνοῶ (γ). Εἴτε διότι

---

(α) Ὁ δὲ σοφὸς Ἐρνέστης καὶ ὡς ἐκ τοῦ Ἑλληνισμοῦ κρίνων, εὑρίσκει τὴν ἑρμηνείαν τῆς Πεντατεύχου καὶ τῶν Παροιμιῶν, μᾶλλον ἑλληνικωτέραν, παρὰ τὴν τῶν ἄλλων βιβλίων τῆς Γραφῆς· ὅθεν καὶ τοὺς ἑρμηνεῖς ἐκείνων τῶν τευχῶν ἄλλους ὑπέλαβε διαφόρους παρὰ τοὺς τῶν λοιπῶν. (Ernest. Institut. Interpret. N. T. p. II. c. 7). Ἀλλ' ἡ τοιαύτη περὶ τὸν Ἑλληνισμὸν τῶν κανονικῶν τῆς Γραφῆς τευχῶν βαθμολογία τοῦ κριτικοῦ ματαία καὶ ψευδὴς ἐξελέγχεται ἐκ τῆς ἀκριβεστέρας τῶν διαφόρων χωρίων παραβολῆς. Τῷ δ' οὖν Ἐρνέστῃ καὶ Κνάππος συνεφώνησε (Knapp, Disput. De Versione Alexandrina etc. Halae 1775). Καὶ ὁ Μύκκης συνυποκρέκει (l. c. p. 78). Σημ. ἡμετ.

(β) Hieron. Praef. in Ezeck. πρβλ. Usser. Epist. ad Capell. p. 215.

(γ) Ἀλλ' ἔγνω προχθὲς, ὦ φερώνυμε Πάτερ, καὶ ἀνεκάλυψεν (ὡς καυχᾶται) τὴν αἰτίαν, ὁ ἀρχιραββῖνος Φράγκελος. «Ἐξ ἀμνημονεύτων (λέγει) χρόνων ἡ κατὰ

Χαλδαϊκῆς τῆς φράσεως οὔσης » (εἰς ἣν ἔγραψε δηλονότι ὁ Δανιὴλ) « καὶ κατά τινας ἰδιωτισμοὺς διαφερούσης παρὰ τὴν ἡμῖν συνήθη διάλεκτον, οὐκ ἠθέλησαν οἱ Ο, καὶ αὐτὰς τῆς γλώσσης τὰς σειρὰς ἐν τῇ μεταφράσει διατηρῆσαι. *Εἴτε διότι ὑπὸ τ᾽ ὄνομα τούτων παρ᾽ ἄλλου τινὸς, οὐκ οἶδ᾽ ὅτου, μὴ εἰδότος ἀκριβῶς τὰ Χαλδαϊκὰ μεθηρμήνευται τὸ βιβλίον*, εἴτε δι᾽ ἄλλην τινα συμβᾶσαν αἰτίαν, οὐκ οἶδα. Τοῦτο μόνον δύναμαι διαβεβαιοῦν, ὅτι πολὺ τῆς ἀληθείας ἡ ἑρμηνεία διαφωνεῖ, καὶ ὀρθῇ γε τῇ κρίσει ἀπεβλήθη » (α).

§. ζ. Καὶ Οὔγων δὲ ὁ Βρούχθων (ἐπισυνάπτει Ὅδιος) « τὰ χειρόγραφα (φησὶ) τὰ ἑβραϊκὰ, ἐξ ὧν οἱ Ο μεθηρμήνευσαν, οὐκ εἶχον τόνους οὐδὲ φωνήεντα (χωρὶς δὲ τούτων, δύσκολον τὰ πανταχοῦ κατατυγχάνειν τῆς ἀληθείας). Καὶ τοῦ μὲν Μωσέως οἱ ἑρμηνεῖς ἦσαν ἀκριβέστατοι (μόνος ὁ τὰ πρὸς τὸν Κάϊν λόγια τοῦ Θεοῦ μεταφράσας [ Γενέσ. δ. 6 ], ἢ συνέκρυψεν ἐξεπίτηδες τὸ νόημα, ἢ πάντη νήπιος ὑπῆρχεν ἐν τοῖς Ἑβραϊκοῖς). Καὶ τῶν ἱστορικῶν δὲ βιβλίων οἱ ἑρμηνεῖς ἐπιμελέστατοι ἦσαν, ὁμοίως καὶ οἱ τὰς Παροιμίας καὶ τοὺς Ψαλμοὺς μεταβαλόντες. Ὁ δὲ τὸν

---

Θεοδοτίωνα μετάφρασις τοῦ Δανιὴλ ὑπῆρχεν ἐν χρήσει, καὶ οὐχ ἡ τῶν Ο. Ἡ δ᾽ αἰτία τούτου παρὰ τοῖς ἀρχαίοις ἄγνωστος ἦν (βλ. Hieron. praef. in Daniel). Ἀλλ᾽ ὁ Δανιὴλ ἠδύνατο μεταφρασθῆναι καὶ παρά τινι κοινότητι [τῶν Ἑλληνιστῶν Ἰουδαίων], μακρὰν τῆς Ἀλεξανδρείας, ἴσως κατὰ τὴν μικρὰν Ἀσίαν. Αὕτη δὲ ἡ μετάφρασις διεδόθη ὑστέρα τῆς τοῦ Θεοδοτίωνος (ὅστις ὅμως ἐγίνωσκεν αὐτὴν καὶ μετεχειρίσθη, συντάττων τὴν ἑαυτοῦ). Ὅθεν, ὅτε τὸ πρῶτον ἡ Ἐκκλησία κατὰ τοὺς ἀρχαίους χρόνους καθυπέταττεν εἰς κανόνα τὰ συγγράμματα τῆς Παλαιᾶς Διαθήκης, ὤφειλεν, ὡς εἰκὸς, παραδέξασθαι τὴν κατὰ Θεοδοτίωνα μετάφρασιν τοῦ Δανιήλ. Καὶ φαίνεται μὲν Ἰουστῖνος ὁ μάρτυς ἐκφέρων τὰς ῥήσεις ἐκ τῆς τῶν Ο, καὶ οὐχ ἀπὸ τῆς Θεοδοτίωνος ἑρμηνείας. (βλ. Credner Beitraege zur Einleit. in die biblische Schrift. Bd. 2, pag. 26). Ἀλλ᾽ ἐκ τούτου οὐκ ἀποδείκνυται ὅτι καὶ κατὰ τὴν Ἀλεξάνδρειαν ὑπῆρχεν ἡ τῶν Ο, γνωστή» (Frankel l. c. p. 39,40). Τίς ἂν ἤλπιζεν, ὅτι μετὰ τοσούτους αἰῶνας ὁ μακάριος Ἱερώνυμος ἔμελλεν ἕξειν σχολιαστὴν καὶ κριτικὸν Ἰουδαῖον, πολὺ τοῦ τὰ ἑβραϊκὰ διδάξαντος αὐτὸν Βαραβανίνου καὶ ληρωδέστερον καὶ θρασύτερον; Ἀλλ᾽ ἀκούσωμεν καὶ τὰ λοιπὰ τῆς Ἱερωνύμου παρ᾽ Ὀδίῳ περικοπῆς. Σημ. ἡμετέρ.

(α) Hieron. Praef. in Daniel.

Ἰώϐ ἐξελληνίσας ἀναγνώστης ἦν καὶ τῶν ποιητῶν (α)· οὐδ᾽ ἡρμήνευσε καθέκαστον ἰσχνῶς καὶ συνεσφιγμένως, ἀλλ᾽ ἐφρόντισεν ὅπως καὶ τοῖς Ἕλλησιν οἰκεῖα πάντα γένωνται καὶ συνήθη. Ὁ δὲ τοῦ Ἐκκλησιαστοῦ ἑρμηνεὺς περὶ τὴν ἑϐραϊκὴν ἐνηπίαζε μᾶλλον, ἢ περὶ τὴν ἑλληνίδα φωνήν. Ἄριστος δὲ πάλιν ὁ τοῦ Ἀμὼς, καὶ σφόδρα σοφὸς ὁ τοῦ Ἰεζεκιὴλ » (β). Ἀκουστέος, τέλος, καὶ Ὑλδέριχος ὁ Ζβίγγλιος (γ). « Μένει (λέγει) μόνον πιθανὸν, ὅτι τῶν ἑρμηνέων ἕκαστος οὐχ ἡρμήνευσε βιϐλίον ὁλόκληρον. — ἀλλὰ διελόντες τὰ βιϐλία, καὶ διανειμάμενοι πρὸς ἀλλήλους, ἀναλόγως τῷ τε μεγέθει καὶ τῇ ὑποθέσει ἑκάστου τεύχους, μετέφραζον τὸ ἐπιϐάλλον μέρος ἕκαστος κατὰ μόνας. Συντελεσθέντος δὲ τοῦ ἔργου, συνεφόρησαν τὰ πάντα *συμπιλήσαντες* ἀθρόως εἰς ἕνα κώδηκα. Τούτου δὲ δεῖξις, ἡ ἐφεξῆς. Αἱ γὰρ αὐταὶ καὶ λέξεις καὶ φράσεις, καὶ λόγου δὲ σχήματα τὰ αὐτὰ, διαφοροτρόπως ἡρμηνεύθησαν οὐ μόνον ἐν διαφόροις βιϐλίοις, ἀλλὰ καὶ πολλάκις ἐν τοῖς αὐτοῖς. Ὁπότε δέ τις ἑρμηνεὺς, εἷς καὶ μόνος συγγράφων, οὐδέποτ᾽ ἐκπίπτει τῆς γνώμης ἐπὶ τοσοῦτον, ὥστε παντελῶς ἐπιλαθέσθαι πῶς ἐξέφρασεν ἐν τοῖς προηγουμένοις τὴν αὐτὴν ἢ φράσιν, ἢ διάνοιαν, πολὺ γ᾽ ἂν ἔλαττον ἔπαθόν τι τοιοῦτο ἐκεῖνοι οἱ ἑρμηνεῖς, εἴπερ ἅπαντες συνάμα καὶ κοινῇ σπουδῇ καὶ γνώμῃ μεθηρμήνευον. Πρόσθες, ὅτι καί τινες αὐτῶν, ἐπιτυχῶς ἑρμηνεύσαντες, ῥᾳδίως ἀπέδειξαν εἰς τὸν κόσμον, ὅσον ὑπερεῖχον τοὺς ἄλλους, τοὺς ἀμαθῶς ἐκπεράναντας τὸ ἴδιον ἔργον » κτλ. Τοιαῦτα καὶ ὁ Ζβίγγλιος.

§. η. Ἐγὼ δὲ (λέγει Ὅδιος) οὐ μόνον μαρτυρίας καὶ κρίσεις

---

(α) Οὕτω καὶ ὁ Βῶσος (Bos, Proleg. in V. Test.). Καὶ τῆς τῶν ποιητῶν ἀναγνώσεως φέρει δείξεις τὰς ἐφεξῆς ἐκ τοῦ Ἰώϐ· « Δεινῶς με ὀλέκεις (1, 16). « Ὀλέκει γάρ με τὸ πνεῦμα » (λϐ, 18)· τὸ δὲ ὀλέκειν ποιητικὸν, ἀντὶ τοῦ ὀλλύειν. Καὶ ἐν ταῖς Παροιμίαις (λέγει) εὑρίσκονται ποιητικὰ, ὡς τὸ « νηὸς ποντοπαρούσης » (λ. 19). Σημ. ἡμετ.

(β) Hugo Bruchton, Epist. de translat. Script. ex Hebraic. in Anglic.

(γ) Huldrichus Zuinglius, Praef. in Esaiam.

ἄλλων ἐκφέρω. Αὐτὰ τὰ πράγματα παριστῶ. *Ἀναρίθμητα τῷ ὄντι* παρετηρήσαμεν ἐν τῇ ἑλληνικῇ ἑρμηνείᾳ, ἅπερ οὐκ ἂν πώποτε συνέβαινον, εἴπερ, ἢ πάντες ἅμα συνεργαζόμενοι ἐφιλοπόνουν τὴν ἑρμηνείαν, ἢ κἂν ὅσα κατὰ μέρος ἡρμήνευσεν εἷς τις ἕκαστος, καθυπέταττεν εἰς τὴν κοινὴν τῶν ἄλλων ἐπίκρισιν. Αἱ αὐταὶ ἑβραϊκαὶ λέξεις ἐν διαφόροις τόποις πάντῃ διαφόρως ἐξελληνίσθησαν. Τὰ αὐτὰ κύρια ὀνόματα τόπων, ἀνδρῶν, ἐθνῶν, ἐκφέρονται δι' ἄλλων ἄλλοτε φωνηέντων συντεθειμένα, καὶ νῦν μὲν ἄκλιτα, νῦν δὲ πάλιν κατὰ κλίσιν καταλήξεων ἑλληνικῶν. Καὶ ἀλλαχοῦ μὲν αὐτὰ γράφονται τὰ ἑβραϊκά, ἀλλαχοῦ δὲ πάλιν ἑλληνιστὶ καὶ ταῦτα μεθερμηνεύονται. Ζώων, φυτῶν, λίθων πολυτίμων, ἄλλων πραγμάτων φυσικῶν, καὶ μέτρων δὲ καὶ σταθμῶν ὀνόματα διαφόρως καὶ πάντῃ ἐναντίως ἐν διαφόροις ἑρμηνεύονται τόποις. Τούτων παραδείγματα πάμπολλα προφέρομεν ἐκτιθέντες ἐνταῦθα πρὸ ὀφθαλμῶν, ἅτινα, εἰ μὴ παντάπασιν ἀπατῶμαι (καὶ τοῦτο συχνότατα συμβαῖνον ὁμολογῶ), ἀρκέσουσι πρὸς ἐπιστόμισιν καὶ τῆς ἄγαν δυσηνίου ἀπειθείας.

§. θ. Α) *Ἀνδρῶν ὀνόματα ἑβραϊκὰ δι' ἄλλων ἄλλοτε φωνηέντων, ἢ κατ' ἄλλην τινα διαφωνίαν ἡρμηνευμένα* (α). Adonijah, Ἀδωνία (α. Παραλ. γ, 2), Ἀδανία (Νεεμ. ι, 16), Ἀδωνίας (γ. Βασιλ. α. 5. 25), τὸ δ' αὐτὸ καὶ Ὀρνία (Β. Βασ. γ. 4. Τὸ ἑβραϊκὸν δ (Daleth) ὁμοιόμορφον ἐστι τῷ ρ (Resch)· διὰ τοῦτο τὰ δύω ταῦτα σύμφωνα συνέχεεν ὁ μεταφραστής, μὴ προσθεὶς μηδὲ τὸ μετὰ τὸ δ, φωνῆεν· ἀντὶ δὲ τοῦ ἀρκτικοῦ φωνήεντος Α, ἐξέφερεν Ο). — Ahijah, Ἀχιὰ (γ. Βασ. ιβ. 15), Ἀϊὰ (Νεεμ. ι, 26). — Ahasueros, Ἀσσουῆρος (Ἔσδρ. δ, 6. Δαν. θ. ι)· ἀλλ' ἐν Ἐσθὴρ γράφεται Ἀρταξέρξης (παρετήρησε τοῦτο καὶ Ἱερώνυμος ἐν Εὐσεβ. χρονικ.). — Asa, Ἀσὰ (γ. Βασιλ. ιε, 24), Ὀσσὰ (α. Παρλ. θ, 16). — Eliada, Ἐλιαδὰ (α. Παρλ. γ-9), Ἐλιδαὲ (Β. Βασιλ. ε, 16). — Esarhaddon, Ἀσορδὰν (Β. Βασιλ. ιθ). Ἀσ-

(α) Τῶν ἑβραϊκῶν τούτων λέξεων (ὡς καὶ ἄλλων ἀλλαχοῦ) τὸν φθόγγον ἐκφέρομεν γράμμασι λατινικοῖς, δι' ἔλλειψιν στοιχείων ἑβραϊκῶν. Σημ. ἡμετ.

σαραδὰν, ἢ Ἀσαραδδὼν (κώδ. Ἀλεξ. Ἔσδρ. δ).—Evil-Merodach, Εὐϊαλμαρωδὲκ, (δ. Βασ. κε), καὶ Οὐλαιμαδάχαρ (κώδ. Βατικ.), ἢ Οὐλαιμαράδαχ (κώδ. Ἀλεξ. Ἱερεμ. νβ. 31).—Gerschon, Γηρσὼν (Γενέσ. μϛ), καὶ Γεδσὼν (Ἀριθ. γ. 17, κατὰ σύγχυσιν πάλιν τοῦ ρ πρὸς τὸ δ).—Hobab, Ὀβὰβ (Ἀριθμ. ια.), Ἰωβὰβ (Κριτ. δ).—Hoshea, Ὡσηὲ, καὶ Ὡσὴ (α. Παραλ. κζ).—Iephuneh Ἰεφοννὴ, καὶ Ἰεφινὰ (Ἀριθμ. ιγ. α. Παραλ. ζ).—Micah, Μιχὰ, καὶ Μιχαίας.—Naaman, Νοεμὰν καὶ Ναιμάν.—Elam, Ἐλὰμ καὶ Αἰλάμ.—Obadiah Ἀβαδία, Ἀβδίας, Ὀβδίας, Ἀβδία.—Obededom, Ἀβδεδὼμ (α. Παραλ. ιε), καὶ Ἀβεδδαρὰ (α. Παραλ. ιγ).—Uzza, Ὀζὰ, Ἄζα, Ὀζὶ, Ἀζώ.—Pashur, Φασχοὺρ, Φασοὺρ, Φασσοὺρ, Φασχώρ.—Ram, Ῥὰμ, Ἀρὰμ (Ἰὼβ, λβ. Ῥούθ, δ) κτλ. (α), καὶ τὸ Φαραὼ (Γενέσ. λθ: Ἐξόδ. β: Γ, Βασιλ. Νεεμ. Ψαλμ. Ἆσμ. Ἰεζεκ. Ἡσαΐ. λ, 2. 3), εἶπον καὶ *βασιλεὺς* (Ἡσαΐ. ιθ. 11) (β). κτλ.

---

(α) Τοιαῦτα παραδείγματα ἐκφέρει περίπου 30 ὁ σοφὸς Ὅδιος· καὶ ἄλλα δὲ λέγει πολλὰ παρέλιπεν· ἀλλὰ βλ. περὶ τούτων ἐφεξῆς §. κθ. Σημ. ἡμετ.

(β) Τὸ Φαραὼ (ἀπαντῶμεν παρὰ πόδας) κατ᾽ Αἰγυπτίους βασιλέα σημαίνει (Ἰώσηπ. Ἀρχ. η, ϛ. 2)· καὶ Κόπται τὸν βασιλέα καλοῦσιν Οὐρὸ (καὶ μετὰ τοῦ ἄρθρου Πϊ, Πουρὸ, καὶ Φουρό). Ὁ Ἰώσηπος σχηματίζει καὶ Φαραώθης (Ἀρχ. α, η, ι), καὶ Φαραὼν, ὁ, Φαραῶνες, οἱ (Ἀρχ. η, ϛ, 2, ὅθεν καὶ τὸ παράγωγον, Φαραωνίτης ὁ, -νῖτις, ἡ). Ὁ δ᾽ Ἀρτάπανος (εἰ ὑγιὴς ἡ γραφὴ) ἔγραψε καὶ Φαρεθώνην (παρ᾽ Εὐσεβ. Εὐαγ. Προπ. θ. 18). Οἱ δὲ Ο, προσέθηκαν ἑλληνιστὶ καὶ τὸ σημαινόμενον. Οὕτως ἔχει καὶ τὸ ἑβραϊκὸν «Φαραὼ, βασιλεὺς Αἰγύπτου» (Ἰεζ. λα, 2, κτλ.) καὶ οἱ Ο, ἀπαραλλάκτως, ὡς ἐάν τις καὶ Αὔγουστον λατινικώτερον λέγῃ τὸν Ῥωμαίων αὐτοκράτορα, καὶ συνάμα Σεβαστὸν ἐξελληνίζῃ (ὡς Παυσαν. γ. 11. Κάσσ. νγ. ιδ. Στράβων, κτλ.). Ὅθεν καὶ Αὐγοῦσταν πόλιν ἔλεγον, καὶ πάλιν Σεβαστὴν (Στράβ. 206, 557. Στέφ. Βυζ. κτλ.). Πρόσθες, ὅτι καὶ αὐτὴ ἡ γλῶσσα ἡ ἑλληνικὴ ἀπῄτει τὴν προσθήκην τοῦ βασιλεὺς πρὸς τὸ Φαραώ· ἢ πῶς ἂν ἠδύναντο εἰπεῖν ἑλληνιστὶ Φαραὼ Αἰγύπτου; Προσετίθουν δὲ πάλιν καὶ τὸ Φαραὼ, διότι τοῦτο τὸ προσηγορικὸν ἔλαβε δύναμιν κυριωνυμίας εὐθὺς ἀπό τινος τῶν πρώτων βασιλευσάντων, ἐξ οὗ καὶ πάντες οἱ βασιλεῖς τῆς Αἰγύπτου Φαραῶνες κοινῶς ἐκαλοῦντο [ὡς καὶ οἱ Ῥωμαίων αὐτοκράτορες Καίσαρες, ἀπὸ τοῦ πρώτου μοναρχήσαντος Καίσαρος. Πρόσθες, ἂν θέλῃς, καὶ τοὺς Πτολεμαίους τῆς Αἰγύπτου, καὶ τοὺς τῆς Συρίας Ἀντιόχους καὶ Σελεύκους, καὶ τοὺς Πόντου Μιθριδάτας, καὶ τοὺς Ἀδὰδ τῶν Σύρων (βλ. ἔμπροσθ. §. κθ.), καὶ τοὺς Ἄγαγ τῶν Ἀμαληκιτῶν. (βλ. καὶ Schulz. εἰς Ἀριθμ. κδ, 7. πρβ. καὶ Α. Βασιλ. ιε, 2), κτλ.]. Οὐδ᾽ εἰς τὰ ἐκ γενετῆς ὀνόματα ἐπέμενον οἱ βασιλεῖς τῆς Αἰγύπτου (Ἰώσηπ. αὐτόθ.). προσηγο-

§. ι. Β) *Θεῶν ἢ εἰδώλων ὀνόματα τὰ αὐτὰ, διαφόρως ἐν πολλοῖς τόποις ἡρμηνευμένα.*

Baal, Βάαλ (Κριτ. α. κτλ.), καὶ Βέελ [ὡς ἐν τοῖς συνθέτοις, Βεελαμὼν (Ἆσμ. η), Βεελφεγὼρ (Ἀριθμ. κε, κτλ.), Βεελσεφὼν (Ἐξόδ. ιδ), καὶ πάλιν Βααλφερασὶν. α. Παραλ. ιδ]. — Ἐν α. Παραλ. ιδ, 11, γέγραπται· « Καὶ ἀνέβη εἰς Βααλφαρασὶν, καὶ ἐπάταξεν αὐτοὺς ἐκεῖ Δαυΐδ· καὶ εἶπε Δαυΐδ. Διέκοψεν ὁ Θεὸς τοὺς ἐχθρούς μου ἐν χειρί μου, ὡς διακοπὴν ὕδατος· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου *Διακοπὴ* Φαρασίν» κτλ. ὅπου ἀντὶ *Διακοπὴ Φαρασὶν* ἀναγνωστέον *Βάαλ Φαρασίν*. Καὶ γὰρ ἀντὶ τοῦ *Βάαλ* εἰσεῤῥύη εἰς τὸ κείμενον τὸ *διακοπὴ* ἐκ τοῦ περισελίδου (ὅπου τις ἔγραψε τὴν λέξιν, ὡς ἑρμηνείαν τοῦ *Φαρασίν*). Ἡ αὐτὴ ἱστορία γέγραπται καὶ ἐν Β. Βασιλ. (ε. 20), ὅπου πάλιν ἀντὶ *Βάαλ Φαρασὶν* γέγραπται τὸ ἑλληνικὸν σημαινόμενον «*ἐπάνω διακοπῶν*».— Baalim, Βααλεὶμ (Ὠσ. β), Βααλὶμ (Κριτ. η), καὶ *Εἴδωλα* (Β. Παρ. ιζ).— Bethpeor, Βαιθφογὼρ (Ἰησ. ιγ), καὶ Οἶκος Φογὼρ (Δευτ. γ. 21. τὸ Ἑβρ. Beth = οἶκος). — Ashtaroth, Ἀσταρὼθ (Δευτ. α), Ἀστάρτη (γ. Βασ. ια), ταῖς Ἀσταρὼθ (Κριτ. ι, 6. καὶ αὐτ. ια, 13, ταῖς *Ἀστάρ-*

---

ρεύοντο δὲ (συνήθως γοῦν καὶ ὡς ἐπὶ τὸ πλεῖστον) ἀπὸ μόνου τοῦ δηλωτικοῦ τῆς ἐξουσίας Φαραὼ (ὡς καὶ τῶν Ῥωμαίων πολλάκις, ὁ Καῖσαρ, ἤκουεν, ἁπλῶς). Διὰ τοῦτο σπανίως (Δ. Βασ. κγ, 29: Β, Παραλ· λε, 20: Ἱερεμ. κϛ. 17, ἢ καθ' Ἑβρ. μϛ. 2. πρβ. Ἰωσ. Ἀρχ. 1. ε) ἀναγινώσκομεν τὸ κύριον· οἷον, « Φαραὼ, Οὐαφρῆ ». « Τοῦτο μὲν » (τὸ Οὐαφρῆς ἑλληνικώτερον, Ἀπρίης) — « κύριον ὄνομα, τὸ δέ γε Φαραὼ τῆς βασιλείας δηλωτικόν. Οὕτω καὶ τοὺς ἡμετέρους ὀνομάζομεν Βασιλέας, Τιβέριος Καῖσαρ, καὶ Κλαύδιος Καῖσαρ, καὶ ἔστι τὸ μὲν κύριον, τὸ δ' τῆς βασιλείας ἴδιον » (Θεοδώρητ. εἰς Ἱερεμ. μδ). Καὶ πάλιν, « Φαραὼ Νεχαὼ, βασιλεὺς Αἰγύπτου », ὅπου τὸ μὲν Νεχαὼ, κύριον (ὁ παρ' Ἡροδότῳ Νεκῶς- Β 158)· τὸ δὲ Φαραὼ, τὸ σύνηθες τῆς Βασιλείας ἐπώνυμον, τὸ δὲ βασιλεὺς Αἰγύπτου διορίζει καὶ τὸν τόπον τῆς βασιλείας, ὡς ἂν εἴποις καὶ, « Καῖσαρ Τιβέριος, αὐτοκράτωρ Ῥωμαίων ». (τοιαῦτα παραδείγματα σῴζονται καὶ νῦν παρὰ τοῖς Ἀσιανοῖς). Βλ. καὶ Gesenij Lexic. Hebr. p. 841. Περὶ δὲ τοῦ ἀνωτέρω Ἀσσουήρου τοῦ καὶ Ἀρταξέρξου (τοῦ μακρόχειρος, Ἐσθὴρ, α), καὶ ὅ,τι ποτε σημαίνει τὸ πρῶτον ὄνομα, καὶ ὅπως Ἀρταξέρξης ἦν καὶ ὁ Καμβύσης, καὶ τ' ἄλλα τὰ περὶ τῶν περσικῶν τούτων ὀνομάτων φιλολογούμενα. Βλ. Grot. ad Esdr. 6. Petav. Doctr. Temp. 12. 28. - J. Cleric. ad Esth. 1. - J. Voss. Can. Chronolog. - Calmet Diction. de la Bible. Tom. 1. pag. 240.

ταις), ἄλσος (α. Βασ. ιβ. 10), καὶ (αὐτ. λα, 10) τὸ Ἀσταρτεῖον (ἀντὶ τοῦ ἑβραϊκοῦ Beth-Asthtaroth)—Moloch, Μολὸχ (Ἀμὼς ε), Βασιλεὺς (γ. Βασ. ια), ἄρχων (Λευϊτ. ιη. πρβλ. Σχ. αὐτ. καὶ Θεοδωρήτ. Ἄπορ. Λευϊτ. ἐρωτ. κε). Ὅθεν καὶ τὸ Μολχὼμ (ὃ σημαίνει *Μολὸχ αὐτῶν*) ἡρμήνευσαν, *Βασιλέα αὐτῶν* (Σοφον.)· καὶ ἀλλαχοῦ (Β. Βασιλ. ιβ. 30) ἔγραψαν ἀμφότερα, « *Μολχόμ, τοῦ βασιλέως αὐτῶν* ». κτλ.

§. ια. Γ) *Ἐθνῶν καὶ τόπων ὀνόματα κύρια ἄλλως ἄλλοτε γεγραμμένα, καὶ νῦν μὲν αὐτὰ τεθειμένα τὰ ἑβραϊκά, νῦν δὲ πάλιν ἡρμηνευμένα καὶ αὐτὰ δι' ἑλληνικῶν ἰσοδυνάμων φωνῶν.* Amori, Ἀμορὶ (Ἔσδ. θ) καὶ Ἀμοῤῥαῖος (Γεν. Δευτ. κτλ.). — Edom Ἐδὼμ (ἡ χώρα. Ἐξόδ. Κριτ. κτλ.), καὶ (τὸ ἐθνικὸν) Ἰδουμαῖος (Δευτ. Ψαλμ.). [Ὁ δὲ Ἱερώνυμος ἠπατήθη, νομίσας ὅτι οἱ Ο ἀείποτε κλίνουσιν ἑλληνικῶς τὸ Ἑβραϊκὸν Ἐδὼμ κτλ.]. — Ophir, Οὐφεὶρ (Γεν. ι, 29: α. Παραλ. α, 23), καὶ Σουφεὶρ (αὐτ. κθ. 4), Σουφὶρ (β. Παραλ. θ), Σωφὶρ (Ἰὼβ, κβ) (α), εἰς Σωφιρὰ [γ. Βασ. θ. 28. ὅπου τὸ ληκτικὸν α, τὸ ἑβραϊκόν ἐστι *τοπικὸν* he, τῇ πλαγίᾳ πτώσει προσκείμενον (Ophirah=εἰς Ὀφεὶρ)· ὁ δὲ μεταφραστὴς συνεξέφερε καὶ τὴν προσθήκην τῆς ληγούσης, ὡς οὐσιῶδες μέρος τοῦ ὀνόματος. Οὕτως εἶπον καὶ *εἰς* Ἀφεκὰ (γ. Βασ. κ. 30), ἀντὶ εἰς Ἀφὲκ, δ. Βασιλ. ιγ. 17] (β).—Aven, Ὢν (Ὠσηὲ ι, 8), Ἡλιούπολις (Ἰεζ. λ, 17)· καὶ

(α) Τὸ Οὐφείρ, κύριον ὄνομα ἀνδρὸς (Γενέσ. ι. 29, τὸ δὲ Σουφείρ, τόπου· ἴσως δὲ καὶ τοῦτο Οὐφεὶρ (καὶ Ὀφείρ, Ὠφείρ) λεγόμενον, ἐκαλεῖτο ἔκπαλαι καὶ Σουφεὶρ (κατὰ τὰ Ἑλληνικά, Ἑλλοὶ καὶ Σελλοί, ὅλος καὶ σόλος, solus). Ἢ καὶ τοῦτο οἱ μὲν Ο, ἔγραψαν Οὐφείρ (βλ. Γ. Βασιλ. ις, 28. ὅπου ὁ μὲν Βατικανὸς κώδ. ἔχει Σωφείρ, ὁ δ' ὁ Ἀλέξανδριν. Ὀφείρ, αὐτ. κεφ. κβ. 49). Τὸ δὲ Σ πρόπαλαι προσεκολλήθη ἐκ προηγουμένης λέξεως εἰς σ ληγούσης· οἷον, ἐκ τοῦ εἰς Οὐφεὶρ ἔγραψαν εἰς Σουφεὶρ (ὡς γίνεται πολλάκις ἐν τοῖς τοιούτοις). Σημείωσαι δὲ ὅτι καὶ Ἰώσηπος ἔγραψε μετὰ τοῦ σ, Σωφείραν (Ἀρχ. η, ϛ, 4), καὶ Θεοδοτίων (ψαλμ. με, 9), καὶ Εὐσέβιος, Σουφεὶρ καὶ Σουφειρὰ (Εὐαγγ. Ἀποδ. β), καὶ Ἱερώνυμος Sophera (de loc. Hebr. καὶ Comm. εἰς Ἡσ. ιγ. 12), καὶ ἄλλοι συχνοί. ὅθεν καὶ τὸ Ἀραβικ. Sophala. βλ. καὶ Huetij Commentar. de Navigat. Solomont. — Ἡσύχ. λ. Σουφείρ, καὶ Σχολ. αὐτόθ. τῶν Κριτικ. πρβ. Schleusn. Thes. V. Test. v. Σουφείρ. Σημ. ἡμετ.

(β) Τὸ ληκτικὸν α, ἐκράτησαν ἐν τοῖς τοιούτοις οἱ Ο, διὰ τὴν εὐφωνίαν· τὸ

Beth-Aven, Βηθαὺν (Ἰησ. ζ. κώδ. Ἀλεξ.), οἶκος Ὢν (Ὠσηέ, δ. ὅπου ὁ Ἱερώνυμος ἐσφάλη νομίσας « ὅτι οἱ Ο, τὸ Aven ἔγραψαν Ὢν, ἐκλαβόντες ἡμαρτημένως ὡς ι (jod) τὸ ἑβραϊκὸν vav »· διότι, καὶ χωρὶς τοιαύτης τῶν γραμμάτων τροπῆς, ἡ ἑβραϊκὴ λέξις ἀναγινώσκεται καὶ Αὒν, καὶ Ὤν· εἷς δὲ ὅμως καὶ ὁ αὐτὸς μεταφραστὴς οὐ δύναται γράφειν τὸ αὐτὸ καὶ *Βηθαὺν*, καὶ *οἶκος Ὢν*].— Achzib. Ἐχοζὸβ (Ἰησ. ιθ), καὶ Beth-Aczib, *οἴκους ματαίους* (Μιχ. α).— Aram Neharaim, Συρία ποταμῶν (Κριτ. η), καὶ Μεσοποταμία (Γεν. κδ.).— Ararat, Ἀραράτ (Γεν. η), καὶ Ἀρμενία (Ἡσ. λζ).— Ashur, Ἀσσοὺρ, καὶ Ἀσσύριοι.— Bashan, Βασὰν, καὶ ἀλλαχοῦ Γαλιλαία (Ἡσ. λγ).— Beer-Scheba, Βηρσαβεὲ (Ἰησ.), καὶ Φρέαρ τοῦ ὅρκου (Ἀμώς).— Bethel, Βαιθὴλ (Γεν. λε), καὶ Τόπος Θεοῦ (Γεν. λα).— Οὐλαμλοὺζ (Γενέσ. κη, 19)· «Καὶ Οὐλαμλοὺζ ἦν ὄνομα τῇ πόλει τὸ *πρότερον*», ὅπου συνεχώνευσεν ὁ μεταφραστὴς εἰς μίαν λέξιν δύω διαφόρους, *Οὐλὰμ* (πρότερον), καὶ *Λοὺζ*, ἢ *Λουζὰ* (κύριον τῆς πόλεως ὄνομα, σημαῖνον ἀμύγδαλον)· βλ. Ἱερώνυμ. de loc. hebr.]. — Beth Shemesh, Βαιθσαμὺς, καὶ πόλις ἡλίου (Ἰησ. ιε. 10).— Ge-ben-Hinnom, *φάραγξ* υἱοῦ Ἐννὸμ (Ἱερ. ζ), καὶ πολυάνδριον υἱοῦ Ἐννὸμ (Ἱερ. ιθ), καὶ Γεβεννενόμ (β. Παραλ. κη. 3).— Hamath, Αἱμὰθ, Ἐμὰθ, Ἡμὰθ (Ἀριθ. - β. Βασ.), καὶ Ἀραβία (Ἡσ. ι)· καὶ πάλιν αἱ δύω λέξεις Lavo Hamath (τουτ. (ἕως) *εἰσόδου Ἐμὰθ*) ἐγράφησαν ὑφ' ἓν (ὡς ἓν ὄνομα νομισθεῖσαι), *Λαβωεμὰθ* (Κριτ. γ. 3)—

---

γὰρ Σουφειρὰ κτλ. παρέχει τύπον ἑλληνικοῦ σχηματισμοῦ. Ὅθεν καὶ Ἰώσηπος ἐσχημάτισεν ἡ Σωφείρα (ἢ Σώφειρα, ὡς, Σάπφειρα Στάτειρα, ὄλυρα, γέφυρα, νείαιρα, κτλ.). Οὕτω καὶ ἄλλος ἑρμην. ἔγραψεν εἰς Ὠφειρὰ (γ. Βασ. αὐτ. ὅπου οἱ Ο, εἰς Σωφειρά. βλ. Schleusn. Thes. v. Ὠφειρά). Ὁ δὲ κλεινὸς Βερνάρδος καὶ ἰδιωτισμόν τινα τῆς Ἱεροσολυμιτῶν διαλέκτου θεωρεῖ τὸ τοιοῦτον α, ἥτις ἔλεγε χαλδαϊκώτερον τὸ Ephod καὶ Ephoda (ὡς ἔχουσι χαλδαϊστὶ καὶ Ὄγκελος καὶ Ἰωνάθαν)· ὅθεν ὁ Ἰώσηπος ἔγραψεν Ἐφώδης (Ἀρχ. γ. ζ. 5. καὶ σημ. Bern.). Οὕτω καὶ ἡ Ἀβὲλ ἐκλήθη Ἀβελὰ (Θεοδώρ. Απορ. εἰς Β. Βασ. ἐρωτ. λθ) καὶ παρ' Ἱερωνύμῳ συχνάκις ἡ Apheca (Ἀφὲκ. de loc. Hebr.). Ἐν δὲ κώδηξιν Ἑβραίοις καὶ ἀρκτικά τινα γράμματα κρίνονται πλεονάζοντα, οἷον ἡ Aruma (οἱ Ο, Ἀρημὰ), καὶ Aduma, γράφεται καὶ Ruma καὶ Duma (Κριτ. θ, 4. βλ. Rossi Supplem. p. 38). κτλ. πρβλ. Drusij Annot. εἰς Ματθ. α, 3.

Hitti, Χεττὶ (α. Παραλ. ια), καὶ Χετταῖος (Γενέσ. Ἐξόδ.). Οὕτω καὶ Jebusi, Ἰεβουσὶ καὶ Ἰεβουσαῖος. — Chenaani, Χανανὶ καὶ Χαναναῖοι. — Chittim, Κετιεὶμ καὶ Κιττιαῖοι. — Moabi, Μωαβὶ καὶ Μωαβῖται. — Ammoni, Ἀμμωνὶ καὶ Ἀμμωνῖται, κτλ. — Mizeri, Μοσερὶ (Ἔσδρ.), καὶ Αἰγύπτιοι (Γενέσ.). — Cherethi, Χερεθὶ (Α. Βασ. λ, 14: β. Βασ. η, 18, κώδ. Ἀλεξ.), καὶ Κρῆτες (Σοφον. β. 5. Ἰεζ, κε) (α). — Caphthorim, Καφθοριεὶμ (Γεν. 1, 14), καὶ (Δευτερ. β, 23), Καππαδόκες. [Ἐντεῦθεν ὁ Λιχθόφωτος ἄλλους ἔκρινε τοὺς τῆς Γενέσεως ἑρμηνεῖς, καὶ ἄλλους τοὺς τοῦ Δευτερονομίου] (β). —

---

(α) Τὸ μὲν Χερεθὶ, (κύριον ὄνομα τῶν νοτειοτέρων Φιλισταίων, ἢ Παλαιστινῶν) τὸ αὐτὸ καὶ τὸ ἑβρ. Kerethi ἢ Cherethi καὶ Krethi (ὡς ἀναγινώσκεται τὰ νῦν ἐν β, Βασιλ, η, 18. πρβλ. Schulz. Schol. ibid.)· τὸ δ' αὐτὸ καὶ (σπανιώτερον) Krethim, ἢ Kretim (μετὰ τοῦ μ. βλ. Ἑβρ. Σοφον. β, 5: Ἰεζεκ. κε, 16: Α, Βασιλ. λ. 14). Τοῦτο τοίνυν οἱ Ο, καὶ Κρῆτας εἶπον (Σοφον. β. 5: Ἰεζεκ. κε. ὅπου πάλιν ὁ Ἀκύλας, Κερεθὶμ)· Κρῆτας ἡρμήνευσε καὶ ὁ Σύρος. Ὅθεν καὶ ὁ ἱερὸς Θεοδώρητος (εἰς Σοφον. αὐτόθ.) τοῦτο τὸ Κρῆτες εἰς τοὺς Ἕλληνας Κρῆτας ἀνέφερε λέγων· «Παροίκους δὲ Κρητῶν ἀντὶ τοῦ ἀποίκους τέθεικεν· ὡς ἐν παραθαλασσίαις γὰρ πόλεσιν εἰκός τινας ἀπὸ Κρήτης ἀφικέσθαι καὶ κατοικῆσαι». Τοῦτ' αὐτὸ καὶ καθ' ἡμᾶς ὁ σοφὸς Γεσένιος ὑπέλαβε, λέγων «τοὺς Philistaeos Creta oriundos esse» (Lexic. Hebr. p. 500, 506). Ὁ δὲ Γρότιος τἀνάπαλιν τοὺς Κρῆτας ἐκ τούτων κατάγει τῶν Κρετὶμ (Grct. Annot. εἰς Ἰεζεκ. αὐτόθ.). Σύμμαχος δὲ καὶ Θεοδοτίων τὸ κύριον Kretim ὡς προσηγορικὸν ἐκλαβόντες, ἡρμήνευσαν, «ἔθνος ὀλέθριον, ἢ ὀλοθρευόμενον, καὶ ἔθνος ὀλεθρίας». Οὕτω καὶ Ἱερώνυμος (Comm. εἰς Ἰεζεκ. καὶ Σοφον.) «Goi Chorethem» ἀναγνοὺς, ἡρμήνευσε Gens deperdita, οἱ δὲ Ο, (φησιν) ἀνέγνωσαν «Gar Cretim», καὶ ἡρμήνευσαν «πάροικοι Κρητῶν» Βλ. καὶ Schulz, καὶ Rosenmüll. Schol. in Zephan. l. c. Σημ. ἡμετ.

(β) Ἀλλ' ἐψεύσθη καὶ ὧδε (καθὼς καὶ ἐν ἄλλοις πολλοῖς) ὁ σοφὸς Λιχθόφωτος. Οἱ (Γεν. ι. 14) Καφθοριεὶμ (ἄλλ. Χαφθορεὶμ, Γαφθοριεὶμ) εἰσὶν ἔκγονοι Μισραῒμ, υἱοῦ Χὰμ (Γεν. ι, 6, 13, 14). Οἱ δ' ἐν Δευτερ. Β. 23· κατὰ τοὺς Ο, «Καππάδοκες, οἱ ἐξελθόντες ἐκ Καππαδοκίας, ἐξέτριψαν τοὺς Εὐαίους (καὶ τούτους ἐκγόνους Χὰμ διὰ Χαναάν. Γεν. ι, 6, 15, 17), γενεαλογοῦνται παρ' Ἰωσήπῳ υἱοὶ Μοσὸχ υἱοῦ Ἰάφεθ (Γεν. ι. 2). «Καὶ Μοσοχηνοὶ — Καππαδόκες μὲν ἄρτι κέκληνται, τῆς δ' ἀρχαίας αὐτῶν προσηγορίας σημεῖον δείκνυται· πόλις γὰρ ἐστι παρ' αὐτοῖς ἔτι καὶ νῦν Μάζακα, δηλοῦσα τοῖς συνιέναι δυναμένοις, οὕτω ποτὲ προσαγορευθὲν πᾶν τὸ ἔθνος» (Ἰώσηπ. Ἀρχ. Α. ς. §. 1· τὰ δὲ Μάζακα μνημονεύουσι καὶ Στράβων ιβ. 539. - Στεφ. Βυζ. — Μ. Βασίλ. - Plin. 6. κτλ.). Ἀλλ' οἱ δύω οὗτοι λαοὶ φαίνονται συμμιγέντες πρὸς ἀλλήλους· ὅθεν καὶ τὸ Χαφθορεὶμ ἀπέβη πρόπαλαι

Meribah, Ἀντιλογίας (ὕδωρ· Ἀριθ. Ψαλμ.), καὶ Μαριϐὼθ (Ἰεζ. μζ. ὅπου νῦν Μαριμώθ). — Meshech (ἔθνους ὄνομα), Μοσὸχ (Ἰεζ. λϐ), καὶ (αὐτ. κζ. 13) *τὰ παρατείνοντα*, καὶ πάλιν (Ψαλμ. ριθ) *ἐμακρύνθη*. Οὕτω καὶ Thubal (ἄλλο ἐθνικὸν, ἀλλαχοῦ γραφόμενον Θοϐὲλ), ἐν Ἰεζ. κζ. 13, ἑρμηνεύεται ἡ *σύμπασα*. — Succoth, Σοκχὼθ (Ἐξ.), καὶ (Ψαλμ. ξ.) κοιλὰς σκηνῶν. — Ai, Ἀϊ (Νεεμ.), Γαΐ, Γαὶ (Ἰησ.), καὶ Ἀγγαὶ (Γεν. ὅπου τὸ παρ' Ἑϐραίοις ταῖς πλαγίαις συναπτόμενον ἐμφαντικὸν ἄρθρον he ἐξέλαϐεν ὁ ἑρμηνεὺς ὡς μέρος τοῦ ὀνόματος, καὶ μετέπλασε τὸ Γαὶ εἰς τὸ Ἀγαὶ, Ἀγγαί). — Hebri, Ἑϐραῖος (Γεν. λθ.), καὶ, περάτης (Γεν. ιδ) (α). — Perizi, Φερεζαῖος, καὶ Φερεζὶ [Ἔσδρ. θ. 1. « Οὐκ ἐχωρίσθη ὁ λαὸς Ἰσραὴλ - ἀπὸ λαῶν τῶν γαιῶν - τῷ Χανανὶ (ἄλλ. τοῦ Χαναναίου), ὁ Ἐθὶ, ὁ Φερεζὶ, ὁ Ἰεϐουσί, » κτλ. Σημείωσαι δὲ, καὶ ὅτι ἐν τούτοις τὸ προηγούμενον ὁ, οὐχ ὑπάρχει ἄρθρον ἑλληνικῆς ὀνομαστικῆς, ἀλλ' αὐτὸ τὸ ἑϐραϊκὸν ἐμφαντικὸν ἄρθρον he, προστεθὲν καὶ τοῦτο τοῖς ὀνόμασι (καίτοι ἑλληνιστὶ μεταγραφομένοις)· καὶ λοιπὸν ὀφείλει

---

συνώνυμον τὸ Καππαδόκες. Κἀκεῖνο μὲν ἔγραψαν οἱ Ο, ἐπὶ τῆς πρώτης γενεαλογίας, τηρήσαντες τὴν παρ' Ἑϐραίοις ἐξ ἀρχῆς κυριωνυμίαν. Ἐν δὲ Δευτερον. β. 23, ἔγραψαν καὶ τὸ ἑλληνικώτερον Καππάδοκες. Οὕτω καὶ ἐν Ἀμὼς θ, 7, τὸ αὐτὸ Chaphthor, ἡρμήνευσαν Καππαδοκίαν. Cappadociam, ἡρμήνευσε καὶ Ἱερώνυμος αὐτόθι. ἐν δὲ τῷ Quaest. Hebraic. (in Genes. 10) τοὺς Καππάδοκας κατάγων ἐκ τοῦ Μοσὸχ, ἔπειτα, οἷον ἀπορῶν « porro (λέγει) LXX interpretes Caphthorim Cappadocas arbitrantur ». Καππαδοκίαν εἶπε καὶ Φίλων τὸ Χαφθὼρ (περὶ ὀνομάτ.) καὶ τοὺς Χαφθορεὶμ, Καππάδοκας οἱ Ταργουμισταὶ (βλ. Drusij ad Genes. not. Major.), καὶ οἱ νεώτεροι σχεδόν τι πάντες. Οἱ δέ τινες οὐ πάνυ πιθανῶς τὴν Κύπρον ὑπέλαϐον (Drus. ibid.), καὶ ἄλλοι τὴν Κρήτην (βλ. Rosenmüller. Schol. in Gen. l. c. καὶ in Amos l. c. καὶ Gesen. Lexic. Hebr. p. 500). Σημ. ἡμετ.

(α) Τὸ Ἑϐραῖος (Hebri) σημαίνει καὶ τὸν ἀπόγονον τοῦ Ἔϐερ, καὶ τὸν περάτην· διότι καὶ τὸ πέραν hebri λέγουσιν οἱ Ἑϐραῖοι (πρϐλ. Ἡσ. ζ. 20). Οἱ γοῦν Ο, καὶ τὴν ἑϐραίαν φωνὴν ἀπέδωκαν ὅπου ἔδει, καὶ τὴν σημασίαν ἰδίως, ἐπὶ τοῦ πέραθεν τοῦ ποταμοῦ Εὐφράτου πρώτου μετοικήσαντος Ἀϐραάμ. Οὕτω καὶ Ἀκύλας π ε ρ α ΐ τ ῃ (ἴσ. γρ. π ε ρ ά τ ῃ) ἔγραψε (Γεν. ιδ. 13). Βλ. Ἰωσήπ. Ἀρχ. α. ς. 4. Θεοδωρήτ. Ἀπορ. εἰς Γέν. Ἐρωτ. ξα. — Σειρ. εἰς Γεν. ιδ. — Flamin. Nobil. Sch. in Γεν. ιδ. 13. — Selden. de Dijs Syr. c. 2. — Schulz. in Genes. 14. — Schleusn. Thes. v. Περάτης κτλ. Σημ. ἡμετ.

ἀναγινώσκεσθαι συνημμένως (ὡς καὶ παρ' Ἑβραίοις) Ὀεθὶ, Ὀφερεζὶ, κτλ.]. — Philistim, (οἱ Παλαιστινοὶ) Φυλιστιεὶμ, καὶ ἀλλόφυλοι, καὶ Ἕλληνες (Ἡσ. θ. — Σφάλλεται ὁ Ἱερώνυμος λέγων, ὅτι οἱ Ο πάντοτε μεταφράζουσιν *ἀλλόφυλος* τὸ Φυλιστιείμ.]. — Τὸ δὲ Phelani Almoni (τουτ. ἐν ἀγνώστῳ [τόπῳ]· ἢ εἰς τὸν δεῖνα τόπον) πῶς ἑρμηνεύεται; « Ἐν τῷ τόπῳ τῷ λεγομένῳ Θεοῦ πίστις, Φελανὶ Μαεμωνί » (α. Βασ. κα. 2. ὅπου τὸ Ἀλεξανδ. ἔχει Φελμωνὶ, Ἀλμωνὶ, τὸ Κομπλουτ. Φελαννὶ Ἀλμωνί. ἐκ δὲ τοῦ Ἀλδίνου, λείπει τὸ *θεοῦ πίστις*), καὶ πάλιν, *κρύφιος* (« κάθισον ὧδε *κρύφιε* » Ῥοὺθ δ. 1: ὅπου τὸ ἑβραϊκ. phelani almoni, τουτ. ἄγνωστε), ἐν δὲ τῷ Δανιὴλ (η, 13) τίθεται μόνον αὐτὸ τὸ ἑβραϊκὸν φελμωνί. — Sor, Σὸρ, καὶ Τύρος (Ἰεζ.). — Kir, Κυρήνη (δ. Βασ. 15), τεῖχος Μωαβίτιδος (Ἡσ. ια), ἐπίκλητος (Ἀμ. α), βόθρος (Ἀμ. θ). — Rephaim, Ῥαφαῒμ (Δευτ. Β, 11), Τιτάνων (β. Βασ. ε), Γιγάντων (α. Παρλ. ια) (α). — Shinar, Σενναὰρ (Γεν. ια), Αἰθιοπία (Ἡσ. ια), Βαβυλὼν (Ζαχ. ε) (β). — Shittim, Σαττὶν, καὶ σχοῖνος. — Tharshish, Θαρσὶς, Καρχηδὼν, θάλασσα (Ἡσ. β. καὶ κγ) (γ). —

---

(α) Ἀλλὰ καὶ παρ' Ἕλλησιν ἐνίοτε ταυτίζονται τοῖς Γίγασιν οἱ Τιτᾶνες (ὡς Παυσαν. Η, 36. βλ. Heyne Observ. ad Apollod. Bibl. ι. 6). Ὅθεν καὶ Ἰώσηπος τὸ « κοιλὰς τιτάνων » (β. Βασ, ε, 18) εἶπε « κοιλὰς γιγάντων » (Ἀρχ. ζ. δ. §. ι): καὶ ἡ Βουλγάτα Gigantum ἔχει. (βλ. καὶ Drusij, καὶ Grot. etc. annot. εἰς Γεν. ιδ, 5.) Αὐτὸ δὲ τὸ Rephain σημαίνει καθόλου στεῤῥὸν, ἰσχυρὸν (οἷοι καὶ οἱ γίγαντες, καὶ οἱ τιτᾶνες· ὅθεν καὶ ἐν Α. Παραλ. ια, 15. ἔγραψαν ἄλλοι ἐν φάραγγι στεῤῥᾷ). Καὶ ὁ Ἡσύχιος « γίγαντος, μεγάλου, ἰσχυροῦ, ὑπερφυοῦς » κτλ. Σημ. ἡμετ.

(β) Ἡ Σενναὰρ, χώρα Βαβυλωνία (Ἑστιαῖος παρ' Ἰωσήπ. Ἀρχ. α. δ. §. 3. πρβλ. Schulz. Sch. in Zachar. 5. - Bochart. Phaleg. 1. 5.)· Βαβυλωνίαν ἔγραψαν οἱ Ο, τὸ Σενναὰρ καὶ ἐν Ἡσ. ια, 11. Ὁ δὲ Ὅσιος τοῦτο παριδὼν ἀντέταξε τὴν Αἰθιοπίαν, ἥτις ἀντιστοιχεῖ πρὸς τὸ ἑβραϊκ. Chusch (Χοὺς), ἓν καὶ τοῦτο τῶν ἐν Ἡσαΐᾳ (αὐτόθι) συναριθμουμένων διαφόρων ἐθνῶν· τούτων δὲ καὶ ἄλλως ἡ τάξις συγκέχυται ἐν τῷ ἑβραϊκῷ· καὶ τὸ Shinar (Σενναὰρ) τὸν ἕκτον ἐπέχει τόπον, οὐχὶ τὸν τρίτον, ὡς τὸ ταυτόσημον Βαβυλωνία παρὰ τοῖς Ο. Βλ. Hieron. Com. in Esaj. XI. et in Zach. V. Σημ. ἡμέτ.

(γ) Ἐν Ἡσ. κγ. οἱ Ο, Καρχηδὼν, οἱ δὲ λοιποὶ καὶ τὸ ἑβραϊκὸν, Θαρσίς. Θαρσὶς δὲ ἡ Καρχηδὼν (Τυρίων ἄποικος), ἡ τῆς Ἀφρικῆς προκαθημένη, οὐχ ἡ Ταρσὸς (ὡς Ἰώσηπος), ἢ ἡ Ἰνδία, ἢ ἡ Ταρτησὸς, (ὡς πολλοὶ τῶν νεωτέρων). βλ. Θεοδώρητ. ἑρμην. εἰς Ἰων. α. καὶ εἰς Ἡσ. ξς, καὶ Ἰεζεκ. κζ· καὶ τὸν σοφὸν Bernard.

Tophet, Ταφὲθ (δ. Βασ. κγ, 10), Διάπτωσις (Ἱερ. ιθ, 6) « ἡ Διαπίπτουσα » (γῆ), καὶ « ὁ τόπος ὁ Διαπίπτων » (αὐτ.) κτλ.

§. ιβ. Δ) *Ζώων ὀνόματα ἄλλως ἀλλαχοῦ ἡρμηνευμένα.*

Chephir, σκύμνος λέοντος (Γεν.), καὶ δράκων (Ἰὼϐ δ. 10). (α)— Car (ἢ kar), κριὸς (Ψαλμ.), ἀρνὸς (Δευτ.), τράγος (Ἡσ. λδ), μόσχος (Ἰεζ. λθ), ἔριφος (Ἀμ. ς, 4).—Theo, ἢ κατ' ἄλλ. Tho. (Βοῦς ἄγριος), ὄρυξ (Δευτ. ιδ. 5), καὶ σευτλίον (Ἡσ. να. 20).—Thannin, κῆτος, (Γεν. α, 10), δράκων (Ἐξόδ.), Σειρὴν (Ἰὼϐ, λ, 29), στρουθὸς (Ἰερ. ι), ἐχῖνος (Ἡσ. ιγ. 22), ὄρνις (Ἡσ. λε), κάκωσις (Ψαλμ. μγ), συκῆ (Νεεμ. β, 13).—Tzepha, κεράστης (Παροιμ.), ἀσπὶς (Ἡσ. νθ), ἔκγονον ἀσπίδων (Ἡσ. ια).— Sachal, λέων (Ἰὼϐ), ἀσπὶς (Ψαλμ. γ), πάνθηρ (Ὠσ. ε).— Arnebeth, χοιρογρύλλιος (Λευτ. ια), δασύπους (Δευτ. ιδ) (ϐ).—Daja, ἰκτῖνος (Λευτ. ιδ), ἔλαφος (Ἡσ. λδ, 15).— Aja, γὺψ (Δευτ. ιδ), ἰκτῖνος (Λευϊτ. ια).— Thinsemeth, πορφυρίων (Λευ. ια, 18), ἀσπάλαξ (αὐτ, ια, 30), ἱέραξ (Δευτ. ιδ) (γ).—

not. εἰς Ἰωσήπ. 'Αρχ. γ. ζ. §. 5. 'Ο δὲ 'Ιερώνυμος ἐσημείωσεν, ὅτι καὶ θ ά λ α σ σ α ν ἁπλῶς σημαίνει τὸ Θαρσὶς, ὡς ἐν Ψαλμ. 48, 8, καὶ 'Ησ· β. 15. ὅπου θάλασσαν εἶπον οἱ Ο, προσηγορικῶς τὸ Θαρσίς. « Nam Hebraei putant linqua propria sua mare Tharschisch appellari. Quando autem dicitur Jam, non Hebraeo sermone appellari. sed Syriaco ». (Hier. Com. in Esaj. II. καὶ in Ezekiel. 27. καὶ in Ion. καὶ de loc. Hebr.). Συμφωνεῖ καὶ Michaelis, Spicileg. pag. 81. ϐλ. καὶ Rosenmüll. Schol. in Ion. καὶ εἰς Γένεσ. 10, καὶ εἰς Ἰεζεκ. ι, 27. Σημ. ἡμετ.

(α) Τὸ Chephir καὶ Sachal (βλ. παρακατιὼν) οὐ μόνον λεόντων (ὡς ἡ κοινοτέρα σημασία), ἀλλὰ καὶ δρακόντων, ἢ ὄφεων ἐπίσης ὀνόματα ἀπέδειξεν ὁ Βοχάρτος (Hieroz. P. II. L. III. c. 3. p. 376). Σημ. ἡμετ.

(ϐ) Λάθος Ὀδίου. Τὸ δασύπους καὶ τὸ χοιρογρύλλιος ἀείποτε διαστέλλουσιν οἱ Ο. (Λευϊτ. ια, 5, 6. Δευτ. ιδ. 7). ἐν δὲ τῷ ἑϐρ. (Λευϊτ. ια) γέγραπται πρωθυστέρως (πρῶτον τὸ χοιρογρύλλιος, καὶ ἔπειτα τὸ δασύπους). Ἐκ τούτου πεπλάνηται ὁ κριτικός. Ὡσαύτως καὶ εἰς τὸ ἐφεξῆς « γὺψ καὶ ἰκτῖνος ». ϐλ. Schleusn. Thesaur. v. γὺψ καὶ δασύπους. Περὶ δὲ τῶν ἐφεξῆς Aja, καὶ Daja, ϐλ. Bochart Hieroz. P. II. L. II. c. 33. 'Αντὶ δὲ τοῦ ἔλαφος (Ἡσ. λδ. 15) ἄλλο πάντως ἀνέγνων οἱ Ο, παρὰ τὸ νῦν καθ' Ἑϐραίους Daja. Ἤλεγξε τὴν περὶ τὸ Arnebeth, καὶ Aja, καὶ τῶν ἐφεξῆς Netz, Jansuph (βλ. ἔμπροσθ. σελ. 614) πλάνην τοῦ Ὀδίου καὶ ὁ Toepler, de Pentat. Interpr. etc. p. 27.

(γ) Καὶ τοῦτο λάθος. Τὸ πορφυρίων ἀριθμεῖται προφανῶς μεταξὺ τῶν πτηνῶν (Λευϊτ. ια, 18)· ὁ δ' ἀσπάλαξ μετὰ τῶν ἑρπετῶν (Λευϊτ. ια, 30)· ἄλλως πως λοιπὸν

Jaana, γλαῦξ καὶ στρουθὸς (Δευτ. Ἡσ.).—Salach, καταράκτης (αἰθυίας εἶδος. Λευϊτ. ια), νυκτικόραξ (Δευτ. ιδ)—Sachaph, κόραξ, ἐρωδιὸς (αὐτ.).—Netz, ἱέραξ (Λευϊτ.), κύκνος (Δευτ.).—Chos, νυκτικόραξ (Λευϊτ.), ἴβις (Δευτ.)—Hasida, ἢ Chasida, ἐρωδιὸς (Λευϊτ.), πελεκὰν (Δευτ.), ἔποψ (Ζαχ. ε. ὅπου Ἀκύλας, Σύμμαχος, Θεοδοτ. ἐρωδιός) (α).—Dukiphath, ἔποψ (Λευϊτ.), πορφυρίων (Δευτ.)—Kaath, πελεκὰν (Λευϊτ.), ἔποψ (Δευτ.), ὄρνεον (Ἡσ.), χαμαιλέων (Σοφον. β. ια).—Jansuph, ἴβις (Λευϊτ.), καταράκτης (Δευτ.)—Kore, νυκτικόραξ (α. Βασ. κϛ), πέρδιξ (Ἱερ. ιζ) (β).—Notsah, ὄνυξ (Ἰεζ. ιζ), καὶ νέσσα (Ἰὼβ, λθ) αὐτὸ τὸ ἑβραϊκὸν ἀνερμήνευτον.

§. ιγ. Ε) *Δένδρων καὶ φυτῶν ὀνόματα.*

Ela, τερέβινθος (Γεν.), δρῦς (α. Βασ.), δένδρον σύσκιον (Ἰεζ.), δένδρον σκιάζον (Ὠσηὲ).—Allon, δρῦς (Γεν. ϛ. 11), βάλανος (Γεν. ϛ, 13), ἐλάτη (Ἰεζ. κζ).—Eren, κέδρος (Λευϊτ.), κυπά-

---

ἐν Λευϊτ. ια, 30, ἀνέγνωσαν οἱ Ο, τὸ thinsemeth. βλ. Bochart. l. c. P. I. L. IV. c. 6: καὶ P. II. L. II. c. 23. Τοῦτο δὲ καὶ ἄλλοι τῶν νεωτέρων nomen incertum (ἄδηλον) ὁμολογοῦσι· καὶ τὰ ἐν Λευϊτ. ια, 30 (ἐν οἷς καὶ ὁ ἀσπάλαξ) ἄλλοι ἄλλως ἑρμηνεύοντες, « haec (λέγουσι) multa incerta sunt ». Βλ. Schulz. Sch. in Lev. XI. Σημ. ἡμετ.

(α) Ὅτι τὸ Hasida σημαίνει καὶ τὸν ἐρωδιὸν καὶ τὸν πελεκᾶνα (δηλονότι· τὸν πελαργὸν), ἀπέδειξεν ὁ Βοχάρτος (Bochart. Hieroz. P. II. L. II. c. 28, 29. p. 322. sq). Καὶ περὶ τοῦ προηγουμένου Chos, βλ. Βοχάρτ. αὐτόθ. σελ. 272. Τὸ δὲ Sachaph οὔτε κόρακα, οὔτ' ἐρωδιὸν εἶπον οἱ Ο, (ἐν Λευϊτ. ια, 15 καὶ Δευτ. ιδ, 15), ἀλλὰ, λάρον· καὶ τοῦτο σημαίνει ἀκριβῶς. βλ. Bochart. ibid. P. II. p. 264.— Schleusn. Thesaur. v. λάρος· ὁ δὲ Ὅδιος πεπλάνηται.

(β) Οὔτε ἡ πέρδιξ (ἑβρ. Kore, Ἱερεμ. ιζ) ἐστὶν ὁ νυκτικόραξ (ἑβρ. Kode), καὶ οἱ Ο, ἐν Α, Βασ. κϛ. 20 ἀνέγνωσαν οὐχὶ Kore, ἀλλ' ὃ μετέφρασαν ὀρθῶς Kode, καὶ μαρτυρεῖ Βοχάρτος (Bochart. Hieroz. P. II. L. 1. c. 11. p. 83), οὐχὶ τῶν Ο, (καθὼς οὗτος λέγει), ἀλλὰ μᾶλλον τῶν μεταγενεστέρων Ἑβραίων μεταγραφέων συγχυσάντων τὸ D πρὸς τὸ R, καὶ γραψάντων ἐν τῷ ἑβραϊκῷ κειμένῳ Kore ἀντὶ Kode, ὡς ἔχει καὶ τὴν σήμερον. (Καὶ ἄλλως δὲ ἡ φράσις συντετάρακται αὐτόθι. οἷον οἱ Ο, ἀνέγνωσαν καὶ ἔγραψαν ψυχὴν, τὸ δ' ἑβραϊκὸν ἔχει λέξιν δηλοῦσαν ψύλλον, καὶ τὴν σύνταξιν ἀντεστραμμένην). Καὶ ἀντὶ τοῦ (Jansuph) προηγηθέντος χαμαιλέοντες (Σοφον. Β. 14) ἀλλ. κώδηξ ἔχει λέοντες: ὁ Ἀκύλας πελεκᾶνες: Θεοδοτίων, κύκνοι: Ἱερώνυμος, ὀνοκρόταλοι (Comm. in Soph. βλ. καὶ Bochart. Hieroz. u. s. p. 215)· φαίνεται δὲ καὶ ὧδε τῶν ζωϊκῶν ὀνομάτων ἡ τάξις συγκεχυμένη ἐν τῷ ἑβραϊκῷ, ὡς ἔκρινεν ὁ Schleusner Thes. λ. χαμαιλέων. Ἀλλὰ περὶ ζώων βλ. ἐφεξ. §. λδ. Σημ. ἡμετ.

ρισσος (Ἰὼϐ, μ), — Birosch, κέδρος (Ἱεζ. κζ. 5), πεύκη (α, Βασ.), κυπάρισσος (δ. Βασ.), ξύλον λιϐάνου (Ἡσ.), ἄρκευθος (β. Παραλ. β), πίτυς (Ἱεζ. λα, 8). — Schitta, ἄσηπτον (Ἐξ. κε), πύξος (Ἡσ. με).— Sorik, ἕλιξ (Γεν.), ἄμπελος σωρὴκ (Ἡσ. ε).—Berkenim (σημαίνει τρίϐολοι) ὁ δ᾽ ἑρμηνεὺς τὴν σημασίαν ἀγνοῶν, ἔγραψε *Βαρκηνὶμ* (Κριτ. 4, 7) (α).— Soked, κάρυον (Ἱερεμ.), ἀμύγδαλον (Ἐκκλ. ιβ. καὶ Ἱερώνυμ. αὐτ.).

§. ιδ. ϛ) Λίθων τιμίων καὶ ἄλλων φυσικῶν πραγμάτων ὀνόματα. Chorchor (ἄλλ. Chodchod, ἢ Cadcod), χορχὸρ Ἱεζ. κζ), καὶ ἴασπις (Ἡσ. νδ).—Bareketh, σμάραγδος (Ἐξόδ.), λίθος ὀνύχιος (γρ. ὀνύχιον. Ἱεζ. κη). — Tharshisch, χρυσόλιθος (Ἐξ.), λίθος ἄνθραξ (Ἱεζ. ι), θαρσεὶς (Ἱεζ. α, 16). — Paz, χρυσίον (Ἰὼϐ, κη), χρυσίον ἄπυρον (Ἡσ. ιγ), τοπάζιον (Ψαλμ. ριθ), λίθος τίμιος (Ψαλ. ια). — Gabisch (μέγας μαργαρίτης, λατ. unio), ὁ δ᾽ ἑρμηνεὺς ἀγνοῶν τὴν σημασίαν ἔγραψε πάλιν, *γάϐις* (Ἰὼϐ, κη, 18) (ϐ).— Ramoth (κο-

---

(α) Βαρκηνὶμ (καὶ παρ᾽ Εὐσεϐίῳ, Βαρκονεὶμ) αἱ ὀξυάκανθαι, καὶ ἰδίως αἱ τρίϐολοι, οὐ μόνον αἱ φυτικαὶ (ὁποίας Ὅδιος ἐξέλαϐε, τάξας τὸ Β α ρ κ η ν ὶ μ ἁπλῶς ἐν τοῖς φυτοῖς), ἀλλὰ καὶ τεχνηταί, πρὸς ποινὰς εἰθισμέναι, τ ρ ί ϐ ο λ ο ι σ ι δ η ρ α ῖ· καὶ τοιαῦται φαίνονται αἱ ἐν Κριτ. η, 7 ἀπαραλλάκτως ὡς καὶ Β. Βασιλ. ιϐ. 31 (περὶ τοιούτων ποινῶν, πρϐλ. Ἀμὼς α, 3. Μιχ. δ, 13). Ἔγραψαν δὲ οἱ Ο αὐτὴν τὴν ἑϐραϊκὴν φωνήν, οὐχ ὡς ἀγνοοῦντες, ἀλλ᾽ ὡς τότε συνήθη καὶ εἰς τὴν διάλεκτον τῶν ἑλληνιστῶν Ἰουδαίων. Κώδηκες δέ τινες (ὡς ὁ Ὀξων. καὶ Κομπλουτ.) ἀντὶ τοῦ Βαρκηνὶμ ἔχουσι τ ρ ι ϐ ό λ ο υ ς. Οὕτω καὶ Σύμμαχος ἔγραψεν· ὁ δ᾽ Ἀκύλας, τ ρ α γ α κ ά ν θ α ς· αὐτὸ δὲ τὸ Βαρκηνεὶμ ἐπλάσθη καὶ ἑλληνικώτερον Β α ρ α κ ί ν α ι (Ἡσύχ. λ. Βαρακινῆσι καὶ σημ. Κριτικ. πρϐλ. Schleusner Thes. V. Test. λ. Βαρκηνεὶμ καὶ Τρίϐολος. Schulz Schol. in Jud. l. c.). Σημ. ἡμετ.

(ϐ) Τὸ γ ά ϐ ι ς (ἐν Ἰὼϐ κη, 18) οὐ σημαίνει μονόκοκκον μαργαρίτην, ἢ μονομάργαρον (λατ. unionem, ἐκ τοῦ ἑλλην. οἰνός, unus = οἶος, μόνος, εἷς)· διαφέρονται δὲ καὶ αὐτοὶ οἱ νεώτεροι περὶ ταύτης τῆς σημασίας (βλ. Schleusner λ. Ὑπεραίρω)· οὐδ᾽ ἄλλο τι δηλοῖ διωρισμένον εἶδος πολυτίμου λίθου· ἀλλ᾽ ἁπλῶς τὸ ἔξοχον, ὑπέροχον καὶ ὑψηλὸν (ἐπὶ τῶν μεγατίμων κειμηλίων μάλιστα)· ὅθεν καὶ Σύμμαχος, ὑ ψ η λ ὰ καὶ ὑ π ε ρ η ρ μ έ ν α (καὶ Ἱερώνυμ. excelsa et eminentia) εἶπε τὸ ἑϐραϊκ. ramoth ve gabis· οἱ δὲ Ο, « μ ε τ έ ω ρ α κ α ὶ γ ά ϐ ι ς » (γάϐις ἔχει καὶ ὁ Θεοδοτίων), οὐχ ὡς ἀγνοοῦντες τὴν λέξιν (καθὼς Ὅδιος ἀστεΐζεται), ἀλλ᾽ ὡς ἐμφαντικῆς οὔσης τῆς φωνῆς καὶ βαθυσημάντου, διὸ καὶ συνειθισμένης ἴσως τότε παρὰ τοῖς ἑλληνίζουσιν Ἰουδαίοις (οὕτω καὶ καθ᾽ ἡμᾶς παρά τισιν Ἀσιανοῖς Ἑλ-

ράλλια), μετέωρα (Ἰὼβ κη), καὶ ῥαμὸθ (Ἰεζ. κζ).—Mir, σμύρνα (Ἐξόδ. λ. 23), στακτὴ (Ἆσμ. α. 12· ἀλλ' ἐν Ψαλμῷ με, 10 διακρίνεται « σμύρνα καὶ στακτή »)· — Aloth (=ἀλόη), στακτὴ (Ψαλμ.), ἀλὼθ (Ἆσμ. δ. 14).— Man, μὰν (Ἐξόδ. ις, 33), καὶ μάννα (Ἀριθ. ια). — Chima, ἀρκτοῦρος (Ἰὼβ, θ), πλειὰς (Ἰὼβ, λη)). — Kilil (γρ. Kisil) ἕσπερος (Ἰὼβ, θ, 9), ὠρίων (Ἰὼβ, λη, 31. Ἡσ. ιγ).

§. ιε. Ζ) *Μέτρων καὶ σταθμῶν ὀνόματα.*

Σίκλος (Ἐξόδ.) καὶ δίδραχμον [Γενέσ. κγ. βλ. ὄπισθ. σελ. 171]. — Ephah, οἰφὶ (Λευϊτ.), τρία μέτρα (Ἡσ.).—Chomer, ἢ Gomer, γομὸρ (Ἐξ.), ἀρτάβας ἓξ (Ἡσ.), δράγμα (Λευ.), ψωμὸς (Ἰὼβ, ιδ). — Bath (βάτος, ἢ βάδος), χοεὺς (γ. Βασ. ζ), μετρητή. Β. Παραλ. δ. 5. [σφάλμα τυπογραφικόν· ὁ Ὅδιος ἴσως ἔγραψε *μετρητὴς*, ὁ· ὡς « μετρητὰς τρισχιλίους » Β. Παραλ. αὐτόθ.], κεράμιον (Ἡσ. ε), χοῖνιξ (Ἰεζ. με, 10), καὶ κοτύλη (αὐτ. 14).— Nebel, ἀσκὸς (α, Βασ. ι), ἀγγεῖον (α. Βασιλ. κε), νέβελ (α. Βασιλ. α, 24. Ὠσ. γ.).—Hin, εἶν, καὶ ἶν, καὶ χοῦς (Λευτ. ιγ, 13, ιθ, 35). — Chibrath aretz, « *χαβραθὰ τῆς γῆς* », καὶ « *χαβραθὰ* » (Γεν. κε, καὶ μζ)· αὐτὸ δὲ τὸ χαβραθὰ ἐξηγεῖται *ἱππόδρομος* (α).

---

λησιν εἴθισται τὸ τουρκικὸν καὶ περσικὸν Dzevher, τ ζ ε β α η ρ, πᾶν καθόλου κόσμημα πολύτιμον, καὶ μάλιστα λίθος πολυτελής). Ὁ δὲ Γρότιος ὑπέλαβε τὸ γ ά β ι ς τὸ αὐτὸ καὶ τὸ ἀραβικὸν Gabis, ὃ δηλοῖ π υ ρ ω π ὸ ν, ἢ ἄ ν θ ρ α κ α (τὸν λίθον)· ἀλλὰ τὰ ἀραβικὰ λεξικὰ περὶ τούτου σιγῶσιν. Οἱ δὲ περὶ τὸν Rosenmüller (Schol. in Iob. 28, 18. βλ. καὶ Gesen. Lexic. Hebraic. p. 192), κρύσταλλον. Ὁ δὲ Niebuhr (Descript. Arab. proleg. 41) τὸ μὲν Gabis λ ί θ ο ν τ ι ν α π ρ ά σ ι ν ο ν εἶπε, τὸ δὲ Ramoth, ἐ ρ υ θ ρ ᾶ κ ο ρ ά λ λ ι α· οἱ δὲ, τέλος, ὡμολόγησαν ἀμφότερα λίθων ὀνόματα τιμίων, ἀγνώστων δὲ παντάπασι (Schulz, Sch. in Iob. l. c.). βλ. καὶ ἐφεξῆς, §. λς. Σημ. ἡμετ.

(α) Περὶ τοῦ Χ α β ρ α θ ὰ βλ. ὄπισθ. σελ. 175. — Περὶ δὲ τῶν ἄλλων μέτρων, ὧν τὰ ἰσόμετρα, καίτοι ἑτερόφωνα,] ἀνταλλάσσονται πρὸς ἄλληλα (οἷον τὸ Γ ο μ ὲ ρ πρὸς τὸ συνώνυμον Κ ό ρ ο ς, δέκα μὲν Οἰφὶ (ξηρῶν) δέκα δὲ Βάττων ἐπὶ ὑγρῶν περιεκτικόν, κτλ.), ἀπήντησαν ἄλλοι. βλ. Ἐπιφάν. περὶ Μέτρ. καὶ σταθμ. καὶ Petav. animadv. ibid. (ὅπου διακρίνεται καὶ τὸ μικρὸν ο ἰ φ ί, πρὸς ὃ πάλιν διωρίζετο ἡ ἀρτάβη, καὶ ἡ χοῖνιξ. καὶ ἡ κοτύλη). Hieron. Comm. in Esaï. V. 10. πρβλ. Δανιὴλ κατὰ τοὺς Ο, ed. Rom. p. 89. — Schleusn. Thes. καὶ Lex. N. T. (ἐν ταῖς μνημονευομέναις λέξεσι). Schulz. Schol. in V. Test. T. III. p. 24.

§. ις. Η) Ἄλλαι διάφοροι λέξεις ἄλλως ἀλλαχοῦ ἡρμηνευμέναι. Theraphin, Θεραφὶν (Κριτ.), εἴδωλα (Γεν.), κενοτάφια (α. Βασ. ιθ), γλυπτὰ (Ἰεζ. κα), δῆλοι (Ὠσ. γ), ἀποφθεγγόμενοι (Ζαχ. ι, 1) — Vrim, δήλωσις, δῆλοι (Ἐξόδ., Ἀριθ.), φωτίζοντες (Ἔσδρ.). — Thumim, τέλειοι (Ἔσδρ.), ἀλήθεια (Λευϊτ.). [Περὶ τοῦ Οὐρὶμ καὶ Θουμὶμ, βλ. ὄπισθεν σελ. 173, 210]. — Ephod, ἐφὼδ, ἐφοὺδ, (Κριτ.), ἐπωμὶς (Ἐξόδ.), στολὴ (β. Βασ.), ἱερατεία (Ὠσ. γ.). — Davir (τὸ ἄδυτον τοῦ ναοῦ), ναὸς (ψαλμ. κη, 2), δαβεὶρ, ἢ δαβίρ (γ. Βασ. ς). — Zebaoth (τῶν δυνάμεων), Σαβαὼθ (Ἡσ. κτλ.), παντοκράτωρ (β. Βασ. ε. κτλ.), ὁ Θεὸς ὁ ἅγιος (Ἡσ. ιδ, 27). — Phasech, Πάσχα (Ἐξόδ. κτλ.), φασὲκ (β. Παραλ. λ. καὶ ὁ Θεοδοτίων, φασέκ· ὅθεν ὁ Γεράρδος Οὐόσσιος ὀρθῶς ἐμαντεύσατο τὰς βίβλους τῶν Παραλειπομένων οὔσας ἐκ τῆς ἑρμηνείας οὐχὶ τῶν Ο, ἀλλὰ τοῦ Θεοδοτίωνος]. — Tha, ἢ The, ἀπάντησις (β. Παρλ. ιβ) καὶ Θεὲ (αὐτὸ τὸ ἑβραϊκὸν γ. Βασ. δ. Ἰεζ. μ.). — Kidon, γαῖσον, ζιβύνη, ἀσπὶς, μάχαιρα (βλ. ὄπισθ. σελ. 495, 510). — Chothnoth, χιτὼν (Γεν.), στολὴ (Ἡσ.), χωθωνὼθ (Νεεμ. ζ. Ἔσδρ. β. τὸ Βατικ. τὸ δ' Ἀλεξ. χιτῶνας) (α). — Kadim, νότος (Ἐξόδ. Ψαλμ.), καύσων (Ἰὼβ, Ἱερεμ. κτλ.) [ὡς καυστικὸς πνέων, ὁ παρὰ τοῖς Ἀσιανοῖς Samjel, ἐκ τοῦ Ἀραβικοῦ Sam (ἢ Siam), ἰὸς, φάρμακον δηλητήριον, καὶ τοῦ Jel, τουρκιστὶ ὁ ἄνεμος, οἷον ἰοβόλος]. — Kinnor, κιθάρα, ψαλτήριον, καὶ (αὐτὸ

---

Eisenschmid. de mens. et ponder. p. 120 etc. Ἀντὶ δὲ τῶν συνωνύμων ἑλληνικῶν ὀνομάτων ἐχρήσαντο καὶ τοῖς ἀντιστοίχοις ἑβραϊκοῖς, ὡς καὶ τούτοις εἰθισμένοις (οὕτω καὶ Ἀκύλας, Ἱερεμ. ιγ. 13. Θεοδοτίων, Ὠσ. γ. 2· καὶ ἀλλαχοῦ πολλαχοῦ)· ἰδίως δὲ περὶ τοῦ δράγμα καὶ ψωμὸς, βλ. Schleusn. Thes. V. T. Σημ. ἡμετ.

(α) Κακῶς τινες παράγουσιν ἐκ τοῦ χωθονὸθ καὶ τὸ ὁμοιόφωνον ἑλλην. χιτών. Ὁ Ἰώσηπος ἔγραψε Χεθονέθην (ὡς ἐκ τοῦ Chethoneth) « λίνεον δὲ (λέγει) τοῦτο σημαίνει· χεθὸν γὰρ τὸ λίνον » (Ἰώσ. Ἀρχ. γ, ζ, 2.)· Καὶ Ἄραβες δὲ τὸ λίνον Kettan, ἢ Ketten· ἐσήμαινε δὲ τὸ χωθονὸθ, καὶ τὸν ἱερατικὸν ποδήρη χιτῶνα (Ἰώσ. αὐτ.) « τὴν στολὴν τὴν ἁγίαν » (α, Μακ. ι. 21). Ὅθεν οἱ Ο, εἶπον καὶ αὐτὸ τὸ Χωθονὼθ (πληθυντ.), οὐ μόνον ὡς σύνηθες τοῖς ἑλληνίζουσι (διὰ τὴν πρὸς τὸ χιτὼν ὁμοιοφωνίαν), ἀλλὰ καὶ ὡς λεγόμενον κατ' ἐξοχὴν ἐπὶ τῶν ἱερῶν ἀμφίων. Σημ. ἡμετ.

τὸ ἑβραϊκ.) κινύρα (Γενέσ. λα: Ψαλμ. μθ: α. Βασ. ι). — Nabal, κιθάρα, ψαλτήριον, σκεῦος ψαλμοῦ, καὶ (αὐτὸ τὸ ἑβρ.) νάβλα (α, καὶ β, Βασιλ. καὶ β. Παρ.).—Amen, ἀμὴν (α, Παραλ. ις. Νεεμ. ε, 13), γένοιτο (Ἀριθ. Δευτ. Ψαλμ.). — Shatan, σατὰν (γ. Βασ. ια), ἐπίβουλος (αὐτ.), διάβολος (Ἰὼβ, α. Ψαλμ. ρη). — Bad, λινοῦς (Ἐξόδ. κη), βαδδὶν (αὐτὸ τὸ ἑβραϊκὸν, πληθυντικῶς· Δαν. ι. 5), καὶ πάλιν (α. Βασ. β, 18), βὰρ (ἀντὶ βάδ· συνέχεε γὰρ καὶ ὧδε ὁ ἑρμηνεὺς τὸ δ, πρὸς τὸ ρ. Ὁ δὲ μακάριος Ἱερώνυμος, πλέον τοῦ προσήκοντος χαρίζεται τοῖς ἑρμηνεῦσι, λέγων· ὅτι οἱ μὲν Ο, *Βὰδ* ἔγραψαν πάντως, πλάνη δέ τις ἐπεκράτησεν ἀντὶ τούτου γράφεσθαι *Βάρ* ». βλ. Ἱερώνυμ. εἰς Ζαχαρ. ιβ) (α). — Sechar, ἄλλ. Schecar, οἶνος (Ψαλμ. ξη), μέθυσμα (α. Βασ. α), σίκερα (αὐτὸ τὸ ἑβραϊκόν. Λευϊτ. Ἀριθμ.), καὶ (τὸ αἰγυπτιακὸν) ζύθος (Ἡσ. ιθ. Βλ. ὄπισθ. σελ. 183) — Ge-Malach, Γε μαλὰχ (ἐν ταῖς βίβλοις τῶν Βασιλειῶν, κατὰ τὸν Ἱερώνυμον), Φάραγξ ἀλῶν (Ψαλμ. νθ), κοιλὰς ἀλῶν (α, καὶ β Παραλ. ιη). — Sabec, σαβὲκ (Γεν. κβ), δάσος (Ἡσ. θ), δρυμὸς (Ψαλμ. ογ), σμίλαξ (Ναοὺμ α, 10. βλ. καὶ Βὼς προλεγόμ.). — Mittah, ῥάβδος (Γεν. μζ. 31), καὶ κλίνη (Γεν. μη, 2) (β).

---

(α) Ἀλλ' ὁ Βατικανὸς κώδηξ, Ἱερωνύμῳ συμμαρτυρῶν, ἔχει β ὰ δ (ὁ δὲ Ὅδιος γελοίως ἀποδίδωσι τὴν γραφὴν, ὡς διόρθωσιν, εἰς τοὺς ἐκδότας)· τὸ δὲ β ὰ ρ ἔχει ὁ Ἀλεξανδρινός· Πρόσθες ὅτι β ὰ ρ ἀνέγνωσε καὶ Ἀκύλας, καὶ ἡρμήνευσεν « ἐξαίρετον »· β ὰ ρ καὶ ὁ Θεοδοτίων, καὶ ἡρμήνευσε κ α θ α ρ ό ν· (ὥστε καὶ τούτων οἱ ἑβραϊκοὶ κώδηκες εἶχον bar, εἴτ' ἐκ πλάνης τῶν μεταγραφέων, εἴτ' ἐκ διαλέκτου κατὰ στοιχείων ἐναλλαγήν· βλ. ἐφεξῆς §. κθ)· καὶ αὐτὸς ὁ Ἱερώνυμος ἀπαριθμῶν τὰς σημασίας τοῦ βὰρ, προστίθησι καὶ τὸ electus, ἐ κ λ ε κ τ ό ς. Ὁ δὲ Ἡσύχιος « βὰρ, μ ι κ ρ ὸ ν » (βλ. λ. Ἐφοὺδ, καὶ Σχολ. Κριτικ. αὐτ.) βλ. Schulz. Schol. in V. Test. vol. 2. p. 238, καὶ Schleusn. Th. V. T. λ. βάρ. Σημ. ἡμετ.

(β) Ὁ συνήθως τὰ τῶν ἄλλων μεταγράφων Βῶσος, ἢ Βὼς (Bos, proleg. in V. Test.) προστίθησι καὶ ἄλλα. Τὸ ἑβρ. βεδὲκ (δ. Βασ. ιβ), τὸ δ' αὐτὸ καὶ βουλὴ (Ἰεζ. κθ). — Zion, Σιὼν (ἀγνοῶν τὴν σημασίαν ὁ ἑρμηνευτὴς τοῦ Ἱερεμ. λη, 21), καὶ (ὀρθῶς) σ κ ό π ε λ ο ς (δ. Βασ. κγ). Τὸ («οὐκ ἐκλείψει) ἄ ρ χ ω ν (Γεν. μθ. 10) ἐν Ζαχαρ. ι, 11 «σ κ ῆ π τ ρ ο ν (οὐ περιαιρεθήσεται). Τὸ « οὐ καθαριεῖ τὸν ἔνοχον (Ἐξόδ. λδ. ὡς καὶ Ἀριθ. δ. «καθαρισμῷ οὐ καθαρ. τ. ἔνοχον) ἀλλαχοῦ ἐγράφη « ἀθῳῶν οὐκ ἀθωώσει » (Ναοὺμ. α, ε. Ἱερεμ. κθ. 12)· τὸ «ἀγγέλους ἀπέστειλε» (Ἱερ. κθ. 14) ἐν Ἀβδιοὺ (α, 1) γράφεται « π ε ρ ι ο χ ὴ ν ἀπέστειλε ». κτλ. ὥστε ἄλλοι (λέγει) οἱ ἑρμηνεῖς τῆς Πεντατεύχου, καὶ ἄλλοι οἱ τῶν Βασιλειῶν, καὶ ἕτεροι οἱ τῶν Προφητῶν. Ἄλλοι δὲ

§. ιζ. Τελευταῖον· τὸν ιζ, ψαλμὸν ἄλλος πάντως ἡρμήνευσεν ἐν τῷ Ψαλτηρίῳ, καὶ ἄλλος ἐν β. Βασιλ. κβ· καὶ μάρτυς τρανὸς ἡ φράσις· «Κύριε, πέτρα μου καὶ ὀχύρωμά μου, καὶ ἐξαιρούμενός με ἐμοί. Ὁ Θεός μου φύλαξ μου ἔσται μοι· πεποιθὼς ἔσομαι ἐπ᾽ αὐτῷ» (β. Βασ. κβ)· ἐν δὲ τῷ Ψαλτηρίῳ, «Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου· ὁ Θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ᾽ αὐτόν».

§. ιη. Ὅτι δὲ καὶ τὸ τοῦ Δευτερονομίου τεῦχος οὐχ ἡρμήνευσεν ὁ αὐτὸς καὶ ὁ τὴν Γένεσιν καὶ τὴν Ἔξοδον ἑρμηνεύσας κάλαμος, ἀπέδειξεν ἐκ τούτου μάλιστα ὁ Λιχθόφωτος, ὅτι ἐν μὲν Δευτερ. ι, 22 (ἐκδ. Βατικ.), γέγραπται «*ψυχαὶ ἑβδομήκοντα*»· ἐν δὲ Γενέσ. μς. 27, καὶ Ἐξόδ. α, 5· «*ψυχαὶ ἑβδομήκοντα πέντε*» (οὕτω καὶ Πράξ. η) (α). Μέμνηται δὲ τῆς ἐν τῷ Δευτερονομίῳ

---

(λέγει) καὶ οἱ τῶν Κριτῶν καὶ τῆς Ῥοὺθ, ὡς δείκνυσιν ἡ φράσις ἡ ἐ γ ώ  ε ἰ μ ι, παρέλκουσα παρὰ τὸ σύνηθες καὶ οὐχ ἑλληνικῶς. Οἷον «Ἄσομαι, ἐγώ εἰμι τῷ Κυρίῳ· ἐγώ εἰμι ψαλῶ τῷ θεῷ» (Κριτ. ε. 3) «ἐγώ εἰμι καθίσομαι» (αὐτ. ς. 18. πρβλ. ια, 27, 35) καὶ ἀλλαχοῦ· «ἐγώ εἰμι ἀγχιστεύσω» (Ῥοὺθ, δ, 4). Ὡσαύτως καὶ ἐν Β, καὶ Γ, καὶ Δ. Βασιλ. οἷον «ἐγώ εἰμι ἐν γαστρὶ ἔχω» (Β. Βασιλ. ια, 5. πρβλ. ιβ, 7. ιε, 23. ιη, 12. κδ, 12. 17, καὶ Γ. Βασ. β. 2. δ. Βασ. Δ. 13. ι. 9. κε. 20). Νεωτέρα δὲ καὶ ἡ τοῦ Ἄσματος ἑρμηνεία, καὶ ἴσως αὐτὴ ἡ τοῦ Συμμάχου (Capell. ad Esai. 47)· διότι τὸ ἑβραϊκ. Tsamma (κίκκινος) ἑρμηνεύει σ ι ώ π η σ ι ν (Ἄσμ. δ. 3), ὡς ἡρμήνευσε καὶ Σύμμαχος τὴν λέξιν (Ἡσ. μζ. 2 καὶ Ἱερώνυμ. αὐτ.). Ἕτερος δὲ, τέλος, καὶ ὁ τοῦ Ἐκκλησιαστοῦ, γράφων· «Σὺν τὸν ἄνθρωπον, σὺν τὴν εὐφροσύνην, σὺν τὸ ποίημα» (ζ, 30. η, 15, 17), ὡς ἔγραψε καὶ Ἀκύλας «σὺν τὸν οὐρανὸν» (Γενέσ. α). Σημ. ἡμετ.

(α) Lightfoot, Hor. Hebr. in Act. Apost. VIII. 14. [Ὁ δ᾽ αὐτὸς Λιχθόφωτος ἀλλαχοῦ (Hor. Hebr. in Luc. III, 36) καὶ ὡς κακοσχόλως, καὶ οὐκ ἀπὸ γνώμης εἰλικρινοῦς ἑρμηνεύσαντας τοὺς Ο προσδιέβαλεν· ἵνα, λέγει, τοὺς ἐθνικοὺς ἐξελέγξωσι μηδεμίαν ἔχοντας θρησκείαν. Ὅθεν (λέγει) προστιθέασιν, ἢ ἀποκόπτουσι πρὸς τὸ δοκοῦν, χασμωδῶς, τυφλωδῶς, αὐθαδῶς (oscitanter, caecutienter, audacter). Μεταφράζουσι κατ᾽ ἔννοιαν πολλάκις ἀλλοτρίαν· οὐ σπανίως, ἐναντίαν· ἐνίοτε, μηδεμίαν· καὶ πολλάκις πρὸς ὑπεράσπισιν τῶν κατ᾽ αὐτοὺς δοξασιῶν, ἢ πρὸς ἀποφυγήν τινος σκανδάλου τοῦ ἱεροῦ κειμένου, ἢ πρὸς φήμην καὶ ἀσφάλειαν τοῦ γένους αὐτῶν. Τούτων δὲ (λέγει) πάντων δείγματα σωρηδὸν ἐξενεγκεῖν οὐκ ἂν εἴη τολμηρὸν, ἐὰν περὶ τοῦτο τὸ πρᾶγμα σχολάσωμεν» Ταῦτα ὁ θρασύμαχος Λιχθόφωτος· πρὸς ἃ καὶ ὁ Καρψόβιος ἠγανάκτησε. (Crit. Sacr. P. II. c. II. p. 521). Ἀνεζώσατο δὲ, τέλος, πρὸς τὸν καλὸν τοῦτον ἀγῶνα ὁ Λιχθόφωτος· καὶ εὑρίσκεται ἐν τοῖς ὀψιγόνοις

παραλλαττούσης ἀναγνώσεως καὶ Ἱερώνυμος (Ζητήμ. Ἑβρ). Πλὴν ἀλλ᾽ ὅμως, ἡ ἀνάγνωσις αὕτη οὐχ ἅλις ἀποδείκνυται γνησία καὶ ἀληθής. Ἄλλοι κώδηκες ἀρχαιότεροι, ὡς ὁ Ἀλεξανδρινὸς, ἔχουσι καὶ ἐν Δευτερονομίῳ «*ἑβδομήκοντα πέντε*» (ἄλλους κώδηκας ὁμοίως ἀριθμεῖ ὁ Nobilius, ἐν Σχολ. αὐτόθ.). Καὶ ὁ ἱερὸς Αὐγουστῖνος οὐδεμίαν τοιαύτης διαφορᾶς ἐποιήσατο μνήμην οὔτ᾽ ἐν τοῖς *εἰς τὸ Δευτερονόμιον* (κεφαλ. ι) *Ζητήμασιν*, οὔτ᾽ ἀλλαχοῦ τῶν συγγραφῶν, ἐν αἷς ἀναφέρει τὰς εἰς Αἴγυπτον καταβάσας ΟΕ, ψυχάς. (βλ. Αὐγουστ. Ζητήμ. εἰς Γενέσ. μϛ. καὶ Περὶ πόλ. Θεοῦ, ιϛ, 40).

§. ιθ. Ἡμεῖς δὲ (φησὶν Ὅδιος) καὶ τοῦτο τὸν ἀναγνώστην ὑπομιμνήσκομεν· τὰς σωρηδὸν προεκτεθείσας ποικίλας τῶν ἀναγνώσεων παραλλαγὰς ἀπηνθίσαμεν ἐκ τῶν δύω τῶν ἀρίστων καὶ πανταχοῦ τῆς οἰκουμένης περικλεῶν καὶ ἀρχαιοτάτων ἀπογράφων τῆς τῶν Ο, ἑρμηνείας· λέγω δὲ, τοῦ Βατικανοῦ (ἢ Ῥωμαϊκοῦ) καὶ τοῦ Ἀλεξανδρινοῦ· πολλαχοῦ δὲ καὶ μαρτυρίας προσεθήκαμεν ἐκ τοῦ Ἱερωνύμου μάλιστα πρὸς ἀπόδειξιν, ὅτι κἀκεῖνος οὕτως ἀνέγνω τὰς πολλὰς τῶν προκειμένων παραλλαγῶν, τοὺς ἀρίστους μεταχειριζόμενος κώδηκας ἐν τῇ τῆς Καισαρείας βιβλιοθήκῃ.

§. κ. Ἀλλὰ καταπαύομεν (φησὶ) τὸν λόγον, καὶ καταβάλλομεν τέλος εἰς τὸ δεύτερον τοῦτο βιβλίον, ἓν ἔτι καὶ μόνον προσθέντες, τὸ ἐφεξῆς. Ἐκ τῶν προεκτεθέντων παραδειγμάτων συνά-

---

(posthumis) αὐτοῦ συγγράμμασιν ἀρχὴ πονήματος, ἐν ᾧ συγκρίνων τὴν ἑρμηνείαν τῶν Ο πρὸς τὸ ἑβραϊκὸν, ἐπεχείρησε συντάξαι κεφάλαια, ταύτας φέροντα τὰς ἐπιγραφάς: Π ρ ό σ θ ε τ α (παρὰ τοῖς Ο). Ἀποκεκομμένα, καὶ ἐπικινδύνως συντετμημένα: Σκοτίζοντα τὴν σαφήνειαν τοῦ νοήματος, καὶ διαφθείροντα τὸ καλόν: Ἡρμηνευμένα κατ᾽ ἄλλην ἔννοιαν: Ὄζοντα παραδόσεων Ἰουδαϊκῶν: Αὐτὰ τὰ ἑβραϊκὰ ἀμετάφραστα: Ἐξηγημένα πρὸς εὐφημίαν τοῦ ἔθνους: Ἐξηγημένα πρὸς εὐφημίαν τοῦ κειμένου: Παραφράσεις: Κύρια ὀνόματα κατεστραμμένα εἰς προσηγορικά: Ἀριθμοὶ κακῶς λελογισμένοι: Τόπων ὀνόματα νεώτερα: Φωνήεντα κακῶς ἀνεγνωσμένα: Γράμματα κακῶς ἀνεγνωσμένα: Νόημα μεμιασμένον: Ὀνομάτων παραλλαγή: Στίχοι κακῶς ἡνωμένοι» κτλ. (βλ. Fabric. Bibl. Graec. T. 3. p. 689). Ἀλλ᾽ ὅ,τι πρῴην ὁ Λιχθόφωτος οὐκ ἔφθασε κατορθῶσαι, τοῦτο ὕστερον Ὅδιος ἐν μέρει διεπράξατο. Πολὺ δέ γε πληρέστερον ἔναγχος ὁ Φράγκελος, κατὰ τὴν αὐτῷ συνήθη πολυμάθειαν, κατώρθωσε δραματουργικώτατα! βλ. τὴν ἐφεξῆς σημείωσιν. Σημ. ἡμετ.].

γεται τηλαυγῶς, ὅτι οὐ μόνον τἄλλα βιβλία τῆς Γραφῆς, ἀλλὰ καὶ αὐτὴ ἡ Πεντάτευχος ὑπὸ διαφόρων τινων ἡρμηνεύθη. Συμπάσης δὲ τῆς ἑρμηνείας ἐκ τοιούτων κατὰ μέρος ἑρμηνευμάτων ἀπαρτισθείσης, οὐδεμία κοινὴ γέγονεν ἀνάκρισις καὶ ἐπιθεώρησις. Καὶ τοῦτο βεβαιοῦσιν ἱκανῶς αἱ τοσαῦται καὶ τοιαῦται πλάναι καὶ παρεξηγήσεις, αἵτινες ἀπαντῶσιν οὐ μόνον ἐν τοῖς ἄλλοις βιβλίοις, ἀλλὰ καὶ ἐν τοῖς Μωσαϊκοῖς. Καὶ σοφωτέρων μὲν ἑρμηνευτῶν ἔτυχεν ὁ Μωϋσῆς· ἀλλ᾽ ὅμως καὶ οὗτοι πολὺ γ᾽ ἂν εὐτυχέστερον τὴν ἑαυτῶν ἐκόσμησαν Σπάρτην, εἴπερ, ἢ συνάμα πάντες (ὁσοιδήποτ᾽ ἂν ἦσαν) ἐφιλοπόνουν τὴν ἑρμηνείαν, ἢ γοῦν τὰ κατὰ μέρος ὑφ᾽ ἑκάστου τινος ἡρμηνευμένα καθυπέταττον εἰς τὴν κοινὴν τῶν ἄλλων ἐπίκρισιν. Ταῦτα Ὅδιος (α).

(α) Πολλοὶ καὶ ἄλλοι τῶν νεωτέρων Ὁδιακῶν ἐπῄνεσαν ταῦτα τοῦ κριτικοῦ. Ἀλλὰ καὶ καθ᾽ ἡμᾶς ὁ κριτικὸς ῥαββῖνος, ὁ Φράγκελος, ἐπιδοκιμάζει τὰς περὶ τὴν ἑρμηνείαν τῶν Ο, ποικίλας διαφοράς, ἃς (φησι) μετὰ μεγάλης ἐπιμελείας συνήθροισεν Ὅδιος, ἀποδεικνύων δι᾽ αὐτῶν τοὺς ποικίλους μεταφραστάς. Ἓν (λέγει) σφάλμα μόνον ὁ σοφὸς Ἄγγλος ἐσφάλη, ὅτι ἀπέδωκεν εἰς τοὺς Ο πολλὰ ἀντιγραφέων ἁμαρτήματα. Αὐτὸς δὲ ἔστη μόνον περὶ τὴν ἐξέτασιν τῶν ἐν διαφόροις βιβλίοις, ἢ καὶ χωρίοις μακρὰν ἀπ᾽ ἀλλήλων διεστηκόσιν, ἐμφαινομένων διαφορῶν, παραβλέψας τὰς εἰς ἑνὸς καὶ τοῦ αὐτοῦ βιβλίου παραλλήλους κειμένους στίχους, ἢ καὶ εἰς τὸν στίχον τὸν αὐτὸν πολλάκις ἀπαντώσας. Τοῦτο δὲ (λέγει) μόνον ἡ ἄστατος ἀμάθεια τῶν μεταφραστῶν ἠδύνατο παραγαγεῖν, ἢ καὶ διότι ἡ τῶν Ο (λεγομένη) ἑρμηνεία διεσκευάσθη ἀπὸ σημειωμάτων ἐν τῷ περισελίδῳ κειμένων, ὁ δὲ διασκευαστὴς μετέγραφεν ἐν τῷ κειμένῳ πᾶν ὅ,τι εὕρισκεν εἰς τὴν ᾤαν ἢ τὸ περισέλιδον τοῦ χειρογράφου. Τοιαῦτα ὁ Ῥαββίς. Αὐτὸς δὲ χωρεῖ γενναιότερον εἰς τὴν ἐσωτερικὴν ἐξέτασιν τῆς ἑρμηνείας τῶν Ο. Καὶ πρῶτον μὲν ἐκτίθησι συντόμως κ ρ ι τ ι κ ὴ ν τοῦ κειμένου θεωρίαν, ἐν ᾗ ποικίλως ἐξετάζει τά τε τῶν ἀντιγραφέων ἁμαρτήματα, καὶ τὰς ἐκ τοῦ περισελίδου παρεγγραφὰς τῶν γλωσσημάτων, καὶ προσέτι τὰ τῶν διασκευαστῶν ῥᾳδιουργήματα (!) Ἔπειτα μεταβὰς εἰς τὴν θεωρίαν τῆς παρὰ τοῖς Ἀλεξανδρινοῖς προφορᾶς τῶν ἑβραϊκῶν στοιχείων, καὶ τῆς παρὰ τοῖς Ο, ἑβραϊκῆς γραμματικῆς, ἐξετάζει τούτων τὴν ἑ ρ μ η ν ε υ τ ι κ ὴ ν καὶ ἐ ξ η γ η τ ι κ ὴ ν, ἤτοι τὸν τρόπον καθ᾽ ὃν ἡρμήνευον, ἐξηγοῦντες καὶ μεταφράζοντες ἑλληνιστὶ τὰ ἑβραϊκά. Ἐν δὲ τῷ μέρει τούτῳ παριστᾷ τοὺς ἑρμηνεῖς ἀμαθεστάτους τῆς ἑβραϊκῆς, μήτε τὴν γλῶσσαν ἐπισταμένους, μήτε τὴν σημασίαν τῶν φωνῶν. Ἑρμηνεύουσι (φησὶν) ἐξ εἰκασίας, καὶ πολλάκις διαφόρως τὰς λέξεις τὰς αὐτάς· συγχέουσι τὰ γράμματα· συνάπτουσι τὰ μόρια μετὰ τῶν ὀνομάτων· ἐκλαμβάνουσι τὰ κύρια ὡς προσηγορικά, καὶ τἀνάπαλιν· συνταράττουσι τὰ θέματα τῶν λέξεων· δεικνύουσι πανταχοῦ παράδοξον ἀδαημοσύνην, ἥτις διεγείρει θαυμασμόν.

*Ἀπαντῶμεν.*

§. κα. Ἡ μὲν ἐκ τῆς Ἑβραϊκῆς Ἀγγλικανὴ τῶν Γραφῶν ἑρμηνεία (§. β) οὐδὲν ἔχει κοινὸν πρὸς τὸν προκείμενον σκοπόν. Ὁ

---

Ἀναμιγνύουσι δὲ καὶ σημασίας ἐκ τῶν ἄλλων τῶν συγγενῶν τῆς ἑβραϊκῆς γλωσσῶν, οἷον τῆς Ἀραμαϊκῆς, ἢ Σύρας, καὶ τῆς Ἀραβικῆς· οὐχ ὅτι ἐγνώριζον καὶ τὴν Ἀραβικὴν (ἄπαγε!), ἀλλὰ διότι ἦσαν αἱ τοιαῦται σημασίαι συνήθεις τοῖς Ἀλεξανδρεῦσιν ἐκ στοματικῆς παραδόσεως· καὶ ἐξ αὐτῆς δὲ τῆς ἑλληνικῆς ἀνέμιξαν μυθολογικάς τινας ἐκφράσεις (οἷον τὸ κέρας Ἀμαλθείας, Ἰὼβ, μβ, 14, καὶ τὸ ᾅδης συχνάκις). Πάντα ταῦτα ὁ ῥαββῖνος κριτικὸς ἐξέθετο θαυμαστῶς. Κἀκ τούτων κατεσκεύασε τὸ προπαιδευτικὸν, ἢ προεισοδιῶδες αὐτοῦ σύνταγμα, ὡς ὁ Πλάτων τὴν ἀρχὴν τοῦ Ἀτλαντικοῦ, λαμπρὸν αὐτὸ καθιδρύσας καὶ μεγαλοπρεπὲς, οἷον ὑψηλὸν περίβολον, πρόθυρα μεγάλα καὶ περίστυλα καὶ στοὰς ἔχοντα, καὶ αὐλὰς, καὶ προδόμους ἄλλης μείζονος συγγραφῆς, ἧς καὶ τὸ σχέδιον συνεξέδωκεν. Ἐν ἐκείνῃ μὲν οὖν ὑπόσχεται πλατυτέρας ἐκδώσειν ἐρεύνας, ἀνακρίνων ὁλοσχερῶς τὴν Πεντάτευχον, καὶ τοὺς Προφήτας, καὶ τὰ (κατ' αὐτὸν) Ἁγιόγραφα τῆς ἑρμηνείας τῶν Ο. Καὶ οὕτω, δυνάμει τῆς Κριτικῆς, καὶ συμμαχίᾳ τῶν Ταργουμίων καὶ τῶν ἄλλων ῥαββινικῶν συγγραφῶν, ἀπαλλάξει (φησὶ) τὴν ἑρμηνείαν ἀφ' ὧν εἶπε προλαβὼν ἀλλοτρίων παραρτημάτων (τῶν ἀντιγραφικῶν δηλονότι σφαλμάτων, καὶ τῶν γλωσσημάτων, καὶ ποικίλων διασκευῶν)· καὶ ἀπογυμνώσας τὴν διάνοιαν τῶν ἑρμηνευτῶν, τείνουσαν πρὸς ἀποφυγὴν τῶν περὶ Θεοῦ λεγομένων ἀνθρωπορφιῶν καὶ ἀνθρωποπαθειῶν (περὶ ὧν ἐροῦμεν ἐφεξῆς), εὑρήσει τέλος τὴν ἐποχὴν τῆς ἑρμηνείας. Ταῦτα, ὡς ἐπίπαν, ὑπόσχεται ὁ Φράγκελος εἰς ἐκείνην αὐτοῦ τὴν συγγραφὴν, μεγάλα καὶ θαυμάσια καταδείξων εἰς ἅπαντα τὸν φιλολογικὸν κόσμον, «οἷα λόγος οὐδεὶς ἄλλος ἔσχεν, οὐδὲ μῦθος, οὐδὲ ποίησις»! Ἐκείνης δὲ τῆς συγγραφῆς οἷον πρότυπον, ἢ σμικρογραφίαν μιλτωτὴν (miniature) ἐξέδωκεν, ἣν πολλάκις ἐμνημονεύσαμεν προπαίδειαν, ἐξ ἧς καὶ ταῦτα συνωψίσαμεν ἐπιτετμημένως (Frankel l. c. pag. 63, 91, 163,—274). Καὶ περιέχει μὲν τὸ σύγγραμμα πολλὰ περιεργείας ἄξια (ὧν ἱκανὰ μὲν ἴδομεν προηγουμένως, καὶ ἄλλα δ' ὀψόμεθα ἐν τοῖς ἐφεξῆς), πάντα κριτικῇ μεθόδῳ καὶ δεινότητι διατεταγμένα· Ὀλίγαι τινες μόνον ἀμεθοδίας κῆρες ἔδοξαν ἡμῖν ἐν τούτοις παρεμπεφυκυῖαι, οἷον αἱ ἐφεξῆς. Α) ὁ κριτικὸς θεωρεῖ τὴν ἐν Ἀλεξανδρείᾳ ἑβραϊκὴν ὡς κυρίαν γλῶσσαν τῶν ἑρμηνευτῶν, ἣν παραβάλλει καὶ πρὸς τὴν Δωρίζουσαν καὶ Μακεδονίζουσαν Ἀλεξανδρινὴν ἑλληνικὴν (ᾗπερ οἱ Ο, ἐχρήσαντο)· ὡς δὲ ταύτην ἐπισταμένως, οὕτω καὶ τὴν Ἀλεξανδρινὴν ἑβραϊκὴν τραχεῖαν εὑρίσκει περὶ τὴν προφορὰν, τὴν δὲ τότε Παλαιστινὴν ἑβραϊκὴν, μαλακωτέραν (l. c. p. 100, 105). Θαυμάζομεν ταύτας τὰς Φραγκελείους ἀνακαλύψεις οὐ μόνον ὡς σοφὰς, ἀλλὰ καὶ ὡς ἀντικειμένας πρὸς ὃν ἀπευθύνεται σκοπόν. Αὐτὸς ὁ κριτικὸς εἶπε τὴν ἑρμηνείαν τῶν Ο, κατὰ καιροὺς ὑπὸ παντοίων ἀνθρώπων συῤῥαφεῖσαν· καὶ διστάζει μὲν, εἴπερ ἔλαβεν ἐν Ἀλεξανδρείᾳ τὸ πρῶτον ἐνδόσιμον, τῶν δ' οὖν αὐτῆς βιβλίων τὰ μὲν ἐξάγει ἐκ τῆς Ἀφρικῆς, τὰ δὲ (ὡς τὴν

γεραρὸς Βάλτων ἀποδεχόμενος τ' ἄλλα πάντα τὰ τῆς Ἀριστέου ἱστορίας, συναπεδέξατο καὶ τὴν ἐν οβ, ἡμέρας ὑπὸ τῶν Ο μετα-

---

Ἐσθὴρ) ἐκ τῆς Παλαιστίνης (σελ. 42), τὰ δὲ καὶ ἐκ τῆς μικρᾶς Ἀσίας (βλ. ὄπισθ. σελ. 576)· καὶ τελευταῖον ἀπεφάνθη δογματικῶς (σελ. 38), ὅτι «μήτε τὸν χρόνον, καθ' ὃν ἤρξατο, μήτε τὸν τόπον, ἐν ᾧ γέγονεν ἡ μετάφρασις ὁρίσασθαι δυνατόν»· καὶ ἔτι τομώτερον ἀπεφθέγξατο, «μηδαμῶς θεωρητέον τὴν Ἀλεξάνδρειαν ὡς χώραν, ἐν ᾗ συνετάχθη ἡ ἑρμηνεία» (σελ. 40). Κατὰ ταῦτα λοιπὸν ὤφειλεν ὁ ῥαββῖς ἀναπλάσαι καὶ τὴν γραμματικὴν καὶ τὴν προφορὰν τῆς ἑβραΐδος γλώσσης τῶν Ο, οὐκ ἀπὸ τῆς Ἀλεξανδρείας (ἧς οὐδὲν αὐτῷ μέτεστι κοινὸν), ἀλλ' ἀπ' ἐκείνης τῆς ἀκατονομάστου παγχωρίας, ἢ ἀ τ ο π ί α ς (Outopie), ὅπου τίθησι τὴν γένεσιν τῆς ἑρμηνείας. Τοῦτο πρῶτον φαίνεται σφαλεὶς ὁ μεγαλοπράγμων κριτικός. Β), Τὴν μεταξὺ τῆς τραχυτέρας τῶν Ἀλεξανδρινῶν Ἰουδαίων προφορᾶς καὶ τῆς τῶν Παλαιστινῶν μαλακωτέρας διαφορὰν ἀπὸ δύω πορίζεται πηγῶν, ἔκ τε τῶν ἐν τοῖς Θρήνοις Ἱερεμίου ὁλογράφων γραμμάτων τοῦ ἑβραϊκοῦ ἀλφαβήτου, καὶ ἐκ τῶν ἐν τῇ Γραφῇ κυρίων ὀνομάτων. Ἀλλὰ πόθεν ἐπληροφορήθη, ὅτι μόνοι οἱ Ἀλεξανδρινοὶ Ἑβραῖοι, οὐχὶ δὲ καὶ οἱ Παλαιστινοὶ ἀπήγγελλον τότε τὰ στοιχεῖα καθὼς παρὰ τοῖς Ο γράφονται; Διὰ τί δὲ καὶ ὁ Παλαιστινὸς Ἰώσηπος γράφει τὰ κύρια τῶν ὀνομάτων, ὡς καὶ οἱ Ο; Γ) Ἐπὶ τῶν Ο, οἱ Ἀλεξανδρεῖς Ἰουδαῖοι ἐλάλουν (ὁπωσδήποτ' ἂν ἐλάλουν) τὴν ἑλληνικὴν διάλεκτον τῶν Ἀλεξανδρέων, ἀπομαθόντες τὴν πρῴην συνήθη πάτριον ἑβραϊκήν· ποῦ λοιπὸν εὗρεν ὁ Φράγκελος ἣν λέγει τῶν Ἀλεξανδρέων Ἑβραίων διάλεκτον, θεωρουμένην ὡς γλῶσσαν ἐθνικήν; Δ) Ὁ Φράγκελος ἔχων ὃ παραβάλῃ, οὐκ ἔχει πρὸς ὃ παραβάλῃ. Ἔχει τὴν ἑρμηνείαν τῶν Ο, ἀλλ' οὐκ ἔχει καὶ τὸ πρωτότυπον, ὅθεν ἐκεῖνοι μετέφρασαν. Συγκρίνει δὲ τὴν ἑρμηνείαν πρὸς τὸ νῦν κείμενον τὸ ἑβραϊκὸν, τοσαῦτα καὶ τοιαῦτα πεπονθὸς ὑπὸ τῶν Μασοριτῶν, καὶ τῶν μετὰ τὸν α, αἰῶνα μάλιστα βαρβάρων κατὰ τόπους ὁδηγῶν τοῦ πανταχοῦ τῆς οἰκουμένης διασπαρέντος γένους τῶν Ἰουδαίων. Καὶ ὅμως ἀπὸ τοιούτων ἀρχῶν ὥρμησεν ὁ ἀρχιραββῖνος πρὸς τὰς κριτικὰς αὐτοῦ ἐρεύνας. Παράδοξον θράσος, καὶ ὅλως ἀνοίκειον εἰς ἀπόγονον ἔθνους, ἀπὸ πολλῶν αἰώνων ἤδη μηδεμίαν ἔχοντος γλῶσσαν ἐθνικήν! Κἀκείνην γὰρ ἣν ἐπὶ Χριστοῦ Σωτῆρος ἐλάλουν οἱ Ἰουδαῖοι διάλεκτον ἀπώλεσαν συγχρόνως μετὰ τῆς πατρίδος· χρῶνται δὲ πανταχοῦ τῇ τοπικῇ γλώσσῃ τῶν λαῶν, παρ' οἷς ἕκαστοι παροικοῦσι, συμμεταβαλλόμενοι, κατὰ τὸν ἀνόστεον πολύποδα, «ὃ ς π ο τ ὶ π έ τ ρ ῃ τ ῇ π ρ ο σ ο μ ι λ ή σ ῃ, τ ο ῖ ο ς ἰ δ ε ῖ ν ἐ φ ά ν η»· τὴν δ' ἑβραΐδα γλῶσσαν τῶν θείων Γραφῶν ἐκμανθάνουσιν (ὡς δύνανται), καθὼς καὶ πᾶς τις ἄλλος ἑτεροεθνής, ἔχοντες ἐπιβοηθήματα χαλδαϊκὰ ῥαββίνων συντάγματα, ὧν τὸ ἀρχαιότατον 400, ἢ καὶ 500 ἐνιαυτοὺς μετὰ τοὺς Ο, συνεγράφη. Δι' ὅλων δὲ τούτων τῶν ἐτῶν οὐδὲν οὐδόλως ἔσχον σύγγραμμα· οὐδ' ἄλλο παλαιότερον σῴζεται παρ' αὐτοῖς. Οὐδὲ τύπους εἶχον γραμματικοὺς, δι' αἰώνων μετὰ τὴν αἰχμαλωσίαν πολλῶν. Οὐδὲ κώδηκας τῶν Γραφῶν ἔχουσιν ἀρχαιοτέρους τοῦ χιλιοστοῦ μετὰ Χριστὸν ἔτους. Οὐδὲ παράδοσιν προφορᾶς τῶν ἑβραϊκῶν Γραμμάτων παλαιοτέραν, εἰ μὴ τὴν μόλις κατὰ τὸν ζ, αἰῶνα, (1000 χρόνους μετὰ τοὺς Ο)

γλώττισιν ὅλων τῶν βιβλίων τῆς Γραφῆς (καί τοι ἄλλως ἀρνούμενος τὴν ἐκ θείας ἐπιπνοίας ὁδηγίαν τῶν ἑρμηνευτῶν)· διὰ τοῦτο

---

διορισθεῖσαν ὑπὸ τῶν Μασοριτῶν· (περὶ τούτων λέγομεν πλατύτερον Βιβλ. γ.) Ταῦτα γοῦν ὁ Φράγκελος, ὡς κριτικὸς, ἀναλογιζόμενος, ὤφειλεν εἶναι μᾶλλον σωφρονέστερος, ἢ ὥστε πλάττειν πρὸς τὸ δοκοῦν τὴν ἐπὶ τῶν Ο, προφορὰν καὶ σημασίαν τῶν ἑβραϊκῶν φωνῶν, καὶ τῆς τότε ἑβραΐδος διαλέκτους, τὴν μὲν Παλαιστινὴν, ἐκείνην δ' Ἀλεξανδρινὴν, ἐπὶ καταδρομῇ τῶν Ο. Προὐχώρησε παρὰ τοῖς νεωτέροις ἐπὶ τὸ κρεῖττον ἡ μάθησις τῆς γλώσσης τῶν ἑβραΐδων Γραφῶν· ἀλλ' οἱ περὶ ταύτην πονοῦντες πολλὴν ἐν πολλοῖς ὁμολογοῦσιν εἰσέτι τὴν ἄγνοιαν· ποιοῦνται δὲ καὶ αὐτοὶ τὰς ἰδίας ἐρεύνας ἐπὶ τοῦ Μασοριτείου κειμένου, προσλαμβάνοντες καὶ τῶν ἄλλων Σημιτικῶν γλωσσῶν τὴν βοήθειαν (ὑφ' ἧς πολλάκις ἀπατῶνται), καὶ ἔχοντες παρακειμένην, ὁδηγὸν ἀχώριστον, τὴν ἑρμηνείαν τῶν Ο. « Τέτμηται ἤδη (κράζει ὁ ῥαββῖνος ἐνθουσιῶν), καὶ κατεσκεύασται ἡ πρὸς λογικὴν τῶν Γραφῶν ἔρευναν ὁδός. Ἡ πίστις ἡ ἐκ τοῦ κύρους τῶν ἐνδοξοτέρων γνωμῶν (Autoritäts-glaube) ἀπὸ τῶν Ὁδίου χρόνων ἤδη κατεστράφη. Ἡ τῶν Ο, μεταφραστῶν ἐπίπνοια, καὶ ὁ Ἀριστέας, ἐκ τῆς χώρας ταύτης ἐξηλάθησαν. Ἐν ταῖς εἰς τὴν Γραφὴν εἰσαγωγαῖς τοῦ τε Καρψοβίου (ὅστις οὐδὲν ἴδιον ἔχει πρωτότυπον, ἐδανείσατο δὲ πάντα παρ' Ὀττιγγήρου καὶ Ὁδίου), καὶ τοῦ Μιχαήλου, καὶ Εἰχόρνου, καὶ Ἰάννου, καὶ Βερθόλδου, καὶ Δεβέττου, καὶ Λοίνου (Löhnis), καὶ ἄλλων, ἐκεῖνα τὰ διηγήματα μόλις ἐν ὀλίγαις, ἢ καὶ πλείοσι λέξεσι μνημονεύονται, καὶ τὸ τούτων πλάσμα καταφωρᾶται. Κρατεῖ δὲ ὅμως εἰσέτι διαφορὰ γνωμῶν, εἰ πάντα τὰ βιβλία συγχρόνως ἡρμηνεύθησαν. Οἱ δὲ τὴν Ὁδίου γνώμην ἀρνούμενοι προβάλλονται μόνας ἀποδείξεις, ὅσας αὐτὸς Ὅδιος κατεπολέμησε » κτλ. (pag. 269). — Ταῦτα ἀναγινώσκοντες, ἐπεμνήσθημεν ἐκεῖνα τὰ τοῦ Λουθήρου, λέγοντος, ὅτι ὁ Σάγκτης Παγνίνης μετέφρασε πρῶτος ἐκ τοῦ νῦν ἑβραϊκοῦ τὴν Γραφὴν, « ἰ σ χ υ ρ ο τ έ ρ ο υ ς ἀ ν α δ ε ῖ ξ α ι τ ο ὺ ς ῥ α β β ί ν ο υ ς φ ι λ ο τ ι μ η θ ε ί ς ». Καὶ Οὐόσσιος πολλάκις ἠγανάκτει πρὸς τοὺς κατ' αὐτὸν ῥαββινίζοντας Εὐρωπαίους· Πολλῷ δ' ἂν πλεῖον ἤσχαλλον οὗτοι, καὶ αὐτὸς ἴσως Ὅδιος μετ' αὐτῶν, εἴπερ ἔβλεπον οὓς ἀνωτέρω Φράγκελος ἠρίθμησε, καὶ ἄλλους ἐκείνοις ὁμοίους σοφοὺς Εὐρωπαίους χριστιανοὺς, οἵτινες ἠγάπησαν περὶ τὴν τῆς παλαιᾶς Γραφῆς θεωρίαν ἀκράτως ἰουδαΐζειν, (καὶ μάλιστα οἱ ὀρθολογισταί). Ἐκ δὲ τούτων καὶ Καχῆνες καὶ Ζοῦνζοι καὶ ἄλλοι τῶν Ἰουδαίων καὶ Φράγκελος οὗτος καρδιωθέντες, ἐπεχείρησαν τὸ κῦρος τῶν Ο καταστρέψαι, εἴπως διδάξουσι τοὺς Χριστιανοὺς ὀρθολογικώτερον τ ὸ ν ἰ ο υ δ α ϊ κ ὸ ν θ ε ϊ σ μ ό ν ! Καὶ τὸ μὲν ὄνειρον αὐτῶν εἰ καὶ γελοῖον, ἀλλ' ὅμως οὐκ ἀνάξιον ἐγκεφάλου ῥαββινικοῦ. Ὁ δὲ Φράγκελος οὐκ ἄγαν ἀκινδύνως ἐκαυχήσατο ἐφ' οἷς ἐμνημόνευσεν ἀνδράσι σοφοῖς, τοῖς περὶ Δεβέττην καὶ Βερθόλδην καὶ τοῖς τοιούτοις. Οὗτοι γὰρ (ὡς καὶ πρῴην ὁ συγγενὴς αὐτοῦ Σπινόζας), καταπατοῦντες, ὡς καὶ αὐτὸς, πᾶσαν τὴν ἐκ τῶν κυρίων δοξῶν πίστιν, καὶ μίαν μόνον δόξαν πρεσβεύοντες, τὴν καλὴν ἐκείνην τοῦ Πρωταγόρου, « ὅ τ ι π ά ν τ ω ν χ ρ η μ ά τ ω ν μ έ τ ρ ο ν ὁ ἀ ν θ ρ ώ π ι ν ο ς ν ο ῦ ς, διὰ τῆς αὐτῆς λογικῆς ἐρεύνης πλέον τὴν ἑβραϊκὴν Γραφὴν, ἢ τὴν ἑρμηνείαν τῶν Ο, κατέτρεξαν.

καὶ δι᾽ ἱστορικοῦ νεωτέρου παραδείγματος ἐσπούδασεν ἀποδεῖξαι τὸν ἀριθμὸν τῶν ἡμερῶν μηδόλως πρὸς τὸ πιθανὸν ἀντιβαίνοντα, μηδὲ παραβλάπτοντα τὸ γνήσιον τῆς Ἀριστέου συγγραφῆς. Ἡμεῖς δὲ καὶ τὴν σύνεσιν τοῦ σοφωτάτου Βάλτωνος ἐπαινοῦντες, καὶ τὴν πρόσκλισιν (ἣν Ὅδιος οὐκ ἐπήνεσεν) ἄγαν ἀποδεχόμενοι, καὶ τὰς περικλεεστάτας τῶν ἐν διαφόροις ἐθνῶν γλώσσαις ἐκ τῆς ἑβραΐδος ἑρμηνειῶν κατὰ τὸ προσῆκον θαυμάζοντες καὶ τιμῶντες, ὅσον ὅμως περὶ τῆς ἑρμηνείας τῶν Ο, κρατοῦμεν ἀσφαλῶς (ἔξεστι δὲ δήπου) τὰς παραδόσεις τῶν ἁγίων ἡμῶν Πατέρων, οἵτινες ὁμοφώνως αὐτὴν θεσπεσίαν καὶ οὐκ ἄνευ ἐπιπνοίας Θεοῦ γεγενημένην, καὶ ὡς τοιαύτην ὑπὸ τῶν Ἀποστόλων τῇ Ἐκκλησίᾳ παραδεδομένην διακηρύττουσι καὶ ὁμολογοῦσιν. Ὅθεν οὐδὲ τὰς ἐν ἄλλαις γλώσσαις ἀνθρωπίνους ἑρμηνείας τῶν θείων λόγων πρὸς ἐκείνην, ὡς ἰσοφυεῖς καὶ ἰσοτίμους, παραβαλοῦμεν· οὐδὲ γὰρ χρῄζει τῆς ἐκ τῶν τοιούτων ὑποστηριγμάτων βοηθείας ἡ τῶν Ο ἀπαράμιλλος ἀξία καὶ γνησιότης· θεωροῦμεν δὲ μόνον τὰς παρ᾽ αὐτοῖς ἐμφαινομένας παραλλαγὰς καὶ διαφωνίας, ὅσας οἱ περὶ τὸν Ὅδιον ἐξετόξευσαν, ἔσχατα βέλη πεπυρωμένα, πρὸς νικοποιὸν ἀπόδειξιν τῆς δοξασίας αὐτῶν.

§. κβ. Καὶ πρῶτον μὲν εἰσάγουσι τὰς ἐκ τῶν ἐνδόξων μαρτυρίας, ταξίαρχον προτάσσοντες ἄνδρα τ᾽ἄλλα μὲν ἱερώτατον, καὶ πανσέβαστον τῆς ἀληθείας προασπιστὴν, καὶ φωστῆρα τῆς Ἐκκλησίας, ἀλλ᾽ ὅμως, ὅσον περὶ τοῦτο τὸ κεφάλαιον (ὡς μὴ ὤφειλεν) ἠπατημένον, τὸν μακάριον Ἱερώνυμον (§. δ.). Οὔτε τὸν Ἰώσηπον ἅλις κατενόησεν ὁ Πατὴρ, ἔστι δ᾽ ὅτε καὶ ἐξ ἰδίων ἐπισφαλῶν ὁρμώμενος λογισμῶν, εὕρισκε τὴν ἑρμηνείαν τῆς Πεντατεύχου πρὸς τὸ κατ᾽ αὐτὸν ἑβραϊκὸν συμφωνοῦσαν μᾶλλον, ἢ τὴν τῶν ἄλλων τευχῶν (ὡς τούτων δῆθεν ὑπ᾽ ἄλλων ἑρμηνευθέντων). Ἀλλ᾽ ὅμως αὐτὸς οὗτος πάλιν ὡμολόγει τὴν ἱστορίαν τῶν Ο, καὶ τούτων ἔργον ἔκρινε καὶ τῶν προφητικῶν καὶ τῶν ἄλλων βιβλίων τὴν ἑρμηνείαν. Τοῦτο δὲ καὶ αὐτὸς Ὅδιος ὡμολόγησεν ἀνωτέρω (§. ιϛ. σελ. 618), ἐν οἷς ἠγανάκτησε κατὰ τοῦ Πατρὸς, ὡς ὑπὲρ

τὸ δέον *χαριζομένου τοῖς Ο*, περὶ τῆς κακῆς γραφῆς τοῦ βάρ, ἀντὶ βάδ. Καὶ ἀλλαχοῦ δὲ φέρει τὸν Ἱερώνυμον μάρτυρα τῶν ἐν τοῖς προφητικοῖς βιβλίοις ἐνίοτ' ἐμφαινομένων περὶ τὰς αὐτὰς λέξεις παραλλαγῶν, κατὰ τὴν ἑρμηνείαν δηλονότι *τῶν Ο*, (ὡς ῥητῶς αὐτοὺς ὁ Πατὴρ ὀνομάζει) (α), καὶ ὅμως ὁ κλεινὸς Ὅδιος ἐπ' αὐτῶν τῶν Ἱερωνύμου μαρτυριῶν κατασκευάζει τὴν ἀπόδειξιν τῆς ἰδίας αὐτοῦ δόξης, καθ' ἣν θεωρεῖ τὴν ἑρμηνείαν, ὡς ἄλλων ἔργον οὖσαν διαφόρων παρὰ τοὺς Ο. Καὶ διαιρεῖ λοιπὸν ὁ κριτικὸς ἑνὸς καὶ τοῦ αὐτοῦ Ἱερωνύμου τὴν περὶ τοῦ αὐτοῦ πράγματος μαρτυρίαν εἰς ἄπιστον καὶ πιστήν· τοῦτο μὲν, ὡς ὁμολογοῦντος τὰς παραλλαγὰς, ἐκεῖνο δὲ, διότι ταύτας πάλιν ἀποδίδωσιν ὁ Πατὴρ εἰς τοὺς Ο, καθ' ὧν αὐτὸς ὀργᾷ (βλ. ὄπισθ. σελ. 618 καὶ αὐτὸν Ὅδιον, σελ. 206, 210 κτλ.). Ἀλλὰ ταῦτα μὲν ἐῶμεν, ἐκεῖνο δὲ μάλιστα προσθετέον· ὅτι ὁ μακάριος Ἱερώνυμος οὔτε πάσας τὰς φωνὰς τῆς ἤδη κατ' αὐτὸν τεθνηκείας ἑβραΐδος γλώσσης εἶχεν ἐντελῶς ἐξακριβοῦν, καὶ τὴν σύγκρισιν τῆς ἑρμηνείας ἐποίει πρὸς τὸ κατ' αὐτὸν ἑβραϊκὸν κείμενον, ἐν πολλοῖς διαφέρον μεγάλως ἀπὸ τοῦ κειμένου ἐκείνου, ἐξ οὗ πρὸ χρόνων ὅλων ἑπτακοσίων οἱ Ο, μεθηρμήνευσαν. Ἀλλοπρόσαλλος δὲ σύγκρισις οὐδέποτ' ἂν γένοιτο κατὰ νόμους οὐδαμοῦ πιστὴ καὶ ἀποδεκτή. Εἰ δὲ καὶ καθ' ἡμᾶς ἀναστὰς ἐπὶ τῆς γῆς ὁ θεῖος πατὴρ ἔβλεπε τὸ σημερινὸν Μασορίτειον κείμενον πόσον πάλιν ἀπέχει τοῦ, ἐξ οὗ μετέφραζεν αὐτὸς, καὶ πόσας καὶ ὁποίας ἀναγνώσεων καὶ σημασιῶν διαφορὰς ἀπονέμουσιν εἰς πλείστας ἑβραΐδας λέξεις ἡ τῶν ῥαββινιζόντων μάλιστα θεολόγων πληθὺς, καὶ πόσον, τέλος, διαφέρει ἡ κατ' αὐτὸν λατινὶς ἑρμηνεία τῆς τῶν νεωτέρων εὐρωπαϊκῶν γλωσσῶν, αὐτὸς ἂν ὁ ἀοίδιμος ἐπεμειδίασε πρῶτος εἰς ἣν ἔλεγε καὶ ἐφρόνει σαφεστάτην τάχα καὶ βεβαίαν ἐν πᾶσι διατελοῦσαν ἔτι κατ' αὐτὸν *ἑβραίαν ἀλήθειαν* (hebraeam veri-

(α) Οὕτω, φέρ' εἰπεῖν, ἐν Comment. in Amos, V. 4. « Σημειωτέον (λέγει) ὅτι οἱ Ο » (οὐκ ἄλλοι καὶ ἄλλοι!) « τὸ Βηρσαβεὲ καὶ μεθηρμήνευσαν εἰς τὸ φ ρ έ α ρ ὅ ρ κ ο υ, καὶ πάλιν ἐφεξῆς ἔγραψαν αὐτὸ τὸ Βηρσαβεέ ». κτλ. κτλ.

tatem!)· καὶ πρῶτος ἂν ἀπεδοκίμασε τοὺς μυρίους κόπους, ὅσους κατέβαλεν εἰς τὴν ἐξ ὑπαρχῆς ἀπὸ τοῦ κατ᾽ αὐτὸν ἑβραϊκοῦ μετάφρασιν, ἀσμένως προτιμήσας, καὶ χερσὶν ἀμφοτέραις περιβαλὼν, ἣν αὐτὸς οὗτος πάλιν εἶχε προδιορθώσας ἀρχαίαν ἐκ τῶν Ο λατινικὴν ἑρμηνείαν τῆς Γραφῆς. Τοσαῦτα πρὸς τὸ παρὸν περὶ τῆς Ἱερωνύμου μαρτυρίας. Τὰς δὲ τῶν νεωτέρων γνώμας, Ὑσσερίου καὶ Μασίου καὶ τῶν τούτοις ὁμοφρόνων, ἐφ᾽ ὅσον οὗτοι λέγουσιν ὀρθὰ καὶ τῆς παντοδαπῆς αὐτῶν σοφίας ἄξια, ἀσμένως ἀποδεχόμεθα καὶ τιμῶμεν· ὅταν δὲ νυστάζοντες καταφέρωνται εἰς πλάσματα τῆς ἰδίας αὐτῶν φαντασίας, καὶ νομοθετῶσι χθιζοὶ περὶ τῶν ἀρχαίων, ἀντιτάσσοντες νεωτερικάς τινας καὶ λίαν ἀρεστὰς αὐτοῖς ἀντιλογίας πρὸς τὰς πολιὰς παραδόσεις τῆς ἱερᾶς ἀληθείας, παρερχόμεθα τοὺς ἄνδρας ἐπιλέγοντες, «*ταῦτ᾽ ὄνειρος, οὐ λόγος*»!

§. κγ. Τοιαῦτά τινα λέγομεν καὶ πρὸς τὰς Βρουχθώνων καὶ Ζβιγγλίων ψυχρὰς πλασματολογίας (§. ζ), αἵτινες, τὸ πλεῖστον, φαίνονται κατώτεραι πάσης ἀπαντήσεως. Χωρὶς τόνων (λέγουσι) καὶ φωνητικῶν σημείων τὰς ἑβραΐδας λέξεις ἀναγνόντες οἱ Ο, δυσκόλως ἐπέτυχον τῆς γνησίας ἀναγνώσεως αὐτῶν καὶ σημασίας. - Ἀλλ᾽ εἴπερ ἐκεῖνοι τοῦτ᾽ ἔπαθον, καθ᾽ ὃν καιρὸν ἤκμαζεν ἱκανῶς εἰσέτι ἡ ἑβραϊκὴ γλῶσσα, καὶ διετηρεῖτο ἡ ἀπὸ στόματος παράδοσις τῆς τε γνησίας τῶν κατ᾽ αὐτὴν στοιχείων καὶ φωνῶν προφορᾶς, καὶ τῆς ὀρθῆς τῶν λέξεων σημασίας, καὶ ἔζων ἔτι τότε γηραιοὶ μαθηταὶ, ἔγγονοι τῶν πρώτων ἀκροατῶν τῆς Ἐσδραίας διδασκαλίας, καὶ σὺν τούτοις ἤκμαζεν ἔτι τὸ μέγα τῶν Ἱεροσολύμων Συνέδριον, πόσῳ λοιπὸν ἐπλανήθησαν οἱ μετὰ χιλίους καὶ πλείονας ἐνιαυτοὺς τονίσαντες καὶ στίξαντες τὰς ἔτι κατ᾽ αὐτοὺς ἀφώνους καὶ ἀτονίστους λέξεις Μασσορῖται, καθ᾽ οὓς ἔμαθον καὶ αὐτοὶ οἱ κριτικοὶ τὴν ἀνάγνωσιν τῶν ἑβραϊκῶν; Ἔπειτα δὲ καὶ αὐτῶν τούτων τῶν κριτικῶν ἡ περὶ τῆς ἀξίας τῆς ἑρμηνείας, ἣν ἐκφέρουσι, κρίσις, ποῖον κῦρος ἔχει πρὸς ἀπόδειξιν; Ἄνθρωποι ἀλλόγλωσσοι (ὅσον ἂν θέλῃς ἐν ἄλλοις σοφοὶ), μήτε τὴν ἐξ ἧς, μήτε

τὴν εἰς ἣν αἱ γραφαὶ μεθηρμηνεύθησαν γλῶσσαν ἐντελῶς ἐξακριβοῦντες, σφαδάζοντες δὲ καὶ πρὸς νεωτεροποιΐας, ἐξέφερον παραδόξους περὶ τῶν Ο γνώμας, πρὸς ἃς ἀντεῖπον αὖθις αὐτοί! Ἄκουσον αὐτὸν τὸν *συμπιλήτορα* Ζβίγγλιον (§. ζ), τί πάλιν μεταβαλόμενος ἔγραψεν ἀλλαχοῦ. «Ἐπειδή (φησιν) οἱ Ο, χιλιετίαν ὅλην πρὶν ἢ γεννηθῇ ἡ τῶν Ῥαββίνων γραμματική, μετέφρασαν τὰς θείας Γραφάς, τούτοις εἰκότως μείζων ὀφείλεται πίστις· διὰ τοῦτο, καθὼς φαίνεται, καὶ οἱ ἀρχαῖοι θεολόγοι τοσοῦτον αὐτοὺς συνιστῶσι. — Μᾶλλον θέλω κατὰ τοὺς Ἕλληνας καὶ Λατίνους (τοὺς Ο, καὶ τὴν Βουλγάταν), ἢ μετὰ τῶν νεωτέρων Ῥαββίνων προφέρειν τὰς ἑβραϊκὰς λέξεις. — Ἀναρίθμητοί εἰσι τόποι, ἐν οἷς φαίνονται ἐναργῶς οἱ Ο, καὶ ἄλλως πως καὶ κρεῖττον ἀναγνόντες ἅμα καὶ διακρίναντες, παρ' ὃ μετέπειτ' ἀνέγνωσαν καὶ διέστειλαν τὰς φωνὰς οἱ Ῥαββῖνοι» (α). Ταῦτα ὁ Ζβίγγλιος, αὐτὸς ἑαυτὸν καὶ τοὺς ὁμόφρονας ἀναιρῶν. Τοιοῦτοι δὲ μάρτυρες παραγράφονται δικαίως, καὶ κατεξελέγχονται «πολλοὺς ἐμοῦντες, οὐκ ἀκριβοῦντες λόγους».

§. κδ. Ἐρχόμεθα καὶ εἰς τὴν ἰδίως περὶ τῆς τοῦ Δανιὴλ ἑρμηνείας Ἱερωνύμειον μαρτυρίαν, ἣν οἱ ἐναντίοι περισαλπίζουσι (§. ϛ). Καὶ ὅτι μὲν ὁ θεῖος Πατὴρ περὶ τῶν Ο διαλεγόμενος, ἐξέπεσεν ἐνίοτε καὶ εἰς ὑπερβολάς τινας ἐξ ἀνάγκης (ὑπερασπίζων ἑαυτὸν πρὸς τοὺς δριμεῖς κατηγόρους τῆς, ἧς ἐπεχείρησεν ἐκ τοῦ ἑβραϊκοῦ μεταφράσεως), οὐδ' ἂν οἱ περὶ τὸν Ὅδιον ἀρνηθεῖεν· ἐκτιθέμεθα δὲ καὶ ἡμεῖς ἰδίως τὰς τοιαύτας ὑπερβολὰς ἐν τῷ οἰκείῳ τόπῳ. Ὅσον δ' ἐπὶ τῆς προκειμένης αὐτοῦ ῥήσεως, σημειοῦμεν, ὅτι, ἐν ᾧ ὁμολογεῖ ὁ πατὴρ ἀγνοεῖν τὴν αἰτίαν, δι' ἣν ἀντικατέστη ἡ κατὰ Θεοδοτίωνα τοῦ Δανιὴλ ἔκδοσις (ποικίλας περὶ τούτου πλάττων εἰκασίας), ἀνακηρύττει ὅμως ἐν πρώτοις αὐτὴν *τὴν ὑπὸ τῶν Ο*, (ἔστω καὶ μή, κατ' αὐτόν, ἀκριβῆ) *ἑρμηνείαν τοῦ Δανιήλ*, ἣν καὶ αὐτὸς πολλάκις μετεχειρίσθη, ῥητῶς μνημονεύσας ἐν τοῖς εἰς

(α) H. Zwingl. Praefat. in Esai. καὶ παρ' αὐτῷ Hody de Bibl. text. L. III. P. II. p. 558.

τὸν Δανιὴλ ὑπομνηματισμοῖς (κεφ. Δ, 5: Ζ, 5: Θ, 2 : Ι, 5, 44 : ΙΓ, 4 κτλ.). Ὁ δὲ σοφὸς Ὅδιος τὴν μὲν περὶ τῶν Ο κεφαλαιώδη γνώμην τοῦ Ἱερωνύμου παρεῖδε, συναρπάσας δὲ τὴν σαθροτάτην τῶν τοῦ Πατρὸς ὑπονοιῶν, εἰσάγει τοῦτον ὡς ἐμβριθῶς μαρτυροῦντα μηδέποτε τοὺς Ο μεταφράσαι τὴν βίβλον τοῦ Δανιήλ. Ὅτι δὲ καὶ πᾶσα ἡ Ἐκκλησία ἐγνώριζεν ἀνέκαθεν τὴν κατὰ τοὺς Ο τοῦ Δανιὴλ ἑρμηνείαν, οὐδ᾽ ὅλην ἀπέβαλεν, αὐτὸς πάλιν ὁ μακάριος Ἱερώνυμος ὡμολόγησε δι᾽ ἄλλης αὐτοῦ ῥήσεως (ἣν Ὅδιος καὶ ταύτην παρεῖδε), τῆς ἐφεξῆς· « Ἐξαιρουμένων » (λέγει ὁ Δαλμάτης Πατὴρ, σχολιάζων τὸ ε, ἐδάφιον τοῦ Δ, κεφαλαίου τοῦ Δανιὴλ), « ἐξαιρουμένων τῶν Ο, οἵτινες ταῦτα πάντα (τὰ τοῦ ε, ἐδαφίου), ἀγνοῶ διὰ τίνα λόγον, παρέδραμον, οἱ ἄλλοι τρεῖς (Ἀκύλας, Σύμμαχος Θεοδοτίων) « *ἑταῖρον* » ἡρμήνευσαν. Διὰ τοῦτο καὶ κρίσει τῶν διδασκάλων τῆς Ἐκκλησίας ἡ κατὰ τοὺς Ο τούτου τοῦ τεύχους ἔκδοσις ἀπεβλήθη, καὶ κοινῶς ἡ τοῦ Θεοδοτίωνος ἀναγινώσκεται, καθὸ καὶ τῷ ἑβραϊκῷ συμφωνοῦσα καὶ τοῖς ἄλλοις ἑρμηνευταῖς. Ἐντεῦθεν δὲ καὶ Ὠριγένης ἐν θ, βιβλίῳ τῶν κατ᾽ αὐτὸν Στρωμάτων ὁμολογεῖ, ὅτι *τὰ ἀπὸ τούτου τοῦ τόπου* (τοῦ Δ, κεφαλαίου) *καὶ ἐφεξῆς* λόγια τοῦ Δανιὴλ ἐξέθηκεν, οὐχὶ κατὰ τοὺς Ο, (*ὡς ἀπέχοντας ἀπὸ τῆς ἑβραϊκῆς ἀληθείας*), ἀλλὰ κατὰ Θεοδοτίωνα ». Ὁμολογεῖ λοιπὸν ἐν τούτοις ὁ Ἱερώνυμος, ὅτι καὶ τοῦ Δανιὴλ ὑπῆρξεν ἑρμηνεία γνησία τῶν Ο, καὶ μέχρις Ὠριγένους ἐσῴζοντο κεφάλαια ταύτης ἀκραιφνῆ καὶ ἀκέραια. Ταῦτα δὲ δήπου καὶ αὐτὸς Ὠριγένης κατεχώρισεν εἰς τὴν ἑαυτοῦ ἔκδοσιν· τὰ δὲ λοιπὰ (λέγει) διεφώνουν πρός τε τὸ ἑβραϊκὸν, ἢ τὸ χαλδαϊκὸν (α), καὶ πρὸς τὴν τῶν λοιπῶν, καὶ μάλιστα τοῦ Θεοδοτίω-

(α) Τὸ Α, τῶν Προφητειῶν τοῦ Δανιὴλ κεφάλαιον, καὶ τὰ πρῶτα τρία τοῦ Β, κεφαλαίου ἐδάφια γέγραπται ἐν τῷ πρωτοτύπῳ ἑ β ρ α ϊ σ τ ί· τὰ δ᾽ ἐφεξῆς ἀπὸ τοῦ « Καὶ ἐλάλησαν οἱ Χαλδαῖοι » κτλ. μέχρι τοῦ Η κεφαλαίου, χ α λ δ α ϊ σ τ ί· τὰ δ᾽ ἀπὸ τούτου πάλιν ἑβραϊστὶ πάντα τὰ σῳζόμενα μέχρι τέλους. Λείπουσι γὰρ καὶ ἐκ τοῦ νῦν ἑβραϊκοῦ ἡ τῆς Σωσάννης, καὶ ἡ τοῦ Βὴλ καὶ Δράκοντος ἱστορία, καὶ ἡ προσευχὴ τοῦ Ἀζαρίου, καὶ ἡ κοινὴ τῶν τριῶν παίδων αἴνεσις (ἅπερ ὁ κλεινὸς Ὑσσέριος, παραδοξολογῶν καὶ ὧδε, ὑπέλαβε τὸ πρῶτον ἑλληνιστὶ συγγεγραμμέ-

νος ἑρμηνείαν. Καί τοι καὶ περὶ ταύτης ὑπερβολικώτερον ἐλάλησεν ὁ Πατὴρ, ὡς δῆθεν τῷ ἑβραϊκῷ συμφωνούσης! Παρεκτὸς γὰρ πολλῶν ἄλλων μερικῶν διαφορῶν (ἃς αὐτὸς πάλιν ἐσημείωσεν ὑπομνηματίζων τὸν Δανιὴλ), ὁ Θεοδοτίων ἔχει καὶ τὴν Σωσάννης ἱστορίαν, καὶ τ' ἄλλα τὰ λείποντα ἐκ τοῦ ἑβραϊκοῦ τεύχους τοῦ Δανιὴλ, ὡς αὐτὸς πάλιν ὁ Ἱερώνυμος ὡμολόγησε. Λέγει δὲ καὶ ὅτι ἡ κατὰ τοὺς Ο ἔκδοσις τοῦ Δανιὴλ ἀπεβλήθη τῆς Ἐκκλησίας *κρίσει τῶν διδασκάλων*! Ποιων δὲ τούτων, καὶ πότε, σιωπᾷ. Ἀλλ' ὅσον περὶ τούτου ἴσως δικαιωθήσεται ἐν τοῖς ἐφεξῆς (§. κε, γ). Ἤδη δὲ ἴδωμεν τὶ πάλιν ἀλλαχοῦ περὶ τῶν αὐτῶν ἐδογμάτισεν ὁ Πατήρ. « Ἀλλὰ (φησὶ) καὶ Ὠριγένης ἐκ τῆς Θεοδοτίωνος ἑρμηνείας εἰς τὴν (κατὰ τοὺς Ο) *Κοινὴν* τοῦ *Δανιὴλ* ἔκδοσιν παρενέβαλεν ἀστερίσκους, δεικνύων ὅτι πολλὰ προσετέθησαν· στίχους δέ τινας πάλιν ὀβελοῖς προδιέλαβε, διασημαίνων τὰ περιττά. Ἐπειδὴ τοίνυν ἅπασαι αἱ τοῦ Χριστοῦ Ἐκκλησίαι, Ἑλλήνων τε καὶ Λατίνων καὶ Σύρων καὶ Αἰγυπτίων, ὑπ' ἀστερίσκοις καὶ ὀβελοῖς τὴν ἔκδοσιν ταύτην ἀναγινώσκουσιν, ἴστωσαν (οἱ κατήγοροι) τῷ πόνῳ τῷ ἐμῷ βασκαίνοντες, ὅστις ἠβουλήθην ὅπως ἔχωσιν οἱ ἡμέτεροι (Λατῖνοι), ὅ,τι οἱ Ἕλληνες ἀναγινώσκουσι συνήθως ἐκ τῆς Ἀκύλα καὶ Θεοδοτίωνος καὶ Συμμάχου μεταφράσεως » κτλ. (α).

---

να!). Καὶ οἱ μὲν κρίνουσιν, ὅτι χαλδαϊστὶ συνέγραψεν ὁ προφήτης μόνα τὰ τοῖς Χαλδαίοις ἀνήκοντα (Pfeiffer Crit. Sacr. cap. 3. p. 35)· οἱ δὲ, καὶ ὅτι πᾶν τὸ τεῦχος χαλδαϊστὶ συνέγραψε (τοῦτο φαίνεται καὶ Ἱερώνυμος φρονῶν ἐν τοῖς ἀνωτέρω §. ς)· τὰ δ' ἑβραϊκὰ μετεφράσθησαν ὑπὸ τῶν Ἰουδαίων, ἐπιστραφέντων ἐκ τῆς αἰχμαλωσίας (Huet. Dem. Ev. IV. p. 256). Ὅτι δὲ καὶ οἱ Ἑβραῖοι ἀνέκαθεν ἀνεγίνωσκον τὰς προφητείας τοῦ Δανιὴλ, ἐμαρτύρησεν Ἰώσηπος ἐν τοῖς ἔμπροσθεν (σελ. 478).

(α) S. Hieron. praef. in Daniel. Ὀλίγον ἀνωτέρω (αὐτόθ.) ἔγραψεν ὁ Πατὴρ, ὅτι « τὸν Δανιὴλ αἱ Ἐκκλησίαι ἀναγινώσκουσιν οὐχὶ κατὰ τοὺς Ο, ἀλλὰ κατὰ Θεοδοτίωνα » (βλ. καὶ ὄπισθ. §. ς.). Ἔπειτα προστίθησι τὰ ἀνωτέρω περὶ τοῦ Ὠριγένους, ὅτι τὴν Κοινὴν τῶν Ο. ἔκδοσιν διώρθωσε κατὰ τὴν Θεοδοτίωνος δι' ὀβελῶν καὶ ἀστερίσκων· (καὶ κατὰ ταῦτα ἄρα αἱ Ἐκκλησίαι τὸν Δανιὴλ ἀνεγίνωσκον οὐχὶ κατὰ Θεοδοτίωνα ἀλλὰ κατὰ τοὺς Ο, μετὰ τῶν ἐκ τοῦ Θεοδοτίωνος διορθώσεων). Οὕτως εἶπε καὶ ἀλλαχοῦ καθόλου περὶ τῆς Γραφῆς, ὅτι ὁ Ὠριγένης in editione LXX. Theodotionis editionem miscuit.

Ἐν τούτοις πάλιν βλέπομεν, ὅτι ἡ κατὰ τοὺς Ο, *Κοινὴ* (καθὼς λέγει) παλαιὰ Γραφὴ περιεῖχεν αὐτὸ τὸ κείμενον τῆς κατὰ τοὺς Ο τοῦ Δανιὴλ ἑρμηνείας, οὐ μόνον μέχρι τοῦ Δ, κεφαλαίου (καθὼς εἶπεν ἀνωτέρω, ὡς ἐκ τοῦ Ὠριγένους), ἀλλ᾽ ἀκεραίας καὶ ὁλοκλήρου· συνῆπτο δὲ αὕτη καὶ μεθ᾽ ὧν Ὠριγένης ἐκ τοῦ Θεοδοτίωνος προσέθηκεν ὑπ᾽ ἀστερίσκοις λέξεων καὶ φράσεων, προσγράψας καὶ ὀβελοὺς εἰς ἄλλας πάλιν τῶν Ο λέξεις καὶ φράσεις, μὴ κειμένας ἐν τῇ Θεοδοτίωνος ἐκδόσει. Καὶ τοῦτο λοιπὸν φαίνεται νοῶν ὁ μακάριος Ἱερώνυμος καὶ ὁπότε λέγει, ὅτι « τὸν προφήτην Δανιὴλ αἱ τοῦ Θεοῦ Ἐκκλησίαι οὐχὶ κατὰ τοὺς Ο, ἀλλὰ κατὰ τὴν Θεοδοτίωνος ἔκδοσιν ἀναγινώσκουσιν » (§. ς). Ὑπερβολικὴ πάντως ἡ ἔκφρασις· ὁμολογοῦμεν· ἀποδίδωσι γὰρ ἀδίκως εἰς τὸν Θεοδοτίωνα τὴν μόνον ἐκ τῆς τούτου ἐκδόσεως κατὰ μέρη διασκευασθεῖσαν ἑρμηνείαν τῶν Ο. Τοῦτο δ᾽ ἔστι τὸ αὐτὸ, ὡς ἂν καὶ εἴπερ ἔλεγεν, ὅτι κατὰ τὴν Θεοδοτίωνος ἔκδοσιν ἀναγινώσκουσιν αἱ Ἐκκλησίαι καὶ τὴν Γένεσιν, καὶ τ᾽ ἄλλα τεύχη τῆς Γραφῆς (οἷς καὶ τούτοις Ὠριγένης προσέθηκε τὰ σημεῖα ἐκ τοῦ Θεοδοτίωνος, ὡς αὐτὸς ὁμολογεῖ)· ἀλλ᾽ εἰς τοιαύτας ἐξέπεσεν ὑπερβολὰς ὁ ἀοίδιμος, ὑπερασπίζων ἐκ παντὸς τρόπου τὴν ἐκ τῆς ἑβραΐδος αὐτοῦ μετάφρασιν. Κἀκεῖνο δὲ σημειωτέον, ὅτι *Κοινὴν* ὠνόμασεν οὐχὶ τὴν κυρίως *Κοινὴν* (ᾗ κοινῶς πᾶσαι αἱ Ἐκκλησίαι ἐχρῶντο· καὶ ἥτις ὑπῆρχεν ἀμιγὴς καὶ καθερεύουσα τῶν Ὠριγένους ὀβελῶν καὶ ἀστερίσκων), ἀλλ᾽ ἣν ἔταξεν Ὠριγένης ἐν τοῖς ἰδίοις αὐτοῦ *Ἑξαπλοῖς*, ἐκ τοῦ Θεοδοτίωνος κατὰ μέρη δι᾽ ἀστερίσκων καὶ ὀβελῶν μεταῤῥυθμίσας. Πόσῳ δὲ διαφέρει κυρίως ἡ Κοινὴ παρὰ ταύτην τὴν ἐν τοῖς Ἑξαπλοῖς, αὐτὸς πάλιν ὁ Ἱερώνυμος διορίζει σαφέστατα (ἐν ἐπιστολῇ πρὸς Σουνίαν καὶ Φρετέλλαν). Ὥστε καὶ ὧδε πάλιν ὁ Πατὴρ

---

Hier. Praef. in Paralip. πρβλ. καὶ Praef. in Iob). Ἤδη δὲ τέλος, ἐπήγαγε, καὶ ὅτι τὸν Δανιὴλ ἀναγινώσκουσιν αἱ Ἐκκλησίαι οὐ μόνον ὅλον κατὰ τὴν Θεοδοτίωνος ἔκδοσιν, ἀλλὰ καὶ κατὰ τὴν Ἀκύλα καὶ τοῦ Συμμάχου! (οἷον κέντρωνά τινα συνεῤῥαμμένον ἐξ ὅλων τῶν τριῶν ἑρμηνειῶν!). Τί τις ἂν ἔχοι εἰπεῖν πρὸς τοιαύτας προφανεῖς καὶ παραλλήλους ἀντιφάσεις; ἱλήκοις Πάτερ, ἀνθρώπινα πέπονθας.

ὑπερβολικώτερον, ἢ καταχρηστικώτερον ἐξεφράσθη, « *κοινὴν* » ὀνομάσας τὴν (ὡς λέγει) *ὑπ᾽ ὀβελοῖς καὶ ἀστερίσκοις ἀναγινωσκομένην ἐν πάσαις ταῖς Ἐκκλησίαις ἔκδοσιν τοῦ Δανιήλ.* Ἐνταῦθα δὲ μίαν ἔτι τοῦ Πατρὸς Ἱερωνύμου σημειοῦμεν ὑπερβολήν. Ἐν τῇ προεκτεθείσῃ ῥήσει (§. ς), ἀπορήσας διὰ ποῖον ἄρα λόγον ἀναγινώσκουσιν αἱ Ἐκκλησίαι τὴν κατὰ Θεοδοτίωνα τοῦ Δανιὴλ ἔκδοσιν (ἀποβαλοῦσαι τὴν κατὰ τοὺς Ο! §. κδ), ἔπειτα προσέθηκε δύω περὶ τούτου παραδόξους εἰκασίας. Πρῶτον, λέγει, « ἴσως οὐκ ἠθέλησαν οἱ Ο, διατηρῆσαι τὰς φράσεις τὰς Χαλδαϊκάς » κτλ. — Ἀλλὰ τίνος ἕνεκεν οὐκ ἠθέλησαν; μὴ γὰρ οὐκ ἠδύναντο ῥᾳδίως οἱ Ο καὶ τὰς Χαλδαϊκὰς φράσεις ἐξελληνίσαι, καθὼς ἡρμήνευσαν οὐ μόνον τ᾽ ἄλλα τεύχη ἐκ τῆς ἑβραϊκῆς, ἀλλὰ καὶ αὐτοῦ τοῦ Ἔσδρα ἱκανὰ (δηλονότι τὰ ἐν κεφ. δ. 8—18. καὶ κεφ. ζ. 12—26 κτλ.) ἀκράτως χαλδαϊκά; ἢ μήπως αἱ χαλδαϊκαὶ φράσεις ὑπῆρχον ἀνερμήνευτοι εἰς τὴν γλῶσσαν τὴν ἑλληνικήν; Καὶ πῶς αὐτὸς ὁ μακάριος Ἱερώνυμος ἐξελατίνισεν ἐκ τοῦ χαλδαϊκοῦ τὸν Τωβίτ; ἢ μήπως ἠπίστατο κάλλιον αὐτὸς τὴν χαλδαϊκὴν παρὰ τοὺς Ο; ψυχρὰ ταῦτα συνείκασεν ὁ Πατήρ· καὶ πολὺ ψυχρότερα προσέθηκε τὰ ἐφεξῆς, ἐν οἷς ὑπώπτευσεν οὐχ ὑπὸ τῶν Ο, ὑπ᾽ ἄλλου δέ τινος μὴ ἐξακριβοῦντος τὰ χαλδαϊκὰ μεταφρασθῆναι τὸν Δανιήλ! Ὥστε, κατὰ ταῦτα, ἡ Ἀποστολικὴ Ἐκκλησία, μέχρις Ὠριγένους· τοῦ διασκευάσαντος τὴν κατὰ τοὺς Ο ἔκδοσιν ἐκ τῆς τοῦ Θεοδοτίωνος, μετεχειρίζετο λοιπὸν ἑρμηνείαν τοῦ Δανιήλ, ψευδῶς ἐπιγεγραμμένην εἰς τοὺς Ο, καὶ ἀκύρωτον καὶ ἀμάρτυρον αὐτοσχεδίασμα τοῦ τυχόντος! ἀλλὰ περὶ τούτου σιωπῶμεν, αἰδοῖ τοῦ θείου Πατρός.

§. κε. Τί λοιπόν; (ἐρεῖς), οὐδὲν ἔχει βάρος ἀξιοπιστίας ἡ μαρτυρία τοῦ μακαρίου Ἱερωνύμου; ἔχει πάντως τὸ δίκαιον καὶ προσῆκον (ἐξαιρουμένων τῶν ὑπερβολῶν καὶ προδήλων ἀντιφάσεων τοῦ Πατρὸς), ὅσον δηλονότι καταφαίνεται ἐκ τῶν ἰδίων αὐτοῦ λόγων καὶ ἄλλων ἀποδείξεων. Ἰδοὺ τί συμπεραίνεται (καθὼς ἡμεῖς φρονοῦμεν).

α) Ἡ Ἐκκλησία καὶ πρὸ τῶν Ὠριγένους χρόνων καὶ μετέπειτα καὶ καθ' ἡμᾶς καὶ εἰς αἰῶνας ἀναγινώσκει τὸν Δανιὴλ κατὰ τὴν ἑρμηνείαν τῶν Ο, (ὡς καὶ πάντα τ' ἄλλα τεύχη τῆς Γραφῆς). Οὐδὲ γὰρ διέλιπε πώποτε παυσαμένη κατὰ τὴν Ἐκκλησίαν ἡ χρῆσις, ὡς τῶν ἄλλων προφητῶν, οὕτω καὶ τοῦ Δανιήλ. Οὐδ' ὑπῆρχε δυνατὸν τοῦτο μόνον τῶν ἄλλων βιβλίων τῆς κατὰ τοὺς Ο Γραφῆς, ἐπὶ τοσοῦτον ὑπὸ τῶν ἀντιγραφέων διαφθαρῆναι, ὥστε παντάπασιν αὐτὸ μὲν ἀποβληθῆναι τῆς Ἐκκλησίας, ἀντικατασταῆναι δὲ τὸ κατὰ Θεοδοτίωνα. Ἀλλ' οὐδὲ τῶν θείων Πατέρων οὐδείς, οὐδ' Ὠριγένης αὐτὸς, οὔτε ὁ τὰ τούτου τετραπλᾶ διορθώσας καὶ ἐκδοὺς Εὐσέβιος, οὐδαμοῦ οὐδέποτε εἶπον, ὅτι τὸν Δανιὴλ ἀναγινώσκει ἡ Ἐκκλησία κατὰ τὴν Θεοδοτίωνος ἔκδοσιν, ἀποῤῥίψασα τὴν κατὰ τοὺς Ο. Καὶ αὕτη μόνον ἡ κοινὴ τῶν Πατέρων σιωπὴ ἐξήρκει πρὸς ἀκύρωσιν τῆς Ἱερωνύμου γνώμης. Ἀλλὰ καὶ αὐτὸς οὗτος, ὁ μόνος τῶν Πατέρων τοῦτο λέγων, ἐννοεῖ πάντως τὴν ἐκ τοῦ Θεοδοτίωνος ὑπὸ τοῦ Ὠριγένους ὁπωσδήποτε μεταῤῥυθμισθεῖσαν *ἐν τοῖς Ἑξαπλοῖς ἑρμηνείαν τῶν* Ο (καθὼς ἐκ τῶν ἰδίων αὐτοῦ λόγων ἀπεδείξαμεν ἀνωτέρω).

β) Ἐν τῇ κοινῶς ἀναγινωσκομένῃ κατὰ τοὺς Ο, ἐκδόσει τοῦ Δανιὴλ εὑρίσκονται λέξεις τινες, ἃς ὁ Ἱερώνυμος ἐκφέρει ὡς ἐκ τῆς Θεοδοτίωνος ἑρμηνείας, παρατιθεὶς σαφῶς καὶ τὰς κατ' αὐτὸν παρὰ τοῖς Ο φερομένας παραλλαγάς· οἷον· ὁ Θεοδοτίων ἔχει « *φορθομμὶν* » (ὡς ἀναγινώσκομεν καὶ τὴν σήμερον, Δαν. α, 3), οἱ δὲ Ο, εἶχον « *ἐπιλέκτων* ». — « *Δεειρὰ* » (γ. 1), οἱ δὲ Ο, « *περίβολον* » — « *τακτικούς* » (ϛ. 4), οἱ δὲ Ο, «*δύο ἄνδρας*» — « βαδδὶν (ι. 5) οἱ δὲ Ο, « βύσσινα. — « Εἲρ (δ. 10), « ἀντὶ τοῦ Εἲρ, οἱ Ο ἄγγελον ἡρμήνευσαν » (α) κτλ. Καὶ παρὰ τοῖς Ὠριγένους

---

(α) Σχόλ. εἰς Δανιὴλ αὐτ. ἐκδ. Βατικ. - (Ο, δὲ λέγον τὸ Σχόλιον, ἐννοεῖ τὴν ἐν τοῖς Ἑξαπλοῖς ἔκδοσιν τοῦ Ὠριγένους, ὡς ἐροῦμεν ἀλλαχοῦ) πρβλ. καὶ Hieron. Com. in Dan. c. I. III. VI. X. etc. πρόσθες τὸ ἀ π α δ α ν ῷ, ἢ ἐφαδανῷ (Δαν. ια 45) ὅπερ ὁ μισόχριστος Πορφύριος μετ' ἄλλων τινων ῥήσεων ἐξέφερεν ἐκ τῆς Θεοδοτίωνος ἑρμηνείας· τοῦτο δὲ οἱ μὲν Ο, παρέλιπον, ὡς λέγει ὁ Ἱερώνυμος, αὐτὸς

δὲ προγενεστέροις πατράσι τῆς Ἐκκλησίας, οἷον Ἰουστίνῳ, Κυπριανῷ, Κλήμεντι, Τερτυλλιανῷ (α), φέρονταί τινες ὀλίγαι ῥήσεις τοῦ Δανιὴλ οὐ πάνυ τι σύμφωνοι πρὸς τὴν καθ' ἡμᾶς κοινὴν τοῦ προφήτου ἔκδοσιν, ἀποκλίνουσαι δὲ μᾶλλον πρὸς τὸ *Δανιὴλ κατὰ τοὺς Ο* ἐπιγεγραμμένον Κισιανὸν ἀπόγραφον (Cod. Chisianus), περὶ οὗ λέγομεν εὐθὺς παρακατιόντες. Αὗται γοῦν αἱ παρὰ τοῖς ἀρχαιοτάτοις τῶν Πατέρων ὀλίγαι τινὲς φράσεις φαίνονται κυρίως οὖσαι τῶν Ο, πρὸς ἃς ἀντηλλάγησαν ἐκ τοῦ Θεοδοτίωνος αἱ φερόμεναι ἐν τῇ καθ' ἡμᾶς ἐκδόσει τοῦ Δανιήλ. Ἀλλ' ἑτέρωθεν πάλιν καὶ παρ' αὐτοῖς τοῖς Ὠριγένους πρεσβυτέροις πατράσι, καὶ μάλιστα παρὰ τῷ τούτου συγχρόνῳ Ἱππολύτῳ, βλέπομεν πολλάκις ὁλόκληρα χωρία καὶ ῥήσεις τὰς αὐτὰς ἀκριβῶς καὶ τὰς ἐν τῇ καθ' ἡμᾶς ἐκδόσει τοῦ προφήτου (β). Ὡσαύτως καὶ

---

δ' ἡρμήνευσεν ἐν τῷ θρόνῳ αὐτοῦ (Com. in Dan. XI, 45). Ὁ δὲ Θεοδώρητος ἐξέλαβεν ὡς τόπου ὄνομα (Ἑρμην. εἰς Δαν. αὐτόθ.).

(α) Βλ. Usserij de LXX. Interp. p. 60 (ὅπου συνήθροισεν ἀποσπάσματά τινα Ἰουστίνου, Κλήμεντος Ἀλεξ., Τερτυλλιανοῦ, διαφέροντα τῶν ῥήσεων τῆς κοινῆς ἐκδόσεως τοῦ Δανιήλ). πρβλ. καὶ Cod. Chis. «Δανιὴλ κατὰ τοὺς Ο» p. 41, 46, ὅπου παραβάλλονται ῥήσεις τινὲς τοῦ ζ, κεφ. συμφώνως (εἰ μὴ καὶ κατὰ πάντα) ἐκφερόμεναι καὶ παρ' Ἰουστίνῳ, Διαλ. πρὸς Τρύφ. (σελ. 120) κτλ. Ἀλλ' ἐν τῷ αὐτῷ χωρίῳ τοῦ Ἰουστίνου οὐκ ὀλίγα πάλιν συμφωνοῦσι πρὸς τὴν καθ' ἡμᾶς ἔκδοσιν τοῦ Δανιὴλ, διαφωνοῦντα τοῦ Κισιανοῦ κώδηκος (βλ. τὴν ἑξῆς σημείωσιν). Βλ. καὶ Cod. Chis. σελ. 220, 305, ὅπου παραλληλίζεται τὸ κείμενον τοῦ κώδηκος πρὸς τὸ τοῦ Θεοδοτίωνος (ὡς ὀνομάζει τὸ τῆς καθ' ἡμᾶς ἐκδόσεως τοῦ Δανιήλ).

(β) Βλ. Ἱππολύτου ἑρμηνείαν εἰς τὸν Δαν. §. κγ. κτλ. ἐν τῷ ῥηθέντι Chis. Codic. «Δανιὴλ κατὰ τοὺς Ο» σελ. 111. καὶ praef. p. XIX. (πρβλ. Corder Caten. P. in Psalmos 106—122). Καὶ ἐν Ἀποστολ. Διαταγαῖς (Α, να: Γ, δ: Ζ, κδ) τὰ μνημονευόμενα ῥητὰ τοῦ Δανιὴλ συμφωνοῦσιν οὐ μετὰ τοῦ Κισιανοῦ κώδηκος, ἀλλὰ μετὰ τῆς καθ' ἡμᾶς ἐκδόσεως. Ἐξ αὐτῆς, καὶ τὰ παρὰ τῷ Μ. Βασιλείῳ (τόμ. β. σελ. 79) κτλ. καὶ τὰ παρὰ τῷ Μ. Ἀθανασίῳ (τ. α, σελ. 144, 347, Comm.), καὶ ἄλλα παρὰ τοῖς ἀρχαιοτέροις Πατράσιν, οἷον Κυπριανῷ, καὶ Τερτυλλιανῷ, κτλ. ὅσα καὶ ὁ Δεμάγιστρος, καὶ ὁ Σεγᾶρος ὕστερον ἐν ταῖς αὐτῶν ἐπιστασίαις ἐσημείωσαν εἰς τὴν ἔκδοσιν τοῦ Κισιανοῦ ἀπογράφου. Καὶ αὐτὴ δὲ (τὸ μέγιστον) ἡ λαμπροτάτη περὶ τῆς ἐποχῆς τῆς θείας ἐπιφανείας προφητεία τοῦ Δανιὴλ, ἡ «Ἑβδομήκοντα ἑβδομάδες» κτλ. (θ, 24) ἀναγινώσκεται παρὰ τῷ Κλήμεντι (Στρωμ. α. σελ. 242 Lug.) ἀπαραλλάκτως, ὡς καὶ ἐν τῇ καθ' ἡμᾶς

Εὐσέβιος (περὶ οὗ καὶ ἐφεξῆς §. κς), Μ. Ἀθανάσιος, Μ. Βασίλειος, Ἀπολλινάριος, Δίδυμος, Ἐπιφάνιος, καὶ εἴτις ἕτερος τῶν ἀρχαίων, ἐκ τῆς καθ' ἡμᾶς ἐκδόσεως ἐκφέρουσι τὰς μαρτυρίας· καὶ Χρυσόστομος μετὰ τοῦ Θεοδωρήτου ταύτην ἡρμήνευσαν. Ἀλλὰ καὶ ἐν τῇ παλαιᾷ λατινικῇ μεταφράσει, καὶ παρ' αὐτῷ δὲ τῷ Ἰωσήπῳ φαίνονταί τινα ἴχνη τῆς καθ' ἡμᾶς ἐκδόσεως τοῦ Δανιήλ (α). Ἐκ τούτων οὖν φαίνεται.

γ) Ὅτι, εἴτε διότι οἱ Ἰουδαῖοι, ῥᾳδιουργοῦντες πολλὰ τῶν ἀπο-

---

ἐκδόσει (πρβλ. καὶ Εὐσεβ. Εὐαγγελ. Ἀποδείξ. η, β). ἐν δὲ τῷ εἰρημένῳ Κισιανῷ κώδηκι λίαν διαφόρως ἐν πολλοῖς καὶ ἐλλειπῶς. Καὶ ἡ παρ' Ἰουστίνῳ (Διαλόγ. π. Τρύφ.) ἐκ τοῦ Ζ κεφαλαίου τοῦ Δανιὴλ μακρὰ περικοπὴ τὸ πλεῖστον πρὸς τὴν κοινὴν ἔκδοσιν τοῦ Δανιὴλ συμφωνεῖ· διαφέρει δ' ἐν πολλοῖς τοῦ Κισιανοῦ κώδηκος (ὡς προείπομεν). Ὅτι δὲ ἐπὶ τοῦ μάρτυρος Ἰουστίνου (τῷ 140 μ. Χ.) οὐχ ὑπῆρχεν ἡ τοῦ Θεοδοτίωνος (τῷ 175) ἑρμηνεία, φανερόν· (πρβλ. καὶ Credner. Beitraeg etc. βλ. ὄπισθ. σελ. 603). Ὁ δὲ Φράγκελος (αὐτόθ.) φαίνεται γελοῖος, ἐν οἷς διδάσκων τὸν Ἱερώνυμον, εἶπε καὶ ὅτι « ὁ Ἰουστῖνος φέρει τὰς μαρτυρίας ἐκ τῶν Ο, οὐκ ἀπὸ τοῦ Θεοδοτίωνος ». (Καὶ ποῦ γ' ἂν εὗρε τοῦτον ὁ Ἰουστῖνος;) — « Ἄδηλον (προστίθησιν), εἴπερ ἡ κατὰ τοὺς Ο τοῦ Δανιὴλ ἑρμηνεία ὑπῆρχεν ἐπὶ Ἰουστίνου καὶ κατὰ τὴν Ἀλεξάνδρειαν γνωστή » — Καὶ ποῦ ἄλλοθι εἰ μὴ κατ' αὐτὴν τὴν Ἀλεξάνδρειαν αὐτὸς οὗτος ὁ Ἰουστῖνος ἱστόρησε γενομένην ὑπὸ τῶν Ο τὴν ἑρμηνείαν ὅλων τῶν βιβλίων τῆς Γραφῆς (ἐν οἷς πάντως καὶ τοῦ Δανιήλ); Τὸ δὲ κατ' Ἀλεξάνδρειαν ἀρχαῖον διδασκαλεῖον τῆς εὐσεβείας, ὅπου καὶ Πάνταινος ἦν, ὁ τοῦ Κλήμεντος διδάσκαλος, τοῦ δὲ Θεοδοτίωνος προγενέστερος, ἢ γοῦν σύγχρονος (τῷ 175—180), καὶ ἄλλοι πρὸ αὐτοῦ, μήπως οὐκ ἀνεγίνωσκον τὸν θεῖον Δανιὴλ καὶ πρὸ τοῦ Θεοδοτίωνος; Τὸ δὲ παραδοξότερον· καὶ κατ' αὐτὸν ὃν ἐξέδωκεν (ὡς λέγει) τὸ πρῶτον ἡ Ἐκκλησία κατάλογον τῶν Κανονικῶν βιβλίων τῆς Π. Γραφῆς, εὕρηκεν ὁ Φράγκελος τεταγμένην τὴν κατὰ Θεοδοτίωνα μετάφρασιν τοῦ Δανιήλ. Οὕτως ἄρα ἠγνόει ὁ ἄνθρωπος ὅτι δεκαπέντε ὅλους ἐνιαυτοὺς (τῷ 160—170), πρὸ τοῦ Θεοδοτίωνος ὁ Ἀποστολικὸς Μελίτων ἐν τῷ καταλόγῳ τῶν Κανονικῶν βιβλίων τῆς Ἐκκλησίας, ἀριθμεῖ καὶ τὸν Δανιὴλ (Εὐσέβ. Ἐκκ. ἱστ. ς. κς.). Τὸν δὲ ΠΕ, κανόνα τῶν ἁγίων Ἀποστόλων (χάριν τοῦ Φραγκέλου) παρασιωπῶμεν! Ἀλλ' ὦ ἀρχιραββί, τί περὶ τῶν μηδέν σοι προσηκόντων νομοθετεῖς;

(α) Οἷον τῷ Ἀσφανὲζ ἀρχιευνούχῳ (Δαν. α, 3. Οὕτω καὶ ἡ Βουλγάτα, καὶ τὸ ἑβραϊκ.), καὶ Ἰώσηπος « Ἀσχάνῃ (γρ. Ἀσφάνῃ) εὐνούχῳ » (Ἀρχ. l. 1. §. 2. Hav. καὶ σημ. αὐτ. σελ. 533, 534. τόμ. α)· κατὰ δὲ τὸν Ἱερώνυμον « ἐν τῇ κοινῇ ἐκδόσει ἐγράφετο Ἀβιεσδρί (Com. in Dan. ib.). Οὕτως ἀναγινώσκεται καὶ ἐν τῷ εἰρημένῳ ἀπογράφῳ, « Δανιὴλ κατὰ τοὺς Ο » (p. 4). Καὶ φαίνεται ἄρα ὅτι καὶ ἐπὶ Ἱερωνύμου ἀπόγραφά τινα τῆς κοινῆς τῶν Ο, ἐκδόσεως τοῦ Δανιὴλ εἶχον ἀναγνώσεις τινας διαφόρους παρὰ τὰ κατὰ τοὺς Ἰωσήπου χρόνους γνησιώτερα.

γράφων τῆς ἑβραΐδος καὶ αὐτῆς τῆς κατὰ τοὺς Ο Γραφῆς (κατὰ τὴν Ἰουστίνου μαρτυρίαν) διὰ τὸ πρὸς τοὺς Χριστιανοὺς μῖσος (ὅθεν καὶ νέας κατεσκεύασαν ἑρμηνείας, καὶ μάλιστα τὴν Ἀκύλα καὶ τοῦ Συμμάχου), ἐῤῥαδιούργησαν ἰδίως καὶ πολλὰ τῶν ἀντιγράφων τοῦ Δανιὴλ (ὅστις πάντων τῶν προφητῶν ἐμφανέστατα διώρισε τὸν χρόνον καὶ τῆς ἐπιφανείας τοῦ Χριστοῦ, σαφῶς ἀπαριθμήσας τὰ ἔτη, καὶ τῆς τοῦ ναοῦ καταστροφῆς), εἴτε καὶ διά τινας ποικίλας καὶ διαφόρους ἀναγνώσεις, ἢ ἐλλείψεις, ὑπὸ τῆς ἀντιγραφέων ἀβλεψίας εἰσρυείσας εἰς τὸ κατὰ τοὺς Ο κείμενον τοῦ Δανιὴλ (καθὸ τοῦτο μάλιστα συχνάκις ἀντιγραφόμενον διὰ τὰς πρὸς τοὺς Ἰουδαίους ἀντιῤῥήσεις), εἴτε καὶ δι' ἄλλην *ἄγνωστον* μὲν (ὡς εἶπεν Ἱερώνυμος, εἰμὴ καὶ τοῦτο ὑπερβολικῶς), ἀλλ' ὅμως εὐλογωτάτην αἰτίαν, ἡ Ἐκκλησία παρεδέχθη καὶ λέξεις καὶ φράσεις τινας, ἢ καὶ παραγράφους, εἰς τὸ κείμενον τῶν Ο, κατὰ τὴν ὑπὸ τοῦ Ὠριγένους ἐν τοῖς Ἑξαπλοῖς ἐκ τοῦ Θεοδοτίωνος μεταῤῥύθμισιν τοῦ τῶν Ο κειμένου (α). Καὶ τοῦτο, διότι « ὁ Θεοδοτίων τὰ πλεῖστα τοῖς ΟΒ συναδόντως ἐξέδωκεν » (Ἐπιφ. περὶ Μέτρ.

---

(α) Φαίνεται δὲ καὶ Ὠριγένης αὐτὸς λέγων παρ' Ἱερωνύμῳ (Com. in Dan. XIII) ὅτι εἰς τῆς Σωσάννης τὴν ἱστορίαν ἐξέθηκέ τινα μὴ κατὰ τοὺς Ο, ἀλλὰ καὶ ἄλλως κατὰ Θεοδοτίωνα. βλ. ὄπισθ. σελ. 629. Ἐν δὲ τῇ πρὸς Μαγνησίους διεσκευασμένῃ ἐπιστολῇ τοῦ θείου Ἰγνατίου γέγραπται, ὅτι « Δανιὴλ ὁ σοφὸς δωδεκαετὴς γέγονε κάτοχος τῷ Θεοῦ πνεύματι ». Οὕτω καὶ S. Ambros. καὶ Sulpic. Sever. Hist. Sacr. L. 2. καὶ ἐν τῇ νεωτέρᾳ Συριακῇ μεταφρ. τῆς Γραφῆς (Walt. Polygl. τ. 4). Ἀλλὰ τὸ δωδεκαετὴς οὐ κεῖται ἐν τῇ κοινῇ τοῦ Δανιὴλ ἐκδόσει· εἰ μὴ μόνον ταῦτα· « ἐξήγειρε τὸ πνεῦμα τὸ ἅγιον παιδαρίου νεωτέρου ᾧ ὄνομα Δανιήλ· (Σωσάν. §. 45). Τοῦτο τοίνυν τὸ δωδεκαετὴς τινες ἐνόμισαν εἰλημμένον ἐκ τῆς κατὰ τοὺς Ο ἀρχαίας ἐκδόσεως τοῦ Δανιὴλ, ἣν (κατὰ τὸν Ἱερώνυμον) παρέλιπεν ἡ Ἐκκλησία (βλ. Delarue, not. ad Origen. Epistol. ad Afric. in Orig. Opp. T. 1. p. 14). Πιθανὸν, ὅτι τοιαῦτά τινα παρεισέδυσαν εἰς τὴν ἔκδ. τοῦ τῶν Ο Δανιὴλ, ἅπερ ἐξεκάθηρε, καί τινα πάλιν ἐκπεσόντα ἀνεπλήρωσεν ἐκ τοῦ Θεοδοτίωνος ἡ Ἐκκλησία, καθὼς προείπομεν. Ἀλλ' ὅμως οὔτε παρ' ἄλλοις, οὔτ' ἐν τῷ Κισιανῷ ἀπογράφῳ τοῦ Δανιὴλ κατὰ τοὺς Ο, ἀναγινώσκεται τὸ δωδεκαετὴς, εἰ μὴ, « νεωτέρῳ τῷ Δανιὴλ (Σωσάν. §. 42). Εἰ δὲ καὶ τὸ ἀπόγραφον οὐ δοκεῖ τῶν Ο· ἀλλὰ καὶ οὕτω τὸ δωδεκαετὴς φαίνεται μᾶλλον ἐξ ἄλλης τινὸς ἐκδόσεως (οὐκ ἀπὸ τῶν Ο), ἢ καὶ καθ' ἁπλῆν παράδοσιν διαδοθέν. (Βλ. Coteler. Patr. Apost. vol. 2. pag. 56).

§. ιζ,) καὶ τούτους πολλάκις σχεδὸν ἀντέγραψεν· ὥστε ἐταυτίζοντο ἐν πολλοῖς ἀμφότεραι αἱ ἐκδόσεις. Ταύτην λοιπὸν τὴν ἔν τισιν ἐλλειπέσιν, ἢ ἄλλως ὑπ' ἀντιγραφέων ἡμαρτημένοις χωρίοις μεταῤῥύθμισιν τῆς κατὰ τοὺς Ο τοῦ Δανιὴλ ἑρμηνείας, ὁ μακάριος Ἱερώνυμος ὠνόμασε καταχρηστικώτερον *ἔκδοσιν τοῦ Θεοδοτίωνος*, ὡς προείπομεν (§. κδ). Ἐπειδὴ δὲ καὶ αὕτη ἡ διωρθωμένη τῶν Ο ἔκδοσις ἀπὸ τῶν Ὠριγένους χρόνων καὶ ἐφεξῆς ἐπεκράτησε ψήφῳ τῆς Ἐκκλησίας, ἡ δὲ πρώτη ἀπηρχαιώθη, καὶ ἔμεινεν ἄχρηστος, διὰ τοῦτο πάλιν εἶπεν ὁ Δαλμάτης πατὴρ (ὑπερβολικώτερον καὶ ὧδε), ὅτι *ἡ κατὰ τοὺς Ο ἔκδοσις τοῦ Δανιὴλ ἀπεβλήθη, κρίσει τῶν διδασκάλων τῆς Ἐκκλησίας* (§. κδ.) (α).

§. κϛ. Ἀλλὰ τὸ προμνημονευθὲν Κισιανὸν ἀπόγραφον (Cod. Chisianus), φέρον ἐπιγραφὴν « *Δανιὴλ κατὰ τοὺς* Ο » φαίνεταί πως ἐπικυροῦν ὁλόκληρον τὴν Ἱερωνύμου γνώμην, ὡς ἂν ἀπολύτως εἰπόντος καὶ ὁλοσχερῶς, ὅτι ἡ Ἐκκλησία ἀναγινώσκει τὴν ἑρμηνείαν τοῦ Δανιὴλ *οὐχὶ κατὰ τοὺς* Ο, *ἀλλὰ κατὰ Θεοδοτίωνα*. Τοῦτο δὲ τὸ παλαιὸν ἀπόγραφον, γεγραμμένον περὶ τὸ 880 μ. Χ. ἐξεδόθη ἐν Ῥώμῃ τῷ 1770, ὑπὸ Σίμ. *Δεμαγίστρου* (κἂν ἐν τῷ προμετωπίῳ μὴ φέρῃ τ' ὄνομα τοῦ ἐκδότου) (β), καὶ

---

(α) Καὶ ὀρθῶς ἄρα εἶπεν Οὐόσσιος, ὅτι « μέρος τι μόνον ἐκ τῆς Θεοδοτίωνος ἑρμηνείας τοῦ Δανιὴλ εἰς τὴν κατὰ τοὺς Ο, συνετάχθη ». J. Voss. de LXX. ad Lect. καὶ Resp. ad Huls. c. 35. p. 84. πρβλ. καὶ Demagistr. Praef. in Δανιὴλ κατὰ τοὺς Ο. pag. XIII. « Theodotio aut locum LXX occupavit, aut ad explendas lacunas illorum editionis fuerit assumptus » etc. Ἀλλ' ὁ αὐτὸς ἐφεξῆς (pag. XXXII) ἀντιλέγων Οὐοσσίῳ, πρὸς ἑαυτὸν ἀντιφάσκει.

(β) Ὕστερον ἐξεδόθη καὶ Gotting. 1773. καὶ ἐν Traject. ad Rhen. 1775, ὑπὸ C. Segaar *μετὰ σοφῶν εἰς ἕκαστον κεφάλαιον ἐπιστασιῶν· ἐν αἷς ὅμως φαίνονταί τινα βεβιασμένα· οἷον τὸ* (Δαν. α, 5) *ἔκθεσις* (*«διδόσθαι αὐτοῖς ἔκθεσιν»*) *οὐ δικαίως ἐξηγήθη πρόσταγμα, δόγμα* (*ὡς ἔχει καὶ ἡ λατιν. μετάφρ.* mandatum)· *ἡ γὰρ ἔκθεσις ἐνταῦθα σημαίνει τὴν καθημερινὴν ἐκ τοῦ βασιλικοῦ οἴκου τεταγμένην, ἢ ἐκτιθεμένην σίτησιν, διατροφήν· ἣν καὶ ἄλλως εἶπον οἱ Βυζ. καὶ ταγὴν* (*ἐκ τοῦ τάσσω*)· *καὶ ἡ συνήθεια, ταγήνιον· ὅθεν καὶ ἐν τῇ κοινῇ ἐκδ. τοῦ Δανιήλ. « Καὶ διέταξεν αὐτοῖς ὁ βασιλεὺς τὸ τῆς ἡμέρας »* (*τὴν ἐπιούσιον τροφὴν*) *« ἀπὸ τῆς τραπέζης » κτλ. Ἀποδέχεται δὲ καὶ ὁ Σεγάρος τὸ Κισιανὸν ἀπόγραφον ὡς γνήσιον τῶν* Ο. (praef. pag. IV).

διαφέρει οὐκ ὀλίγον οὐδ᾽ ἐν ὀλίγοις τῆς καθ᾽ ἡμᾶς ἐκδόσεως τοῦ Δανιὴλ (ἣν λέγουσι τοῦ Θεοδοτίωνος)· ἐν δὲ τῷ τέλει τοῦ ιβ κεφαλαίου τοῦ Δανιὴλ ἔχει προσγεγραμμένην καὶ τὴν ἐφεξῆς σημείωσιν « *Δανιὴλ κατὰ τοὺς Ο, ἐγράφη ἐξ ἀντιγράφου ἔχοντος τὴν ὑποσημείωσιν ταύτην· ἐγράφη ἐκ τῶν τετραπλῶν, ἐξ ὧν καὶ παρετέθη* » (σελ. 74). Πολλοὶ τῶν σοφῶν, ὧν αἱ μαρτυρίαι πρόκεινται ἐν τῇ τῆς βίβλου προεισαγωγῇ (οἷον οἱ Καρδινάλιοι Βόνας καὶ Κυρῖνος, ὁ Μαβιλλώνιος, ἄλλος ἀνώνυμος, καὶ πρὸ πάντων Λέων ὁ Ἀλλάτιος) ἀποδέχονται τὸ βιβλίον ὡς γνήσιον τῶν Ο· φέρει δὲ πολλαχοῦ καὶ τὰ κριτικὰ σημεῖα τοῦ Ὠριγένους (τὸν λημνίσκον, τὸν ἀστερίσκον, τὸν ὀβελόν)· δι᾽ ὧν διακρίνονται τὰ χωρία, ὅσα ἐκ τοῦ Θεοδοτίωνος μετεῤῥύθμισεν ὁ Ὠριγένης ἐν τῇ ἑρμηνείᾳ τῶν Ο. Πάντα ταῦτα κατὰ πρώτην ὄψιν πείθουσι τὸν ἀναγνώστην, ὅτι ἀπὸ τοῦ Ὠριγένους καὶ ἐφεξῆς δι᾽ ὅλων 1540 σχεδὸν ἐτῶν ἀφαντωθέντες εἰς τὸ σκότος τῆς λήθης οἱ τοῦ Δανιὴλ Ο, εἶδον πάλιν τὸ φῶς (τῷ 1770), καὶ κελεύουσι καὶ οὗτοι τοὺς περὶ τὸν Ὅδιον μὴ στερεῖν αὐτοὺς μηδὲ ταύτης τοῦ προφήτου τῆς ἑρμηνείας! Ἀλλ᾽ ὅμως ἡ ἐπιγραφὴ τοῦ Κισιανοῦ τούτου κώδηκος φαίνεται κατὰ πολλοὺς λόγους ψευδεπίγραφος καὶ νόθος· οὐδ᾽ ὑπάρχει ἀληθῶς κατὰ τοὺς Ο ἡ ἑρμηνεία· καὶ δῆλον ἐκ τῶν ἐφεξῆς· — α) Ἡ κατὰ τοὺς Ο ἔκδοσις τοῦ Δανιὴλ ἔχει πρῶτον κεφάλαιον τὴν ἱστορίαν τῆς Σωσάννης, ὡς βλέπομεν ἔν τε τῷ Ἀλεξανδρινῷ καὶ τῷ Βατικανῷ καὶ πᾶσι τοῖς ἀρχαιοτάτοις ἀπογράφοις. Καὶ αὐτὸς ὁ Εὐσέβιος ἀπὸ τῆς Σωσάννης ἄρχεσθαι λέγει τὸ τεῦχος τοῦ Δανιὴλ (ἐν τῷ Περὶ τῆς τοῦ βιβλ. τῶν Προφητ. ὀνομασίας). Ὁ δὲ κώδηξ οὗτος ἔχει τὴν ἱστορίαν τῆς Σωσάννης κειμένην μετὰ τὸ ιβ κεφάλαιον. Ἀλλ᾽ οὕτως ἔταξεν αὐτὴν πρῶτος ὁ Ἱερώνυμος ἐν τῇ λατινικῇ μεταφράσει, ἑκοντὶ ἀποῤῥίψας εἰς τὰ ἔσχατα τοῦ τεύχους τοῦ Δανιὴλ, ὡς μὴ κειμένην ἐν ᾧ μετέφρασεν αὐτὸς ἑβραϊκῷ. Οἱ δὲ λέγοντες, ὅτι οὕτως εἶχε καὶ Θεοδοτίων, καὶ ὁ κώδηξ ἐξ οὗ μετέφρασε κἀκεῖνος τὰ κατὰ τὴν Σωσάνναν (καίτοι τάχα καὶ αὐτὸς ὁ Θεοδοτίων αἰσθανόμενος, ἀτόπως μετὰ τὸ ιβ κεφάλαιον τιθε-

μένην τὴν τῆς Σωσάννης ἱστορίαν) (α), οὔτε πιστὰ λέγουσιν οὗτοι, οὔτε σύμφωνα τῷ τῶν Ἑβραίων ἀρχαιοτάτῳ κώδηκι, οὗτινος οἱ Ο μεταφρασταὶ ἐτήρησαν πάντως καὶ τῶν κεφαλαίων τὴν διάθεσιν, καὶ οὗτινος τὴν μορφὴν ἔσωζεν εἰσέτι πιθανώτατα καὶ ὁ, ἐξ οὗ μετέφρασεν ὕστερον ὁ Θεοδοτίων. Εἰ δὲ καὶ οὗτος εἶχε τὴν αὐτὴν τῶν κεφαλαίων διάταξιν, ἣν καὶ τὸ Κισιανὸν ἀπόγραφον, ψευδῶς λοιπὸν ἐπιγράφεται τοῦτο κατὰ τοὺς Ο. Ὥστε ὁ Κισιανὸς οὗτος κώδηξ φαίνεται κατὰ τὴν Ἱερωνύμου τάξιν διατεταγμένος τὰ κεφάλαια (ὡς ἐτάχθη καὶ ἡ Βουλγάτα, κατ' αὐτὴν δὲ καὶ ὁ Κομπλουτήσιος κώδηξ ὑπὸ τῶν ἐκδοτῶν), οὐχὶ δὲ κατὰ τὴν ἐν τοῖς Ὠριγένους Τετραπλοῖς, ἅπερ ἐτήρουν πάντως τὴν τάξιν, ἣν ἔχουσι καὶ τὰ προειρημένα καθ' ἡμᾶς ἀρχαιότατα ἀπόγραφα. Καὶ αὐτὴ δὲ ἡ ἐπιγραφή, ἡ *Δανιὴλ κατὰ τοὺς* Ο, τρὶς ἐπαναλαμβανομένη ἔν τε τῇ ἀρχῇ, καὶ ὑπὸ τὸ ιβ κεφάλαιον (μετὰ τῆς σημειώσεως), καὶ τρίτον, ἐν τῷ τέλει τοῦ τεύχους, ἐπιτετηδευμένη φαίνεται, καὶ οὐ μόνον ἐν τοῖς ἀρχαιοτάτοις ἀπογράφοις ἀσυνήθης, ἀλλὰ καὶ ψευδεπιγραφίας ὕποπτος. — β) Ἡ ἀνωτέρω μνημονευθεῖσα σημείωσις τοῦ κώδηκος λέγει, ὅτι μετεγράφη οὗτος ἐξ ἀντιγράφου τῶν Ὠριγένους *Τετραπλῶν*· ἀλλὰ τὰ τοῦ Ὠριγένους *Τετραπλᾶ* ὑπῆρχον καθαρὰ καὶ ἀμιγῆ τῶν κριτικῶν σημείων (ἅπερ ἔχει ὁ κώδηξ)· ταῦτα δὲ ἦσαν γεγραμμένα ἐν τοῖς Ἑξαπλοῖς (ϐ). Ὅθεν καὶ αὐτοὶ οἱ περὶ τὸν Βόναν, οἱ τῇ ἐκδόσει τοῦ κώδηκος μαρτυροῦντες, ἅπαντες συμφώνως ὁμολογοῦσιν, ὅτι ἐκ τῶν *Ἑξαπλῶν* ἀντεγράφη τὸ *ἀπόγραφον*. Ὅσα δὲ λέγει ὁ ἐκδότης ἐν τῷ προλόγῳ (σελ. 12, 32), « ὅτι τάχα μόνην τὴν τοῦ Θεοδοτίωνος ἔκδοσιν ἔγραψεν ἐν τοῖς Ἑξαπλοῖς Ὠριγένης, παραλιπὼν τὴν τῶν Ο, διὸ καὶ αὕτη μὲν ἀπηρχαιώθη, εἰσήχθη δ' ἀντ' αὐτῆς κοινῶς ἐν ταῖς Ἐκκλησίαις ἡ τοῦ Θεοδοτίωνος »· ταῦτα ἀντιβαίνουσι πρὸς πάσας τὰς τῶν ἀρχαίων καὶ νεωτέρων περὶ τῶν

(α) Marchini de Divinitate etc. pag. 262.

(ϐ) Ἐπιφάν. π. μέτρ. §. ζ. βλ. καὶ Ὅδιον βιϐλ. δ. σελ. 608. πρϐλ. Montfauc. Hexapl. t. 1. prael. p. 38.

Ἑξαπλῶν μαρτυρίας· καὶ πρὸς αὐτὸν τὸν λόγον τὸν ὀρθόν (α). —γ) Ὁ Ἱερώνυμος ὑπενόησε τὴν κατὰ τοὺς Ο τοῦ Δανιὴλ ἑρμηνείαν, ἔργον ἀμαθοῦς τινος περὶ τὴν Χαλδαϊκὴν (§. ϛ), διὰ τοῦτο καὶ εἰσήχθη δῆθεν ἀντ᾽ αὐτῆς ἡ κατὰ τὸν Θεοδοτίωνα (ὡς ἀκριβεστέρα). Καὶ αὐτοὶ δὲ οἱ ἐκδόται τοῦ Κισιανοῦ κώδηκος (σελ. 13) ἐδογμάτισαν, ὅτι οἱ Ἰουδαῖοι διέφθειραν καὶ τὰ κατὰ τοὺς Ο ἀπόγραφα τοῦ Δανιήλ. Ἀλλ᾽ ἐν τῷ Κισιανῷ τούτῳ κώδηκι οὐδεμία φαίνεται κηλὶς τῶν τοιούτων δὴ καὶ τοσούτων περὶ τοὺς Ο συμβῆναι λεγομένων διαφθορῶν. — δ) Ὁ Εὐσέβιος μετὰ τοῦ Παμφίλου διορθώσας ἐξέδωκε τὰ Ὠριγένους *τετραπλᾶ* (β). Ἐκ δὲ τούτων (ὡς θέλουσιν) ἔπεμψε μεταγράψας καὶ τὰ 50 τῶν κατὰ τοὺς Ο Γραφῶν ἀντίγραφα πρὸς τὸν Μ. Κωνσταντῖνον (γ)· σὺν αὐτοῖς δὲ πάντως ὑπῆρχε καὶ ἡ τοῦ Δανιὴλ προφητεία. Ἀλλ᾽ ὁ Εὐσέβιος ἐχρῆτο τῇ κοινῇ καὶ καθ᾽ ἡμᾶς τοῦ Δανιὴλ ἐκδόσει (ὡς προείπομεν ἀνωτέρω §. κε), ὥστε καὶ αὕτη φαίνεται ἡ αὐτὴ καὶ ἐν τοῖς Τετραπλοῖς τῶν Ο· ἡ δὲ τοῦ Κισιανοῦ κώδηκος οὕτω διαφέρουσα, ἐκ ποίων δὴ Τετραπλῶν ἀντεγράφη; ε) Τελευταῖον (ἵνα καὶ ἄλλα παραλίπωμεν) αὐτὴ ἡ φράσις καὶ ἡ σύνθεσις τοῦ Κισιανοῦ κώδηκος ἀπὸ κεφαλῆς μέχρι ποδῶν θεωρουμένη μαρτυρεῖ τρανῶς, ὅτι οὐδεμίαν συγγένειαν ἔχει πρὸς τὸν λεκτικὸν χαρακτῆρα τῶν Ο. Οἷον αἱ λέξεις, *κάπτω*, *ὑδροποτῶ*, *ὁ στρατηγὸς* τῶν Ἑλλήνων, - *ὁ στρατηγὸς Βασιλέως* Περσῶν, - Μιχαὴλ ὁ ἄγγελος (Δαν. Ι, 3-21 (ἀντὶ «ὁ ἄρχων τῶν Ἑλλήνων, ὁ ἄρχων τῆς Βασιλείας Περσῶν, Μιχαὴλ ὁ Ἄρχων ὑμῶν», ὡς ἔχει ἡ κοινὴ ἔκδοσις ἐπὶ τῶν ἐφεστώτων τοῖς ἔθνεσιν ἀγγέλων » Βλ. ὄπισθ. σελ. 295—296), (χρυσίον) *χρηστόν*, ὄψις *διατετραμμένη* (ἡ σκυθρωπὴ), *ἐγκύκλιος* (ἐπιστολὴ), καὶ ἄλλα πάμπολλα, καὶ πᾶσα δὲ ἡ πρὸς τὸ ἑλληνικώ-

---

(α) Πρβλ. καὶ τὸν Ἄγγλον Owen a Brief account, histor. and critical of the Sept. Version etc. London, 1787, ὅστις οὐ τὸ καθαρὸν κείμενον τῶν Ο, ἀλλὰ τὴν ἐκ τῶν Ἑξαπλῶν εἶναι ταύτην τὴν ἔκδοσιν διατείνεται.

(β) Βλ. Σχόλ. παλαιὸν παρ᾽ Ὀδίῳ σελ. 620.

(γ) Εὐσέβ. βίῳ Κωνσταντ. δ, 34. πρβλ. Ὅδιον σελ. 620. καὶ ὄπισθ. σελ. 418.

τερον ἐν πολλοῖς ἐπιτετηδευμένη συνθήκη τοῦ λόγου, φαίνονται σαφῶς ἀλλότρια καὶ πάντη ξένα τῆς ἀτύφου καὶ ἀνεπιτηδεύτου ἁπλότητος τῶν Ο. Πρόσθες καὶ τὸ *Ῥωμαίους*, ὡς ἔχει καὶ ἡ Βουλγάτα (Δαν. ια, 30), ὅπου οἱ Ο, Κίτιοι (Κιττιείμ· βλ. ὄπισθ. σελ. 111). Ἐκ τούτων ἄρα πάντων ἀποδείκνυται τὸ Κισιανὸν τεῦχος *τοῦ κατὰ τοὺς Ο Δανιὴλ* οὐ μόνον ἀμφιβολίαις ὑποκείμενον (ὡς προησθάνθησαν καὶ οἱ ἐκδόται) (α), ἀλλὰ καὶ πάντη νόθον καὶ ψευδεπίγραφον, ὡς ἔκρινε καὶ ὁ καθ' ἡμᾶς ἀοίδιμος Νικηφόρος ὁ Θεοτόκης (β). Ἄλλη τις φαίνεται ἡ ἔκδοσις αὕτη τοῦ Δανιὴλ, ἴσως ἐκ τῆς *πέμπτης*, ἢ τῆς *ἕκτης* (κατ' Ὠριγένην)· ἤ, τυχὸν, καὶ ἐξ αὐτοῦ τοῦ ἑβραϊκοῦ μετὰ τοὺς Ἱερωνύμου χρόνους ἡρμηνευμένη (ὁποία καὶ ἄλλη τις ἑρμηνεία τοῦ Δανιὴλ μετὰ τῆς Πεντατεύχου καί τινων ἄλλων τευχῶν, ἐκ τῆς ἑβραΐδος περὶ τὸν η, αἰῶνα ἡρμηνευμένων, ἐξεδόθη ἐκ τῆς Ἐνετίῃσι τοῦ ἁγίου Μάρκου βιβλιοθήκης) (γ). Καὶ

(α) « Sed in hac judiciorum varietete ac licentia vix nobis pollicemur, neminem futurum, qui ipsam in suspicionem non adducat » (praef. p. XVII). Ἀλλὰ καὶ ὁ ἀνώνυμος (αὐτόθ. pag. XXXIX) πολλὰ περὶ τοῦ κώδηκος ἀναμετρήσας, συνεπέρανεν, « aliud quidpiam esse à LXX versione ». Καὶ Σέμλερος δὲ τρανώτερον ἀμφέβαλε περὶ ταύτης τῆς κατὰ τοὺς Ο, ἑρμηνείας τοῦ Κισιανοῦ κώδηκος (Semler in Theolog. Briefen fasc. I. p. 208. Leipzig. 1781. βλ. καὶ Fabric. Bibl. Graec. vol. 3. p. 684 Harl.). Πρόσθες καὶ τὰς πολλὰς τοῦ Κισιανοῦ διαφορὰς πρὸς τὴν Συριακὴν τῶν τετραπλῶν (ὡς ἐπιγράφεται) κατὰ τοὺς Ο, ἔκδοσιν τοῦ Δανιὴλ, ἣν ὁ Βουγάτος ἐκλατινίσας ἐξέδωκε μετὰ σημειώσεων (1788 Mediolan.), ἐν αἷς καὶ τοῦ Κισιανοῦ ἀπογράφου πλεῖστα διορθοῖ (βλ. Fabric. l. c. pag. 685 καὶ 710).

(β) Βλ. Ἀνασκευὴν τῆς τελευταίον διερμηνευθείσης Διαθήκης (ἣν ἀνωνύμως ἐξέδωκε) σελ. 657—663. Βιέννῃ, αψηδ.

(γ) Βλ. τὴν ἔκδοσιν I. B. C. d'Anse de Villoison, Argentor. 1784, καὶ τὴν Πεντάτευχον ἐκδοθεῖσαν ὑπὸ τοῦ Chr. Fr. Ammon. Part. I—III, Erlang. 1790—1791. πρβλ. Fabric. Bibl. Graec. vol. 3. pag. 716. — Bauer, Ertwurf ein. hist. krit. Einleitung in die Schriften des A. Test. pag. 175. Τοιαύτη τις (νεωτέρα τῆς τῶν Ο) μετάφρασις καὶ τῆς ᾠδῆς τοῦ Ἀββακοὺμ (κεφ. γ) εὑρέθη ἔν τισιν ἀπογράφοις, ἣν ὁ κλεινὸς Οὐαλκενῆρος εἰς Ἰουδαῖον ἀρχαῖον ἑλληνιστὴν ἀπονέμει. Τοιοῦτον θέλει καὶ τὸν ἐν τοῖς ἀποκρύφοις ἀριθμούμενον Α. Ἔσδραν, μετάφρασιν δηλαδὴ τοῦ γνησίου τεύχους τοῦ Ἔσδρα, γενομένην ἐκ τοῦ χαλδαϊκοῦ μετά τινων, ὡς λέγει, προσθηκῶν. Ἀλλὰ τοιοῦτός ἐστι πάντως ὁ Δ, λε-

ξένον οὐδὲν, εἰ καὶ ταύτην ἐπετήδευσέ τις ἰουδαῖος φιλογράμματος, ἢ καὶ χριστιανὸς φιλιουδαῖος (μιμούμενος ἴσως τὴν περὶ τὸ μεταφράζειν ἐξ ὑπαρχῆς ἀπὸ τοῦ ἑβραϊκοῦ ἱερωνύμειον φιλοτιμίαν), ἀναμίξας ἐν αὐτῇ καὶ λέξεις καὶ φράσεις τῶν ἐν τοῖς ἔτι τότε σωζομένοις *Ἑξαπλοῖς* ἑρμηνευτῶν, ἄλλων τε καὶ τῶν Ο· προσέθηκε δὲ καὶ τὰ κριτικὰ κατ᾽ Ὠριγένην σημεῖα, καὶ τὴν καθ᾽ Ἱερώνυμον διάταξιν τῶν κεφαλαίων. Ἂν δὲ θῶμεν τὴν ἑρμηνείαν Ἱερωνύμου παλαιοτέραν, (ὅπερ ἀπίθανον), ἄλλος τις λοιπὸν μετὰ τὸν μεταφραστὴν αὐτῆς ἐπελθὼν, καὶ παρασυνεικάσας ταύτην εἶναι τὸν κατὰ τοὺς Ο Δανιὴλ (ὃν εἶπεν ὁ Δαλμάτης πατὴρ ἐκβεβλημένον ἀπὸ τῆς Ἐκκλησίας), μετέγραψεν εἰς ἴδιον ἀντίγραφον, προσθεὶς τρὶς καὶ τὴν λαμπρὰν ἐπιγραφὴν, καὶ τὴν σημείωσιν. Ἐξ ἐκείνου δὲ τοῦ ἀντιγράφου μετέγραψεν ἔπειτα καὶ τὸ Κισιανὸν ἀπόγραφον ὁ γραφεὺς (πλὴν εἰ μή που τις εἰς αὐτὸν τοῦτον τὸ πᾶν τοῦ δράματος ἀναφέροι). Οὕτω καί τις ἄλλος (Ἱερωνύμῳ τῷ μακαρίῳ καὶ οὗτος πιστεύσας) ἔν τινι ἀρχαίῳ τῶν προφητῶν ἀπογράφῳ, τῷ λεγομένῳ τοῦ Μαρχαλλίου (Ren. Marchalli) ἐπέγραψε τὴν καθ᾽ ἡμᾶς ἑρμηνείαν τοῦ Δανιὴλ, « *Δανιὴλ κατὰ Θεοδοτίωνα* ». ὅπερ ὁ κλεινὸς Ὑσσέριος ἀσμένως μὲν, ἀλλ᾽ εἰς μάτην ἐμνημόνευσε (α). Μετριώτερος, ὅσον κατὰ τοῦτο, ἐφάνη τοῦ Κισιανοῦ κώδηκος ὁ γραφεύς· διότι μετὰ τὸ τεῦχος, τὸ « *Δανιὴλ κατὰ τοὺς Ο* », καὶ μετὰ τὴν ἐφεξῆς εἰς τὸν Δανιὴλ ἑρμηνείαν τοῦ Ἱππολύτου, ἕπεται καὶ ἄλλο κείμενον τοῦ Δανιὴλ, ἐπιγραφόμενον « *Τὸ Εἰρ, ἄγρυπνος. Δανιὴλ* » (σελ. 131). Καὶ τὸ μὲν *εἰρ, ἄγρυπνος*, ἀνήκει εἰς τὴν Ἱππολύ-

γόμενος, καὶ λατινιστὶ μόνον περιφερόμενος Ἔσδρας (ὅστις οὐδὲ κεῖται ὅλως ἐν τῇ καθ᾽ ἡμᾶς παλαιᾷ Διαθήκῃ)· παρατηροῦσι δὲ τούτου λείψανα οἱ κριτικοὶ παρὰ τῷ Στρωματεῖ Κλήμεντι, καὶ τῇ τοῦ Βαρνάβα ἐπιστολῇ (Fabric. Bibl. Graec. T. 3. p. 744). Εἰ δὲ καὶ τὰς παρ᾽ Ἱερωνύμῳ λεγομένας προσθήκας τῆς Ἐσθὴρ, (δηλονότι τὰ κείμενα γνησίως ἐν τῇ τῶν Ο, ἑρμηνείᾳ) συνηρίθμησε μετὰ τῶν νενοθευμένων ὁ κλεινὸς Οὐάλκενῆρος, ἐπηκολούθησε καὶ οὗτος ἀδίκοις κρίσεσι τῶν πρὸ αὐτοῦ· ἀλλὰ περὶ τούτου ἀλλαχοῦ (βλ. Valken. de Aristob. p. 63).

(α) Usser. de LXX.

του ἑρμηνείαν· τὸ δὲ *Δανιὴλ* ἐπιγράφεται εἰς τὸ κείμενον ἁπλῶς, χωρίς τινος διορισμοῦ, οὔτε « *κατὰ τοὺς Ο* », οὔτε « *κατὰ Θεοδοτίωνα* ». Ἔστι δὲ ἡ αὐτὴ ἔκδοσις καὶ ἡ καθ' ἡμᾶς τοῦ Δανιὴλ, μετά τινων ἐλλείψεων, καὶ περὶ τὰς ἀναγνώσεις παραλλαγῶν (ὁποῖαί τινες ἀπαντῶνται καὶ μεταξὺ τοῦ Βατικανοῦ καὶ Ἀλεξανδρινοῦ κώδηκος τῶν Ο). Πλὴν μόνον, ὅτι καὶ ἐν ταύτῃ τῇ Κισιανείῳ ἐκδόσει μετατίθεται ἡ τάξις τῶν κεφαλαίων (τοῦ α, μετὰ τὸ ιβ), καθὼς καὶ ἐν τῇ προηγουμένῃ (τῇ « *Δανιὴλ κατὰ τοὺς Ο* »), περὶ ἧς προείπομεν.

§. κζ. Ταῦτα περί τε τοῦ Κισιανοῦ ἀπογράφου καὶ τῆς Ἱερωνύμου γνώμης, ἣν περὶ τοῦ Δανιὴλ οἱ Ὀδιακοὶ τοσάκις διεσάλπισαν. Εἰ δὲ καὶ (καθ' ὑπόθεσιν) ἠλήθευε τὸ πρᾶγμα, καὶ ἀπεδέχετο τῷ ὄντι ἡ Ἀποστολικὴ Ἐκκλησία τὴν κατὰ Θεοδοτίωνα ὁλόκληρον ἔκδοσιν τοῦ Δανιὴλ (ἀποβαλοῦσα τὴν κατὰ τοὺς Ο, διά τινας λόγους δικαίους), οὐδὲν ἂν οὐδ' ἐκ τούτου παρεβλάπτετο πάλιν τὸ κῦρος τῆς ὅλης ἑρμηνείας τῶν Ο· διότι καὶ ὁ Θεοδοτίων τὴν τοῦ Δανιὴλ ἑρμηνείαν (ὡς καὶ τὰ πλεῖστα τῆς ἄλλης θείας Γραφῆς) συνᾳδόντως τοῖς Ο ἐξέδωκε, τὰ αὐτὰ πολλάκις γράφων, ἢ « καὶ ἰσοδυναμοῦντα ἀλλήλοις ἀντιτιθεὶς » (ὡς εἶπεν Ὠριγένης πρὸς Ἀφρικανόν). Καὶ ἡ Ἀποστολικὴ Ἐκκλησία τὴν ὑπ' αὐτοῦ (καί τοι Μαρκιωνιστοῦ) πιστὴν ὅμως ὑπάρχουσαν καὶ δικαίαν ἔκδοσιν τοῦ Δανιὴλ ἠδύνατο πάντως κοινῇ καὶ θεοκράντῳ ψήφῳ καθιερῶσαι, καθὼς καὶ Παῦλος ὁ Ἀπόστολος ὀρθάς τινας γνωμολογίας ἀνθρώπων ἐθνικῶν (Ἐπιμενίδου καὶ Φιλήμονος) ἀξιώσας μνημονεῦσαι, καθηγίασεν αὐτὰς ἀπὸ βεβήλων καὶ καθιέρωσεν. Ἀλλὰ ταῦτα μὲν ἴσως ὑπερεκπερισσοῦ. Μεταβαίνομεν δὲ ἤδη καὶ εἰς αὐτὰ τὰ παρ' Ὀδίῳ *πράγματα* (§. η), δηλονότι τὸν ἐκ τῶν λέξεων ἔλεγχον τῶν πολλῶν καὶ ποικίλων ἑρμηνευτῶν!

§. κη. Πολλοὶ τῶν νεωτέρων ματαιοσόφων ἐπολέμησαν τὸ γνήσιον τῶν θείων Γραφῶν, ἐπιχειρήσαντες ἔκ τινων ἐννοιῶν καὶ φράσεων ἑβραϊκῶν, καὶ ἁπλῶς ἐκ τοῦ λεκτικοῦ χαρακτῆρος (ἐξ οὗ πολλάκις καὶ ἡ ὑγιὴς κριτικὴ διακρίνει τὰ γνήσιά τινος συγ-

γράμματα τῶν μὴ γνησίων, ἀπὸ βεβαιοτέρων ὅμως ἀποδείξεων ὁρμωμένη). Οὕτως ὁ γνωστὸς ἑβραιοφιλόσοφος Σπινόζας (τῷ 1670) ἐξέλαβε τὸ « *πέραν τοῦ Ἰορδάνου* » (Δευτερον. α, 1. 5. καὶ δ, 46) ὡς λαμπρὸν τεκμήριον πρὸς ἀπόδειξιν, ὅτι δῆθεν ἡ Πεντάτευχος τοῦ Μωϋσέως συνεγράφη μετὰ τὸν αὐτοῦ θάνατον, ἀφ᾽ οὗ διέβησαν οἱ Ἰσραηλῖται τὸν Ἰορδάνην (α). Καὶ, τέλος, διώρισε σταθερῶς ὁ Σπινόζας, « ὅτι πρῶτος ἴσως ὁ Ἔσδρας συνέταξε τὴν Πεντάτευχον, ἐπιγράψας εἰς τὸν Μωϋσῆν, ὡς τοῦτον μάλιστα παριστάμενον τῶν ἱστορουμένων πραγμάτων κατορθωτήν. Εἰς τούτων δὲ τῶν Ε, βιβλίων τὴν σύνταξιν, οὐδέν (φησιν) ἕτερον ὁ Ἔσδρας ἔπραξεν, εἰ μὴ, μετέγραψε μόνον συναγαγὼν ἱστορίας ἐκ διαφόρων ἐθνῶν· καὶ ταύτας μήτε βασανίσας, μήτε μεθοδικῶς διατάξας, ἀλλ᾽ οὕτω συμφορήσας κατέλιπε τοῖς μεταγενεστέροις. Καὶ ταῦτα (λέγει) τὰ ὑπομνήματα περιῆλθον καὶ εἰς ἡμᾶς ἐλλειπῆ, κολοβὰ, πολλῶν ψευσμάτων ἀνάμεστα », καὶ τὰ λοιπὰ τῆς Σπινοζαίας ἀσεβείας ῥητά! Οὐδ᾽ ὁ μικρῷ τούτου προγενέστερος Ὅββης (τῷ 1651) ἐφάνη μετριώτερον παραφρονήσας περὶ τὰς θείας Γραφάς. Οὐκ ὀλίγα κατεψευδοκόπησαν καὶ ὁ Πεϋρέρης, καὶ Ῥιχάρδος ὁ Σιμώνιος, καὶ Κλέρικος, καὶ Ἄσσης, καὶ Φύλδας, καὶ ἄλλοι, καὶ Φάτηρ (Vater) ὁ πολὺς, ἀποφηνάμενος, ὅτι πρὸ τῆς εἰς Βαβυλῶνα μετοικεσίας οὐχ ὑπῆρχεν ἡ Πεντάτευχος συγγεγραμμένη· μόνου δὲ τοῦ Δευτερονομίου τὸ πλεῖστον μέρος. καὶ τῶν ἄλλων δὲ βιβλίων περικοπαί τινες ἀπὸ τῶν Δαυῒδ καὶ Σολομῶντος χρόνων κατὰ

(α) Ὅτι τὸ πέραν σημαῖνον συνήθως τὸ ἐπέκεινά τινος ποταμοῦ, τόπου, κτλ. ἐνίοτε δηλοῖ καὶ τὸ ἐντεῦθεν (κινουμένης τῆς διανοίας σχετικῶς ὡς ἐκ τῆς θέσεως τῆς, περὶ ἧς ὁ λόγος, χώρας κτλ), ἀρκεῖ μόνον τὸ ἐφεξῆς παράδειγμα· « Οὐ κληρονομήσομεν ἐν αὐτοῖς ἀπὸ τοῦ πέραν (ἐκεῖθεν) τοῦ Ἰορδάνου καὶ ἐπέκεινα· ὅτι ἀπέχομεν τοὺς κλήρους ἡμῶν ἐν τῷ πέραν (ἐντεῦθεν) τοῦ Ἰορδάνου » (Ἀριθμ. λβ. 19). βλ. καὶ Schleusn. Thes. V. Test. λ. πέραν· ὅπου φέρει καί τινα ἑλληνικὰ παραδείγματα ἐκ τοῦ Παυσανίου Β, σελ. 62, 64. Τοιοῦτό τι σχεδὸν καὶ τὸ τοῦ Πλουτάρχου (Δημητρ. §. λθ). « ἔχων δὲ καὶ τῆς Πελοποννήσου τὰ πλεῖστα, καὶ τῶν ἐντὸς ἰσθμοῦ Μέγαρα καὶ Ἀθήνας » (τουτ. τῶν ἐπὶ τάδε, ἐντεῦθεν τοῦ ἰσθμοῦ, ὡς πρὸς τὴν θέσιν τῶν Μεγάρων καὶ Ἀθηνῶν).

μικρὸν συνεῤῥάπτοντο. Οἱ δὲ Φραγκέλου ἥρωες, ὁ Δεβέττης καὶ Βερθόλδης, ὁ μὲν εὕρηκεν ἴχνη τῆς Πεντατεύχου ὀλίγῳ πρότερον τῆς ὑπὸ τῶν Χαλδαίων (ἐπὶ Ναβουχοδονόσορος) αἰχμαλωσίας τῶν Ἰουδαίων· καὶ τὸ Δευτερονόμιον ἔκρινεν ἔργον νεωτέρας χειρός. Ὁ δὲ Βερθόλδης ἀπέδωκε τὴν Συναγωγὴν τῆς Πεντατεύχου μόλις εἰς τὸν Σαμουὴλ (α). Ἄλλος δέ τις κριτικὸς, ὁ Γράμβεργος, διώρισε τὴν συγγραφὴν τοῦ Λευϊτικοῦ κατὰ τὴν δ, περίοδον τῆς Ἰουδαϊκῆς ἱστορίας (ἀρχομένην ἀπὸ τῆς εἰς Βαβυλῶνα μετοικεσίας), διότι εὕρηκε (λέγει) εἰς τὸ βιβλίον σαφεστέραν ἔκφρασιν ἐννοιῶν, καὶ μέθοδον ἑρμηνείας τεχνικωτέραν τῆς ἐν τοῖς λοιποῖς βιβλίοις τῆς Πεντατεύχου· (ἠπίστατο δὲ ἄρα, πῶς γὰρ οὐ; καὶ κατεῖχεν ὁ ἄνθρωπος ἀκριβῶς ὅλον ἐκείνης τῆς Μωσαϊκῆς γλώσσης τὸν ἰδιάζοντα χαρακτῆρα!). Καὶ νῦν δὲ καθ' ἡμᾶς ὁ Ἰουδαῖος Καχὴν ἐπῆλθεν ἐπιδοκιμάζων τοῦτο δὴ τῆς Γραμβεργείου φιλολογίας τὸ κρίμα (β). Οἱ δὲ περὶ τὸν Κόππαν καὶ Βαύερον τὰς Ἡσαΐου προφητείας ἔκριναν ἀνθολογίαν ἐπῶν διαφόρων προφητῶν, ἄλλων ἄλλοτε ἀκμασάντων, ὡς ἐξ ἄλλων τε τινῶν καυχῶνται συνιδεῖν, καὶ ἐκ τῆς περὶ τὴν φράσιν μάλιστα διαφορᾶς· φέρει γὰρ αὕτη τῶν κάτω χρόνων (λέγουσιν) ἴχνη πολλά τε καὶ σαφῆ· καὶ Συριασμοὺς δὲ καὶ Χαλδαϊσμοὺς εὕρηκεν ὁ Βιτρίγγας ἐν πολλοῖς τοῦ Ἡσαΐου χωρίοις. Ἄλλοι δ' ἄλλα τῶν προφητικῶν πολλαχῶς διεμέλισαν κατά τε πρόσωπα καὶ χρόνους, ὡς ἐκ τοῦ λεκτικοῦ· « *Πολλαὶ μορφαὶ τῶν δαιμονίων* »! Παράβαλε ταύτας, ἀναγνῶστα, τὰς γνώμας τῶν κριτικῶν, πρὸς ὅσας ἄλλοι πάλιν (οὓς προείπομεν) ἐγνωμάτευσαν περὶ τῆς ἑρμηνείας τῶν Ο, καὶ πάντως ὄψει τοῦ κριτηρίου τὴν ὁμοιότητα. Τὴν αὐτὴν τῆς μεθόδου δεινότητα, καὶ ἐπίσης ματαιοσχόλως, ἐπεχείρησαν καὶ οἱ περὶ τὸν

---

(α) Βλέπε καὶ τούτων καὶ ἄλλων γνώμας, συνηγμένας καὶ ἀναιρουμένας (εἰ καὶ μὴ πάσας) παρὰ τῷ Rosenmüller, Prolegom. εἰς Πεντάτευχον· καὶ ἄλλους πάλιν λήρους ἐν τοῖς Προλεγομένοις πρὸ τῶν Προφητῶν καὶ ἄλλων τευχῶν τῆς θείας Γραφῆς. Ἐλεεινὰ καὶ ἀναγνώσματα καὶ ἀκούσματα χριστιανῶν ἀκοαῖς!

(β) La Bible trad. par. Cahen. Levitique. c. ι. not.

ὄδιον, διακρίνοντες ὡς ἐκ τῆς φράσεως τοὺς κατὰ καιρὸν παντοίους καὶ διαφόρους (ὡς λέγουσι) τῶν θείων Γραφῶν ἑρμηνεῖς (§. η). Θεωροῦσι δὲ τὰς τῆς φράσεως διαφορὰς, ὡς ἐν κεφαλαίῳ, πενταχῶς. α) Ἐκ τῆς περὶ τὴν γραφὴν ἀστασίας, δι' ἄλλων ἄλλοτε φωνηέντων, ἢ συμφώνων, τῶν αὐτῶν ἑβραϊκῶν ὀνομάτων ἐκφερομένων. β) Ἐκ τῆς καταλήξεως, νῦν μὲν ἑβραϊστὶ, νῦν δὲ πάλιν ἑλληνιστὶ τῶν αὐτῶν ἐσχηματισμένων. γ) Ἐκ τῆς περὶ τὴν ἑρμηνείαν ἀνωμαλίας, νῦν μὲν αὐτῶν τῶν ἑβραϊκῶν τιθεμένων, νῦν δὲ πάλιν τῶν αὐτῶν ἐξελληνιζομένων, καὶ τοῦτο πολλάκις μόνον ἐξ ἡμισείας. δ) Ἐκ τῆς ἀτόπου μεταφράσεως, ἢ παρερμηνείας. ε) Ἐκ τῆς ποικίλης τῶν αὐτῶν ἑβραϊκῶν φωνῶν ἐξηγήσεως, δι' ἄλλων ἄλλοτε λέξεων ἑρμηνευομένων.

§. κθ. Α) Πρὸς τὸ πρῶτον ἀπαντῶμεν. Ἔγραψε πρῶτος ὁ Ὠριγένης, ὅτι πολλαχοῦ τῆς Γραφῆς εἰσέφρησαν ἐκ τῶν ἀντιγραφέων σφάλματά τινα περὶ τὰ κύρια ὀνόματα (α), ἅτινα διώρθωσεν αὐτὸς (ὡς διώρθωσε καὶ ἄλλα τοιαῦτα ἐν τῇ καινῇ Διαθήκῃ, καθὼς μαρτυρεῖ εἰς ψαλμ. ριζ. καὶ εἰς Ματθ. τ. ιε). Οὕτω

---

(α) «Τὸ δ' ὅμοιον περὶ τὰ ὀνόματα σφάλμα πολλαχοῦ τοῦ Νόμου καὶ τῶν προφητῶν ἔστιν ἰδεῖν, ὡς ἠκριβώσαμεν ἀπὸ Ἑβραίων μαθόντες, καὶ τοῖς ἀντιγράφοις αὐτῶν τὰ ἡμέτερα συγκρίναντες, μαρτυρηθεῖσιν ὑπὸ τῶν μηδέπω διαστραφεισῶν ἐκδόσεων Ἀκύλου, καὶ Θεοδοτίωνος, καὶ Συμμάχου . . . Καὶ τί με δεῖ διατρίβοντα πλείονα παρατίθεσθαι, παρόντος τῷ βουλομένῳ τοῦ ἐξετάζειν καὶ γινώσκειν τὰ κατὰ τὰ ὀνόματα ἀληθῆ; Μάλιστα δ' ὑποπτευτέον τοὺς τόπους τῶν Γραφῶν, ἔνθα κατάλογός ἐστιν ἅμα ὀνομάτων πλειόνων, ὡς ἐν τῷ Ἰησοῦ τὰ περὶ τῆς κληροδοσίας, καὶ ἐν τῇ πρώτῃ τῶν Παραλειπομένων ἀρχῆθεν ἑξῆς . . . ὁμοίως δὲ καὶ ἐν τῷ Ἔσδρᾳ» (Ὠριγ. ὑπομν. εἰς Ἰωάννην. σελ. 141. Τ. Δ. ἔκδ. Delar.). Ἐν τούτοις σημείωσαι ἀναγνῶστα, πῶς ὁ Ὠριγένης μήτε τοὺς Ἑβραίους, μήτε τὰ κατ' αὐτὸν ἑβραϊκὰ χειρόγραφα πιστεύων ἀπολύτως ὡς ἀδιάφθορα, παρέβαλε καὶ τὰς ἐκδόσεις τοῦ Ἀκύλα καὶ τῶν λοιπῶν, καὶ ταύτας ἐν ὅσῳ ἦσαν ἀδιάστροφοι, καθὸ μὴ πολὺ πρότερον αὐτοῦ, ἀλλ' ἔναγχος ἐκδοθεῖσαι. Ὁ δὲ Φράγκελος μηδόλως τούτοις προσχὼν, μνημονεύει καὶ αὐτὸς τὴν Ὠριγένειον ταύτην ῥῆσιν (σελ. 64), εἰς ἔνδειξιν τῆς παρὰ μὲν τοῖς Ο στρεβλῆς, ὀρθῆς δὲ δῆθεν ἐν τῷ ἑβραϊκῷ πολλῶν ὀνομάτων γραφῆς· ὡς ἂν εἰ ὁ Ὠριγένης ἐνόει ἢ τὸ κείμενον τῶν Φραγκέλου Μασοριτῶν, ἢ τῶν παρὰ τοῖς Ο ὀνομάτων τὸ μέχρι τέλους ἀδιόρθωτον, ὧν τὴν ἀλήθειαν προὔβαλεν ἐξετάζειν παντὶ τῷ βουλομένῳ.

καὶ ἐν τοῖς νῦν σῳζομένοις ἑβραϊκοῖς ἀπογράφοις παρατηροῦνται τοιαῦτα σφάλματα. Καὶ κατ᾽ αὐτοὺς τοὺς περὶ τὸν Ἀκύλαν καὶ Σύμμαχον καὶ Θεοδοτίωνα πόσαι τῶν κυρίων ὀνομάτων ἀπαντῶνται παραλλαγαὶ, δηλοῖ τῶν Ἑξαπλῶν ἡ ἔκδοσις (ὡς ἐξέδωκεν αὐτὴν ὁ Μοντεφαλκώνιος· οἷον ἐν Ἰησοῦ ιε, ις, κτλ.). Οὐδὲν οὖν παράδοξον, εἰ καὶ τῶν Ο οἱ ἀντιγραφεῖς καὶ μετὰ τὸν Ὠριγένην περιέπεσαν εἰς τοιαῦτα παροράματα, ἄφευκτα σχεδὸν ἐν καταλόγοις μάλιστα πολλῶν ἅμα ὀνομάτων (καὶ τούτων ξενικῶν), ἅτινα πολλάκις καὶ ἀπὸ τῆς ὁμοιότητος τῶν ἀνταλλασσομένων ἑλληνικῶν γραμμάτων γεννῶνται (οἷον τῶν Α, Δ, Λ, καὶ Θ, Ο, κτλ.), ἢ καὶ ἀπὸ τῆς ἀπαγγελίας, ὅταν ἡ ἀντιγραφὴ γίνηται καθ᾽ ὑπαγόρευσιν. Αὐτὸς Ὅδιος ἐσημείωσεν, ὅτι πολλὰ καὶ ἄλλα τῶν ἀστάτῳ γραφῇ, κατὰ μεταβολὴν ἢ καὶ μετάθεσιν ἑνός τινος στοιχείου, γεγραμμένων παρέλιπεν, ἀποδοὺς εἰς τῶν ἀντιγραφέων τὴν ἀβλεψίαν. Εἰς ταύτην ὁ κλεινὸς ἀνὴρ ὤφειλεν ἀποδοῦναι καὶ τὸ Ἰεφινὰ ἀντὶ Ἰεφοννὴ, καὶ τὸ Ναιμὰν, ἀντὶ Νοεμὰν, καὶ τὸ Φασεοὺρ, ἀντὶ Φασσοὺρ, ἢ Φασχοὺρ, καὶ τὸ Σαδδοὺκ ἀντὶ Σαδδὼκ, καὶ αὐτὸ τὸ Γοὺγ, ἀντὶ τοῦ συνηθεστέρου Γὼγ, καὶ τ᾽ ἄλλα τὰ τοιαῦτα, ἐξ ὧν συνεπίλησε πυκνώσας τὸν καλὸν κατάλογον. Εἰς ὅλων τῶν ἀρχαίων συγγραμμάτων τοὺς ἐπισημοτάτους κώδηκας, ἀπ᾽ αὐτοῦ Ὁμήρου καὶ καθεξῆς, εὑρίσκομεν διαφόρους τοῦ αὐτοῦ ὀνόματος γραφὰς, καθ᾽ ἓν, ἢ καὶ πλείονα γράμματα (φωνήεντα, ἢ σύμφωνα) παραλλάττοντος· παραλείπω τὸ, Ἀλιζώνων, Ἀλαζώνων, Ὀλωζώνων, Ἀμαζόνων (α), καὶ ἄλλα τοιαῦτα πάμ-

---

(α) Ἰλ. Β. 856. πρβλ. Στράβ. ιβ. 550. — Εὐστάθ. εἰς Ἰλ. φύλ. 275. — Ἡρόδ. δ, 17 (καὶ σημ. Wessel). — Παυσαν. Α. λβ. — Στέφ. Βυζ. λ. Ἀλαζὼν, κτλ. (Σημείωσαι ἐν τούτοις καὶ τὸ α = ο πολλάκις καὶ κατὰ διάλεκτον, ὡς καὶ ἐν ἄλλαις τῶν Εὐρωπαϊκῶν καὶ Ἀσιανῶν γλωσσῶν· τοιαῦτα καὶ τὰ ἑβραϊκὰ Ἀσὰ, Ὀσά: Ἀζὰ, Ὀζὰ, Ἀζώ: Ἀβδιοὺ, Ὀβδιοὺ κτλ.). Καὶ ἡ παρὰ τὸν Τίγριν πόλις, ἡ Νίσιβις, ἐγράφετο καὶ Νάσιβις, καὶ Νέσιβις (Ν έ σ ι β ι, ἐν νομίσματος ἐπιγραφῇ. βλ. Στεφ Βυζ. λεξ. ἐκδ. Berk.). Οὕτω καὶ Νάαρδα, καὶ Νέαρδα, πόλις Συρίας (Ἀῤῥιαν. — καὶ Ἰώσηπ. Ἀρχ. ιη, θ. Hav. — Στέφ. Βυζ. — « Videntur Orientales facillime permutasse α, et ε ». Berkel. not. λ. Νάαρδα. Περὶ δὲ τῶν κατὰ τὴν μεταγραφὴν σφαλμάτων διέλαβον ἄλλοι τε, καὶ ὁ Κλέρικος ἐν Art. Crit. Tom. 2. Sect. I. c. 2.

πολλὰ παρ᾽ Ἕλλησι· μνημονεύω δὲ μόνον τινὰ τῶν τῆς Καινῆς Διαθήκης (κατὰ διαφόρους κώδηκας) οἷον· τὸ Βηθσαϊδά, καὶ Βηθσαϊδάν, Καπερναοὺμ καὶ Καφαρναοὺμ, *Ῥαββονὶ* καὶ *Ῥαββουνὶ* (τὸ συνηθέστερον *Ῥαββὶ*), Γεργεσηνῶν, Γερασηνῶν, Γαδαρηνῶν (ἐκ τοῦ Γέρασα, καὶ Γέργεσα, καὶ Γάδαρα τὸ αὐτὸ πόλισμα), Χοραζὶν, Χωραζὶν, Χοραζάϊμ (α)· κτλ. Τελευταῖον, ὅσων Ὅδιος ἐσημείωσεν ἀντιγραφικῶν περὶ τὰ ὀνόματα σφαλμάτων, τὰ μὲν ἐκ τοῦ Βατικανοῦ, ἄλλα δ᾽ ἐκ τοῦ Ἀλεξανδρινοῦ κώδηκος ἐκλεξάμενος, τούτων πάλιν τὴν ὀρθὴν γραφὴν εὑρίσκεις πολλάκις ἢ εἰς τὸν ἕτερον τῶν δύω τούτων, ἢ εἰς ἄλλον κώδηκα, βεβαιουμένην διὰ τῆς καὶ πρὸς τὰς ἄλλας ἐκδόσεις παραθέσεως. Οὕτω τὸ Οὐλαιμαδάχαρ (Ἱερεμ. νβ, 31. ἐκδ. Βατικαν.) ὀρθότερον γέγραπται ἐν τῷ Ἀλεξανδρινῷ, Οὐλαιμαράδαχ, καὶ εἴ τινα ἄλλα τοιαῦτα (β).

β) Αὐτὸς ὁ ἀκριβέστατος κώδηξ ὁ Ἑβραϊκὸς, ἐξ οὗ μετέφραζον οἱ Ο, εἶχεν, ὡς φαίνεται, κατὰ τόπους καί τινας διαφόρους τοῦ αὐτοῦ ὀνόματος ἀναγνώσεις κατά τε στοιχεῖα, καί ποτε κατὰ λέξιν παραλλαττούσας, ὡς ἔχει καὶ τὴν σήμερον τὸ ἑβραϊκόν· οἷον· « *Ἐλιφαὰλ υἱὸς Ὢρ, Ἀφὲρ ὁ Μεχουραθὶ* (α. Παραλ. ια, 35, 36, ἐκδ. Ἀλδ. ἡ δ᾽ Ἀλεξανδρ. συνάμα, Ὡραφέρ)· οὕτω καὶ τὸ νῦν Ἑβρ. *Eliphal* ben Ur, *Apher Hemechurethi*. Καὶ πάλιν ὁ αὐτὸς ἀνὴρ, « *Ἐλιφαλὲθ*, υἱὸς τοῦ *Ἀσβίτου*, υἱὸς τοῦ *Μαχαταίου* » (β. Βασιλ. κγ. 34), καὶ Ἑβρ. Eliphelet ben *Ahasbai*, ben *Hemaachathi* (γ). Οὕτω καὶ ἡ Kiriath-Sepher (Ἰησ. ιε, 16)

---

(α) Ματθ. ια, 21: η, 28. Μαρκ. ε. ι. Λουκ. η, 26. Ἰω. κ. 16. ἐν ἐκδ. Rob. Stephan. καὶ Griesbachij. πρβλ. Schleusner Lex. N. Test. Οὕτω καὶ Βεελζεβοὺλ, Βεελζεβούβ· Βελίαρ, Βελίαλ, κτλ. κτλ. Σουίδ. λ. Βελίαρ. — Albert. εἰς Ἡσύχ. τόμ. α. σελ. 717. — J. Saubert. Var. Lect. text. Gr. Ev. Math. etc.

(β) Τοιαῦτά τινα περὶ τὰ ὀνόματα σφάλματα τῶν ἀντιγραφέων τοῦ Βατικανοῦ κώδηκος παραβάλλει πρὸς τὰ ἐν τῷ Ἀλεξανδρινῷ ὀρθότερον γεγραμμένα ὁ Breitinger. ἐκδ. τῶν Ο, (κώδ. Ἀλεξ.), Tom. 2. Prolegom. c. III. §. 4.

(γ) Βλ. Kennicot, super Rat. text. Hebr. V. T. Diss. I. p. 190 etc. Lips. 1756. πρβλ. καὶ S. Hieron. Quaest. Hebr. in Paralip. ὅπου καὶ ἄλλα ὀνόματα ἄλλως ἐν Παραλειπ. καὶ ἄλλως ἐν ταῖς Βασιλ. γεγραμμένα σημειοῦνται, ὡς,

μετ' ὀλίγον γέγραπται Kiriath-Sanna (§. 49. Οἱ δὲ Ο, ἐν ἑκατέροις τοῖς χωρίοις, « *πόλις γραμμάτων*· καὶ ἡ Βουλγ. Urbs litterarum). Ἡ δὲ πάλιν συνήθως πηγὴ τοῦ *Σιλωὰ*, καὶ *Σιλωὰμ* (ἑβρ. Siloah, ὡς καὶ Νεεμ. γ. 15. Κομπλ.) ἀλλαχοῦ καλεῖται καὶ Γιὼν (γ. Βασιλ. α. 33. βλ. καὶ Ἰώσηπ. Ἀρχ. ζ, 14. §. 5) (α). κτλ. Τοιαῦται διαφοραὶ εὑρίσκονται καὶ κατὰ ςοιχεῖον· οἷον *Σαττὶν*, καὶ ἑβρ. Schittim (Ἀριθμ. κε, 1. καὶ Ἰησ. β, 1· γ, 1), καὶ πάλιν (Κριτ. ζ. 22) *Σιττὰ*, ἑβρ. Schitta (ὡς, Beth-Schitta· καὶ οἱ Ο, *Βαιθὰ-σιττά*. Κομπλ. κτλ.). Θογαρμὰ (Βατικαν.), Θοργαμὰ (Ἀλεξανδρ.) ἑβρ. Thogarma, ἄλλ. κώδ. Κεννικ. Thorgama (καὶ Ἀραβ. ὡσαύτως)(β). — Ἀσταρὼθ (Δευτ. α, 4. τὸ ἑβρ. καὶ οἱ Ο), καὶ *Ἀταρὼθ* (οἱ Ο, καὶ τὸ ἑβραϊκ. ἐν Ἀριθμ. λβ. 3, 34), καὶ ἄλλα πολυάριθμα. Διέκρινεν ὁ σοφὸς Ὅδιος τοὺς ἑρμηνεῖς καὶ ὡς ἀπὸ τῆς συγχύσεως τοῦ δ (Daleth) πρὸς τὸ ὁμοιόμορφον ρ (Resch) (βλ. §. θ. κτλ)· ἀλλ' ἡ αὐτὴ τῶν συμφώνων ἀνταλλαγὴ εὑρίσκεται καὶ παρ' Ἑβραίοις· οἷον Ἀδὰρ, καὶ Ἀδὰδ (γ. Βασ. ια, 14, καὶ Schulz ibid.) υἱὸς *Ἄδερ* (οἱ Ο), καὶ υἱὸς *Ἀδάδου* (Ἰώσηπ. Ἀρχ. Η, ιδ. 1, καὶ Ζ, ε, 2) (γ). Οὕτω καὶ Riphat καὶ Diphat (Γενέσ. ι, 3. καὶ Α. Παραλ. α. 6. ἑβραϊκ. κώδ. Κεννικώτ. οἱ δὲ Ο, *Ῥιφὰθ*). Dodaim καὶ Rodaim (ἑβρ. κώδ. Κεννικ.). *Χορχὸρ* καὶ *Χοδχὸδ* (Ἰεζ. κζ. 16), καὶ ἄλλα τοιαῦτα, εἴτε κατὰ σύγχυσιν τῶν ὁμοιομόρφων γραμμάτων πλανωμένου τοῦ Ἑβραίου μεταγραφέως, εἴτε καὶ ἑκατέρως κατὰ τόπους

---

Eliadah ὁ αὐτὸς καὶ Baliadah κτλ. κτλ. Οὕτω καὶ τὸ Γοδολία, ἢ Γαδαλία, ἐν τῷ νῦν ἑβρ. γράφεται καὶ Gadalia, καὶ Gedaliahu, ὡς καὶ αὐτὸς Ὅδιος ὡμολόγησε σελ. 205. — (α) Βλ. Schulz Sch. in V. T. vol. 3. p. 10, 383. — Schleusn. L. N. T. λ. Σιλωάμ. — (β) Βλ. καὶ Rosenmül. εἰς Ἰεζεκ. κζ· ὁ δὲ Φράγκελος (l. c. p. 97) καὶ ὧδε τερατεύεται.

(γ) Ἄλλα χειρόγραφα (Ἰωσήπ. αὐτόθ. Hav.) ἔχουσιν Ἀ δ έ ρ ο υ (διὰ τοῦ ρ)· ἀλλ' ἡ κυριωτέρα γραφὴ φαίνεται ἡ διὰ τοῦ δ. « Βασιλεὺς Ἄ δ ω δ ο ς » (Φίλων Βύβλ. ἐκ Σαγχωνιάθ. παρ' Εὐσεβ.). Καὶ Νικόλαος ὁ Δαμασκηνός· « Ἄδαδος ὄνομα, Δαμασκοῦ καὶ τῆς ἄλλης Συρίας ἐβασίλευσεν » οὗ καὶ οἱ ἀπόγονοι Ἄδαδοι, « ἑκάστου παρὰ τοῦ πατρὸς ἅμα τῇ ἀρχῇ καὶ τοὔνομα τοῦτο ἐκδεχομένου, ὥσπερ οἱ Πτολεμαῖοι ἐν Αἰγύπτῳ » κτλ. (πρβ. ὄπισθ. σελ. 144, 606). Ben - Adad (υἱὸς Ἀδὰδ) ἀνέγνω καὶ Ἱερώνυμος κτλ. Βλ. καὶ Scalig. not. in Fragm. Graec. p. 47.

προφερόμενα διὰ ποιάν τινα τῶν φθόγγων ὁμοιότητα, ὡς ὁ κλεινὸς Γρότιος ἐσημείωσεν (α). Οὕτως ἐγράφη καὶ ὁ « *Καρμήλιος* » (Καρμηλὶ), καὶ «*Καρμηδὶ*» (Α. Παραλ. ια, 37: καὶ Β. Βασ. κγ, 35· ὅπου καὶ τὸ ἑβρ. ὡσαύτως Karmeli καὶ Karmedi. βλ. κώδ. Κεννικώτ. πρβλ. καὶ τὸ βὰδ καὶ βὰρ, ὄπισθ. §. ις). Ὁ δὲ Φράγκελος (σελ. 99) τούτων ἐπιλαθόμενος, ἐπιφύεται καὶ αὐτὸς τοῖς Ο, ὅτι συγχύζουσι τὸ Δ, πρὸς τὸ Ρ, ὡς ἑρμηνεύσαντες ἐξ ἀντιγράφου λίαν ἡμαρτημένου. Ἀλλὰ πῶς ὁ Ῥαββῖνος οὐκ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτοῦ πρὸς τοσούτους ἑβραϊκοὺς κώδηκας, ἐν οἷς οἱ πατέρες αὐτοῦ συνέχεον πολλάκις ταῦτα τὰ γράμματα, γράψαντες Idala (Ἰησ. ιθ, 15) καὶ Irala, Hebron καὶ Hebdon, Aruma καὶ Aduma, καὶ Ruma καὶ Duma, Eber καὶ Ebed, Siddim καὶ Sirim, Adadhezer καὶ Adarhezer (οἱ Ο, καὶ Ἰώσηπ. Ἀδρεαζάρ), καὶ ἄλλα πολυάριθμα; (β). Παρατηρεῖ τὸ Γεδσὼν (ὡς ἔχει πολλάκις ὁ κώδηξ ὁ Βατικανὸς, ἔστι δ᾽ ὅτε καὶ ὁ Ἀλεξανδρινὸς), ἀντὶ Γερσών. Ἀλλ᾽ αὐτὸς πάλιν ὡμολόγησεν, ὅτι κατ᾽ αὐτοὺς τοὺς κώδηκας γράφεται καὶ *Γηρσὼν* (Γεν. μς, 11, Βατικ. καὶ Ἀλεξ. καὶ οἱ λοιποί. Ὡσαύτως καὶ Ἐξόδ. ς, 16. Ἀλεξ. καὶ Ἀλδ.). Πῶς λοιπὸν οἱ Ο μετέφραζον ἐκ κώδηκος διεφθαρμένου, καθὼς ὁ ῥαββὶς ἀπεφήνατο, δραξάμενος τῆς περὶ τὸ *Γεδσὼν*, καὶ *Γερσὼν*, ἢ *Γηρσὼν* ἀςασίας τῶν ἀντιγραφέων; Ἢ πῶς οὐκ ἠρυθρίασε, φέρων τῆς ἰδίας αὐτοῦ γνώμης μάρτυρα τὸν Ὠριγένην; λέγει μὲν οὗτος ὅτι « *Γεσὼν* ἐν τοῖς πλείςοις (οὐ πᾶσι) τῶν ἀντιγράφων ὠνόμασται » (εἰς Ἰωάν. σελ. 141)· ἀλλ᾽ αὐτὸς ἐκήρυξεν, ὅτι « Οἱ Ο, Γερσών· ἄλλος, Γεδσών· »

---

(α) « Nec mirum, cum litterae D a l et R e s c h non modo formam persimilem habent, s e d o b s o n i a l i q u a m a f f i n i t a t e m facile inter se mutantur ». Grot. Τούτοις πρόσθες καὶ τὸ Ῥουβείμ, ἢ Ῥουβὴν (οἱ Ο)· καὶ Ῥουβῆλος (Ἰώσ. Ἀρχ. α. ιθ. σελ. 53. Τ. α. Hav. καὶ Σχολ. Bernard.), Tubal, Picol, Saled, καὶ ἑλλ. Τιβαροὶ (Τιβαρηνοὶ), Φιχὼρ, Σαρὰδ, κτλ. (Βλ. Rosenmül. in Ezechiel, 23, 13· καὶ Schulz Sch. in V. Test. vol. 3. p. 235). πρβλ. καὶ τὰ κλίβανος, κρίβανος, Κρεώφιλος καὶ Κλεόφιλος, παρήλια, palilia, parilia.

(β) Βλ. Rossi Var. Lection. V. Test. Tom. 2. p. 91. καὶ Supplem. p. 36. etc.

(γ) Ὁ Φράγκελος ψέγει τοὺς Ο, καὶ ὡς τρέποντας συχνάκις τὸ τελικὸν τῶν ἑβραϊκ.

(Ἐξαπλ. τ. α. σελ. 64) (γ). Ὁ δὲ Ῥαββὶς σπουδάζων ἀποδεῖξαι τὴν περὶ τὸ ρ, καὶ δ, τάχα παλαιὰν διαφθορὰν τῶν κατὰ τοὺς Ο κωδήκων, παρασύρει καὶ τὸν Φίλωνα, γράψαντα Γαιδὰδ ἀντὶ Γαιδὰρ, τὸ ποίμνιον (Φίλ. τ. α. σελ. 237). Ἀλλ᾽ ὁ Φίλων πάντως ἔγραψεν, ὡς ἔχουσι καὶ νῦν οἱ, Ο *Γαιδὰρ* (Γενέσ. δ, 18)· καὶ ὁ Μαγγέϋς διώρθωσε τὸ ἐν τῷ Φίλωνι σφάλμα τῶν μεταγραφέων, φέρων μάρτυρα πάλιν αὐτὸν τὸν Φίλωνα, διακρίνοντα τὴν σημασίαν τοῦ Γαιδάδ. Καὶ ταῦτα μὲν τοιαῦτα τὰ Φραγκέλεια.

γ) Πολλάκις ὁ αὐτὸς συγγραφεὺς, ὅταν πρῶτος αὐτὸς μεταφράζῃ ξενικάς τινας φωνὰς εἰς ἄλλην διάλεκτον, ἀστάτως αὐτὰς ἐκφέρει, καὶ μάλιστα ὅταν τῶν μεταφερομένων γραμμάτων ὁ φθόγγος ποικίλληται κατὰ στοιχεῖα καὶ συλλαβὰς, ἢ ἐκ συνηθείας, ἢ κατὰ διάλεκτον (ὡς ἐπὶ τῶν αυ, καὶ ευ, ἑλληνικῶν διφθόγγων, ἐν τοῖς *αὔω* καὶ *εὔω*, κτλ.). Τοιοῦτό τι συμβαίνει καὶ ἐπὶ τοῦ ἑβρ. waw μετὰ τοῦ aleph συναπτομένου, καὶ ὡς αυ, καὶ ευ (αβ καὶ εβ), καὶ ου προφερομένου (α). Ἄλλους εὕρηκεν Ὅδιος τοὺς γράψαντας *Εὐϊλ* (Evil)—καὶ ἄλλους τοὺς *Οὐϊλ* —(Μαροδὰχ, κτλ. §. θ)! Καὶ πόσους λοιπὸν εὕρηκε Πλουτάρχους, γράφοντας ἐν τῷ αὐτῷ βιβλίῳ (Ῥωμύλ.), Φευρουάριος καὶ Φεβρουάριος (Februarius), Οὐάρων καὶ Βάρων (Varo), Ἀουεντῖνον καὶ Ἀβεντῖνον (Aventinum), Ὀούαν καὶ Ὄβαν (Ovatio), καὶ ὅσων ἄλλων τοιούτων τὴν γραφὴν ὁ αὐτὸς Πλούταρχος ἄλλως

---

ὀνομάτων μ, εἰς ν, καὶ τἀνάπαλιν (σελ. 98). Ἀλλ᾽ ἐπελάθετο καὶ ὧδε, ὅτι αὐτὸ τὸ Γηρσὼν (ὡς γράφεται καὶ παρ᾽ Ἑβραίοις Γεν. μς, 11· καὶ α, Παραλειπ. ς, 1, 16), ἐν Ἐξόδ. β. 22, ἑβραϊστὶ γράφεται Γηρσὼμ (διὰ τοῦ μ)· καὶ ὁ Δρούσιος (Annot. ad Genes. 46) εἶχε ῥαββῖνον, υἱὸν πατρὸς Γηρσὼμ (τῷ 1600). Ἔστι δὲ καὶ συγγραφεὺς Ῥαββῖνος, Λευῒ Βὲν Γηρσώμ· Ἐρωτῶμεν τὸν ἀρχιραββῖνον, ποτέρα τῶν καταλήξεων ὑπάρχει ἡ ἀκριβής;

(α) Οἷον τὸ ἑβρ. Our (Οὗρ) γράφεται διὰ τοῦ aleph καὶ waw (πρβλ. αὖλαξ, ὦλαξ: αὖς, ὦς (ὠτὸς) καὶ οὖς κτλ. καὶ τὰ λατ. Claudius, Clodius κτλ.). Παρομοίως καὶ τὸ ajin μετὰ τοῦ waw, προφέρεται καὶ αυ, καὶ ω, καὶ ου· ὅθεν καὶ τὸ Hutz, ἢ Huz, Hus (Οὔζ, Οὗς) μετεφράσθη καὶ Αὗς, Αὐσίτις χώρα (Ἰὼβ α, 1· Hier. Quaest. in Gen. 10· καὶ παρὰ Πτολεμ. « Αὐσῖται, ὅμοροι Χαλδαίοις »)· Οὕτω καὶ τὸ Aven, Αὖν, καὶ Ὢν, καὶ Βηθ-Αὖν, Βηθ-Ὢν (§. ια). πρβ. καὶ Αὐρανῆτις, Ὠρανῖτις, τὸ ἑβρ. Hauran (cheth, waw). Ἰεζ. μζ, 18.

ἀλλαχοῦ πολλάκις ἐξελληνίζει; Πόσους δὲ πάλιν Στράβωνας γράφοντας τὸ Vesuvius Οὐεσούϊον, καὶ Βεσούβιον (σελ. 26, 247); κτλ.

δ) Πολλάκις εἰς τὴν αὐτὴν διάλεκτον τῶν αὐτῶν ὀνομάτων ὁ φθόγγος εἴτε κατά τινα ἰδιωτισμὸν εἰς ὡρισμένας περιστάσεις (οἷον ἐν τοῖς συνθέτοις κτλ.) (α), εἴτε καὶ τὸ πλεῖστον κατὰ καιροὺς μεταβάλλεται. Οὕτω τὸ ἀρχαῖον Ἀρισώθ (Κριτ. δ. 2. Βατικ.), καὶ ἑβραϊκ. Harischoth, ἢ Charoseth, μετετράπη ὕστερον εἰς τὸ Choraschin, *Χωραζὶν* (Βλ. Λεξικ. Ν. Δ. Σκλευσηνέρ.). καὶ τὸ ἀρχαῖον *Χενερὲθ* (Ἰησ. ιθ, 35), εἰς τὸ Χαλδαϊκώτερον *Γεννησὰρ* (Ἰωσήπ. Ἰουδ. Πολ. γ. ι. §. 7-8), καὶ *Γεννησαρὲτ* (Ματθ. ιδ, 34. Λουκ. ε, 1). Πρόσθες καὶ τὸ εἰρημένον *Σιλωὰ* (Νεεμ. γ. 15) καὶ παρὰ αὐτοῖς τοῖς Ἱεροσολυμίταις *Σιλωὰμ* (Ἰω. θ. 7)· τὸ δὲ Βεὼρ (Ἀριθ. κβ, 5) ὁ θεῖος Πέτρος (Β. Πέτρ. β. 15) ἐξέφερε *Βοσὸρ* (τραπέντος εἰς σ, τοῦ ἑβρ. ajin, κατὰ συνήθειαν ἑλληνικήν· βλ. Σκλευσήν. Λεξ. Ν. Δ.). Τοιουτοτρόπως πολλά τινα τῶν ὀνομάτων, ἄλλως μὲν ἴσως ἐγράφησαν ἐν τῇ Πεντατεύχῳ (κατὰ τὸν ἀρχαιότερον φθόγγον), ἄλλως δέ πως τὰ αὐτὰ ἐν τοῖς προφητικοῖς καὶ τοῖς ἄλλοις μεταγενεστέροις βιβλίοις (διὰ ποιάν τινα τοῦ φθόγγου μεταβολήν). Τοιοῦτο παράδειγμα φαίνεται μετ' ἄλλων καὶ τὸ « *χώρα* Χαλδαίων (Γεν. ια, 28), ἢ ἄλλως Ὦρ, καὶ Οὖρ καὶ (ἑλληνικώτερον) Οὔρη, ἢ Οὐρὴ λεγομένη πόλις (β), Ura, Οὖρα γράφεται καὶ παρὰ τοῖς Ταργουμισταῖς (Ὀγκέλ. Ἰωνάθ.). Τὸ δ' ἀρχαιότερον ἐγράφετο παρ' Ἑβραίοις οὐ μόνον Οὖρ, ἢ Ὦρ (aleph καὶ waw), ἀλλὰ καὶ πνευματωδέστερον Hour, ἢ Hor (διὰ τοῦ he καὶ waw· συνήθης δὲ ὁ τοιοῦτος πνευματισμὸς καὶ

---

(α) Οἷον τὸ Βάαλ, καὶ Βέελ (καὶ κράσει, Βὴλ, Βῆλος) ὁ μὲν Ὅδιος παρεδειγμάτισεν ὡς ἄστατον διττογραφίαν· ἀλλ' ὁ Ἱερώνυμος ἐσημείωσεν, ὅτι ἐ ν τ ο ῖ ς σ υ ν θ έ τ ο ι ς γράφεται σταθερῶς κατὰ τὸν β, τύπον, ὡς ἐν τοῖς Βεελ-φεγὼρ, Βεελ-σεφὼν, κτλ. Τοιοῦτο καὶ τὸ Βεελ-ζεβούλ. Οὕτως ἔγραψε καὶ Φίλων ὁ Βύβλιος (ἐκ τοῦ Σαγχωνιάθονος) τὸ « Βεελ-Σαμὴν, ὅ ἐστι παρὰ Φοίνιξι Κύριος Οὐρανοῦ »· πρβλ. Scalig. not. in Eragm. Gr. p. 26. — Selden, de Dijs Syr. II. c. I.

(β) Ἰώσηπ. Ἀρχ. α, ς, §. 5, καὶ Σημ. Hav. καὶ Εὐστάθ. Ἀντιοχ. παρ' Οὐοσσίῳ (βλ. καὶ Συγκελ. Χρονογρ. σελ. 178 Bon. ὅπου γράφεται ἡμαρτημένως Σ ο ὺ ρ, ἀντὶ Ο ὖ ρ), καὶ Εὐπόλεμος· « πόλιν Ο ὐ ρ ί η ν » (παρ' Εὐσεβ. Εὐ. Προπαρ. θ. σελ. 245).

παρὰ Σύροις καὶ Ἄραψιν, ὡς, καὶ τὸ Aran, Charan, Χαρὰν κτλ). τὸ δὲ Hor οἱ Ο, ἐξέφρασαν προσθέντες τὸ πνευματῶδες Χ (χὼρ), καὶ ἑλληνικώτερον *χώραν* (α). Δασύτερον ἐξέφερον οἱ Ο, καὶ τὸ ἑβρ. στοιχεῖον ajin, ἐκφράσαντες μετὰ τοῦ γ, εἰς τὸ Αἲ (ἢ Ἄϊ), καὶ Γαὶ, ἢ Γάϊ (καὶ παρ' Ἰωσήπῳ Ἀρχ. ε. α, §. 12, τ. α. σελ. 268, χωρὶς πνευματισμοῦ, καὶ μετὰ τοῦ ἐφελκυστικοῦ ν· Ἄϊν, Ἀϊνὰ), καὶ πάλιν, Ἀγαὶ, Ἀγγαὶ, Βουλγ. Hai, καὶ παρ' Ἑβραίοις Hai (διὰ τοῦ ajin καὶ jod) καὶ Hahai (μετὰ τοῦ ἄρθρου he), καὶ Haïa, καὶ Haïath (Ἡσ. Ι. 28). Ὁ δὲ Ὅδιος εἰς μάτην καὶ ἐκ τούτου τοῦ ὀνόματος ἐπολλαπλασίασε τοὺς ἑρμηνεῖς· ἄλλοι παρ' αὐτὸν σοφώτεροι συνεῖδον τὴν ταυτότητα τοῦ Αἲ καὶ τοῦ Γαὶ, καὶ τὴν συγγένειαν τὴν πρὸς τὸ οὐσιαστικὸν gai = χάος, φάραγξ, (β). — ε) Τελευταῖον· πολλῶν παρὰ τοῖς Ο, ὀνομάτων ἡ γραφὴ ἀπαιτεῖ καὶ ἀνάλογον τὴν ἀντιστοιχοῦσαν ἑβραϊκὴν, οἵαν καὶ ἀνέγνωσαν ἐκεῖνοι ἐν τῷ κατ' αὐτοὺς Ἑβραίῳ κώδηκι. Ἐν δὲ τῷ νῦν ἑβραϊκῷ κειμένῳ, ὡς πολλὰς καὶ ἄλλας λέξεις πολυπληθεῖς, οὕτω καὶ τὰ πολλὰ τῶν ὀνομάτων διέ-

---

(α) J. Voss. de LXX. c. 12. p. 36. Κατὰ τοὺς Ο, χ ώ ρ α ν ἔγραψε καὶ Φίλων· οἱ δὲ περὶ τὸν Ἰώσηπον ἐκράτησαν τὴν διὰ τοῦ ου, καὶ ταύτην ἀπνευμάτιστον γραφὴν (Οὔρην)· ὥστε μάτην ἀντεῖπεν Οὐσσίῳ ὁ Scharfenberg (βλ. καὶ Schleusn. Thes. V. T. λ. χώρα). — (β) Ὡς Ζαχαρ. ιδ. 4. Ἀλλὰ καὶ τὴν Γαὶ (τὴν πόλιν) χάος ἡρμήνευσεν Ὠριγένης (βλ. Bernard. σημ. εἰς Ἰωσ. Ἀρχ. Ε α. § 12, 15. Hav. ὁ δὲ Gesen. Lex. Hebr. p. 755: ἐρειπίων σωρόν. πρβλ Rosenmül. Schol εἰς Ἡσαΐ. 1 28) Ἡ δὲ Γαὶ γράφεται καὶ Γὲ (διὰ τοῦ ε) καὶ τοῦτο = φάραγξ (βλ. ἔμπρ. §. λα, Γεβενενόμ). Ὁ δὲ Ὅδιος διαλύων Ἐρασμικώτερον τὰς ἑλληνικὰς διφθόγγους, παρεδειγμάτισε καὶ τὴν διττογραφίαν τοῦ Ἐλὰμ, Αἰλάμ. Ἀλλὰ τούτου ἡ πρώτη συλλαβὴ παρ' Ἑβραίοις γράφεται διὰ τοῦ ajin, ὅπερ ἐν πολλοῖς ἐκφέρεται ἀδιαφόρως καὶ διὰ τοῦ ε, καὶ διὰ τῆς αι, καὶ ταῦτα δὲ πάλιν διὰ τὴν παρ' Ἕλλησιν ὁμοιοφωνίαν ἀνταλλάσσουσιν οἱ μεταγραφεῖς. Τοιαῦτα παραδείγματα διφθόγγων πρὸς ὁμόφωνα φωνήεντα, διὰ πλάνην τῶν μεταγραφέων πολλάκις ἀλλασσομένων (οἷον τῆς αι, πρὸς ε, τῆς ει πρὸς ι, καὶ η) συνεσώρευσε πολλὰ καὶ ὁ σοφὸς Sturzius (de Dialect Maced. §. 10 p. 117. sq.); ὡς δείγματα δῆθεν τῆς παρ' Ἀλεξανδρεῦσιν ἰδιαζούσης τῶν ἑλληνικῶν γραμμάτων προφορᾶς. Εἰσὶ δὲ τὰ πλεῖστα προφανῶς ἀνορθογραφίαι τῶν κωδήκων τῆς Γραφῆς, ἀφ' ὧν ἐξέφερε τὰ δείγματα. βλ. καὶ Bos. proleg in V. Test. Ἐκ δὲ τούτων ἐπλουτίσθη καὶ ὁ Φράγκελος (pag. 69), προσθεὶς καί τι παράδοξον· ὅτι ἐκ τῶν τοιούτων ἀνορθογραφιῶν ἡ ἑρμηνεία τῶν Ο ἀπόλλυσιν οὐκ ὀλίγον τῆς βεβαιότητος!

φθειρεν ἡ κατὰ Μασορίτας στίξις καὶ γραφὴ, καὶ προσέτι τὰ σφάλματα τῶν ἀντιγραφέων. Ἀλλὰ περὶ τούτων ἐφεξῆς πλατύτερον (α).

§. λ. Β) Οὐδ᾽ ὁ ἄστατος τῶν αὐτῶν ὀνομάτων σχηματισμὸς (νῦν μὲν ἑβραϊστὶ, νῦν δὲ καθ᾽ Ἕλληνας σχηματιζομένων) ἀποδείκνυσι τὴν διαφορὰν τῶν κατὰ καιροὺς ἑρμηνευτῶν. Ἡ γὰρ τοιαύτη ἀστασία προήρχετο πάντως ἐκ τῆς εἰς ἣν μετέφραζον δια-

(α) Τοιοῦτο παλαιὸν ἀντιγραφέων σφάλμα φαίνεται καὶ τὸ Θούβαλ-Καΐν, (Thubal — Cain) Γενέσ. δ. 22· (ὅπερ οἱ ῥαββῖνοι καὶ οἱ κριτικοὶ ματαίως ἵδρωσαν δικαιῶσαι. βλ. Critic. Sacr. T. I. p. 80: καὶ T. X. p. 115. πρβλ. καὶ Rosenmül. καὶ Schulz Schol. εἰς Γενέσ. αὐτόθ.). Οἱ δὲ Ο, ἔχουσι μόνον Θ ό β ε λ, (οὕτω καὶ ὁ Φίλων τόμ· α. σελ. 247. Mang.). Θόβελον ἔγραψε καὶ Ἰώσηπος (Ἀρχ. Α, β, 2). Ἔχει δὲ ἡ φράσις οὕτω κατὰ τοὺς Ο· « ἔτεκε τ ὸ ν Θ ό β ε λ. Κ α ὶ ἦ ν σφυροκόπος χαλκοῦ » κτλ. (καὶ ἡ Βουλγάτ. « Thubalcaïn, qui erat » etc.)· τὸ δ᾽ ἑβραϊκόν ἐστιν ἀσύνδετον· « Θούβαλ Καΐν, χαλκεύς » καὶ τὰ λοιπὰ διαφέροντα, καὶ παρ᾽ ἄλλοις ἄλλως ἐξηγούμενα. Ὁ μὲν οὖν Δρούσιος (δικαιῶν, ὡς εἴωθεν ἐν πᾶσι, τὸ ἑβραϊκὸν) εἶπεν, ὅτι ἐξέπεσε τὸ Κάϊν ἐκ τῶν Ο, ἀβλεψίᾳ τῶν ἀντιγραφέων· ὁ δὲ Φράγκελος (l. c. p. 66) κᾄτι λεπτότερον ἐσοφίσθη. Τὸ μετὰ τὸ Θουβὰλ ἑπόμενον Κ α ῒ ν (ἢ Κάϊν), μετετράπη (λέγει) ὑπὸ τοῦ ἀντιγραφέως εἰς τὸ Κ α ὶ ἦ ν· πολὺς γὰρ ὑπῆρχεν ἐν Ἀλεξανδρείᾳ ὁ ἠ τ α κ ι σ μ ὸ ς (ἴσ. ἤθελεν εἰπεῖν ὁ ἰ ω τ α κ ι σ μ ὸ ς, ἡ διεφθαρμένη δηλονότι παρὰ τοῖς νεωτέροις Ἕλλησι προφορὰ τοῦ η, ὡς ι). Καὶ διώρθωσε κᾀνταῦθα ὁ κριτικὸς παρόμοια, ὡς καὶ πρῴην, ἐν οἷς ἐξήγαγε τὸ Θ ε ο ῦ ἐκ τοῦ Ἰὴλ (βλ. ὄπισθ. σελ. 294). Φαίνεται δὲ ὅτι περὶ τὴν ἑλληνικὴν γλῶσσαν ὁ Φράγκελος πρεσβεύει τὴν κατ᾽ Ἔρασμον προφοράν. Οὕτω καὶ ἀλλαχοῦ (σελ. 109) παραβάλλων τὸ ἑβρ. waw (=w), ἐκφραζόμενον παρὰ τοῖς Ο καὶ διὰ τοῦ ἑλλην. βῆτα, εὕρηκε καὶ τὸν τόπον καὶ τὸν χρόνον, καθ᾽ ὃν οἱ νεώτεροι Ἕλληνες διέστρεψαν τὸν φθόγγον τοῦ β, εἰς τὸν τοῦ w. « Ἡ τοιαύτη προφορὰ πηγάζει (φησὶν) ἐξ ὑστεροχρόνων ἀντιγραφέων (τῆς Γραφῆς). Καὶ εἴπερ οἱ Ο, ἐτήρουν τὴν παλαιστινὴν μαλακωτέραν προφορὰν τοῦ ἑβρ. beth, ἴσως ὁ νεώτερος τοῦ βῆτα φθόγγος ἤρξατο πρῶτον ἐν Ἀλεξανδρείᾳ » κτλ. Ἀλλ᾽ οἱ νεώτεροι Ἕλληνες ἀσμενέστερον ἂν ἔβλεπον τὸν ἀρχιραββῖνον διατυποῦντα καὶ διδάσκοντα μὴ τὰ ἑλληνικὰ, ἀλλὰ μᾶλλον τὸν κατὰ τοὺς Μασορίτας (οὐ γὰρ δήπου τὸν κατὰ τοὺς Ο, ἀρχαῖον καὶ γνήσιον) φθόγγον τῶν ἑβραϊκῶν γραμμάτων καὶ φωνῶν· καὶ κατά γε τοῦτο οὐδεὶς ἂν ἤρισε πρὸς αὐτὸν (τίς γὰρ ἂν ἐτόλμησεν; ὁπότε καὶ τὸν τάλαν Οὐβιγάτην ἀνεκήρυξεν ἀμαθῆ καὶ αὐτῶν τῶν ἑβραϊκῶν στοιχείων! σελ. 268). Ἀλλ᾽ ἐν τούτοις ἐξελέγχων τὸν Ἰωτατισμὸν, ἢ Ἠτακισμὸν, ἔλαθεν ὁ κριτικὸς βαρβαρισμῷ πελωρίῳ περιπεσών· ἂν γὰρ τὸ Καὶ ἦν εἰς τὸ Κάϊν τραπῇ, ποῦ ἀποδοθήσονται τὰ ἐφεξῆς; (ἔτεκε τὸν Θόβελ ΚΑΙΝ, σφυροκόπος χαλκοῦ, κτλ. τίς ὁ σφυροκόπος;) Ὅσον δὲ περὶ τῆς γνησίας τῶν ἑλληνικῶν γραμμάτων προφορᾶς, γελῶσι τὰ παιδία τῶν νεωτέρων Ἑλλήνων οὐχ ἧττον, ἢ διὰ τὰς διορθώσεις τοῦ κ α ὶ ἦ ν εἰς τ ὸ Κ ά ϊ ν, τοῦ γ α ι σ ὸ ς εἰς τὸ Κ ι δ ῶ ν, κτλ.

λέκτου τῶν Ἑλληνιστῶν Ἰουδαίων, οἵτινες συνήθως ἀνεμίγνυον οὐ μόνον λέξεις καὶ φράσεις, ἀλλὰ καὶ τύπους ἢ σχηματισμοὺς ἑκατέρων τῶν γλωσσῶν (καθὼς ἀείποτε τὸ τοιοῦτο συμβαίνει τοῖς ἀλλογλώσσοις). Ὅθεν καὶ οἱ Ο, ἔγραφον ἀνάμικτα τὰ ἐθνικὰ Ἀμοῤῥὶ καὶ Ἀμοῤῥαῖος, Μωαβὶ καὶ Μωαβίτης, Ἀσσύριοι καὶ Ἀσσούρ, κτλ. τὰ μὲν ἑλληνικώτερα συνηθέστερον ἐκφέροντες, ἐνίοτε δὲ καὶ αὐτὰ τὰ ἑβραϊκά, διὰ τὸ ἄστατον τῆς κατ' αὐτοὺς ἑβραϊζούσης πολλάκις διαλέκτου τῶν ἑλληνιστῶν. Τοιαῦτα καὶ τὰ τοπικὰ καὶ γενεαλογικὰ (εἰς ι, ἑβραϊκῶς, καὶ εἰς ίτης, ἢ αῖος ἑλληνικῶς), οἷον *Θεκωΐ*, *Ἀραθωθὶ*, *Νετωφαθὶ*, καὶ ἄλλα πολλὰ ἐν τοῖς Παραλειπομένοις· καὶ πάλιν *Θεκωΐτης*, *Ἀραθωθίτης*, Νετωφαθίτης, Ἀρουδαῖος, καὶ ὅσα τοιαῦτα ἐν ταῖς βίβλοις τῶν Βασιλειῶν (Β. Βασιλ. κγ, κτλ.) (α). Ἀλλ' οὐδὲ τοῦτο δείκνυσι διαφορὰν ἑρμηνευτῶν. Αὐτίκα ἐν αὐταῖς ταῖς Βασιλείαις, ὅπου φαίνεται συνηθέστερον ὁ ἑλληνικὸς σχηματισμός, εὑρίσκεται πολλάκις μεμιγμένος καὶ ὁ ἑβραϊκός· οἷον, ὁ *Ἀστατωθὶ* (Β. Βασ. κα §. 18, καὶ εὐθὺς §. 19), ὁ *Βηθλεεμίτης*, καὶ ὁ *Γεθαῖος*, κτλ. Καὶ πάλιν ἐν τοῖς Παραλειπομένοις, ὅπου σημειοῦνται πυκνότατα τὰ εἰς ι, ἑβραϊκὰ (Α. Παραλ. ια), παραπλέκεται καὶ τὸ *Μωαβίτης* (ια, 46),

---

(α) Τοῦτο καὶ ὁ κλεινὸς Κεννικῶτος (Ὁδίῳ παραδόξως συμφωνῶν) ἐσημείωσεν, ὡς δεῖγμα τῆς τῶν ἑρμηνέων δῆθεν διαφορᾶς (Kennicot. Rat. Text. Hebr. Diss. II. p. 311). Παραβάλλει δὲ καὶ ἐκ τῆς Ἀγγλικῆς ἑρμηνείας τῶν Γραφῶν παρομοίαν τινα διαφορὰν τῆς τῶν αὐτῶν ὀνομάτων Γραφῆς, ὅπου οἱ μὲν τῆς Γενέσεως ἑρμηνεῖς ἔγραψαν Seth, Enos, Kainan, Methusalah. Οἱ δὲ τῶν Παραλειπομένων, Sheth, Enosh, Kenan, Methushelah κτλ. Ἀλλὰ πλανᾶται (καὶ συγγνώτω ὁ περικλεὴς ἀνήρ)· «χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα» ἄλλη ἡ Ἀγγλικανή, καὶ ἄλλη ἡ κατὰ τοὺς Ο, ἑρμηνεία. Οἱ διερμηνεῖς ἐκείνης ἀπὸ ξένης ἑρμηνεύοντες φωνῆς (τῆς ἑβραϊκῆς), καὶ παρὰ ξένων ὁδηγούμενοι, τῶν προγενεστέρων ἑρμηνειῶν (τῆς τῶν Ο, καὶ τῆς λατινικῆς Βουλγάτας, καὶ τῶν Χαλδαίων Ταργουμὶμ), ἀνεμίγνυον καὶ τὴν Μασορίτειον ἀνάγνωσιν τῶν λέξεων (ἐν τοῖς Παραλειπομένοις). Οἱ δὲ Ο, μεταφράζοντες ἐκ τῆς πατρῴας αὐτῶν γλώσσης (ἣν καὶ διαφόρως παρὰ τοὺς Μασορίτας ἐν πλείστοις ἀνεγίνωσκον), εἰς τὴν παρὰ τοῖς ἑλληνισταῖς συνήθη τότε καὶ πολλάκις ἑβραΐζουσαν ἑλληνικήν, ἀπέκλινον ἐνίοτε καὶ εἰς τὸ ἀκανόνιστον καὶ ἀνώμαλον. Τοῦτο δὲ οὔτε προσώπων καὶ γνωμῶν διαφωνίαν, οὔτε χρόνου δείκνυσι διαφοράν, ἀλλ' ἁπλῶς ἰδίωμα διαλέκτου ἐθνικῆς.

καὶ προθετοπτώπως, ὁ *ἐκ Βηθλεὲμ* (αὐτόθ). Καὶ περαιτέρω δὲ (κζ, 11-31), τριχῶς ἐκφέρεται τῶν τοιούτων ἐθνικῶν ὁ τύπος, ἑβραϊκῶς (ὁ *Οὐσαθὶ*), καὶ εἰς ιτης, ἑλληνικῶς (ὁ *Γεδωρίτης*, ὁ *Σαρωνίτης*), καὶ τρίτον μετὰ προθέσεως (« *ὁ ἐκ Φαλλοῦς, ὁ ἐξ Ἀναθὼθ, ὁ ἐκ Νετωφαθὶ, ὁ ἐκ Φαραθὼν* κτλ.) (α). Τοιαύτην ἀνωμαλίαν περὶ τὸν σχηματισμὸν τῶν ἐθνικῶν ἀπαντῶμεν καὶ εἰς ἄλλα τεύχη τῆς Γραφῆς (ὃ παρεσιώπησεν ἡ δριμύτης τῶν κριτικῶν)· οἷον, « τὸν Γεσουρὶ, καὶ τὸν Μαχαθὶ, καὶ τὸν *Χαναναῖον* » (Ἰησ. ιγ. 13)· πρβλ. τὰ ἑλληνικά· ὁ βάρβαρος, ὁ Παίων, ὁ Ἰλλυριός, κτλ. (περιληπτικῶς ἀντὶ τοῦ ὅλου, οἱ Παίονες, κτλ.) καὶ τὰ, τοῦ Ἀμοῤῥὶ καὶ τοῦ *Ἀμοῤῥαίου* (Κριτ. ι. 9, 11)· οὕτω καὶ, « πᾶς ὁ *Χελεθὶ*, καὶ πᾶς ὁ *Φελεθὶ*, καὶ πάντες οἱ *Γεθθαῖοι* » (Β, Βασ. ιε, 18) κτλ. Ἐν δ' Ἀριθμ. κϛ. πάντα σχεδὸν τὰ τῶν δήμων πατρωνυμικὰ σχηματίζονται ἑβραϊκώτερον εἰς ι, (οἷον « τῷ *Ναμουὴλ*, δῆμος ὁ *Ναμουηλὶ* », κτλ.), ἢ καὶ ὁμοιοκαταλήκτως τῷ πρωτοτύπῳ (« τῷ *Ἐνὼχ*, δῆμος *Ἐνὼχ*,) κτλ. Οὕτως οἱ Ο, καὶ τὴν ἑλληνικὴν ἐθήρευον ἀκρίβειαν, καὶ τῆς εἰς ἣν ἡρμήνευον διαλέκτου τὴν ἑβραΐζουσαν ἀνωμαλίαν ἐνίοτ' ἐξ ἀνάγκης παρηκολούθουν. Τοιοῦτοι φαίνονται περὶ τὰς καταλήξεις καί τινων κυρίων καὶ ἄλλων Ἀσιανῶν ἑβραϊκῶν ὀνομάτων, ἐκφέροντές τινα καὶ κατὰ κατάληξιν ἑλληνικὴν, οἷον τὸ *Μάννα* (κατὰ τὸ *νᾶμα*, *γάλα* κτλ.), καὶ πάλιν ἑβραϊκώτερον τὸ *Μάν*· τὸ *Πάσχα*, καὶ (σπανίως) τὸ *φασὲχ*, ἢ *φασέκ* (β). Ἠλίας καὶ Ἠλιοὺ (ἑβρ. Elijah καὶ Elihu),

---

(α) Πρβλ. « τὸν ἀπὸ Ναζαρὲτ (Ἰω. α, 47), καὶ πάλιν τὸν Ναζαρηνὸν, καὶ Ναζωραῖον (Μάρκ. α, 24, ι. 47). Τί μὴ καὶ οἱ Ο, ἠδύναντο εἰπεῖν Μαδινίτην καὶ Μαδιαναῖον; κτλ. Ὅτι δὲ καὶ παρ' Ἕλλησι πολλῶν ἐθνικῶν ὀνομάτων ὁ σχηματισμὸς διφορεῖται πολλάκις, ὡς Πάριος καὶ Παριανὸς (Στέφ. Βυζ.) κτλ. φανερόν.

(β) Οὕτω καὶ Ἰώσηπος Πάσχα γράφων πολλαχοῦ, εἶπεν ὅμως καὶ Φάσχα (Ἰουδ. Πολ. Β. α. 3). Ὁ δὲ Θεοδοτίων, φάσεχ, ἢ φασὲχ (Βλ. Θεοδώρ. εἰς τὰ Ἄπορα Ἐξοδ. κδ). Ὄγκελος δὲ καὶ Οὐζελίδης καὶ τῶν ῥαββίνων οἱ πολλοὶ πάσχα γράφουσιν, ἢ πέσχα, καὶ οἱ Μασορῖται τονίζοντες τὴν Μωσσαϊκὴν τοῦ ὀνόματος γραφὴν, ἐκφωνοῦσι Pesah· οἱ δὲ Σαμαρῖται, φάσχ· καὶ οἱ Σύροι, φέσχ, κτλ.

Ἀδωνίας, Ζαχαρίας, Σοφονίας (καὶ ἑβραϊκώτερον Ἀδωνία, Σοφονία, Ζαχαρία κτλ. (πρβλ. τὰ ἑλλην. ἱππότα, μητιέτα, Θυέστα, κτλ. καὶ τὰ εἰς α, ἀρσενικὰ λατινικά). Τὴν αὐτὴν ἀνωμαλίαν βλέπομεν ἐπικρατοῦσαν ἔν τισιν ὀνόμασι καὶ κατ' αὐτοὺς τοὺς θείους Εὐαγγελιστάς· οἷον, τὰ *Ἱεροσόλυμα* καὶ ἡ *Ἱερουσαλὴμ*, (παρὰ τῷ αὐτῷ Ματθαίῳ γ, 5, καὶ κγ, 37. πρβλ. καὶ Πράξ. α, 4. 8, κτλ), *Μαρία* καὶ *Μαριὰμ* (παρὰ τῷ αὐτῷ Λουκᾷ. α, 39, 41), *Ἠλίας* (Ματθ. κζ. 47), καὶ *Ἠλιοὺ* (α) *Ἐλισσαῖος* καὶ *Ἐλισσαιὲ* (ἑβρ. Elisa, ἢ Elise. Γ. Βασιλ. δ, ιθ, κτλ. καὶ Λουκ. δ, 27), *Σατανᾶς* (χαλδ. Satana), καὶ (τὸ ἑβρ. ἄκλιτον) *Σατὰν* (β. Κορ. ια, 14: ιβ, 7) κτλ. Τοιαῦτα παρατηροῦμεν καὶ εἰς ἄλλων ὀνόματα γλωσσῶν, ὅταν μεταγράφωνται κατὰ τὴν ἑλληνίδα φωνήν. Αὐτίκα Πλούταρχος πολλὰ τῶν Ῥωμαϊκῶν ὀνομάτων ἄλλοτε μὲν ἑλληνικώτερον σχηματίζει, φεύγων τὸ τραχὺ τῆς ξενικῆς γραφῆς καὶ καταλήξεως· ὡς ὅταν κλίνῃ τὰ *ὄβα*, καὶ τὸν *ὄβαν*, καὶ τὰς *Θήσσας*, καὶ τοὺς *φιτιαλίους* καὶ *φιτιαλεῖς* (β), καὶ τὰς εἰδοὺς καὶ ταῖς *εἰδοῖς* (idibus), καὶ ἄλλα πολυάριθμα· ἄλλοτε δὲ πάλιν αὐτὰς ἔγραψε τὰς λατινικὰς φωνὰς ἐπ' ἀκριβὲς κατὰ κλίσιν λατινικήν, ὡς καὶ τὰ *φουρκίφερ*, *δίκερε*, *λιγάρε*, *φερίρε* (ἀπαρέμφατα· οὐχὶ *φερίραι* κτλ.), καὶ *ὅκ ἄγε*, καὶ *ὀνῶρεμ*, καὶ *βρέβεμ* (γ), καὶ

---

βλ. Bernard. not. εἰς Ἰώσηπ. Ἀρχ. Β. ιδ, 16. Ὁ δὲ Gerard. Vossius ἐκ μόνου τοῦ φ α σ ὲ χ μαντευσάμενος τὰς καθ' ἡμᾶς τῶν Παραλειπομένων βίβλους εἶναι δῆθεν ἐκ τῆς Θεοδοτίωνος ἑρμηνείας, οὔτε χ ρ ή γ υ ο ν ἐμάντευσεν, οὔτ' ἄλλοις οὐδέσι τῶν ἐπισήμων (πλὴν Ὁδίου) ἀρέσκον, ἀλλ' οὐδὲ τῷ υἱῷ (J. Voss.).

(α) « Δυνάμει Ἠλιοὺ » (Λουκ. α, 17, καὶ Μαλαχ. δ. 4), ὅπου τινες τονίζουσιν Ἠλίου (ὡς ἐκ τοῦ Ἠλίας, κατὰ τὸ Αἰνείας, Αἰνείου), ἀλλὰ τὰ ἀρχαιότατα καὶ πλεῖστα τῶν ἀντιγράφων ὀξυτονοῦσιν, Ἠλιοὺ (ὡς καὶ γ, Βασ. ιζ, 1, κτλ.). Περὶ τῆς ἀρχαιοτέρας καὶ τῆς νῦν προφορᾶς πολλῶν Ἑβραίων ὀνομάτων, καὶ τῆς τούτων παρά τε τοῖς Ο, καὶ τοῖς Εὐαγγελισταῖς ἑλληνικῆς ἑρμηνείας διέλαβεν ὁ Δρούσιος πολὺ Φραγκέλου σοφώτερα, πολλαχοῦ τῶν εἰς τὰς Γραφὰς σημειώσεων αὐτοῦ. βλ. Annot. ad Genes 4. et ad Evan. Matth. c. I. IV. — Luc. IV. etc.

(β) Ἀντὶ τοῦ oves (= ὄϊες). — ovas (ἀντὶ ovatio, οἷον ὀβατίων). — Thensas (Θήσσας, τροπῇ τοῦ ν, εἰς σ, ἑλληνικῶς, ὡς σ ύ σ σ ω μ ο ς κτλ.). — Feciales, κτλ. (Πλούταρχ. Μαρκέλ. §. κβ. Κοριολ. §. κε. Νουμ. §. ιβ).

(γ) Fucifer, Ferire, Dicere, Ligare, Hoc age (Κοριολ. §. κδ, κε. Μαρκέλ. §. η,

ῥῆγι *σακρόρουμ* (οὐχὶ *σάκρων*, ὡς εἶπε πάλιν ἀλλαχοῦ *λαρητῶν* τὸ *λαριτόρουμ*, Κεφ. Ῥωμ.). κτλ.

§. λα. Γ) Ἐκ τῆς ἀνωμαλίας τῆς διαλέκτου τῶν Ἑλληνιςῶν Ἰουδαίων, πολλάκις δὲ καὶ σαφηνείας ἀναγκαίας χάριν (ὡς ἐροῦμεν ἐφεξῆς), προῆλθε καὶ ἡ περὶ τὴν ἑρμηνείαν τῶν ἐθνικῶν, ἢ τοπικῶν ὀνομάτων ἀνωμαλία, νῦν μὲν ἐξελληνιζομένων (ἢ ὅλων, ἢ κατὰ μέρος), νῦν δὲ πάλιν τῶν αὐτῶν ἑβραϊκῶς ἐκφερομένων· τοῦτο, διὰ τὴν παρ᾽ Ἰουδαίοις κοινοτέραν συνήθειαν· ἐκεῖνο δὲ, διὰ τὴν σαφήνειαν, καὶ χάριν τῶν ἀκριβέστερον ἑλληνιζόντων. Ὅθεν εἶπον *Μοσερὶ* τοὺς αὐτοὺς καὶ Αἰγυπτίους, καὶ *Φυλιστιεὶμ* (ἢ Φυλισταίους) τοὺς αὐτοὺς καὶ *Ἀλλοφύλους*, τὸ πρῶτον ὡς κύριον ἐθνικὸν, τὸ δεύτερον ὡς προσηγορικὸν καθολικωτέρας ἐννοίας ἐμφαντικόν· (σημαίνει δὲ τὸ Φυλισταῖος, ἢ Φιλισταῖος, καὶ τὸν ἔπηλυν, πλανήτην ἀλλοδαπῆ, καὶ ἀλλόφυλον) (α). Εἶπον δὲ καὶ ἅπαξ τοὺς

---

κδ, Νουμ. §. ιδ. Κεφ. Ῥωμ. κτλ.). Οὕτω καὶ Στράβων (ε, 213) ἔγραψε Νοβουμκώμουμ (Novumcomum), καὶ πάλιν Νεοκωμίτας· καὶ τὸ Vates, οὐάτεις, οἱ, κτλ. Τοιαῦτα παραδείγματα Ῥωμαϊκῶν ὀνομάτων καὶ καθ᾽ ἑλληνικὴν καὶ κατὰ λατινικὴν κλίσιν ἀδιαφόρως ἐκφερομένων παρέχουσι καὶ Πολύβιος, καὶ Διονύσιος ὁ Ἁλικαρνασσεὺς, καὶ Δίων, ὁ Κάσσιος, καὶ Ἡρωδιανός. Ἡρόδοτος δὲ πάλιν ἔγραφεν ἄλλα περσικὰ καὶ Ἀραβικὰ, σὺν οἷς καὶ τὰ Σκυθικὰ, οἰόρ, καὶ οἰόρπατα (δ, 110)· τὸ δὲ Θὼθ, ἄκλιτον παρὰ Πλάτωνι, καὶ τὸν Θμουῒν (ἐν ἀρχῇ τῆς λέξεως τὸ θμ, ἄγνωστον τοῖς Ἕλλησι), τοῦ Λουκιανοῦ (Ῥητόρ. διδάσ. κδ), καὶ ὅσα τοιαῦτα, παραλείπομεν.

(α) Ἀπὸ θέματος αἰθιοπ. phalasch, ἀπῴκησεν, ἐξενιτεύθη. (Gesen. Lex. Hebr. p. 824, πρβλ. Γεν. Ι. 14: Ἀμὼς, 9. 7). Σύνηθες δὲ πολλάκις τὸ προσηγορικὸν ἀντὶ τοῦ κυρίου καὶ ἐν τοῖς ἐθνικοῖς ὀνόμασιν. Ὅθεν καὶ τὸ Σοφον. β. 5. Kenaanin aretz Philistijm· οἱ Ο, σαφέστατα, πρὸς τὸ ἔτυμον ἡρμήνευσαν « Χαναὰν, γῆ ἀλλοφύλων ». Οὕτω καὶ Ἀκύλας, Σύμμαχος, Θεοδοτίων, Ἱερώνυμ. τὸ Kretim, ἢ Κρῆτας, ἡρμήνευσαν ὀλεθρίους, κτλ. ὡς ἐκ τῆς ἐτυμολογίας, (βλ. ὄπισθ. σελ. 610)· Καὶ οἱ Χαναναῖοι (Φοίνικες) προσεκτήσαντο καὶ τοῦ ἔμπορος τὴν σημασίαν (καθὸ διασημότατοι περὶ τὸ ἐμπόριον), ὡς Ὠσηὲ, ιβ, 7: καὶ Παροιμ. λα (λ) 24· ὅπου τὸ ἑβρ. καὶ οἱ Ο, Χαναναῖοι, ἄλλοι δὲ ἡρμήνευσαν ἔμποροι. (βλ. Gesen. l. c. p. 492. —Schleusn. Thes. v. Χαναάν. —Grot annot. in Esai. 23, 11. — Rosenmüll, Sch. ibid. καὶ in Hos. 12. 8). Καὶ πάλιν ἐν Ἡσαΐ. κγ, 8: τὸ μὲν ἑβρ. Χαναναῖοι: οἱ δὲ Ο, ἔμποροι. Οὕτω καὶ παρὰ Σοφοκλεῖ τὸ Φοῖνιξ ἐμφαντικῶς. « Ὢ πᾶν ἰδοὺ καὶ πρᾶσιν ὡς Φοῖνιξ ἀνήρ ». Καθ᾽ ὅμοιον

*Φιλισταίους καὶ Ἕλληνας*. Καὶ τοῦτο ἁπλῶς μὲν θεωρούμενον ἰσοδυναμεῖ τῷ *ἀλλόφυλος*, ἐθνικὸς (οἵους ἐξ ἀρχῆς ἐθεώρουν τοὺς Χαναναίους, ἐν οἷς ἦσαν καὶ οἱ Φυλισταῖοι, Ἰεζεκ. ις, 3: Ζαχαρ. ιδ. 21. πρβλ. Κριτ. γ, 3) (α). Ἐφηρμόσθη δὲ τὸ Ἕλληνες εἰς τοὺς Φυλισταίους εἰδικώτερον ὡς καὶ παρ' Ἕλλησι τὸ *βάρβαρος* (καθόλου μὲν, πᾶς ὁ μὴ Ἕλλην, ἰδίως δὲ καὶ ὁ Πέρσης κατ' ἐξοχήν). Καὶ ἄλλως δὲ μεταξὺ τῶν γειτονευόντων τοῖς Ἑβραίοις ἀλλοφύλων, ἢ Φυλισταίων, « εἰκὸς ἦν καί τινας τῶν Ἑλλήνων ἀποίκους εἰκεῖν »· (Θεοδώρητ. ἑρμην. εἰς Ἡσαΐ. αὐτόθ.), οἷοι καὶ οἱ Cretim, ἢ Κρῆτες (βλ. ὄπισθ. σελ. 610). Καὶ ταῦτα μὲν ὡς ἐκ τῆς ἁπλῆς ὀνομασίας. Ὡς δ' ἐκ τῆς ἐκβάσεως τῶν πραγμάτων θεωρουμένου τοῦ χωρίου, βλέπομεν, ὅτι οἱ Ο γέροντες ἑρμηνεῖς (« θύρας δ' ἐπίθεσθε βεβήλοις », καὶ μάλιστα Φραγκέλοις ἀρχιραββίνοις), θεοῦ ὑφηγουμένου, « συνέδραμον τῷ καθαρωτάτῳ προφητικῷ πνεύματι », (ὃ καὶ Φίλων ὡμολόγησε), καὶ συνεῖδον τὸν μεγαλοφωνότατον προφήτην διὰ τοῦ Φυλισταῖοι (= ἀλλόφυλοι) τοὺς *Ἕλληνας* κυρίως σημαίνοντα, τοὺς Πτολεμαίους καὶ Σελευκίδας, οἵτινες ἔμελλον « *ἀφ' ἡλίου δυσμῶν* » (ἐκ τῶν δυτικωτέρων τῆς Ἰουδαίας) εἰσβαλόντες, καθυποτάξειν τὸν Ἰσραήλ. Ὅθεν καὶ *Ἕλληνας* ἀπέδωκαν ἐνταῦθα τοὺς ἀλλοφύλους, οἱ θεοφώ-

---

λόγον καὶ τὸ, Χαλδαῖοι προσέλαβε καὶ τὴν σημασίαν τοῦ ἀστρολόγοι (Δαν. β, 2, 4: βλ. καὶ Ἡσύχ. Σουΐδ. — « Non ex artis sed ex gentis vocabulo nominantur ». Cicer. de Divinat. I, 1). Ὁ δὲ Ῥαββῖς ὁ Φράγκελος (Frankel, l. c. p. 91), δέον εὐγνωμονεῖν πρὸς τοὺς Ο, παρ' ὧν καὶ μόνων ἠδύνατο μαθεῖν καὶ τὸ ἔτυμον τῆς σημασίας τοῦ Φιλιστιείμ (ὅ,περ ἀνέκαθεν οἱ Ἑβραῖοι μετεχειρίζοντο δεόντως καὶ ὡς ἰσοδύναμον τοῦ ἀλλόφυλος), ὁ δὲ μᾶλλον Ὀδίῳ παρακολουθῶν, ἔψεξε καὶ διὰ τοῦτο τοὺς Ο, προσεπιμετρήσας καὶ τἆλλα τὰ θαυμαστὰ, ὅτι νῦν μὲν εἶπον λέων, νῦν δ' ἀσπίς· δήλωσις καὶ φωτισμός. Καρχηδὼν καὶ θάλασσα (!) κτλ. (βλ. ὄπισθ. σελ. 612, 613).

(α) Οὕτω καὶ μετέπειτα Β. Μακκ. δ. 13. ὁ ἑλληνισμὸς, τὸ αὐτὸ καὶ ἀλλοφυλισμὸς, ἐθνικισμὸς, (πολυθεΐα)· Τοιοῦτο καὶ τὸ, ἡ διασπορὰ τῶν Ἑλλήνων » (Ἰω. ζ. 35) οἱ πανταχοῦ γῆς μεταξὺ τῶν ἐθνικῶν διεσπαρμένοι Ἰουδαῖοι. Καὶ, « ἑλληνὶς » (ἐθνικὴ, εἰδωλολάτρις Χαναναία) « Συροφοίνισσα τῷ γένει » (Μαρκ. ζ, 26. πρβλ. Ῥωμ. α, 16. β. 9, 10)· Ὅθεν καὶ παρὰ τοῖς

τιστοι Ο. Τοῦτο δὲ καί τις τῶν νεωτέρων σοφῶν, ὁ Γεσένιος, συνεῖδεν (ὅπως ἂν ἄλλως ἐξανθρωπίζῃ καὶ τὰ τοῦ προφήτου καὶ τὰ τῶν Ο, κατὰ τὸ ἔθος τῆς ὀρθολογώδους κριτικῆς!) (α). Ἀλλ᾽ ἐπὶ τὸ προκείμενον τῆς περὶ τὴν ἑρμηνείαν τῶν ἐθνικῶν καὶ ἄλλων κυρίων ὀνομάτων δοκούσης ἀνωμαλίας. Ὡς εἶπον Φυλισταίους καὶ ἀλλοφύλους, οὕτως ἔγραψαν καὶ *Βααλεὶμ* τὸ αὐτὸ καὶ *εἴδωλα* (διότι Βααλεὶμ πληθυντικῶς, καθόλου οἱ Θεοὶ τῶν Χαναναίων βλ. Κριτ. β. 11. οὕτω καὶ τὸ ἑβραϊκόν)· αὐτὸ δὲ τὸ ἑνικὸν Βάαλ καὶ ἑλληνικώτερον Βῆλος, προσηγορικῶς μὲν σημαίνει *κύριον*, ἣν δὲ καὶ ἰδίως κυριωνυμούμενος Θεὸς (ἴσως ὁ ἥλιος, ἢ ὁ Ζεύς: βλ. Γεσενίου Λεξικ. Ἑβραϊκὸν σελ. 162), παρὰ Φοίνιξι καὶ μάλιστα Τυρίοις καὶ Βαβυλωνίοις λατρευόμενος· συνεκδοχικώτερον δὲ σημαίνει καὶ πᾶν θεοποιούμενον ἄγαλμα, ἢ εἴδωλον· « τὸ γὰρ Βάαλ γενικὸν ὄνομα τῶν εἰδώλων » (Θεοδώρητ. εἰς Ἱερεμ. λϐ. 35). Καὶ τὸ Ἀσταρὼθ (πληθ.) ἐσχηματίσθη καὶ ἑλληνικώτερον *Ἀστάρται*, καὶ *Ἀστάρτη*, Σιδωνίων καὶ Φοινίκων θεὰ (γ. Βασ. ια, 5. Κριτ. β. 13), κατά τινας ἡ Ἀφροδίτη, καὶ τὸ ἄστρον, καὶ τὸ εἴδωλον αὐτῆς. Σημαίνει δὲ Σιδωνιστὶ *πρόβατον*, διὰ τοῦ ξοάνου τὴν μορφὴν, ἢ καὶ προβατονόμον, ὡς ἔφορον τῶν ποιμνίων, καὶ γενέσεως πάροχον, καὶ τοῦ Βάαλ σύζυγον (ὡς κρίνουσι). Μετωνυμικῶς δὲ τὸ Ἀστάρτη, καὶ Ἀστάρται (Ἀσταρὼθ) καὶ ἐπὶ παντὸς εἰδώλου (ὡς οἱ τῶν Ἑλλήνων Ἑρμαῖ). Οἱ δέ τινες τὸ μὲν Βααλὶμ (πληθυντ.) ἐπὶ τῶν ἀῤῥένων εἰδώλων καθόλου, τὸ δὲ Ἀσταρὼθ ἔταξαν ἐπὶ

---

θείοις Πατράσι πολλάκις τὸ Ἕλλην καὶ ἑλληνισμὸς ἀντιδιαστέλλεται πρὸς τὸ Χριστιανὸς καὶ χριστιανισμὸς (βλ. καὶ Schleusn. Lexic. N. T. v. Ἕλλην).

(α) « Ὁ Ἑρμηνεὺς (λέγει περὶ τῶν Ο) ἡρμήνευσεν ἐνταῦθα τοὺς Φιλιστιεὶμ Ἕλληνας, ἀποβλέπων πρὸς τοὺς ὀψιαιτέρους χρόνους, καθ᾽ οὓς Ἕλληνες βασιλεῖς, οἱ Πτολεμαῖοι καὶ Σελευκίδαι, τοὺς Ἰσραηλίτας εἰς τὴν ἐξουσίαν αὐτῶν καθυπέταξαν, ὅπως ὁ Προφήτης πιστευθῇ πολλοῖς πρότερον αἰῶσι τοῦτο προειπών » ! Gesen. ἑρμην. εἰς Ἡσαΐ. αὐτόθ. βλ. καὶ Rosenmüll. in Iesai, 9, 11). Ὁ δὲ Καπέλλιος (in Not. critic. p. 500) εἰς μάτην ὑπενόησε, μήπως ἐνταῦθα οἱ Ο ἀλλοφύλους, οὐχ Ἕλληνας, ἔγραψαν.

τῶν θηλυκῶν (α). Ἄλλη λέξις ἑβραῒς ὁμοιόφωνος, καὶ, ἴσως ἡ αὐτὴ (καθὼς κρίνουσι) τῇ Ἀστάρτῃ, ἐστιν ἡ Ἀσσαρὰ, καὶ πληθ. Ἀσσερὼθ, καὶ Ἀσσερὶμ (Aschera, Ascheroth,—rim), καὶ ταύτην μάλιστα ἐξελλήνισαν οἱ Ο, *ἄλση* (Κριτ. γ, 7), ὡς τοῦτο καὶ παρ' Ἑβραίοις σημαίνουσαν, μετωνυμικῶς δὲ καὶ τὰ ἐν τοῖς ἄλσεσιν εἴδωλα (πρβλ. Ἐξόδ. λδ. 13). Οὕτω καὶ παρ' Ἕλλησι τὰ ἄλση, καὶ τεμένη, ναούς τε Θεῶν εἶχον, καὶ βωμοὺς θυήεντας (Ἰλ. θ, 48. βλ. καὶ ὄπισθ. Τόμ. α. σελ. 162· ὅθεν καὶ Ζεὺς *εὔδενδρος* ἐτιμᾶτο παρὰ Ῥοδίοις, καὶ Βάκχος παρὰ Βοιωτοῖς) (β). Ἀλλαχοῦ δὲ κεῖνται καὶ ἐκ *παραλλήλου* « *τὰ ἄλση Ἀσταρὼθ* », εἴτε διότι ἀμφοτέρας τὰς λέξεις ἀνέγνωσαν οἱ Ο, εἴτε καὶ παραλλήλους αὐτὰς θέντες (γ).

(α) Bukentop. Lux de Luce p. 163.

(β) Ἄλλοι κώδ. ἑβραῖοι καὶ ἐν Κριτ. γ, 7. ἔχουσιν Ἀ σ τ α ρ ὼ θ· (βλ. Rossi Var. Lect. V. T. vol. 2. p. 112)· καὶ Ἱερώνυμος καὶ Ἀκύλας οὕτως ἀνεγνωκότες φαίνονται (βλ. Schulz Schol. in h. l.). Ὁ δὲ σοφὸς Gesenius (Lex. Hebr. p. 112, 804) τὸ Ἀστάρτη καὶ Ἀσταρὼθ, καὶ Ἀσσαρὼθ (Aschera,—roth), ἐπὶ παντὸς εἰδώλου τίθησι μετωνυμικώτερον. « Τὴν δὲ τοῦ ἄ λ σ ο υ ς σημασίαν οὐκ ἀποδέχεται, ὡς ἂν ἀπὸ τῶν Ο, καὶ τῆς Βουλγάτας, τὰ τῶν νεωτέρων ὑπομνήματα καὶ λεξικὰ ἐπινεμηθεῖσαν, ἀκατάλληλον δὲ οὖσαν ἐν πολλοῖς, καὶ πολλάκις μονονοὺκ ἄτοπον, καθὼς (φησὶν) ἀπέδειξεν (ἐν Thes. p. 162) ». Ἀλλ' ἐν ᾧ καὶ αὐτῆς τῆς ἑλληνικῆς καὶ ῥωμαϊκῆς μυθολογίας ἔστιν ἃ μένουσιν εἰσέτι ἀμφίβολα καὶ σκοτεινὰ, τὸ περὶ τῆς ἀρχαίας τῶν Ἀσιανῶν εἰδωλοθρησκείας καὶ ὀνοματολογίας (ἧς ὀλίγαι σῴζονται γνώσεις, αἱ δέ τινες μόλις ἐξ εἰκασίας, πολλαὶ δὲ καὶ παντάπασιν λανθάνουσιν) οὕτω τολμηρῶς ἀποφαίνεσθαι, μή που σφόδρα παρακεκινδυνευμένον δόξῃ, καὶ τοῦ αὐτογνώμονος ἐγγύς. βλ. τὸν Amama, Annot. ad Judic. c. III.

(γ) Α. Βασ. ζ. 4. (ὅπου τὸ νῦν ἑβρ. ἔχει μόνον Ἀ σ τ α ρ ώ θ). καὶ σχολιάζει ὁ Προκόπιος. τὰ δ' ἄλση Ἀ σ τ α ρ ὼ θ ὁ Ἀ κ ύ λ α ς ἡ ρ μ ή ν ε υ σ ε τ ο υ τ έ σ τ ι τ ὰ τ ῆ ς Ἀ σ τ ά ρ τ η ς ἀ γ ά λ μ α τ α (ἴσ. γρ. « τουτέστι τὰ τῆς Ἀστάρτης ἀγάλματα, ὡς Ἀκύλας ἡρμήνευσε »). « Ἀστάρτην δὲ καλοῦσι τὴν Ἀφροδίτην » κτλ. (πρβλ. Schleusn. Thes. V. T. v. Ἄλσος, καὶ Selden. de Diis Syr. II c. 2. Περὶ δὲ τῶν παρ' Ἕλλησιν ἀλσέων καὶ τεμενῶν τῶν θεοῖς ἀνακειμένων, πρβλ. καὶ Spanhem. not. εἰς Καλλ. ὕμν. εἰς Δήμητρ. 27). Ὅθεν καὶ Β. Παρ. ιε, 16, τὸ Ἀστάρτη μετωνυμικώτερον = ἄλσος (ἐν ᾧ τὸ εἴδωλον)· πρβλ. Γ. Βασ. ιε, 13. Ἐν δὲ πάλιν τῷ τελευταίῳ χωρίῳ Ἰησοῦ τοῦ Ναυῆ (ὅπερ οὐ κεῖται ἐν τῷ ἑβρ.) γράφεται « τὴν Ἀ σ τ ά ρ τ η ν καὶ Ἀ σ τ α ρ ώ θ » = τὴν Ἀστάρτην, καὶ τὰ εἴδωλα αὐτῆς τε καὶ τὰ ἄλλα (= ταῖς Ἀστάρταις. Κριτ. β. 13)· βλ. Schulz Sch. in 1. Reg. c. 15, 13· Schleusn. Thes. Vet. T. v. Ἀστάρτη, Σύνοδος, Κατάδυσις Ὁ δὲ Bos (prolegom. in V. T. c. 3.) κενά τινα περὶ τούτων ὀνειρεύεται.

Τὸ δὲ πάλιν Βηρσαβεὲ, εἶπον καὶ *Φρέαρ ὅρκου*· καὶ τὸ *Βαιθὴλ*, καὶ *Τόπον Θεοῦ*· καὶ τὸ βηθ-Αὒν, καὶ Οἶκον Ὢν· καὶ Βαιθ-Σαμὺς, καὶ πόλιν Ἡλίου· καὶ τ' ἄλλα παρομοίως, ὁτὲ μὲν ἐκφέροντες τὸ σύνηθες ἑβραϊκὸν, ἄλλοτε δὲ πάλιν τὴν ἑλληνικὴν τοῦ ὀνόματος σημασίαν, ἢ τὴν νεωτέραν μετονομασίαν σαφηνείας ἕνεκα (α)· πολλάκις δ' ἐκ παραλλήλου καὶ ἀμφότερα παρετίθουν πρὸς ἐπεξήγησιν· οἷον « τὴν Ὢν (ἥ ἐστιν) Ἡλιούπολις » (Ἐξόδ. α. Ὁ δὲ Φίλων, « Ὁ νομοθέτης, φησὶ, τὴν Ὢν Ἡλιούπολιν προσηγόρευσε » τ. α. σελ. 236)· καὶ Καριὰθ-σεφὲρ, πόλις γραμμάτων (Κριτ. α, 11) « καὶ Ἰεβοὺς (αὕτη ἐςιν) Ἱερουσαλὴμ » (Κριτ. ιθ), « καὶ τὴν Βαιθσὰν (ἥ ἐστι) Σκυθῶν πόλις » (Κριτ. α, 27), ἡ αὐτὴ δηλαδὴ καὶ ἡ Σκυθόπολις (Ἰώσ. Ἀρχ. Ε, α, 22) κτλ. Τοιοῦτό τι παρατηροῦμεν καὶ παρὰ τοῖς θείοις Ἀποστόλοις· ὡς ὅτε νῦν μὲν γράφουσι *διδάσκαλε*, νῦν δὲ τὸ ἑβρ. *ῥαββὶ* (Ματθ. η, 19. κγ. 7, 8, κτλ.), καὶ ἄλλοτε ἀμφότερα ἐκ παραλλήλου (Ἰωάν. α, 39: κ, 16)· καὶ νῦν μὲν τὸ *Πέτρος* (Γαλ. β, 8, 11), νῦν δὲ τὸ ταυτόσημον ἑβραϊκὸν *Κηφᾶς* (Γαλ. β. 9. πρβλ. Ἰω. α, 43)· ἐνίοτε δὲ τὴν ἑβραϊκὴν φωνὴν προειπόντες, ἐπιφέρουσιν εὐθὺς καὶ τὴν ἰσοδύναμον ἑλληνικὴν (μὴ τιθέντες ἐν τῷ μεταξὺ μηδὲ τὸ σύνηθες, *ὅ ἐστι*), οἷον « *'Αββᾶ, ὁ πατὴρ* » (Μάρκ. ιδ. 36 : Ῥωμ. η, 15 : Γαλ. δ. 6). Τοιοῦτο φαίνεται καὶ παρὰ τοῖς Ο, τὸ *Διακοπὴ Φαρασὶν*, (ἐκ παραλλήλου τιθεμένων τῶν λέξεων, σαφηνείας χάριν· ἵνα ᾖ « Διακοπὴ, *ἑβραϊστὶ δὲ* Φαρασίν »). Τοιαῦτα καὶ τὰ, « συνεχόμενος, *νεεσεμὰν* » (Βατικ. ἄλλ. *νεσσαράν*. Α. Βασ. κα, 7)· « *ἐν θέματι, βοεργάζ* (βλ. ἔμπροσθ. §. λϐ. ἀρθρ. γ. σημ.) κτλ. Τοιαῦτα καὶ τὰ πληρέςερον ἐκφερόμενα· « λιθόστρωτον, ἑβραϊστὶ δὲ Γαββαθᾶ » — « Κρανίου τόπον, ἑβραϊστὶ Γολγοθᾶ » (ϐ). Παρεδειγμάτισεν Ὅδιος

---

(α) Οὕτω καὶ οἱ λοιποὶ ἑλληνιστὶ πολλάκις ἐξέφερον τὰς ἑβραϊκὰς τῶν τόπων κυριωνυμίας, οἷον τὴν 'Αριὴλ (Ἡσ. ιε,) 'Ακύλας καὶ Σύμμαχος ἡρμήνευσαν Λεόντων θεοῦ κτλ. βλ. Hieronym, de loc. Hebr. κτλ.

(ϐ) Ἰωάν. ιθ, 13 καὶ 17: Ματθ. κζ, 33; Μάρκ. ιε, 22 (ὁ δὲ Λουκᾶς Κρανίον εἶπε *μόνον. κγ*, 33). Τοιαῦτα δὲ καὶ τὸ Βοανεργὲς — *υἱοὶ βροντῆς* » (Μάρκ. γ, 17)

καὶ τὸ *Γε-βεν-Ἐννὸμ*, ὡς ἀλλαχοῦ γεγραμμένον καὶ « *Φάραγξ υἱοῦ Ἐννόμ* ». Ἀλλὰ καὶ τοῦτο κἀκεῖνο ἔλεγον οἱ τότε ἑλληνίζοντες Ἰουδαῖοι· προφέροντες δὲ τὴν ὀνομασίαν καὶ συντομώτερον (κατ' ἔκθλιψιν τῆς μέσης συλλαβῆς), *Γε-εννὸμ*, ἐσχημάτισαν ἑλληνικώτερον τὴν λέξιν *Γέ-εννα* (α). Τὴν αὐτὴν δὲ φάραγγα (ἤτοι μέρος αὐτῆς, δ. Βασ. κγ), καὶ Ταφὲθ (ἢ Τωφὲθ) ἐκάλουν ἑβραϊκῶς (Ἱερεμ. ζ. 32. πρβλ. ιθ. 6, 12. 14), καὶ τοῦτο πάλιν οἱ Ο, μεθηρμήνευσαν *Διάπτωσιν*, καὶ « *τὸ τὸν διαπίπτοντα* » καὶ « *διαπίπτουσαν* (ἐλλειπ. γῆν, χώραν. Ἱερεμ. αὐτ.), δηλονότι διὰ τὸ ἐρειπῶδες, καὶ πολλάκις ἑκατέρωθεν καταῤῥέον καὶ *διαπίπτον*, ἢ καὶ δι' αὐτὸ μάλιστα τὸ ἐν βάθει *διαπεπτωκὸς χάσμα* (καθ' ὃ καὶ πρὸς τὸ φάραγξ συνωνυμεῖ πως ἡ *διάπτωσις*), καὶ τῶν ἐν αὐτῷ ῥιπτομένων *τὰ διαπίπτοντα πτώματα*, δι' ἃ ἐπωνομάσθη καὶ *πολυάνδριον*· (οἷά τις νεκρῶν πολυχανδής, ἢ τάφος φαραγ-

---

« Ταλιθὰ, κοῦμι—τὸ κοράσιον, ἔγειραι » (Μάρκ. ε, 41) « Ἀκελδαμὰ — χωρίον αἵματος » (Πράξ. α, 19). « Ἀβαδδὼν — ὁ Ἀπολλύων » (Ἀποκ. θ, 11) κτλ. Οὕτω καὶ Ἰώσηπος πρὸς πολλὰ (τῶν ἐθνικῶν μάλιστα) ἑβραϊκὰ, καὶ τὰ ἑλληνικὰ παραβάλλει· οἷον Μεσραίους (ἑβρ. Moseri, ἢ Miseri) τοὺς Αἰγυπτίους, καὶ Μέστρην (ἢ Μέστρην) τὴν Αἴγυπτον (Ἀρχ. α, ς, 2) ἀπὸ Μεσραΐν. υἱοῦ Χὰμ (Γεν.) κτλ.

(α) Λέγεται καὶ παρὰ τῇ θείᾳ Γραφ. « Φάραγξ Ἐννόμ » (Ἰησ. ιε, 8 καὶ ἑβρ. ὡσαύτως Ge Hennom, χωρὶς τοῦ ben = υἱοῦ). « Ἐν δὲ τῷ ἑβραϊκῷ κατὰ τοῦ αὐτοῦ ὑποκειμένου ἐλέγετο ἡ Φάραγξ Ἐννόμ, καὶ ἡ Γέενα » (Ὠριγ. κ. Κέλσ. ς. §. 25. σελ. 649 Τ. Α). Μνημονεύουσι καὶ οἱ Ταλμουδικοὶ τοῦ Τωφὲθ (παρὰ τὸ Toph, τὸ τύμπανον)· τὸ αὐτὸ φασι καὶ τὸ Γε-εννὼμ (Cartwr. Mellif. Hebr. L. v. c. 6. πρβ. Selden. de Dijs Syr. I. c. 6). Αὕτη τοίνυν ἡ Γε-Ἐννὸμ (καὶ τὰ νῦν παρὰ τοῖς Ἱεροσολυμίταις Γε-Ἐννοὺμ) κεῖται πλησίον Ἱεροσολύμων (πρὸς ἀνατολὰς καὶ νότον τοῦ χειμάῤῥου τῶν Κέδρων), ἀλσώδης τις οὖσα τὸ πάλαι· ἐν αὐτῇ ἦν καὶ τὸ εἴδωλον Μολὸχ, ᾧ λατρεύοντες ἔθυον οἱ Ἰουδαῖοι, καὶ ἔκαιον ἐπὶ τοῦ βωμοῦ ἄλλα τε τῶν ζώων, καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας (Ἱερεμ. ζ, 31), κρούοντες καὶ τύμπανα. Καταργηθείσης δὲ τῆς εἰδωλομανίας ὑπὸ Ἰωσίου (δ. Βασ. κγ. 10), οὕτως ἡ Γε Ἐννὸμ ἐμισήθη, ὥστε μιαρὸς ἀπέβη τόπος καὶ ἀποτρόπαιος. ὅπου ῥίπτοντες πάσας ἀκαθαρσίας, καὶ τὰ θνησιμαῖα, καὶ τὰ πτώματα τῶν κακούργων καταδίκων, κατέκαιον πυρὶ πυκνῷ διηνεκῶς, ἵνα μὴ μολύνωσι τὸν ἀέρα. Ἐντεῦθεν καὶ πολὺ πρὸ τοῦ Σωτῆρος, καὶ ἐπ' αὐτοῦ, κατὰ μετάληψιν ἡ λέξις γέεννα ἐσήμαινε καὶ τὸν ᾅδην καὶ τὸ ἄσβεστον πῦρ (Ματθ. ε, 22. Μάρκ. θ. 43). Ὅθεν ὁ Σουΐδας « Γέενα καταδίκη »· καί, « Γεέννης, φάραγγος » Ἀλβέρτ. Γλωσσάρ. πρβλ. Wetsten. N. T. Test. 1. p. 299. Schleusn. Lex. N. T. λ. Γέενα.

γώδης καὶ πολυχώρητος) (α). Ὁ δὲ μακάριος Ἱερώνυμος οὐ πάνυ τοι εὐλόγως ἐθαύμαζεν ἀπορῶν, « τί ποτε βουλόμενοι οἱ Ο, τὴν μὲν *φάραγγα*, καὶ *πολυάνδριον* ὠνόμασαν, τὸ δὲ ταφὲθ, *διάπτωσιν* » (ἣν καί πως ἀκυρώτερον ruinam, τουτέστιν *ἔρειψιν*, ἢ *ἐρείπιον*, αὐτὸς μεθηρμήνευσεν) (β). Ἀλλ᾿ἐπὶ τὸ προκείμενον. Οὕτως εἶπον οἱ Ο, καὶ *Γε-Μαλάχ*, καὶ πάλιν ἑλληνίζοντες, *Φάραγξ ἁλῶν*· καὶ, « *Ἐμὲκ Ἀχὼρ*, καὶ « *Κοιλὰς* (φάραγξ) *Ἀχώρ* » κτλ. Τὸ δὲ *Θαβὼρ* (Thabor, ἴσως καὶ Itabor κοινότερον προφερόμενον) ἔγραψαν καὶ *Ἰταβύριον*· καὶ τοῦτον τὸν ἑλληνικώτερον σχηματισμὸν ἐκράτησε καὶ Ἰώσηπος πολλαχοῦ (παράβαλε τὸ Ἀταβύριον, ὄρος Ῥόδου, Σικελίας, κτλ.). Παρομοίως εἶπον καὶ *Ἐδὼμ*, καὶ ἑλληνικώτερον *Ἰδουμαία* (τήν τε χώραν καὶ τὸ ἐθνικόν) (γ). Ἰδου-

---

(α) « Οὐ κληθήσεται ἔτι τῷ τόπῳ τούτῳ Διάπτωσις (Ἑβρ. Ταφὲθ), καὶ Πολυάνδριον (ἑβρ. γὲ=φάραγξ) υἱοῦ Ἐννὸμ » (Ἱερ. ιθ, 6, ὅπου Ὀλυμπιόδωρ. « Πολυάνδρον, ὁ τάφος, καὶ ἐπειδὴ ἴσως κατεῤῥυηκὼς ἦν, οὕτως ἐκαλεῖτο, διάπτωσις, ὁ τάφος τοῦ υἱοῦ Ἐννόμ »). πρβλ. Ἱερ. β. 23. καὶ Ἰεζεκ. λθ. 11, 15. ὅπου γράφεται καὶ παραλλήλως » εἰς γαὶ, τὸ πολυάνδριον τοῦ Γώγ » ἔνθα σημείωσαι καὶ τὸ γαὶ=γὲ διὰ τὸ ὁμόηχον. (βλ. Schleusn. Thes. V. T. v. γαὶ, γὲ, γῆ)· καὶ ἑβρ. ge, καὶ gai, συγγενὲς τοῦ γαῖα, γέα, (γάω, χάω). Gesen. l. c. p. 208. πρβλ. καὶ τὰ περὶ τῆς Γαὶ (ὄπισθ. σελ. 653).

(β) Hieron. Com. in Ierem. 19. Ἀλλ᾿ ἐν Ἑξαπλοῖς (Montfaucon) « Θαφὲθ ἑρμηνεύεται διάπτωσις » Τόμ. β. σελ. 213.—καὶ ὁ Θεοδώρητος « ἐν τῇ τῶν ἑβραϊκῶν ὀνομάτων ἑρμηνείᾳ πτῶσιν εὗρον σημαῖνον τὸ ταφέθ ». (Ἀπόρ. εἰς δ. Βασ. κγ. νς). Ἀλλαχοῦ δὲ καὶ σύγκλεισμα, ἢ κατάβρωσιν ἡρμήνευσε (Ἑρμην. εἰς Ἱερεμ. ζ, 30). Τῶν δὲ νεωτέρων ἑβραϊστῶν οἱ μὲν εἶπον τὸ Tophet τυμπανισμὸν (διότι θύοντες ἐτυμπάνιζον) ἐκ τοῦ toph, τὸ τύμπανον· φωνὴ πεποιημένη, ὡς καὶ ἀραβικ. Doff, καὶ Doef, εἶδος τυμπάνου (ὃ καὶ παρ᾿ Ἱσπανοῖς ἐκ τῶν Ἀράβων, Adouffe, καὶ τὸ τῆς συνηθείας, δέφι, Defi). Ἄλλοι δ᾿ ἡρμήνευσαν τόπον καύσεως, ὅθεν τάφον (ὡς καὶ τὸ τύμβος ἐκ τοῦ τύφω, τὸ καίω, καὶ ἄλλως τάφω θάπτω, τάφος). Οἱ δὲ λέγουσι παρὰ τὸ tuph, topha (χαλδ. Αἰθιοπ. Ἀραβικ.) τὸ, ἔπτυσεν, ἐμυσάχθη. Ὅθεν καὶ τὸ ἀνωτέρω « Διάπτωσις, καὶ Διαπίπτων (τόπος), διορθοῦσι γενναίως εἰς τὸ Διάπτυσις, καὶ Διαπτύων! Καὶ διαπτύει λοιπὸν (κατ᾿ αὐτοὺς) καὶ ὁ τόπος, καὶ γίνεται καὶ διαπτύουσα γῆ! ἵνα μηδὲν τῶν παρὰ τοῖς Ο, καταλίπωσιν οἱ ἄνδρες ἀδιόρθωτον! βλ. Gesen. Lex. Hebr. pag. 1065. — Schleusn. Thes. V. T. v. Διαπίπτω, καὶ Bauer. Schol. in Ierem. VII. 32.

(γ) « Hanc habentes consuetudinen (οἱ LXX), ut hebraea nomina Graeco

μαίαν γράφει καὶ Ἰώσηπος. Ἕλλην δέ τις ἱστοριογράφος ἀρχαῖος (ὁ Σούνιος, ἢ Οὐράνιος) καὶ τοὺς Ἰδουμαίους ἔγραψεν *Ἐδουμαίους* (α). Ἀντὶ δὲ τῆς *Βασὰν* (ἣν ἀλλαχοῦ πολλάκις ἐτήρησαν), *Γαλιλαίαν* ἔγραψαν ἐν Ἡσαΐᾳ (λγ, 9), σαφηνίζοντες τοῦ θείου Προφήτου τὸν νοῦν, ἢ καὶ κατὰ μετάληψιν (ὡς ἔκρινεν ὁ Ἱερώνυμος εἰς Ἡσ. 33) ὀνομάσαντες ὅλην τὴν Ἐπαρχίαν τῆς Γαλιλαίας, ἧς ὑπῆρχε μέρος ἡ Βασανῖτις, ἡ καὶ Βαταναία, κατὰ τὸν Ἰώσηπον, καὶ τὸν Πτολεμαῖον. Οὕτως εἶπον καὶ *Ἁρμενίαν* (Ἡσ. λζ. 38), τὸ πεδινώτερον (ὡς θέλουσι) τῆς Ἀρμενίας μέρος, ἀνθ᾽ οὗ τὸ Ἑβραϊκὸν (αὐτόθι) ἔχει *γῆν Ἀραράτ*· (τοῦτο δὲ καὶ αὐτοὶ οἱ Ο, ἔγραψαν ἐν Δ. Βασιλ. ιθ, 37. Βλ. Ἱερών. εἰς Ἡσαΐ. 37. καὶ τοὺς νεωτέρους κριτικούς). Ἀλλὰ μακροὶ γινόμεθα ἐν τοῖς τοιούτοις τὰ καθέκαστα καταλέγοντες.

§. λβ. Δ) Μεταβαίνομεν καὶ εἰς τὰς δῆθεν ἀτόπους παρερμηνείας τινῶν ὀνομάτων, δι᾽ ὧν οἱ κριτικοὶ παρέστησαν ἡμῖν τοὺς Ο, καὶ παντάπασιν τῆς ἑβραΐδος ἀμαθεῖς καὶ σχεδὸν ἀναλφαβήτους (ἤ, ὡς ἂν εἴποις πρὸς τὸ ἑβραϊκώτερον, *ἀναλεφ-βεθήτους!*), οἷόν τινας παῖδας, σπογγίζοντας τὰ βάθρα τῶν ἑβραϊκῶν σχολῶν, ἢ καὶ σκυτεῖς τινας, καὶ ἄλλους χειρώνακτας ἀνθρώπους, οἵτινες ὥρμησαν ἄλλοθεν ἄλλοι, ποσί τε καὶ χερσὶν ἀνίπτοις, εἰς τὴν ἑρμηνείαν τῶν Γραφῶν. Ἀλλ᾽ ἴδωμεν καὶ ταῦτα δὴ τὰ παρ᾽ Ὀδίῳ σεσημειωμένα παρερμηνεύματα (ὄπισθ. σελ. 611).

α) Λέγει, ὅτι ἐν τοῖς « *ὁ Ἐθὶ, ὁ Φαρεζὶ* κτλ. (Ἔσδρ. θ. 1) προέταξαν τὸ ἑλληνικὸν ἄρθρον ὁ, μὴ διακρίναντες τὸ παρ᾽ Ἑβραίοις προτιθέμενον τῶν λέξεων ἐμφαντικὸν ἕ (He).—Λάθος (ἀπαντῶμεν), καὶ πλάνη λίαν ἀπρεπὴς γραφίδι κριτικῇ. Ἐν ὅλοις τοῖς προη-

---

sermone declinent· sicut Edom et Seir semper Idumaeam interpretantur. — et montem (Thabor) Itabyrium transtulerunt » etc. S. Hieron. in Hose. V, 1. πρβλ. Drus. ad Evang. Matth. c. 17.

(α) Βλ. Στεφ. Βυζ. λ. Ἐδουμαῖος, καὶ Ἰδουμαῖοι, πρβλ. τὸ ἑλλην. Ἑστιαία καὶ Ἱστιαία. Ἑστία καὶ Ἱστία, κτλ. Ὅτι δὲ καὶ ἄλλως παρ᾽ Ἕλλησι τὸ μακρὸν ε=ει, καὶ τοῦτο=ι, φανερόν. Ἀπεδείξαμεν δέ ποτε καὶ ἡμεῖς ἀλλαχοῦ (Περὶ τῆς γνησίας προφορᾶς τῆς ἑλληνικῆς γλώσ. σελ. 266—293).

γουμένοις βιβλίοις τῆς Γραφῆς, καὶ ἐν αὐτοῖς αὐτοῦ τοῦ Ἔσδρα τοῖς ἄλλοις κεφαλαίοις μυριάκις ἀπήντησαν καὶ διέκριναν οἱ ἑρμηνεῖς τὸ τῆς ἑβραΐδος ἄρθρον ἕ· οὐδὲ συνεξέφερον αὐτὸ μετὰ τῶν ὀνομάτων οὔτε ἐν συνθέσει, οὔτε ἐν παραθέσει, ὡς τὸ ἑλληνικὸν ἄρθρον ὁ, πῶς λοιπὸν ἔπαθον ἐξαίφνης τοιαύτην φρενῶν ταραχὴν εἰς μόνον τὸ α, ἐδάφιον τοῦ θ, κεφαλαίου τοῦ Ἔσδρα; τοῦτο καὶ ἐκ πρώτης ἐπιβολῆς ἐξελέγχει τὴν πλάνην τῶν κριτικῶν. Οἱ δὲ Ο, μόνον περὶ τὴν σύνταξιν παρήλλαξαν (ὡς εἰώθασιν ἐνίοτε), ὀρθώσαντες ἐξαίφνης τῶν ἀριθμουμένων ὀνομάτων τὰς πτώσεις, ἀφ' οὗ τὴν πρώτην ἐξέφερον πλαγίαν, καὶ ἔστι τὸ σχῆμα, *πτώσεων ἐναλλαγή* (α). Εἰπόντες γὰρ « τῷ (ἢ τοῦ) *Χαναν*ὶ, ἔπειτα προσέθηκαν, « *ὁ Ἐθὶ, ὁ Φερεζὶ*, κτλ. (ἀντὶ τῷ, ἢ *τοῦ* Ἐθὶ, *τοῦ* Φερεζί)· ὡς ἂν ἔγραφον μᾶλλον ἀνεπτυγμένως « *τοῦ χαναν*ὶ (*μεθ' οὗ ἦν*) καὶ ὁ Ἐθί κτλ. Μαρτυρεῖ δὲ τοῦτο τρανῶς αὐτὸ τὸ ἑλληνικὸν ἄρθρον τῆς πρώτης πλαγίας (τΩ, ἢ τΟΥ *Χαναν*ὶ), ἀνθ' οὗ τὸ ἑβραϊκὸν ἔχει πάλιν τὸ ἄρθρον he συνημμένον μετὰ τοῦ πλαγιοπτώτου (Hekenaani)· ἢ διὰ τί μὴ καὶ τοῦτο ἀπέδωκαν ἑβραϊκῶς οἱ ἑρμηνεῖς; Οὕτως ἔγραψαν καὶ ὁ *Μεχουραθὶ* (τὸ ἑβρ. Hemechurathi), καὶ πάλιν *ΤΟΥ Μαχαταίου* (ἑβρ. Hemaachathi. βλ. ὄπισθεν §. κθ. πρβλ. Ἱερεμ. μζ, 8). Μαρτυροῦσι δὲ καὶ πάντες οἱ ἀρχαῖοι τῶν Ο κώδηκες, ἐν οἷς τὸ περὶ οὗ ὁ λόγος ὁ, γράφεται σταθερῶς ἐν παραθέσει, ὡς ἄρθρον τοῦ ὀνόματος ἑλληνικὸν, οὐδαμοῦ δὲ συνημμένον ἐν συνθέσει καὶ ὑφ' ἓν, ὡς ἐγνωμοδότησε γραπτέον ἡ ἀκαιριμόγλωσσος τοῦ κριτικοῦ φιλογραμματία. Κἂν δὲ καὶ οὕτω γραφῇ, πάλιν τὸ ἄρθρον τὸ ἑλληνικὸν οὐχ ἧττον ἄρθρον μένει, καὶ διακρίνεται πάντοτε, καθὼς εἰς τὸ κακόγραφον ὁδεῖνα, (ὁ δεῖνα), καὶ εἰς τὸ *Ὀϊλεὺς* (ὁ Ἰλεὺς, ὡς ἀνέγνωσάν τινες, ὁ Ἰλῆος, τὸ Ὀϊλῆος· Ἰλ. β, 527), καὶ εἰς τὸ *Τοπάζιον* (ἀντὶ τὸ Πάζιον. Ἡσύχ.).

---

(α) Ὡς τὸ « Κ ρ ο ν ί ω ν α, ἀ σ τ ρ ά π τ ω ν ἐπιδέξια » (ἀντὶ ἀστράπτοντα), καὶ ἄλλα πολλὰ παρ' Ἕλλησι σεσημειωμένα. Τοιοῦτο καὶ τὸ « Ὁ νικῶν, ποιήσω αὐτὸν στύλον », (Ἀποκαλύψ. γ. 12. πρβλ. 6. 26 κτλ.). παρόμοιον καὶ τὸ « Θεὸς, ἀληθινὰ τὰ ἔργα αὐτοῦ » (Δευτ. λ6. 4). πρβλ. καὶ Σοφ. Σολομ. δ, 15, κτλ. κτλ.

ϐ) Προβάλλουσι τὸ Οὐλαμλοὺζ, ὅπου (λέγουσι) συνέχεον οἱ ἑρμηνεῖς τὸ ἐπίῤῥημα Οὐλὰμ (πρότερον) πρὸς τὸ κύριον ὄνομα τῆς πόλεως Λοὺζ, ἢ Λουζὰ, γράψαντες εἰς μίαν λέξιν ὑφ' ἓν (Οὐλαμλούζ). Τοῦτο δὲ (λέγουσι), καὶ ὁ θεῖος Ἱερώνυμος παρετήρησε (de loc. Hebr.). Ἀλλὰ μάταιον (ἀπαντῶμεν) τὸ παρατήρημα. Ἐπειδὴ, πρῶτον, εἴπερ οἱ Ο τὸ ἐπίῤῥημα *Οὐλὰμ* (ὅπερ ἄλλοτε τοσάκις ἀλλαχοῦ τῆς γραφῆς ἀκριβῶς διέκριναν) ἤδη λαθόντες ἐξαίφνης συνανέφυρον πρὸς τὸ Λοὺζ, ὡς μέρος τοῦ ὀνόματος ἐκλαβόντες, ἔχουσι δ' ἐφεξῆς καὶ τὸ *πρότερον* εἰς τὴν αὐτὴν φράσιν προστεθειμένον (« Καὶ Οὐλαμλοὺζ ἦν ὄνομα τῇ πόλει *τὸ πρότερον* ». Γεν. κη, 19), ἀνέγνωσαν ἄρα τὸ *Οὐλὰμ* δὶς ἐν παραθέσει γεγραμμένον ἐν τῷ κειμένῳ· ὡς ἂν εἴπερ εἶχεν οὑτωσί. « *Καὶ πρότερον* Λοὺζ (ἑϐρ. *οὐλὰμ Λοὺζ*), ἦν ὄνομα τῇ πόλει τὸ *πρότερον* ». Ἀλλὰ τοῦτο οὐδ' αὐτοὶ πιστεύουσιν οἱ Ὁδιακώτατοι (καὶ αὐτὸ δὲ τὸ καθ' ἡμᾶς ἑβραϊκὸν ἅπαξ ἔχει τὸ οὐλάμ). Δεύτερον. Ἐν αὐτῇ τῇ Γενέσει προϊόντες μετ' ὀλίγον οἱ αὐτοὶ ἑρμηνεῖς ἔγραψαν πολλάκις οὐχὶ πλέον Οὐλαμλοὺζ, ἀλλ' ἁπλῶς Λοὺζ, ἢ Λουζά· οἷον· « εἰς Λουζὰ, ἥ ἐστι Βαιθὴλ » (Γεν. λε. 6 : μη, 3. πρϐλ. Ἰησ. ιη, 13). Γνωρίζοντες λοιπὸν ἀκριβῶς τὸ ὄνομα τῆς πολίχνης, οὐκ ἄν ποτε διέφθειρον, συμμίσγοντες μετ' ἄλλων παρακειμένων φωνῶν· ἀλλ' ἔγραφον ἂν καὶ ὧδε (Γεν. κη), καθὼς ἡρμήνευσαν οἱ αὐτοὶ τοῦτ' αὐτὸ καὶ ἀλλαχοῦ· « Τὸ δὲ ὄνομα τῆς πόλεως (Βαιθὴλ) ἦν *ἔμπροσθεν Λουζὰ* » (Κριτ. α, 23). Ἐκ τούτων οὖν συνάγεται σαφῶς, ὅτι οἱ Ο, (ἐν Γεν. κη) καὶ ἀνέγνωσαν καὶ ἔγραψαν ὀρθῶς Οὐλαμλούζ. Ἡ γὰρ Λοὺζ, ἢ Λουζὰ (ἣν ὁ Ἰακὼϐ μετωνόμασε Βαιθὴλ) ὠνομάσθη ὕστερον καὶ Οὐλαμ - Λοὺζ, ὡς ἂν εἴποις Παλαιλούζα, ἢ Παλαίλουζα (κατὰ τὰ Παλαίτυρος, Παλαίπαφος, Παλαίϐυϐλος) (α),

---

(α) Στράϐ. 683, 755, 758. Οὕτω καὶ Παλαιφάρσαλος, Παλαιπερκώτη, Παλαίσκηψις, Παλαιάπολις (Στράϐ.). Πρόσθες καὶ τὸ Παλαιγάμϐριον (ἐκ τοῦ Γάμϐριον ἢ—ρειον. Ξενοφ. Ἑλλ. ἱστορ. Γ, α, 6). Τοιαῦτα καὶ καθ' ἡμᾶς ἐν τῇ συνηθείᾳ τὰ, Παλαιόσολοι (οἱ πρῴην ἐν Κύπρῳ Σόλοι), Παλαιοχώρα (αἱ Φηραὶ τὸς Λακωνικῆς), Παλαιοχώριον (ἡ Ἠϊὼν, τῆς Ἀργολίδος), Παλαιόκαστρον (ἡ Ἀσίνη τῆς Ἀργολίδος, καὶ ἄλλα.

ὡς ἄριστα παρετήρησαν οἱ περὶ τὸν Οὐόσσιον (α). Ὑπῆρχε γὰρ καὶ ἄλλη Λουζὰ, πλησίον τῆς πρώτης ὕστερον οἰκισθεῖσα. Κἀκείνη μὲν ἡ πρώτη καὶ Λουζὰ γράφεται παρὰ τῇ θείᾳ Γραφῇ καὶ Οὐλαμλοὺζ (ἡ αὐτὴ δηλονότι καὶ ἡ Βαιθήλ)· ἡ δὲ μεταγενεστέρα Λουζὰ διακρίνεται σαφῶς τῆς Βαιθὴλ, ὡς πλησιόχωρος μὲν, ἀλλ' οὐχὶ καὶ ἡ αὐτή. « Καὶ ἀναβήσεται -καὶ ἐξελεύσεται ἀπὸ Βαιθὴλ εἰς Λουζά » (β). Πρόσθες καὶ ἄλλο χωρίον τῆς Γραφῆς (Κριτ. ιη, 27-29. Βατικ.) ὅπου καὶ ἄλλη πόλις, ἡ *Λαΐς*, ἢ *Λαεὶς* (ἄλλ. κώδηκ. Λαισὰ, καὶ τὸ νῦν ἑβρ. Laisch. ἐν δὲ κώδ. Ἄλδου, *Λουζὰ*), ἐκαλεῖτο καὶ Οὐλαμαῒς (ἀντὶ Οὐλαμ-Λαΐς)· « καὶ ἦν Οὐλαμαῒς ὄνομα τῆς πόλεως τὸ *πρότερον* ».

γ) Τὸ δὲ Λαβωημὰθ (Κριτ. γ, 3: Βατικ. Ἀλεξανδρ. ἢ κατ' ἄλλους διῃρημένως, λαβὼ Ἐμάθ. καὶ ἑβραϊκῶς ὡσαύτως) οἱ αὐτοὶ Ο (ἐν Ἀριθμ. λδ, 8: καὶ ιγ, 23) ἡρμήνευσαν, « *εἰσπορευομένων εἰς Ἡμὰθ* » (ἀττικώτατα· ὡς τὸ, *εἰσιόντων*, ἢ εἰσιόντος εἰς τὴν πόλιν δεξιὰ, κτλ.)· ὥστε διέκρινον καὶ οἱ Ο, ὅσον γοῦν οἱ περὶ τὸν Ὅδιον, τὰς τῶν λέξεων διαφορὰς καὶ συνθέσεις, οὐδὲ συνῆπτον τὰς προθέσεις ἁπλῶς καὶ ὡς ἔτυχε πρὸς τὰ κύρια ὀνόματα, ὡς ἐπευφήμισε καὶ ὁ Φράγκελος· (καίτοι οὗτος ἀποδίδωσι τὰ τοιαῦτα εἰς τοὺς ἀντιγραφεῖς, οὐχ ἵνα δικαιώσῃ τοὺς ἑρμηνεῖς, ἀλλ' ἵνα, καταδείξας πλήρη σφαλμάτων τὴν ἑρμηνείαν, ἀποκόπτῃ ἔπειτα πᾶν ὅ,τι νῦν ἀγνοεῖ τὸ κατ' αὐτὸν Ἑβραϊκὸν, καὶ καταστήσῃ τοὺς Ο, μαθητὰς τῶν Μασοριτῶν!). Τὸ δ' οὖν Λαβὼ-Ἐμὰθ, ἑρμηνεύσαντες ἀλλαχοῦ οἱ Ο, ἔγραψαν ὧδε καὶ ἀνερμήνευτον· τὸ μὲν, χάριν ἐμφάσεως. Αἱ λέξεις

---

ἐν Λοκρίδι), Παλαιοπρέβεζα (ἡ Νικόπολις τῆς Ἀκαρνανίας) κτλ. Τὴν δὲ Παλαίλουζαν εἴποις ἂν Παλαιαμυγδάλην, καθότι τὸ Λουζὰ σημαίνει ἀμυγδαλῆν.

(α) J. Voss. de LXX. c. 13. p. 41 καὶ 431. καὶ Pearson, in Praefat. ad Codic. Alexandrin. τῶν Ο. Ὁ δὲ Heidegger (Hist. Sacr. Patr. T. 11. Exerc. 16, §. 20), ᾧ συμφάσκει καὶ Carpzov. (Crit. Sac. p. 515) εἰς μάτην ἀντεῖπον· πρβλ. καὶ Lud. Capell. Not. crit. in Gen. 28. p. 400.

(β) Ἰησ, ις, 2: ἐκδ. Ἀλδ. καὶ Κομπλ. (οὕτως ἔχει καὶ τὸ καθ' ἡμᾶς ἑβραϊκόν). ἐν δὲ τῷ Ἀλεξ. « ἀπὸ Βαιθὴλ Λουζὰ, καὶ ἐν τῷ Βατικ. « εἰς Βαιθὴλ Λουζά ».

σημαίνουσιν οὐχ ἁπλῶς τὴν εἴσοδον τῆς Ἡμὰθ ἀλλὰ πᾶσαν τὴν προκειμένην τῆς Ἡμὰθ χώραν (ὡς ὀρθῶς ἡρμήνευσαν οἱ κριτικοί (α)· καὶ τὸ *εἰσπορευομένων* αὐτὸ παράτασιν ἐμφαίνει)· καὶ εἴη ἂν οἷον Εἰσημάθια, ἢ Ἔμβατον Ἡμὰθ (ὡς τὸ Ἔμβατον τῆς Ἐρυθραίας). Καὶ ἄλλως δὲ περὶ τὰ τοιαῦτα σύνηθες εἰς τὴν κοινὴν διάλεκτον τοῦ λαοῦ συνάπτειν τὰς προθέσεις μετὰ τῶν τοπικῶν καὶ ἄλλων ὀνομάτων. Ὥστε καὶ τὸ Λαβὼ Ἡμὰθ ὑπῆρχεν ἴσως ἐν χρήσει παρὰ τοῖς τότε ἑβραΐζουσιν Ἑλληνισταῖς, οἷς συγκατέβαινον πολλάκις οἱ ἑρμηνεῖς. [Ἐπίσημος δὲ πόλις ἡ Ἡμὰθ, ἢ Ἀμὰθ, ἡ πρὸς Ὀρόντην Ἐπιφάνεια (Ἰώσ. Ἀρχ. Α. §. ϛ, 2)· ὅθεν καὶ Ἀμαθραββὰ (συνθέτως) ἐλέγετο (Ἀμὼς ϛ, 2)· τουτέστιν « *Ἀμὰθ ἡ μεγάλη* », ὡς ἐξέφρασεν Ἰουστῖνος, Διαλόγ. πρὸς Τρύφωνα. πρβλ. τὴν Ἀρκαδικὴν Μεγαλόπολιν]. Τελευταῖον καὶ αὐτὸς ὁ Ἱερώνυμος Laboemath ἔγραψε (περὶ τόπ. Ἑβρ.), ὅπερ (φησὶν) ἡρμήνευσεν ὁ Ἀκύλας, εἴσοδον Ἡμάθ. Καὶ ἄλλα δέ τινα τοιαῦτα σύνθετα ἐκ παραθετικῆς προθέσεως ἀπαντῶσι παρὰ τοῖς Ο, κατὰ τὸν ἑβραϊκώτερον τρόπον συντεθειμένα πρὸς τὸ κοινὸν ἰδίωμα τῶν κατ' αὐτοὺς ἑλληνιστῶν (β). οἷον τὸ Μαχαναρὲθ (ἀντὶ, ἀπὸ Χαναρὲθ Δευτερ. γ, 17 :), καὶ εἴτι ἄλλο τοιοῦτο, καὶ τὸ Βοεργάζ (γ).

---

(α) Βλ. Rosenmüll. καὶ Schulz Schol. εἰς Ἀριθμ. λδ, 8.

(β) Παράβαλε πρὸς τὰ τοιαῦτα τὸ Πωμήριον (τὸ λατ. pomoerinm, ἢ pomoerium, ἐκ τοῦ Post moerus = murus, οἷον μετατείχιον), καὶ τὰ νῦν ἐν τῇ συνηθείᾳ Σωπόλια τῶν Ἀθηνῶν, ἀντὶ Ἐξωπόλια (ὡς τὰ προπόλεα, περιπόλια). Καὶ ἄλλα δὲ τοιαῦτα κατὰ χυδαίαν ἔκθεσιν ἔχει ἡ κοινὴ λαλιὰ, οἷον κατάμματα, ἀντὶ κατ' ὄμματα· ἐξανάστροφα, ἀντὶ ἐξ ἀναστροφῆς (ἀντίστροφα) κτλ. Ἀπὸ τοιαύτης παραλόγου συναφῆς τῆς εἰς προθέσεως μετὰ τοῦ ὀνόματος ἔχει καὶ ἡ Τουρκικὴ διάλεκτος τὰ Ἰσμὺρ (εἰς Σμύρνην), Ἰσνὶκ (εἰς Νίκαιαν), Ἰσμὴτ (εἰς [Νικο]μήδειαν) Ἰστανκιὸ (εἰς τὴν Κῶ), Ἰσταμπὸλ (εἰς τὴν Πόλιν). Καὶ ἄλλως δὲ πρὸ τῶν διπλῶν συμφώνων (ἡγουμένου τοῦ σ) προστιθέασι συνήθως τὸ ι (eliph), ὡς ἐν τοῖς, iskele (Σκάλλα), Iskender (Σκενδέρης, ἐκ τοῦ Ἀλέ — Ξανδρος, Ἀλέ — Σκανδρος, ἐκληφθέντος τοῦ Αλ, ἀντὶ τοῦ ἀραβικοῦ ἄρθρου al). Ὁ δὲ Δρούσιος, καὶ ὁ Φράγκελος (l. c. p. 113) ἐσημείωσαν, ὅτι καὶ οἱ Χαλδαϊσταὶ πρὸ τοῦ στ. προτιθέασιν α (aleph) ἐν τοῖς ἑλληνικοῖς οἷον Astoha, ἀντὶ στοά· Astola, στολή, κτλ.

(γ) « Θήσετε ἐν θέματι Β ε ρ σ ε χ θ ὰ ν (Α. Βασ. ϛ. 8. Βατικ. ἄλλ. Βερσεχαθάν· ἄλλ. Β ο ε ρ γ α ζ ὰ ν, ἄλλ. Β ο ε ρ γ ὰ ζ), ὅπου τὸ ἐ ν θ έ μ α τ ι (= ἐν θήκῃ)

δ) Τὸ Μοσὸχ (λέγουσιν), ἢ Μεσὲχ, ἔθνους ὄνομα κύριον (οἱ ἑλληνικώτερον Μόσχοι, καὶ Μοσοχηνοὶ, Κολχίδος ἔθνος) πλανηθέντες ἡρμήνευσαν νῦν μὲν « ἐμακρύνθη » (« ἡ παροικία μου ἐμακρύνθη » ψαλμ. ριθ. 5. ὅπου τὸ νῦν ἑβρ. « παρῴκησα εἰς Μεσέχ »!), νῦν δὲ πάλιν « *τὰ παρατείνοντα* » (« ἡ Ἑλλὰς, καὶ ἡ σύμπασα, καὶ τὰ παρατείνοντα ». Ἰεζ. κζ. 13. ὅπου τὸ νῦν Ἑβρ. « Ἰαυὰν, καὶ Θουβὰλ, καὶ Μεσέχ »). — Ἀλλ' ὦ βέλτιστοι, τί πταίουσιν οἱ Ο, εἴπερ ἡ τῶν Ῥαββίνων, καί τις τῶν μεταγραφέων ἠλιθιότης ἀγνοήσασα καὶ ὧδε τὸ κείμενον, ἔτρεψε τὸ ῥῆμα εἰς ἔθνους ὄνομα; καὶ τοῦτο λίαν ἀτόπως· τὸν γὰρ προφήτην Δαυῒδ (ἢ μᾶλλον τὸν προφητευόμενον αἰχμάλωτον Ἰσραὴλ) ἐξετόπισεν ἐκ τῆς Παλαιστίνης εἰς μέσους τοὺς Μόσχους (εἴτε Καππάδοκας τούτους ὄντας, εἴτε καὶ τοὺς γείτονας Ἴβηρας, τοὺς καθ' ἡμᾶς Ἰμερετίους, καὶ Γεωργιανοὺς, ἀρχαιότερον δὲ Τιβαρηνοὺς, ἢ Τιβρηνούς) (ᾱ). Εἰς ταὐτὸ δὲ τῆς

---

ἑρμηνεία ἐστὶν αὐτοῦ τοῦ Β ο ε ρ γ ὰ ζ (Baargaz), συνθέτου ἐκ τῆς β ο, = ἐν, καὶ ἐ ρ γ ὰ ζ (καὶ ἀργὸζ, καὶ ἐργὰβ) = σκεῦος, κιβώτιον, ἢ λ α ρ ν ά κ ι ο ν, (ὡς ἔγραψε Σύμμαχος· ὁ δὲ Ἀκύλας, « ὗ φ ο ς κ ο υ ρ ᾶ ς », τουτ. ἐκ τριχῶν κεκαρμένων ὕφασμα, σακκίον· ὁ δὲ Ἰώσηπος γ λ ω σ σ ό κ ο μ ο ν. Ἀρχ. ς, α, 2. πρβλ. Βοχάρτ. Hieroz. P. I. L. 2. p. 368 ὅστις οἴεται τὴν λέξιν Παλαιστινήν). Σύνηθες δὲ παρ' Ἑβραίοις τὴν bo, ἢ be, κτλ. καὶ παραθετικὴν οὖσαν ἐκφέρειν ὡς ἐν συνθέσει μετὰ τοῦ ὀνόματος. Ὅθεν οἱ Ο, τὸ μὲν βοεργὰζ (ὡς ἔχουσι πάντες οἱ ἄλλοι κώδηκες πλὴν τοῦ Ἀλεξανδρ. ὅπου γράφεται τὸ ἑβραϊκὸν χωρὶς τῆς βο προθέσεως, ἀ ρ γ ὸ ζ) ἐξελλήνισαν ἀπαραλλάκτως μετὰ τῆς ἀντιστοιχούσης προθέσεως (« ἐ ν θ έ μ α τ ι »)· παρακατιόντες δὲ, αὐτὸ μόνον ἀπέδωκαν τὸ ἐργὰζ (ἢ ἐργὰβ) ἄνευ προθέσεως, ὡς ὁ λόγος ἀπῄτει· « Καὶ ἔθεντο τὴν κιβωτὸν — καὶ τὸ θέμα, ἐργάβ » κτλ. (α. Βασ. ς. 11. 15). Προσέθηκαν δὲ πρὸς τῇ ἑλληνικῇ ἑρμηνείᾳ παραλλήλως καὶ αὐτὴν τὴν ἑβραΐδα λέξιν οἱ Ο, (καθὼς καὶ ἐν ἄλλοις εἰώθασι ποιεῖν· βλ. ὄπισθ. §. λα), οὐκ ἀγνοοῦντες τοῦ ὀνόματος τὴν σημασίαν (ὡς εὐστομοῦσι περὶ τῶν τοιούτων οἱ δεινοὶ κατήγοροι!), ἀλλὰ διότι καὶ τότε παρὰ τοῖς κοινῶς ἑλληνίζουσιν ἑβραίοις οὕτως ἐκαλεῖτο συνήθως τὸ εἶδος τούτου τοῦ σκεύους (ἄλλως ἐν ἄλλοις ἰδιώμασιν ἐκφερόμενον· ὅθεν καὶ αἱ διάφοροι γραφαὶ, ἐργὰζ, ἐργὸζ, ἐργὰβ)· βλ. τὸν ἱερὸν Θεοδώρητ. ἐν Ἀπόρ. εἰς α. Βασ. ἐρωτ. ι. πρβλ. καὶ Schleusn. Thes. V. T. v. Ἐργάβ.

(α) Ἰώσηπ. Ἀρχ. α. ς. ι. πρβλ. Ἡρόδ. γ, 94: ζ, 78: Στράβ. ια, 497. Στέφ. Βυζ. κτλ. Bochart. Phaleg. III. 12. — Bauer Sch. in Psalm. 120. Ὁ δὲ Θεοδώρητος (εἰς Ἰεζ. λϛ, 26) « Μοσὸχ δὲ, Καππαδόκαι καὶ Θοβὲλ (ἑβρ. Thubel) οἱ Ἴβηρες » βλ. καὶ Hieron. Comm. in Ezech. c. 37. πρβλ. καὶ ὄπισθ. σελ. 650. σημ.

Κολχίδος ἔθνος μετεμόρφωσε καὶ τὰ παρὰ τῷ Ἰεζεκιὴλ, « *παρατείνοντα* » τῆς Ἑλλάδος! Ἄλλως πάντως ἐξεδέξαντο οἱ Ο τὴν πολύσημον λέξιν Μοσὸχ (ἢ Μεσὲχ, Mesec) ἐν ἀμφοτέροις τοῖς χωρίοις (παρὰ τὸ Maschach, τείνειν, ἕλκειν, ἐκτείνειν κατὰ μῆκος), ὅθεν ἔγραψαν ὀρθῶς καὶ τὸ « ἐμακρύνθη » (α), καὶ τὰ « παρατείνοντα », δηλαδὴ τὰ κατὰ μάκρος συνημμένα χωρία, « *τὴν παρατείνουσαν χώραν* » (ὡς ἐν Β. Βασ. β. 29). Καὶ ἀντὶ δὲ τοῦ νῦν *Thubal*, ἄλλην ὡσαύτως ἀνέγνωσαν φωνὴν (ἴσ. Tebel), ἣν *σύμπασαν* ἡρμήνευσαν (β). Ἢ μήπως οἱ τοσάκις ἐν αὐτῷ τῷ Ἰεζεκιὴλ ἀναγνόντες καὶ γράψαντες τὰ ἐθνικὰ Μοσὸχ καὶ Θοβὲλ (Ἰεζ. λϐ, λη, λθ, κτλ.), ἔπειτα ἐν μόνῳ τῷ 13 ἐδαφίῳ τοῦ κζ κεφαλαίου ἀπέβαλον τὴν δύναμιν τῆς ὀρθῆς ἀναγνώσεως καὶ γνώσεως τῶν φωνῶν;

ε) Καὶ τὸ « *Φελλανὶ ἀλμωνὶ* (α. Βασιλ. κα, 2) κατέλιπον ἀνερμήνευτον, ὡς καὶ τοῦτο σύνηθες τότε παρὰ τοῖς κοινῶς ἑλληνίζουσιν Ἰουδαίοις (γ). Ἡ δὲ φράσις ἰσοδυναμεῖ πρὸς τὸ ἑλληνικὸν *δεῖνα*, ἢ *τόνδε τινα*, λεγόμενον ἐπὶ τῶν ἀγνοουμένων, ἢ καὶ ἐπίτηδες παρασιωπωμένων. Ὅθεν Ἀκύλας καὶ Θεοδοτίων *τὸν δεῖνα* ἡρμήνευσαν (αὐτόθ.). Ἀλλὰ καὶ αὐτοὶ οἱ Ο, πάλιν ἐν ἄλλῳ χωρίῳ (ὃ παρέδραμεν Ὅδιος) εἶπον καὶ ἑλληνικώτερον « *τόνδε τινα* » (δ).

---

(α) Καὶ Ἱερώνυμος μεταφράζων τὸν ψαλτῆρα κατὰ τὴν (ὡς ἔλεγεν) ἑ β ρ α ί α ν ἀ λ ή θ ε ι α ν, ἔγραψε κατὰ τοὺς Ο, « peregrinatio mea prolongata est ». Psalm. 119. in Psalter. juxt. Hebr. veritatem. T. 1. p. 1450. πρβλ. Gesen. Lex. p. 627. — (ϐ) Βλ. Schleusn. Thes. V. T. v. Παρατείνω, Σύμπασα. πρβλ. καὶ Lud. Capell. not. Crit. ad Ezech. c. 27, p. 554, ὃν καλῶς διώρθωσεν ὁ Schleusner l. c.

(γ) Οὕτω καὶ καθ' ἡμᾶς πολλοὶ τῶν Ἀσιανῶν Ἑλλήνων λέγουσι τουρκικώτερον « φ ε λ ὰ ν » (ἀντὶ δεῖνα, ἐπὶ τόπου, ἀνθρώπου, κτλ.)· ἔχει δὲ καὶ ἡ τουρκικὴ καὶ Ἀραβικὴ διάλεκτος τὸ φ ε λ ὰ ν (τὸ αὐτὸ καὶ φελανί)· Τοῦτο δὲ καὶ οἱ Ἰσπανοὶ λέγουσι falano, παρὰ τῶν Ἀράβων, ἴσως, ἢ τῶν ἐν Ἰσπανίᾳ Ἑβραίων εἰσποιησάμενο τὴν φωνὴν (βλ. Capell. not. in Ruth, 4).

(δ) « Εἰς τὸν τόπον τ ό ν δ έ τ ι ν α, ἐλμωνὶ, παρεμβαλῶ ». δ. Βασ. ς. 8. ὅπου ὁ ἱερὸς Θεοδώρητος (ἐν τοῖς Ἀπόρ ) « Τί ἐστιν εἰς τὸν τόπον ἐλμωνί; ὡς ἄν τις εἴποι εἰς τ ό ν δ ε (τινὰ) τὸν τόπον· τοῦτο γὰρ δηλοῖ τὸ ἐλμωνί » (βλ. Bos εἰς δ, Βασιλ. Ἄλλη ἔκδ. τοῦ Θεοδωρήτου γράφει φ ε λ μ ω ν ί. ἐκδ. Εὐγεν. T. α. σελ. 263).

ἀλλαχοῦ δὲ (Ῥοὺθ, δ) καὶ *κρύφιον* ἡρμήνευσαν, τουτ. ἄγνωστον καὶ ἄδηλον (« κάθισον ὧδε *κρύφιε* » = ἄγνωστε, δεῖνα, καὶ ὡς τὸ, ὦ οὗτος, καὶ τὸ ἀττικ. ὦ τάν). Ἐν δὲ τῷ προμνημονευθέντι τόπῳ (α, Βασ. κα) γράψαντες αὐτὰ τὰ ἑβραϊκὰ, προσέθηκαν καὶ τὸ « θεοῦ πίστις » (ἐν τῷ τόπῳ τῷ λεγομένῳ *θεοῦ πίστις*, φελλανὶ [ἄλλ. φελμωνὶ] ἀλμωνί ») (α). Τοῦτο δὲ τὸ *θεοῦ πίστις* ἐξέλαβόν τινες ὡς ἐπεξήγησιν τοῦ *ἀλμωνὶ* (al-moni). Πλὴν ἀλλ' αὐτοὶ οἱ Ο, τὸ *ἀλμωνὶ* ἐπεξήγησαν *τόν δε τινα* (καθὼς ἴδομεν ἀνωτέρω), ὡς συνώνυμον δηλονότι καὶ ταυτόσημον τοῦ *φελμωνὶ* (καθὼς καὶ Θεοδώρητος καὶ ἄλλοι ὀρθῶς ἡρμήνευσαν)· καὶ αἱ λέξεις ἀμφότεραι ἐτίθεντο συνήθως ἐκ παραλλήλου (κατὰ τὰ παρ' ἡμῖν *ὅδε τις*, *οὗτός τις*, καὶ τὸ χυδ. *δεῖνα κάποιος* (β). Ὥστε δυοῖν θάτερον, ἢ καὶ τὰς τῷ « *θεοῦ πίστις* » ἰσοδυνάμους λέξεις ἀνέγνωσαν οἱ Ο,

---

Ὥστε καὶ ὁ ἱερὸς Θεοδώρητος αὐτὸ τὸ ἐν τῷ κειμένῳ τ ό ν δ ε τ ι ν α, μεταθεὶς, ἔταξεν ὡς ἰσοδύναμον ἐπεξήγησιν τοῦ ἐλμωνὶ (ἢ ἀλμωνί). Ἀλλαχοῦ δὲ (ἑρμην. εἰς Δαν. η, 13) « καὶ τὸ φ ε λ μ ο υ ν ὶ (λέγει) τόν τινα (ἴσ. τ ό ν δ ε τινα) σημαίνει τῇ ἑλλάδι φωνῇ· μαρτυρεῖ δὲ τούτοις καὶ ἡ Σύρων φωνὴ, γειτνιάζουσα τῇ ἑβραίᾳ » κτλ. Τὸ δὲ φελμωνὶ συνεκράθη ἐκ τῶν δύω, φελανὶ, ἀλμωνὶ (Gesen. Lex.). Ἄλλοι (Demagist. Schol. εἰς Δανιὴλ κατὰ τοὺς Ο, pag. 52) τ ὸ φ ε λ μ ω ν ὶ, νομίζουσιν αὐτὸ τὸ ἐ λ μ ω ν ὶ μετὰ τοῦ αἰγυπτιακοῦ ἄρθρου πῖ, ἢ φῖ (φ — ελμωνὶ) καὶ πρὸς τοῦτο παραβάλλουσι τὸ Αἰγυπτιακὸν Ἀ μ ο ῦ ν (ὁ Ἑλληνικῶς Ἄμμων τῶν Αἰγυπτίων) « ὁ Μανεθὼς μὲν τὸ κ ε κ ρ υ μ μ έ ν ο ν οἴεται, καὶ τὴν κρύψιν ὑπὸ ταύτης δηλοῦσθαι τῆς φωνῆς. Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης φησὶ τούτῳ καὶ πρὸς ἀλλήλους τῷ ῥήματι χρῆσθαι τοὺς Αἰγυπτίους, ὅ τ α ν τ ι ν α π ρ ο σ κ α λ ῶ ν τ α ι· προσκλητικὴν γὰρ εἶναι τὴν φωνήν » (Πλούταρχ. π. Ἴσιδ. καὶ Ὀσίρ.).

(α) Κώδ. Ἀλεξ. Ὁ δὲ Βατικαν. « Φ ε λ λ α ν ὶ, μ α ε μ ω ν ί »· ὁ δὲ τοῦ Ἄλδου καὶ ἄλλοι (ἐσφαλμένως) « ἐ μ μ ω ν ε ί μ ». Λείπει δὲ παρὰ τούτοις ἑκατέροις καὶ τὸ « θ ε ο ῦ π ί σ τ ι ς ». Καὶ τὸ Φελλανὶ διαφόρως ἐν τοῖς κώδηξιν ἀναγινώσκεται, φελλανὶ, φελμωνὶ, φελμουνὶ (Schleusn. Thes. v. φελμουνί). Φελμωνὶ καὶ Ἀκύλας ἔγραψε, καὶ Θεοδοτίων, καὶ οἱ Ο, ἐν Δανιὴλ η, 13. Ὁ δὲ Σύμμαχος (κατὰ τὴν Ἱερωνύμου μαρτυρίαν) « τ ι ν ί π ο τ ε » (ᾧ καὶ Ἱερώνυμος ἑπόμενος, ἡρμήνευσεν alio nescio quo — ἄλλῳ, οὐκ οἶδ' ᾧτινι· Com. in Dan. l. c.). Ὁ δὲ Εὐδόξιος (Σχολ. αὐτ.) « τὴν ἑβραϊκὴν φωνὴν τῷ φ ε λ μ ω ν ὶ τέθεικεν, ἀντὶ τοῦ εἰπεῖν τῷ π ρ ο σ φ ι λ ε σ τ ά τ ῳ, τῷ ἐφεστῶτι κατ' ἐξοχὴν, τῷ ταῦτα δεικνύοντι » (ἀλλὰ καὶ τὸ π ρ ο σ φ ι λ έ σ τ α τ ο ς ἐξέλαβεν ὁ Εὐδόξιος ἐπὶ τοῦ ἀνωνύμου, ὡς λέγονται καὶ τὰ, φ ί λ ε, ἑ τ α ῖ ρ ε, Λουκ. ιδ. 10 κτλ.).

(β) Ἐλέγετο δὲ καὶ τὸ φελμωνὶ (ἢ φελλανὶ) μόνον (ὡς Δαν. η, 13)· καὶ ἐν τῇ Ῥοὺθ, δ, μόνον κρύφιε (= φελμωνὶ) ἔγραψαν οἱ Ο.

ἐν τῷ κατ' αὐτοὺς ἑβραϊκῷ, καὶ ταύτας ἐξελληνίσαντες, ἀπέδωκαν ἔπειτα ἀνερμήνευτα τὰ *φελλανὶ ἀλμωνὶ*, καθὸ γνωστὰ καὶ εἰς τὴν συνήθειαν τῶν ἑλληνιστῶν· ἢ καὶ τοῦτο, τὸ *θεοῦ πίστις*, οἱ ἑλληνισταὶ πρὸς τῷ *φελλανὶ ἀλμωνὶ* προσετίθουν συνήθως ἔν τισι σπουδαιοτάτοις περιστατικοῖς (οἷόν ἐστι καὶ τὸ ἐν Α. Βασιλ. κα. τὸ γὰρ ἄγνωστον καὶ κρύφιον, ἢ ἀπόῤῥητον, μόνῳ Θεῷ *πεπίστευται*). Ὅθεν καὶ οἱ Ο, διετήρησαν ἐνταῦθα τὴν συνειθισμένην ἔκφρασιν (α).

ϛ) Ἡ Κυρήνη (ἑβραϊστὶ Kir. δ. Βασ. ιϛ, 9) οὐχὶ τῆς Μωαβίτιδος, ἀλλὰ τῆς ἄνω Μηδείας ὑπῆρχε πόλις, ὑπήκοος Ἀσσυρίων (β). Ὥστε κακῶς συνέχεεν αὐτὴν ὁ Κριτικὸς πρὸς *τὸ τεῖχος τῆς Μωαβίτιδος* (Ἡσ. ιε, 1), τὸ παρ' Ἑβρ. Kir (γ). Ὡς δὲ τὸ Κὶρ, τεῖχος προσηγορικῶς σημαῖνον, ἐξελήφθη καὶ ὡς κύριον ὄνομα τῆς Μωα-

(α) Αὐτὸς ὁ Φράγκελος ὡμολόγησεν, ὅτι οἱ Ο κατέλιπον πολλάκις αὐτὰς τὰς λέξεις τὰς ἑβραϊκὰς (οἷον τὸ γ ε ι ώ ρ α ς, σ ά β β α τ α, ε ἲ ν, π ά σ χ α, κτλ.), ὡς συνειθισμένας εἰς τὴν κοινὴν διάλεκτον τῶν Ἀλεξανδρινῶν Ἰουδαίων, καθὼς εἰσέτι (λέγει) καὶ τὴν σήμερόν εἰσι τοιαῦται συνήθεις παρὰ τοῖς Ἰουδαίοις συχναὶ, (Frank. l. c. p. 8). Καίτοι τὴν ἱσπανικὴν, φερ' εἰπεῖν, ἢ τὴν γαλλικὴν, ἢ ἄλλην λαλοῦσι γλῶσσαν, καθ' ἣν ἂν ἕκαστοι κατοικῶσι χώραν. « Μόνον» (προστίθησιν, ἐξελέγχων ὡς ψεῦδος τὴν ἐπὶ τοῦ Φιλαδέλφου μετάφρασιν). «μόνον λέγει πρὸς Πτολεμαῖον (Ἕλληνα βασιλέα) οἱ τοιοῦτοι ἑβραϊσμοὶ τόπον ἀνάλογον οὐκ ἐπεῖχον » (σελ. 9). Ὡς ἂν εἴπερ ὁ Πτολεμαῖος οὐκ εἶχε περιστοιχοῦντας μυρίους τῶν ἑλληνιστῶν ὑπηκόων, παρ' ὧν ἂν ἐμάνθανε τὴν σημασίαν τῶν ἑβραϊσμῶν!

(β) Ἰώσηπ. Ἀρχ. θ. ιβ. §. 3. πρβλ. Schulz. Schol. in V. T. vol. 3. p. 191·

(γ) « Νυκτὸς ἀπολεῖται ἡ Μ ω α β ί τ ι ς » (τὸ ἑβρ. « ἡ Ἂρ τ ο ῦ Μ ω ά β »)· « νυκτὸς γὰρ ἀπολεῖται τὸ τεῖχος τῆς Μ ω α β ί τ ι δ ο ς » (τὸ ἑβρ. « ἡ Κ ὶ ρ τ ο ῦ Μ ω ά β ») Ἡσ. ιε, 1. σημαίνει δὲ καθόλου τὸ μὲν Ἂρ πόλιν (ὅθεν Ἀκύλας καὶ Σύμμαχος ἔγραψαν ἡ π ό λ ι ς τοῦ Μωάβ)· τὸ δὲ Κὶρ, τεῖχος (καὶ τοῖχον)· οἱ δὲ Ο, Μ ω α β ῖ τ ι ν εἶπον τὴν Ἂρ (ἣν ἀλλαχοῦ καὶ αὐτοὶ γράφουσιν Ἢρ. Ἀριθμ. κα, 15, διάφορον ἴσως τῆς Ἀροήρ. Δευτ. β. 9). Ἡ γὰρ αὐτὴ Ἂρ καὶ Μ ω ὰ β ἐκαλεῖτο (Ἱερεμ. λα (ἑβρ. μη), 9, 31: Εὐσέβ. περὶ τόπ. ὀνομ. καὶ Ἱερώνυμ. αὐτ.), καὶ παρ' Ἕλλησιν, Ἀ ρ ε ό π ο λ ι ς (τοῦ Ἂρ εἰς τὸ ὁμόηχον Ἄρης μεταπλασθέντος), καὶ προσέτι Ῥ α β β ὰ β Rabbah (Ἰησ. ιγ, 25) καὶ Ῥαββὰθ (Ἀμὼς, α, 14. καὶ Drusij annot. ib. ὅπου καὶ τὸ ἑβρ. τ ε ῖ χ ο ς ῥ α β β ὰ θ), τουτέστι μ ε γ ά λ η (ὡς μητρόπολις Μωαβιτῶν), καὶ συνθέτως Ῥ α β β α θ - μ ω β ὰ (Στεφ. Βυζ.) = ῥαββὰθ Μωάβ· καὶ νῦν παρὰ τοῖς Ἄραψιν, Arabat, ἡ αὐτὴ καὶ Mab, ἢ Mob (= Μωὰβ, Μωαβῖτις). βλ. Relandi Palaest. p. 577. Διαστέλλουσι δὲ ταύτην ἀπὸ τῆς πλησιοχώρου Κὶρ.

δίτιδος πόλεως, οὕτως ἐτέθη καὶ τὸ τεῖχός ὡς κυριωνυμία· (καὶ παρ' Ἕλλησι δὲ τὸ τεῖχος ἐπὶ πόλεων ἐκυριωνυμεῖτο, οἷον, *Ἡραῖον τεῖχος*, Ἀϐώνου *τεῖχος*, καὶ *Τεῖχος* ἁπλῶς, κτλ. Στέφ. Βυζ.). *Τεῖχος* ἔγραψαν τὴν αὐτὴν Kir οἱ Ο καὶ ἐν Ἠσαΐᾳ ις, 11· ἡ δ' αὐτὴ *Κὶρ* (ἢ Κεὶρ) *Μωὰϐ*, μετεπλάσθη μετέπειτα καὶ εἰς τὸ Καράκμωϐα (Krak, ἢ Karak-Moab) (α). Ἐν δὲ τῷ Ἀμὼς (α, 5) οἱ Ο ἀνέγνωσαν οὐχὶ Kir, ἀλλὰ πιθανώτατα, Kari (ἐπίκλητος, κεκλημένος, κλεινός)· ἄλλο τι ὡσαύτως ἀνέγνωσαν καὶ ἐν Ἀμὼς θ, 7. ἴσως τι παράγωγον ἐκ τοῦ Kur (τὸ ὀρύσσειν, βοθρεύειν), ὅθεν καὶ *βόθρον* ἡρμήνευσαν (ϐ). Ἀλλὰ πολλοὶ γινόμεθα καθέκαστον ἐν τούτοις ἀπαντῶντες πρὸς τὸν Ὅδιον, ὅστις καὶ τὰς ἀναγνώσεις τοῦ σημερινοῦ ἑϐραϊκοῦ κειμένου συνέχεε πρὸς ὅσα πάντῃ διαφόρως ἀνέγνωσαν οἱ Ο· καὶ σημασίας δὲ πολλάς, καὶ ἄλλα συνετάραξε παντοίως, ὧν ἡ θεωρία μακροτέρας καὶ ἰδίας χρήζει πραγματείας.

§. λγ. Ε) Ἴδωμεν δὲ ἤδη καὶ τῶν ἄλλοτε ἄλλως ἡρμηνευμένων λέξεων τὰ προταχθέντα παραδείγματα (§. ις)· α) τὸ *Θεραφεὶν* ἡρμήνευσαν καὶ *εἴδωλα* (« *τύπους Θεῶν* » εἶπεν ὁ Ἰώσηπος), καὶ *γλυπτὰ* (καθὸ συνώνυμον), καὶ *κενοτάφια* (τουτέστιν εἴδωλα νεκρῶν, ἐπὶ τῶν κενοταφίων ἑστηκότα, καθὼς ὠνόμαζον τὰ τοιαῦτα *θεραφεὶν* οἱ ἑλληνίζοντες Ἰουδαῖοι (γ)). Ἀλλαχοῦ δὲ πάλιν τὸ *θεραφεὶν* ἡρμήνευσαν δήλους (Ὡσ. γ. 4)· καὶ πάλιν,

---

(α) Στέφ. Βυζ. λεξ. καὶ Θεοδώρητ. εἰς Ἡσ. ιε, 1, καὶ ια, 14 (ὅπου Χαραγμωϐᾶ φαίνεται λέγων τὴν τῆς Ἂρ πλησιόχωρον Μωὰϐ, ἢ Κὶρ). πρϐλ. Schulz Sch. in Jes. et Ierem. l. c.

(ϐ) Βλ. Schleusn. Thes. v. Ἐπίκλητος καὶ Βόθρος. πρϐλ. καὶ Hieron. Comm. in Amos, 9, 7. καὶ Schulz. Schol. in Amos ib. ὅστις καὶ τὸ ἑϐρ, ἀναγινώσκει οὐχὶ Kir, ἀλλὰ Kur (ὁ Κῦρος, Ἀρμενίας ποταμός).

(γ) Βλ. Bochart. Hieroz. P. I. 2. c. 51. — Schleusn. Thes V. T. λ. Κενοτάφια. Ὁ δὲ Σουΐδας. « Κενοτάφιά τινα ἦσαν ἑλισσόμενα, ὡς τύπος νεκροῦ· ἤτοι τὰ μὴ ἔχοντα ἔνδοθι νεκρόν ». (οὕτω καὶ Κύριλλος καὶ Φώτιος, λεξικ.). Καὶ κράτιστα λοιπὸν οἱ Ο, ἐν Α. Βασ. (ιθ. 13) ἀπέδωκαν τὸ θ ε ρ α φ ὶ ν κενοτάφιον, ὡς ε ἴ δ ω λ ο ν κ ε ν ὸ ν τοῦ κειμένου δῆθεν ἐπὶ τῆς κλίνης ἀῤῥώστου Δαϐίδ. Βλ. Schulz. Schol. l. c.

*ἀποφθεγγομένους* (Ζαχαρ. ι, 2. ἐλλειπτ. ἀνδριάντας)· ὧδε γὰρ ὁ λόγος περὶ τῆς ἐκ τῶν *ἀποφθεγγομένων* (χρησμοδοτούντων) *εἰδώλων* πιστευομένης *δηλώσεως* τῶν μελλόντων (α). Ὅθεν καὶ ὁ Θεοδοτίων ἀντὶ *τῶν ἀποφθεγγομένων*, ἔγραψεν (ἀνδριάντος) «*ἐπιλυομένου*» (δηλονότι λύοντος τὰ τῶν χρηστηριαζομένων ἐρωτήματα). Καὶ ὁ Σύμμαχος «*ἐπιλύσεως*» (Ὠσ. γ, 4. βλ. καὶ Θεοδώρητ. αὐτόθι). Εἰ δὲ καὶ οἱ περὶ τὸν Ὅδιον εὑρίσκουσιν ἀπόδειξιν διαφόρων ἑρμηνευτῶν τὴν μιᾶς καὶ τῆς αὐτῆς φωνῆς κατὰ διαφόρους συνωνύμους λέξεις ἑρμηνείαν, ἀλλ᾽ οὕτως ἐξελέγξουσι λοιπὸν καὶ πολλοὺς τοὺς πατέρας μιᾶς τινος ἑνὸς συγγραφέως (οἷον, τῆς τοῦ Παυσανίου, κτλ.) συγγραφῆς, ἐν ᾗ κατὰ τόπους ἀναγινώσκομεν τὸ αὐτὸ πρᾶγμα ποικίλως ὠνομασμένον· οἷον, οὐ μόνον εἴδωλον, ἀλλὰ καί, ἄγαλμα, τύπον, ξόανον (γλυπτὸν), εἰκόνα (καὶ πλαστὴν καὶ μιμηλὴν), ὁμοίωμα, μόρφωμα, ἀνδρείκελον, ἀνδριάντα, βρέτας θεσπιῳδοῦν, καὶ εἴτι ἄλλο τοιοῦτο, πρὸς τὴν ἔννοιαν ἐμφαντικῶς μεταβαλλόμενον. Αὐτὸς ὁ Ἀκύλας ἔγραψε καὶ *θεραφεὶν* (Ἰεζ. κα, 2), καὶ *μορφώματα* (Γεν. λα, 19). Ὡσαύτως καὶ Σύμμαχος, *θεραφεὶν* εἰπὼν (Γεν. λα, 19), εἶπεν ἀλλαχοῦ καὶ *εἴδωλα* (Ἰεζ. κα, 21). Ἀλλὰ μὴ παρὰ ταῦτα φῶμεν ὅτι πολλοί τινες εἰργάσαντο καὶ τούτων τὰς ἑρμηνείας; — β) Τὸ *Ἐφώδ*, ἢ *Ἐφοὺδ* ἐξελλήνισαν *ἐπωμίδα* (ὡς καὶ Ἰώσηπος), καὶ προσέτι *στολὴν*, καὶ *ἱερατείαν* (περιφραστικῶς, ὡς ἐξαίρετον τοῦ ἱερατεύοντος στολισμόν· ὅθεν καὶ Ἰώσηπος ἀντὶ τοῦ ἐφοὺδ εἶπεν *ἀρχιερατικὴν στολήν*· Ἀρχ. ς, 6. 3)· καὶ αὐτὸ δὲ τὸ *ἱερατεύω* (ἐνεργ.) εὕρηται ἀντὶ ἱερατικῇ στολῇ κοσμῶ· «ὡς νυμφίον *ἱερατευόμενον στεφάνῳ*» (Ἀκύλας. τουτ. κεκοσμημένον ἱερατικῷ στεφάνῳ, τῇ *μίτρᾳ*), τὸ παρὰ τοῖς Ο, «ὡς νυμφίῳ *περιέθηκέ μοι μίτραν*» (Ἡσ. ξα, 10). *Στολὴν* (ἐξαλ-

(α) «Ἀποφθεγγομένους μάταια» (Ἰεζ. ιγ. 9. πρβλ. Μιχ. ε, 12), τουτ. ψευδεῖς χρησμούς. «Ἀπόφθεγμα — μάντευμα» (Ἡσύχ.). «Ἀποφθεγγομένους, μαντευομένους» (Σουϊδ. πρβλ. Hieron Comm. in Osee, 3. et Zach. 10). Καὶ αὐτὸ τὸ θεραφεὶν εἰπόν τινες παρὰ τὸ Συριακ. καὶ Χαλδ. θεράφ (διηγήσατο)· ἄλλοι δ᾽ ἀλλαχόθεν. Schulz. in Osee. — Bochart. Hieroz. P. I. Libr. II. p. 623.

λον) εἶπον οἱ Ο, καὶ ὅπερ ὁ Δαβὶδ ἐφόρει λίνεον ἐφοὺδ (Β. Βασ. ς. 14. ὅπου τὸ ἑβρ. ἔχει Ephod). Οὕτω καὶ Ἀκύλας *ἐφοὺδ* εἰπὼν, ἡρμήνευσεν ἀλλαχοῦ καὶ *ἐπένδυμα* (βλ. Θεοδώρητ. Ἀπόρ. Κριτ. ἐρωτ. ιζ), ἢ *ἔνδυμα* (Hieron. epist. 130)· καὶ Θεοδοτίων *ἐπενδύτην* εἶπε τὸ τοῦ Σαμουὴλ παρὰ τοῖς Ο, *ἐφοὺδ βὰδ* (Α. Βασ. β. 18) (α). Εἰς μάτην λοιπὸν ὁ φερώνυμος Ἱερώνυμος ἠγανάκτησε, διὰ τί οἱ Ο, καὶ τὴν ἑβραϊκὴν ἐτίθουν φωνὴν, καὶ ταύτην πάλιν ἐξελλήνιζον.— γ) Τὸ Κινύρα, ἢ Κιννύρα (αὐτὸ, καθὼς θέλουσι, τὸ ἑβραϊκὸν Cinnor, ἢ Kinnor) ὑπάρχει συνώνυμον ἀκριβῶς τοῦ ἑλληνικοῦ κιθάρα (β). Τὸ δὲ ψαλτήριον φαίνεται μὲν ὁπωσοῦν τῆς κιθάρας διάφορον (διὸ καὶ διακρίνονται πολλάκις· ὡς Γεν. δ, 21: Ψαλμ. λϐ, ϡα, ρμγ: Ἰωσήπ. Ἀρχ. α, β, 2), ἐκλαμβάνονται δὲ ὅμως καὶ συνώνυμα, ὡς ἀμφότερα δεκάχορδα τὰ ὄργανα, μεθ' ὧν καὶ ἡ δωδεκάχορδος *Νάβλα* (καὶ νάβλας, ὁ, Σιδωνίων ἢ Φοινίκων εὕρημα, αὐτὸ τὸ ἑβραϊκ. Nebel) (γ). Ὅθεν καὶ Θεοδοτίων καὶ Ἀκύλας τὸ ἑβρ. Kinnor, *ψαλτήριον* ἡρμήνευσαν (α. Βασ. ις. 16, 23. ὅπου οἱ Ο, *κιννύραν*), ὡσαύτως καὶ ὁ Σύμμαχος (ψαλμ. μϐ. 4: Ἡσ. ις, 11. ὅπου πάλιν οἱ Ο, *κιθάραν*· καὶ τὸ Nebel δὲ ὁ Σύμμαχος (ὡς καὶ οἱ Ο) *κιθάραν* ἐξήγησε (ψαλμ. ο, 23). Ἐπειδὴ δὲ τὸ ψαλτήριον ἔχει συνυπακουόμενον τὸ *ὄργανον*, εἶπον τὴν κιθάραν καὶ πληρέστερον, « σκεῦος ψαλμοῦ» (ψαλμ. ο, 22), τουτέστιν « *ὄργανον ψαλμοῦ* » (Ἀμὼς, ε, 3)· « ψαλμὸς δὲ κυρίως ὁ τῆς κιθάρας ἦχος » (δ). Ὥστε καὶ ἐνταῦθα ἡ χρῆσις τῶν συνωνύμων οὔτε τὴν Ἀκύλα καὶ τὴν τῶν λοιπῶν, οὔτε τῶν Ο τὴν ἑρμηνείαν

---

(α) Βλ. Bernard. not. εἰς Ἰωσηπ. Ἀρχ. γ, ζ, 5:— Schleusn. Thes. λ. ποδήρης, στολὴ, ἐπένδυμα, ὑποδύτης, ἐφούδ·

(ϐ) Ἡσύχ.: Ὠριγ. Λεξ. σελ. 217: Φώτ. Λεξ. ἐν δὲ Α. Μακκαϐ. (δ. 54) « κιθάραις καὶ κιννύραις » ἐκ παραλλήλου.

(γ) Ἰώσηπ. Ἀρχ. ζ, ιβ. 3. πρβλ. Θεοδωρ. Ἄπορ. εἰς γ. Βασ. ἐρωτ. λδ. — Μ. Ἀθανάσ. παρὰ Νικήτᾳ, Σειρ. εἰς τοὺς ψαλμ: — Μ. Βασίλ. ὁμιλ. εἰς ψαλμ., α, καὶ λϐ: Ἡσύχ. κτλ. Περὶ ψαλτηρίου καὶ νάϐλας ϐλ. καὶ Ἀθήν. δ, 175: Spanhem. ad Callim. p. 536, 541. — Bochart. Chanaan, II, 7: — Schulz. Sch. in Genes. IV. 21. — (δ) Σχολ. Ἀριστοφ. Ὄρν. 218: πρβλ. Spanhem. l. c. p. 86.

ἀποδείκνυσιν ἔργον διαφόρων καὶ ἄλλων ἄλλοτε μεταφραστῶν.— δ) Τὸ Zebaoth ἡρμήνευσαν καὶ κατὰ λέξιν « *τῶν δυνάμεων* ». Ὅπου δὲ ἡ λέξις ἐν τῷ κειμένῳ συνάπτεται μετὰ τοῦ θείου ὀνόματος (Jechovach) ἡρμήνευσαν αὐτὴν οἱ Ο, *ὁ παντοκράτωρ*, ὡς ἄριστα παρετηρήθη (α). Ἀλλαχοῦ δὲ πάλιν ἀφῆκαν αὐτὸ τὸ ἑβραϊκὸν Σαβαὼθ, ὡς ἐμφαντικώτατον καὶ σεβαστὸν, καθὼς καὶ τὰ, *Ἀδωναΐ*, Ἐλωΐ, κτλ. (β). Τοῦτ' αὐτὸ καὶ Ἀκύλας ἐποίησε, καὶ οἱ λοιποί. Τῶν δέ τινες νεωτέρων καὶ *παντοδύναμον* ἡρμήνευσαν τὸ *Σαβαὼθ* (ὡς τὸ παντοκράτωρ) (γ).— Οὕτω διετήρησαν καὶ τὸ παρὰ πᾶσι τοῖς Ἀσιανοῖς σύνηθες *Ἀμήν*· καὶ τοῦτο πάλιν πρὸς τὸ σαφέστερον ἐξελλήνισαν οὐ μόνον διὰ τοῦ *γένοιτο* (ἐπὶ εὐχῆς), ὡς Ὅδιος ἐσημείωσεν, ἀλλὰ καὶ διὰ τοῦ *ἀληθῶς* (ἐπὶ βεβαιώσεως· Ἱερ. λε, 6. καθ' Ἑβρ. κη, 6), καὶ διὰ τοῦ *ὄντως* (Ἀριθμ. κβ. 37)· ὁ δὲ Ἀκύλας ἐν Ἀριθμ. ε, 22, *πεπιστευμένως*, ἢ *πεπιστωμένως* (πρβλ. καὶ Σύμμαχον, ψαλμ. μ. 14 κτλ.). Ἀλλὰ καὶ αὐτοὶ οἱ θεῖοι Εὐαγγελισταὶ χρώμενοι συνήθως τῷ *Ἀμὴν*, εἶπον ἀντ' αὐτοῦ καὶ « *ἀληθῶς* » (Ματθ. ις, 28. πρβλ. Λουκ. θ, 27), καὶ « *ἐπ' ἀληθείας* » (Λουκ. δ, 24, 25). —Καὶ τὸ *Σατὰν* δὲ, τέλος, ἢ *Σατανᾶς*, καὶ πάλιν τὰ *Διάβολος*, ὁ Πειράζων, ὁ *Ἀντικείμενος* (ἀντὶ τοῦ Satan) ἀδιαφόρως οἱ Εὐαγγελισταὶ καὶ ὁ θεῖος Παῦλος μετεχειρίσθησαν (Ματθ. δ, 1, 3, 8 : Ις, 23. - Λουκ. δ, 2, 8, 1, 18: κϐ, 3: - Ἀποκαλ. β. 9, ιβ, 9. - Α. Κορ. ε. 5: Ἐφεσ. ς. 11: β. Θεσσαλ. β. 9). Οὕτω καὶ Ἀκύλας (Γεν. κς. 21: Ἀριθμ. κβ. 22), καὶ Θεοδοτίων (Ἰὼϐ, α, 6, ὅπου οἱ Ο, διάϐολος) (δ). — ε) Τὸ δὲ

(α) Schleusn. Thes. v. Σαϐαὼθ. Ὅθεν ὁ Ἡσύχ. « Σαϐαὼθ, στρατιῶν »· καὶ, « Σαϐαὼθ, παντοκράτωρ » πρβλ. Le Moyen Var. Sacr. vol. 2. p. 124.

(ϐ) Μ. Βασ. κ. Εὐνομ. λόγ. β. ἔλ. ἐφεξ. κεφ. ια, §. ζ.

(γ) Schulz in Iesai. VI. 3. omnipotentem, ὡς πάντα δυνάμενον, καὶ κρατοῦντα, ἢ κύριον πασῶν τῶν δυνάμεων, τῶν στρατιῶν τοῦ οὐρανοῦ· πρβλ. τοῦ αὐτοῦ Schol. εἰς α. Βασιλ. α, 3· ὅπου κάλλιστα ἐκφράζει καὶ τὸ τῶν Ο, παντοκράτωρ. βλ. καὶ Gesen. Lex. Hebr. p 852.

(δ) Οἱ δέ τινες τῶν σοφωτάτων ἐν τοῖς νεωτέροις ἑβραϊσταῖς καὶ κριτικοῖς (Schultens, Herder, Eichhorn) τὸ ἐν τῷ τεύχει τοῦ Ἰὼϐ Σατὰν, ἢ διάϐολος, ἐξήγη-

Sabek σημαίνει κυρίως περιπλοκὴν, ἢ περιπεπλεγμένης ὕλης δασύτητα, δασείας ὕλης συστροφήν· ὅθεν καθόλου, καὶ *δάσος* (Ἡσ. θ. 18), καὶ (τὸ συνώνυμον) *δρυμὸς* (ψαλμ. ογ. 5)· εἰδικῶς δὲ σημαίνει καὶ δασὺ καὶ λοχμῶδες εἶδος φυτοῦ· τὸ παρ' Ἑβραίοις (ἴσως δὲ καὶ παρὰ τοῖς τότε ἑλληνισταῖς) ὀνομαζόμενον ἰδίως Σαβὲκ (Γεν. κβ, 13). Καὶ μαρτυρεῖ τρανῶς ὁ Ἱερώνυμος, προστιθεὶς ὅτι ἐπὶ τῆς εἰδικῆς ταύτης σημασίας ἐγράφετο τὸ πρῶτον τῆς λέξεως στοιχεῖον (ὡς γράφεται καὶ νῦν) διὰ τοῦ ἑβραϊκοῦ Samech (σίγμα ἁπλοῦν), ἐπὶ δὲ τῆς καθόλου τοῦ δασέος σημασίας, πολλάκις διὰ τοῦ συριστικοῦ Schin (α). Ὁ δὲ ταργουμιστὴς Ἰωνάθαν *ἐν ὑλήματι* ἡρμήνευσε τὸ εἰδικὸν Σαβέκ. Ὄγκελος δὲ, « *ἐν φυτῷ* »· *ἐν κλάδοις* ὁ Σύρος· « *ἐν κλάδοις φυτῶν* » ὁ Ἄραψ· ὁ δ' Ἀκύλας, « *ἐν συχνῷ* », ἢ (ὥς φησιν Ἱερώνυμος) « *συχνεῶνι* » (ἔοικε δὲ τοῦ Ἀκύλα εἶναι καὶ τὸ συχνεὼν, ἢ συχνὼν, οἷον δασὼν, ὡς τὰ *θαμνὼν*, *δρυμὼν*, κτλ.) (β). Ὁ δὲ Σύμμαχος, « ἐν δικτύῳ ». Ὁ δὲ Θεοδοτίων, αὐτὸ τὸ « *σαβὲκ* »

---

*ἰδίως ἄγγελον ἀγαθὸν, ὡς δῆθεν συγγενὲς τὸ* Hasatan, *ὁ περιοδευτής. Οὕτως οἱ ἄνδρες ῥᾷστα μεταμορφοῦσι καὶ τὸν ἄγγελον τοῦ σκότους εἰς ἄγγελον φωτός! Ἀλλ' ἀντεῖπε πρὸς ταύτην τὴν ἀτοπωτάτην ἑρμηνείαν ὁ* Gesenius, Lex. Hebr. p. 961. *Κείσθω δ' οὖν καὶ τοῦτο δεῖγμα τῆς ἐν ταῖς θείαις δέλτοις αὐτογνωμοσύνης τῶν νεωτέρων.*

(α) S. Hier. Quaest. in Genes. *Οὕτω καὶ νῦν τὸ ἐν β. Βασιλ. ιη, 9, δάσος, παρ' Ἑβραίοις γράφεται* schabek (*διὰ τοῦ* schin, *ὅπερ στίζουσιν ἀριστερόθεν, ὅπως ἀποβῇ ταυτόφωνον τοῦ ἁπλοῦ* samech· *ἀλλ' οἱ Ο, ἠγνόουν τὰς Μασοριτείους στιγμάς!). Εὑρίσκεται δὲ ὅμως ἡ λέξις καὶ ἀλλαχοῦ πολλαχοῦ διὰ τοῦ ἁπλοῦ* samech (*ὡς, Ψαλμ. ογ, 5. κτλ). Ἀλλὰ κἂν ἡ γραφὴ τεθῇ ἡ αὐτὴ, οὐδὲν ξένον, εἴπερ τὸ καθόλου προσηγορικὸν συνωνυμεῖ κατὰ μετάληψιν καὶ πρὸς τὴν εἰδικὴν τοῦ φυτοῦ κυριωνυμίαν (οἷα καὶ τὰ ἑλληνικὰ, Ἄκανθα, Ῥάχος, Πόα, καὶ ἄλλα, καὶ ἡ συνήθως Περιπλοκάς. βλ. καὶ* Schleus-Th. *λ. Πόα κτλ.). Τὴν αὐτὴν φωνὴν, ὡς ἐκ τῆς καθόλου σημασίας, οἱ Ο ἡρμήνευσαν καὶ δίκτυον (γ. Βασ. ζ. 17) ἐπὶ καλυμμάτων δικτυωτῶν (ὡς καὶ τούτων περιπλόκων, καὶ ὁμοίων πλέγματος, κατὰ τὰς δικτυωτὰς θυρίδας, (Ἰεζ. μα, 16. πρβλ. δ. Βασ. α, 2. δικτυοειδῶς πεπλεγμένας, ὡς τὰ τουρκ. καφάσια, ἢ τὸ Γαλλ.* Grilles, *ἐκ τοῦ λατιν.* craticula, crates, *τὸ ἑλην. κρατευτής). βλ.* Schleusn. Thes. λ. Δίκτυον, Σαβὲκ, καὶ Le Moyen Var. Sacr. vol. 2. p. 702.

(γ) Βλ. Bochart. Hieroz P. I. L. 11. c. 49. p. 542 καὶ Schleusn. Thes. λ. Συχνεών. πρβ. καὶ J. Sibrand. not. εἰς Ἰωσήπου Ἀρχ. Α. ιγ. §. 4. Hav. αὐτὸς δὲ ὁ Ἰώσηπος παρέλιπε καὶ τὸ σαβὲκ καὶ τὰ λοιπὰ, συντόμως γράψας μόνον, « κριὸν ἐκ τοῦ ἀφανοῦς παρήγαγε » (αὐτόθ.).

(ὡς καὶ οἱ Ο)· *καὶ ἡ* Βουλγάτα *Sabek*· *ἀλλαχοῦ δὲ* ὁ Ἱερώνυμος *ἀκάνθας* (vepres)· ἄλλος, « *ἐν φυτῷ δυνατῷ* » κτλ. Οὕτως ἐκεῖνοι ἐξελλήνιζον τὸ εἰδικὸν *σαβὲκ* ὡς ἐκ τῆς γενικῆς τοῦ ὀνόματος σημασίας, τοῦ πυκνοῦ δηλαδὴ, καὶ πολυκλάδου, καὶ δασώδους [ὁποῖα πολλὰ τῶν περιπλόκων φυτῶν, εἴτ' ὀρθοφυῶν, εἴτε θαμνωδῶν καὶ χαμαιζήλων, ἢ ἀκανθωδῶν, οἷον σμίλαξ (ἡ τραχεῖα μάλιστα), καὶ ῥάμνοι, καὶ βάτοι, καὶ ῥάχοι, καὶ παντοίων τοιούτων ἄλλων ἀλλαχοῦ καὶ ἐν τοῖς ὄρεσι τῆς Παλαιστίνης φυομένων]· οἱ δὲ Ο, κατέλιπον αὐτὸ τὸ κύριον ὄνομα τοῦ φυτοῦ Σαβὲκ, ὅπερ οἱ νεώτεροι ἄλλως ἄλλοι διορίζουσιν· οἷον, ὁ μὲν Οὐόσσιος ὑπέλαβε τὴν *ἰασμίνην*, τὸ καὶ *ἰάσμινον* (jasuminum, καὶ Gelseminum, καὶ χυδ. γιασεμῖνον, ἐκ τοῦ ἀραβικ. Jasmin), ὅπερ καὶ περίπλοκόν ἐστι, καὶ ὀρθοφυὲς (ἐπὶ 18, πήχεις ἀναβαῖνον), καὶ πολὺ φυόμενον ἔτι καὶ καθ' ἡμᾶς ἐν Αἰγύπτῳ μάλιστα καὶ Συρίᾳ, καὶ Sambach, ἢ Zabach (ὡς τὸ Σαβὲκ) παρ' Αἰγυπτίοις καὶ Σύροις καὶ τοῖς Ἄραψιν αὐτοῖς πολλάκις ὀνομαζόμενον. Ὁ δὲ Λεμοῦνος ἀντιλέγων, ἀκανθῶδες φυτὸν ἐθέλει τὸ *σαβὲκ*, οἷον τὸ *λύκιον* (τὸ αὐτὸ καὶ ἡ *πυξάκανθα*), ἢ ἡ *ῥάμνος* (α), κτλ. - Τελευταῖον· τὸ ἑβραϊκὸν Mitta

---

(α) J. Voss. de LXX. p. 38. καὶ 430. — Le Moyen l. c. p. 702—704. Ἔχει δὲ καὶ Ἡσύχιος « Σαβὲκ, βάτος »· ἄλλοι δ' ἄλλως ἡρμήνευσαν· « Σαβὲκ, χρυσολάχανον· παρὰ Ἰουδαίοις, δάσος » (Κύριλλ. καὶ Φαβωρ. λεξ.). « Σαβὲκ, ἄφεσις· ἀπὸ τῆς Σύρας διαλέκτου » (ἐκ τοῦ Συριακοῦ Schabek. ἀλλ' ἡ ἐτυμολογία αὕτη κρίνεται ἐσφαλμένη). Ὁ δ' Ἐμεσηνὸς Εὐσέβιος, « Σαβὲκ, τράγος ὄρθιος » κτλ. (ἐφ' ᾧ δικαίως ὁ Ἱερώνυμος ἐπεγέλασε. Quaest. Hebr. ad Genes.)· ἀλλ' ἴσως τὸ τράγος ὑπῆρχε κἀκεῖ ἐσφαλμένη γραφὴ ἀντὶ κ ρ ι ὸ ς, ὡς καὶ ἐν τῷ ἐφεξῆς Σχολ. (εἰς Γενέσ. κϐ. 13) « Τὸ Σαβὲκ ἄφεσίν τινες ἐκδεδώκασιν, οἱ δὲ ὄρθιον, ὡ ς ε ἶ ν α ι α ὐ τ ὸ τ ὸ λ ε γ ό μ ε ν ο ν, τ ρ ά γ ο ς ὀ ρ θ ὸ ς ἐ π α ν α ϐ ε ϐ η κ ὼ ς φ υ τ ῷ, ἐ ν τ α ῦ θ α γ ὰ ρ ὀ ρ θ ὸ ς τ ῶ ν κ ε ρ ά τ ω ν κ α τ ε χ ό μ ε ν ο ς » (ἴσ. γρ. « ὡ ς ε ἶ ν α ι α ὐ τ ὸ τ ὸ λ ε γ ό μ ε ν ο ν ἐ ν τ α ῦ θ α, κ ρ ι ὸ ς ὀ ρ θ ὸ ς, ἐ π α ν α ϐ ε ϐ η κ ὼ ς φ υ τ ῷ, κ α ὶ τ ῶ ν κ ε ρ ά τ ω ν κ α τ ε χ ό μ ε ν ο ς ») « ὡς εἶναι φανερὸν τύπον σταυροῦ. Διὰ τοῦτο δὲ οὐχ ἑρμηνεύεται, ὅτι ἡ ἑβραϊκὴ μία οὖσα λέξις, πολλὰ σημαίνει ἑρμηνευομένη· πρὸς δὲ τοὺς πυνθανομένους δεῖ ἀποκρίνεσθαι καὶ λέγειν, ὅτι τὸ σαβὲκ ἐπηρμένος ἑρμηνεύεται » (βλ. Le Moyen. l. c. 700. καὶ τὴν τῶν Ο, ἔκδοσιν τοῦ Bos pag. 25). Ὁ δὲ Φράγκελος τὸ μὲν παρὰ τοῖς Ο, φ υ τ ῷ, γλώσσημα κέκρικεν, ἔξωθεν εἰς τὸ κείμενον εἰσπεσόν· καταμω-

πάντως ἐστὶ *κλίνη* (ὡς, Γενέσ. μη, 2). Ἀλλ᾽ ἐπὶ τῆς σημασίας τῆς *ῥάβδου* (ὡς Γεν. μζ, 31) οἱ Ο, ἀνέγνωσαν οὐχὶ Mitta, ἀλλὰ Mattà (ῥάβδος). Καὶ ἔστιν ἄρα τοῦτο τὸ κατὰ τοὺς Ο, «ἄκρον τῆς ῥάβδου» τὸ αὐτὸ κατὰ τὴν φράσιν καὶ τὸ «*ἄκρον τῆς ῥάβδου* (Κριτ. ς, 21), καὶ «*τὸ ἄκρον τοῦ σκήπτρου*» = *ῥάβδου* (α. Βασ. ιδ, 27, 43, ὅπου πάλιν ἔχει καὶ τὸ ἑβραϊκὸν Matta). Εἰ δὲ καὶ Ἀκύλας (ἐν Γεν. μζ.) ἔγραψε «τὴν κεφαλὴν τῆς *κλίνης*», καὶ Σύμμαχος «τὸ ἄκρον τῆς *κλίνης*», κακῶς μὲν ἀνέγνωσαν ἐκεῖ καὶ οὗτοι τὴν φωνὴν (συμφωνοῦσι δὲ τούτοις καὶ οἱ Ταλμουδικοὶ, καὶ τῶν νεωτέρων συχνοί)· οὐ καλὴν δὲ τὴν ἄγνοιαν οὐ δὲ τὴν τόλμην ἔπαθε καὶ αὐτὸς ὁ μακάριος Ἱερώνυμος, λέγων ὅτι «τολμᾷ μὲν εἰπεῖν ὅτι οἱ Ο, τὴν αὐτὴν ἑβραϊκὴν φωνὴν ἀνέγνωσαν ἐν ἀμφοτέραις τοῖς χωρίοις (Γεν. μη, καὶ μζ), ἀγνοεῖ δὲ ὅμως διὰ τί ἐκεῖ μὲν ἡρμήνευσαν *κλίνην*, ὧδε δὲ *ῥάβδον*» (Ζητήμ. εἰς Γένεσ. κ. 47—48). Ἡμῖν δὲ δήπου συγχωρήσουσιν, εἴγε μετὰ παντὸς τοῦ ἱεροῦ τῶν λοιπῶν ἁγίων Πατέρων θιάσου, καὶ μετ᾽ αὐτῆς τῆς ἀρχαίας Βουλγάτας, συνεφεπομένους ἔχοντες καὶ τῶν νεωτέρων σοφῶν οὐχὶ τοὺς ἀσημοτάτους (α), προτιμῶ-

---

κᾶται δὲ καὶ τῆς ἀνωτέρω σημειώσεως. Ἀλλ᾽ ἐν τούτοις ὤφειλε μᾶλλον συνιδεῖν, ὅτι τὸ Σαβὲκ φαίνεται καὶ κατ᾽ εἶδος ἐπιθετικὸν, ἔχον ἔξωθεν ὑπακουόμενον τὸ φυτὸν, διὰ τοῦτο καὶ Ἀκύλας εἶπεν ἐν σ υ χ ν ῷ, ἐλλειπ. φυτῷ· (καὶ ὁ Δρούσιος ἡρμήνευσεν in p e r p l e x o. subaud. arbusto, aut vepreto, etc. τουτ. ἐν π ε ρ ι π λ έ κ τ ῳ, ὑπακουομένου τοῦ, θαμνῶνι, ἢ ἀκανθῶνι). Ὤφειλε δὲ προσέτι διορθοῦν μὴ τῶν Ο, τὸ Σαβὲκ, ἀλλὰ τὸ παρακείμενον τρανὸν τοῦ ἑβραϊκοῦ σφάλμα Achar (Ἀχὰρ, τουτ. ἐξόπισθεν, retro, ἢ à tergo) ἀντὶ τοῦ γνησίου Ehad (Ἐχάδ, τουτ. εἷς). Οἱ Ο, ἔχουσι, κ ρ ι ὸ ς Ε Ι Σ. (Οὕτω φαίνονται καὶ Ὄγκελος καὶ Ἰωνάθαν οἱ Χαλδαῖοι ἀναγνόντες, Ehad), τὸ δὲ νῦν ἑβρ. «κριὸς ἐξόπισθεν» (Achar, καὶ τοῦτο ἀντὶ Achor). τὸ δὲ σφάλμα προῆλθε διὰ τὴν κακογραφίαν τοῦ τελικοῦ Ρ, ἀντὶ τοῦ Δ (βλ. ὄπισθ. σελ. 649. πρβ. Drusij in Genes. 22, 13: καὶ Bochart. l. c). Οἱ δὲ Ῥαββῖνοι καὶ Ῥαββινισταὶ μάτην ὑπερασπίζονται τὸ σφάλμα τοῦ ἑβραϊκοῦ. Μόνη καὶ ἁπλῆ τῆς φράσεως ἡ ἀνάγνωσις ἐξελέγχει τὸ παράπτωμα. «Ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδε· καὶ ἰ δ ο ὺ κ ρ ι ὸ ς ΕΙΣ» (ἀπαραλλάκτως καὶ ἐν Δανιήλ. θ, 3). Τὸ δ᾽ ἑβραϊκ. - «Ἰδοὺ κριὸς ΕΞΟΠΙΣΘΕΝ (αὐτοῦ)»! ἄνω βλέψας — εἶδεν ἐ ξ ο π ί σ ω!

(α) J. Voss. de LXX. p. 42· καὶ 431. πρβλ, J. Morin. Exercit. L. II. XVII. c. 9. §. 10.—J. Cappell. observ. in Genes. c. 47:— Schleusn. Thes.

μεν ἄλλον παλαιὸν διδάσκαλον ἰσραηλίτην, « ἑβραῖον ἐξ ἑβραίων, πεπαιδευμένον κατὰ τὴν ἀκρίβειαν τοῦ νόμου, πλείονας πάντων γλώσσας λαλοῦντα, ἁρπαγέντα καὶ ἕως τρίτου οὐρανοῦ, καὶ ἄῤῥητα ῥήματ᾿ ἀκηκοότα », τὸ Χριστοῦ στόμα, τὸν Ἀπόστολον Παῦλον, ὅστις ἀνέγνω μὲν ἐξάπαντος καὶ εἰς τὸ ἑβραϊκὸν, ἔγραψε δὲ καὶ ἑλληνιστὶ, κατὰ τοὺς Ο, « *ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ* » (α).

§. λδ. Ἐρχόμεθα καὶ εἰς τὰ ζώων καὶ φυτῶν καὶ τ᾿ ἄλλα τῆς φυσικῆς ἱστορίας ὀνόματα (περὶ ὧν ἀπηντήσαμέν τινα καὶ παραπόδας §. ιβ.). Καὶ ἐν τούτοις μάλιστα δικαίως ἄν τις θαυμάσοι τὴν τόλμην τῶν Ὀδιακῶν, οἵτινες ἐξελέγχουσι τοὺς Ο περὶ πραγμάτων, ἐν᾿ οἷς καὶ αὐτοὶ οἱ νεώτεροι κριτικοὶ πολλὰ καὶ μεγάλα πρός τε τοὺς ῥαββίνους καὶ πρὸς ἀλλήλους ἀντιλέγουσιν, ὡς ἀγνοοῦντες πολλῶν τοιούτων ὀνομάτων ἑβραϊκῶν τὴν ὡρισμένην καὶ ἀκριβῆ σημασίαν. Ὁμολογοῦσι δὲ πολλάκις, ὅτι καί τινα τούτων ἄλλως ἀνέγνωσαν οἱ Ο, ἢ ὡς ἔχει τὸ καθ᾿ ἡμᾶς ἑβραϊκόν. Οὕτω τὸ Chephir, *σκύμνος* ἡρμηνεύθη πολλαχοῦ· ἀλλ᾿ ἐν Ἰὼϐ (δ, 10), ἐξεφράσθη *δράκων*· ὀρθῶς· σημαίνει γὰρ καὶ τοῦτο τὸ Chephir (βλ. ὄπισθ. σελ. 613). — Καὶ τὸ Theo ἔγραψαν οἱ Ο *ὄρυξ* (Δευτερ. ιδ, 5)· ἀλλ᾿ ἐν Ἡσαΐᾳ (να, 20), *σευτλίον*, ἄλλως ἀναγνόντες ἐν τῷ κατ᾿ αὐτοὺς κειμένῳ (ϐ). Καὶ ἀντὶ δὲ τοῦ

---

λ.·ῥάϐδος. — Bos proleg. in LXX. c. III. etc. Ὁ δὲ Patric. Junius, θερμὸς ῥαϐϐινιστὴς, ἐπεχείρησε καὶ διορθῶσαι τὸ τῆς ῥ ά ϐ δ ο υ εἰς τὸ κ ρ α ϐ ϐ ά τ ο υ, πλὴν ἀλλ᾿ ἐπελάθετο τρέψαι καὶ τὸ ΤΗΣ εἰς τὸ ΤΟΥ· καὶ ἔκειτο ἡ κ ρ ά ϐ ϐ α τ ο ς, ἕως ἐπεσκεύασε καὶ τὸ ἄρθρον ὁ Bos (αὐτόθ.). καὶ κεῖται νῦν ὁ κράϐϐατος, ὠρθογραφημένον, καὶ ἐτώσιον ἄχθος σελίδος!

(α) Ἑϐρ. ια, 21: πρβλ. Χρυσόστ. καὶ Θεοφύλ, αὐτόθ. καὶ Σειρ. εἰς Γενέσ. μζ. 31.

(ϐ) Τὸ ὄρυξ τὸ αὐτὸ καὶ ἑϐρ. Theo, ἢ Tho, ὅπερ οἱ μὲν δορκάδος ὅμοιον εἶπον, οἱ δ᾿ α ἰ γ ὸ ς ε ἶ δ ο ς ἐν Αἰγύπτῳ καὶ Ἀφρικῇ. Οἱ δὲ Ῥαϐϐῖνοι, βοῦν ἄγριον ἢ β ο ύ ϐ α λ ο ν, (βλ. Bochart. Hieroz. P. I. L. 3. c. 28. p. 974), ἐν δὲ τῷ Ἡσαΐᾳ (να) οὐχὶ Theo, ἢ Tho ἀνέγνωσαν οἱ Ο, ἀλλὰ Thoreth (τὸ σεῦτλον), ὅπερ Ἱερώνυμος Συριακὸν λέγει· ὁ δὲ Βοχάρτος (αὐτ.) διορθοῖ Thored, ἢ Thered, ἢ καὶ Therid. ὡς καλεῖται τὸ σεῦτλον ἐν τῷ Ταλμουδίῳ. Ἢ (κατ᾿ ἄλλους) ἀνέγνωσαν Thea (εἶδος καὶ τοῦτο φυτοῦ, ἴσ. σίλφιον, λατ. laser). Ὡς οὖν ἔγραψαν οἱ Ο, « σ ε υ τ λ ί ο ν ἡ μ ί ε φ θ ο ν (Ἡσ. να, 20), οὕτως ἡρμήνευσαν καὶ ὁ Σύρος καὶ

Kar (κριὸς), ὡς ἔχει τὸ σημερινὸν ἑβραϊκὸν (ἐν Ἡσ. λδ, 6: Ἀμὼς ς, 4: ψαλμ. ξδ, 13. κτλ.), ἄλλο τι πάλιν ἀναγνόντες, ἡρμήνευσαν ἐκεῖ μὲν *τράγον*, ἐν δ' Ἀμὼς, *ἔριφον*· ἐν δὲ τῷ ψαλμῷ *ἄρνα*, ἐν Ἰεζεκιὴλ δὲ (λθ, 18) *μόσχον*· ἢ μήποτε κἀκεῖνα ἐσήμαινεν ἡ λέξις ἡ Kar; Οὕτω καὶ τὸ Meri σημαίνει καθόλου θρέμμα (λιπαρὸν, σιτευτὸν), καὶ πᾶν *βοτὸν*, ἢ βόσκημα, καθὼς καὶ τὸ *πρόβατον* παρ' Ἕλλησιν (α). Καὶ αὐτὸ δὲ τὸ Κὰρ ἔλεγον οἱ Ἴωνες· « Κὰρ, πρόβατον· Κάρα, Ἴωνες, τὰ πρόβατα. Κάρνος βόσκημα, πρόβατον· Κάρον *βόσκημα* » (Ἡσύχ.) (β). Ἔπειτα καὶ ἄλλως, μόσχος, ἢ *μοσχίον* λέγεται καὶ ὁ *ἀρνὸς*, καὶ τοῦτο πάλιν συγγενέστατον τοῦ *ἀρνειὸς* (κριός). — Καὶ τὸ Thannin δὲ καὶ *δράκοντα*, καὶ κῆτος σημαίνει (καὶ *κροκόδειλον*, καὶ πᾶν θηρίον ἔνυδρον παμμέγεθες)· διὰ τί δὲ τοῦτο καὶ *Σειρῆνα* ἡρμήνευσαν, διδάσκουσιν οἱ ἐξηγηταί (γ). *Σειρῆνα* καὶ Ἀκύλας καὶ οἱ λοιποὶ

---

ὁ Ἄραψ. Ταύτην εἶναι τὴν γνησίαν γραφὴν βεβαιοῦσι καὶ νεώτεροι σοφοὶ (βλ. Anonym. Miscell. Duisb. T. I. p. 519. καὶ Anonym. in Nov. Act. Erudit. 1732. p. 476). Ἡ δ' ἐν τῷ καθ' ἡμᾶς ἑβραϊκῷ ἀνάγνωσις, ἀρχαία φαίνεται παραφθορά· διότι καὶ Ἀκύλας καὶ οἱ λοιποὶ ἀντὶ τοῦ σευτλίον ἡμίεφθον ἔγραψαν, ὡς ὄρυξ ἠμφιβληστρευμένος ». βλ. Εὐσέβιον, καὶ Προκόπιον, καὶ Hieronym Com. εἰς Ἡσαϊ. αὐτόθι. πρβλ. Schleusn. Thes. v. Σευτλίον, Ὄρυξ. καὶ Shulz. Schol. in Iesai l. c.

(α) Ὅθεν οἱ Ο, τὸ Meri ἡρμήνευσαν καὶ ἄρνα (Β. Βασ. ς. 13 κτλ.) καὶ μόσχον (Ἰεζεκ. λθ. 18), καὶ ταῦρον (Ἡσ. ια, 6· οὕτω καὶ ὁ Σύρος, καὶ ὁ Ἄραψ)· Βλ. Schulz. Schol. vol. 2. p. 413. τοῦ Meri συνώνυμον καὶ τὸ Bari (θρεπτὸν, σιτευτὸν), τούτου συγγενὲς ἴσως καὶ τὸ παρ' Ἡσυχίῳ « Βάρα. Λάκωνες, τὰ πρόβατα » (ἐκ τοῦ Βάρον, τὸ)· ἕτερον δὲ τὸ Βαρὴν (αὐτ.) ἀντὶ ἀρὴν, (μετὰ τοῦ διγάμματος) ἀρνός. κτλ.

(β) Βλ. καὶ Gesenij Lexic. man. Hebr. etc. p. 500. καὶ Bochart. P. I. 429.

(γ) Βλ. Μ. Βασίλ. *ἑρμ. εἰς Ἡσ. ιγ.* — *Θεοδώρητ. αὐτ.* — *Χρυσόστ. εἰς Ἰώβ. λ.* 29. *Ὀλυμπιόδ. εἰς Ἰερ. ν.* 39. (*ἐν τῇ Σειρᾷ ἐκδ.* Ghisler. pag. 895). *Ἡσύχ. λ. Ὀνοκένταυρος καὶ Σειρήν*: Bochart. Hierozoic. P. II. L. VI. cap 8. p. 830. *ὅστις ἀποδείκνυσι τ' ὄνομα κοινὸν ἐπὶ παντὸς γοώδους καὶ θρηνητικοῦ ζώου (ἀπὸ θέματος δηλοῦντος τὸ θρηνεῖν). Ἀλλ' ἀκουστέος μᾶλλον ὁ* Gesenius (Lexic. manual. Hebr. et Chald. p. 1062), *ὅστις πρὸς τὸ θέμα τοῦ* Thannin *παραβάλλει τὸ ἑλληνικὸν τείνω, τανύω, τιταίνω (ἐκ τοῦ τάνω, ταίνω, ὅθεν ταναὸς, ταινία, καὶ τένω, κτλ.), λτ.* dendo, *Σανσκριτ.* Tanu, Γοτθικ. Thanjan, Γερμαν. Dehnen.

πολλαχοῦ τὴν λέξιν ἡρμήνευσαν (α). Τὸ δ' αὐτὸ καὶ *Στρουθὸν*, (ἤτοι στρουθοκάμηλον), ἣν καὶ *θυγατέρα Σειρήνων* πάλιν ὠνόμασεν ὁ Σύρος (β). Ἀντὶ δὲ τοῦ, ἐχῖνος (Ἡσ. ιγ. 22), καὶ τοῦ, *ὄρνεα* (Ἡσ. λε, 7) οἱ Ο, οὐκ ἀνέγνωσαν Thannin, ἀλλὰ λέξεις ἄλλας, ἀναλόγους ὧν ἀπέδωκαν ἑλληνικῶν· ὁμοίως καὶ ἀντὶ τοῦ *κακώσεως* (γ), καὶ ἀντὶ τοῦ *συκῆς* (δ). — Τὸ δὲ Sachal (λέων ἄγριος, ἢ μέλας, ἢ λέαινα κατὰ τὸν Ἱερώνυμον), ὅτι καὶ *πάνθηρα*, καὶ *ὄφιν* ἐν γένει (ὅθεν εἰδικῶς καὶ τὴν *ἀσπίδα*) παρὰ τοῖς ἀρχαίοις ἐσήμαινε, διδάσκουσιν οἱ νεώτεροι (ε). Τελευταῖον (ἵνα τ' ἄλλα παραλίπωμεν), τὸ Notsah (πτερὸν, ἢ πτίλον, Λευϊτ. α. παρὰ τὸ natsa τὸ πέτασθαι), οὔτε ἐν τῷ Ἰεζεκιὴλ (ιζ, 3) ἀνέγνωσαν οἱ Ο, (ὅπου ἔγραψαν *ὄνυξ*· πλὴν εἰμή που καὶ ταύτην εἶχε τὸ Notsah τὴν σημασίαν, ὡς ἔχει καὶ παρὰ Σύροις) (ζ), οὔτε τὸ ἐν Ἰὼβ (λθ 13) ἑβραϊκὸν *Νέσσα* ταυτόν ἐστι καὶ τὸ Notsah, τὸ πτερὸν

---

*κτλ.* Ὡς ἐκ τῆς ἰδέας τοίνυν τῆς ἐκτάσεως καὶ τοῦ μεγέθους προσέλαβε τὸ Thannin καὶ διαφόρων τ α ν α ῶ ν ζώων τὴν σημασίαν· (τὸ δὲ θ ύ ν ν ο ς ἐκ τοῦ θύω, οὐ παρὰ τὸ Thannin, ὥς τινες ὑπέλαβον).

(α) Schleusn. Thes. V. T. λ. Σειρήν.

(β) Παρὰ Θεοδωρήτῳ εἰς Ἱερ. ν. 39. Στρουθοκαμήλους εἶπε καὶ Ἀκύλας ἐν Ἡσ. ιγ. 21. ὅπου οἱ Ο, Σειρῆνες· τὸ δ' ἑβρ. αὐτόθι Benot Jaanah = θυγατέρας γόου, ὀλολυγῆς (filias ululae), οἱονεὶ ὀλολυγόνες, ἢ στρίγκες (στρὶγξ, καὶ λτ. strix, παρὰ τὸ στρίζω, τρίζω). Καὶ τὸ Σειρὴν παρὰ τὸ Sir, ἢ (Schir) φοινικιστὶ, τὸ ᾄδειν (Bochart.)· πρβλ. καὶ Hieron. Com. καὶ Schulz. Schol. ibid.

(γ) «Ἐν τόπῳ κ α κ ώ σ ε ω ς» (ψαλμ. μγ. 19). Ὁ Ἀκύλας «ἐ ν τ ό π ῳ ἀ ο ι κ ή τ ῳ» — ἄλλος «ἐν τόπῳ Σειρήνων» παρὰ Χρυσοστόμ. ἑρμ. αὐτ. (πρβλ. καὶ Θεοδώρητ. αὐτ.). βλ. Schleusn. Thes. λ. Κάκωσις.

(δ) «Πηγὴ τῶν συκῶν» (Νεεμ. β. 13)· μόνη ἡ Κομπλουτ. ἔκδοσις ἔχει π η γ ὴ τ ο ῦ δ ρ ά κ ο ν τ ο ς (πρὸς τὸ σημερινὸν ἑβραϊκὸν μεταβληθείσης τῆς ἀναγνώσεως ὑπὸ τῶν ἐκδοτῶν, ὅπερ καὶ ἐν ἄλλοις ἐτόλμησαν). βλ. Shleusn. Thes λ. Συκῆ.

(ε) Bochart. Hieroz. ὄπισθ. σελ. 613 πρβλ. Schleusn. Thes. λ. Ἀσπίς.

(ζ) «Ἀετὸς ὁ μεγαλοπτέρυγος, πλήρης ὀνύχων, κτλ. «καὶ π ο λ ὺ ς τ ο ῖ ς ὄ ν υ ξ ι» (Ἰεζ. ιζ, 3, 7) ὀ ν ύ χ ω ν ἡρμήνευσεν· αὐτόθι καὶ ὁ Ἄραψ, καὶ ὁ Σύρος· ὁ δὲ Χαλδαῖος, καὶ ὁ Ἱερώνυμος π τ ε ρ ῶ ν, ὡς ὁ Ἀκύλας, πτίλων (Bochart. P. II. L. 2. cap. 1. p. 165)· ἀλλὰ τοῦτο φαίνεταί πως παλλιλογία (μεγαλοπτέρυγος, πλήρης πτερῶν), τὸ δὲ πλήρης, ἢ πολὺς τοῖς ὄνυξιν (ὡς μεγαλώνυχος, κατὰ τὸ γ α μ ψ ώ ν υ ξ.

(ὡς Ὅδιος ὑπέλαβεν), ἀλλ᾽ ἔστιν εἶδος ἀδιορίστου πτηνοῦ (α). Ἀλλ᾽ ἱκανοῦσι ταῦτα περὶ τῶν ζώων, ἐξ ὧν ἀποδείκνυνται καὶ τ᾽ ἄλλα τῶν Ὀδιακῶν παραδειγμάτων ὡσαύτως ἀσύστατα. Πολὺ παρὰ τὸν Ὅδιον ἐν τούτοις σωφρονέστεροι ἐφάνησαν ἄλλοι τῶν ἐπισήμων κριτικῶν, οἵτινες καὶ τὸ ἀδιόριστον καὶ ἀβέβαιον πολλῶν τῶν ζωϊκῶν τούτων προσηγοριῶν ὡμολόγησαν (διὰ τὴν ἐν τοῖς τοιούτοις ἄγνοιαν τῆς ἀρχαίας ἑβραϊκῆς), καὶ τοὺς Ο διέκριναν πολλάκις ἀναγνόντας διαφόρως, ἢ ὡς ἔχει τὸ καθ᾽ ἡμᾶς ἑβραϊκόν (β).

§. λε. Τοιαῦτα καὶ τὰ παρ᾽ Ὀδίῳ σημειωθέντα (§. ιγ) δένδρων καὶ φυτῶν ὀνόματα. Τὸ Ἑβρ. Ellah, Τερέβινθος (καὶ πᾶν δένδρον ἰσχυρὸν, ἢ καὶ βαλανηφόρον) σημαίνει καὶ τὴν δρῦν (Ἑβρ. Ellon), καίτοι διαφέρουσαν τῆς τερεβίνθου (Θεόφρ. ἱς. φυτ. γ. 15) (γ). Ὅθεν τὸ παρὰ τοῖς Ο, « ὡς τερέβινθος » (Ἡσαΐ. α, 30) ὁ Σύμμαχος ἔγραψεν « ὡσεὶ δρῦς » (αὐτόθι)· καὶ ἀλλαχοῦ δὲ ἀνταλλάσσονται τὰ ὀνόματα πρὸς ἄλληλα ἐν τοῖς ἀρχαίοις κώδηξιν. Οὕτως ἐν Κριτ. ς. 11, τὸ Ἀλεξανδρινὸν (καὶ Ὀξον. Ἀλδ. Κομπλουτ.) ἔχουσι *δρῦν*, τὸ δὲ Βατικανὸν, *τερέβινθον*. Ὅτι δὲ καὶ *βάλανος* παρ᾽

---

(α) Οἱ μὲν ἱέρακα, οἱ δὲ στρουθοκάμηλον. κτλ. (βλ. Schleusn. v. Νέσσα)· πολλὴ δὲ παρὰ τοῖς ἀρχαίοις καὶ τοῖς νεωτέροις ἡ περὶ τὴν ἑρμηνείαν τοῦ χωρίου τούτου διαφωνία. βλ. Schulz. in Iob l. c. — Capell. Not. crit. ibid.

(β) Βλ. Bochart. Hieroz. — Michaelis Quest. Arabic. — Schaw Itiner. p. 359. — πρβλ. καὶ Schulz. Schol. in V. Test. vol. I. pag. 484—491, 669. Καὶ αὐτὸς ὁ τοῖς Ο, μήτοι πάμπαν εὐμενὴς Τοίπλερος « Quamquam (λέγει) facile concedo in reddendis nominibus animalium illorum veras quasdam differentias reperiri, cum tamem certa multorum significatio tam sit vaga et incerta, ut quid singula denotent, injudicatum relinqui debeat » etc. Töpler, de Pentateuchi Interpret. etc. p. 28. Halis, 1380.

(γ) Τερέβινθος, εἶδος δένδρου, ἢ δρῦς ». Σουΐδ. βλ. Hieronym. de Loc. Hebr. v. Arbosch et Drys. καὶ Schleusner. Thes. V. T. λ. Τερέβινθος. Καὶ ἐν τῷ ἑβραϊκῷ συγχύζεται ἐνίοτε τὸ Ellah (τερέβινθος) πρὸς τὸ Ellon (ἡ δρῦς) Schulz. Schol. in Ios. 19, 33. Βλ. καὶ Gesenij Lex. Hebr. p. 60 καὶ 62. Καὶ αὐτὸ δὲ τὸ δρῦς παρὰ τοῖς ἀρχαίοις, ἐπὶ παντὸς ἐλέγετο ξύλου (δένδρου). Εὐριπ. Κύκλ. 615. — Σχ. Ἀριστοφ. Ὄρν. 465. — Σχ. εἰς Ἰλ. Λ. 86, κτλ. πρβλ. Spanhem. Observ. ad Callim. ὕμν. εἰς Δῆλον, στίχ. 83.

Ἕλλησιν ἡ *δρῦς*, καὶ *δρῦς* πολλάκις καθόλου τὸ δένδρον, ἐπελάθετο ὁ Ὅδιος (ὄπισθ. σελ. 614). Καὶ ἄλλο δὲ διέφυγε τὴν εἰς ἔλεγχον τῶν Ο φιλότιμον αὐτοῦ πολυμάθειαν· ὅτι δηλαδὴ τὸ δρῦς μετεχειρίσθησαν καὶ ἀντὶ τοῦ δρῦς πολλὴ (δενδρών). Ἐν γὰρ Α. Παραλειπ. (κεφ. ι. ἄλλ. ια, 12) γράφεται παρὰ τοῖς Ο, « Ἔθαψαν τὰ ὀστᾶ *ὑπὸ τὴν δρῦν* ἐν Ἰαβὶς » (ἄλλοι ἔχουσιν ὑπὸ τὴν *τερέβινθον*· καὶ τὸ ἑβρ. Ellah). Ἀλλ᾽ ἐν Α. Βασιλ. (λα, 13) τὸ αὐτὸ διήγημα ἐκφράζεται ἄλλως· « Θάπτουσι τὰ ὀστᾶ ὑπὸ τὴν *ἄρουραν* ἐν Ἰαβείς »· ὅπου καὶ τὸ ἑβρ. ἔχει Aeshel· τοῦτο δὲ καὶ ἀλλαχοῦ (Α. Βασ. κβ, 6) *ἄρουραν* ἡρμήνευσαν οἱ Ο. (Ὡσαύτως καὶ Γεν. κα, 33 « ἐφύτευσεν *ἄρουραν* »· ὅπου ὁ Ἀκύλας καὶ ὁ Σύμμ. « δένδρων φυτείαν »)· οὕτω καὶ Ἱερώνυμος ἡρμήνευσε, nemus = νέμος, ἄλσος, δενδρόφυτος γῆ, ἢ *θαμνὼν*, οἷα καὶ ἡ φυτευθεῖσα *ἄρουρα*, ἢ καὶ σύμφυτος κατὰ μέρη πολλάκις (ὅθεν διαστέλλεται καὶ τὸ *ἄροσις ψιλὴ*, ἡ ἄδενδρος. Ἰλ. Ι. 576). *Ἄρουραν* ἔγραψε καὶ Ἰώσηπος (Ἀρχ. Ϛ, ιδ, 8 καὶ ς, 12) τὸ παρὰ τοῖς Ο (Α. Βασ. κβ, καὶ λα), ἐκλαβὼν οὐκ ἀπιθάνως ὡς κύριον ὄνομα τοῦ τόπου τοῦ δενδρώδους, ὅπου ἦν καὶ ἡ δρῦς (α). — Καὶ τὸ *Κέδρος* (ἑβραϊκ. Erez ἀνταλλάσσεται πρὸς τὸ *Ἄρκευθος* (Rothem), ὡς εἶδος καὶ τοῦτο *κέδρου* (β), (ὅθεν *ἀρκευθίδες*, ἐπίσης καὶ *κεδρίδες*, τὰ κοινῶς κεδρόκοκκα). Ὁ δὲ Ῥαββὶ Κιμχὴς (Kimchi) τέσσαρα κέδρων εἴδη παρ᾽ Ἑβραίοις ἀριθμεῖ (γ). Σύμμαχος δὲ πάλιν τὸ Rothem ἡρμή-

---

(α) Καὶ οἱ νεώτεροι τὸ ἑβρ. Aeshel δένδρον ἰσχυρὸν καὶ μέγα ἑρμηνεύουσιν ἁπλῶς (ὡς τὸ δρῦς, καὶ τὰ ἑβρ. Ellah, καὶ Ellon), καὶ ἀθροιστικῶς, δενδρῶνα καὶ θαμνῶνα. Βλ. Gesen. Lex. Hebr. p. 106. — Rosenmül· εἰς Γεν. κα. — Schulz. Schol. in V. T. vol. 1. 185. 2, 346 — Crit. Sacr. T. X. p. 226. Τὸ δ᾽ ἐν Α. Βασιλ. κβ, 6, λα, 13· ἐξηγοῦσι καὶ εἰδικῶς, μυρίκην, ἢ Tamariscum, διότι τοῦτο καὶ Ἀραβικῶς Atl, ἢ Atle, λέγεται. Ἀλλὰ πρὸς ταύτην τὴν σημασίαν οὐ πάνυ τοι συμφωνεῖ τὸ ἐν Α. Παραλ. Ι. 12 ἀντιστοιχοῦν Ella τερέβινθος, ἢ δρῦς. Βλ. Schulz. Schol. in V. T. vol. 1. p. 185 καὶ 2. p. 346. — (β) Ἄρκευθος κυρίως ἡ συνήθ. ἡ μ ε ρ ό κ ε δ ρ ο ς, λατ. juniperus (ἡ τοῦ Λιν. Genista hispanica) καὶ ἐν Ἱσπανίᾳ (ἀπὸ τῶν ἐκεῖ παροικησάντων Ἀράβων) ratama. Βλ. Schulz in 1. Reg. 19. καὶ Gesen. Lex. p. 96, 953. — (γ) Βλ. Zorn. Diss. de Torrente Cedron, ἐν Opusc. Sacr. tom. 2. pag. 105. πρβλ. Schleusn. v. Ξύλον ἄγριον.

νευσε *ξύλον ἄγριον* (Ἰὼβ λ. 4. πολλὴ δὲ καὶ περὶ τοῦ χωρίου τούτου παρὰ τοῖς νεωτέροις ἑρμηνευταῖς ἡ διαφωνία). Δῆλον δὲ καὶ ἄλλοθεν, ὅτι τῶν τοιούτων ἑβραϊκῶν ὀνομάτων τὰ μὲν εἶχον τὸ πάλαι πλατυτέραν σημασίαν (τοῦ γένους ἀντὶ τοῦ εἴδους, καὶ τ' ἀνάπαλιν τιθεμένου) (α). Ἄλλα δέ τινα καὶ διάφορον εἶχον γραφὴν ἐν τῷ τῶν Ο, κώδηκι, ὡς προείπομεν. Ὁ δὲ κλεινὸς Ὅδιος πάντα παριδὼν, προσηρίθμησεν ὡς διάφορον ἑρμηνείαν καὶ τὸ *ξύλον τοῦ Λιβάνου*, τὸ αὐτὸ καὶ « *κέδρος τοῦ Λιβάνου*, ὡς συνήθως ὀνομάζει κατ' ἐξοχὴν τὸ φυτὸν ἡ θεία Γραφή. — Ψέγει τὸ Schitta Σίττα (πληθ. Schittim) ὡς νῦν μὲν *ἄσηπτον* (ξύλον) (Ἐξόδ. κε), νῦν δὲ *πύξον* (ἐν Ἠσ. μα, 19) ἡρμηνευμένον· ἀλλὰ « *Ξύλα μηδὲν ὑπὸ σκήψεως παθεῖν δυνάμενα* » εἶπε καὶ Ἰώσηπος (Ἀρχ. Γ. ς, 1—8) τὰ τῆς Γραφῆς « *ἄσηπτα ξύλα* » (Ἐξόδ. κε, κτλ.). Καὶ φαίνεται λοιπὸν τὸ *ἄσηπτον* παρὰ τοῖς Ο, ἐκφράζον καὶ τὴν ἰδιότητα καὶ τὸ ὄνομα τοῦ δένδρου (τοῦ Shitta), οὕτως, ἴσως, καλουμένου καὶ συνήθως παρ' αὐτοῖς ἐξαιρέτως διὰ τὸ σκληρὸν καὶ ἀσαπὲς (τοιαῦτα καὶ τὰ, *Ἀμάραντος*, *Ἀείζωον*, καὶ ὅσα τοιαῦτα καὶ προσηγορικὰ καὶ κύρια φυτῶν ὀνόματα)· τῶν δὲ πάλιν νεωτέρων οἱ μὲν εἶπον τὸ *Σίττα* ἐξαίρετον εἶδος *κέδρου*, οἱ δὲ, *Ἄκανθαν*, τὴν καὶ ἄλλως *Ἀκακίαν* (acacia, ἢ καὶ spina arabica)· ὁ δὲ Ἱερώνυμος ὅμοιον πρὸς τὸ spina alba (εἰς Ἰωὴλ γ), οἱ δὲ καὶ αὐτὸ κατέλιπον τὸ Ἑβραϊκὸν,

---

(α) Οἷον τὸ Semen, ἡ ἐλαία (ὡς ἑρμηνεύουσιν οἱ ἑβραϊσταὶ ἐν Α. Βασιλ. ς. 31, ὅπου οἱ Ο, ἄρκευθον) παρὰ Χαλδαίοις ἐσήμαινε καὶ πίτυν, καὶ κυπάρισσον, καὶ τ' ἄλλα τῶν τοιούτων λιπαρῶν καὶ ἀειθαλῶν (Schleusn. v. Ἀρκεύθινος, καὶ Κέδρος τοῦ Λιβάνου). Καὶ τὸ Birosch = κυπάρισσος, « quamquam hoc nomen fortasse alias quoque arbores e pinorum genere comprehendebat ». Gesen. Lex. Hebr. p. 173. Ὅθεν καὶ τὸ κατὰ τοὺς Ο, κυπαρίσσους, (Ἠσ. λζ, 24), ὁ Ἀκύλας ἐλάτας· ὁ δὲ Σύμμαχος ἀρκεύθους. Καὶ πάλιν τὸ Eruzim (πληθ. ἐν Ἰεζ. κζ, 25) οἱ Ο, κυπάρισσον, ὁ Ἱερώνυμος (καὶ οἱ καθ' ἡμᾶς ἑβραϊσταὶ) κέδρον· οἱ δὲ Ταργουμισταὶ, μύρτον (Βλ. Grot. ad Apocal. 18, 12: Salmas. Exerc. Plin. pag. 667, καὶ τοὺς Κριτικοὺς εἰς Ἡσύχ. λ. θύον). Καὶ τὸ ἑβραϊκ. jalon ἐπὶ διαφόρων φυτῶν ἀειθαλῶν, καὶ ἐπὶ τῆς μυρσίνης· ὅθεν καὶ ὁ μυρσινὼν (Κριτ. α, 35)· Βλ. Bonfrer. Schol. l. c. — Schleusn. v. Μυρσινών.

*Σιττὶμ* γράψαντες, καὶ *Σίττα*, ἢ Σήττα (ὡς ἔγραψεν Ἀκύλας καὶ ὁ Σύμμαχος εἰς Ἠσ. μα. 19. κατὰ τὸν Ἱερώνυμον)· τοῦτο καὶ ὁ Διοσκορίδης εἶπε *Ζήτινον* δένδρον, ὅπερ οἱ μὲν κέδρον, οἱ δὲ πίτυν, οἱ δὲ πύξον ὑπέλαβον (α). Ἐν δὲ τῷ Ἠσ. (μα, 19) οὔτε τὸ Σίττα φαίνονται ἀνεγνωκότες οἱ Ο, καὶ τὸ παρ᾽ αὐτοῖς *πύξος* ἔχουσι καὶ οἱ λοιποὶ, καὶ Ἱερώνυμος, καὶ τὸ σημερινὸν ἑβραϊκὸν (διέστραπται δὲ ἡ τάξις τῶν ἐκεῖ ἀριθμουμένων δένδρων, μετά τινων καὶ ἄλλων ἐν τῷ ἑβρ. προσθηκῶν) (β). Ἀλλὰ τὸ περὶ τῶν τοιούτων μακρότερα λέγειν ἄλλης θεωρίας. Ἓν ἔτι μόνον προστιθέμεθα, τὸ Σωρὴκ (Sorek), οὗτινος τὰς διττὰς σημασίας κάκιστα συνέχεεν ὁ κριτικός. Οἱ Ο, τὸ Sorek, ἐν μὲν τῇ Γενέσ. (μθ, 11) ἡρμήνευσαν ἁπλῶς *ἕλικα* (κλῆμα· καθὸ ἑλικτὸν. Ἡσύχ. καὶ Κυρίλ. Λεξικ.). Οὕτω καὶ ἀλλαχοῦ τὸ ἑβρ. *σωρηκεὶμ* (πληθυντ.) *ἀμπέλους* ἁπλῶς ἐξέδωκαν (τουτ. *ἀμπελίδας*, *κληματίδας*, *κλήματα*, ἢ καὶ αὐτὰ τὰ στελέχη, τοὺς *πυθμένας τῆς ἀμπέλου*. Ἠσ. ιϛ. 8. μ, 10. Ἰωὴλ α, 7. πρβλ. Ἰωάν. ιε, 1, 4. κτλ.). Ἐν δὲ τῷ Ἠσαΐα ε, 2 (ὅπου ὁ λόγος ἰδίως περὶ τῆς ἐκλεκτῆς τοῦ ἀμπελῶνος φυτείας) ἔγραψαν ἄμπελον *Σωρὴκ*, ἀφέντες τὴν λέξιν (Sorek) ἀμετάφραστον (οὕτω καὶ Ἀκύλας, καὶ Θεοδοτίων, καὶ Ἱερώνυμος), διὰ τὸ γενναῖον καὶ ἐκλεκτὸν εἶδος

---

(α) Βλ. Critic. Sacr. T. X. p, 625, sqq. Sit λέγουσι τοῦτο καὶ Ἄραβες, κατὰ τὸν Σαλμάσιον (not. ad Cebetem)· πρβ. Schleusn. Th. V. T. v. Ἄσηπτον. — Rosenmüll. καὶ Schulz. in Esai 41, 19· καὶ in Exod. 25, 5.— Gesen. Lex. p. 996. Ἀκανθὰν εἶπε καὶ ὁ Θεοδοτίων, ἐξ οὗ καὶ Ἱερώνυμος Spinam (Comm. in Esai. 41, καὶ εἰς Joel 3), ὅπου οἱ Ο, σχῖνος (εἴπερ ἀνέγνωσαν καὶ ὧδε Schittim. βλ. Schleusn.).

(β) Οἱ Ο, « *κέδρον καὶ πύξον καὶ μυρσίνην καὶ κυπάρισσον καὶ λεύκην* (Ησ. μα, 19). Ὁ Σύμμαχος « *κυπάρισσον, πτελέαν καὶ πύξον* » (αὐτ.). ὁ Ἀκύλας (ἀντὶ τοῦ κυπάρισσον) *ἐλάτην*, κτλ. (Montf. Εξαπλ. τ. 2. σελ. 157). Ὁ δὲ Ἱερώνυμος καὶ τὸ κατ᾽ αὐτὸν (ὡς καὶ τὸ νῦν) ἑβραϊκὸν, καὶ οἱ λοιποὶ (φησὶν) ἑρμηνεῖς (Ἀκύλας, Σύμ. Θεοδ.) « cedrum et setam (ἣν ἐξηγεῖ, Spinam), et myrtum et lignum olivae — abietem, ulmum et buxum, (αὐτ.) Οἱ δὲ περὶ τὸν Κέλσιον τὰ ἑβραϊκὰ ὀνόματα (ἀνθ᾽ ὧν οἱ Ο, *κυπάρισσος*, καὶ *λεύκη*) ἀγνοεῖν ὁμολογοῦσι ποίων φυτῶν εἰσιν ὀνόματα· καί τινες ἁπλῶς ἐπίθετα ταῦτα τῆς ἐλάτης ὑπέλαβον. Michael. Supplem p. 416. πρβλ. Schulz. in Jesaï. l. c.

τῆς ἀμπέλου (ὅπερ ἴσως καὶ συνήθως *σωρὴκ* ἔλεγον οἱ ἑλληνίζοντες Ἰουδαῖοι, ὡς καὶ νῦν παρὰ τοῖς Μαροκινοῖς Ἄραψι λέγεται Serki, καὶ ἄλλ. Zibebe). Ἔστι δὲ τὸ εἶδος ἐκεῖνο, τὸ φέρον τὰς *ἀπυρήνους*, ἢ *ἀγιγάρτους* σταφυλὰς (τὰς περσιστὶ Kischmisch, τμητὰς, τουρκιστὶ Tsekerdeksiz, ἀκόκκους)· διὸ καὶ ἐτυμολογοῦσι τὸ Σωρὴκ παρὰ τὸ Scherck, τὸ σχίζειν, ἢ τέμνειν, εὐνουχίζειν (διὰ τὸ ἄσπερμον τῆς σταφυλῆς) (α). Ὑπῆρχε δὲ Σωρὴχ καὶ τόπου ὄνομα χειμαῤῥώδους (ὅθεν διεῤῥωγότος, καὶ σχιστοῦ) μεταξὺ Γάζης καὶ Ἀσκάλωνος (Κριτ. ις, 3, 4)· καὶ ξένον οὐδὲν, εἴπερ ἀπὸ τῆς χώρας παρωνομάσθη καὶ τὸ εἶδος τῆς ἐκεῖ φιλοχωρούσης ἀμπέλου [ὡς καὶ τὰ Ἑλληνικὰ *ἄμπελος Ναξία* (Ἀθήν. β. 52) κτλ. καὶ ἡ *Κορινθία* (ἀγίγαρτος καὶ αὕτη) σταφυλὴ, καὶ σταφίς]. Διὰ δὲ τὸ ἐξαίρετον καὶ καλλίκαρπον τοῦ εἴδους (ἢ καὶ ἀπ᾽ ἄλλου θέματος, ἢ ῥίζης ἐτυμολογούμενον) τὸ Σωρὴκ ἐξελήφθη καὶ ἰδίως ἐπὶ τῆς ἀμπέλου, καὶ ἁπλῶς ἀντὶ τοῦ *ἐκλεκτή* (β). Καὶ αὐτοὶ οἱ Ο, (ὅπερ ἔλαθε τὸν Ὅδιον) εἶπον τοῦτο ἀλλαχοῦ, ἄμπελον *καρποφόρον* (Ἱερεμ. β. 22). — Οὕτως ἔλαθε τὸν κριτικὸν ὅτι καὶ τὸ *Κάρυον* (Soked) ἐσήμαινε παρ᾽ Ἕλλησιν οὐχ ἧττον καὶ τὸ *Ἀμύγδαλον*. Καὶ συγχωρητέοι λοιπὸν καὶ οἱ Ο, εἴγε μετὰ τῶν Ἀττικῶν, καὶ Ἡρακλέωνος τοῦ Ἐφεσίου, ἐκάλεσαν γενικώτερον *Κάρυα* καὶ τὰ *Ἀμύγδαλα* (γ), καίτοι ἀλλαχοῦ διατηρήσαντες τὴν ἀκρίβειαν τῆς κυρίας ἑκατέρου τοῦ ὀνόματος σημασίας (Ἐκκλησ. ιβ. 5: Ἆσμ. ς. 10).

§. λς. Ἴδωμεν ἤδη καί τινα τῶν προβληθέντων λίθων παραδείγματα (§. ιδ). Τὸ χοδχὸδ (ἢ χορχόρ. βλ. ὄπισθ. σελ. 615)

---

(α) Βλ. Schulz. in Jesaï. 5. 2. καὶ in Ierem. 2. 29. καὶ Gesen. Lex. p. 971.

(β) Ὅθεν ὁ Σύμμαχος ἐκλεκτὴν (ἄμπελον) εἶπε τὸ Σωρὴκ (Ἡσ. ε, γ), καὶ Ἱερών. Selectam (ib. com.)· οἱ δὲ καὶ καλλίκαρπον ἡρμήνευσαν (Ἱερών. αὐτ.). « Σωρὴχ, ἐκλεκτὴ, ἢ καλλίστη » (Ὠριγέν. Λεξ.). πρβλ. καὶ Μ. Βασίλ. εἰς Ἡσ. ιε, καὶ Ἡσύχ. λ. Σωρήχ. Οὕτω καὶ οἱ Ταργουμισταί.

(γ) « Κάρυα ἐκάλουν καὶ τὰς ἀμυγδάλας » (Ἡρακλ. παρ᾽ Ἀθην. Β. 52. C a saub. αὐτ. — Salmas. Exerc. Plin. p. 425. — Celsius Hierobot. T. I. p. 28. πρβλ. Ἡσύχ. λ. καρύαι, καὶ Σχόλ. Κριτικ.). « Οἱ δὲ Ἀττικοὶ πάντα τὰ ἀκρόδρυα » (τὰς ὀπώρας, καὶ μάλιστα τὰς κελυφώδεις) « κάρυα λεγουσιν » Ἀθήν. αὐτόθ. ὅθεν καὶ « καστανaϊκὰ κάρυα » (τὰ κάστανα). Διόδωρ. Β. 133.

καὶ *ἴασπιν* ἡρμήνευσαν (Ἡσ. νδ. 12, ὅπου ὁ Σύμμαχος, *καρχηδόνιον*), καὶ πάλιν ἀλλαχοῦ τὸ ἑβραϊκὸν ἀφῆκαν χορχὸρ (« ῥαμὸθ, καὶ χορχόρ »· Ἰεζεκ. κζ. 16)· σημαίνει γὰρ ἡ λέξις οὐ μόνον *ἴασπιν*, ἀλλὰ καὶ γενικώτερον πᾶν πολύτιμον ἐμπόρευμα καὶ κόσμημα, ὡς ἡρμήνευον τὴν λέξιν οἱ Ἑβραῖοι πρὸς τὸν Ἱερώνυμον (Ὑπομνήματ. εἰς Ἰεζεκ. αὐτόθ.). Ὅθεν καὶ αὐτὸς ἔγραψε chodchod· ὁμοίως καὶ Ἀκύλας, καὶ οἱ λοιποὶ (αὐτόθ.). Ἐν δὲ πάλιν τῷ Ἡσαΐᾳ (νδ) *ἴασπιν* εἰδικώτερον ἡρμήνευσε καὶ Ἱερώνυμος (κατὰ τοὺς Ο). — Καὶ τὸ *Ῥαμὸθ* (πληθυντ.) ἰδίως *πολυτίμους λίθους* ἐν γένει σημαίνει· διὰ τοῦτο καὶ ὁ Σύμμαχος ἡρμήνευσεν « *ὑψηλὰ* » (ἐν Ἰὼβ κη, 18. ὅπου πάλιν οἱ Ο, ἔχουσι *μετέωρα*. βλ. ὄπισθ. §. ιδ. σημ.) (α). Τῶν δὲ νεωτέρων οἱ μὲν τὸ *ῥαμὸθ* πολυτίμους λίθους εἶπον, οἱ δὲ μετὰ τοῦ Ἰουδαίου Κιμχῆ, *κοράλλια*· καὶ τὸ χοδχὸδ, *ἀγάθην*, ἢ σπινθηροβόλον τινα λίθον, οἷον ἄνθρακα (rubinum), ἢ κρύσταλλον (α). Οἱ δὲ τέλος, ἀμφότερα λίθων εἴδη πολυτίμων ἀγνώστων (β). — Ὀνύχιον δὲ πάλιν ἔγραψαν μὲν οἱ Ο, (ὡς Ὄδιος ἐσημείωσεν) ἐν Ἰεζεκιὴλ κη, 13 (ὅπου τὸ ἑβρ. ἔχει Bareketh, ἄλλ. Barekath· ὃ κεῖται καὶ Ἐξόδ. κη, 17, ὅπου οἱ Ο, *σμάραγδος*) (γ). Ἔγραψαν δὲ καὶ ἐν Ἐξόδ. κη, 20 (ὅπου τὸ ἑβρ. Sphè, ἢ Ia-schphe, Ἴασπις). Ἀλλὰ πρῶτον μὲν τὸ ὄνομα τοῦ *ὄνυχος* παρεῖχον οἱ ἀρχαῖοι εἰς λίθους διαφόρους (δ). Ἔπειτα καὶ ἐν ἀμφοτέροις τοῖς χωρίοις ἡ παρὰ τοῖς Ο τάξις τῶν λίθων διαφέρει τῆς ἐν τῷ Ἑβραϊκῷ. Ἐν γὰρ Ἐξόδῳ (κη, 20)

(α) Ὁ δὲ Θεοδώρητος (εἰς Ἰεζεκ. αὐτοθ.) γράφει « ῥ α μ α ὼ θ, κ α ὶ χ ὼ θ (ἴσ. γρ. χοθχὸθ, ἢ χοδχὸδ), κἀκεῖνο μὲν ἡρμήνευσεν ἀ ρ ώ μ α τ α », τὸ δὲ χοδχὸδ, ὄ ν υ χ α (τὸν λίθον).

(β) Βλ. Schleusn. v. Ὑψηλός· καὶ Schulz. in Iesai. 54. Iob. 28.—Rosenmül. εἰς Ἰεζεκ. 27, 16· — Gesen. Lex. Hebr. p. 465.

(γ) Σμάραγδον καὶ οἱ νεώτεροι ἑρμηνεύουσι τὸ Bareketh. βλ. Gesen. Lex. p. 179.

(δ) Βλ. Haneraw Manuel Bibliq. vol. I. p. 322. Ὁ Πλίνιος (ΛΖ. 9) ἔχει καὶ ἰασπώνυχα, εἶδος ὄνυχος, οἷον ὁ Διοσκουρίδης λέγει « τὸν διαφύσεις ἔχοντα διαλεύκους καὶ ἀποστιλβούσας, Ἀσσύριον καλούμενον » ὃν καὶ π ο λ ύ γ ρ α μ μ ο ν ὁ Πλίνιος λέγει· καὶ τοῦτον ἄρα τὸν ἴασπιν, ἢ ἰασπώνυχα, ὀ ν ύ χ ι ο ν εἶπον οἱ Ο. βλ. Fuller. Miscellan. Sacr. VI. c. 8.

κατὰ τοὺς Ο, «*χρυσόλιθος καὶ βηρύλλιον καὶ ὀνύχιον*». Ἐν δὲ τῷ ἑβραϊκῷ (καθὼς ἑρμηνεύουσι), «*βηρύλλιον καὶ ὄνυξ καὶ ἴασπις*» (ἡ δὲ ἴασπις παρὰ τοῖς Ο, κεῖται ἐν τῷ δευτέρῳ στίχῳ· περὶ τοῦ χρυσολίθου λέγομεν εὐθύς). Ἐν δὲ πάλιν τῷ Ἰεζεκιὴλ (κη) οὐ μόνον ἡ τάξις τῶν ὀνομάτων τετάρακται, ἀλλὰ καὶ ἄλλα λίθων εἴδη ἀναγινώσκονται παρὰ τοῖς Ο, (*λιγύριον, ἀχάτης, χρυσόλιθος*), ἅπερ οὐ κεῖνται ἐν τῷ ἑβραϊκῷ (ὡς οὐδὲ παρὰ τοῖς Ο, τὸ ἐν τῷ ἑβραϊκῷ *Ἀδάμας*, ὅς τινες ἐξέλαβον τὸ Jahalon· οἱ δὲ τοῦτο σμάραγδον ἡρμήνευσαν, οἱ δὲ καὶ ἴασπιν· σημαίνει δὲ καθόλου λίθον σκληρόν· ἔχουσι δὲ ὅμως ἀμφότερα τὰ κείμενα τὸ *σμάραγδος* καὶ τὸ ἴασπις καὶ τὸ *ὀνύχιον*). Καὶ κακῶς ἄρα συνῆξε τὰς διαφορὰς τῆς περὶ τοὺς λίθους τούτους ἑρμηνείας ὁ κριτικὸς, ἐκ συγκρίσεως χωρίων μήτε ἀσφαλῶς ἀντιστοιχούντων, μήτε ἄλλως ὡρισμένας τὰς λιθωνυμίας ἐχόντων (α). Τὸν δὲ *χρυσόλιθον* (ἑβρ. Tharschisch) ἔγραψαν οἱ Ο πολλάκις καὶ *Θαρσεὶς* (αὐτὸ τὸ ἑβραϊκὸν, ὡς καὶ τοῦτο συνήθως τότε λεγόμενον). Ὡσαύτως ἔγραψαν καὶ οἱ λοιποὶ, καὶ ὁ Σύρος, καὶ ὁ Ἱερώνυμος· τὸ δὲ ὄνομα, ὡς ἐκ τοῦ θαλασσίζοντος χρώματος τοῦ λίθου, *κυανῆς*, ἢ *γλαυκῆς ἁλὸς* ὁμοίου (*θαρσεὶς* γὰρ κυρίως ἡ θάλασσα, ἢ τὸ πέλαγος, ὡς προσεσημείωται). *Τοπάζιον* τοῦτον λέγουσιν οἱ νεώτεροι λιθογνώμονες (ὡς ἕνα τῶν πολυειδῶν *ἀνατολικῶν* λεγομένων *τοπαζίων*), οἱ δὲ, *θαλασσίαν βήρυλλον* (Beryllus marinus, ἰταλ. aqua marina, ἤτοι *ὕδωρ θαλάσσιον*) (β). Τοῦ χρυσολίθων γέ-

---

(α) Ἐν Ἰεζεκ. κη. 13 ἀριθμοῦνται 12 λίθοι, ὅσοι καὶ ἐν Ἐξόδῳ κη, (βλ. καὶ Θεοδώρ. εἰς Ἰεζ. αὐτόθ.). Ἀλλ' ἐν τῷ ἑβρ. Ἰεζεκ. κεκολόβωται ὁ ἀριθμός. Οὕτως ἀνέγνω καὶ Ἱερώνυμος, ὅστις καὶ τὰς παρ' Ἀκύλᾳ καὶ τοῖς λοιποῖς πρός τε ἑαυτοὺς καὶ πρὸς τοὺς Ο, διαφορὰς, τὰς περὶ τὴν τάξιν καὶ τὰς ὀνομασίας τῶν λίθων τούτων, ἐμνημόνευσε (Com. in Ezech. 18). Ἀξιολογώτατα δὲ διέγραψε ταύτας τὰς διαφορὰς καὶ ὁ σοφὸς Bernardus not. εἰς Ἰωσ. Ἀρχ. γ. ζ. 5. σελ. 145—150 Hav. καὶ Braun de vestit. sacerd. Hebr. II. 17. πρβλ. καὶ τὰς παρὰ Σαμαρείταις τῶν ἐπὶ τοῦ Λογείου ιβ λίθων ὀνομασίας ἐν J. Cleric. Art. Crit. T. 2. P. 3. c. 6. p. 31.

(β) Schleusn. v. χρυσόλιθος· πρβλ. Plin. XXVII. 5, κτλ. Ἡ δ' αὐτὴ καὶ χρυσοβήρυλλος (Ἐπιφ. π. λιθ.). Καὶ ὁ Χαλδαῖος παραφραστὴς τὸ θαρσεὶς

νους καὶ ὁ καρχηδόνιος (ὡς καὶ *Θαρσὶς* πάλιν ἡ Καρχηδών). Τοῦτον δὲ τὸν χρυσόλιθον, ἢ *Θαρσὶς*, καὶ ἐκ τοῦ χρώματος κατ' εἴδη διαιροῦντες, οὐ μόνον κυανόχρουν καὶ χρυσίζοντα διαγράφουσιν (ὁποῖοι οἱ Ἀραβικοὶ καὶ Ἰνδικοὶ καὶ Γερμανικοὶ χρυσόλιθοι), ἀλλὰ καὶ φλογώδη, καὶ ὑπόπυῤῥον (οἷος ὁ ἐξ Αἰθιοπίας). Ὅθεν καὶ ὁ *Καρχηδόνιος ἄνθραξ* (περὶ οὗ Ἀρχέλαος, καὶ Πλίνιος, καὶ ὁ μακάριος Ἐπιφάνιος)· ὀρθῶς λοιπὸν καὶ *ἄνθρακα* λίθον προσεῖπον οἱ Ο, τὸν Θαρσεὶς (Ἰεζεκ. α, 16, ι, 9. ὅπου πάλιν καὶ ὁ Ἀκύλας ἔχει χρυσόλιθον· ὁ δὲ Σύμμαχος, ὑάκινθον).— Τὸ δὲ Τοπάζιον (ἑβρ. paz) (α) σημαίνει βῶλον ἀπέφθου χρυσοῦ, ἢ χρυσίον

---

ἐξήγησε Kerum (κυανοῦν θαλάσσης). Οὕτω καὶ Εὐδόξιος (Σχ. εἰς Δανιήλ. 1) « τὸ θαρσὶς χρυσόλιθον (γρ. θ α ρ σ ὶ ς, τ ὸ ν χ ρ υ σ ό λ.) ἔφη· ὁ δὲ Ἑβραῖος κυανοῦν τὸ χρῶμα λέγει » κτλ. (βλ. Δανιὴλ κατὰ τοὺς Ο, ed. Romae p. 62. — Bernard. l. c.—Hiller. Tract. de gemmis duodocin. etc. p. 15 etc. —Gesen. Lex. Hebr. p. 1069). Τοῦ χρυσολίθου γίνεται μνεία καὶ Ἀποκαλ. κα, 10 (πρβλ. S. Ambros. in Apocal. ib. - Ἐπιφάν. περὶ τῶν ιβ λίθ. τόμ. β. σελ. 225-232, καὶ Salmus. not. ibid.).

(α) Ἐκ τοῦ Ἑβρ. Paz (πάζ) Πάζιον, καὶ μετὰ τοῦ ἄρθρου (προσκολληθέντος ὑπὸ χρόνου εἰς τὴν λέξιν) Τοπάζιον. Ὁ Ἡσύχιος ἔχει π ά ζ ι ο ν (βλ. καὶ τὰς ἐκεῖ σημ. τῶν Κριτικῶν). Ἀλλ' εὑρίσκεται καὶ ὁ Τ ό π α ζ ο ς (Ὀρφ. π. λίθ. καὶ Διον. Περιηγ.), καὶ Τ ο π ά ζ ι ο ς (λίθος Σουΐδ.). Ὅθεν ἄλλοι ἐτυμολογοῦσι παρὰ τὸ Pazin, ἢ Topazion, νῆσον Ἀραβίας, ἢ κατ' ἄλλους ἰνδικὴν (Ἐπιφάν. περὶ λίθ.—Στέφ. Βυζαντ. λ. τοπάζιος), ὅπου εὕρηται τὸ πρῶτον. βλ. Bernard ubi supr. p. 145. — Schulz in Iob. 28 19· ὅθεν καὶ τὸ ἑβρ. Pitda-chus, καὶ οἱ Ο, τ ο π ά ζ ι ο ν Α ἰ θ ι ο π ί α ς (Χοὺς, ἑβρ.). Ἄλλοι δὲ πάλιν ἐκ τοῦ Paz, καὶ (μετὰ τοῦ κοπτικοῦ ἄρθρου ou, Oupaz) ἠτυμολόγησαν καὶ τὸ Οὐφὰζ (καὶ Ὀφὰζ, Ὠφὰζ), χώραν Αἰθιόπων χρυσοφόρον, ὁποία καὶ ἡ Ὀφεὶρ καὶ Σουφεὶρ, Σωφειρὰ (βλ. Gesen. Lex. Hebr. p. 26· ὅστις πάλιν τὸ Οὐφὰζ ὑπέλαβε διεφθαρμένον παρ' Ἑβραίων ἐκτοῦ Οὐφὶρ, τραπέντος τοῦ τελικοῦ ρ (Resh) εἰς τὸ ζ, Zain). Ὅθεν τὸ, « χρυσίον Οὐφὰζ» Ἆσμ. ε, 10, παρὰ Θεοδωρήτ. αὐτ. (ὅπου ὁ Θεοδοτίων « ἐ π ί σ η μ ο ι χ ρ υ σ ί ῳ » ἡ δὲ ς, ἔκδοσις, λ ί θ ο ς τίμιος), ὅπερ ἐν τῷ Βατικανῷ καὶ Ἀλεξανδρ. κώδηκι γέγραπται Κ ε φ ὰ ζ, ἢ Κ α ι φ ὰ ζ, τοῦτο τινὲς ὑπώπτευσαν = « καὶ Φὰζ » (ἀντὶ Π ὰ ζ, Schleusu. Thes. λ. Κ ε φ ὰ ζ). Ἐν δὲ τῷ ἑβρ. γράφεται Kethem paz (ὁ δὲ κλεινὸς Σαλμάσιος λίαν φαίνεται παραβιάσας τὸ Kethem ὡς ἐκ τοῦ ἑλλην. κ ά θ ε μ α—περιδέραιον χρυσῷ καὶ λίθοις πεποικιλμένον. Salmas. Exerc. Plin. p. 763). Ἐκ τοῦ Ὀφὰζ εἶπον καὶ τὸ (obsius) Obsianus, Ὀψιανὸς λίθος (Plin. 36 Ἀριαν. Περίπλ.) καὶ προσέτι (πάνυ βεβιασμένως) καὶ αὐτὴν τὴν « Ὀ φ ι ώ δ η νῆσον », ἐν ᾗ τὰ τ ο π ά ζ ι α (Στράβ. ις, 770. Ἀγαθαρχ. Διόδωρ. κτλ.) βλ. Δανιὴλ κατὰ τοὺς Ο, p. 63. Ὁ δὲ Τοπάζιος λίθος ἑβραϊστὶ λέγεται Π ι τ δ ὰ (pitda), ὅπερ ὁ Βώλην (Bohlen) κατάγει ἐκ τοῦ Σανσκριτικοῦ π ί τ α

ὁλοφυὲς καὶ συμπαγὲς (aurum solidum). « Οἷος δ' κατ' Ἀραβίαν ἄπυρος χρυσὸς — ὀρυττόμενος εὑρίσκεται, τὸ μέγεθος καρύοις κασταναϊκοῖς παραπλήσιος, τὴν δὲ χρόαν φλογώδης » (α). Ὅθεν τὸ paz κατὰ μετωνυμίαν ἐξελήφθη καὶ ἐπὶ τοῦ λίθου. Ἔστι δὲ γνωστὸν καὶ παρὰ τοῖς ἀρχαίοις τὸ τοπάζιον, ἢ ὁ *τοπάζιος* λίθος « *χρυσοειδὲς ἀποστίλβων φέγγος* » (β), ὡς ἡρμήνευσαν πάλιν δεόντως οἱ Ο, διαστέλλοντες τοῦ χρυσίου· « *ὑπὲρ χρυσίον καὶ τοπάζιον* » (Ψαλμ. ριη, 127· οὕτω καὶ Ἱερώνυμος αὐτόθι τόμ. α. σελ. 1449. Ρ.)· τοῦτον δὲ καὶ « *λίθον τίμιον* » εἶπον (Ψαλμ. ιη, κ) κατ' ἐξοχήν· « Εἰκὸς δὲ κατ' ἐκεῖνον τὸν χρόνον τοῦτον προτιμᾶσθαι τῶν ἄλλων » (Θεοδώρητ.)—Ἡ δὲ, τέλος, *Στακτὴ* (ἐλλειπτ. σμύρνα, ἢ λιβὰς) « καὶ αὐτὴ σμύρνης ἐστὶν εἶδος τὸ λεπτότατον· ἐκθλιβέντος γὰρ τοῦ ἀρώματος, ὅσον μὲν αὐτοῦ ῥυτὸν, εἰς τὴν στακτὴν ἀπομερίζεται· τὸ γὰρ παχὺ ἀπομένον, σμύρνα προσαγορεύεται » ὡς ὁ Μέγας φησὶ Βασίλειος (εἰς Ψαλμ. μδ, 10). Καὶ Ἡσύχιος· « Στακτὴ, τὸ ἀπὸ σμύρνης γινόμενον »· καὶ, « Ἰσοστάσιον μύρον, ἢ (ἴσ. γρ. ἡ) στακτὴ, ἢ σμύρνα » (τὸ δὲ ἰσοστάσιον, ἐλλειπτ. χρυσῷ = ἰσόχρυσον) (γ). Ὀρθῶς λοιπὸν οἱ Ο, καὶ σμύρναν εἶπον, καὶ ταύτην πάλιν ἐν δέοντι διέκριναν ἀπὸ τῆς *στακτῆς*. Ἀλλὰ καὶ τὴν *ἀλόην* (τὸ ἑβρ. ἀλοὴ, καὶ ἀλὼθ, ὡς Ἀκύλας ἔγραψεν, Ἆσμ. δ, 14) ὀρθῶς προσηγόρευσαν *στακτὴν* (Ψαλμ. μδ, 9, εἰ μή τι ἄλλο ὧδε ἀνέγνωσαν), ὡς μύρον δηλονότι ἐκ τῆς ἀλόης ἀπεσταγμένον (ὁποῖα καὶ τὰ κιναμώμου, καλάμου, κασσίας, καὶ ἄλλα στάγματα μυρεψικά· πρβλ. Ἐξόδ. λ. 23. Ἰωσήπ. Ἀρχ. γ. η, 3, καὶ Σημ. Βερνάρδ.). Ὅθεν πάλιν τὸ τοῦ Ἄσματος· « σμύρνα καὶ ἀλόη μετὰ πάντων πρώτων μύρων » (δ).

---

(pita) ὁ φαιὸς (luteus)· ἐκ δὲ πάλιν τοῦ Πιτδὰ μεταθέσει τῶν στοιχείων, (Τπαδὰ), ἐλιθούργησε τὸ ἑλληνικὸν τοπάζιον (οἷον τπάδι, τπάζι) !! βλ. Gesen. Lex. Hebr. p. 818. — (α) *Διόδωρ. β.* 162. *βλ. καὶ Πολυβ. γ, ια.*

(β) *Στράβ. σελ ις,* 770. — *Ξενοκρ. λιθογνωμικ.* — (γ) Βλ. *καὶ Ἀθήν. ιε,* 688. — *Θεόφρ. π. φυτ. ε,* 4, 2. — *Διοσκορ. δ,* 154. — Salm. Exerc. Plin. p. 709. *καὶ* ad Vopis p. 391. — Spanhem. ad Callim. Hymn. *εἰς Ἀπόλλων. στίχ.* 39.

(δ) *Ἆσμ. δ.* 14. *καὶ Θεοδώρ. ἑρμην. αὐτόθ. πρβλ.* Schleusn. Thes *λ. Στακτή καὶ*

§. λζ. Ἐπὶ δὲ τῶν ἀστέρων, ὅτι μὲν ἡ *Πληϊὰς* (Ἰὼϐ λη, 31), ἑϐρ. Chima (ὃ καθόλου δηλοῖ σωρὸν, καὶ ἰδίως ἀστέρων, οἷα καὶ ἡ πλειὰς) ὅτι, λέγω, τὸ αὐτὸ ἐν Ἰὼϐ θ, 9, ὠνομάσθη καὶ *ἀρκτοῦρος* (ἑϐρ. As), ἐξελέγχεται ψευδές. Καὶ οἱ Ο, καὶ τὸ ἑϐραϊκὸν (ἐν Ἰὼϐ θ, 9) ἔχουσιν ἀμφοτέρους τοὺς ἀστέρας, ἀλλὰ πρωθυστέρως. Οἱ Ο, « Ὁ ποιῶν πλειάδα — καὶ ἀρκτοῦρον »· τὸ δ' ἑϐραϊκὸν ἀντιστρόφως, « *ἀρκτοῦρον* (As) *καὶ πλειάδα* (Chima). Θεράπευσον, ὅδιε, τὴν ἐκ τῶν μεταγραφέων ταραχθεῖσαν τάξιν τῶν ὀνομάτων, καὶ ὄψει τὴν πλειάδα ἀντιστοιχοῦσαν ἀπ' εὐθείας πρὸς τὸ Chima (ὡς καὶ ἐν Ἰὼϐ λη, 31. οὕτω καὶ Σύμμαχος καὶ Ἀκύλας αὐτόθ.). Ἕσπερον δὲ πάλιν (Ἰὼϐ, θ, 9) εἶπον οἱ Ο, καὶ τὸν *Ὠρίωνα* (ἑϐρ. Kesil, ἢ Chesil). Οὕτω καὶ Θεοδοτίων ἐν Ἀμὼς ε, 8, « ἀρκτοῦρον καὶ *ἕσπερον* » (ὅπου ὁ Ἀκύλας « ἀρκτοῦρον καὶ *Ὠρίωνα* »). Καὶ τοῦτον γὰρ οἱ ἑλληνισταὶ καταχρηστικώτερον *ἕσπερον* ὠνόμαζον, « ὡς φανώτατον τῶν ἄστρων » (Μ. Βασιλ. εἰς Ἡσ. ιγ), κατὰ τὸν κυρίως ἕσπερον, « ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστὴρ » (Ἰλ. χ, 318), ἢ καὶ κατὰ τὸν « *ὀψὲ δύοντα βοώτην* » (Ὀδυσ. ε, 272). Βοώτην δὲ τὸν Ὠρίωνα πολλοὶ καὶ τῶν Ἑλλήνων ὠνόμαζον (α). Συνήθης δὲ ἡ τοιαύτη τῶν ὀνομάτων σύγχυσις ἐπὶ πραγμάτων παραπλησίων, καί τινας ἐχόντων ἰδιότητας πρὸς ἄλληλα κοινάς. Καὶ αὐτοὶ οἱ Ἑϐραῖοι (καὶ Σύροι δὲ, καὶ Χαλδαῖοι) εἶχον καὶ ἄλλας ὀνομασίας τοῦ Ὠρίωνος (οἷον τὰ Gabbor, Gauza, γίγαντα, ἰσχυρὸν, κτλ.)· καὶ αὐτὸ δὲ τὸ συνηθέστερον

---

Lex. N. Test. λ. ἀλόη. Τὸ δὲ ξύλον τῆς ἀλόης, ξυλαλόη, καὶ ἀγάλλοχον (τουρκ. udagatz). Ἔστι δὲ καὶ ἄλλη ἀλόη, πόας εἶδος, καὶ ὁ χυλὸς αὐτῆς (Ἡσύχ.). Πρόσθες ὅτι καὶ τὸ ἑϐραϊκὸν Loth (Γεν. λζ, 25) στακτὴν εἶπον οἱ Ο, ὅπερ ὁ Κέλσιος Hierob. tom. I. p. 283 τὸ λάδανον ἐξέλαϐεν, οἱ δὲ, μῦρον ἁπλῶς· οἱ δὲ καὶ ὀρθότερον, αὐτὴν τῆς σμύρνης τὴν στακτὴν, τὴν αὐτομάτως στάζουσαν· (ὡς καὶ Ἐξόδ. λ. 34. ὅπου τὸ ἑϐρ. Natak = σταγόνα. βλ. Schulz in Gen. et Exod. l. c. καὶ Cahen not. ibid. — Gesen. Lex. Hebr. p. 664.

(α) « Βοώτης, ὁ Ὠρίων· οἱ δὲ [ἀρκτο]φύλαξ ». Ἡσύχ. καὶ Σχόλ. Κριτ. αὐτ. (βλ. καὶ Ἡσύχ. λ. Ὠρίων)· πρϐλ. Εὐστάθ. Ἰλ. σ. 418. Ὀδύσ. ξ. 271. Καὶ ὁ Μ. Βασίλ. εἰς Ἡσ. ιγ. 10. « Ὠρίωνα δὲ, λέγει, καὶ τὸ σύστημα τῶν κϐ, ἀστέρων, ὃν τινες ὀνομάζουσι βοώτην » κτλ.

Chesil σημαίνει κατά τινας μωρὸν (ἀσεβῆ), ἢ *γίγαντα*, τὸν Νεβρὼδ, « ὃν λέγουσιν οἱ Πέρσαι ἀποθεωθέντα καὶ γενόμενον ἐν τοῖς ἄστροις τοῦ οὐρανοῦ· ὅντινα καλοῦσιν Ὠρίωνα » (α). Ἕσπερον (ὃ διέφυγε τὸν Ὄδιον) ἔγραψαν οἱ Ο, καὶ ἀντὶ τοῦ *ἀρκτούρου* (ἑβρ. As, ἐν Ἰὼβ, λη, 32, ὅπου καὶ Ἱερώνυμος vesperum, ἕσπερον ἔγραφε)· διότι καὶ ὁ ἀρκτοῦρος, ἢ ἀρκτοφύλαξ, ὁ αὐτὸς ἐστὶ πολλάκις καὶ βοώτης (Ἡσύχ. καὶ Ἱερώνυμ. εἰς Ἀμὼς, ε, 8), ὅστις (ὡς προείπομεν) ἀνταλλάσσεται πρὸς τὸν Ὠρίωνα, καὶ οὗτος πάλιν πρὸς τὸν *ἕσπερον*. Καὶ αὐτὸ δὲ τὸ ἑβραϊκ. τοῦ ἀρκτούρου ὄνομα, τὸ As, φαίνεται συγγενὲς κατὰ τὸ νόημα πρὸς τὸν *ἕσπερον* (διότι καὶ Ἄραβες τὴν *ἑσπέραν* hasci καλοῦσι) (β). Καὶ θαυμαστὸν οὐδὲν, εἴγε καὶ παρ᾽ Ἕλλησι καὶ παρ᾽ ἑλληνισταῖς καὶ παρ᾽ ἀλλογλώσσοις ἔθνεσι τὰ ὀνόματα τῶν ἀστέρων μετέπιπτον καταχρηστικώτερον ἀπὸ τῆς κυρίας καὶ εἰς ἄλλην ἐκδοχήν. Αἱ φωναὶ τῶν ἀνθρώπων εὐκόλως μεταποιοῦνται· μόνος μένει ἀμετάβλητος ὁ *ἀριθμῶν πλήθη ἄστρων καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν*. Ἀλλ᾽ ὅμως ἐκ τῆς ἀστατούσης χρήσεως τῶν ὀνομάτων οὐχ ἕπεται ἐξ ἀνάγκης καὶ ἡ τῶν χρωμένων προσώπων διαφορά. Ὁ αὐτὸς Ἀκύλας τὸ Chima *ἀρκτοῦρον* ἑρμηνεύσας (Ἀμὼς ε, 8), εἶπεν ἀλλαχοῦ τὸ αὐτὸ καὶ *πλειάδας* (Ἰὼβ λη, 31). Ὁ δὲ Ἱερώνυμος ὠνόμασε καὶ *ὑάδας* (ἴσως ὡς γείτονας) τὰς *πλειάδας* (Ἰὼβ θ, 9). Τὸ δὲ Chesil, ὁ Σύμμαχος Ὠρίωνα μετ᾽ ἄλλων εἰπὼν (Ἰὼβ λη), ἔπειτα καὶ *ἀστέρας* ἡρμήνευσαν ἁπλῶς (Ἀμὼς ε, 8, ὅπου οἱ Ο, ἄλλως ἀναγνόντες ἔγραψαν, « ὁ ποιῶν *πάντα* »). Ἐν

---

(α) Χρονικ. Πασχάλ. σελ. 64 Bon. καὶ Κεδρην. πρβλ. Michaelis Supplem. p. 1264. sq. - Schulz. Sch. in Iob, c. 9, 8. - Schleusn. Thes. v. ἀρκτοῦρος, ἕσπερος, πλειὰς, ὠρίων. Ὁ δὲ τοῦ Ἱερωνύμου διδάσκαλος, ὁ Ἑβραῖος, λάμψιν, ἢ φέγγος ἡρμήνευσε τὰ Chesil, καὶ καθόλου φέγγοντα ἄστρα (ὡς τὰ ἑλλην. φέγγη· « τείρεα παμφανόωντα »)· ἀλλ᾽ ὁ αὐτὸς αὐτοῦ διδάσκαλος καὶ ἀρκτοῦρον πάλιν ἔλεγε τὸ Chesil ἐν Ἡσαΐ. ιγ. 10 (βλ. Hieron. Com. in Amos V, 8. καὶ Esaï. l. c.) βλ. καὶ τὴν ἐφεξῆς σημείωσιν.

(β) Βλ. Bochart. Hieroz. P. II. p. 213: καὶ Gesen. Lexic. Hebr. p. 802, παρ᾽ οἷς As, κυρίως ἡ μείζων ἄρκτος, ἐν ᾗ καὶ ὁ ἀρκτοῦρος.

δὲ πάλιν Ἡσαΐᾳ (ιγ, 10) τὸ ἑβρ. πληθυντ. Chesilim (Ὠρίωνες) Ἀκύλας μὲν καὶ Θεοδοτίων ἔγραψαν αὐτολεξεί, Χεσιλεὲμ (Ὠρίωνες αὐτῶν). Οἱ δὲ Ο θαυμαστῶς ἀπέδωκαν, « *ὁ Ὠρίων, καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ* », αὐτόν τε τὸν Ὠρίωνα δηλοῦντες, καὶ πάντας τοὺς ἀστερισμοὺς (ὅπερ οὐχ ἅλις, ἴσως, ὁ μακάριος Ἱερώνυμος συνιδὼν, ἔψεξεν ὡς ἂν προσθήκην τὸ, « *πᾶς ὁ κόσμος* »). Οὕτω καὶ ὁ Χαλδαῖος (αὐτόθ.) « Oriones gigantes coeli (α). Αὐτοὶ δὲ τέλος οἱ περὶ τὸν Ὄδιον πῶς ἄρα καὶ ἑρμηνεύουσι τὰ ἄστρα ταῦτα περὶ ὧν ἐτάζουσιν οὕτως αὐστηρῶς τοὺς Ο; Ἄκουε τὶ γράφουσι· «Chima, *ὄνομα ἀστέρος τινος*» (nomen stellae cujusdam»· Hody, p. 213). Καὶ πάλιν· Kesil *ἄλλου, ἀστέρος ὄνομα*! (stellae alius nomen). κτλ. Οὕτω δὲ τὴν ἰδίαν ἑαυτῶν περὶ τὰς τῶν φωνῶν σημασίας ἀμφιβολίαν, ἢ τελείαν ἄγνοιαν ὁμολογοῦντες, ἔπειτα πῶς διαγινώσκουσι τοὺς τοιούτους ἢ τοιούτους, καὶ ὀρθῶς ἢ μὴ ὀρθῶς αὐτὰς ἑρμηνεύσαντας ἐκ τῆς ἰδίας αὐτῶν γλώσσης ἐν τῇ βίβλῳ τῇ αὐτῇ;

§. λη. Περὶ τῶν μέτρων ἀπηντήσαμεν παρὰ πόδας (§. ιε. σημ.) (β). Ἤδη δὲ λέγομεν ὀλίγα τινὰ καὶ περὶ τῆς φράσεως,

---

(α) βλ. Schulz in Iesai. 13. 10. Τὸ δὲ Ὠρίωνες (Chesilim) πληθυντικῶς εἰρῆσθαι νομίζουσιν, « ὅτι πολλοὶ γίγαντές εἰσι κατηστερισμένοι, Ὠρίων, Κηφεὺς, Βοώτης, Περσεὺς, Ἡρακλῆς, καὶ ἄλλοι, ὧν οἱ πλεῖστοι παρὰ τοῖς Ἀσιανοῖς ἀριθμοῦνται μετὰ τῶν ἀσεβῶν καὶ θεομάχων γιγάντων » κτλ. (αὐτ. αὐτόθ.). Ὅθεν καὶ τὸ gigantes coeli, τὰ μείζονα ἄστρα τοῦ οὐρανοῦ (Gesen. l. c. p. 495), ἢ οἱ ἀστερισμοὶ, ὁ κόσμος τοῦ οὐρανοῦ· βλ. καὶ Rosenmüller Schol. εἰς Ἡσαΐ. ιγ, 10. καὶ Further Account — in three Letters. Oxford 1748 (καὶ μάλιστα τὴν β, ἐπιστολὴν, τὴν περὶ τῶν ἄστρων τοῦ Ἰὼβ). Πρβλ. τὰ Ὁμηρικὰ « Πλειάδας θ' Ὑάδας τε, τό, τε σθένος Ὠρίωνος, Ἄρκτον τε" κτλ. (Ἰλ.).

(β) Πρὸς δὲ τὰ τοῦ Βώσου (βλ. ὄπισθ. §. ις. σημ.) ἀπαντῶμεν συντόμως τὰ ἐφεξῆς. Τὸ Βεδὲκ (ῥῆγμα, σχίσμα, ἐπισκευῆς δεόμενον, καὶ αὐτὴ ἡ ἐπισκευὴ, « ἡ τῶν ἐφθαρμένων ξύλων καὶ λίθων θεραπεία ». Θεοδώρητ.) ἀφῆκαν ἀνερμήνευτον (Δ. Βασ. ιβ, 5, 7), καθὸ λέξιν τεχνικὴν, συνήθη τότε καὶ παρὰ τοῖς ἑλληνισταῖς· ἀλλαχοῦ δὲ πάλιν καὶ ἐξελλήνισαν διὰ τὴν σαφήνειαν « ἐπισκευάσαι τὸν οἶκον » κτλ. (Β. Παρ. κδ. 12. πρβλ. Schulz. in 2. Regg. 12 καὶ Drus. in Fragm. p. 275). Ἐν δὲ τῷ Ἰεζεκιὴλ (κζ, 9) τὸ Βεδὲκ (ἡ ἐπισκευὴ) μεταφορικώτερον σημαίνει καὶ τὴν ἐπίνοιαν, ἢ τὸ σχέδιον (ὡς τὸ παρασκευή)· καὶ

ἢ τοῦ λεκτικοῦ χαρακτῆρος, δι' οὗ οἱ περὶ τὸν Ὄδιον διέκριναν τοὺς ἄλλα δῆθεν ἄλλοτε ἄλλους πονήσαντας ἑρμηνεῖς. Φέρουσι

---

κάλλιστα λοιπὸν οἱ Ο εἶπον· « οὗτοι (οἱ σοφοὶ) ἐνίσχυον τὴν βουλήν σου, (τὴν παρασκευήν, τὴν ἐπίνοιαν, τὰ σχεδιάσματα τῶν σκοπῶν σου)· ὁ δὲ Ἱερώνυμος, « παρεῖχον ποικίλην ἐπισκευὴν (τουτ. ἀποσκευήν, suppellectilem)· ἄλλως δὲ πάλιν οἱ νεώτεροι· « Ἐνισχύοντες, τουτ. ἐπισκευάζοντες τὰ ῥήματά σου », (καὶ ἐπεξηγοῦσι) δηλαδὴ « τῶν πλοίωνσου » (!)· ἄλλοι, « τῶν τειχῶν καὶ τῶν οἰκοδομῶν σου »· ἄλλοι δ' ἄλλως ἐκλαμβάνουσι, μήτε πρὸς τὸν Ἱερώνυμον μήτε πρὸς ἀλλήλους συμφωνοῦντες, οἷα φιλοῦσιν οἱ τῆς ἀληθείας ἀποπλανώμενοι. (Βλ. Hier. Comm. in Fzech. 17, 9. — Lud. Capell. not. in Ezech. h. l. — Criticos Sacr. vol. IV. p. 5919, καὶ Rosenmüll. Schol. εἰς Ἰεζεκ. αὐτόθ.) — Τὸ Zion, Σιών, 1) καθόλου σημαίνει τόπον ξηρόν, πέτραν ὑψηλήν, σκοπιάν· ὅθεν καὶ οἱ Ο, ἔγραψαν σκόπελον (δ. Βασ. κγ. 17). ἐν δὲ Ἡσαΐ. κε, 5. γράφουσιν αὐτὸ τὸ Σιών (ἀλλ' ἐνταῦθα ἐπὶ τοῦ κυρίου ὀνόματος ἐξεδέξατο Θεοδώρητος καὶ ἄλλοι· καὶ μαρτυρεῖ τὸ ἐφεξῆς « τὸ ὄρος τοῦτο »· Ἡσ. αὐτ.)· οἱ δὲ νεώτεροι ἑρμηνεῖς καὶ ὧδε τὸ Zion τόπον ξηρόν· (ὁ δὲ Ἱερώνυμος πεπλανῆσθαι λέγων τοὺς Ο, πεπλάνηται μᾶλλον αὐτός, ἑρμηνεύσας ἀνοδίαν, ἢ δίψαν). Ἐν δὲ Ἰεζεκ. λθ. 15. οἱ Ο, σημεῖον (στήλην ἐπιτάφιον). Ἐν δὲ τέλος Ἱερεμ. λη, 21 (καθ' Ἑβρ. λα, 21) ἔγραψαν Σιών, ὡς ἔχουσιν οἱ πλεῖστοι κώδηκες, (ἡ δὲ Κομπλουτ. ἐπισκόπους = σκοπούς), καὶ ὁ Θεοδώρητος σιονειμ (αὐτὸ τὸ ἑβρ. Zionim, πληθ.), Ἀκύλας δὲ καὶ Σύμμαχος καὶ Ἱερώνυμος « σκοπιάς »· ὁ Σύρος « σημεῖα » (στήλας)· οἱ δέ τινες διεφθαρμένην ἐνταῦθα νομίζουσι τὴν φωνὴν (Schleusn. Thes. v. Ἐπίσκοπος, Σκόπελος, Σιών. — Schulz. in Ierem. l. c. — Montfauc. etc)· 2) τὸ Zion καὶ = Σιών, κύριον ὄνομα θατέρου τῶν λόφων τῆς Ἱερουσαλὴμ (καὶ αὐτὴ ἡ Ἱερουσαλήμ. Gesen. Lex. Hebr. p. 862.—Reland. Palaest. 3. p. 846). Ὥστε τὸ Σιὼν οἱ Ο, μετεχειρίσθησαν ἐν δέοντι ἐπί τε τῆς καθόλου, δηλαδὴ τῆς προσηγορικῆς, καὶ ἐπὶ τῆς κυριωνυμικῆς σημασίας (παράβαλε τὰ ἑλληνικὰ Σκόπελος, Πέτρα, Ἄκρα, Πάγος, κτλ.). — Τὸ Σκῆπτρον (ὡς σύμβολον τῆς ἀρχῆς) σύνηθες καὶ ἀντὶ τοῦ σκηπτοῦχος (ἄρχων. βλ. Vorst. Philolog. sacr. I. c. 6). — Συνώνυμον δὲ καὶ τὸ Καθαριεῖ πρὸς τὸ Ἀθῳώσει. — Τὸ Περιοχὴ (Ἀβδ. α, 1) οὔτε munitionem ὧδε σημαίνει (ὡς Ἱερών.), οὔτε τὸ περιεχόμενον ἐν λόγοις, ἢ γραφῇ (κατὰ τὸν Capell. annot. in Abdia l. c.), ἀλλ' ἔστιν = περίοδος, ἡ περιοδεία, καὶ περιέλευσις, ἡ περιπόλησις, (ἐκ τοῦ ἔχω πέριξ, τὸ περιλαμβάνω, καὶ περιελαύνω, ὡς τὸ « ἔχειν νῆας, ἵππους »)· καὶ τοῦτο κατὰ μετάληψιν ἀντὶ τῶν περιεχόντων, τουτέστι περιλαμβανόντων, καὶ κύκλῳ τὰς χώρας περιθεόντων περιπόλων καὶ περιοδευτῶν ἀγγέλων (μηνυτῶν)· « Περιοχὴν εἶπεν, οὓς Ἱερεμίας (κθ, 14) ἀγγέλους, ὁ δὲ Σύμμαχος ἀγγελίαν ἐξέδωκε » (Κύριλ. καὶ Θεοδώρητ. ἑρμην. εἰς Ἀβδ. αὐτόθ.), ὅπου βλέπεις καὶ τὸ ἀγγελία μεταληπτικῶς ἀντὶ ἀγγέλους· περιοχὰς ἔγραψε καὶ Θεοδοτίων ἐν Ἡσαΐ. ιγ. 8 (ὅπου οἱ Ο, πρέσβεις). ἀλλὰ καὶ ἁπλῶς ὅστις ἀναγνώσῃ τὰ ἐν Ἱερεμ. κθ, 14, καὶ ἐν Ἀβδ. α, 1, πάντα κατὰ λέξιν ἀκριβῶς συμφωνοῦντα (πλὴν τοῦ συνωνύμου περιοχήν, ἀντὶ ἀγ-

δὲ δεῖγμα μέγα καὶ τρανὸν τὸν ιζ (καθ' ἑβρ. ιη) ψαλμὸν, ἄλλως μὲν ἐν Β. Βασιλ. (κβ), ἄλλως δ' ἐν αὐτῷ τῷ Ψαλτῆρι ἡρμηνευμένον (βλ. ὄπισθ. §. ιζ). Ἀλλὰ θαυμαστὸν, πῶς ἀπεσιώπησαν οἱ ἄνδρες, ὅτι καὶ ἐν τῷ κειμένῳ τῷ ἑβραϊκῷ παρομοίως ὁ αὐτὸς ψαλμὸς ἐν ἑκατέροις τοῖς χωρίοις διαφέρει, οὐ μόνον ἔν τισι νοήμασιν, ἀλλὰ καὶ κατὰ λέξεις (πρβλ. τὰ ἐδάφ. 1, 7, 10, 11, 12, 13 κτλ.). Καὶ ξένον οὐδὲν, εἴπερ ὁ θεόπνευστος ψαλμῳδὸς τὸ πρῶτον συντάξας τὸν ψαλμὸν, ὡς ἔχει τὰ νῦν ἐν τῇ Β. τῶν Βασιλειῶν, ἔπειτα πάλιν, ὑπὸ τοῦ αὐτοῦ ἀγόμενος πνεύματος, προσέθηκέ τινα, ἢ μετέβαλε πρὸς τὸ σαφέστερον καὶ λαμπρότερον καὶ τῇ δημοσίᾳ χρήσει προσφυέστερον, καὶ οὕτω συνηρίθμησεν αὐτὸν μετὰ τῶν ἄλλων τοῦ Ψαλτῆρος ψαλμῶν. Οἱ δέ τινες ὑπενόησαν (οὐ πάνυ πιθανῶς), ὅτι καὶ αὐτὸς ὁ μακάριος Ἔσδρας εἰσήγαγεν ἐν τῷ τοῦ Ψαλτῆρος ἀναγκαίας τινὰς τότε πρὸς σαφήνειαν παραλ-

---

γέλους), ἀπορήσει πρὸς τὴν κρίσιν τοῦ Βώσου. — Τὸ Tsammah, ἢ Samah, οὔτε κόμην, οὔτε πέπλον σημαίνει (βλ. τὸν Γεσένιον Λεξ. ἑβρ. σελ. 866), ἀλλὰ κυρίως γυναικείαν καλύπτραν (velum muliebre), παρὰ τὸ tzamam (πλέκειν, συσφίγειν, καλύπτειν), συγγενὲς τοῦ tzamath (σιωπᾶν· ὡς τὸ «ἐγκλείειν γλῶσσαν», μύειν, συγκλείειν τὸ στόμα)· ὅθεν οἱ Ο, ἐν Ἡσαΐᾳ (μζ, 2) ἡρμήνευσαν κατακάλυμμα. Καὶ πάλιν (Ἆσμ. δ, 1: ς, 6) σιώπησιν, τὴν αὐτὴν καλύπτραν (καθότι καὶ αὕτη μύει καὶ συγκλείει τὴν ὦπα, τουτέστι τὴν ὄψιν, ὡς καὶ ἡ σιώπησις τὴν ὄπα, τουτέστι τὴν φωνήν). Ὅθεν καὶ ὁ Σύμμαχος ἀμφοτέρας τὰς λέξεις ἐκ τῶν Ο λαβὼν, τοὺς τόπους μετήλλαξε· καὶ κάλυμμα μὲν εἶπεν (ἐν Ἆσμ. ς, 6), σιώπησιν δὲ ἐν Ἡσαΐᾳ (μζ, 2), ὅπου ὁ Ἀκύλας αὐτὸ τὸ ἑβραϊκὸν σαμμαθὲχ, καὶ ὁ Θεοδοτίων σαμλαθὲχ, (πρβ. Θεοδώρητ. εἰς Ἆσμ. ς: Ὁ δὲ μακάριος Ἱερώνυμος πόσον παραδόξως τὸ σιώπησιν ἐξέλαβε καὶ ἐξέφρασεν ἐν Ἡσ. μζ, εὔστομα κείσθω). Οὕτω καὶ ὁ θεῖος Παῦλος (δι' ἄλλην αἰτίαν) εἶπε τὸ κάλυμμα «ἐξουσίαν» (α, Κορ. ια, 10, καὶ Θεοδώρ. αὐτόθι· ἄλλως δὲ ἐξήγησεν ὁ Φώτιος, ἐπιστολ. 210)· τινὲς δὲ τῶν νεωτέρων καὶ τὸ τιμὴν προσώπου (Γεν. κ. 16) καλύπτραν ἡρμήνευσαν (Schulz. ib. πρβλ. Schleusn. Th. v. Τιμή· καὶ Lex. N. T. v. Ἐξουσία, Δόξα. βλ. καὶ Michaelis Supplem. p. 2100). Ὁ δὲ L. Capellius (not. in Esai. 47), συμπεράνας τὸ Ἆσμα τῶν Ἀσμάτ. ὡς ἑρμηνείαν οὐχὶ τῶν Ο, ἀλλὰ τοῦ Συμμάχου, διὰ μόνην τὴν λέξιν σιώπησιν, οὔτε τὸν Σύμμαχον αὐτὰν εἶδεν, ἐν αὐτῷ τῷ Ἄσματι γράψαντα κάλυμμα, ὅπου οἱ Ο, σιώπησιν, (ς, 6), καὶ ὅσον κατὰ τοῦτο οὐδόλως διαφέρει τῶν, ὅσοι καὶ τὰ Παραλειπόμενα εἶπον ἑρμηνείαν τοῦ Θεοδοτίωνος, διὰ μόνον τὸ φασέχ! (βλ. ὄπισθ. §. λ.). Περὶ τοῦ ἐγώ εἰμι λέγομεν ἀνωτέρω.

λαγάς. (Καὶ πῶς; μὴ γὰρ οὐκ αὐτὸς οὗτος ὁ Ἔσδρας ἐξέδωκε καὶ τὸν ἐν τῇ Β. τῶν Βασιλειῶν; τί γοῦν μὴ καὶ τοῦτον παρομοίως ἐξέφερε;) (α). Ταύτας λοιπὸν τὰς διαφορὰς διετήρησαν καὶ οἱ ἱεροὶ ἑρμηνεῖς. Εἰ δὲ καὶ ἐκεῖ μὲν ἔγραψαν *πέτρα*, καὶ *ὀχύρωμα*, καὶ *ἐξαιρούμενος*· ἐν δὲ τῷ Ψαλτηρίῳ τὰ ἰσοδύναμα, *στερέωμα*, καὶ *καταφυγὴ* (τουτ. καταφύγιον, οἷον τὸ ὀχύρωμα, ὡς καὶ τὸ φυγαδεῖον, καὶ ἄλλα), καὶ *ῥύστης*, κτλ. ἀλλ' οἱ αὐτοὶ παρομοίως καὶ ἀλλαχοῦ πολλαχοῦ τῆς Γραφῆς ἐπὶ τῶν αὐτῶν ἑβραϊκῶν φωνῶν τὰς αὐτὰς μετεχειρίσθησαν συνωνυμίας. Ὡσαύτως καὶ οἱ λοιποὶ (Ἀκύλας, Σύμμαχος, Θεοδοτίων), ὡς γίνεται φανερὸν οὐ μόνον τοῖς μετὰ σπουδῆς λιπαρωτέρας παραβάλλουσι τὰς ἑρμηνείας πρὸς τὸ κείμενον, καὶ τοῦτο πάλιν πρὸς ἑαυτὸ, ἀλλὰ καὶ τοῖς ἁπλοῦν ἐπιβάλλουσιν ὄμμα πρὸς τὰ λεξικὰ τῆς Γραφῆς. Ὥστε αἱ ὀλίγαι τῶν ὀνομάτων ἐναλλαγαὶ οὐδόλως μεταβάλλουσι τὴν ταυτότητα οὔτε τοῦ ψαλμοῦ, οὔτε τῶν ἑρμηνέων. «Ἔστι γὰρ σύμφωνος (ὁ ἐν Β. Βασιλ. κβ) τῷ ἑπτακαιδεκάτῳ ψαλμῷ· μᾶλλον δὲ ὁ αὐτός ἐστιν, ὀλίγας ἔχων ὀνομάτων ἐναλλαγάς» (Θεοδώρ. Ἀπόρ. εἰς Β. Βασ.). Οἱ δὲ περὶ τὸν Ὄδιον ἤθελον (ὡς φαίνεται) τοὺς Ο, τρυχομένους ἐν ἐσχάτῃ τῶν συνωνύμων πενίᾳ. Ἐπειδὴ δὲ ταύτην οὐχ εὗρον, ἀναστάντες, «ὡς ἐκ βαρβάρου ἐπιτάγματος» (τὸ τοῦ λόγου), διέσπασαν ἀφορίζοντες τοὺς ἑρμηνεῖς ὡς ἄλλους καὶ ἄλλους, χρόνῳ τε καὶ τόπῳ καὶ παιδείᾳ διαφέροντας. Ἀλλὰ κάλλιον ἂν ἔπραττον, διορθοῦντες (εἴπερ ἠδύναντο) μᾶλλον αὐτὰς τὰς ἐν τῷ σημερινῷ ἑβραϊκῷ ποικίλας λεκτικὰς παραλλαγὰς, ὅσας οἱ ἐπισημότατοι τῶν ἑβραϊστῶν ἀπαντῶντες ἐν πολλοῖς ἑκατέρων τῶν ψαλμῶν τοῖς χωρίοις, εἰς μάτην διαπληκτίζονται.

---

(α) Βλ. Schulz. in ll. Samuel 22 et in Psalm. 18. *πρβλ. καὶ* Doederlein in Schol. ad Psalm. 18. — Michaelis in not. ib. *καὶ* Orient. Biblioth. P. 13. p. 237. sqq. (*πρβλ. καὶ τὰ ἐφεξῆς* §. *μα, ἄρθρ. ς*.). Ὁ *δὲ* Rosenmüller (*Σχόλ. εἰς Ψαλμ.*) *ἐσημείωσεν ἀκριβῶς τὰς ἐν τῷ ἑβραϊκῷ κειμένῳ διαφορὰς τοῦ τε ἐν τῷ Ψαλτηρίῳ, καὶ τοῦ ἐν* Β, Βασιλ. (*κβ*) *προκειμένου ψαλμοῦ· πόσας καὶ ὁποίας; Ἑκατὸν παραλλαγὰς* (variantes) *ἐσημείωσεν, ἐν αἷς καὶ λέξεων τινων, καὶ στίχου ἑνὸς* (*τοῦ* 2) *καὶ ἡμιστιχίου* (*τοῦ* 14) *ἐλλείψεις, καὶ ἄλλων πάλιν προσθήκας καὶ μεταθέσεις.*

§. λθ. Ὅσον δὲ περὶ τοῦ « ἐγώ εἰμι », πρὸς ὁριστικὸν ῥῆμα συμφερομένου, δι᾿ οὗ διακρίνουσι τοὺς ἑρμηνεῖς τῆς Ῥοὺθ καὶ τῶν Κριτῶν καὶ Βασιλειῶν, ὡς δῆθεν ἑτέρους τῶν τῆς Πεντατεύχου καὶ τῶν προφητικῶν (§. ιϛ. σημ.), ἀπαντῶμεν τὰ ἐφεξῆς. Α) Τὸ ὑπαρκτικὸν *εἰμὶ* μετὰ μετοχῆς εὑρίσκεται πολλάκις ἐν τῇ Πεντατεύχῳ· οἷον « ἦν ποιμαίνων » (Ἐξόδ. γ, 1), καὶ ἀλλαχοῦ πολλαχοῦ, καθὼς καὶ ἐν τῇ Καινῇ Διαθήκῃ « ἦν προσδοκῶν » (Λουκ. α. 21), « ἦν διδάσκων » (Ματθ. ζ, 29) κτλ. Ἡ δὲ τοιαύτη φράσις, ἢ περίφρασις, ἐνομίσθη παρά τισιν ὡς ἑβραϊκὴ (α), καίτοι γνησία τῶν Ἑλλήνων οὖσα καὶ συνήθης παρὰ τοῖς ἐνδοξοτάτοις ἀττικοῖς συγγραφεῦσι καὶ ποιηταῖς (β). Ἐκ ταύτης οὖν τῆς χρήσεως τοῦ *εἰμὶ* πρὸς μετοχὴν ὀρθῶς ἐπαγομένου κινηθέντες ἴσως οἱ τοῖς Ο συγχρονίσαντες ἑλληνισταὶ Ἰουδαῖοι (καὶ μάλιστα κατὰ τὴν Παλαιστίνην), καί πως ἀποκλίνοντες καὶ πρὸς τὴν συνήθειαν τῆς ἰδίας αὐτῶν διαλέκτου, συνῆπτον ἐνίοτε τὸ ὑπαρκτικὸν καὶ πρὸς ἄλλους ἐγκλίσεων χρόνους, εἰ καὶ μὴ ἑλληνικῶς, παραβαίνοντες τὴν ἀττικὴν τῆς συντάξεως ἀκρίβειαν. Τοῦτο σπανίως συνεχώρησαν καὶ οἱ Ο. Ὅθεν ἀντὶ τοῦ « ἐγώ εἰμι ἐν γαστρὶ ἔχουσα » (γέγραπται δὲ καὶ οὕτω ἐν τῇ τοῦ Ἄλδου ἐκδόσει, Β. Βασιλ. ια. 5), καὶ, « ἐγώ εἰμι *αἴρων*, ἱστῶν », κτλ. εἶπον ῥηματικῶς « ἐγώ εἰμι *ἔχω*, *αἴρω*, *ἵστημι*, κτλ. καὶ πάλιν ἐπὶ παρῳχημένου, « ἐγώ εἰμι *ἤνοιξα*, *ἥμαρτον*, *ἐῤῥυσάμην*, ἀντὶ « *ὁ ἀνοίξας*, *ὁ ἁμαρτὼν*, *ὁ ῥυσάμενος* κτλ. (κατὰ τὰ « ἐγώ εἰμι ὁ χρίσας σε » Β. Βασιλ. ιβ. 7 κτλ.). Ὡσαύτως καὶ ἐπὶ μέλλοντος, « ἐγώ εἰμι *ἄσομαι*, *ψαλῶ*, *καθίσομαι*,

---

(α) Βλ. Vorst. philol. sacr. c. 33. p. 65. ed. Fisch.

(β) Οἷον· « ἀρέσκοντές ἐσμεν τοῖς πολλοῖς » (Θουκυδ. α, 38) « ἦ ν τ ι ς σ᾿ ὑ β ρ ί ζ ω ν (Εὐρ. Ἡρακλ. μαιν. 312) πρβλ. Ἀριστοφ. Πλούτ. 519 καὶ 1083, κτλ. (βλ. καὶ Schleusn. Lex. N. T. v. εἰμί). Πρόσθες καὶ τὸ σπανιώτερον « οὐ γὰρ ἦν καταβάς τοῦ χεῖρά μοι ἐπιδοῦναι » (Λουκιαν. Τόμ. β. σελ. 599 καὶ σημ. Reitz), ἀντὶ τοῦ ο ὐ κ α τ έ β η κτλ. « Οὐδὲν γὰρ διαφέρει τὸ ἄνθρωπος ὑγιαίνων ἐστὶν, ἢ τὸ « ἄνθρωπος ὑγιαίνει »· ἢ τὸ ἄνθρωπος βαδίζων ἐστιν, ἢ τέμνων, τοῦ ἀνθρώπου (γρ. ἄ ν θ ρ ω π ο ν) βαδίζειν, ἢ τέμνειν (Ἀριστοτ. Μεταφυσ. δ, 7)· ἀλλὰ τὰ περὶ τῶν τοιούτων καὶ τῶν ἐκ τοῦ παρῳχημένου δὲ συνθέτων χρόνων (πεπλευκὼς ἔσῃ, μεμελετηκὼς ἦν, κτλ.) ἐξακριβοῦσιν οἱ Γραμματικοί.

*στρατεύσομαι*, ἀντὶ « ἐγὼ ἔσομαι *στρατευσόμενος, καθίσων*, κτλ. Οὕτως εἶπε καὶ Θεοδοτίων « Ἐγώ εἰμι *λαλήσω* (Ἰὼβ, λγ, 31), ὅπου διορθοῦσι *λαλήσων*. Ταῦτα δὲ καὶ ἄλλως ἐπειράθησάν τινες θεραπεῦσαι, νομίσαντες ἔξωθεν ὑπακουόμενον τὸ ὑποτακτικὸν, ὅς, ἥ· οἷον, ἐγώ εἰμι (ὅς) αἴρω, ἥμαρτον, ἐῤῥυσάμην, ᾄσομαι, ψαλῶ, κτλ. (α). Ὁ δὲ μακάριος Φώτιος σχῆμα λόγου μᾶλλον κατὰ *παρολκὴν* (πλεονασμὸν) ἀποφαίνεται τοῦτο τὸ *ἐγώ εἰμι* τῆς Γραφῆς, παραβάλλων πρὸς τὸ « ἑκὼν εἶναι », καὶ πρὸς ἄλλου ῥήματος, τοῦ *ἔχω*, παρομοίαν παρολκήν (οἷον· *βαδίζεις ἔχων*, κτλ.) (β). Καὶ ὁ μὲν κριτικώτατος Πατριάρχης ἐσυνέτιζε τοὺς κατ᾽ αὐτὸν λεξιθήρας, οὐχὶ διότι κἀκεῖνοι διήρουν τοὺς τῆς Γραφῆς ἑρμηνεῖς ἐκ τῆς φράσεως τῆς *ἐγώ εἰμι*· ἄπαγε! (τὸ γὰρ τοιοῦτον, εἴτε θράσους, εἴτε σοφίας γέρας ἀπέκειτο μετὰ πολλοὺς αἰῶνας ἄλλοις τε καὶ τοῖς περὶ τὸν Βῶσον κριτικοῖς), ἀλλ᾽ ἁπλῶς ὡς νομίζοντας σόλοικον τὸ σχῆμα. « Ἡ γὰρ ἄγνοια (θράσους γὰρ ἀμαθία μήτηρ) εἰς τὸ (τοιαῦτα) πλημμελεῖν αὐτοὺς ἀνεπτέρου, καὶ ἀνηρέθιζεν » (Φώτ. αὐτόθ.).

---

(α) Ὁ Καπέλλιος (not. Crit. in Jnd. c. 5) τὸ « ᾄσομαι ἐγώ εἰμι τῷ Κυρίῳ » κτλ. κακῶς καὶ ἔστιξε καὶ ἡρμήνευσεν, οὕτως· « ᾄσομαι, ἐγώ εἰμι τῷ Κυρίῳ ». (ἀντὶ « τοῦ γὰρ Κυρίου εἰμὶ ἐγω » ) κτλ. Ἤλεγξε δικαίως τὸν Καπέλλιον ὁ Βὼς (proleg. c. 2), ἁπλοῦν πλεονασμὸν ἀμαρτύρως ἀποφηνάμενος τὸ εἰμὶ, καὶ μηδὲν πλέον πολυπραγμονήσας. Ἀντεῖπε δὲ πρὸς ἀμφοτέρους Βιέλιος (Biel. Lexic.), ὀρθότερον στίξας, καὶ μὴ πλεονασμὸν, ἀλλὰ μᾶλλον ἐλλειπτικὴν τοῦ ἄρθρου, τοῦ ὃς, τὴν φράσιν ὑπολαβὼν (ὃ καὶ ἡμεῖς ἐσημειώσαμεν ἀνωτέρω, καίτοι σφόδρα διστάζοντες). Οὗτος δὲ φέρει καὶ ἐξ Ἑλλήνων παράδειγμα· ποῖον; τὸ ἑξῆς τοῦ Ἡροδότου (β. 23) « τούτῳ τῷ λόγῳ εἰσὶ οἱ τῶν Ἑλλήνων ἐχρήσαντο »· ἀλλ᾽ οὔτε τὸ παράδειγμα πρόσφορον (ἐν τούτῳ γὰρ λείπει τὸ τινὲς, τουτ. εἰσί τινες τῶν Ἑλλήνων, οἳ κτλ.), καὶ πάντῃ μὴ ἑλληνικῶς ὁ σοφὸς Βιέλιος ἀνέλυσε τὴν φράσιν γράφων « Οἱ Ἑλλήνων εἰσί, οἳ τῷ λόγῳ ἐχρήσαντο » ! κτλ. (βλ. καὶ Schleusn. Thes. vol 1. p. 251, 253).

(β) « Ἡ τοῦ εἰμὶ παρολκὴ, τῆς ἐγὼ ἀντωνυμίας κατὰ σύνθεσιν προηγησαμένης, σύνηθες μέν ἐστι τῇ θείᾳ Γραφῇ, ἀλλ᾽ οὐδεμίαν διὰ τοῦτο σολοίκου γλώσσης αἰτίαν παρέχεται » (καὶ παραγαγὼν ἐξ Ἑλλήνων Ἀττικῶν παραδείγματα, ὑποσυνάπτει) « Σὺ δὲ τὸ εἶναι βλέπων παρέλκον [παρ᾽] αὐτοῖς (τοῖς Ἀττικισταῖς, τρανῶς πολλαχοῦ, καὶ οὐδὲν (γρ. οὐδὲ) νοῆσαι τολμήσας ποτε ὀνειδισμὸν σολοίκου φωνῆς ἢ ὑπόνοιαν αὐτοῖς τὸ τοιοῦτον ἐμποιεῖν, οὐκ ἐδυσωπήθης, — ὥσπερ ἐκ βαρβάρου ἐπιτάγματος, κατὰ μόνης τῆς θείας ἡμῶν καὶ ἱερωτάτης καταψηφίζεσθαι γραφῆς » κτλ. Φώτ. Ἐπιστολ. ση. σελ. 305. Londin. 1651.

Σὺ δὲ σημείωσαι ἀναγνῶστα, ὅτι οἱ Ο, οὐ μόνον ἐν τοῖς μνημονευθεῖσι τεύχεσι τῆς Γραφῆς μετεχειρίσθησαν τὴν ὑπὸ τῶν κριτικῶν σημειωθεῖσαν ἀκατάλληλον πρὸς τοὺς χρόνους τῆς ὁριστικῆς σύναψιν τοῦ *εἰμί*, ἀλλὰ καὶ ἀλλαχοῦ, καὶ ἐν αὐτῇ τῇ Πεντατεύχῳ, συνῆψαν τὸ ὑπαρκτικὸν πρὸς ἀπαρέμφατον καθ' ὁμοίαν περίφρασιν, οἷον, καὶ, « ἔσονται *(ὥστε)* ἐργάζεσθαι τὰ ἔργα Κυρίου » (Ἀριθμ. η, 11. κώδ. Βατικ. κτλ. ἔν τισι δὲ κώδηξι λείπει τὸ *ὥστε*)· τοιοῦτο καὶ τὸ « τίνα σοι ἔσομαι μισθὸν *διδόναι* » (Τωβὶτ ε, 14), ἀντὶ ἔσομαι *διδοὺς*, ἢ *δώσων* (οὕτω καὶ, « ἔσονται *ἐργαζόμεναι* »), Ἀλλαχοῦ δὲ (Β. Βασ. ι, 11) εἶπον καὶ, « ἐσόμεθα *τοῦ σῶσαί σε* » (ἀντὶ *σώζοντες*, ὡς τὸ « ἔσεσθαί μοι εἰς σωτηρίαν » αὐτ. ἢ καὶ τὸ *ἐσόμεθα* ἀντὶ *παρεσόμεθα* [ἕνεκα] τοῦ σῶσαί σε). Ὥστε κατ' αὐτὴν πάλιν τὴν περὶ τοῦ *ἐγώ εἰμι* σοφὴν διάγνωσιν τῶν κριτικῶν, οἱ αὐτοὶ λοιπὸν ὑπῆρξαν ἑρμηνεῖς καὶ τῆς Πεντατεύχου, καὶ τῶν Βασιλειῶν, καὶ τῆς βίβλου δὲ τοῦ Τωβὶτ (ἣν οἱ νεωτερισταὶ καὶ ἐξ αὐτοῦ τοῦ *Ἐκκλησιαστικοῦ* κανόνος ὡς ἀπόκρυφον ἀποβάλλουσι).—Β) Οὐδεὶς κανὼν τῆς ὑγιοῦς κριτικῆς καταδικάζει ὡς ψευδεπίγραφον ὅλον βιβλίον, ἢ τμῆμα βιβλίου, διότι περιέχει λέξεις, ἢ φράσιν, ἢ σύνταξιν ἰδιάζουσαν καὶ ἀσυνήθη ἐν τοῖς ἄλλοις τοῖς ὁμολογουμένοις γνησίοις βιβλίοις τοῦ συγγραφέως. Αὐτὸ τὸ ἑβραϊκὸν κείμενον τῶν Μωσαϊκῶν βίβλων (καὶ πολλῶν ἄλλων προφητικῶν) περιέχει λέξεις ἐκ τῶν *ἅπαξ εἰρημένων*, καί τινας συντάξεις ἀλλοτρίας δοκούσας τοῦ χαρακτῆρος τῆς ἀρχαίας ἑβραϊκῆς. (Ὅθεν ἐξήφθη καὶ τοῦ χολερικοῦ Γραμβέργου τὸ φρύαγμα! βλέπε §. κη). Καὶ παρ' αὐτοῖς δὲ τοῖς ἐνδοξοτάτοις τῶν Ἑλλήνων ἔςιν ὅπου διαφαίνονται καί τινα τῶν σπανιωτάτων γλωσσηματικῶν ὀνομάτων, καὶ σχήματά τινα καινοπρεπῆ καὶ ἀνακόλουθα, ἢ ἀσύντακτα καὶ σολοικοφανῆ, καὶ εἴ τινες ἄλλοι τῶν τοιούτων ἰδιωτισμῶν, ὅσους ἐσημείωσαν οἱ γραμματικοὶ παρά τε τοῖς Ἀττικοῖς συγγραφεῦσιν (οἷον Πλάτωνι, καὶ Θουκιδίδῃ, κτλ.), καὶ εἰς τὴν Ὁμήρου ποίησιν (α). Εἰ δὲ καὶ τὰ τοιαῦτα ἐξήρκουν εἰς ἐναργῆ

(α) Οἷα τὰ παρ' Ὁμήρῳ σεσημειωμένα ἐκ τῶν ἅπαξ εἰρημένων, « Ὡμήρισε »

τῆς τῶν χωρίων νοθείας ἀπόδειξιν, ὀλίγαι τῶν Ὁμήρου ῥαψῳδιῶν, ἢ τῶν Θουκυδίδου συγγραφῶν, ἀπέμενον ἂν παρ᾽ ἡμῖν ἀκέραιαι καὶ γνήσιαι. Καίτοιγε καὶ περὶ τοῦτο λίαν φιλοτίμως ἠγωνίσαντό τινες τῶν νεωτέρων κριτικῶν (οἷς ὅμως οὐ συνῄνεσεν ὁ πολυμαθέστατος καὶ πλήρης ἑλληνικῆς Μούσης Σπίτνερος), οἵτινες ἐξωβέλισαν παραδόξως, ὡς νόθα, πολλὰ τῶν Ὁμηρικῶν ἐπῶν, ἐν ὅσοις οὐχ εὕρηκαν τὸ δίγαμμα χωροῦν πρὸς θεραπείαν τῆς χασμῳδίας (α)· (ὡς ἂν εἴπερ ἦν ἀδύνατον, ἵνα καὶ τῆς τοῦ διγάμματος δασύτητος ἔν τισιν ἀμελήσῃ ὁ ποιητὴς, ὅστις « καὶ τὸν πρῶτον στίχον ἄμετρον ἐξέφερεν, ὑπὸ μεγαλοφροσύνης », κατὰ τὸν Πλούταρχον). Τοιοῦτό τι ποιοῦσι καὶ οἱ περὶ τὸν Βῶσον διακρίνοντες τοὺς ἑρμηνεῖς, ὡς ἑτέρους τῶν Ο, διὰ μόνην τὴν σπανίαν χρῆσιν τοῦ « *ἐγώ εἰμι* », ἢ καὶ δι᾽ ἄλλην τυχὸν ἰδιότροπον χωρίου τινος φρασεολογίαν. Ἀλλ᾽ ἐν τοῖς τοιούτοις (οἶμαι) πολὺ μᾶλλον ἀνεκτότερον, ἢ καὶ ἀσφαλέστερον ποιοῦσιν, ὅσοι μόνον ἐκεῖνο τῆς συγγραφῆς τὸ χωρίον ὑπονοοῦσι διεφθαρμένον ὑπ᾽ ἀβλεψίας ἀντιγραφέων, ἢ κατὰ τὸ κείμενον, ἢ διότι παρεισέδυ καί τι ξένον ἐκ τῆς ᾤας τοῦ βιβλίου, ὅπου πρότερον σεσημείωτο. Τὸ δ᾽ ἀποκόπτειν ἀφειδῶς ὅλον τι βιβλίον διὰ μίαν τινα φαινομένην ἐπίνοσον φράσιν, ὅμοιον ἂν εἴη, ὡς καὶ ἄν τις κακὸς ἰατρὸς ἀποκόπτῃ ὅλην τὴν χεῖρα διὰ μόνην παρωνυχίδα. — Γ) Τέσσαρα τῶν ἐπισημοτάτων ἀρχαίων ἀντιγράφων τῆς παλαιᾶς Γραφῆς, τὸ Ἀλεξανδρινὸν, καὶ τὸ τῆς Κομπλουτησίας ἐκδόσεως, καὶ τὸ τοῦ Ἄλδου, καὶ τὸ Ὀξονιακὸν, ἐκ τῶν τεσσάρων σεσημειωμένων χωρίων τῆς βίβλου τῶν Κριτῶν (κεφ. ε, 3. ς, 18· ια, 27, καὶ 35)

---

(Ὀδ. π, 468), ἀ β ά κ η σ α ν (Ὀδ. δ, 249), ἀ β ί ω ν (Ἰλ. ν. 6), μ ι σ γ ά γ κ ε ι α (Ἰλ. δ, 453) κτλ. καὶ τὸ ἀ γ ρ ο ν ό μ ο ς ἅπαξ εἴρηται ἐν Ὀδυσσείᾳ (ζ, 106. βλ. Ἀπολλωνίου Λεξικ.). Πρόσθες καὶ τὰς ἀντιπτώσεις, καὶ τοὺς ἀνωμάλους σχηματισμοὺς, οἷον τὸ κ ή δ ε ά π ε ρ π ε π α θ υ ί ῃ (Ὀδ. ρ. 555), ἀντὶ τῆς αἰτιατ. π ε π α θ υ ῖ α ν (αὐτὴν), καὶ τοῦτο πάλιν ἀντὶ τοῦ π ε π ο ν θ ε ῖ α ν (πάθω), « Ἀνώμαλον ὄν, καὶ εἰς χρῆσιν ἀσύνηθες, διὸ οὐδὲ περιλαληθήσεται » (Εὐστάθ. αὐτόθ.). Τοῦ δὲ Θουκυδίδου ὁ π α ρ ά λ ο γ ο ς (οὐσιαστικὸν ἀντὶ τὸ π α ρ ά λ ο γ ο ν), καὶ εἴτι ἄλλο τοιοῦτο μοναδικὸν, παραλείπομεν.

(α) Spitzner de versu Graecor. heroico. pag. 111. Lipsiae, 1826.

ἔχουσι τὰ τρία χωρὶς τοῦ παρέλκοντος *ἐγώ εἰμι*· οἷον ἀντὶ τοῦ, «ᾄσομαι *ἐγώ εἰμι* τῷ κυρίῳ, *ἐγώ εἰμι* ψαλῶ τῷ Θεῷ» κτλ. (Κριτ. ε, 3. κώδ. Βατικ.), τὸ Ἀλεξανδρινὸν καὶ τ' ἄλλα ἔχουσιν «Ἐγὼ τῷ κυρίῳ ᾄσομαι, ψαλῶ τῷ Θεῷ» κτλ. Ὡσαύτως καὶ, «ἐγὼ οὐχ ἥμαρτον» (ἀντὶ «ἐγώ *εἰμι*, οὐχ ἥμαρτον» Κριτ. ια. § 27. οὕτω καὶ §. 35)· καὶ αὐτὸ δὲ τὸ τέταρτον, τὸ ὑπόλοιπον (Κριτ. ϛ, 18) ἐν τῷ Ὀξον. καὶ Κομπλουτ. γέγραπται χωρὶς τῆς τοιαύτης χρήσεως τοῦ εἰμι, οἷον· «ἐγώ εἰμι ὁ *ῥυσάμενος*» (ἀντὶ τοῦ *ἐῤῥυσάμην*. Β. Βασιλ. ιβ, 7) «τρία ἐγὼ αἴρω (ἀντὶ «ἐγώ εἰμι, αἴρω») κτλ. Τὸ δὲ μοναδικὸν τῆς Ῥοὺθ δικαιολογεῖται καὶ ἐκ τοῦ νοήματος· ἰδοὺ τὸ ῥητόν· «Καὶ εἶπε Βοὸζ τῷ *ἀγχιστεῖ*· εἰ *ἀγχιστεύεις*, ἀγχίστευε, — ὅτι οὐκ ἔστι πάρεξ σοῦ τοῦ ἀγχιστεῦσαι, κἀγὼ εἰμὶ μετὰ σέ· ὁ δὲ εἶπεν· *ἐγώ εἰμι*· ἀγχιστεύσω» (Ῥοὺθ, δ, 3-5), τουτέστιν «*ἐγώ εἰμι* (ὡς εἶπας, καὶ οὐκ ἔστιν ἄλλος πάρεξ ἐμοῦ). Ὥστε οὐδ' ἐκ τῆς συμφωνίας γοῦν ὅλων τῶν ἀρχαίων κωδήκων βεβαιοῦται ὁ σημειωθεὶς τοῦ *ἐγώ εἰμι* ἰδιωτισμὸς, ὡς ἀναντίῤῥητος φράσις τῶν Ο. Καὶ θαυμάζειν ἔπεισι μάλιστα τὸν εὐκλεῆ Βῶσον, ὅσις, ἐν ᾗ ἐξέδωκεν ἐκδόσει τοῦ Βατικανοῦ κώδηκος, σημειώσας ἀκριβῶς τῶν διαφόρων τούτων ἀναγνώσεων τὰς παραλλαγὰς, ἔπειτα (δουλεύων καὶ αὐτὸς τῇ τότε μάλιστα κατὰ τῶν Ο, σφαδαζούσῃ κενοσπουδίᾳ), παρήγαγε τὴν φράσιν, ὡς ἀρίδηλον δεῖγμα τῶν κατά τε πρόσωπα καὶ χρόνους διαφόρων τῆς Γραφῆς ἑρμηνευτῶν! Ἀλλ' ὁ περικλεὴς Σκλευσήνερος τολμηρότερον μὲν, ἴσως, οὐχὶ δὲ καὶ παντάπασιν ἀλόγως, ἔκρινε τὴν τοιαύτην τοῦ *εἰμι* παρολκὴν, ἢ ἐξαλειπτέαν ὅλως (ὡς ἐν Κριτ. ια, 37 «κλαύσομαι — ἐγώ εἰμι καὶ αἱ συνεταιρίδες μου» γρ. «κλαύσομαι ἐγὼ καὶ αἱ συνεταιρ.», κατὰ τὴν Ἄλδου καὶ Κομπλουτ. ἔκδοσιν), ἢ τὸ ῥῆμα γοῦν τρεπτέον εἰς μετοχὴν (ὡς ἐν Κριτ. ια, 35· ἐγώ εἰμι «*ἤνοιξα*»· γρ. ὁ *ἀνοίξας*). Καὶ ἴσως μὲν ἀποδεκτέον τὰ τοιαῦτα, ὅπου μάλιστα καὶ τὸ Ἀλεξανδρινὸν ἀπόγραφον συμφωνεῖ. Ἐπειδὴ δὲ καὶ τοῦτο ἐνιαχοῦ περιέχει τὴν τοῦ *εἰμι* παρολκὴν, καὶ τὸ Βατικανὸν δὲ, τὸ μάλιστα ταύτην συνέχον, οὐχ ἧττον

ἀρχαῖον, μνημονεύουσι δὲ ταύτης καὶ οἱ περὶ τὸν ἀοίδιμον Φώτιον, φαίνεται λοιπὸν, ὅτι καὶ οἱ Ο, (εἰ καὶ μὴ ἐν πᾶσι τοῖς σεσημειωμένοις χωρίοις) ἔγραψαν ἔςιν ὅπου τὴν φράσιν τὴν, *ἐγώ εἰμι*, σπανιώτατα χρησάμενοι σχήματι λόγου, συνήθει τότε καὶ παρ᾽ ἄλλοις ἑλληνιςαῖς (καίτοι μὴ κατ᾽ ἀκρίβειαν ἑλληνικὴν), καὶ οἱ κριτικοὶ πεπλάνηνται ματαίως ἐκλαβόντες τὸ σχῆμα ὡς γνώρισμα τῆς διαφορᾶς τῶν ἑρμηνευτῶν.

§. μ. Καὶ λέξεις δέ τινας ποιητικωτέρας προβάλλουσιν οἱ περὶ τὸν Βῶσον (ὄπισθ. σελ. 604), οἷον τὸ *ὀλέκω* (Ἰὼβ ι, 16: λβ 18), καὶ τὸ «νηὸς *ποντοπορούσης*» (Παροιμ. λ. 19), ὡς τεκμήριον τῆς ἑτερότητος τῶν ἑρμηνέων ἀμφοτέρων τούτων τῶν τευχῶν. Ἀλλὰ τί παράδοξον, εἴπερ εἰς ὕψους πλήρη ποιητικοῦ, τὴν Ἰώβειον συγγραφὴν, μετεχειρίσθησαν καὶ τὸ ποιητικώτερον ὀλέκω, ἀντὶ τοῦ ὀλλύω; ἢ μήπως οἱ τοσάκις γράψαντες τὸν παρακείμενον ὀλώλεκα (ἀπολώλεκα, ἐκ τοῦ ὤλεκα), ἀπώκνουν εἰπεῖν καὶ τὸ ἐξ αὐτοῦ σχηματιζόμενον *ὀλέκω*; (ὡς εἶπον καὶ *ὀλλύντα*, Ἰὼβ λδ, 17, ἐκ τοῦ ὄλλυμι)· καὶ πάλιν οἱ γράψαντες *πόντον* (Ἐξόδ. ιε, 5), καὶ «*πορευομένας ναῦς*» (γ. Βασιλ. κβ, 48), οὐκ ἠδύναντο γράψαι καὶ *νηὸς ποντοπορούσης;* (ὅπου τὸ νῦν ἑβρ. ἔχει, *ἐν καρδίᾳ θαλάσσης*). Ἀλλ᾽ ἴσως οἱ περὶ τὸν Βῶσον ἐπελάθοντο, ὅτι τῶν μεγάλων Ὁμήρου δείπνων ἐγεύοντο οὐ μόνον Ἕλληνες, ἀλλὰ καὶ παντοδαποὶ ἑλληνισταὶ (εἶπε δὲ καὶ Ὅμηρος *ὀλέκω, καὶ ποντοπορῶ*). Τίς οὖν φθόνος καὶ τοῖς Παλαιστινοῖς γέρουσιν, εἰ καὶ αὐτοὶ σπανίως ὡμήριζον; Τελευταῖον, εἴπερ διὰ ταῦτα διέκριναν τοὺς ἑρμηνεῖς τῶν Παροιμιῶν καὶ τοῦ Ἰὼβ οἱ δριμύτατοι κριτικοὶ, διὰ τί πάλιν, κατὰ τὴν αὐτὴν στάθμην, οὐκ ἀπέδωκαν εἰς τοὺς αὐτοὺς καὶ τὴν ἑρμηνείαν τῆς Πεντατεύχου; Κἀκεῖ γὰρ εὑρίσκομεν ποιητικωτέρας τινας λέξεις, οἷον· *πόντον* (ἀντὶ θάλασσαν), καὶ *νάπας* (Ἀριθμ. κα, 20: κδ, 6.— πρβλ. Σπαγχέμ. εἰς Καλλίμ. σελ. 139), καὶ *γίγαντας* (Γεν. ι, 9), καὶ *μυελὸν γῆς* (Γεν. με, 18. ὅπου τὸ ἑβραϊκὸν ἔχει cheleb, *πάχος* [τὰ κάλλιστα δηλαδὴ τῆς γῆς προϊόντα καὶ τρόφιμα], κατὰ τὸ «*ἄλφιτα μυελὸν ἀνδρῶν*».

(Ὀδυσ. β. 290. πρβλ. Ἰλιάδ. χ. 501) κτλ. Διὰ τί μὴ παρομοίως ἀπέδωκε καὶ τὴν ἑρμηνείαν τῶν ἄλλων τῶν προφητικῶν τευχῶν; Βλέπομεν δὲ καὶ ἐν τούτοις οὐ μόνον *Ὠρίωνα* καὶ *Πλειάδας* καὶ *Ἕσπερον*, ἀλλὰ καὶ Σειρῆνας (ιγ, 21), καὶ *Τιτᾶνας*, καὶ *Τιτάνων υἱοὺς* (Ἰουδεὶθ ις, 7: καὶ Β. Βασιλ. κγ, 13, ἐκδ. Κομπλουτ.), καὶ *μῆνιν* (Ἡσ. ιγ, 9), καὶ *μαιμάσσειν* (Ἰώϐ, λη, 8. καὶ Ἱερεμ. δ, 19: πρϐ. Γρηγ. Ναζιανζ. λόγ. ιζ), καὶ *ἀροτῆρα* (Ἡσ. ξα, 5), καὶ « χοιρογρυλλίων *ἔθνος* » (Παροιμ. λ. 26), ὡς καὶ τὰ τῶν Ὁμηρικῶν « μελισσῶν, μυιῶν, κύκνων, χηνῶν, γεράνων *ἔθνεα πολλά* » (Ἰλ. β. κτλ.). Τελευταῖον (εἰ δεῖ τι καὶ περὶ τούτου εἰπεῖν), καὶ αὐτὴ ἡ ἰδιότροπος καὶ ἑϐραϊκωτέρα πρὸς αἰτιατικὴν σύνταξις τῆς σὺν, ἣν οἱ Ο, σπανιώτατα παρεδέχθησαν, καὶ μόνον ἐν τῷ Ἐκκλησιαστῇ (β, 17: γ, 17: δ, 3: η, 8, 15, 17) (α), φαίνεται καὶ αὕτη συνήθης τῇ τότε διαλέκτῳ τῶν ἑλληνιστῶν. Καὶ μαρτυρεῖ Ἀκύλας, ὁ καὶ μετέπειτα κατακόρως τῇ συντάξει ταύτῃ χρησάμενος (πρὸς ἔκφρασιν τοῦ συνήθως τὴν αἰτιατικὴν σημαίνοντος ἑϐραϊκοῦ μορίου Eth) (β). Ἔστι δ᾽ ὅπου καὶ Σύμμαχος. Καί τινες μὲν εἶπον, ὅτι ἐκ τοῦ Ἀκύλου συναρπαγέντες ἀντιγραφεῖς τινες μετέγραψαν τὸ τοιοῦτο *σὺν* ἐν τοῖς σεσημειωμένοις ὀλίγοις χωρίοις τοῦ τῶν Ο, Ἐκκλησιαστοῦ· καὶ εἶπον οὐκ ἀπίθανα. Ἔχει δὲ ὅμως ἡ τοιαύτη σύνταξις τῆς σὺν καί τινα παρομοίωσιν πρὸς τὴν ἐν, αἰτιατικῇ κἀκείνην συναπτομένην αἰολικῶς (οἷον « *ἐν χορὸν* », « *ἐν πάντα νομὸν* » κτλ. ἀντὶ τῆς *εἰς*· Πίνδ.). Ἐνίοτε δὲ φαίνεται παρομοία καὶ πρὸς αὐτῆς τῆς σὺν τὴν ἐπιῤῥηματικὴν καθ᾽ Ἕλληνας σημασίαν (ὅταν ἢ κατ᾽ ἔλλειψιν, ἢ διάστασιν τοῦ ῥήματος, ἢ τῆς πτώσεως, δηλοῖ τὸ ἅμα, ὁμοῦ· οἷον, « Οἴκαδε νισσόμεθα

(α) Εὑρίσκεται καὶ ἅπαξ ἐν Γ. Βασιλ. θ, 15, 25 (ἐν μόνῳ τῷ Ἀλεξανδρ.) « οἰκοδομῆσαι τὸν οἶκον — σὺν τὴν Μελὼ », καὶ « ἀπαρτίσαι — σὺν τὸν οἶκον » (συνάμα). Ἀλλ᾽ ἐκ τῶν ἄλλων ἐκδόσεων λείπει. Ἐν δὲ τῷ Ἐκκλησιαστῇ, (θ, 15) συνάπτεται ἅπαξ καὶ πρὸς γενικὴν συντακτικὴν τοῦ ῥήματος. « Καὶ ἄνθρωπος (= οὐδεὶς) οὐκ ἐμνήσθη σὺν τοῦ πένητος ἐκείνου ».

(β) « Ἔκτισεν ὁ Θεὸς σὺν τὸν οὐρανὸν καὶ σὺν τὴν γῆν » (Γενέσ. α, 1) κτλ. ϐλ. καὶ Grabij proleg. in LXX. tom. 1. c. 2.

κενεὰς σὺν χεῖρας ἔχοντες ». Ὀδυσ. κ. 42. « Κεῦθε. — σὺν δ' αὔτως ἐγώ ». Σοφοκλ. Ἀντιγ.). Τοιοῦτ' ἂν εἴη καὶ τὸ « Σὺν τὸν δίκαιον καὶ σὺν τὸν ἀσεβῆ κρινεῖ ὁ Θεός » (Ἐκκλ. γ, 17· τουτέστι συνάμα, ὁμοῦ). Σημείωσαι δὲ, ὅτι καὶ ἐκ τούτων τῶν ἐν τῷ Ἐκκλησιαστῇ παραδειγμάτων εὑρίσκονταί τινα ἐν τῇ τοῦ Ἄλδου ἐκδόσει χωρὶς τῆς σύν· οἷον, « Ἐμίσησαν τὴν ζωὴν » (Ἐκκλ. β. 17. ἄλλοι, *σὺν τὴν ζωήν*) κτλ. Τὸ δὲ « *σὺν πάντα* » (γ. 10), καὶ « *σὺν πᾶν* » (δ, 3) φανερῶς ἀναγνωστέον « *σύμπαντα* » καὶ « *σύμπαν* (α). Ἀλλὰ καὶ περὶ τούτων ἅλις.

§. μα. Συμπληροῦμεν τὸ κεφάλαιον ἀναλαμβάνοντες ἐν συνόψει τὰς ἀποδείξεις τῆς ἀτοπίας τῶν Ὀδιακῶν.

Α) Ἄλλους θέλουσι τοὺς ἑρμηνεῖς τῆς Πεντατεύχου (ὡς ἔκ τινων δηλονότι λέξεων καὶ σχηματισμῶν), ἄλλους δὲ τοὺς *τῶν Προφητικῶν*, καὶ ἄλλους, τέλος, τοὺς τῶν λεγομένων *Ἁγιογράφων* τευχῶν. Καὶ τούτων δὲ πάλιν ἑκάστων ἑκάστους ἑρμηνευτὰς κατὰ τεύχη διαιροῦσι, καὶ τούτους διακρίνουσιν, ὡς πάντῃ διαφέροντας ἀπ' ἀλλήλων κατά τε πρόσωπα καὶ χρόνον καὶ τόπον καὶ τὴν ἑρμηνευτικὴν δεξιότητα. Καὶ ὅμως ἐξ αὐτῶν τῶν πρὸς ἀπόδειξιν προβαλλομένων λέξεων αἱ μὲν εὑρίσκονται κοινῶς ἔν τε τῇ Πεντατεύχῳ καὶ τοῖς Προφητικοῖς, αἱ δ' ἐν τούτοις ἐπίσης κἀν τοῖς Ἁγιογράφοις, αἱ δὲ πάλιν ἐν αὐτοῖς κἀν τῇ Πεντατεύχῳ. Εἰσὶ δὲ καὶ οὐκ ὀλίγαι τῶν σεσημειωμένων φωνῶν, αἵτινες συναντῶσι *πᾶσαι* ἐν *πᾶσι* (πλὴν δύω, τυχὸν, ἢ τριῶν) τοῖς τεύχεσι τῆς Γραφῆς (β). Ὥστε κατ' αὐτὸ πάλιν τὸ κριτικώτατον ἀξίωμα τῶν ἀνδρῶν, οἱ αὐτοὶ λοιπὸν ἀποδείκνυνται μεταφρασταὶ τῆς τε Πεντατεύχου, καὶ τῶν Προφητικῶν, καὶ τῶν Ἁγιογράφων. Συνεῖδον

---

(α) Βλ. Schleusn. Thes. V. Test. λ. Σὺν, καὶ Σχολ. παρὰ Montfauc. Hexapl. εἰς Ἐκκλ. γ. 11. πρβλ. Ἡσύχ. λ. Σὺν, καὶ σημ. τῶν Κριτικῶν.

(β) Οἷον τὸ *Ἀσσοὺρ* εὑρίσκεται Ἀριθ. κδ, 24: Α, Παραλειπ. α: 17: Ἔσδρ. α, 17: Ψαλμ. πβ. 8: Ἱερεμ. β. 36: Ἰεζ. ις, 28: Ὠσ. ιδ, 4: Μιχ. ε, 5, κτλ. Καὶ πάλιν τὸ *Ἀσσύριος*, Ἀριθμ. κδ, 22: Γεν. κε. 18: Β. Βασ. ιε, 29: Ἡσ. ζ, 18: Ἱερ. β. 18: Ἰεζ. κγ, 5: Μιχ. ζ, 12: κτλ. Τοῦτ' αὐτὸ παρατηροῦμεν καὶ ἐν τοῖς, *Βασὰν*, *Ἐδώμ*, *Ἰδουμαῖοι*, καὶ ἐν ἄλλοις πολλοῖς τῶν παρ' Ὁδίῳ παραδειγμάτων·

οἱ ἄνδρες τὴν ἀτοπίαν καὶ στρεβλότητα τοῦ παρ' αὐτοῖς τεθέντος κανόνος τούτου· διὸ καὶ περιπέττοντες ἑτέρᾳ μοχθηρίᾳ τὴν μοχθηρίαν, προσέθηκαν καὶ ὅτι, οὐ μόνον κατ' εἴδη, καὶ καθ' ὁλόκληρα τεύχη, ἀλλὰ καὶ κατὰ κεφάλαια, καὶ κατ' αὐτὰ (παπαί!) τὰ ἐδάφια μεταβάλλονται πολλάκις οἱ ἑρμηνεῖς. Καὶ λοιπὸν, ἄλλος κατ' αὐτοὺς ἡρμήνευσε τὸ τεῦχος τῆς Γενέσεως, ὅπου τὸ *Ἀσσύριοι*, καὶ ἄλλος τὸ τῶν Ἀριθμῶν, ὅπου τὸ Ἀσσούρ· καὶ πάλιν ἐν αὐτοῖς τοῖς Ἀριθμοῖς, ἄλλος τὸ 24 ἐδάφιον τοῦ κδ κεφαλαίου, ὅπου τὸ *Ἀσσοὺρ*, καὶ ἕτερος τὸ 22 ἐδάφιον τοῦ αὐτοῦ κεφαλαίου, ὅπου τὸ *Ἀσσύριος*. Παρομοίως καὶ ἐν τοῖς Προφήταις ἄλλος ἔγραψεν *Ἀσσύριος* ἐν τῷ 18 ἐδαφίῳ τοῦ β, κεφαλαίου τοῦ Ἱερεμίου, καὶ ἄλλος ὕστερον (τίς οἶδε μετὰ πόσον χρόνον) ἑρμηνεύσας τὸ 36 ἐδάφ. τοῦ αὐτοῦ κεφαλαίου, ἔγραψεν *Ἀσσούρ*! τὸ δ' αὐτὸ συνέβη καὶ περὶ τοὺς ἄλλους Προφήτας καὶ εἰς τὸν Ἰεζεκιήλ. Ἐν τούτῳ δὲ πάλιν ὁ μέν τις τῶν ἑρμηνέων ἔγραψε τὸ ἑβραϊκὸν *Σὸρ* (κεφ. κϛ, κζ. κτλ.), ὁ δέ τις ἄλλος πάλιν τὸ ἑλληνικὸν *Τύρος* (κεφ. κη, κθ, κτλ.). Καὶ κατ' αὐτὴν τὴν Γένεσιν ἕτερος ἦν ὁ ἑρμηνεὺς τῶν 1, 3, 15, ἐδαφίων τοῦ λε, κεφαλαίου, ὅστις ἔγραψε *Βαιθὴλ*, καὶ ἄλλος ὁ τοῦ 13 ἐδαφ. τοῦ λα κεφαλαίου, γράψας τὴν ἑλληνικὴν τοῦ ὀνόματος σημασίαν « *Τόπος Θεοῦ* ». Διάφορος δέ τις αὖθις ἐν τῷ 6, ἐδαφίῳ τοῦ λε κεφαλαίου ἔγραψε *Λουζά*· καὶ πάμπαν ἑτεροῖός τις ἐν τῷ 19 ἐδαφίῳ τοῦ κη κεφ. (μὴ διακρίνας τοῦτο τὸ Λουζὰ καὶ τὸ Οὐλὰμ) ἔγραψε τυφλῶς τὸ *Οὐλαμλοὺζ* (βλ. σελ. 667). Παράδοξα θαύματα! Ὅσοι παράγραφοι, τοσοῦτοι σχεδὸν καὶ οἱ ἑρμηνεῖς. Καὶ φαίνεται ἄρα τὸ ἔργον τῆς ἑλληνικῆς τῶν θείων Γραφῶν ἑρμηνείας, ὅτι ἔκειτο ἐν μέσῳ, ὡς πάνδημόν τι παίγνιον, ἢ γύμνασμα τοῦ τυχόντος· οἷον ξύλου τινος αὔου καὶ ξηροῦ, ἢ στήλης λιθίνης σκοπὸς, ὅπου τῶν παρερχομένων ὁ βουλόμενος, καὶ ἄστοχος καὶ στοχαστικὸς, τοξεύει παίζων πολλάκις, ἢ καὶ τῆς ἑαυτοῦ δεξιότητος ἀποπειρώμενος, ἰδίᾳ, χωρὶς ἀνταγωνιστῶν! Καὶ τοιοῦτον λοιπὸν ἐκ παντοδαπῶν ἑρμηνέων ἀσήμων, ἀγνώστων, ἀνηκούστων, κατὰ

κῶλα καὶ κομμάτια συνεῤῥαμμένον κέντρωνα τῶν ἐξελληνισμένων Γραφῶν ἀπεδέξατο ὡς κυρίαν καὶ θεόσδοτον ἑρμηνείαν ἅπασα ἡ ἀρχαία Συναγωγή. Φεῦ! ποῖον τούτου ματαιότερον, ἢ ἀχαριστότερον ἠκούσθη φαντασίας παίγνιον; Ἐθήρευσαν μὲν εἰς ὕψος ἀνέμους καί τινες ἄλλοι βαθύσοφοι κριτικοὶ, ὅσοι τὴν Ὁμήρου ποίησιν ἀπεφήναντο σύῤῥαμα πολλῶν καὶ κατὰ καιροὺς διαφόρων ῥαψῳδῶν· ἀλλ᾽ οὐδεὶς αὐτῶν ἔπαθε τοσαύτην κόρυζαν, ὥστε καὶ κατὰ ςίχους, καὶ καθ᾽ ἕκαστον κόμμα μεταλλάξαι τοῦς ῥάπτας τῶν τῆς Ἰλιάδος καὶ τῆς Ὀδυσσείας ᾠδῶν, ὡς μετέϐαλε τοὺς ἑρμηνεῖς τῶν θείων Γραφῶν ἡ τῶν Ὀδιακῶν ἰταμωτάτη φιλοτιμία! Τὸν δὲ Ῥαϐϐῖνον Φράγκελον καταλείπομεν πλησίον τοῦ συγγενοῦς αὐτοῦ Σπινόζα, συγκαττύοντα τῶν Ο τὴν ἑρμηνείαν ἐκ τεμαχίων παντοδαπῶν, ὡς συνέῤῥαψε κἀκεῖνος τὴν ἑϐραϊκὴν τῆς Πεντατεύχου συγγραφὴν (βλ. ὄπισθ. σελ. 644).

Β) Οὐδὲ τὰ προφανῆ τῶν ἀντιγραφέων ἁμαρτήματα ὤκνησαν οἱ ἄνδρες παραγαγεῖν, ὡς ἐναργῆ γνωρίσματα τῆς διαφορᾶς τῶν κατὰ καιροὺς ἑρμηνευτῶν· οἷον, τὰ *Φασοὺρ*, ἀντὶ Φασσοὺρ (ἢ Φασχοὺρ, Pashur)· *Ἀδανία*, ἀντὶ Ἀδωνία, κτλ. καίτοι μηδ᾽ αὐτοὶ δυνάμενοι πολλάκις ἀκριϐῶς ἐν τοῖς τοιούτοις διορίσαι τὰ ὑπακουόμενα φωνήεντα τῆς μόνον ἐκ συμφώνων συγκειμένης ἑϐραϊκῆς λέξεως· ἀλλ᾽ ἀκολουθοῦντες, βλέποντες αὐτοὶ, κατόπιν ὁδηγῶν τυφλῶν, τῶν Μασσοριτῶν.

Παρέλιπον καὶ τὸ πλῆθος τῶν ἐν τῷ ἑϐραϊκῷ κειμένῳ περὶ τὰ κύρια μάλιστα ὀνόματα διαφορῶν, ἄλλοτε ἄλλως ἐκφερόμενα, ἐφ᾽ ᾧ μάλιστα ψέγουσι τοὺς Ο. Ὅταν τις παραϐάλῃ ὀλίγα κεφάλαια μόνον τῆς Α, τῶν Παραλειπομένων πρός τινα τοῦ Ἰησοῦ τοῦ Ναυῆ, λίαν ἀπορήσει διὰ τὴν τόλμην τῶν τοὺς Ο ψεγόντων Ἑϐραϊστῶν (α).

---

(α) Ἰδοὺ μικρά τινα παραδείγματα. Thaanach, καὶ Gath Rimmon. (Ἰησ. κα, 25), καὶ τὰ αὐτὰ χωρία, Aner, καὶ Bileam, ἢ Bilham (Α, Παραλ. ς. 70), τὸ δὲ Bilham γράφεται καὶ Iblaham (Ἰησ. ιζ, 11. βλ. καὶ Rossi Suppl. p. 138. Οὕτως ἴσως καὶ τὸ Θαϐὼρ ὠνομάσθη καὶ Ἰταϐύριον). πάλιν Aschtaroth

Γ) Ὡς ἐπὶ στηλῶν ἀδαμαντίνων ἀνεστήλωσεν ὁ Ὅδιος, ἀσφαλῆ καὶ ἀστυφέλικτον, τὴν τῶν ἀναγνώσεων διαφορὰν, μάρτυρας εἰσάγων τοὺς ἀρχαίους τῆς Ἐκκλησίας Πατέρας, καὶ πρὸ πάντων τὸν Ἱερώνυμον. Μάταιος κόπος! εἰ δ' ἔξεστιν εἰπεῖν, καὶ μειρακιώδης! Τὶς ἀρνεῖται τὰς παρὰ τοῖς θείοις Πατράσι σωζομένας τῆς Γραφῆς ἀναγνώσεις, ὅσαι καὶ εἰς αὐτὸ τὸ κείμενον τῶν Ο, αἱ αὐταὶ διασώζονται καὶ μέχρι σήμερον; Ὁ δὲ κλεινὸς Ὅδιος μὴ συνιδὼν τὰς αἰτίας, δι' ἃς οἱ Ο τὴν λέξιν τὴν αὐτὴν διαφόρως πολλάκις ἀπέδωκαν, καὶ νομίσας εὑρήματι τούτῳ καλλίστῳ καὶ θησαυρῷ περιτυχεῖν (ἐξ οὗ τὴν διαφορὰν ἀποδείξει τῶν ἑρμηνέων), ἐπήνεγκε καὶ μάρτυρας αὐτοὺς τοὺς Πατέρας, οὕτως ἀναγνόντας τὰς ῥήσεις, ὡς ἔχουσι καὶ καθ' ἡμᾶς! Ἀλλὰ τοῦτο μὲν πάντῃ περιττὸν ἐπόνησεν. Ἐκεῖνο δὲ μᾶλλον ὤφειλε σημειώσασθαι ἡ

---

(α, Παραλ. 6, 56), καὶ ἡ αὐτὴ Beeschthera (Ἰησ. κα. 27).— Hammon (α, Παραλ ς. 61), καὶ Hammoth Dor ('Ιησ. ιθ, 35, 21, 32)—Kiriathaim (α, Παραλ. ς. 61) καὶ Karthan ('Ιησ. κα, 32), καὶ ἄλλων ἄλλαι διαφοραὶ καὶ κατ' αὐτὴν τὴν Πεντάτευχον ἀπαντώμεναι· οἷον, 'Ιὼϐ (Γεν. μς, 13) καὶ ὁ αὐτὸς 'Ιασοὺϐ (Ἀριθμ. κς, 24: Α. Παραλ. ζ, 1) — Ἀχὶ (Γεν. μς, 21), καὶ Ἀχιρὰμ ('Αριθμ. κς, 38), καὶ 'Αχερὰ (α, Παραλ. η, 1)—Σωὰρ (Γεν. μς, 10), καὶ Ζαρὰ ('Αριθμ. κς, 13)— 'Εσϐὼν (Γεν. μς, 16), καὶ 'Αζενὶ ('Αριθ. κς, 16)— Οὐσὶμ (Γεν. μς, 23) καὶ (μεταθέσει τῶν γραμμάτων) Σουὰμ ('Αριθμ. κς 42) — Νεμουήλ. ('Αριθμ. κς, 12) καὶ ὁ αὐτὸς, 'Ιεμουὴλ (Γεν. μς. 10. Ἐξόδ. ς. 15). Ἄλλα πάμπολλα παραλείπομεν. (βλ. L. Capell. Crit. Sacr. L. I, c. 5). Τὰς δὲ τοιαύτας διαφορὰς οἱ κριτικοὶ σπουδάζουσι παντοίως θεραπεύειν, ἃ μὲν λέγοντες ἀποκοπὰς, ἃ δὲ διωνυμίας, οἱ δὲ, καὶ ὅτι τὰ κύρια τῶν ἀνθρώπων ὀνόματα καθ' ὅλας σχεδὸν τὰς γλώσσας ἄλλως παρ' ἄλλοις ἐκφωνοῦνται καὶ γράφονται (Rosenmül. ad Numer. 26, 12 — πρϐλ. de Muis, Var. Sacr.). Οἱ δὲ, τελος, ὅτι τὰς τοιαύτας διαφορὰς οὐκ ἀποδοτέον τῇ πολυωνυμίᾳ, ἀλλὰ μήκει χρόνου, ἢ καὶ μεταγραφεῦσι, παρεκτραπεῖσιν εἰς ὁμοίων γραμμάτων ἀνθυπαλλαγὴν (Cleric. ad I. Paral. p. 13. πρϐ. Rossi Supl. p. 136)· Ἐρωτῶμεν ἤδη τοὺς ἕνεκα τῶν τοιούτων παραλλαγῶν δεινοὺς τῶν Ο, κατηγόρους. Ποῖαί τινες τῶν ἐν τῷ ἑϐραϊκῷ παραδεδεγμένῳ κειμένῳ (ἀποσιωπῶμεν τοὺς διαφόρους κώδηκας) προφανεστάτων διαφορῶν ὑπάρχουσιν αἱ γνήσιαι; καὶ πότε, καὶ κατὰ ποίους τόπους γεγόνασιν αἱ περὶ τὴν ἐκφώνησιν καὶ γραφὴν τῶν ὀνομάτων μεταϐολαί; καὶ πόθεν δῆλον, ὅτι ἡ νῦν τοῦ Ἑϐραϊκοῦ κειμένου γραφὴ ὑπάρχει γνησιωτέρα παρὰ τὴν τῶν κωδήκων ἐκείνων, ὅθεν μεθηρμήνευσαν οἱ Ο; Τί λέγει πρὸς ταῦτα ἡ Μελχίτα τοῦ Φραγκίλου Πυθία;

Μοῦσα τοῦ κριτικοῦ. Ὅτι ῥήσεις τινὲς τῆς ἑλληνίδος θείας Γραφῆς εὑρίσκονται παρά τισι τῶν ἀρχαίων Πατέρων, καὶ μάλιστα παρὰ τῷ Ἱερωνύμῳ, αἵτινες διαφέρουσι τοῦ κειμένου τῶν Ο, κατά τινας λέξεις γεννηθείσας ἐκ παραναγνώσεως. Οὕτω φέρ' εἰπεῖν τὸ *θήραν* (ψαλμ. ρλα, 16), ἢ αὐτός τις παραναγνοὺς, ἢ παραγεγραμμένον ἀναγνοὺς, *χήραν*, ἐξελατίνισεν ἐν τῇ Βουλγάτᾳ viduam (α). Καὶ τὰ μὲν τοιαῦτα ἴσως ὀλίγα. Ἄλλαι δὲ ῥήσεις τῆς Γραφῆς μνημονεύονται παρὰ τοῖς Πατράσιν ἐνίοτε διαφόρως, ἢ ὡς ἔχουσι κατὰ λέξιν παρὰ τοῖς Ο, οὐ μόνον διὰ τὰς ἐν τοῖς ἀρχαίοις κώδηξι παραλλαγὰς (variantes), ἀλλ' ἐνίοτε καὶ διὰ σφάλμα μνημονικὸν αὐτῶν τῶν μνημονευόντων. Πολλάκις οἱ Πατέρες, ἀπὸ μνήμης ἑτοίμως τὸ Γραφικὸν ἐκφέροντες ῥητὸν, ἀντέταττον ἐνίοτε ἄλλην τινα συνώνυμον ἐπελθοῦσαν λέξιν, ἀντὶ τῆς ἐν τῷ κειμένῳ κυρίας καὶ γνησίας· ἀλλὰ περὶ τούτου ἴσως καὶ ἀλλαχοῦ (β). Κἀκεῖνο δὲ διέφυγε τοῦ πολυΐδμονος Ὀδίου τὴν προσοχήν· τοσάκις ἐμνημόνευσε τὰς Ἱερωνύμου φράσεις, ἐν αἷς ἐνίοτε φαίνεταί πως ἀπορῶν ὁ Πατὴρ, διὰ τί οἱ Ο μίαν καὶ τὴν αὐτὴν λέξιν ἄλλως ἄλλοτε μεθηρμήνευσαν· (εἰ δὲ καὶ δικαίως ἢ ἀδίκως ἠπόρησεν, ἄλλος περὶ τούτου λόγος)· ἀλλὰ μήπως ἐκ τῆς τοιαύτης περί τινας λέξεις διαφορᾶς ἐτόλμησεν ὁ Ἱερώνυμος ἀποφήνασθαι καὶ διαφόρους τοὺς ἑρμηνεῖς, θεωρῶν τὴν ὅλην τῶν θείων Γραφῶν ἑρμηνείαν ὕφασμα παμποίκιλον καλάμων παντοδαπῶν, κατ' ἐδάφια καὶ περιόδους πολλάκις παραλλαττόντων, ὡς οἱ περὶ τὸν Ὅδιον ἐματαίασαν;

Δ) Οὐδὲ τὴν φυσικὴν ἀνωμαλίαν τῆς τῶν ἑλληνιστῶν Ἑβραίων διαλέκτου (καθ' ἣν ἔγραψαν καὶ οἱ Ο,) συνεῖδον οἱ περὶ τὸν Ὅδιον· ἢ καὶ συνιδόντες οὐχ ὡμολόγησαν· ἀλλὰ περὶ ταύτης προείπομεν. Ὡσαύτως καὶ περὶ τῶν ἑβραϊκῶν φωνῶν, ὅσας ἑκουσίως οἱ Ο κατέλιπον ἀνερμηνεύτους, ἄλλας τε παντοίας, καὶ μάλιςα τὰς θειοτέρας,

(α) Βλ. Hieron. Quest. in Genes. — S. Hilar. in Psalm. κτλ.

(β) Βλ. Mich. Weber, Observ. de Patr. Graec. auctoritate et usu etc. Par. II. Witeberg. 1796.

ὡς ἄγαν ἐμφαντικὰς (καί τοι καὶ ταύτας πάλιν ἀλλαχοῦ ἐξελλήνιζον ἐν δέοντι, χάριν τῆς σαφηνείας). Ἄλλοτε δὲ καὶ εἰς αὐτὰς τὰς λέξεις τὰς Ἑλληνικὰς προσετίθουν χαριέντως ἐκ τῆς Ἑβραϊκῆς συνεκδοχικὰς καὶ μεταφορικάς τινας σημασίας, εἰς ἀκριβεστέραν ἔκφρασιν τοῦ νοήματος (α). Τὰ δὲ τοιαῦτα σοφίαν μάλιστα καὶ σύνεσιν ἐμφαίνουσι τῶν ὑπὸ τοῦ θείου πνεύματος ὁδηγουμένων ἐκείνων ἑρμηνευτῶν.

Ε) Παρεῖδον οἱ κριτικοὶ καὶ τὸν πλοῦτον τῶν ἰσοδυνάμων ὀνομάτων καὶ φράσεων τῆς Ἑλληνικῆς, δι᾽ ὧν οἱ Ο ποικίλως ἐθεράπευσαν τὴν στενότητα τῆς ἑβραΐδος διαλέκτου, πολλὰς σημασίας ἐν μιᾷ λέξει περικλειούσης, διὰ πολλὴν ὀνομάτων πενίαν, ἣν ὁμολογοῦσι καὶ αὐτοὶ οἱ δεινοὶ καὶ βαθεῖς ἑβραϊσταί (β). Ὁ δὲ Ζβίγγλιος ἄγαν αὐστηρῶς ἠξίωσε τὸν ἑρμηνέα τὴν αὐτὴν φωνὴν ἀείποτε καὶ πανταχοῦ διὰ τῆς αὐτῆς φωνῆς καὶ φράσεως ἐξελληνίζειν (§. ζ). Τοῦτο δ᾽ οὖν ὅμως τὸ Ζβίγγλειον ἀξίωμα οὐκ ἐν πᾶσιν

---

(α) Οἷον τὸ ἑβρ. Chebel, πληθυντ. Chebalim, κυρίως σχοινία, δεσμά· ἐκ δὲ τούτου καὶ ὠδῖνες, ὀδύναι, πόνοι (καὶ μεταφ. ἔσχατοι κίνδυνοι, συμφοραὶ κτλ.). Ὅθεν οἱ Ο, εἶπον καὶ «ὠδῖνας θανάτου (Β. Βασ. κβ, 6, ὅπου τὸ ἑβραΐκ. καὶ ἄλλοι, σχοινία· καὶ ὁ Ἱερών. funiculos mortis. πρβλ. ψαλμ. ριδ. 3: ιζ 4, καὶ Πράξ. β. 24), ἀντὶ τοῦ δεσμὰ θανάτου, πέδας, ἄρκεις (ὡς, «ἐντὸς ἀρκύων ξίφους». Εὐριπ ). Καθ᾽ ὁμοίαν δηλαδὴ συνεκδοχὴν, ἢ μετωνυμίαν, καθὼς καὶ τὸ γλήνη ἡ κόρη (τοῦ ὀφθαλμοῦ), ὅθεν καὶ ἡ κόρη (ἡ νεᾶνις)· καὶ τὸ Δημήτηρ, ἀντὶ τοῦ σῖτος, κτλ. Πάλιν τὸ Nezach σημαίνει κράτος, ἢ νίκην, καὶ (ἴσως ἀπὸ τοῦ κρατοῦντος ἄχρι τέλους, ἢ ἐπὶ μακρὸν καὶ διηνεκῶς), τὸ διὰ τέλους, ἢ τὸ διηνεκὲς καὶ διὰ παντός· ὡσαύτως καὶ αὐτοὶ ἡρμήνευσαν εἰπόντες «εἰς νῖκος» (Ἀμὼς, η, 7. Β. Βασ. β. 26, κτλ. τὸ αὐτὸ καὶ «εἰς τέλος» (Ψαλμ. θ. 19. ιϛ, 1. πρβλ. Λουκ. ιη, 5). Ὅθεν καὶ τὸ «κατεπόθη ὁ θάνατος εἰς νῖκος» (α. Κορ. ιε, 54) = εἰς τέλος, τελείως δηλαδὴ καὶ διὰ παντὸς, εἰς αἰῶνας, διηνεκῶς (Θεοφύλ. Σουΐδ. κτλ. πρβλ. Constant. L'Emper. not. ad. Instit. M. Kimchi pag. 99 — Drusij ad Acta Apost. 2. — Schleusn. Thes. v. ὠδίν. — Le Moyen Var. Sacr. vol. 2. pag 292—306). Οὗτος δὲ ὁ Λεμοῦνος προστίθησι καὶ ταῦτα ἐπὶ λέξεως. «Οἱ Ο, πολλάκις τὸ Nezach ἀπέδωκαν νῖκος, ὅπερ οὐκ ἐπὶ νίκης ἐκληπτέον κυρίως, ἀλλ᾽ ἐπὶ τοῦ διηνεκοῦς καὶ τῆς αἰωνιότητος, ἑτέρας τοῦ Nezach σημασίας, ἣν τῷ ὄντι τὸ πανάγιον Πνεῦμα διασημάναι ἠθέλησε (διὰ τῶν Ο, δηλαδή). «Revera spiritus sanctus voluit inuere» (Id. ibid.). Ταῦτα ὁ περὶ πολλὰ (καί τοι μὴ κατὰ πάντα) ἀξιάγαστος Λεμοῦνος ὀρθῶς ὡμολόγησε.

(β) Hottinger. Thes. Philol. pag. 353.

ἀληθεῦον ἐξελέγχουσιν ἄλλοι τε τῶν ἀρχαίων, καὶ Πλούταρχος, ὅςτις ἄλλοτε ἄλλως ἐξελλήνισεν, εἶς καὶ ὁ αὐτὸς, τὰς αὐτὰς ῥωμαϊκὰς λέξεις· οἷον τὸ *Αὔγουρος* (augur) ἡρμήνευσε « *τῆς ἀπ᾽ ὀρνίθων καὶ διοσημειῶν μαντικῆς ἐπίσκοπον καὶ φύλακα* » (α)· καὶ πάλιν, « *τοὺς ἐπ᾽ οἰωνοῖς ἱερεῖς, οὓς Αὔγουρας καλοῦσι* » (β). Τὸ ῥωμαϊκὸν Stator καὶ τοῦτ᾽ αὐτὸ, *Στάτορα*, *καὶ Στήσιον* εἶπε (γ), καὶ *Ἐπιστάσιον* (δ). Τὰ Saturnalia, *καὶ* « *Κρονικὴν ἑορτὴν* (ε), *καὶ Κρονιάδας* (ἐλλειπτ. ἡμέρας). Τοὺς Feciales μεταγράψας *Φιτιαλίους*, ἐξήγησε καὶ *εἰρηνοφύλακας* (ζ), καὶ *εἰρηνοποιοὺς* (η). Τὸ δὲ πάλιν Quadrans, καὶ *τεταρτημόριον* ἐξελλήνισε (θ), καὶ *κουαδράντην* μετέγραψε (τὸ αὐτὸ καὶ *κοδράντης* Μάρκ. ιβ, 12). Καὶ τὸ ovatio συγκόψας εἰς τὸ *ὀούαν*, ἢ *ὄβαν* (ι) ἡρμήνευσε καὶ *θρίαμβον* (κ). Ἄλλα παραλείπομεν, ἀπαντῶντα συχνάκις οὐ μόνον παρὰ Πλουτάρχῳ, ἀλλὰ καὶ παρ᾽ ἄλλοις ἀρχαίοις, ὅσοι τὰ Ῥωμαίων ἐξελλήνισαν, ὡς ὅ,τε Δίων ὁ Κάσσιος (παρ᾽ ᾧ καὶ *κρόνια*, καὶ αὐτὸ πάλιν τὸ *Σατουρνάλια*, ὡς καὶ γένιος τὸ genius, γέμινος τὸ geminus, κτλ.), καὶ ἄλλοι. Ὡσαύτως ἐποίησαν καὶ οἱ Ο. Οὕτω φέρ᾽ εἰπεῖν τὸ ἑβρ. Chaluz καὶ *εὔζωνον* εἶπον (Ἰησ. δ, 13), καὶ *ἐνωπλισμένον* (Ἀριθμ. λβ, 27, 30), καὶ *ὁπλίτην* (Ἀριθ. λβ,21) κτλ. (λ). Οὕτω καὶ τὸ hecherim ἀνατίθημι τῷ Θεῷ διὰ παντὸς, (Λευϊτ. κζ, 28), καὶ ἐπὶ πολέμων, κυρίως ἀναθεματίζω, παραδίδομαι εἰς ὄλεθρον· (βλ. Γεσεν. Λεξικ. ἑβρ. σελ. 370) ἡρμήνευσαν ἐν τῷ αὐτῷ τεύχει Ἰησοῦ τοῦ Ναυῆ, *ἀναθεματίζω* (ς, 21), καὶ πάλιν ἐν τῷ αὐτῷ τοῦ τεύχους κεφαλαίῳ, *ἐξολοθρεύω*, καὶ μετ᾽ ὀλίγον

---

(α) Βίῳ Παύλ. Αἰμιλ. §. γ. — (β) Ἀντων. §. ε. — (γ) Κικέρ. §. ις. — (δ) Ῥωμύλ. §. ιη. — (ε) Πομπ. §. λδ. Κικέρ. §. ιη — (ζ) Νουμ. §. ιϛ. — (η) Κεφ. Ῥωμ. καταγρ. §. ξβ. — (θ) Ποπλικ. §. κγ. — (ι) Κράσ. §. ια. — (κ) Μάρκελ. §. κβ. — (λ) « Εὔζωνοι, εὔοπλοι, ἔνοπλοι (Ἡσύχ. καὶ Σουΐδ.). « Οἱ εὐσταλεῖς, καὶ κοῦφοι, καὶ μὴ κατάφρακτοι ». Φαβωρῖν. πρβλ. Αἰλιαν. Π. Ἱστορ. Ι. 32. Schulz Sch. in Iosua l. c. — Schleusn. Thes. λ. εὔζωνοι. Ὁ δὲ ξηρὸς καὶ φίλερις Ἀκύλας ἡρμήνευσε (Δευτερ. γ, 18) ἐ ξ ῃ ρ η μ έ ν ο ι (ἀντὶ τοῦ ἐ ξ α ί ρ ε τ ο ι, ὡς τοῦτο κατὰ γράμμα δηλούσης τῆς ἑβραΐδος φωνῆς). Ὁ δὲ Gesenius (Lex. Hebr. p. 344) τὸ Chaluz ἡρμήνευσεν alacer, accinctus, expeditus ad pugnam.

*φονεύω* (Ἰησ. Ι. 1, 35). Τί πρὸς ταῦτα φήσουσιν Ὅδιοι; Πόσοι τάχα ἦσαν οἱ τοῦ κεφαλαίου ἑρμηνεῖς; καὶ πότεροι πρότερον, πότεροι δ' ὕστερον ἐπελθόντες; πότερα τῶν ῥημάτων παρήλλαξαν; Εἰ δὲ καὶ οἱ αὐτοὶ συγχρόνως ἡρμήνευσαν ὅλον καὶ τὸ κεφάλαιον καὶ τὸ τεῦχος (ὡς ὁ λόγος αἱρεῖ), διὰ τί λοιπὸν οὐκ ἦσαν οἱ αὐτοὶ οὗτοι, οἵτινες ἐξελλήνισαν καὶ τοὺς Ἀριθμοὺς (κα, 2), καὶ τὸ Δευτερονόμιον (ιγ, 15), καὶ τοὺς Κριτὰς (α, 17) ὅπου πάλιν ἔγραψαν *ἀναθεματίζω*; ὡσαύτως καὶ τὴν Ἔξοδον (κβ, 20), καὶ τὴν Β, τῶν Παραλειπομένων, ἐν οἷς ἐξήγησαν τὸ αὐτὸ ῥῆμα *ἐξολοθρεύω*; Ἐν δὲ πάλιν Ἠσαΐα (ια, 15) *ἐρημόω*, εἶπον, καὶ *ἀπόλλυμι* (Ἠσ. λδ, 2), καὶ ἐν Ἱερεμίᾳ δὲ (κε, 9) *ἐξερημόω*, ἐν δὲ τῷ Δευτερονομίῳ (ζ, 2. καὶ Ἱερεμ. κζ, 21) *ἀφανίζω*, κτλ. Τοιουτοτρόπως οἱ ἱεροὶ ἐκεῖνοι ἑρμηνεῖς ἀναλόγως καὶ προσφυῶς τοῖς ἀπολλυμένοις (προσώποις καὶ πράγμασιν) ἐπέφερον καὶ τὴν ἐξήγησιν τοῦ ῥήματος, ἐναργεστέρας αὐτοῦ τὰς ἐνεργείας καὶ δυνάμεις ἀποδιδόντες, καὶ συνάπτοντες μὲν τὸ τῆς ἑρμηνείας ἀκριβὲς καὶ πιστὸν μετὰ τοῦ σαφοῦς, θεραπεύοντες δὲ πολλάκις καὶ τὸ προσκορὲς τῆς περὶ τὰς πυκνὰς ἐπαναλήψεις μονοτόνου παρ' Ἑβραίοις ταυτολεξίας, διὰ τῆς παρ' Ἕλλησι φίλης ποικιλίας τῶν ἰσοδυνάμων φωνῶν (τὸ δὲ καὶ ἀπὸ συγγραφέων ἐνδόξων ἐπιφέρειν πάμπολλα τοιαῦτα παραδείγματα, νομίζομεν περιττόν). Καὶ ἀλλαχοῦ δὲ πολλαχοῦ τὰς δυσχερείας τῆς μεταφράσεως ὑπερβάντες, τῆς αὐτῆς ἐφρόντισαν ἀκριβείας καὶ σαφηνείας καὶ τῆς περὶ τὰς λέξεις ἡδείας ἅμα καὶ πρεπούσης μεταβολῆς, καὶ μάλιστα περὶ τὴν ὡρισμένην καὶ κυρίαν τούτων ἔκφρασιν (α). « *Κατὰ γὰρ Θεοῦ οἰκονομίαν*

---

(α) Οἷον τὸ ἑβρ. Alma (*κυρίως κρυπτή, ἡ ἀπόκρυφος* — abscondita. Hieron. *ἴσως ὡς κατάκλειστος ἡ παρθένος. β. Μακ. γ.* 19. *ὅθεν ἁπλῶς καὶ ἡ νέα κόρη, παρθένος*, puella), *καὶ παρθένον ἡρμήνευσαν οἱ* Ο (Γεν. *κδ*, 14), *καὶ νεάνιδα* (Ἐξόδ. *β*. 8. Ψαλμ. *ξζ*, 26). Καὶ *γὰρ « τὸ τῆς νεανιότητος ὄνομα* [*καὶ*] *ἐπὶ τῆς παρθενίας εἴωθεν ἡ γραφὴ τιθέναι* » (Ζωναρ. *λεξικ. πρβ. καὶ* Petr. Possin. Spicileg. Evangel. §. LXXIII. v. virgo). Ἀλλ' *ἐν* Ἡσαΐ. *ζ*. 14 (*ὅπου προφητεύεται καὶ προτυποῦται τὸ μέγα μυστήριον τῆς ἐκ τῆς ἀειπαρθένου σαρκώσεως τοῦ* Ἐμμανουήλ), *παρθένον ἡρμήνευσαν τὸ* Alma, *διατηροῦντες θεοφο*

*εἰς τρανότητα κατέστησαν τὴν ἀνάγνωσιν, — τὰς μὲν δοκούσας βομβήσεις τῆς ἑβραΐδος εἰς λειότητα μεταβάλλοντες, τὰ δὲ χωλὰ καὶ ἐλλειπῆ*» (ὁποῖα πολλὰ τῆς ἑβραΐδος ἰδιώματα) «*ἀχόλωτα ποιοῦντες καὶ εὐδιόρθωτα*» κτλ. (Ἐπιφάν. περὶ Μέτρ. §. β καὶ ϛ).

ϛ) Διαβάλλουσιν οἱ περὶ τὸν Ὅδιον *ἀμφήκει τῇ γλώσσῃ* καὶ τὰς ἐνίοτε συναντώσας ποικίλας τῶν αὐτῶν χωρίων ἐκφράσεις, οὐ μόνον κατὰ λέξεις, ἀλλὰ καὶ κατά τινας προσθήκας, ἢ ἀφαιρέσεις διαφερούσας, καὶ ταύτας ἐκλαμβάνουσιν ὡς δεῖγμα τῆς διαφορᾶς τῶν ἑρμηνευτῶν. Ἴδομεν ὅσα εἶπον ἀνωτέρω περὶ τοῦ ιζ ψαλμοῦ (§. λη)· κἀκεῖ μὲν ἀπηντήσαμεν τὰ εἰκότα. Ἤδη δὲ καὶ ἄλλο προστιθέμεθα παράδειγμα ἐκ τοῦ κειμένου τοῦ ἑβραϊκοῦ. Παραλείπομεν τὰς πολλαχοῦ περὶ τὴν ἔκφρασιν τοῦ αὐτοῦ πράγματος κατὰ μίαν λέξιν διαφοράς· οἷον « τὸ ὀρχούμενον καὶ *χορεύοντα* » (Β. Βασ. ϛ, 16, ὡς ἔχουσι καὶ οἱ Ο), καὶ τὸ αὐτὸ πάλιν « ὀρχούμενον καὶ *παίζοντα* » (α, Παραλ. ιε. 29. βλ. Γεσενίου Λεξικ. ἑβρ. σελ. 866), καὶ ὅσα ἄλλα μυρία τοιαῦτα. Αὐτὸν ἐκφέρομεν τὸν Δεκάλογον, ὃν ὁ αὐτὸς θεόπτης Μωϋσῆς ἄλλως μὲν ἐξέφρασε τὸ πρῶτον ἐν τῇ Ἐξόδῳ (κ, 2—17), ἄλλως δέ πως τὸν αὐτὸν ἐπανέλαβεν ἐν τῷ Δευτερονομίῳ (ε, 6—21), μετά τινων παραλλαγῶν (αἵτινες ἐμφαίνονται καὶ ἐν τῷ Ἑβραϊκῷ, καὶ παρὰ τοῖς Ο)· καὶ τὸ πρᾶγμα γίνεται κατάδηλον ἐξ ἁπλῆς καὶ μόνης τῆς τῶν χωρίων παραβολῆς (πρβλ. Ἐξόδ. κ, 8, 10, 11, 12, 17, καὶ Δευτερονομ. ε, 12, 14, 15, 16, 21). Ἀλλὰ τίς τῶν σωφρονούντων συνήγαγεν ἐκ τούτου διά-

---

ρήτως τὴν ὁριστικὴν καὶ ἀναντίρρητον τῆς λέξεως ἀκρίβειαν. Ὁ δὲ δόλιος Ἀκύλας (ἀρέσκων τοῖς μισοχρίστοις Ἰουδαίοις) ἀντέταξε τὸ ν ε ᾶ ν ι ς (καθὸ διφορούμενον καὶ ἀμφίβολον, ὡς ἡλικίας κυρίως, οὐκ ἀφθορίας σημαντικόν). Ὅθεν οἱ θεῖοι Πατέρες δικαίως ἐξήλεγχον τοὺς Ἰουδαίους καὶ κατὰ τοῦτο φθορεῖς τῆς γραφῆς (οὐχ ὡς διαφθείροντας τὰ γράμματα τῆς λέξεως ahalma, ἀλλ' ὡς διαφεύγοντας τὴν εἰς τοῦτο τὸ προφητικὸν ῥητὸν προσφυᾶ καὶ κυρίαν αὐτῆς σημασίαν, καὶ μεθερμηνεύοντας ν ε ᾶ ν ι ς, ἵνα μὴ ὁμολογήσωσι τὴν π α ρ θ έ ν ο ν). βλ. Ἰουστίν. Διάλ. πρὸς Τρύφων. —Μ. Βασιλ. εἰς Ἡσ. ζ.—Hieron. Comm. in Esai. 7, 4. πρβλ. καὶ Marchini Tract. de Divinit. et canon. S. Libr. p. 92.

φορον τὸν τῆς Ἐξόδου συγγραφέα παρὰ τὸν τοῦ Δευτερονομίου; Τί δ' ἄλλο παρὰ τοῦτο πλημμελοῦσιν ὅσοι, διά τινας τοιαύτας φραστικὰς διαφορὰς, ἄλλους μὲν ἀποφαίνουσι τοὺς ἑρμηνεῖς τῆς Πεντατεύχου, ἑτέρους δέ τινας παντοίους τοὺς τῶν προφητικῶν καὶ τῶν ἄλλων ἱερῶν τευχῶν;

Ζ) Ἄλλο παράδοξον. Εἰς πᾶσαν σχεδὸν σελίδα τῶν προφητικῶν καὶ τῶν ἁγιογράφων βιβλίων τῆς Γραφῆς αἱ αὐταὶ πολλάκις ἀπαντῶσι καὶ λέξεις καὶ φράσεις τῆς Πεντατεύχου. Πανταχοῦ ἐπανθεῖ ἡ αὐτὴ τῆς φράσεως ἀφέλεια καὶ ἁπλότης, ὁ αὐτὸς τοῦ λόγου χαρακτὴρ, ἡ αὐτὴ περὶ τὴν ἑρμηνείαν μέθοδος, τὸ αὐτὸ περὶ πολλὰς ἐκφράσεις ἀρχαϊκὸν ἰδίωμα, καὶ συνθήκη τὸ πλεῖστον ἰδιωτικὴ καὶ ἀκατάσκευος, καὶ ὅλον ἁπλῶς τὸ σχῆμα τῆς ἐπ' Ἀλεξάνδρου καὶ τῶν πρώτων Πτολεμαίων ἀττικιζούσης ἅμα καὶ μακεδονιζούσης κοινῆς διαλέκτου, πεποικιλμένης ἐν τῷ μεταξὺ καὶ διὰ τῶν παρενυφασμένων ἰδιωτισμῶν τῆς ἑβραϊκῆς. Πρόσθες, ὅτι καὶ παράγραφοι καὶ περίοδοι πολλάκις ὁλόκληροι κατὰ λέξιν ἀναγινώσκονται αἱ αὐταὶ καὶ εἰς τὴν Πεντάτευχον καὶ εἰς τὰ λοιπὰ βιβλία τῶν Ο (α). Καὶ ὅμως οὐδὲν τούτων ἐδυσώπησε τὴν ἀγέρωχον καρδίαν τῶν Ὀδιακῶν.

---

(α) Πρβλ. Γεν. μς: καὶ Ἀριθμ. κς. Γεν. κζ, 36: λβ, 28: καὶ Ὠσηὲ ιβ, 3: Τῆς Δ. Βασ. τὰ ιη, ιθ, κ, κεφάλαια πρὸς τὰ τοῦ Ἡσαΐου λς, λζ, λη, λθ. Τὸ ἔσχατον κεφάλαιον τῆς Δ. Βασιλ. πρὸς τὸ νβ, τοῦ Ἱερεμ. (ὅθεν καί τινες τῶν ἄγαν ὑψηλῶν κριτικῶν, ὑπωπτεύθησαν τοῦτο προστεθειμένον εἰς τὸ τοῦ Προφήτου κείμενον, ἐκ τῆς δ, τῶν Βασιλ. βλ. Schulz Schol. in Ierem. 52). Καὶ τὸ κβ, κεφάλ. τῆς β, τῶν Βασιλ. ὅλον σχεδὸν σύγκειται ἐκ τοῦ 104 καὶ τοῦ 95 ψαλμοῦ (μετὰ τῶν ἐπίσης ἔν τε τῷ ἑβραϊκῷ καὶ τοῖς Ο, σεσημειωμένων λεκτικῶν διαφορῶν), παραλείπομεν τὰς ἐν τοῖς προφητικοῖς περιόδους καὶ φράσεις τὰς αὐτὰς (Ἡσ. β, 2—4 καὶ Μιχ. δ. 1—2 κτλ. Ἡσ. μ, 6, καὶ Ψαλμ. ρϐ, 15: Ἡσ. ιε, 4, 5, καὶ Ἱερεμ. λα, 3, 5: Ἱερεμ. λη, 29, καὶ Ἰεζεκ. ιη, 2. Ἰερ. κθ, 2—4, καὶ Ἀβδ. α. 1. κτλ). καὶ πάλιν τὰς ἐν τοῖς ἄλλοις ἱστορικοῖς (Ἰησ. Κριτ. Ῥούθ. κτλ.) πρὸς τὰς τῆς Πεντατεύχου καὶ τῶν Προφητῶν· οἷον Βηρσαβεὲ ἡ αὐτὴ καὶ φρέαρ ὅρκου (Γεν. Ἰησ. - α, καὶ β, Βασ. κτλ.)· ὡσαύτως « φρέαρ ὅρκου καὶ Βηρσαβεὲ (Ἀμὼς ε, 5 καὶ η, 14), καὶ ἄλλα μυρία, καὶ αὐτὸν τὸν συνήθη τύπον τοῦ ἀσπάζεσθαι τοὺς ἀπόντας « Ἐρωτᾷν (τινα) τὰ πρὸς εἰρήνην » (Ψαλμ. ρκα, 6: Δ. Βασιλ. ι, 4 (καὶ ιζ, 22 Ἀλεξ.), κε, 5), καὶ ἑβρ. Schaal (= ἐρωτῶ) κτλ. ἐπὶ ἀσπασμοῦ, ὡς καὶ συνήθ. Ἐρωτῶ τινα τὰ περὶ τῆς ὑγείας· συνήθης δὲ ἡ φράσις καὶ παρ' ἄλλοις τῶν Ἀσιανῶν.

Καθήμενοι σοβαροὶ σταθμηταὶ, μᾶλλον δὲ τραπεζῖταί τινες, ἢ κολλυβισταὶ φωνῶν (ὧν ἀγνοοῦσι πολλάκις τὸ πλάτος τῆς σημασίας), διὰ ταύτην ἢ ἐκείνην τὴν λέξιν, ἢ φράσιν, ἢ ἄλλως ὁπωσδήποτε διαφέρουσαν ἐξήγησιν τοῦ νοήματος, διαιροῦσι τοὺς ἑρμηνεῖς, ἀποδιδόντες ἑκάστου τεύχους τὴν μετάφρασιν εἰς πάντας ἀνθρώπους μᾶλλον, ἢ εἰς τοὺς Ο.

Η) Τελευταῖον· αὐτὸ τὸ καθ' ἡμᾶς ἑβραϊκὸν κείμενον, πρὸς ὅπερ, ὡς πρὸς στάθμην καὶ κανόνα, παραβάλλοντες τὴν ἑρμηνείαν διακρίνουσι τοὺς διαφόρους ἑρμηνεῖς, καὶ διαιροῦσι κατὰ τάξιν καὶ ἀξίαν (ὡς τοὺς ἀγωνιστὰς οἱ Ἑλλανοδίκαι), τοὺς μὲν ἐπαινοῦντες, ὡς εὐτυχήσαντας περὶ τὴν μετάφρασιν τούτου, ἢ ἐκείνου τοῦ τεύχους (ἢ γοῦν τοῦ κεφαλαίου, καὶ παραγράφου), τοὺς δ' ἀποῤῥαπίζοντες, ὡς ἀστόχους καὶ ἀμαθεῖς ἀναφανέντας· αὐτὸ, λέγω, τὸ ἑβραϊκὸν ἔχει τοσαύτας μὲν ἀναγνώσεων παραλλαγὰς, τοσαύτας δὲ προφανεῖς διαφθορὰς καὶ ἐλλείψεις, ὥστε διαφέρονται συχνάκις ἐν πολλοῖς περὶ πολλῶν οἱ κριτικοὶ, καὶ πολλάκις μίαν καὶ μόνην πρὸς θεραπείαν τῶν διαμφισβητουμένων εὑρίσκουσι καταφυγὴν, τὴν ψῆφον τῶν Ο! Τὸ δὲ μέγιστον καὶ κράτιστον, ὅτι καὶ αὐτοὶ πάλιν οἱ τοῖς Ο μαχόμενοι κριτικοὶ, καὶ πολλοὶ δὲ τῶν Ῥαββίνων, ὁμολογοῦσιν, ὅτι « Οἱ θεόπνευστοι συγγραφεῖς τῆς ἐν τῷ ἑβραϊκῷ κειμένῳ ἱερᾶς ἱστορίας, καίτοι μηδαμοῦ πρὸς ἑαυτοὺς ἀντιφάσκοντες, ἀλλ' ὅμως οὐκ ἠθέλησαν τὸ αὐτὸ πρᾶγμα πάντοτε καὶ πανταχοῦ διὰ τῶν αὐτῶν φωνῶν καὶ φράσεων ἐξηγήσασθαι ». Καὶ Νάχμανος δὲ Μωσῆς, Ῥαββῖνος ἀνὴρ, ὡμολόγησεν, ὅτι « Εἴωθεν ἡ Γραφὴ πανταχοῦ τὰ κύρια» *(πολλαχοῦ δὲ καὶ τὰ μὴ κύρια)* « ὀνόματα μεταβάλλειν ὁπωσοῦν, ὅταν τὰ αὐτὰ δὶς ἐκφέρῃ· καὶ τοῦτο μὴ μόνον ἐπὶ τόπων καὶ χωρῶν, ἀλλὰ καὶ ἐπὶ ἀνθρώπων » (α). Ἀλλὰ περὶ τοῦ ἑβραϊκοῦ πραγματευόμεθα ἰδίως ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς.

§. μϐ. Ταῦτα πρὸς τοὺς περὶ τὸν Ὅδιον, οἵτινες ἐπειράθησαν ἐκ τῆς φράσεως τῆς Γραφῆς ἐξελέγξαι τὴν δῆθεν διαφορὰν τῶν κατὰ

---

(α) Βλ. A. Teller, praefat. in Kennicot. Diss. Sup. ration. Text. Hebraic. vol. i. Lipsiae, 1756. πρβλ. ὀπισθ. σελ. 709.

καιροὺς καὶ τόπους ἑρμηνευτῶν. Συγκεφαλαιοῦμεν δὲ τὸν λόγον, καλὸν ἐπιτιθέντες συμπέρασμα τὴν περὶ τούτου κρίσιν τοῦ σοφοῦ Θηρσίου. «Φαίνεται (φησὶν) ὁ μέγας ἀνὴρ (Ὅδιος), ὅτι ἀναδιφῶν ἐκ τῶν Κιρχέρου Συμφωνιῶν (α) ποίας λέξεις ἑβραϊκὰς οὐ μετέβαλον (οἱ Ο) διὰ τῶν αὐτῶν ἑλληνικῶν φωνῶν, ὡς ἔβλεπε νομισμάτων, φέρ' εἰπεῖν, ἢ μέτρων, ἢ ἄλλων ὀνομασίας ἀλλαχοῦ μὲν ἑλληνιστὶ, ἀλλαχοῦ δὲ πάλιν ἑβραϊστὶ γεγραμμένας, κατεσκεύαζε τὰς ἀποδείξεις, ὅτι ἄρα δύω τινες ἦσαν οὗτοι (ἢ πλείους), καὶ διάφοροι, καὶ διαφωνοῦντες οἱ ἑρμηνεῖς. Ἀλλ' οὐδὲν τούτου δυστυχέστερον ἠδύνατο μηχανήσασθαι· αὐτὸς γὰρ τὴν ἑαυτοῦ δόξαν ἰδίοις ἐπιχειρήμασιν ἀνατρέπει. — Λίαν ἀσθενῆ προτίθησι καὶ τὴν διαφορὰν τῆς ἑρμηνείας τῶν ἐν τοῖς δυσὶ τῆς Γραφῆς κεφαλαίοις (Λευϊτ. ια, καὶ Δευτερ. ιδ) ἀπαριθμουμένων ἀκαθάρτων ζώων. Ἐν τούτοις γὰρ τοῖς χωρίοις διά τε τὰς προσθήκας» (τὰς ἐν τῷ ἑβραϊκῷ δηλονότι, καθὼς ἡμεῖς ἐκλαμβάνομεν) «καὶ τὰς τῶν ἀναγνώσεων παραλλαγάς» (πρόσθες καὶ τὴν παρὰ τοῖς νεωτέροις ἄγνοιαν τῆς ἀκριβοῦς σημασίας πολλῶν ἑβραϊκῶν ὀνομάτων, καὶ τὴν ἐκ τῆς τούτων ἀτάκτου μεταθέσεως πολλαχοῦ τοῦ κειμένου ταραχὴν) «οὕτω δυσδιάκριτα καὶ δυσχερῆ ἀπέβησαν τὰ πάντα, ὥστε σχεδὸν ἀγνοεῖται, τίνα τοῦ ἑβραϊκοῦ πρὸς τίνα τῆς ἑρμηνείας ὀνόματ' ἀντιστοιχοῦσιν. Ἐν δὲ τῷ λαβυρίνθῳ τούτῳ καὶ Τοίπλερος εἰς μάτην τὸν κόπον ἀπώλεσε». Τοιαῦτα πρὸς τὸν Ὅδιον, ὁ Θήρσιος (β). Καὶ ἡμεῖς δὲ λέγομεν καὶ ἐν τοῖς ἑξῆς πλατύτερον, περί τε τῆς φράσεως καὶ τῆς περὶ τὴν ἑρμηνείαν μεθόδου τῶν Ο, μὴ πτοούμενοι τὴν παλλιλογίαν, χάριν τῶν παρ' ἡμῖν πρωτοπείρων. Ἐπειδὴ δὲ πάλιν ἄλλοι κριτικοὶ δέχονται μὲν τὴν ὁμόχρονον ἑρμηνείαν τῶν Γραφῶν, ἐξελέγχουσι δὲ ταύτην

(α) C. Kircheri Consonantiae V. T. Francof. 1607, 2: vol. in 4. κατ' ἀλφάβητον, προηγουμένων τῶν Ἑβραϊκῶν καὶ ἑπομένων τῶν Ἑλληνικῶν λέξεων. Τοῦτο τὸ Συμφωνικὸν Λεξικὸν ὁ Τρόμμιος ὕστερον, ἀναστρέψας τὴν τάξιν, καὶ ἄλλως βελτιώσας, ἐξέδωκε τὰς ἑαυτοῦ Συμφωνίας, ἀσυγκρίτως τελειοτέρας. Βλ. Abrah. Trommij Concordantiae Graecae Version. LXX. Interpr. vol. 2. Amstelod. 1718 fol.

(β) H. Thierschij, de Pentateuchi version. Alex. p. 36.

ἐν πολλοῖς ἀτελῆ, καὶ παράσημον, καὶ πολλαχῶς διεψευσμένην, ὑποσυνάπτομεν καὶ τὰ ἐφεξῆς κεφάλαια, ἐν οἷς θεωροῦμεν τὰς κυριωτάτας ὧν προβάλλουσιν ἀποδείξεων, εἰ ἔχονται ἀληθείας.

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

*Ἕτερα παραδείγματα χωρίων προσβαλλομένων, ὡς δῆθεν διεψευσμένως ἡρμηνευμένων παρὰ τοῖς Ο.*

§. α. Πολλὰ τῶν χωρίων τῆς ἱερᾶς Ἑρμηνείας ἔψεξαν κατὰ καιροὺς οἱ κριτικοὶ, ὡς ἀστόχως δῆθεν καὶ ψευδῶς ἡρμηνευμένα παρὰ τοῖς Ο. Ἀπήντησαν δὲ πρὸς τοὺς ἀδίκους ψόγους ἄλλοι πάλιν δικαιότεροι τῶν πραγμάτων ἐξετασταὶ, καὶ Οὐόσσιος ὁ περικλεέστατος, ἀποδείξας οὐκ ὀλίγων ἐκ τῶν διαβαλλομένων τόπων τὴν ἀλήθειαν (α). Ἐκτιθέμεθα δὲ καὶ ἡμεῖς ἐνταῦθα τῶν ἀντιλεγομένων τὰ κυριώτατα, συνοπτικῶς καὶ συντόμως ἐκφέροντες· τὴν δὲ πλατυτέραν τῶν ἱερῶν χωρίων ἐξήγησιν εἰς τὴν ἑρμηνευτικὴν ἀνατιθέντες.

§. β. *Ἐκ τῆς Γενέσεως.*

Κεφ. Α. §. 1. « Ἐν ἀρχῇ *ἐποίησε* ». « Τὸ *ἐποίησε* » (λέγουσιν οἱ κατήγοροι, ἐξ αὐτῆς ἀρχῆς, καὶ πρώτης βαλβίδος ἐπιχειροῦντες κατὰ τῆς ἑρμηνείας), « τὸ *ἐποίησεν* ἡρμήνευται κακῶς· τὸ γὰρ ἀντίστοιχον ἑβραϊκὸν bara (βαρὰ) σημαίνει κυρίως τὸ παράγειν ἐκ μὴ ὄντων· ὅθεν ὤφειλεν ἑρμηνευθῆναι *ἔκτισεν*, οὐκ ἐποίησεν ».— Ἀλλ' οὔτε τὸ *κτίζειν* (ἀπαντῶμεν) σημαίνει τὸ παράγειν ἐκ μὴ ὄντων, οὔτ' αὐτὸ τὸ ἑβραϊκὸν *βαρὰ* (καθὼς οἱ Ῥαββῖνοι διατείνονται). Εἰ δὲ καὶ τοιοῦτό τι ἐσήμαινεν ἡ ἑβραϊς λέξις, ἐν οὐδεμιᾷ τῶν ἄλλων τοῦ κόσμου γλωσσῶν εὑρίσκετ' ἂν ἰσοδύναμος φωνὴ πρὸς ἑρμηνείαν. Ἀλλὰ τὸ *βαρὰ* σημαίνει κυρίως τὸ *γεννᾷν* (β), ὅθεν καὶ

---

(α) I. Voss. de LXX. p. 30—83, καὶ p. 429. καὶ Respons. ad Object. Theolog. Leydens. p. 10 sqq. καὶ Respons. ad Object. A. Hulsij p. 61 sqq. καὶ Epist. ad Crist. Schotan. p. 152 sq. (ed. Hagae Comit. 1661). Καὶ τοῦ αὐτοῦ, ad iteretas Simonij Object. Respons. p. 352—394, in Variarum Observationum Libro, Londini 1685.

(β) Ὅθεν καὶ τὸ bar (βάρ) υἱὸς, γέννημα. Τὸ δὲ γ ε ν ν ῶ, φανερὸν, ὅτι ἀπὸ πρωτοτύπου γ έ ν ω (καὶ γείνω, καὶ γίνω, ἢ γίγνω, λατ. gigno, γίνομαι)· διὸ καὶ

τὸ *κτίζειν*· τούτου δὲ συνώνυμον (καὶ παρὰ πολὺ πρὸς τὴν ἔκφρασιν τῆς δημιουργικῆς ἐννοίας ἐμφαντικώτερον) ἐστὶ τὸ *ποιεῖν* (α). Καὶ ὀρθῶς ἄρα, καὶ λίαν ἑλληνικῶς, καὶ πρὸς τὸ πρωτότυπον ἀκριβῶς ἀντιστοιχοῦν εἶπον οἱ Ο, τὸ ποιεῖν, καὶ θεοπρεπέστατα δὲ, ὡς πρὸς τὸν τῶν ὅλων δημιουργὸν (ὃν καὶ *ποιητὴν* τῶν ὄντων συνηθέστερον, ἢ *κτίστην* ὑμνοῦμεν). - 2) Τὸ *ποιεῖν* ἐπικυροῦται καὶ ὑπὸ τῶν θεοπνεύστων συγγραφέων τῆς καινῆς Διαθήκης (Ματθ. ιθ, 4. καὶ Πράξ. δ, 24). - 3) Οὐδ᾽ αὐτὸ τὸ *κτίζειν* ἠγνόουν οἱ Ο· διότι κἀν τῇ Πεντατεύχῳ (Δευτερονομ. δ, 32), καὶ ἀλλαχοῦ (Ψαλμ. ν, 10. Ἡσ. με, 7) *κτίζειν* ἐνίοτε μετέφρασαν τὸ *βαρὰ* (πρβλ. καὶ Κολοσ. α, 16 κτλ.). Ὅθεν καὶ « *βιβλίον τῆς κτίσεως* » εἶπε τὸ τῆς *Γενέσεως* τεῦχος ὁ ἱερὸς Θεοδώρητος (ἑρμ. εἰς Ἱερεμ. μθ, 28). Ἀλλὰ καὶ Ἰώσηπος εἶπεν « *ἔκτισεν* ὁ Θεὸς τὸν οὐρανόν » κτλ. Ἀρχ. Α, α, 2. καὶ Ἀκύλας ὁμοίως· ὁ δὲ Φίλων, πολλαχοῦ, *ἐποίησεν* (τόμ. α. σελ. 6. βλ. καὶ ὄπισθ. σελ. 232). - 4) Καὶ οἱ νεώτατοι τῶν καθ᾽ ἡμᾶς κριτικῶν, ὅσοι τὸ τῆς Πεντατεύχου κείμενον τὸ ἑβραϊκὸν ἐκ τῶν Ο διορθοῦσθαι γνωμοδοτοῦσιν, ἄλλο τι ῥῆμα, τὸ Hassah (ὃ κυρίως δηλοῖ τὸ *ποιεῖν*), ἀλλ᾽ οὐχὶ *βαρὰ* νομίζουσιν ἀνεγνωκότας τοὺς Ο, ἐν τῷ τότε κώδηκι τῷ ἑβραϊκῷ (β).

Κεφ. Α, §. 2. « Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος ». Τὸ ἑβρ. Tochu va Bochu. τουτέστιν (ὡς ἑρμηνεύουσι) *διάκενος καὶ κενὴ* (inanis et vacua)· τοιοῦτό τι ἐνόουν καὶ Ἀκύλας καὶ Θεοδοτίων ἑρμηνεύσαντες, *κενὸν* (ἢ *κένωμα*) *καὶ οὐθέν* (γ). Ὁ δὲ Σύμ-

---

γένεσιν εἶπον τὴν κτίσιν καὶ δημιουργίαν οἱ Ο, (Γεν. β, 1. ὅθεν καὶ ἡ τοῦ τοῦ τεύχους ἐπιγραφή· βλ. ὄπισθ. σελ. 232). Καθὰ πάλιν ἐκ τοῦ τέκω (τίκτω), τὸ τεύχω (ποιῶ), καὶ ἐκ τοῦ φύω (αἰολ. φίω) τὸ λατ. fio (γίνομαι)· κτλ.

(α) Βλ. Schulz Schol. in Vet. Test. vol. 1. p. 8.

(β) Βλ. Theop. Plüschke, de emendando Pentateucho Graeco LXX. interpr. et inde Hebraic. Bonnae 1837, πρβλ. H. G. Thierch. de Pentat. vers. Alexandr. L. 1. §. 15. pag. 58.

(γ) Τὸ οὐθὲν οἱ περὶ τὸν Ἀκύλαν (Γεν. α. 1) ἐδανείσαντο πάλιν παρὰ τῶν Ο, οἵτινες ἀλλαχοῦ τὴν ἑβραϊκὴν φωνὴν bochu, ἀπέδωκαν ἐν δέοντι, οὐδέν. «Ἐπέβλεψα ἐπὶ τὴν γῆν (ὑπὸ τῶν πολεμίων ἠφανισμένην), καὶ ἰδοὺ

μαχος, «*ἀργὸν καὶ ἀδιάκριτον*». Ἀλλὰ τὸ τῶν Ο, φραστικώτατον· καὶ κυροῦσι δὲ τοῦτο α) ὁ Φίλων αὐταῖς λέξεσι (α). 2) ὁ Ἰώσηπος λέγων « τὴν γῆν ὑπ' ὄψιν μὴ ἐρχομένην » (τουτ. *ἀόρατον*. Ἀρχ. Α, α, 1)· 3) ὁ θεῖος Παῦλος, λέγων· « *μὴ ἐκ φαινομένων* (τουτ. ἐκ μὴ φαινομένων) *τὰ βλεπόμενα γεγονέναι* » (Ἑβρ. ια, 3).

Κεφ. Β. 2. « Συνετέλεσεν ὁ Θεὸς *τῇ ἡμέρᾳ τῇ ἕκτῃ* » κτλ. Τὸ ἑβραϊκ. τῇ ἡμέρᾳ «*τῇ ἑβδόμῃ*» κτλ. Ἀλλὰ τὸ τῶν Ο, μαρτυροῦσι 1) τὰ ἐν Ἐξόδ. κ. 11, καὶ λα, 17 « Ἐν γὰρ ἓξ *ἡμέραις* ἐποίησε κύριος» κτλ. (οὕτως αὐτόθι καὶ τὸ ἑβραϊκόν). 2) Τὸ Σαμαρειτικὸν κείμενον. 3) Ἡ ἀρχαιοτάτη Συριακὴ μετάφρασις. 4) Ὁ Φίλων καὶ Ἰώσηπος « ἐν ἓξ ταῖς πάσαις ἡμέραις » (Ἀρχ. Α, α, 1). 5) Αὐτὴ τέλος (ἵνα τ' ἄλλα παραλίπωμεν) ἡ μεταβατικὴ συνάφεια τῶν προηγουμένων πρὸς τὰ ἀμέσως ἐπακολουθοῦντα. Τὸ α, κεφ. τῆς Γενέσεως καταλήγει εἰς τὸ (καὶ ἴδεν ὁ Θεὸς ὅσα ἐποίησε), Καὶ *ἐγένετο ἡμέρα ἕκτη* »· καὶ εὐθὺς ἄρχεται τὸ β. κεφάλαιον « *Καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ* » κτλ. Μεταξὺ δὲ τῆς *ἕκτης ἡμέρας* καὶ τοῦ *Συνετελέσθησαν* (*ὁ οὐρανὸς καὶ ἡ γῆ*) οὐδὲν ἕτερον μεσολαβεῖ. Φανερὸν λοιπὸν, ὅτι καὶ ἐν τούτῳ τῷ *συνετελέσθη* ἐπικρατεῖ ἡ ἔννοια τῆς ἕκτης ἡμέρας. Ὅθεν καὶ τὸ ἐφεξῆς ἐδάφιον εὐθὺς ἐπαναλαμβάνει «Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν *τῇ ἡμέρᾳ τῇ ἕκτῃ*» κτλ. Ἀλλὰ περὶ τούτου λέγομεν καὶ εἰς τὸ βιβλίον τὸ ἐφεξῆς.

Κεφ. Γ. 14. « Ἐπικατάρατος σὺ *ἀπὸ πάντων* τῶν κτηνῶν, καὶ

---

οὐθὲν (Ἱερεμ. δ. 23. ὅπου πάλιν ὁ Ἀκύλας κενὴ, καὶ ὁ Σύμμαχος, συγκεχυμένη). Τοῦτο δὲ, τὸ ἰδοὺ οὐθὲν (μετὰ τὸ ἐπέβλεψα) οὐδὲν ἄλλο σημαίνει κατὰ τὸ πλῆρες, εἰμὴ τὸ (καὶ ἰδοὺ) οὐχ ἑώρακα οὐδὲν, ἢ, οὐδὲν ἦν ὁρᾶν (τῶν πάντων ἀφανισθέντων). Ὀρθῶς γοῦν καὶ λίαν ἐμφαντικῶς ἀόρατον εἶπε τὸν πρωτόγονον γῆν (ὡς μήπω φαινομένην διὰ τὸ ἐπικείμενον σκότος, καὶ τὴν ἐπιπρόσθησιν τοῦ ὕδατος). « Ὥστε τοῦ ἀόρατον εἶναι τὴν γῆν κατασκευαστικὸν εἶναι τὸ ἐπαγόμενον, ὅτι καὶ ἄβυσσος ἦν ἐπέχουσα, καὶ αὐτὴ ἐσκοτισμένη »· δείκνυται δὲ τὸ ἀόρατον καὶ ἐκ τοῦ ἐφεξῆς ἐπαγομένου· « καὶ ὀφθήτω ἡ ξηρά » (βλ. Μ. Βασίλ. εἰς Ἑξαήμ. ὁμιλ. β. — Θεοδώρητ. ἐν Ἀπόροις εἰς Γένεσ. — Φιλόπον. περὶ Κοσμοποιΐας λόγ. β. κεφ. β. σελ. 53, 54, 60.

(α) Φίλων π. ἀφθαρσ. τόμ. β. σελ. 491. πρβλ. καὶ τόμ. α. σελ. 6. Mang.

*ἀπὸ πάντων τῶν θηρίων*» (ἐπὶ τοῦ ὄφεως). Τὸ ἑβρ. (ὡς ἑρμηνεύουσι τὸ μόριον min) «*παρὰ πάντα*»· «μᾶλλον ἢ *πάντα*» (συγκριτικῶς· prae omnibus. magis quam omnia, κτλ.)· ἀλλὰ τοῦτο ὑποτίθησι καὶ τὰ κτήνη καὶ τὰ θηρία πάντα προκεκατηραμένα· ὅπερ ἀντίκειται προφανῶς εἰς τὸ κείμενον τῆς Γραφῆς. Οὐδαμοῦ γὰρ κατὰ τῶν ἄλλων (πλὴν τοῦ ὄφεως) θηρίων καὶ κτηνῶν ἐκφωνηθεῖσαν κατάραν ἀνέγνωμεν. Ἡ δὲ τῶν Ο, *ἀπὸ*, φαίνεται (κατὰ τὴν συνήθη μετάληψιν) ἀντὶ τῆς *ἐκ*, ἐξαιρετικῶς, τουτέςι, σὺ μόνος *ἐκ πάντων*, ἢ ἐν πᾶσι, μεταξὺ πάντων (οὕτω καὶ ἡ Βουλγάτα). Οἱ δέ τινες τῶν νεωτέρων ἐξέλαβον τὴν ἀπὸ ἀντὶ τῆς παρὰ («παρὰ πάντων τῶν» κτλ.), ὡς καὶ τὸ «ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς» (κατὰ τοῦ Κάϊν. Γενέσ. δ. 11). Οὕτω καὶ Φίλων ἐξέλαβε· τὸν γὰρ ὄφιν εἰς ἡδονὴν ἀλληγορήσας, τὰ δὲ κτήνη εἰς τὰς ἀλόγους αἰσθήσεις, ἐπήγαγεν. «*Ἑκάστη δὲ αἴσθησις ἡδονῇ καταρᾶται*» (τόμ. α. σελ. 109). ἀλλ' ἐφεξῆς (σελ. 110) τὸ *ἀπὸ πάντων τῶν θηρίων* διαφώνως ἑαυτῷ μετέφρασε «*παρὰ πάντα τὰ θηρία*» (α).

Κεφ. Γ. 15. «ΑὐτΟΣ σου *τηρήσει* κεφαλὴν, καὶ σὺ *τηρήσεις* αὐτοῦ πτέρναν». Τὸ ἑβρ. «Αὐτό σου *συντρίψει* - καὶ σὺ *συντρίψεις*» (ὡς ἑρμηνεύουσι τὸ ἑβραϊκ. Schuph). Ὅθεν ὁ Οὐόσσιος καὶ ἄλλοι, ἀντὶ τοῦ

(α) Ὅσοι δὲ τῶν νεωτέρων κριτικῶν τὴν συγκριτικὴν τοῦ ἑβραϊκοῦ σημασίαν, κἂν θέμις κἂν μὴ θέμις, ὑπερασπίζονται, τὸ «ἐπικατάρατος παρὰ πάντα» ἐξηγοῦσιν, ὑπὲρ πάντα τὰ ζῶα στυγητὸν ἀνθρώποις καὶ ἀποτρόπαιον «Nullum erit brutum. quod magis homines horreant» etc. Rosenmül. in Genes. h. l. καὶ Critic. Sacr. Ἀλλὰ οὔτε τὸ κατάρατος τὸν στυγητὸν κυρίως σημαίνει, καὶ τοῦτο πάλιν εἰσάγει πάντα τὰ ζῶα στυγητὰ, παρὰ πάντα δὲ τὸν ὄφιν! Ἔπειτα διαφωνεῖ καὶ πρὸς τὰ ἐφεξῆς τῆς θείας γραφῆς ἐν οἷς διασαφεῖται τὸ ἐπικατάρατος «Ἐπειδὴ τὸ τῆς κατάρας οὐκ ἦν αἰσθητὸν — διὰ τοῦτο καὶ αἰσθητὴν αὐτῷ τιμωρίαν ἐπάγει». «Ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φαγῇ» κτλ. (Χρυσόστ. εἰς Γέν. Ὁμιλ. ιζ). Οὕτω καὶ τὸ «Ἐπικατάρατος ἀπὸ τῆς γῆς» ἐπὶ τοῦ Κάϊν (ὅπου ἡ Βουλγάτα, μηδὲν δέον, ἐ π ὶ τῆς γῆς) οἱ νεώτεροι ἐξηγοῦσιν exul, ἐ ξ ό ρ ι σ τ ο ς! (ἐξ ἐκείνης τῆς γῆς). Ἀλλ' ἡ ἔννοια τῆς ἀρᾶς ὑπάρχει πολὺ καθολικωτέρα· Ὅθεν ὁ θεῖος Χρυσόστομος (αὐτόθ· Ὁμιλ. ιθ). «Κατηραμένος ἔσῃ, φησὶ, καὶ αὐτῇ τῇ γῇ ἐκείνῃ, ἣ ἔχανε τὸ στόμα αὐτῆς. - Εἶτα ἑρμηνεύουσα ἡ θεία γραφὴ σαφέστερον τὴν κατάραν φησίν· «Ὅτε ἐργᾷ τὴν γῆν, καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι. Στένων καὶ τρέμων ἔσῃ» κτλ.

*τηρήσει*, καὶ *τηρήσεις*, ἔκριναν γραπτέον *τρήσει* καὶ *τρήσεις* (τὸ δὲ τῆς Κομπλ. ἐκδόσεως, *τειρήσει* καὶ *τειρήσεις*, ἡμάρτηται προφανῶς· οὐδέποτε γὰρ λέγεται *τειρέω* ἀντὶ *τρέω*, ἢ τράω, ὅθεν τρήσω)· ἔχει δέ τις κώδηξ καὶ *τρίψει* καὶ *τρίψεις* (ἀντὶ συντρίψεις) (α). Ἀλλὰ ταῦτα περίεργα δοκοῦσι καὶ περιττά· τὸ δὲ *τηρῶ* φαίνεται γνησία τῶν Ο ἀνάγνωσις (ἐπὶ τῆς σημασίας δηλαδὴ τοῦ ἐπιτηρῶ, παραφυλάττω, ἐπιβουλεύω, ὡς καὶ παρ' Ἕλλησι· « Τηρήσας μέσον κάρα». Σοφοκλ. Οἰδ. Τύραν. κτλ.). Καὶ μαρτυροῦσι 1) ὁ Φίλων, ἑρμηνεύσας «*ἐπιτήρει πρὸς ἀναίρεσιν* (τόμ. α. σελ. 125). 2) Ὀϊώσηπος (Ἀρχ. Α. α. §. 4) λέγων, «κατὰ κεφαλῆς (τοῦ ὄφεως) φέρειν τὰς πληγὰς» (ὡς τὸ «κάρα τηρεῖν»). 3) Καὶ Ὄγκελος καὶ Ἰωνάθαν οἱ Ταργουμισταὶ ἐπὶ τῆς αὐτῆς τοῦ τηρεῖν σημασίας παρέφρασαν τὸ ἑβραϊκόν. 4) Καὶ αὐτὸ δὲ ῥῆμα Schuph οὐ μόνον τὸ *συντρίβειν*, ἢ *ἐκτρίβειν* σημαίνει (ὡς οἱ Ο ἡρμήνευσαν, Ἰὼβ, θ, 17), καὶ τὸ *καταπατεῖν* (ὡς ἐν Ψαλμ. ρλη, 11), ἀλλὰ καὶ τὸ παρατηρεῖν ἐπιβούλως (ὡς καὶ τὸ συνώνυμον *φυλάσσειν*. Ψαλμ. νε, 7). Τοῦτο δὲ ἄρα ἐλάνθανεν ἴσως τὸν μακάριον Ἱερώνυμον, ὅστις (Ζητήμ. Ἑβραϊκ.) εὕρισκε κρεῖττον τοῦ *τηρεῖν* τὸ ἐν τῷ ἑβραϊκῷ (ὡς λέγει) *συντρίψει* (contereret), πρὸς ὃ παραβάλλει (ὡς καὶ ἄλλοι ἐξ αὐτοῦ) τὸ μηδεμίαν σχέσιν ἔχον, ὡς πρὸς τὴν φράσιν, «*Συντρίψει* τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν» (Ῥωμ. ις, 20). 5) Οὔτε τὸ τράω, τρήσω, σημαίνει τὸ συντρίβω, ἢ τρίβω (καί τοι συγγενὲς ἀπὸ τοῦ θέματος, τέρω, tero), οὔτε πάλιν ἡ σημασία τοῦ *συντρίβειν* ἐφαρμόζεται προσφυῶς εἰς τὸ νόημα τοῦ ῥητοῦ, καὶ δηλοῖ σαφῶς τὸ δεύτερον, *συντρίψει πτέρναν* (πλήττει μὲν γὰρ, καὶ τύπτει, καὶ δάκνει, καὶ κεντᾷ, εἰ δὲ θέλεις, καὶ τιτρᾷ, ἢ τρυπᾷ, καὶ τιτρώσκει ὁ ὄφις, ἀλλ' οὐ *συντρίβει*· ὅθεν τὸ δεύτερον συντρίψεις ἀπέδωκεν ἐξ ἀνάγκης ὁ Ἱερώνυμος, insidiaberis calcaneo (ἐπιβουλεύσεις τῇ πτέρνᾳ· τοῦτ' αὐτὸ δηλαδὴ τὸ *τηρήσεις*). 6) *Τηρήσεις* ἀνέγνω καὶ Ὠριγένης, καὶ Εἰρηναῖος (δ, 40), καὶ Χρυσόστομος, καὶ πάντες οἱ ἀρχαῖοι τῆς

---

(α) Βλ. Schleusn. Thes. V. Test. v. τειρέω, τηρέω.

Ἐκκλησίας Πατέρες, καὶ ἐκ τῶν Λατίνων ὁ θεῖος Ἀμβρόσιος (α) κτλ. Καὶ αὐτὸς, τέλος, Οὐόσσιος ὡμολόγησεν ὡς γνησίαν ἀνάγνωσιν τὸ *τηρεῖν* τῶν Ο, (ϐ). Καὶ ὀρθῶς ἄρα ὁ Γάζης Προκόπιος πρὸς τοῦτο τὸ τηρήσει παρέϐαλεν ἄλλην πάλιν ὁμοίαν φράσιν τῶν Ο, «Τὴν πτέρναν μου φυλάξουσι» (Ψαλμ. νε,). Τὸ δὲ αὐτΟΣ (σου τηρήσει) τινὲς τῶν νεωτέρων τρέπουσιν εἰς τὸ Αὐτὸ (τὸ σπέρμα), ὡς ἔχει καί τις κώδηξ τῶν ἀρχαίων (Βὼς, ἐκδ. τῶν Ο). Καὶ φαίνεται μὲν πρὸς τὴν θειοτάτην ἔννοιαν κατάλληλον τὸ οὐδέτερον. Ἀλλ' ὅμως καὶ τὸ ἀρσενικὸν αὐτΟΣ οὐχ ἧττον ἀσφαλῶς ἀποδίδοται εἰς τὸ *σπέρμα*, κατὰ γένους ἐναλλαγὴν, συνηθεστάτην καὶ παρ' Ἕλλησιν· οἷον καὶ τὸ «Μαθητεύσατε - τὰ *ἔθνη*, βαπτίζοντὲς *αὐτοὺς*» (Ματθ. κη, 19). Καὶ ἔστιν ἄρα «Αὐτὸς (ὁ Μεσσίας) τὸ σπέρμα τῆς γυναικὸς (ὡς «*γενόμενος ἐκ γυναικὸς*» Γαλάτ. δ, 4, «*ὅς ἐστι Χριστός*» γ, 16). Λέγεται δὲ καὶ ἄλλως τὸ *αὐτὸς* ἐμφαντικώτερον περὶ τοῦ Σωτῆρος παρὰ τῇ θείᾳ Γραφῇ (Ἠσ. νγ, 5, 7, 12: πρβλ. Α, Πέτρ. β, 24 κτλ.). *Αὐτὸς* ἀνέγνωσαν καὶ οἱ θεῖοι Πατέρες, καὶ αὐτὸς Ἱερώνυμος (Ζητήμ. Ἑϐρ. ἡ δὲ Βουλγ. ἔχει, ipsa, αὐτὴ, τουτ. ἡ γυνή). Ἀλλὰ καὶ Φίλων ὁ Ἰουδαῖος (καί τοι ἄλλως ἀλληγορῶν) αὐτΟΣ τε ἀνέγνω, καὶ εἰς τὸ σπέρμα τὴν ἀντωνυμίαν ἀπέδωκε, κατὰ τὸ σημαινόμενον (γ)· ὡσαύτως καὶ ὁ Χαλδαῖος Ταργουμιστής (δ).

Κεφ. Γ. 17. («Ἐπικατάρατος ἡ γῆ) *ἐν τοῖς ἔργοις σου*»· Τὸ ἑϐρ. «*διὰ τοῦτο*»· ἄλλοι, *διὰ σὲ*, ἢ *ἕνεκά σου*. Οὕτως Ὄγκελος καὶ Ἀκύλας, ἄλλως ἀναγνόντες· ὁ δὲ Θεοδοτίων, «*ἐν τῇ παρα-*

---

(α) Ambros. de Fug. c. VIII. — (ϐ) J. Vossij Variar. Observ. p. 394.

(γ) «Τὸ αὐτός σου τηρήσει κεφαλὴν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν, τῇ μὲν φωνῇ βαρϐαρισμός ἐστι· τῷ δὲ σημαινομένῳ κατόρθωμα· τί γάρ; ὀφείλεται (ἴσ. γρ. Τοῦτο γὰρ ἀπειλεῖται) περὶ τῆς γυναικός. Ἡ δὲ γυνὴ αὐτὸς οὐκ ἔστιν, ἀλλ' αὐτή· τί οὖν λεκτέον; ἀπὸ τοῦ περὶ τῆς γυναικὸς λόγου μετελήλυθεν ἐπὶ τὸ σπέρμα» κτλ. (βλ. Νόμ. Ἀλληγ. σελ. 124, κτλ. τόμ. α. καὶ σημ. Mang.).

(δ) Βλ. Schulz Sch. in V. Test. vol. 1. p. 63. — Schleusn. Thes. v. Αὐτός. H. Thiersch, ubi supr. p. 46. πρβλ. καὶ τὸν ἐκ πολλῶν ἐπικυροῦντα μάλιστα τὴν ἀνάγνωσιν τῶν Ο, de-Rossi in Var. Lectiones V. T. vol. IV. p. 207—212: Append.

*βάσει σου»* (Ἱερών. Ζητήμ. Ἑβραϊκ.). Ἀλλ' ἡ ἑβραϊκὴ ἀνάγνωσις ἡμάρτηται, γραφέντος ρ, ἀντὶ δ· (Baaburecha, διὰ σὲ, ἀντὶ Baabodecha, ἐν τοῖς ἔργοις σου). «*Ἐν τοῖς ἔργοις σου*» ἔχουσι καὶ 1) ὁ Σύμμαχος. 2) Ὁ Φίλων (τόμ. α. σελ. 131). 3) Ὁ Σύρος, 4) Ἡ Βουλγάτα (ἑνικῶς, αὕτη· «ἐν τῷ ἔργῳ σου», in opere tuo). 5) Τὸ μέγιστον· ἡ φράσις ἡ αὐτὴ εὑρίσκεται καὶ Γεν. η, 21. «*διὰ τὰ ἔργα τῶν ἀνθρώπων*» (ὅπου πάλιν τὸ νῦν ἑβρ. «*διὰ τὸν ἄνθρωπον*»). Ἀλλὰ καὶ Ἰώσηπος ἀνέγνω «τὰ ἔργα» λέγων, «*διὰ τὰ ἔργα τῆς γῆς*» (Ἀρχ. Α, γ. 7. πρβλ. Ἱερεμ. ιδ, 4).

Κεφ. Δ. 7. «Οὐκ, ἂν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον· πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ» —.Τὸ ἑβρ. (κατὰ τὸν Ἱερώνυμον, Ζητήμ. εἰς Γέν.) «Οὐκ ἐὰν καλῶς ποιήσῃς, ἀφεθήσεταί σοι, ἐὰν δὲ μὴ καλῶς ποιήσῃς, πρὸ τῶν θυρῶν ἡ ἁμαρτία σου καθίσει; Καὶ πρὸς σὲ ἡ ἑταιρεία αὐτῆς· ἀλλὰ σὺ μᾶλλον κυρίευσον αὐτῆς». Ἡ δ' ἐκ Βενετίας ἰουδαΐζουσα καὶ παράτραυλος ἑρμηνεία τῆς Πεντατεύχου, «Ἆρ' οὐκ ἣν ἀγαθύνῃς, ἀρθῇς (τουτ. ὑψωθήσῃ), κἂν μὴ ἀγαθύνῃς, εἰς πύλην τῆς ἁμαρτίας ἥκοις; πρὸς σὲ δ' ἡ ἔφεσις αὐτοῦ» (ἐκδόσ. Ἄμμων.). Ἐν δὲ πάλιν ταῖς τῶν νεωτέρων μεταφράσεσιν, ὅσαι λέξεις, τοσαῦται διαφοραί (α).

---

(α) Ἰδοὺ πῶς ἡρμήνευσεν ὁ ἰουδαῖος Καχήν. «Certes si tu te conduis bien, tu seras consideré. Si tu te ne conduis bien, le reste t'assiege à la porte, il veut t'atteindre, mais tu peux le maitriser» (La Bible par Cahen T. I)· καὶ ὁμολογεῖ δυσερμήνευτον τὸ χωρίον· ἀποκλίνει δέ πως πρὸς τοὺς Ο. Ἄλλως δὲ πάντῃ διαφόρως ἡρμήνευσεν ὁ Μιχαῆλις (Bibl. Orient. P. 10. p. 146). Τὸν δὲ Λ. Καπέλλιον (Comm. in Genes. c. IV. p, 334), καὶ ἄλλους παραλείπομεν. Ἀλλ' εἰσί τινες καὶ τῶν νεωτέρων οἳ προτιμῶσι τὴν κατὰ τοὺς Ο, ἑρμηνείαν, ἐν οἷς καὶ ὁ Σχούλζιος (Schulz Schol. in Gen. l. c.)· μόνον τὸ διέλῃς ἄτοπον οὗτος εὑρίσκει λεγόμενον ἐπὶ τῶν καρπῶν τῆς γῆς (οὓς προσήνεγκεν ὁ Κάϊν). Ὡς ἂν εἴπερ τὸ διαιρεῖν (τὰ πρὸς θυσίαν προσαγόμενα) ἐτίθετο μόνον ἐπὶ τῶν σφαγίων καὶ ἱερείων! (κατὰ τὸ διχοτομεῖν, Γεν. ιε). Τοῦτο δ' ἴσως ἔσφηλε καὶ τὸν σοφὸν Οὐβιγάντην, ὅστις εἰς τὸ διέλῃς, (καίτοι μετὰ τὸ προσενεγκεῖν ἀμέσως ἐπιφερόμενον) ἤθελεν εἶναι προστεθειμένον καὶ τί ποτε διεῖλε! (Houbig. Not. Crit. vol. 1. p. 6). Ἀλλὰ καὶ εἴπερ ἐπὶ τῶν σφαγίων μόνον συνήθης ἦν ἡ χρῆσις τοῦ διαιρεῖν, πάλιν ἠδύνατο τὸ ῥῆμα πλατυκώτερον ἐκληφθῆναι καὶ ἐπὶ θυσίας καρπῶν· ὡς καὶ αὐτὸ τὸ καρπῶσαι (κυρίως καρποὺς προσενεγκεῖν) εὑρίσκεται

Ἀλλὰ τὰ τῶν Ο, λίαν ὁμαλὰ καὶ σαφῆ « *Ἆρά γε οὐχ ἥμαρτες, εἴπερ* (ἐπειδὴ) *ὀρθῶς μὲν* (ὡς τιμῶν τὸν Θεὸν) *θυσίαν προσήνεγκας, οὐ μέν τοι καὶ διεῖλες* (τὰ προσενεχθέντα) *ὀρθῶς*; [Ὀλίγην γὰρ τῷ Θεῷ, καὶ τὴν χείρονα μερίδα προσενεγκὼν, κατὰ τὸ, « *πλείονα Ἄβελ παρὰ Κάϊν θυσίαν προσήνεγκε τῷ Θεῷ* ». (Ἑβρ. ια, 4), τὰ πλείω καὶ κράτιστα τῶν γεννημάτων σαυτῷ διετήρησας, « *ὡς πρὸς τὸ κερδαίνειν μόνον ἀποβλέπων*». Ἰώσηπ. Ἀρχ. Α. β. 1]. *Ἡσύχασον* (μὴ λυποῦ· μηδὲ φθόνει τῷ ἀδελφῷ), «*πρὸς σὲ ἡ ἀποστροφὴ* αὐτοῦ, καὶ σὺ (καθὸ πρωτότοκος) *ἄρξεις αὐτοῦ*»· [παράβαλε τὸ ταυτὸ σχεδὸν τῆς Γενέσεως (γ. 16) «*πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει* »]. (α). Ἀλλὰ καὶ Φίλων ἀπαραλλάκτως ἐξέφερε τὴν ῥῆσιν, κατὰ τοὺς Ο. Καὶ τὸ *μὴ ὀρθῶς διελεῖν* ἐξηγῶν, « Ὅτι (λέγει) ὁ Κάϊν *πρεσβείων* μὲν ἠξίωσε γένεσιν » (τὸ γεννητὸν δηλαδὴ καὶ κτιστὸν, ἤτοι αὐτὸς ἑαυτὸν) «δευτερείων δὲ τὸν ἄφθαρτον Θεόν ». Ὅθεν (φησὶν) «*ἥμαρτες; ἡσύχασον*». Ἥμισυ γὰρ κακοῦ ἡσυχία ». (Φίλ. τόμ. α. σελ. 319, 608. πρβ. καὶ σελ. 181, 187. καὶ Σουΐδ. λέξ. Ἄβελ). Καὶ Κλήμης ὁ Ῥώμης οὕτως ἀνέγνω (Ἐπιϛ. α. Κορινθ.), καὶ πάντες οἱ ἀρχαιότατοι Πατέρες οὕτως ἡρμήνευσαν τὸ ῥητόν. « Θεῷ μὲν γὰρ καὶ δεσπότῃ προσενέγκας, ὀρθῶς ἐποίησας, τὸ δὲ μὴ [τὰ] κρείττονα τῶν ὄντων, ἡμάρτηκας· μὴ οὖν προσθῇς ἁμαρτίαν ἐπὶ ἁμαρτίᾳ ». (βλ. Σειρ. εἰς Γένεσ. αὐτόθ. καὶ Φωτίου Ἐπις. σια).

Κεφ. Δ. 12. «Στένων καὶ τρέμων». Οἱ λοιποὶ (Ἀκύλας, κτλ.) «Σαλευόμενος καὶ ἀκαταστατῶν »· τουτέϛι μὴ μένων ἐν ἑνὶ τόπῳ. Οὕτω καὶ ἡ Βουλγάτα, vagus et profugus (πλάνης καὶ φυγάς). Ὡσαύτως καὶ οἱ πλεῖστοι τῶν νεωτέρων κριτικῶν. Ἀλλὰ τὸ τῶν Ο, κυροῦσι. α) ὁ Φίλων (τ. α. σελ. 214). β) Αὐταὶ αἱ ἀντιστοιχοῦσαι καὶ σχεδὸν ταυτόσημοι ἑβραϊκαὶ λέξεις (Naa, Nad), αἵτινες σημαίνουσι καὶ

---

τ' ἀνάπαλιν καὶ ἐπὶ σ φ α γ ί ω ν, ἀντὶ θ υ σ ι ά σ α ι (Ὠδ. τῶν τριῶν Παίδ. §. 11). Ὁ δὲ Φίλων περὶ τοῦ Κάϊν ἔτι καταχρηστικώτερον εἶπε καὶ, ἐφ' ἱεροῖς τελείοις) ϐ ο υ θ υ τ ῆ σ α ι (περὶ Γεωργ. τ. α. σελ. 319. πρβλ. καὶ Capell. Crit. Sacr. p. 231).

(α) Κατὰ δὲ τὸν Μ. Ἀθανάσ. ἐρωτ. ξ. «Αὐτοῦ τοῦ δ ώ ρ ο υ, οὗ προσήγαγες, προσγίνεταί σοι ἡ ἀποστροφή· καὶ σὺ ἐξουσιάσεις αὐτοῦ. — Ἐγὼ γὰρ αὐτὸ οὐ προσεδεξάμην ».

τρομώδη κίνησιν, σάλον, καὶ δόνησιν, καὶ πένθος (ὡς ἐκ τῆς κινήσεως τῆς τῶν τεθλιμμένων κεφαλῆς) κτλ. (α). γ) Πάντες οἱ ἀρχαῖοι Πατέρες (βλ. Σειρ. αὐτόθ.). δ) Τὰ ἑπόμενα τοῦ ἱεροῦ κειμένου. Εἰ γὰρ ὁ Κάϊν κεκατήραται πλανᾶσθαι ῥεμβόμενος ἀστάτως ἐπὶ τῆς γῆς, πῶς εὐθὺς « ἐξελθὼν ἀπὸ προσώπου τοῦ Θεοῦ, - ᾤκησεν ἐν γῇ Ναΐδ («ὅπερ ἑρμηνεύεται σάλος». Χρυσόστ.), « καὶ ἦν οἰκοδομῶν πόλιν; ε) Καὶ τὸ « ἔθετο Κύριος σημεῖον τῷ Κάϊν », ἐπὶ τοῦ τρόμου καὶ τοῦ σάλου τῶν μελῶν οἱ Πατέρες ὀρθῶς ἐξεδέξαντο (βλ. Σειρ. αὐτ.) (β).

Κεφ. Δ. 26: « Οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ »· Ὁ δ' Ἀκύλας ἔγραψε· « τότε ἤρχθη τοῦ καλεῖσθαι ἐν ὀνόματι Κυρίου». Τὸ δὲ ἑβρ. ἐξηγοῦσι διττῶς· « Τότε ἤρχθη (γέγονεν ἀρχὴ) τοῦ ἐπικαλεῖσθαι τὸ ὄνομα (ἢ τῷ ὀνόματι) Κυρίου» καὶ, « Τότε ἐβεβηλώθη ἡ ἐπίκλησις τοῦ ὀνόματος Κυρίου» (διὰ τῆς εἰδωλολατρείας). Ἡ δὲ Βουλγάτα, « Οὗτος ἤρξατο ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου» κτλ. Ἀλλ' οἱ Ο, ἀνέγνωσαν πάντως, ὡς καὶ μετέφρασαν, *Οὗτος*, καὶ οὐχὶ, *Τότε* (az)· καὶ, *ἤλπισεν* (ἐκ τοῦ ichel), οὐκ ἤρξατο (hechele· ὅ σημαίνει καὶ τὸ ἄρχεσθαι καὶ τὸ βεβηλοῦσθαι). Καὶ ἄλλως δὲ τὸ « τότε ἤρξατο», βεβιασμένον· (μὴ γὰρ Ἀδὰμ καὶ Ἄβελ καὶ Ἐνὼχ οὐκ ἐπεκαλοῦντο τὸ ὄνομα τοῦ Θεοῦ; ἤρξατο δὲ πρῶτος Ἐνώς;). Αὐτὸ δὲ τὸ «ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου» ἐκλαμβάνεται μὲν καὶ ἀντὶ τοῦ καλεῖσθαι τὸ ὄνομα (συνεκδοχικῶς), τουτ. τῷ ὀνόματι Κυρίου (καθὼς φαίνεται καὶ Ἀκύλας ἑρμηνεύσας)· ὅτι, « Οὗτος (ὁ Ἐνὼς) πρῶτος τῆς θείας προσηγορίας τετύχηκε, καὶ ὑπὸ τῶν συγγενῶν ὠνομάσθη *Θεός*· ὅθεν καὶ οἱ ἐκ τούτου φύντες υἱοὶ Θεοῦ ἐχρημάτιζον » (γ). Ἐκλαμβάνεται δὲ καὶ ἁπλούστερον· « Οὗτος *ἤλπισε* (τῷ) ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου» κτλ. (τουτ. μετ' ἐλπίδος προσανεῖχε τῇ ἐπικλήσει τοῦ θείου ὀνόματος, δημοσίαις λατρείαις γεραίρων καὶ ὑμνῶν τὸν Θεὸν, καὶ πᾶν ἀγαθὸν παρ' αὐτοῦ προσδοκῶν). « *Ἀνθρώπῳ* γὰρ, τῷ γε πρὸς ἀλήθειαν » (τὸ

(α) Βλ. Gesen. Lex. Hebr. p. 653: 655.—(β) Βλ. καὶ Criticos Sacr. Tom. I.- p. 111. — (γ) Θεοδώρητ. ἐν Ἀπόρ. εἰς Γέν. Ἐρωτ. μζ. πρβλ. Εἰρην. Δ. 29. -Χρυσόστ. Ὁμ. κα, εἰς Γέν. — Κύριλλ. Ἀλεξ. Γλαφυρ. α: — Εὐσέβ. Ἐμέσ.

γὰρ Ἐνὼς *ἄνθρωπον* σημαίνει) «τί ἂν γένοιτο οἰκειότερον *ἐλπίδος καὶ προσδοκίας* κτήσεως ἀγαθῶν παρὰ τοῦ μόνου φιλοδώρου Θεοῦ»; (Φίλ. τόμ. α. σελ. 218). Ἔπειτα καὶ ἄλλως *υἱοὶ Θεοῦ* (Γενέσ. ς, 4) ἐπωνομάσθησαν οὐχὶ κυρίως οἱ παῖδες τοῦ Ἐνὼς πρώτου, ἀλλ' «οἱ ἐκ *τοῦ Σὴθ*» (ὧν πρῶτος ἦν Ἐνὼς) «τὸ γένος κατάγοντες, ὡς εὐσεβοῦντες Θεῷ, καὶ ἀρετῆς ἐπιμελούμενοι» (α), ἀντιδιεσταλμένως πρὸς τὸ, «*υἱοὶ καὶ θυγατέρες τῶν ἀνθρώπων*» (Γεν. ς, 1-4· πρβλ. Ψαλμ. νζ, 2), ὡς ἐπεκλήθησαν τὸ πρῶτον οἱ τοῦ Κάϊν ἀπόγονοι, πονηρίᾳ συζῶντες («διὰ τὸ εἶναι αὐτοὺς σάρκας»)· «Καὶ γὰρ κεχώριστο τοῦ Σὴθ τὸ γένος, καὶ οὐκ ἐπεμίγνυτο τοῖς ἐκ τοῦ Κάϊν» κτλ. (β). Ὥστε κατὰ ταῦτα πάλιν οὐχ ἕπεται ἀναγκαίως ἡ τοῦ Ἐνὼς θεωνυμία· ἠδύναντο γὰρ πάντες οἱ ἀπὸ τοῦ Σὴθ, (ὅστις οὐ γέγραπται ὅτι ἐπικέκληται τῷ ὀνόματι Κυρίου), καὶ πρῶτος αὐτὸς Ἐνὼς (ὁ κατ' ἐξοχὴν ἐλπίσας εἰς τὴν ἐπίκλησιν καὶ λατρείαν τοῦ θείου ὀνόματος) ὀνομασθῆναι *υἱοὶ Θεοῦ*, ὡς τῷ μόνῳ Θεῷ προσανέχοντες. Οὕτως ὕστερον καὶ ὁ Ψαλμῳδὸς (ψαλμ. πα, 6) ἐπωνόμασε τοὺς τοιούτους (καὶ μάλιστα τοὺς ἄρχοντας καὶ κριτὰς) *καὶ υἱοὺς ὑψίστου, καὶ Θεοὺς*, κατὰ χάριν.

Κεφ. Ε, 22, 24 «Καὶ εὐηρέστησεν Ἐνὼχ τῷ Θεῷ». — Τὸ ἑβρ. «καὶ *ἐπεριπάτησε μετὰ τοῦ Θεοῦ*» κτλ. Ἀλλ' οἱ Ο, μετέφρασαν ἀκριβῶς ἑλληνιστὶ τὸν ἑβραϊκὸν ἰδιωτισμὸν, ὡς καὶ ἀλλαχοῦ (Γεν. ς, 9: ιζ. 1: Ψαλμ. λδ, 14, κτλ.). «εὐαρεστεῖν, λέγοντες, τῷ Θεῷ· καὶ *ἐνώπιον*, ἢ *ἐναντίον* τοῦ Θεοῦ. Τὴν φράσιν τῶν Ο, βεβαιοῖ καὶ ὁ θεῖος Παῦλος (Ἑβρ. ια, 5, 6 κτλ.), καὶ ἡ Σοφία Σολομῶντος (δ. 10), καὶ ὁ Σειρὰχ (μδ, 16)· πρόσθες καὶ τὸν Φίλωνα (γ).

---

(α) Θεοδώρητ. αὐτόθ. - Χρυσόστομ. εἰς Γέν. Ὁμ. κβ. «Ὅτι ἔθος τῇ Γραφῇ καὶ τοὺς ἀνθρώπους υἱοὺς Θεοῦ καλεῖν. Ἐπεὶ οὖν ἀπὸ τοῦ Σὴθ οὗτοι κατῆγον τὸ γένος, καὶ ἀπὸ τοῦ ὑπ' αὐτοῦ τεχθέντος Ἐνὼς» κτλ. πρβλ. Μ. Ἀθαν. Ἐρωτ. ξε. τόμ. β. σελ. 337-Φώτ. Ἐπιστ. ρξϐ. σελ. 216. — (β) Μ. Ἀθανάσ. αὐτ. πρβλ. Schulz καὶ Rosenmüll. in Genes. l. c. καὶ L. Capell. ubi supr. p. 353. Βλ. καὶ P. Possini Spicileg. Evang. §. XXXII. v. Filius hominis, καὶ Criticos Sacr. T. I. p. 102-129.

(γ) Φίλ. τόμ. α. σελ. 102. Μ. πρβλ. Cahen la Bible, Tom. 1. p. 171. — L. Capell. Comm. in Genes. p. 360.

Κεφ. ϛ. 14. «Κιβωτὸν ἐκ ξύλων *τετραγώνων*» (οὕτως ἔχει καὶ Ἀκύλας). Τὸ δὲ ἑβραϊκὸν, «ἐκ ξύλων *γόφερ*». Τοῦτο δὲ τὸ *γόφερ* πῶς ἑρμηνεύουσιν; Ὄγκελος μὲν καὶ οἱ Ταργουμισταὶ καὶ Ταλμουδικοὶ παρέφρασαν Cadron, *καδρὸν* (τουτ. *κέδρον*, ἢ κέδρινα ξύλα). Ἐπειδὴ δὲ πρὸς τοῦτο τὸ Cadron ὁμοφωνεῖ τὸ λατινικὸν Quadra (Quadrata = τετράγωνα), ἐντεῦθεν οἱ Ο, ἀπατηθέντες (λέγει ὁ Βουξτόρφιος), (α) ἡρμήνευσαν *τετράγωνα*! (Οὕτως ὁ κλεινὸς ἀνὴρ ἢ τοὺς Ταργουμιστὰς καὶ Ταλμουδιστὰς παρέστησεν ἡμῖν συγχρόνους, μᾶλλον δὲ καὶ πρεσβυτέρους τῆς ἑλληνικῆς ἑρμηνείας τῶν Γραφῶν, ἢ τὴν λατινίδα γλῶσσαν σφόδρα πρώϊμον, ἔτι κατὰ τοὺς Λαγίδου καὶ Φιλαδέλφου χρόνους, μετεφύτευσεν εἰς τὴν Παλαιστίνην· καὶ αὐτοὺς τοὺς Ο γέροντας ἀνέδειξεν ἐγκρατεῖς « *Ἑλληνικῆς Μούσης*, Latiaeque Camoenae»!). Ἄλλοι μεθηρμήνευσαν *κυπάρισσον* τὸ γόφερ (ἐξ οὗ λέγουσι καὶ αὐτὸ τὸ *κυπάρ*-ισσος)· κατὰ δὲ τὸν Ἱερώνυμον (ξύλα), *ἠσφαλτωμένα* (Ζητήμ. ἑβρ.)· Ἀλλὰ τὸ « ἀσφαλτώσεις τὴν κιβωτὸν ἔσωθεν καὶ ἔξωθεν » ἰδίως προστέτακται ἐφεξῆς (Γεν. ϛ, 14). Οἱ δὲ, *θεῖον*, ἢ *ἄσφαλτον* εἶπον (οἷον ξύλα θείῳ, ἢ ἀσφάλτῳ κεχρισμένα). Τῶν δέ τινες νεωτέρων καὶ τολμηρότερον (ὡς εἰώθασι) διώρθωσαν τὸ *τετράγωνα* εἰς τὸ ἀνύπαρκτον *τερατόγονα* (τεραστίου δηλονότι μεγέθους καὶ στεῤῥότητος!). Ἀλλὰ καὶ χωρὶς τῆς τερατολόγου ταύτης τερατογονίας, ὁ κλεινὸς Οὐόσσιος ἡρμήνευσε τὰ τετράγωνα φυσικώτερον ἐκ τῆς παρὰ τῷ Θεοφράστῳ *τετραγωνίας* (Ἱστ. Φυτ. γ. 4)· Δένδρα δὲ τοιαῦτα πολυειδῆ· οἷον, πίτυς, ἐλάτη, κέδρος, πεύκη, κτλ. τετράγωνα γὰρ καὶ ταῦτα δοκοῦσιν ὡς ἐκ τῶν κλάδων, οἵτινες ἀναβαίνοντες ἐκ τοῦ στελέχους κατὰ τετραζυγίαν, ἴσοι πρὸς ἀλλήλους καὶ ἐν ἴσοις ἀπὸ τῆς γῆς ἀποστήμασιν, οἷον τέσσαρες βραχίονες, ἐπεκτείνονται, καὶ ἴσας γωνίας ἀποτελοῦσι, σταυροῦ παρέχοντες ὄψιν. Ὅτι δὲ τὰ δένδρα ταῦτα πρὸς ναυπηγίαν χρήσιμα, καὶ ὅτι ῥητινώδη καὶ πισσώδη, φανερόν· Ἐπειδὴ δὲ καὶ ἄσηπτα τὰ τοιαῦτα ξύλα, καθὸ στεῤῥὰ (καὶ

(α) Buxtorf. Anticritic. pag. 171.

αὐτὸ δὲ τὸ *τετράγωνον* ἰδίως σημαίνει τὸ ἑδραῖον καὶ εὐπαγές· «τὰ γὰρ *τετράγωνα ξύλα* τὸ ἀσφαλὲς δηλοῦσι». Κλήμης Στρωμ. ς, σελ. 473), ἐντεῦθεν καὶ ἀρχαῖος Σχολιαστὴς (εἰς Γένεσ. αὐτ.) ἡρμήνευσε τὸ *τετραγώνων*, «Ἐκ ξύλων *ἀσήπτων*, ἢ κεδρίνων. Ὁ δ' Ἑβραῖος τὸ τετράγωνόν φησιν ἐπὶ *πλακῶν* πυξίνων»· (*πλάκας* λέγων ἴσως τὰς πλακοειδεῖς, καθὸ *λείας καὶ ξεστάς*, τοῦ τετραγώνου ξυλου ἐπιφανείας). Καὶ ἄλλοι δέ τινες τῶν νεωτέρων ἐξέλαβον τὸ τετράγωνον ἁπλῶς ἀντὶ τοῦ λείου καὶ ξεστοῦ, (ὡς ἂν εἴποις, *τετράξοα*), ὁποῖα τὰ πρὸς ναυπηγίαν στερέμνια ξύλα, λειουργούμενα διὰ τοῦ ξυστῆρος καὶ τῆς ἐπιχριομένης πισσώδους ἀλοιφῆς. Τοιοῦτο δοκεῖ καὶ τὸ τῆς Βουλγάτας, ex lignis laevigatis, ξύλων ξεστῶν (λελειουργημένων) (α).

Κεφ. Η. 7. «*Οὐχ ὑπέστρεψεν*» (ὁ κόραξ).—Τὸ ἑβραϊκ. «Ἐξιὼν *ἐξήρχετο καὶ ἐπανήρχετο*» (ἢ «ἐξίπτατο καὶ εἰσίπτατο»)· βλ. ἐφεξῆς Βιβλ. Γ.

Κεφ. ΙΑ. 28. «*Χώραν*» (Χαλδαίων)=Οὔρ. (βλ. ὄπισθ. σελ. 652).

Κεφ. ΙΔ. 5 «*Τοὺς γίγαντας, καὶ ἔθνη ἰσχυρὰ ἅμα αὐτοῖς*». Τὸ ἑβραϊκόν, «τοὺς Ῥαφαείμ . . . *καὶ τοὺς Ζουζὶν ἐν τῇ Ἄμ* (ἢ Χάμ)». Ἀλλ' οἱ Ο, ἀνέγνωσαν οὐχὶ Zuzim (οἱ Σουσαῖοι), ἀρχαῖον φῦλον Ἀμμωνιτῶν, ἀλλ' Azuzim (ἔθνη ἰσχυρά)· καὶ ταύτην τὴν ἀνάγνωσιν ἐπικυροῦσι, 1) Τὸ Σαμαρειτανὸν κείμενον. 2) Ὁ Χαλδαῖος παραφραστής. 3) Ὁ Σύρος. 4) Αὐτὸς ὁ τοῖς Ο μὴ συγκατάινέσας Ἱερώνυμος. Καί τοι γὰρ καὶ οὗτος «ἐν *Ἄμ* (ἢ *Ὅμ*, in Hom) οὐκ ὀρθῶς ἀναγνούς, ἐσημείωσεν ὅμως, ὅτι τὸ Βα-χέμ, ἢ Ba-hem (ἐν *αὐτοῖς*, ἢ *ἅμ' αὐτοῖς*) ἑβραϊστὶ γράφεται διὰ στοιχείων τριῶν (beth, he, mim)· εἰδ' ἀντὶ τοῦ he (κατὰ τὸ μέσον) ἔχει cheth, Βε-χάμ, be-Ham, ἢ Hom, ἐστι τόπου κύριον ὄνομα, καὶ ἐξηγεῖται ἐν (τῇ) Ἀμ, ἢ Χάμ». Ἀλλ' ἐν τοῖς πλείστοις ἑβραϊκοῖς ἀπογράφοις γράφεται καὶ καθ' ἡμᾶς ba-hem. Οὕτως ἔχει καὶ τὸ Σαμαρειτι-

---

(α) Βλ. Schleusn. Thes. v. Τετράγωνον. - Schulz καὶ Rosenmül. Sch. l. c. - Capell. Com. ibid. - Fuller. Miscellan. Sacr. L. iv. c. 5. — Cahen ubi supr. etc. πρβλ. Gesenij Lex. Hebr. p. 221.

κόν· συμφωνοῦσι τοῖς Ο, καὶ Γρότιος καὶ Πεαρσώνιος μετ' Οὐοσσίου καὶ ἄλλοι. Καὶ αὐτὸ δὲ τὸ κύριον Ζουζίμ συγγενὲς τοῦ Ζαμζουμμείμ (ἑβραϊκ. Δευτερ. β. 20: ὅπου καὶ οἱ Ο, Ζομζομμείν. Ἀλεξανδρ.) ἐξηγοῦσιν ἔθνη ἰσχυρὰ καὶ σφριγῶντα, ἢ βρέμοντα καὶ κροτοῦντα (Γεσέν. Λεξικ. σελ. 303, καὶ Ῥοδομύλλερ. Σχ. εἰς Δευτερ. αὐτόθ.) Τοὺς δὲ Ῥαφαεὶμ (Χαναναίων ἔθνος) «*γιγάντων ἀπογόνους*» ἡρμήνευσε καὶ Ἰώσηπος (Ἀρχ. Α, θ).

Κεφ. ΙΕ. 11. «Καὶ συνεκάθισεν αὐτοῖς (τοῖς ὀρνέοις)». — Τὸ ἑβρ. «*καὶ ἀπεφύσησεν αὐτά*» (α). Ἀλλὰ τὸ μὲν ἑβραϊκὸν ῥῆμα (καθὼς τονίζεται) ἔστι παρὰ τὸ naschab, τὸ πνέω, φυσῶ, ὅθεν καὶ ἀποσοβῶ φυσήματι, ἢ ὀργάνῳ, πρὸς τὸ φυσᾷν καὶ ἀνεμίζειν ἐπιτηδείῳ, οἷον μυιοσόβῃ, κτλ. [Schulz]. Ὡσὰν εἴπερ ἐκεῖνα τὰ σαρκοφάγα ὄρνεα (οἷον, γύπες κτλ.) ἦσαν μυῖαί τινες καὶ κώνωπες, ῥᾳδίως ἀποσοβούμενοι σόβαις τισὶ καὶ φυσητηρίοις. Πρόσθες καὶ ὅτι τὸ naschab κυρίως καὶ μόνον σημαίνει τὸ *πνέειν* (οὐδετ. καὶ ἐνεργ. *πνεῖν ποιεῖν*) (Gesen.). Τῆς δὲ τοῦ *φυσήματι ἀποσοβεῖν* σημασίας οὐδὲν ἕτερον ἐκ τῆς Γραφῆς ἐκφέρεται παράδειγμα, πλὴν τοῦ προκειμένου. Οἱ δὲ Ο, ἀνέγνωσαν vajescheb (παρὰ τὸ jaschab, καθίζειν), καὶ «*Συνεκάθισεν*» ἡρμήνευσαν προσφυέστατα πρὸς τὴν ἔννοιαν· Τὸ γὰρ τοῖς ὀρνέοις (ἐφιπταμένοις μὲν, ἀλλὰ μὴ καὶ γευομένοις τῶν ἱερείων) *συγκαθίσαι* τὸν Ἀβραὰμ, ἁρμόζει πρὸς τὴν σημασίαν τοῦ ὁράματος (Γενέσ. ιε, 13). Ὡσαύτως γὰρ ἔμελλον καὶ οἱ ἀπόγονοι αὐτοῦ (οὓς αὐτὸς εἰκόνιζε) συγκαθήσειν διὰ μακροῦ παροικοῦντες μετὰ τῶν φονικῶν Αἰγυπτίων (ἀλλ' οὐχὶ καὶ ἀποσοβοῦντες αὐτούς), οὓς ἐτύπουν οἱ οἰωνοί (βλ. Ἰωσήπ. Ἀρχ. Α, ι. 3)· καὶ Γρότιος Οὐοσσίῳ καὶ τοῖς Ο, συνῄνεσε.

Κεφ. ΙΕ. 15. Ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ' εἰρήνης,

---

(α) Οὕτω καὶ Ἀκύλας «ἀπεσόβησεν αὐτά», ἐξ οὗ καὶ ὁ Θεοδώρ. ἐν Ἀπόρ. εἰς Γένεσ. ἐρωτ. ξς. Ἐν δὲ τῇ Σειρᾷ (εἰς τὴν Γέν. αὐτόθ.) συνάπτει καὶ τὸ τῶν Ο Συνεκάθισε· «Συγκαθεσθῆναι αὐτοῖς ἀποσοβοῦντα». Ἀλλ' ὁ θεῖος Χρυσόστομ. ἀσφαλέστερον. «Καὶ καθεζόμενος ἐπετήρει, ὥστε μὴ λυμήνασθαι τοῖς διχοτομήμασι τὰ ἐφιπτάμενα ὄρνεα» (Ὁμιλ. λζ. εἰς Γέν.).

*τραφεὶς* ἐν γήρᾳ καλῷ ». Τὸ ἑβραϊκ. « *ταφήσῃ* ἐν γήρᾳ » κτλ. ὅθεν καὶ τὸ τραφεὶς πολλοί τινες πιθανῶς διορθοῦσιν εἰς τὸ *ταφεὶς* (ὡς ἔχει καὶ ἡ Κομπλουτ. ἔκδοσις)· *ταφεὶς* ἔχουσι καὶ Σύμμαχος καὶ Ἀκύλας. Εὐκόλως δὲ τῶν μεταγραφέων ἡ πλάνη μεταβάλλει τὸ *ταφεὶς* εἰς τὸ *τραφεὶς*, καὶ τοῦτο εἰς ἐκεῖνο. Ἀλλὰ *τραφεὶς* ἀνέγνω καὶ Φίλων (καὶ τοῦτο πρὸς τὸ *μετ' εἰρήνης* συνάπτει λέγων, « *γαληνὸν* καὶ εὔδιον κτησάμενος βίον ») (α), καὶ Χρυσόστομος (Ὁμιλ. λζ. εἰς Γέν.), καὶ Κύριλλος ὁ Ἀλεξανδρείας (ἐν Γλαφυροῖς), καὶ Θεοδώρητος (ἐν τοῖς Ἀπόροις), καὶ Ἀμβρόσιος, καὶ Αὐγουστῖνος, κτλ. Καὶ ἄλλως δὲ κατὰ φράσιν ἑλληνικὴν τὸ *τραφεὶς* ἐν γήρᾳ καλῷ ἔχει τι κοινὸν πρὸς τὸ *γήρει πίονι* (Ψαλμ. ϛα, 15, καὶ τὸ *λιπαρὸν γῆρας* » Ὀδυσ. τ. 368). Ἔπειτα, τὸ μὲν « *τελευτᾷν*, ἢ *ἀποθνήσκειν* ἐν γήρᾳ καλῷ, σύνηθες (Γεν. κε. 8: Α. Παραλ. κθ. 28 κτλ.)· ἀλλ' οὐχὶ καὶ τὸ « *ταφῆναι* ἐν γήρᾳ καλῷ » (β).

---

(α) Φίλων τ. α. σελ. 512, 514, καὶ σημ. Mang. Περισαλπίζει καὶ ὁ Φράγκελος (Franc. l. c. p. 46, 65) τοῦτο τὸ τ ρ α φ ε ὶ ς, ὡς μέγα τι χρῆμα, καὶ δεῖγμα τῆς ὑπὸ τῶν ἀντιγραφέων ἀρχαίας διαφθορᾶς τοῦ κώδηκος τῶν Ο! Ἀποδείκνυσι δ' ἐκ τούτου καὶ τὸν Φίλωνα, ὅτι οὔτ' ἀνέγνω, οὔτ' ἐγίνωσκεν ὅλως τὸ ἑβραϊκὸν κείμενον. Ἀλλ' εἰ μὲν ἐννοεῖ τὸ κατ' αὐτὸν πεποικιλμένον καὶ κατάστικτον ὑπὸ τῶν Μασσοριτῶν, συμφωνοῦμεν.

(β) *Τοιαύτη σύγχυσις τοῦ* τ α φ ε ὶ ς *πρὸς τὸ* τ ρ α φ ε ὶ ς *εὑρίσκεται καὶ ἀλλαχοῦ.* Ὁ *Στράβων λέγει περὶ Μιθριδάτου* τοῦ Εὐπάτορος, ὅτι « *Καὶ ἐγεννήθη ἐκεῖ καὶ* ἐ τ ρ ά φ η » (*ἐν τῇ Σινώπῃ.* Στράβ. ιβ, σελ. 545). ὁ δὲ τὰς εἰς Στράβωνα *χρηστομαθείας συντάξας ἔχει.* « *Καὶ ἐτέχθη καὶ* ἐ τ ά φ η *ἐν Σινώπῃ* ». Τοῦτο πιθανολογεῖ *καὶ* Πλούταρχος (*Πομπ. βίῳ* §. μβ). Βλ. *Πρόλογ. σελ.* 5. *Τόμ.* 3. τῆς Ἑλληνικ. *ἐκδόσ. τοῦ Στράβωνος ἐν Παρισ.* 1817. *Καὶ ὥρα λοιπὸν τῇ Φραγκέλου κριτικῇ, ἵνα καὶ τὰς βίβλους τοῦ Στράβωνος ἔκπαλαι κατεφθαρμένας ἀνακηρύξῃ, διὰ τὴν ὁπωσδήποτε παραδεδεγμένην ταύτην τοῦ* ἐ τ ρ ά φ η *γραφήν.* Ἐπειδὴ δὲ *καὶ σφόδρα τῆς* Ἑλληνίδος *Μούσης ὁ ἀρχιραββῖνος ἀντιποιεῖται, προσθήσει δήπου κἀκείνην τὴν ἀρχαίου τινος* Γραμματικοῦ, *τοῦ* Φιλήμονος, *παράδοξον κρίσιν.* Ὅτι « Πολλὰ *φέρονται μέχρι νῦν ἁμαρτήματα κατὰ τὴν* Ἡροδότου *συγγραφήν, καὶ ἔτι τὴν* Θουκυδίδου, *καὶ* Φιλίστου, *καὶ τῶν ἄλλων ἀξιολόγων συγγραφέων.* Τί *δ' οὐχὶ καὶ τὰ ποιήματα σχεδὸν ἀνάπλεω πάντα τυγχάνει ἁμαρτημάτων γραφικῶν;* » κτλ. (*παρὰ* Πορφυρίῳ, *Ζητήμ.* Ὁμηρικ. §. η). Ἢ *οὐχὶ τοιαύτην ἐξέφερε τὴν κρίσιν καὶ περὶ τῆς* ἑρμηνείας τῶν Ο ὁ Φράγκελος;

Κεφ. ΙΖ. 14. « Ἄρσην, ὃς οὐ περιτμηθήσεται *τῇ ἡμέρᾳ τῇ ὀγδόῃ* ». — Ἐν τῷ Ἑβρ. λείπει τὸ « *τῇ ἡμέρᾳ τῇ ὀγδόῃ* ». Ἀλλὰ 1) ἀπαιτεῖται ὑπὸ τῆς ἀκριβείας τοῦ νόμου (βλ. ιζ. 12)· 2) Εὑρίσκεται ἐν τῷ Σαμαρειτανῷ κειμένῳ. 3). Καὶ παρ᾽ Ἰωσήπῳ (Ἀρχ. Α, ι, §. 5). 4). Καὶ παρὰ Φίλωνι (Ἀποσπασμ. τόμ. β. σελ. 675. Μ.). Οὕτως ἀνέγνω καὶ Χρυσόστομος, Κύριλλος, Ἰσίδωρος, Αὐγουστῖνος, καὶ πρὸ τούτου ὁ ἱερὸς Ἀμβρόσιος, καὶ ἄλλοι τῶν Πατέρων. Καὶ ὁ Θεοδώρητος θαυμαστῶς ἐξέφρασε τὴν ῥῆσιν ἐν τῇ Σειρᾷ, εἰς Ἐξόδ. κ, 5.

Κεφ. ΚΒ. 13. « Φυτῷ Σαβέκ ». βλ. ὄπισθ. σελ. 678.

Κεφ. ΚΗ. 19. « Οὐλαμλούζ ». βλ. ὄπισθ. σελ. 667.

Κεφ. ΛΖ. 2. « *Κατήνεγκαν* (οἱ ἀδελφοὶ) κατὰ Ἰωσὴφ ψόγον » Τὸ ἑβρ. ἔχει « *κατήνεγκεν* » κτλ. (ὁ Ἰωσὴφ κατὰ τῶν ἀδελφῶν). Κατήνεγκεν (ἑνικῶς) γράφεται καὶ ἐν τῇ Κομπλουτ. ἐκδόσ. τῶν Ο· « Καὶ ἔφερεν » (ἑνικῶς) ἔχει καὶ Σύμμαχος, καὶ ὁ Σύρος (Ἑξαπλ.). Ἀλλ᾽ αἱ ἄλλαι πᾶσαι τῶν Ο, ἐκδόσεις πληθυντικῶς, « κατήνεγκαν ». Καὶ Ἀκύλας ὡσαύτως « *καὶ ἤνεγκαν* » (Προκόπ. ὁ Γάζης, σχόλ. αὐτ. ἐν δὲ τοῖς Μοντεφαλκ. Ἑξαπλοῖς, κατὰ τὸν Διόδωρον, ἔγραψε καὶ Ἀκύλας « κατήνεγκεν »· ἀλλὰ βλ. Οὐόσσ. περὶ τῶν Ο, σελ. 40). Καὶ Φίλων ὁμοίως ἀνέγνω, καὶ τῶν θείων Πατέρων οἱ μνημονεύσαντες τῆς ῥήσεως, οἷον Χρυσόστομος, Διόδωρος, Κύριλλος Ἀλεξανδρείας (Γλαφυρ.) κτλ. Καὶ ἄλλως δὲ, παντάπασιν ἀλλότριον τῆς ἀκακίας τοῦ πρᾳοτάτου Ἰωσὴφ τὸ *κατενεγκεῖν ψόγον πονηρὸν* κατὰ τῶν ἰδίων ἀδελφῶν πρὸς τὸν ἑαυτοῦ πατέρα.

Κεφ. ΛΖ, 28. (καὶ κεφ. με, 22) « Εἴκοσι *χρυσῶν* » — Τὸ ἑβρ. « *ἀργυρίων* » (διδράχμων, ἢ σίκλων ἀργυρῶν). Ὅθεν ψέγουσι τοὺς Ο, ὡς μεταβαλόντας οἴκοθεν τοὺς ἀργυροῦς εἰς χρυσοῦς! — Ἀλλὰ τὸ ἑβρ. Cheseph τιθέμενον ἀπολύτως, σημαίνει καθόλου ἀργύριον, ἢ *χρήματα* ἁπλῶς· καὶ τίθεται ἐπίσης ἐπ᾽ ἀργύρου καὶ χρυσίου (ὡς καὶ τὸ ἑλλην. *ἀργύριον* λέγεται καὶ ἐπὶ παντὸς νομίσματος ἀργυροῦ, χρυσοῦ, χαλκοῦ). Ὅτι δὲ ἐν τοῖς ἀνωτέρω χωρίοις τὸ ἑβραϊκὸν ῥῆμα δηλοῖ χρυσοῦν, καὶ ὡς ὀρθῶς οἱ Ο ἀπέδωκαν *χρυσῶν*

(ἐλλειπτ. στατήρων, δαρεικῶν), ἐὰν οὐκ ἐξαρκῶσιν ΟΒ, μάρτυρες Ἑβραῖοι παλαιοί, παρίτω καὶ ἄλλος Ἑβραῖος, καὶ οὗτος ἀρχαῖος, καὶ ῥαββίνων ἁπάντων, εἷς αὐτὸς, ἀντάξιος, ὁ Ἰώσηπος, ἱστορῶν, ὅτι τὸν Ἰωσὴφ ἀπέδοντο οἱ ἀδελφοὶ « μνῶν εἴκοσι » (Ἀρχ. Β. γ. 3), τουτέστιν, *εἴκοσι χρυσῶν* (κατὰ τοὺς Ο)· « καὶ γὰρ ὁ χρυσοῦς (στατὴρ) μνᾶν ἠδύνατο » (Πολυδ. ὅθεν τὸ *πεντάμνουν* = πεντα-στάτηρον»· καὶ « τετραστάτηρον, τετράμνουν». Ἡσύχ.)· ἡ δὲ μνᾶ, δραχμῶν ἑκατόν. Ἀργυροῦν δὲ νόμισμα ἑκατοντάδραχμον τίς εἶδε, τίς ἤκουσέ ποτε; Ἀλλ' ὁ μακάριος Ἱερώνυμος καὶ αὐτὸς ἐκλαβὼν τὸ ἑβρ. ἀντὶ *ἀργυρῶν*, τοῦτο μᾶλλον πειρᾶται δικαιολογεῖν, λέγων ὅτι, « Οὐδ' ὁ Κύριος ἡμῶν ἔμελλε πραθήσεσθαι μετάλλῳ μᾶλλον ἀτιμοτέρῳ, ἤπερ ὁ Ἰωσήφ » (Ζητήμ. εἰς Γενέσ.). Ἀλλ' ὅτι μὲν ὁ Ἰωσὴφ ὑπὸ τῶν συγγόνων πραθεὶς, ὑπῆρχε τηλαυγὴς τύπος τοῦ Κυρίου, τοῦτο βέβαιον εἶπεν ὁ Πατὴρ, καὶ ἄλλοι δὲ τοσοῦτοι τῶν θείων Πατέρων ἐξύμνησαν. Πρὸς τοῦτον δὲ τὸν τύπον οὐδόλως θεωρεῖται ἡ περὶ τὴν ἀξίαν τοῦ μετάλλου τῆς τιμῆς μικρολόγος διαφορὰ, ὡς οὐδ' ὁ τοῦ τιμήματος ἀριθμός. Τὸν μὲν γὰρ Ἰωσὴφ ἐπώλησαν « *εἴκοσι χρυσῶν* », τὸν δὲ μορφὴν δούλου λαβόντα θεάνθρωπον Κύριον, « *τριάκοντα ἀργυρίων* » (ὅση καὶ τοῦ δούλου διώριστο ἡ τιμή! βλ. Ἐξόδ. κα, 32) (α).

(α) Ὁ δὲ Rosenmüller (Schol. in Genes. h. l) προστατεύων (ὡς εἴωθε) καὶ ὧδε τὴν ἑβραϊκὴν ἀνάγνωσιν. « Οἱ Ο (λέγει) ἀντὶ τοῦ ἀ ρ γ υ ρ ῶ ν ἔθεντο χ ρ υ σ ῶ ν, διότι λίαν εὐτελὲς ἔδοξεν αὐτοῖς τὸ τίμημα εἴκοσι σίκλων ἀργυρῶν, ὁπότε καὶ δοῦλος ἐτιμᾶτο 30 σίκλων, κατὰ τὸν νόμον, ὑπὸ βοὸς κερατισθεὶς καὶ ἀποθανών» (Ἐξόδ. κα). Ἀλλὰ πότερον, ἐρωτῶμεν, ἆρά γε οἱ Ο ἦσαν οὕτως ἀναίσθητοι, ὥστε τὰς ἐπὶ τοῦ Ἰωσὴφ παρὰ τοῖς Μαδιανήταις εἰθισμένας τιμὰς τῶν ἀργυρωνήτων ὁρίζειν, καὶ συγκρίνειν πρὸς τὴν ὕστερον ὅλαις πέντε γενεαῖς μετὰ τὸν Ἰωσὴφ ὑπὸ τοῦ Μωσαϊκοῦ νόμου διορισθεῖσαν τοῦ φονευθέντος δούλου τιμήν; ἢ μήπως αὐτὸς ὁ σοφὸς κριτικὸς συνέχεε τοὺς χρόνους, συγκρίνων τὰ ἀσύγκριτα ἐπὶ χλεύῃ τῶν Ο; Ἔπειτα, καὶ εἴ τι τοιοῦτο παράνομον ἐπήρχετο τοῖς θεοφιλεστάτοις Ο κατὰ νοῦν, οἷον ὁ κριτικὸς ἐφαντάσθη, τί μὴ μᾶλλον ἔτρεπον τὸν 20 εἰς διπλάσιον, ἢ καὶ πολλαπλάσιον ἀριθμὸν, ἀφέντες κατὰ χώραν τὸ ἀργυρῶν; Μῶν οὐκ ἂν ἔπραττε τῆς ἑαυτοῦ πολυμαθείας ἀξιώτερα, συνιδὼν ὁ σοφὸς καὶ ἐκ τούτου τὴν ἀλήθειαν τῆς τῶν Ο ἀναγνώσεως, καὶ διορθώσας κατ' αὐτὴν τὸ ἑβραϊκόν; Εἰ γὰρ ἐπὶ Μωϋσέως παρὰ τοῖς τότε πένησι καὶ πλανήταις ἑβραίοις ὡρίσθη τὸ τοῦ δούλου τίμημα 30,

Κεφ. ΛΘ. 1. (καὶ λζ, 36) «*Ὁ ἀρχιμάγειρος*» (Πεντεφρῆς). Τὸ ἑβρ. «*ἄρχων τῶν σωματοφυλάκων*» (ἢ ἀρχισωματοφύλαξ). Ἀλλὰ καὶ τὸ ἀρχιμάγειρος ἐπὶ τῆς αὐτῆς, ὡς ἔοικε, σημασίας ἐτέθη τροπικῶς· ὡς οὗτος ἐπιστατῶν καὶ εἰς τὴν ἐκτέλεσιν τοῦ φόνου τῶν καταδίκων. Οὕτως εἶπε καὶ Θεοδοτίων· καὶ οἱ Ο πάλιν, «τὸν τοῦ Ναβουχοδονόσορος *ἀρχιμάγειρον*, ὃς ἐξῆλθεν ἀνελεῖν τοὺς σοφοὺς τῆς Βαβυλῶνος» (Δαν. β. 14), οἷος ἦν καὶ Ναβουζαρδὰν (Ἱερεμ. μζ, 1. νβ, 12: 29. πρβ. Δ, Βασιλ. κε, 8, 11). Ὅθεν Ὄγκελος καὶ ὁ Ἄραψ ἀντὶ τοῦ *ἀρχιμάγειρος* ἡρμήνευσαν *ἔπαρχος δημίων*· ἄλλος, «ἄρχων τῶν *δορυφόρων*, ἢ *ξυστοφόρων* (princeps spiculatorum), οἷς παρεδίδοντο οἱ κατάδικοι· ὅθεν καὶ ὁ ῥωμαϊκὸς *Σπεκουλάτωρ* (ξυστοφόρος) ὁ αὐτὸς ἦν καὶ ἀποκεφαλιστὴς (Μάρκ. ϛ, 27). Καὶ παρ' Ἕλλησι δὲ τὸ *μάγειρος* τίθεται τροπικώτερον ἐπὶ τοῦ φονέως (οὕτως ὁ Κύκλωψ «*μάγειρος ᾅδου*». Εὐριπ. Κύκλ. 396), καθὼς καὶ τὸ «*κρεουργός*» (λατιν. carnifex, ὁ δήμιος. Καὶ τὸ πάλαι δὲ παρά τισι τῶν Εὐρωπαίων ἐθνῶν δημίου μὴ παρόντος, κρεωπώλης ἐκ μακελλείου παραληφθεὶς, ἐξετέλει τὴν καταδίκην). Ὅθεν καὶ Ἱερώνυμος· «τὸ μαγειρεύειν παρ' Ἕλλησι δηλοῖ καὶ τὸ φονεύειν, διὸ καὶ ἡ Γραφὴ τοὺς ἀρχιμαγείρους τίθησιν ἐπὶ τῶν στρατηγῶν» (Ζητήμ. εἰς Γένεσ.)· τοιαῦτα καὶ ὁ ἱερὸς Αὐγουστῖνος. Ὁ δὲ Προκόπιος, «Ἀρχιμάγειρος, ὁ παρασπιστὴς, καὶ οἷον σπαθάριος» (εἰς Γενέσ. λθ). Καὶ αὐτο δὲ τὸ πρὸς τὴν ἑβραϊκὴν φωνὴν συγγενὲς ἀραβικὸν Tabach μαγειρεύειν κυρίως σημαίνει (α). Ἴσως δὲ τὸ πάλαι παρὰ τοῖς Ἀσιανοῖς ὁ ἀρχισωματοφύλαξ (ὡς πανταχοῦ τῆς σωτηρίας τῶν βασιλέων φροντίζων) ὑπῆρχεν ὁ αὐτὸς καὶ ἀρχιμάγειρος, ὃν ὁ Φαβωρῖνος ἡρμήνευσεν «ἐπιστάτην τῆς βασιλικῆς

---

σίκλων ἀργυρῶν, πολλῷ πλείονος πάντως ἔμελλον πωλῆσαι τὸν Ἰωσὴφ οἱ ἀδελφοὶ τοῖς πολυπλούτοις Μαδιηναίοις ἐμπόροις, «ὧν αἱ κάμηλοι ἔγεμον θυμιαμάτων καὶ ῥητίνος καὶ στακτῆς». Τὰ δὲ κατὰ τὸ νῦν ἑβραϊκὸν 20 ἀργύρια καὶ τῆς ὁρισθείσης τοῦ δούλου τιμῆς ἀπολείπονται κατὰ τὸ τρίτον.

(α) Βλ. Schulz καὶ Rosenm. Sch. in Gen. 37-36. — Schleusn. Thes. v. Ἀρχιμάγειρος, καὶ Lex. N. Test. v. Σπεκουλάτωρ.

τραπέζης » (α). Ὅθεν καὶ Ἰώσηπος εἶπε μὲν καὶ ἀρχιμάγειρον, «*τὸν ἐπὶ τῶν Φαραώθου μαγείρων* » (Πεντεφρῆν)· εἶπε δὲ τὸν αὐτὸν καὶ « *στρατηγὸν* », καὶ, « *τὴν ἐπὶ τῶν σωματοφυλάκων τοῦ βασιλέως ἀρχὴν πεπιστευμένον* » (Ἀρχ. Β, δ, 1. καὶ Ι, ι, 3, πρβλ. η, 5). Ὁ δὲ Φίλων ἐξέλαβε τὸ ἀρχιμάγειρος ἁπλούστερον ἐπὶ τῆς συνηθεστέρας σημασίας (τόμ. β. σελ. 50).

Κεφ. ΜΘ. 6. « Ἐπὶ τῇ συστάσει αὐτῶν *μὴ ἐρίσαι τὰ ἥπατά μου*· ὅτι *ἐν τῇ ἐπιθυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταῦρον* ». — Τὸ ἑβρ. (ὡς ἤδη ἐξηγεῖται) « Ἐν τῇ συνελεύσει αὐτῶν *μὴ εἴη ἡ δόξα μου* » (ἄλλοι, μὴ ἑνωθείη)· ἄλλοι δευτεροπροσώπως, « μὴ ἑνωθείης ὦ δόξα μου » (καὶ τὸ δόξα ἐκλαμβάνουσιν ἀντὶ τοῦ ἡ *ψυχή μου*)· ἢ τὸ ἐναντίον (*κατὰ τὴν* Ἱερωνύμου *ἑβραίαν ἀλήθειαν*!) « *μὴ διαλυθείη* ἡ δόξα μου· - ὅτι *ἐν τῇ ἐπιθυμίᾳ* (ἢ πεισμονῇ) *αὐτῶν κατηδάφισαν* (ὁ Ἱερώνυμος, *ὑπέσκαψαν*) *τεῖχος* ». Ἀλλὰ τὴν τοιαύτην ἀνάγνωσιν ἐξελέγχει καὶ αὐτὴ τῶν ἐξηγητῶν ἡ διαφωνία· φαίνεται δὲ καὶ ψυχρά τις ἐπανάληψις τῶν προηγουμένων· « Εἰς βουλὴν αὐτῶν μὴ ἔλθοι ἡ ψυχή μου », καὶ (καθὼς ἑρμηνεύουσιν) « ἐν τῇ συνελεύσει αὐτῶν μὴ ἑνωθείη ἡ δόξα μου », τουτέστιν ἡ ψυχή μου (καθὼς μεταφέρουσιν)· ἄτοπος ταυτολογία, ἣν εἰς μάτην οἱ κριτικοὶ δικαιῶσαι σπουδάζουσιν. Οἱ δὲ Ο, ἀνέγνωσαν οὐχὶ kebodi (ἡ δόξα μου, ἐκ τοῦ kabod), ἀλλὰ kebedi (τὸ ἧπάρ μου, ἐκ τοῦ kabed),

---

(α) Ἐπιστάτην τῆς τραπέζης ὁ Φαβωρῖνος ἴσως λέγει τὸν παρὰ Πέρσαις Ἐδέατρον, ἢ Ἐλέατρον (καὶ ἄλλως Προγεύστην). Ἁπλούστερος δέ τις φαίνεται παρὰ τοῖς Σπαρτιάταις βασιλεῦσιν ὁ Κρεωδαίτης, δηλονότι δαίτης μόνον, ἢ μεριστὴς τῶν ἐπιτραπεζίων κρεῶν, ἀριθμούμενος δ' οὖν καὶ αὐτὸς μεταξὺ τῶν βασιλικῶν θεραπόντων (Πλούτ. Ἀγησ. § η. πρβλ. Spanhem. not. εἰς Ἰωσ. Ἀρχ. ς, δ, ι). Ἀρχιμάγειρον εἶχον καὶ τῶν Μακεδόνων οἱ βασιλεῖς, οἷος ἦν « ὁ παρὰ τῷ βασιλεῖ Ἀντιγόνῳ Εὐτροπίων, εἰς τάξιν γεγενημένος » (Πλούτ. π. Παίδ. ἀγωγ.). Εἰ δὲ καὶ οὗτος καὶ ταξίαρχος γεγενημένος ἐτήρει καὶ τὴν ἀξίαν τοῦ Ἀρχιμαγείρου, καὶ εἰ καὶ παρὰ Μακεδόσιν ὁ Ἀρχιμάγειρος ὑπῆρχεν ὁ αὐτὸς καὶ ἐπὶ τῶν δημίων, ἄδηλον. Κείσθω δ' οὖν καὶ αὐτὸ τὸ ἀρχιμάγειρος ὡς ὄνομα σύνηθες μὴ μόνον Ἀλεξανδρινοῖς, ἀλλὰ καὶ Μακεδόσι, διὰ τὰ σεσημειωμένα ἐν τοῖς προηγηθεῖσι, σελ. 256. κτλ.

καὶ τὸ *ἐρίζειν* ἀναλόγως ἡρμήνευσαν (α). Καὶ ταύτην αὐτῶν τὴν ἀνάγνωσιν, καὶ ὅλον δὲ τὸ κόμμα τοῦ λόγου ἐπικυροῦσι, 1) Τὸ Σαμαρειτανόν· 2) Ἡ παλαιὰ Ἰτάλα. 3) Πάντες οἱ τοῦ ῥητοῦ μνημονεύσαντες ἀρχαῖοι Πατέρες. 4) Καὶ αὐτὴ ἡ σαφήνεια τοῦ νοήματος. Ἐπὶ συνελεύσεως αὐτῶν (λέγει) μὴ ἐρίσαι πρὸς αὐτοὺς συγκινηθέντα τὰ ἥπατά μου, ἢ τὰ σπλάγχνα μου· (τουτ. μὴ παρείην ἐν συνόδοις αὐτῶν, ὥστε φιλονεικεῖν ἐκ θυμουμένης καρδίας). Δῆλον δὲ ὅτι τὰ ἥπατα, ἢ τὸ ἧπαρ ἐκλαμβάνεται κυρίως καὶ τροπικῶς ὡς ἕδρα παθῶν, ἄλλων τε καὶ θυμοῦ [κατὰ τὸ « *οἰδαίνεται ἧπαρ* », «tumet bile jecur». Ὅθεν ἐν τῇ συνηθείᾳ *ἥπατα*, καὶ αἱ δυνάμεις τοῦ σώματος (« *ἐκόπησαν τὰ ἥπατά μου* »)· τοιοῦτο καὶ τὸ « Λύπῃ πρὸς ἧπαρ δυσφορῶν ἐτειρόμην » (Εὐριπ. Ῥήσσ. 425), καὶ τὸ « Θυμοῦμαι, καί μου τὰ σπλάγχν' ἀγανακτεῖ ». Ἀριστοφ.]. Καὶ τὸ *ταῦρος* δὲ (ἑβρ. Schor) μεταφορικῶς λίαν κατάλληλον ἐπὶ τοῦ ἡγεμόνος τοῦ Συχέμ· « ἡγεμονικὸν γὰρ ὁ ταῦρος » (Εὐςάθ. εἰς Ἰλ. Β. 480). Τὸ δὲ τεῖχος (ὡς ἀναγινώσκουσιν ἐν τῷ ἑβραϊκῷ, Schur) ἀντίκειται καὶ πρὸς τὴν ἱστορίαν. Ὅτι μὲν γὰρ « διήρπασαν ὅσα ἦν ἐν τῇ πόλει », τοῦτο λέγει ἡ Γραφὴ (Γεν. λδ, 27), ἀλλ' οὐχὶ καὶ ὅτι *ὑπέσκαψαν*, ἢ *κατηδάφισαν τεῖχος*· ἔπειτα καὶ ἄλλως οὐ πάνυ τι φαίνεται πιθανὸν, ὅτι εἶχε τεῖχος ἡ πόλις τῶν Συχεμιτῶν (β).

Κεφ. ΜΘ. 10. «Οὐκ ἐκλείψει ἄρχων» κτλ. βλ. ἐφεξ. βιβλ. Γ.

Κεφ. ΜΘ. 22. «Ἰωσὴφ *υἱὸς ηὐξημένος, υἱὸς ηὐξημένος*, ζηλωτὸς, υἱός μου *νεώτατος*, πρός με ἀνάστρεψον ». — Τὸ ἑβρ. (ὡς ἑρμηνεύουσιν) « Υἱὸς (ἄλλ. *κλάδος*, ἢ *φοίνικος ὄρπηξ*), καρποφόρος Ἰωσὴφ, κλάδος καρποφόρος (ἄλλ. υἱὸς αὐξάνων) παρὰ τὴν

---

(α) Ἐρίσαι καὶ Ἱερώνυμος ἀνέγνω, καὶ ὁ ἱερὸς Ἀμβρόσιος « ne contendant viscera mea »: Ὁ δὲ Τερτυλλιανὸς ἐρείσαι φαίνετ' ἀναγνοὺς (ἐκ τοῦ ἐρείδω) « non incumberint viscera mea » (Tertull. adv. Iudaeos)· ἀλλὰ συγχέονται πρὸς ἄλληλα συχνάκις τὰ δύο ταῦτα ῥήματα· καὶ τὸ ἐρείδω ἔχει καὶ τοῦ ἐρίζω τὴν σημασίαν.

(β) Schulz Sch. in. h. l. - Schleusn. Thes v. Ταῦρος, Ἧπαρ πρβλ. Drusij Quest. Hebr. C. 11, quaest. 54 - καὶ S. Hieron Quaest, in Genes. 49.

πηγήν. Οἱ βλαστοὶ (ἄλλοι, αἱ θυγατέρες) ἐξαπλοῦνται ἐπὶ τοῦ τοίχου» (ἄλλοι, «δυσὶ βλαστοῖς πρόεισιν ἐπέκεινα τοῦ τοίχου»)· κτλ. Ἀλλὰ τὸ γνήσιον τῆς τῶν Ο, ἀναγνώσεως βεβαιοῦται καὶ ἐκ τῆς σαφηνείας, καὶ ἐκ τοῦ Σαμαρειτανοῦ, καὶ παρὰ τοῦ Φίλωνος (τ. α. σελ. 394). *Υἱὸς ηὐξημένος* (filius auctus) δὶς ἡρμήνευσε καὶ Ἱερώνυμος· ἀλλ' ἀπὸ τοῦ ζηλωτὸς καὶ ἐφεξῆς παρεξετράπη. Σκανδαλίζει δὲ τοὺς κριτικοὺς καὶ τὸ «*υἱός μου νεώτατος*» (β). Οὐ γὰρ Ἰωσὴφ (λέγουσιν), ἀλλ' ὁ Βενιαμὶν ἦν ὁ *νεώτατος* τῶν υἱῶν Ἰακώβ. κτλ. Ἀλλὰ πρῶτον μὲν, τὸ *νεώτατος* ἀναφέρεται καὶ πρὸς τοὺς δέκα τοὺς πρεσβυτέρους Ἰωσὴφ ἀδελφοὺς, ὧν ὁ πατὴρ ἐμνημόνευσε προηγουμένως (τὸν δὲ Βενιαμὶν ὠνόμασε μετὰ τὸν Ἰωσήφ). Ὅθεν εἶπε καὶ Φίλων (ἔνθα ἀνωτέρω). «Καὶ τὸν Ἰωσὴφ νέον τε *καὶ νεώτατον* ἀεὶ λέγεσθαι· καὶ γὰρ ,ὅταν ἐπιστατῇ τῆς ποίμνης μετὰ τῶν νόθων ἀδελφῶν, νέος προσαγορεύεται» (Γεν. λζ, 2) κτλ. Ἔπειτα καὶ ἄλλως, ὅ,τε Ἰωσὴφ καὶ ὁ Βενιαμὶν λέγοιντ' ἂν ἐπίσης ἀμφότεροι *νεώτατοι*, ἀντὶ τοῦ χαριέστατοι καὶ ἀγαπητότατοι, κατὰ τὸ, « ἄμφω *τηλυγέτω*» (Ἰλιαδ. ε. 153). Λέγει δὲ καὶ ῥητῶς ἡ Γραφὴ, «ὅτι ἠγάπα ὁ Ἰακὼβ τὸν Ἰωσὴφ παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ, ὅτι *υἱὸς γήρως ἦν αὐτῷ* » (Γεν. λζ, 3), τὸ αὐτὸ καὶ τηλύγετος, ὀψιγενής. Καὶ αὐτοῦ δὲ, τέλος, τοῦ Βενιαμὶν νεώτερος δικαίως ἂν ῥηθείη ὁ Ἰωσὴφ, οἷον ἀναγεννηθεὶς, καὶ πάντων ἔσχατος καὶ τηλύγετος ἐκ νέου πρὸς τὸν πατέρα ἐπιφανεὶς (κατὰ τὸ « νεκρὸς ἦν καὶ ἀνέζησε »).

§. γ. Ἐκ τῆς Ἐξόδου,

Κεφ. Ι. 13. «Ἄνεμον *νότον*». Τὸ ἑβρ. *εὖρον*, ἢ *ἀνατολικὸν* (Kadim, ἐκ τοῦ Kedem, ἡ ἀνατολή). Ἀλλὰ, 1) Ἐπὶ μὲν τῆς Παλαιστίνης κατοικοῦσι τοῖς Ἰουδαίοις οἱ ἀπὸ θαλάσσης ἄνεμοι ἔπνεον ἐκ δυσμῶν. πρότερον δὲ τὴν Αἴγυπτον οἰκοῦντες, εἶχον τοὺς ἀνέμους τούτους πνέοντας ἀπὸ βοῤῥᾶ. Ἐπειδὴ δὲ ὁ Kadim ἄνεμος ἀντίκειται πρὸς τοὺς θαλασσίους, ὡς πνέων ἀπὸ ξηρᾶς, εἴη ἂν οὗτος (ὡς πρὸς τοὺς

(α) Hier. Quaest. in Genes. πρβλ. Schulz Schol. l. c.

(β) Βλ. Schleusn. Thes. λ. Νεώτατος·

Αἰγυπτίους) οὐκ *ἀπηλιώτης*, ἢ *εὖρος*, κυρίως, ἀλλά τις τῶν νοτειοτέρων. Καὶ μέχρι δὲ τῆς σήμερον οἱ τὴν ἀκρίδα φέροντες τοῖς Αἰγυπτίοις καυσώδεις ἄνεμοι πνέουσιν ἐκ τῶν νοτειοτέρων χωρῶν, ἀπὸ τῆς Αἰθιοπίας (Οὐόσσ.). Καὶ ὀρθῶς λοιπὸν ἀπέδωκαν οἱ Ο, νότον τὸ Kadim ὧδε τε καὶ ἀλλαχοῦ (Ἐξόδ. ιδ, 21: Ἰώϐ, λη, 24), ὡς ἐκ τῆς θέσεως καὶ τῶν συμϐαινόντων. 2) Καὶ Φίλων ὁ *Ἀλεξανδρινὸς* ὡσαύτως τὸ ῥητὸν μνημονεύσας, ἐπιμαρτυρεῖ, ὅτι « Ὁ νότος καὶ αὐτὸς καθ' ἑαυτὸν, ὅταν βίαιος καταῤῥάττῃ μεγάλη γίνεται ζημία — μάλιστα ἐν Αἰγύπτῳ » (τόμ. β. σελ. 99). 3) τελευταῖον· « *Νότος* » (κατὰ τὴν διαίρεσιν τῶν ἀρχαίων), οὐ μόνον ὁ κυρίως νότος, ἀλλὰ καὶ πᾶς ἄνεμος θερμὸς (ἀντιδιεσταλμ. πρὸς τὸν βοῤῥᾶν, ὡς ψυχρόν). « Ἐπὶ γὰρ τῶν πνευμάτων λέγεται τὰ μὲν βόρεια, τὰ δὲ νότια· τὰ δ' ἄλλα, τούτων παρεκϐάσεις » (α). « Καὶ προστίθεται δὲ τὰ μὲν ζεφυρικὰ τῷ βορέᾳ, ψυχρότερα γάρ· τῷ δὲ νότῳ τὰ ἀπηλιωτικά » κτλ. (β).

---

(α) Ἀριστοτ. Πολιτ. δ, 3.

(ϐ) Ἀριστ. Μετεωρολ. Β, 6. - πρβλ. Schleusn. Thes. V. Test. λ. Νότος. βλ καὶ Bochart. Hieroz. P. II, L. I. c. 15. p. 102. - Schulz Schol. in Ex. l. c. Ἡ Βουλγάτα (Ἐξόδ. αὐτόθ.) ἔχει « ventum urentem » (ἄνεμον καυσώδη)· ἐκ δὲ τούτου πάλιν τὸ Kadim οὐ φαίνεται συγγενὲς τοῦ Kedem (ἡ ἀνατολὴ), κατὰ τοὺς περὶ τὸν Δρούσιον (Annot. in h. l.). Ἀλλὰ καὶ ὁ Leclerc (Append. ad Exod.) ἑρμηνεύει τὸ Kadim, βίαιον ἄνεμον· καὶ ὁ Michaelis, ἄνεμον ἐναντίον (ventum adversum). Ὁ δὲ Ludv. de Dieu θεωρήσας, ὅτι ὁ τοῖς Ἰσραηλίταις ἐπαγαγὼν τὴν ὀρτυγομήτραν ἄνεμος ἑϐραϊστὶ (Ψαλμ. 78, 46) ὀνομάζεται Kadim (ὅπερ λέγουσιν εὖρον), καὶ Theman (νότος), παρὰ δὲ τοῖς Ο (ψαλμ. οζ, 26) νότος καὶ λίψ, ἐξέλαϐεν ἐνταῦθα τὸ Kadim ἀνατολικονότιον, καὶ δικαιοῖ τὸ νότος (βλ. καὶ Cartwright. annot. ad Exod. h. l.). Ὁ δὲ Cahen ἑρμηνεύσας τὸ Kadim, vent d'Est, (ἀνατολικὸν), ἔπειτ' ἀπορεῖ καὶ αὐτὸς. πῶς ἂν ἦν τοιοῦτος ἐκεῖνος ὁ ἄνεμος (La Bible Exod. l. c.). Ὁ δὲ τέλος Eichhorn. (Comment.), καὶ ὁ Rosenmüller (Schol. in Exod. h. l.) νότον ἑρμηνεύουσι, λέγοντες, ὅτι « Νοτίῳ, ἢ μεσημϐρινῷ (australi) ἀνέμῳ φερομένη ἡ ἀκρὶς εἴωθεν (ἐκ τῆς Αἰθιοπίας) ἐπέρχεσθαι καὶ μέχρις Αἰγύπτου ». Πρϐλ. καὶ Leon de Laborde, Comment. Géografique sur l'Exode et les Nombres pag. 44—56: ὅπερ ὁ πολυμαθέστατος συγγραφεὺς ἐξέδωκε μετὰ τοῦ κειμένου τῶν Ο, καὶ τοῦ τῆς Βουλγάτας. [Ἄπορον δὲ, πῶς τὸ Ventum urentem τῆς Βουλγάτας διασαφῶν (p.

Κεφ. ΙΓ. 18. «*Πέμπτη δὲ γενεᾷ ἀνέβησαν — ἐξ Αἰγύπτου*».— Ἀλλ' ἐν Γενεσ. ιε, 16, γέγραπται «*τετάρτη γενεᾷ*». Ὅθεν τὸ ἑβρ. Hamuschim (Ἐξόδ. ιγ, 18) ἑρμηνεύουσιν οὐχὶ *πέμπτη γενεᾷ*, ἀλλ' (ἵνα τάχα φύγωσι τὴν ἀντίφασιν) *παρατεταγμένοι*. Καὶ Ἀκύλας καὶ Σύμμαχος εἶπον *ἐνοπλισάμενοι*, ἢ *καθωπλισμένοι*. Καὶ ἡ Βουλγάτα (armati), ἔνοπλοι. Καὶ αὐτοὶ δὲ (λέγουσιν) οἱ Ο, τὴν αὐτὴν ἑβραϊκὴν φωνὴν ἡρμήνευσαν ἀλλαχοῦ *εὔζωνοι* (Ἰησ. α, 14), καὶ *διεσκευασμένοι* (Ἰησ. δ, 12).— Ἀλλά, α) τὸ Hamuschim, σημαίνει κυρίως *πενταδικοὶ* (quini), καὶ ὀρθῶς οἱ Ο, ἡρμήνευσαν *πέμπτη γενεᾷ*. Οὕτω καὶ ὁ Θεοδοτίων εἶπε, *πεμπταΐζοντες* (ἐκ τοῦ πεμπταῖος), δηλαδὴ διὰ *πέντε γενεῶν*, ἢ *πέμπτην γενεὰν ἄγοντες* (ὡς καὶ τὸ *πεμπταῖος* ἑλληνικῶς καὶ κυρίως σημαίνει τὸ διὰ *πέντε ἡμερῶν*, ἢ *πέμπτην ἡμέραν ἄγειν*) (α). Ἐν δὲ τοῖς δυσὶ χωρίοις τοῦ Ἰησοῦ (α, 14: δ, 12) ἄλλως πως ἀναγνόντες τὴν λέξιν οἱ Ο, ἡρμήνευσαν *ἔνοπλοι*, καὶ *διεσκευασμένοι*. Τοῦτο δὲ παρατηρήσας ὁ συχνῶς ὑποκλέπτων τὰ τῶν Ο, Ἀκύλας (ἐξ αὐτοῦ δὲ καὶ ὁ Σύμμαχος) καὶ μὴ ἐξακριβώσας τὴν ἀνάγνωσιν τῆς ἑβραϊκῆς φωνῆς, μετέφερε τὴν αὐτὴν σημασίαν καὶ ὅπου οὐκ ἔδει, ὡς φανήσεται ἐκ

---

44) εἶπε καὶ ὅτι «Les Septante (οἱ Ο,), Luther, Mayer etc. ont traduit un vent d'Est (ἄνεμον εὖρον, ἢ ἀπηλιώτην)· ἐν ᾧ οἱ Ο, ἔχουσι νότον].

(α) Βλ. Schleusn. Thes. v. Εὔζωνος, Πεμπταΐζω. Ὁ δὲ Φύλλερος (Fuller Misc. Sacr. V, 2) προσκαινοτομῶν ἐπὶ τῷ Θεοδοτίωνι, διορθοῖ τὸ πεμπταΐζοντες εἰς τὸ πεμπτάζοντες, καὶ ἐπεξηγεῖ κατὰ πέντε ἀριθμούμενοι (κατὰ τὸ πεμπάζω, ἐκ τοῦ πεμπὰς = πεντάς). Ὁ δὲ Schleusner, ἐκ τοῦ Cardwright (l. c.) διορθοῖ καὶ τὸν Φύλλερον, τρέπων μᾶλλον εἰς τὸ μέσον ἢ παθητ. πεμπταζόμενοι! Ἀλλ' οὔτε τὴν γραφὴν τῆς Θεοδοτίωνος λέξεως μετακινητέον (ἐκ τοῦ πεμπταῖος, οὐκ ἀπὸ τοῦ πεμπτὰς σχηματισθείσης, ὡς ἐκ τοῦ τριταῖος, τριταΐζω κτλ)· οὔτε τὴν σημασίαν αὐτῆς ἀγνοητέον. Ὁ δὲ κλεινὸς Οὐβιγάντης διορθῶν τὴν ἑβραΐδα λέξιν μεταθέσει στοιχείου ἑνὸς, ἑρμηνεύει σπεύδοντες, ἢ ἐσπευσμένως (festinanter)· ὅσον εὔκολον τόσον ματαίαν διόρθωσιν! (Not. Crit. Tom. I. pag. 85). Σημειωτέον προσέτι, ὅτι τὸ αὐτὸ Hamuschim εὑρίσκεται ἐν τῷ ἑβραϊκῷ κώδηκι καὶ ἀλλαχοῦ, καὶ α, Βασ. ς, 19 (ὅπου οἱ Ο, πεντήκοντα χιλιάδ.) καὶ τοῦτο πολλὰ πράγματα παρέσχε τοῖς κριτικοῖς, ὧν οἱ μὲν ἐξαλείφουσι τὸ κόμμα. οἱ δ' ἄλλως ἀναγινώσκοντες ἐξηγοῦσι τὴν λέξιν πέντε, ἢ καὶ πεντήκοντα. εἷς δέ τις καὶ ἐνόπλους. Βλ. Schulz. Shol. in I. Sam. 6, 19.

τῶν ἐφεξῆς. 2) Οὔτε *ἔνοπλοι*, ἢ (καθὼς ἐπεξηγοῦσι) *κατὰ πέντε τάξεις καὶ στίχας*, ἢ στήλας (colonnes), ἢ *καὶ πέντε κατὰ μέτωπον τεταγμένοι*, ἠδύναντο ἐξελθεῖν οἱ Ἰσραηλῖται ἐκ τῆς Αἰγύπτου, οὔτε *πέντε βρέφη κατωμάδια φέροντες* ἕκαστος, ἢ πέντε ὅπλα ὅμοια, ἢ πέντε εἰδῶν ὅπλα, οὔτ᾿ *ἐπὶ τῆς πέμπτης πλευρᾶς τὰ ὅπλα φοροῦντες*, (ὡς ἐκ τοῦ chomesch, ἡ πέμπτη δηλονότι πλευρὰ, περὶ ἣν περιζωννύονται τὰ ὅπλα παρὰ τὴν ὀσφὺν), οὔτ᾿ ἄλλο τοιοῦτο πέμπτον, ὡς ὠνειρεύθησαν οἱ Ῥαββῖνοι· ἀλλὰ τί λέγει ἡ Γραφή; «Τὸ σταῖς (τὸ *φύραμα*) αὐτῶν ἀνέλαβεν ὁ λαὸς ἐπὶ τῶν ὤμων» (πρὸ τοῦ ζυμωθῆναι). Εἶχον δὲ καὶ «τὰ σκεύη τὰ χρυσᾶ καὶ ἀργυρᾶ, ἃ ᾔτησαν καὶ ἔλαβον παρὰ τῶν Αἰγυπτίων» κτλ. (Ἐξόδ. ιβ, 34-35)· ὅπλων δ᾿ ἐνταῦθα λόγος οὐδείς. Δῆλον δὲ καὶ τῷ μικρὸν ἐπιστήσαντι, ὅτι ἄοπλοι ἐξῆλθον οἱ Ἰσραηλῖται ἐκ τῆς Αἰγύπτου· πῶς γὰρ ἂν παρέσχον αὐτοῖς ὅπλα οἱ Αἰγύπτιοι; ἢ παρὰ τίνων ἄλλων εἶχον λαβεῖν; Ὅθεν ὁ Ἰώσηπος· «*Ὅπλων δὲ σπανίζοντες*», μόλις, ἀφ᾿ οὗ διέβησαν τὴν θάλασσαν, ἔλαβον τὰ τῶν καταποντισθέντων Αἰγυπτίων, «προσενεχθέντα τῷ στρατοπέδῳ τῶν Ἑβραίων ὑπὸ τοῦ θαλασσίου ῥοῦ» (Ἰώσηπ. Ἀρχ. Β. ιε, 4, καὶ ις, 6: Θεοδώρ. ἐν Ἀπόρ. εἰς Ἐξόδ. ἐρωτ. λγ). Ὅτε δ᾿ ἀνέβαινον ἐξερχόμενοι τῆς Αἰγύπτου, οὕτως ἀπεῖχον ὁπλισμοῦ καὶ παρατάξεως, ὥστε (πᾶν τοὐναντίον) ὡς ἀόπλους ἐξερχομένους καὶ δειλοὺς ἐκ τῆς δουλείας, «Οὐχ ὡδήγησεν αὐτοὺς ὁ Θεὸς ὁδὸν γῆς Φυλιστιεὶμ, ὅτι ἐγγὺς ἦν, μήποτε μεταμελήσῃ τῷ λαῷ *ἰδόντι πόλεμον* (τῶν Φυλισταίων), καὶ ἀποστρέψῃ εἰς Αἴγυπτον· καὶ ἐκύκλωσεν» κτλ. (βλ. Ἐξόδ. ιγ, 17, 18). Καὶ πάλιν ὁ Ἰώσηπος (αὐτόθ.)· «Καίτοι χαλεπῆς οὔσης ὁδευθῆναι τῆς γῆς, οὐ *στρατοπέδοις μόνον*, ἀλλὰ *καὶ καθ᾿ ἕνα*». Ποῦ μένουσι λοιπὸν οἱ λῆροι τῶν ῥαββίνων, καὶ τὸ *πένταχα τετάχθαι*, καὶ τ᾿ ἄλλα τῶν κριτικῶν, καὶ τὸ τοῦ Ἀκύλα *καθωπλισμένοι*; Καὶ δικαίως ἄν τις θαυμάσοι, πῶς καὶ ὁ θεῖος Ἱερώνυμος, Ἀκύλα μᾶλλον ἢ τοῖς Ο πιστεύσας, προσέθηκε καὶ ὅτι «περὶ τῆς ἐν τούτῳ τῷ χωρίῳ (Ἐξόδ. ιγ, 18) κυρίας καὶ ὀρθῆς τοῦ Ἀκύλα ἑρμηνείας (τῆς *ἐνοπλισάμενοι*, ἢ *καθωπλισμένοι*) «πᾶσα Ἰουδαία συνα-

νακράζει, συμφωνοῦσι δὲ καὶ πάντα τῶν Συναγωγῶν τὰ βάθρα, ἢ *συψέλλια* (subsellia) ». Οὕτως ὁ μακάριος πατὴρ, ἐπιλαθόμενος καὶ ὧδε τί λαμπρῶς ἀνακράζει ἡ Ἐκκλησία, καὶ πάντες οἱ πρὸ αὐτοῦ θεῖοι Πατέρες, καὶ αὐτὴ δὲ πᾶσα ἡ πρὸ Χριστοῦ καὶ μέχρι τῶν Ἀκύλα χρόνων Ἰουδαία Συναγωγὴ, παρετήρει, πῶς ἡρμήνευον οἱ τότε κατ' αὐτὸν περὶ πολλὰς τῆς θείας Γραφῆς ἀναγνώσεις καὶ σημασίας καὶ αὐτῶν τῶν *συψελλίων* ἀφωνότεροι καὶ ἀλογώτεροι ῥαββῖνοι! 3) Τελευταῖον· τὸ ἑβραϊκὸν (κατὰ τὴν κυρίαν σημασίαν τοῦ Hamuschim) λέγει· « Ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ *πενταδικοὶ*, καὶ πεμπταΐζοντες, ἢ πέμπτοι (ἀπ' αὐτοῦ τοῦ Ἰσραὴλ)», ὅπερ οἱ Ο, σαφῶς ἡρμήνευσαν *πέμπτῃ γενεᾷ*. Καὶ τοῦτο δείκνυται ἀπὸ τῶν πραγμάτων. Μωϋσῆς καὶ Ἀαρὼν οἱ ἀδελφοὶ (καὶ πάντες ὁμοίως οἱ οἰκογενειάρχαι υἱοὶ Ἰσραὴλ) ἦσαν τότε πέμπτοι ἀπὸ Ἰσραὴλ (δηλονότι τοῦ Ἰακὼβ, τοῦ πρώτου μετὰ τῶν υἱῶν εἰς Αἴγυπτον καταβάντος)· Ἰακὼβ, Λευΐ, Καὰθ, Ἀμρὰν, Μωσῆς. Ἰδοὺ *πέντε* γενεαὶ, μετρούμεναι κατὰ πρόοδον συνεχῆ ἀπὸ τῆς ἀρχῆς· αἱ δ' αὐταὶ πάλιν (τῆς ζώσης παραλειφθείσης) θεωρούμεναι ὡς πλήρεις καὶ τετελεσμέναι, ἀποβαίνουσι *τέσσαρες*, κατὰ τὸ « τετάρτῃ γενεᾷ» (Γενέσ. ιε. 16). Τὸ δ' αὐτὸ δείκνυται, κἂν ἀπὸ τοῦ πρότερον καταβάντος εἰς Αἴγυπτον Ἰωσὴφ (υἱοῦ Ἰακὼβ) ἀριθμηθῶσιν αἱ γενεαὶ, μέχρι Γηρσὼν καὶ Ἐλεάζαρ (Μωσέως υἱῶν), γεννηθέντων πρὸ τῆς Ἐξόδου (α). Ὅτι δὲ πολλάκις ἐν ταῖς προόδοις, ἢ σειραῖς τῶν τακτικῶν ἀριθμῶν ὁ ἔσχατος ὅρος, ἢ συμπεριλαμβάνεται (ὡς τέρμα τῆς πρωτευούσης σειρᾶς), ἢ ταύτης ἀποκλείεται (ὡς ἀρχὴ τῆς ἑπομένης), παραλεί-

---

(α) « Π έ μ π τ ῃ γ ε ν ε ᾷ — *συναριθμουμένου* καὶ τοῦ Ἰακώβ. Ὅταν δὲ εἴπῃ *τετάρτῃ γενεᾷ*, οὐκ ἀριθμεῖ τὸν Ἰακώβ. Ἰακὼβ ἐγέννησε τὸν Λευΐ, Λευΐ τὸν Καὰθ, ἐξ οὗ Ἀαρὼν, ἐξ οὗ Ἐλεάζαρ » (Σχόλ. εἰς Ἐξόδ. αὐτόθ. βλ. Σειρ. εἰς τὴν Ὀκτάτ. τ. α. σελ. 693. ἐκδ. Θεοτόκ.). βλ. καὶ Voss. l. c. Οὕτω καὶ ὁ Clericus συμφώνως τοῖς Ο τὸ ἑβραϊκὸν ἐκλαβὼν, ἡρμήνευσε quinta aetate (*πέμπτῃ ἡλικίᾳ*). Οἱ δέ τινες τὸ *πέμπτῃ γενεᾷ* ἐξεδέξαντο ἀντὶ *πέμπτῳ αἰῶνι* (quinto seculo), ἢ *πέμπτῃ ἑκατονταετηρίδι* (ὡς μετα 430 ἔτη ἐξελθόντων ἐκ τῆς Αἰγύπτου τῶν Ἰσραηλιτῶν), βλ. Munster. καὶ Vatable annot. ad h. l. Οἱ δὲ πλεῖστοι τῶν νεωτέρων συμφωνοῦσι τοῖς Ῥαββίνοις. βλ. Rosenmüll. Sch. in h. l. Περὶ τοῦ « τετάρτῃ γενεᾷ (Γεν. ιε, 16) λέγομεν. ἰδίως καὶ ἐν τοῖς ἑξῆς, Βιβλ. Γ.

πομεν ἄλλας μαρτυρίας, ἀρκούμενοι εἰς αὐτὴν αὐτῶν τῶν ῥαββινιστῶν τὴν ὁμολογίαν. Οὗτοι γὰρ ἐκ ταύτης ὁρμώμενοι τῆς ἀληθείας, ἐπεχείρησαν δικαιολογῆσαι καὶ τὴν προφανῶς ἡμαρτημένην ἐν τῷ ἑβραϊκῷ καὶ ψευδῆ ἀνάγνωσιν ἐκείνην. «Συνετέλεσε τῇ ἡμέρᾳ τῇ *ἑβδόμῃ*» (ἀντὶ τῇ *ἕκτῃ*· Γενέσ. β. 2), ἐκλαμβάνοντες τὸν *ἕβδομον* ἀριθμὸν, ὡς ὅρον χρονικὸν, οὗτινος ἡ ἀρχὴ μεσολαβοῦσα μεταξὺ τοῦ προϊόντος ἑβδομαδικοῦ διαστήματος καὶ τοῦ σύνεγγυς τετελεσμένου ἕκτου, ἐπαμφοτερίζει ἐφ᾽ ἑκάτερα· «ἡ γὰρ ἐσχάτη (λέγουσι) τῆς ἕκτης ἡμέρας στιγμὴ ἡ αὐτή ἐστι καὶ ἡ πρώτη τῆς ἑβδόμης (μεταξὺ γὰρ τῶν δύω τούτων χρονικῶν στιγμῶν, ἢ σημείων, οὐδὲν ἕτερον παρεμπίπτει!) (α). Εἰς ταῦτα δὲ τὰ σφόδρα σοφὰ καὶ τρισεπίλεπτα («δι᾽ ὧν οἱ ἄνδρες *ἀριθμέειν* ἡμᾶς διδάσκουσι»), πρόσθες καὶ τὴν πάγκοινον τοῦ βίου συνήθειαν, καθ᾽ ἣν καὶ αἱ γενεαὶ καὶ αὐτὰ δὲ τὰ ἔτη τῆς ἑκάστου ζωῆς ἀριθμοῦνται, συμπεριλαμβανομένου, ἢ καὶ ἀποκλειομένου τοῦ παρόντος ἔτους, ὃ διάγει, καὶ ἄλλα τοιαῦτα. Ὅτι δὲ καὶ αἱ Ὀλυμπιάδες ἐπίσης ἐλέγοντο καὶ *πενταετηρίδες* αἱ αὐταὶ καὶ ἐνίοτε *τετραετηρίδες*, φανερὸν ἐκ τῆς χρονολογίας.

Κεφ. ΚΔ. 10: Καὶ εἶδον τὸν τόπον οὗ εἱστήκει ὁ Θεός» — Τὸ ἑβρ. «καὶ εἶδον τὸν Θεόν». Οὕτω καὶ Ἀκύλας, καὶ ἡ Βουλγάτα. Ἀλλὰ τὴν ἀνάγνωσιν τῶν Ο κυροῦσι, 1) Αὐτὸ τὸ ἱερὸν κείμενον. Καὶ γὰρ ἐφεξῆς (κεφ. λγ, 13, 20) ὁ Μωϋσῆς ἱκετεύει τὸν Θεόν· «Ἐμφάνισόν μοι σεαυτὸν γνωστῶς, ἵνα ἴδω σε»· ὅπερ οὐκ ἂν ἔλεγεν, εἴπερ ἔβλεπε πρότερον τὸν Θεόν. 2) Αὐτὸς ὁ Θεὸς ἀποφαίνεται· «Οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου καὶ ζήσεται» (αὐτ.). Εἶδε μὲν γὰρ ὁ προφήτης πολλάκις καὶ διαφόρως τὴν δόξαν τοῦ Θεοῦ, ἀφ᾽ ἧς ἐλάλησεν αὐτῷ ὁ Κύριος ἐνώπιος ἐνωπίῳ (λγ, 9—18). ἀλλ᾽ αὐτὴν τὴν θέαν τοῦ Ἀοράτου, τὸν Θεὸν αὐτὸν «οὐδεὶς ἑώρακε πώποτε» (Ἰωάν. α, 17: Α, Ἰωάν. δ, 12). 3) Τὸ ἐνταῦθα «εἶδον *τὸν τόπον*» ἐπικυροῦται καὶ ἐξ ἄλλης ὁμοίας φράσεως. «Καὶ ἰδοὺ τόπος παρ᾽ ἐμοί,

(α) Βλ. L. Capell. Annot. in Genes. II. p. 260. - Le Moyen Var. Sacr. vol. 2. p. 845 sq. πρβλ. Voss. Resp. ad Huls. p, 62.

καὶ στήσῃ ἐπὶ τῆς πέτρας» κτλ. (λγ, 21) «τόπον γάρ φησιν, ἔνθα Θεοῦ παρουσίας νόησιν ἔλαβον» (Προκόπ. αὐτ.). Ὅθεν 4) ὁ Σύμμαχος ἡρμήνευσε, «καὶ εἶδον ὁράματι τὸν Θεόν» (τουτ. θεωρίᾳ νοερᾷ). 5) Καὶ ὁ Χαλδαῖος Ὄγκελος, «εἶδον τὴν δόξαν τοῦ Θεοῦ». 6) Καὶ ὁ Χαλδαῖος Ἰωνάθαν, «τὴν δόξαν τῆς θειότητος τοῦ Θεοῦ» (αὐτόθ. §. ια, ὅπου πάλιν οἱ Ο, «*τόπον Θεοῦ*»). Ὅσοι δὲ τῶν νεωτέρων πᾶσαν ἀνάγνωσιν τοῦ πολλὰ μετὰ τοὺς Ο, παθόντος ἑβραϊκοῦ κειμένου δικαιοῦσι, ψέγουσι τοὺς Ο, ὅτι δῆθεν μετέβαλον ὧδε τὴν ἑρμηνείαν, μὴ γελοῖος δόξῃ τοῖς Ἐθνικοῖς Ἕλλησιν ὁ Μωϋσῆς, ἱστορῶν, ὅτι εἶδεν αὐτὸν τὸν Θεὸν! (βλ. ὄπισθ. σελ. 166). Ἀλλὰ μήπως οὐ μετέφρασαν αὐτοὶ οἱ Ο καὶ ἄλλα τῆς Γενέσεως (λβ. 24, 27, 30, 31), ἐν οἷς τὸ *εἶδος τοῦ Θεοῦ*, *ἀνθρωποφανῶς* ὀφθέντος τῷ Ἰακὼβ, εἰκονίζεται; Πῶς οὖν οὐ κἀκεῖνα μετεποίησαν, φοβηθέντες τοὺς ἐθνικούς; Ἀλλὰ τοιοῦτόν ἐστι τὸ «ἐματαιώθησαν ἐν τοῖς λογισμοῖς αὐτῶν». (πρβλ. Ὠσηὲ ιβ, 3, 4, καὶ τοὺς ἱεροὺς Πατέρας ἐν Σειρᾷ εἰς Γενέσ. λβ. καὶ Ἐξόδ. κδ).

Κεφ. ΚΔ. 11. «*Οὐ διεφώνησεν οὐδὲ εἷς*» — Τὸ ἑβρ. «*οὐκ ἐπέβαλε χεῖρα οὐδενὶ*» (τουτ. οὐκ ἀπέκτεινεν οὐδένα) κτλ. Ἀλλὰ καὶ τὸ *διαφωνεῖν* σημαίνει οὐ μόνον τὸ *διάφωνον* εἶναι καὶ μὴ *συμφωνεῖν*, ἀλλὰ (παρ᾽ Ἀλεξανδρεῦσι μάλιστα) καὶ τὸ *ἐκλείπειν*, καὶ *ἀποθνήσκειν*. «Διαπεφώνηκεν, ἀντὶ τοῦ ἐσχάτην καὶ τελευταίαν φωνὴν ἀπέδωκε, τουτέστιν ἀπέθανε» (α). Οὕτω παρὰ τοῖς Ο, καὶ ἀλλαχοῦ (Ἀριθ. λα, 49: Ἠσ. κγ, 14: Α. Βασιλ. λ, 19: Ἰεζ. λζ, 11: Ἰουδείθ, ι, 13 κτλ.). Ὅθεν καὶ ὁ Φίλων συνάπτει ἀμφοτέρας τὰς τοῦ διαφωνεῖν σημασίας. «Τὸ μὲν *ῥητὸν διήγημα* φανερὰν τὴν ἀπόδοσιν ἔχει, ὡς ἁπάντων σφῶν *διατηρηθέντων*» (μηδενὸς ἀποθανόντος), «τὸ δὲ, πρὸς διάνοιαν (ἀλληγορικώτερον), τὸ πάντας περὶ τὴν εὐσέβειαν *συμφώνους εἶναι, καὶ ἐν μηδενὶ τῶν ἀγαθῶν διαφωνεῖν*» (Φίλων τόμ. α. σελ. 413, καὶ σελ. 375. πρβλ. Σειρ. εἰς τὴν Ὀκτάτ. τόμ. α. σελ. 829. ἐκδ. Θεοτόκ.).

(α) Σουΐδ. — «Διαπεφωνήκαμεν, ἀπωλόμεθα» Ἡσύχ. πρβλ. Sturz de Dial. Maced. p. 162. - Schleusn. Thes. V. T. v. Διαφωνέω.

Κεφ. ΛΒ, 18. « *Φωνὴν ἐξαρχόντων οἴνου* »· Τὸ ἑβρ. (χωρὶς τοῦ οἴνου) «*φωνὴν ᾀδόντων*»· ἢ «*φωνὴν ἀμειβομένων*» (ᾀδόντων ἐξ ὑπαμοιβῆς). Ὅθεν οἱ μέν τινες (α) νομίζουσι τὸ *οἴνου* κακῶς καὶ ἀνιάτως εἰσφρῆσαν εἰς τὴν ἑρμηνείαν τῶν Ο! διότι (λέγουσιν) οἱ Ἰσραηλῖται δι' ὅλων τῶν 40, ἐτῶν ἐν τῇ ἐρήμῳ «*Οἶνον καὶ σίκερα οὐκ ἔπιον*» (Δευτερ. κθ, 6)· οἱ δὲ τρέπουσι τὸ *οἴνου* εἰς τὸ *αἴνου*· ἢ καὶ (τὸ γελοιότερον) εἰς αὐτὸ τὸ ἑβρ. Ἀνόθ, τὸ ἐξάρχω [ἐλλειπτ. ᾠδῆς, ὡς Ἐξόδ. ιε, 21], ἢ ᾄδω, καὶ *ἀποκρίνομαι*· ὅθεν καὶ ὀνομαστικῶς, *ἀπόκρισις*, *ᾠδή* (β). — Ἀλλὰ, 1) χωρὶς τοῦ *οἴνου*, ἀποβαίνει ἡ φράσις ἀκατάληπτος ἀδιανόητος ἐν τῷ ἑλληνικῷ. Ἰδοὺ τὸ χωρίον ὁλόκληρον (κατὰ τοὺς Ο). « Οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ' ἰσχὺν, οὐδὲ φωνὴ ἐξαρχόντων τροπῆς· ἀλλὰ φωνὴν ἐξαρχόντων οἴνου ἐγὼ ἀκούω ». Ἄφελε τὸ νομισθὲν ὡς πρόσθετον *οἴνου*, καὶ συναφελεῖς ὅλον τοῦ κομματίου τὸ νόημα. Ὥστε προφανῶς οἱ Ο, μετὰ τὸ anoth (ἢ κατ' ἄλλην προφορὰν, ὀνοὺθ) ἀνέγνωσαν καὶ τὸ Jajin (οἴνου), ὅπερ ἐκπέπτωκεν ἐκ τοῦ νῦν κειμένου τοῦ ἑβραϊκοῦ. (γ) - 2) Τὸ ἐν Δευτερ. (κθ, 6) « οἶνον—οὐκ ἐπίετε», ἐκ τῶν ὡς ἐπὶ τὸ πλεῖστον ὂν, καὶ τὸ σύνηθες ἐκφράζον, οὐδόλως ἀποκλείει τὸ σπανίως, ἢ ἅπαξ γοῦν ἐν τῷ τεσσαρακονταετεῖ χρόνῳ συμβὰν, καὶ τοῦτο μάλιστα κατὰ τὴν ἄῤῥητον ἐκείνην καὶ ἀμνημόνευτον ὕβριν τῆς προλαβούσης μοσχολατρείας. - 3) Ὅτι δὲ τότε μοσχολατροῦντες ἔπιον οἶνον, καὶ ἐμεθύσθησαν οἱ Ἰσραηλῖται, φαίνεται σαφῶς ἐν τῷ αὐτῷ τῆς Ἐξόδου κεφαλαίῳ (λβ, 6). « Ἐκάθισεν

---

(α) Marsham. Can. Chronol. p. 209,

(β) Bos. proleg. ad LXX. c. 3. - Schleusn. Thes. V. T. v. Ἐξάρχω, Οἶνος, κτλ. Καὶ ὁ κλεινὸς Βοχάρτος (Hieroz. P. I. L. II. c. 34. p. 350) ὑπέλαβεν, ὅτι τινὲς ἀντὶ τοῦ, φωνὴν ἐ ξ α ρ χ ό ν τ ω ν, ἔγραψαν « φωνὴν ὀνοὺθ »· ὅθεν ἔπειτα κἀκεῖνο καὶ τοῦτο προσετέθη, μεταπλασθὲν εἰς τὸ ο ἴ ν ο υ !

(γ) « Τὸ δὲ Σαμαρειτικ. « Οὐκέτι (ἴσ. γρ. ο ὐ κ ἔ σ τ ι) φωνὴ ἀποκρίσεως ἀνδρίας, οὐκέτι (ἴσ. οὐκ ἔστι) φωνὴ ἀποκρίσεως ἥττης, ἀλλὰ φ ω ν ὴ ν ἁ μ α ρ τ ι ῶ ν ἐγὼ ἀκούω » (Σχόλ. παλ. αὐτόθ.). Ὅπου σημείωσαι καὶ τὴν τοῦ Σαμαρειτικοῦ πρὸς τὸ νῦν ἑβρ. διαφορὰν, καίτοι καὶ αὐτοῦ διεσφαλμένου (Voss. de LXX. p. 46). Καὶ ὁ Χαλδ. « φωνὴν ἁ μ α ρ τ α ν ό ν τ ω ν », ἢ π α ι ζ ό ν τ ω ν » (Houbig in h. l.). ὁ δὲ Ὄγκελος τὸ ἀνοὺθ ἐξέλαβε γ ε λ ώ ν τ ω ν. βλ. Criticos Sacr. in h. l.

ὁ λαός μου τοῦ φαγεῖν καὶ *πιεῖν* »· Τί γὰρ ἄλλο σημαίνει τοῦτο τὸ πίνειν, ἢ τὸ *οἰνοποτάζειν*; « Οὐ γὰρ ἂν τοῦτο (τὸ *πίνειν*) ἐπὶ ὕδατος ῥηθείη », φησὶ καὶ ὁ ἱερὸς Αὐγουστῖνος (Βιβλ. Ε. Ζητήμ. εἰς Δευτερον.). – 4) Ὅτι εἶχον οἶνον ἐν τῇ ἐρήμῳ πρὸς τὸ σπένδειν εἰς τὰς θυσίας, λέγει ῥητῶς ἡ Ἔξοδος (κθ, 40). Ὁμολογοῦσι δὲ καὶ οἱ Ῥαββῖνοι παραφρασταί, ὡς ὁ Ἰωνάθαν (εἰς Ἆσμ. ἀσμάτ. α, 14). Ὅστις ἐρωτῶν, πόθεν εἶχον ἐν ἐρήμῳ οἶνον εἰς σπονδάς; ἀποκρίνεται· ὅτι ἐτρύγων βότρεις, καὶ οἰνοποίουν ἐκ τῶν ἀμπέλων Ἐγγαδὶ (Ἀριθμ. ιγ). Ὁ δὲ ἱερὸς Αὐγουστῖνος ἐνόμισεν, «ὅτι ἐξ Αἰγύπτου εἶχον τότε τὸν οἶνον, ἀπαγαγόντες μετὰ τῆς ἄλλης ἀποσκευῆς »· (Ὑπομν. εἰς Ἐξόδ. λβ). Ἀλλ' ὁπόθεν ἂν ἐλάμβανον, εἶχον οἶνον ἐν τῇ ἐρήμῳ, καὶ ἔπιον, καὶ ἐμεθύσθησαν κατὰ τὴν ἀνέορτον ἑορτὴν τῆς μοσχολατρείας. Οὕτω καὶ Φίλων ἀνέγνω καὶ ἡρμήνευσε τὸ ῥητὸν (τόμ. α. σελ. 372-376. Μ.). Ὅθεν καὶ Ἰωάννης (ἴσως, ὁ Χρυσόστομος) λέγει περὶ τοῦ Μωϋσέως, « Ἄτοπον εἶναι λογισάμενος *μεθύοντα* λαὸν καὶ παρανομοῦντα νομοθεσίαν δεσπότου δέξασθαι » (α).

§. δ. Ἐκ τοῦ Λευϊτικοῦ.

Κεφ. ΙΗ, 21. « Καὶ ἀπὸ τοῦ σπέρματός σου *οὐ δώσεις λατρεύειν ἄρχοντι* ». Τὸ ἑβρ. « Καὶ ἀπὸ τ. σπέρμ. οὐ δώσεις *διαγαγεῖν τῷ Μολόχ* ». Οὕτω καὶ Σχόλιον παλαιόν. « Τὸ ἑβραϊκὸν Μολὸχ ἔχει, καὶ οἱ λοιποὶ ἑρμηνευταὶ οὕτω τεθείκασι » (πρβλ. Θεοδωρήτ. Ἀπορ. εἰς Λευϊτ. ἐρωτ. κε). Τὸ δὲ Μολὸχ, εἴδωλον Ἀμμωνιτῶν (γ. Βασιλ. ια, 7). Οἱ δὲ Ο, (λέγουσιν οἱ περὶ τὸν *Οὐθόβιον*) ἐκλαβόντες τὸ Μολὸχ (ἢ Μολέχ), ὡς *Μελὲχ* (ὁ βασιλεύς), ἔτρεψαν τὸ τοῦ εἰδώλου κύριον ὄνομα εἰς προσηγορικὸν (*ἄρχοντα*). Καὶ τὸ ῥῆμα δὲ τὸ ἑβραϊκὸν ἀνέγνων διὰ τελικοῦ συμφώνου τοῦ δ, abad (λατρεύειν), ἀντὶ διὰ τελικοῦ ρ, abar, *διάγειν*, ἢ *διαβιβάζειν* διὰ τοῦ πυρὸς, ἐπὶ κα-

---

(α) *Ἰωάν. ἐν Σειρ. εἰς τὴν Ἔξοδ. (βλ. Ὀχτατ. τ. α. σελ.* 914). *Ἐν δὲ τοῖς συγγράμμασι τοῦ* Χρυσοστόμου *οὐχ εὑρίσκεται τὴν σήμερον τὸ χωρίον.* Ἐν δὲ τοῖς Ἰωσήπου *βιβλίοις λείπει τὸ διήγημα τῆς ὑπὸ τοῦ* Μωϋσέως *συντριβῆς τῶν πρώτων τοῦ νόμου πλακῶν.* Τὴν δὲ *μοσχολατρείαν ἴσως καὶ αὐτὸς ὁ* Ἰώσηπος *ἑκὼν ἀπεσιώπησεν, « α ἰ δ ο ῖ τ ῶ ν π ρ ο γ ό ν ω ν »* Βλ. *Σχόλ. παλ. παρὰ* Bernard not.. *εἰς Ἰώσηπ.* p. 160. καὶ J. Ottij animadvers. in Ioseph. §. 2.

θαρμῷ, ὡς τὸ «*περικαθαίρειν*» (Δευτερ. ιη, 10) (α), ἢ καὶ ὅλως κατακαίειν τὰ παιδία θυσίαν τῷ Μολὸχ (τοῦτο γὰρ, τὸ κατακαίειν καὶ ὁλοκαυτοῦν, ἀείποτε σημαίνει κατ' εὐφημισμὸν, τὸ *διαβιβάζειν* διὰ τοῦ πυρὸς, ὡς ἄλλοι τε πολλοὶ, καὶ Λεκλέρκιος διατείνεται, οὔ τι πάνυ βέβαια διατεινόμενος· καὶ γὰρ καὶ ἐπὶ καθαρμῷ διεβίβαζον, καὶ εἰς θυσίαν κατέκαιον. Δ, Βασιλ. κγ, 10: Ἱερ. ζ, 31. λθ, 35).— Ἀλλὰ τὴν ἀνάγνωσιν τῶν Ο ἐπικυροῖ, 1) Τὸ κείμενον τὸ Σαμαρειτανόν (β). - 2) Αὐτὴ τῆς τοῦ λόγου συνεχείας ἡ ὑφή. Δι' ὅλου τοῦ ιη Κεφ. θρησκευτικῆς μὲν λατρείας καὶ θυσίας οὐδόλως οὐδεμία γίνεται μνεία, ἀπαγορεύονται δὲ μόνον αἱ παράνομοι μίξεις, εἰς διατήρησιν τῆς καθαρότητος καὶ τῆς εὐσεβείας τοῦ γένους τῶν Ἰσραηλιτῶν. Ὅθεν καὶ αὐτὰ τὰ γεννώμενα (τοὺς υἱοὺς καὶ τὰς θυγατέρας) κελεύει ὁ θεῖος νόμος μὴ διδόναι λατρεύειν καὶ ὑπηρετεῖν ἀλλοφύλῳ ἡγεμόνι (ἵνα μὴ παρ' αὐτοῦ δυσσεβοῦντος καὶ ἀσελγαίνοντος μιανθῶσι καὶ τὰ φρονήματα καὶ σώματα) (γ). Ὅτι δὲ τὸ Μελὲχ κυρίως ἐπὶ βασιλείας ἐθνικῶν, φανερόν. (οὔπω γὰρ εἶχον ἐπὶ Μωσέως βασιλεῖς ἰδίους οἱ Ἰουδαῖοι)· δεικνύουσι δὲ καὶ τὰ σύνθετα τῶν τότε βασιλευόντων Ἀβιμέλεχ, Ἀδραμέλεχ, καὶ ἄλλων ἀλλοφύλων. Καὶ ὀρθῶς ἄρα οἱ Ο, ἡρμήνευσαν ἄρχοντι (ἀλλοφύλῳ). Βεβαιοῦται δὲ τοῦτο καὶ ἐκ

(α) Hubigant. not. in l. c. p. 139. βλ. καὶ Θεοδώρ. Ἄπορ. εἰς δ. Βασιλ. ἐρωτ. μζ. Ἐκ τούτου τοῦ ἔθους ὁ ἱερὸς Θεοδώρητος παράγει καὶ τὸ ἐπ' αὐτοῦ (καὶ μέχρις ἡμῶν) ἀποσωθὲν ἔθιμον «τῶν ἐν ταῖς πλατείαις ἁπτομένων πυρῶν, ἃς τινὲς ὑπεράλλονται καὶ πηδῶσιν· ὃ δοκεῖ ἀποτροπιασμὸς εἶναι καὶ κάθαρσις». πρβλ. τῆς ς. Οἰκουμ. Συν. Καν. ΞΕ. Ὁ δὲ Selden de Dijs Syr. 1. 6. μᾶλλον τῷ Λεκλέρκῳ συμφωνεῖ.

(β) Ὁ δὲ Rosenmüll. (Sch. in h. l.) μηδὲν μελήσας, τοῦτο λέγει τὸ Σαμαρειτανὸν Παραδιόρθωσις (οὕτως ἑλληνιστὶ) ἐστὶν ἐκ τῶν Ο, ! Οὕτως ὁ κλεινὸς ἀνὴρ παραδιορθοῖ καὶ παραγράφει πάντα, χάριν παραληρημάτων Μασοριτικῶν.

(γ) Ἡ Βουλγάτα «non dabis ut consecretur idolo - Moloch. Ὁ δὲ Σύρος, ἡρμήνευσε τὸ ἑβρ. «Ἐκ τοῦ σπέρματός σου οὐκ ἐμβαλεῖς εἰς ἔγκυον ἀλλοτρίαν». Παράδοξος ἑρμηνεία. Πλὴν ἀλλ' ὅμως ἀποδείκνυσι καὶ αὕτη, ὅτι καὶ ὁ Σύρος ἐνεῖδεν ἐν τῇ ῥήσει τὸ ἀλλόφυλον· καὶ ὅτι οὐδόλως ὁ λόγος περὶ θρησκευτικῆς τελετῆς. Ὁ δὲ Ῥαββὶ Ben Ouziel, ἐξηγεῖ ὑπηρετεῖν ἀλλοτρίᾳ θρησκείᾳ· ἀλλὰ καὶ τούτου ἡ παρερμηνεία περιέχει τὸ ἀλλόφυλον· βλ. Cahen la Bible t. 3. p. 77. πρβλ. καὶ Vatablum, Drusium καὶ τοὺς λοιποὺς Criticos Sacr. annot. ad Leuit. h. l.

τοῦ ὅτι τὸ αὐτὸ περὶ τοῦ ξένου ἄρχοντος παράγγελμα ἐπανέλαβε τρανῶς ὁ θεῖος νόμος καὶ ἐφεξῆς (Λευΐτ. κ. 2, 3, 5, ὅπου πάλιν τὸ ἑβρ. ἔχει Μολὲχ, ἢ Μολόχ). Ὅθεν καὶ ἀλλαχοῦ (Δευτερ. ιζ, 15) μηδὲ τοῦ ἔθνους ἄρχοντα καὶ ἡγεμόνα *ἄνθρωπον ἀλλότριον* καὶ ἀλλόφυλον, ἀλλ᾽ ὁμογενῆ καὶ ἐκ τῶν *ἰδίων ἀδελφῶν* παρήγγειλε καθιστᾷν. - 3) Εἰς τὴν ἐνταῦθα (Λευΐτ. ιη, 21) φράσιν λείπει τὸ *διὰ τοῦ πυρὸς*, ἢ *ἐν πυρὶ* (ὡς Γ. Βασιλ. κγ, 10, κτλ.)· κεῖται δὲ μόνον ἁπλῶς τὸ διάγειν ῥῆμα, καὶ τοῦτο διεφθαρμένον ἐν τῷ ἑβραΐῳ, κατὰ τὰ ἀνωτέρω (abar, διάγειν, ἀντὶ abad, λατρεύειν). - 4) Εἴπερ ἡ λέξις ἐσήμαινε τὸν Μολὸχ (θεὸν τῶν Ἀμμωνιτῶν), εἶχεν ἂν ἐξάπαντος καὶ τὸ ἐπώνυμον ἢ τοῦ εἰδώλου, ἢ τοῦ ἔθνους τοῦ λατρεύοντος αὐτῷ (καὶ μάλιστα καθὸ πρῶτον ἐνταῦθα μνημονευόμενον). Οὕτω καὶ ἀλλαχοῦ (Γ. Βασιλ. ια, 7) «*Τῷ βασιλεῖ αὐτῶν, εἰδώλῳ υἱῶν Ἀμμών*» (α). Καὶ πάλιν, «*τῷ Μολὸχ βδελύγματι* (=εἰδώλῳ) *υἱῶν Ἀμμών*» (Δ. Βασιλ. κγ, 13)· ἔστι δ᾽ ὅπου καὶ τὸ κύριον ἔγραψαν καὶ τὸ σημαινόμενον ἐκ παραλλήλου (ὡς ἐπεξήγησιν,) «*Τῷ Μολὸχ βασιλεῖ*» (Ἱερεμ. λθ, 35)· καὶ χαρακτηριστικῶς, «*Τὴν σκηνὴν* (τὸν ναΐσκον) *τοῦ Μολόχ*» (Ἀμὼς ε, 26· ὅπου τἀνάπαλίν τινες τῶν νεωτέρων ἡρμήνευσαν, *τοῦ βασιλέως*) κτλ. Ἀλλ᾽ ἐν τῷ περὶ οὗ ὁ λόγος χωρίῳ (Λευΐτ. ιη, 2), τὸ *Μολὲχ*, ἢ *Μολὸχ* ἁπλῶς ἐκφερόμενον (ἄνθρωπον) *ἄρχοντα*, ἢ *βασιλέα* σημαίνει προσηγορικῶς. Τοῦτο δὲ καὶ Ἱερώνυμος (Ζητήμ. εἰς Παραλειπομέν. α), καὶ τῶν νεωτέρων ἄνδρες ἐπίσημοι ὡμολόγησαν (β).

---

(α) Ἀντὶ τοῦ β α σ ι λ ε ῖ, ἡ Κομπλ. ἔκδοσις ἔχει « μ ε λ χ ώ μ » τουτ. τῷ βασιλεῖ αὐτῶν Μολὲχ, τὸ αὐτὸ καὶ Μ ε λ ὲ χ καὶ Μ ο λ ό χ. Καὶ τὸ ἑβρ. ὡσαύτως ἔχει Milcom (αὐτόθ.)· καὶ πάλιν μετ᾽ ὀλίγον Molech (αὐτ, ια, 7. Βλ. καὶ Selden. de Dijs Syr. I. 6. καὶ Gesen. Lex. p. 579). Ἔλεγον δὲ καὶ Βασιλέα Θεῶν τὸν Μολόχ. Ὅθεν καὶ τὸ Μιλχώμ τινες (οὔ τι πάνυ ἀκριβῶς) ἐξέλαβον ὡς πληθυντικὸν, οἷον βασιλέα τῶν βασιλέων. Οὕτω δ᾽ ἐτιμῶντο προσαγορευόμενοι καὶ οἱ βασιλεῖς τῶν Αἰγυπτίων, Πάρθων, Αἰθιόπων, Βαβυλωνίων (Δαν. β, 37), Περσῶν (Ἔσδρ. ζ, 12), ὡς καὶ τὰ νῦν οὗτοι, Schahinschah.

(β) Outhovius in Bibl. Brem. Clas. I. p. 218. πρβλ. Schulz Schol. in Levit. 18. καὶ in Amos, 5. 26.- Schleusn. Thes. λ. Ἀρχὸς, Σκηνή. Ὁ δὲ Spencer

Κεφ. ΙΘ. 26. «Μὴ ἔσθετε *ἐπὶ τῶν ὀρέων*, καὶ οὐκ οἰωνιεῖσθε οὐδὲ ὀρνιθοσκοπήσεσθε». Τὸ ἑβρ. «Μὴ τρώγετε *ἐπὶ αἵματος*», κτλ. Ἐπλανήθησαν οἱ Ο, (λέγουσιν οἱ κριτικοὶ) συγχύσαντες πάλιν τὸ dal (δέλτα) πρὸς τὸ resch (ρῶ) ἀντὶ γὰρ τοῦ hedam (αἵματος) ἀνέγνωσαν heram (ὀρέων). — Ἀλλὰ τί μὴ μᾶλλον ἔπαθον ταύτην τὴν σύγχυσιν καὶ ὧδε (ὡς καὶ ἀλλαχοῦ) οἱ τοῦ ἑβραίου κώδηκος ἀντιγραφεῖς; Ἡ δὲ τῶν Ο ἀνάγνωσις καὶ ἑρμηνεία κυροῦται, 1) ὑπ' αὐτῆς τῆς ἐννοίας τοῦ λόγου. Τὸ κατ' αὐτοὺς *μὴ τρώγετε ἐπὶ αἵματος* (ἢ ἐφ' αἵματι) σημαίνει πάντως τὸ «*μὴ τρώγετε αἷμα*». Ἀλλὰ τὸ περὶ διαίτης τοῦτο παράγγελμα ποίαν ἔχει χώραν εἰς τὸν αὐτὸν παράγραφον συνημμένως μετὰ τοῦ οἰωνίζεσθαι, καὶ ὀρνιθοσκοπεῖσθαι; Ταῦτα γὰρ οὐδὲν ἔχουσι κοινὸν πρὸς τὰ περὶ βρωτῶν καὶ ἀβρώτων ἀλλαχοῦ συλλήβδην ἐκδεδομένα νομοθετήματα, ἐν οἷς καὶ τὸ «*οὐ φάγεσθε αἷμα*» (Λευϊτικ. ιζ, 14, κτλ.). Τὸ δὲ ἐσθίειν καὶ εὐωχεῖσθαι ἐπὶ τῶν ὀρέων (ὁπότε ἔθυον τοῖς εἰδώλοις «*ἐπὶ τῶν ὑψηλῶν*». Γ, Βασιλ. ιϐ, 31. πρβλ. καὶ Δευτερ. ιϐ. 2), εὑρίσκεται καὶ ἀλλαχοῦ τῆς θείας Γραφῆς· θύοντες δὲ ἐπὶ τῶν ὀρέων, καὶ οἰωνίζοντο (Δ. Βασιλ. ιζ, 9-17). - 2) Τὸ «*μὴ ἔσθετε ἐπὶ τῶν ὀρέων*» βεϐαιοῦται καὶ ἐκ τοῦ «*Ἐπὶ τῶν ὀρέων* οὐ φάγεται» (Ἰεζ. ιη, 6, 11, 15. πρβλ. Ὠσηὲ δ, 12, 13. καὶ Θεοδώρητ. εἰς Ἰεζ. ιη). — 3) Καὶ Ἀκύλας ἀντὶ *ἐπὶ τῶν ὀρέων* ἔγραψεν «*ἐπὶ τοῦ δώματος*» (Λευϊτ. αὐτ.). ὅπερ οὐκ ὀρθῶς Νοϐίλιος καὶ Δρούσιος ἔκριναν τρεπτέον *ἐπὶ αἵματος*· ἄλλος δέ τις (ὁ Scharfenberg) διορθοῖ ἐπὶ *ὑψώματος*·

---

(de leg. hebr. riti) ἐνόμισεν, ὅτι τὸ Μολὸχ καθόλου βασιλέα σημαῖνον, ἀπεδόθη καὶ εἰς ἕνα τινα Θεὸν, ὡς βασιλέα τῶν ἄλλων τιμώμενον. Καὶ ὁ Cahen ὑπέλαβεν, ὅτι τὸ ἐν Λευϊτ. (ιη, 21) βασιλέα τινα σημαίνει, μετὰ θάνατον ἀποθεωθέντα. Αὐτὸν δὲ τὸν Ἀμμωνιτῶν Μολὸχ, οἱ μὲν τον Κρόνον ἐξέλαβον, ᾧ τὰ τέκνα ἔθυον Χαναναῖοι, καὶ Τύριοι, καὶ Καρχηδόνιοι (Διόδ. ιγ, 86: κ, 14, καὶ 65, καὶ Wess. not. ibid. βλ. καὶ Πλάτωνα Μίνωϊ, καὶ Σοφοκλ. λείψ. 'Ανδρομέδ.). Ὁ δὲ Seldenus (u. s.) τὸν αὐτὸν εἶναι θέλει καὶ τὸν Βάαλ καὶ τὸν Ἥλιον· ὅθεν καὶ ὁ Cahen πρὸς τὸ Bal (Βάαλ, Βὴλ) παραβάλλει καὶ τὸν τῶν Χαλδαίων El· Ἐκ τούτου δὲ τοῦ El (βασιλεὺς). καὶ τοῦ Ja (θεὸς), ἠτυμολόγησεν ἡμῖν καὶ τὸ Ἥλ-Ιος, οὔτι πάνυ χαριέντως ἑλληνίζων ὁ πολυμαθὴς Ἰουδαῖος (αὐτόθ.). πρβλ. καὶ ὄπισθ. Κεφ. Β. σελ. 36.

ἀλλ' οὐ μετακινητέον τὴν γραφήν· τὸ ἑβρ. ar (ἄρ), σημαίνει πᾶν ὕψος, καὶ τὸ ὄρος, ὡς ἡρμήνευσαν οἱ Ο, συμφάσκει δὲ σὺν Οὐοσσίῳ καὶ Γρότιος.

§. ε. Ἐκ τῶν Ἀριθμῶν.

Κεφ. ΙΑ. 7. «Καὶ τὸ εἶδος αὐτοῦ (τοῦ μάννα), ὡς εἶδος *κρυστάλλου*» (ὅπου Σχόλιον παλ. «Οἱ λοιποὶ, *βδελλίου*»)· καὶ τὸ καθ' ἡμᾶς ἑβραϊκ. ἔχει *βεδολὰχ*, ἢ βδολὰχ (bedolach)· ἐξ οὗ καὶ καθ' ἑλληνικώτερον σχηματισμὸν, *βδέλλιον*, καὶ (κατὰ τὸν Ἰώσηπον Ἀρχ. Γ, α, 6) *βδέλλη*, ἥ· (ἔστι δὲ τοῦτο δάκρυον ἀρωματῶδες, ἢ κόμμι φυτοῦ τινος Ἀραβικοῦ. Διοσκορίδης, καὶ Πλίν. ιβ. 9). Ἀλλὰ, 1) ἄνδρες ῥαββῖνοι συνομολογοῦσι τοῖς Ο, κρύσταλλον καὶ αὐτοὶ ἐξηγοῦντες (α). Ὡσαύτως καὶ τῶν κριτικῶν ἐπισημότατοι, μεταξὺ τῶν ἅπαξ ἐν τῇ ἑβραϊκῇ γραφῇ λεγομένων ἀριθμοῦντες καὶ τὸ βδέλλιον, μόνους τοὺς Ο κηρύττουσιν ἀκριβεῖς ἑρμηνεῖς τῶν τε ἄλλων καὶ τοῦ βδελλίου (β). - 2) Ἀλλ' ἡ αὐτὴ (λέγουσιν) ἑβραϊκὴ λέξις κεῖται καὶ Γενέσ. β, 12. ὅπου οἱ Ο, μετέφρασαν *ἄνθρακα*. - Λάθος. Ἐνταῦθα γὰρ (Γενέσ. β) οἱ Ο, ἀνέγνωσαν οὐχὶ bedolach, ἀλλὰ balch (ἐκ τῆς Βάλχης, ἢ καὶ ταύτης ἐκ τοῦ Βὰλχ παρονομασθείσης, χώρας τῶν Χωρασμίων περιβοήτου διὰ τὰς τῶν πολυτίμων λίθων ὀρυχάς)· καὶ τοῦτο τὸ Βὰλχ ἡρμήνευσαν ἄνθρακα, ὡς κρίνουσιν ἄλλοι τε περιφανεῖς τῶν κριτικῶν, καὶ ὁ Μιχαῆλις (γ). Οἱ δὲ καὶ παντάπασιν ἀδιόριστον ὁμολογοῦσι τὸ bedolach. Ὅτι δὲ ἐν τῇ Γενέσει (β, 12) ἄλλο τι, ἢ *βδέλλιον*, ἀναγνόντες οἱ Ο, μετέφρασαν *ἄνθρακα*, δείκνυσι καὶ αὐτὸ τὸ χωρίον, ὅπου λίθοι τίμιοι ἀριθμοῦνται. «*Ἐκεῖ ἐστιν ὁ ἄνθραξ*» (ἴσως γενικώτερον, ἀντὶ τοῦ *ἀδάμας*, διὰ τὴν πυρώδη λάμψιν), «καὶ ὁ *λίθος ὁ πράσινος*» (ἡ σμάραγδος), κτλ. Τὸ δὲ βδέλλιον (τὸ κόμμι) ποῦ τοσοῦτον τίμιον, ὥστε πρὸς

(α) Rab. Salom. apud Buxtorf. in Histor. Mann. p. 355. πρβλ. Drusij, Annot. ad Deuter. h. l.

(β) J. Pearson Praefat. paraenet. in Edit. τῶν LXX. Cantabrig. 1665. καὶ J. Carpzov. Crit. Sacr. P. II. c. 2. p. 547. πρβλ. H. Reland. Diatrib. de situ Paradis. ter. p. 27. — (γ) Michael. in Biblioth. Orient. T. 9, p. 174: πρβ. Schulz. εἰς Γένεσ. αὐτόθ.

τὴν *σμάραγδον* παραβάλλεσθαι; - 3) Τελευταῖον· κἂν ὑποτεθῇ ὅτι bedolach ἐν ἑκατέροις τοῖς χωρίοις (Γεν. β. 12. καὶ Ἀριθμ. ια, 7) ἀνέγνωσαν οἱ Ο, ἀλλ' ὅμως διέκριναν ὀρθῶς τὰς διττὰς τῆς λέξεως σημασίας· (καὶ αὐτὸ δὲ τὸ ἑλληνικὸν ὄνομα ὁ *κρύσταλλος*, ἐξηγεῖ σαφῶς τὸ εἶδος τοῦ *μάννα*, ὡς μηδὲν ἕτερον ὄν, ἢ *δρόσον πεπηγυῖαν*. Οὕτω καὶ Σίναι τὸ μάννα καλοῦσι pinglu, τουτέστι δρόσον κρυσταλλωτήν). Ὅθεν ὁ Ἰώσηπος, πρῶτος πάντων, ἔγραψε τὸ μάννα «ὅμοιον τῇ τῶν ἀρωμάτων *βδέλλῃ*» (Ἀρχ. Γ. α, 6) ἀντὶ τοῦ τῶν Ο, «*ὡς εἶδος κρυστάλλου*», εἴτ' ἀφ' ἑαυτοῦ παραβαλὼν πρὸς τὸ *κρύσταλλος* καὶ τὸ βδέλλιον (τὸ κόμμι), ὡς καὶ τοῦτο *κρυσταλλίζον* δάκρυον καὶ σύγκριμμα πεπηγότος ὀποῦ, οἷον καὶ τὸ μάννα· εἴτε καὶ ἀπατηθεὶς ἐκ τῆς ὁμοιοφωνίας τοῦ bedolach πρὸς τὸ βδέλλιον, ἢ τὴν βδέλλην. Ἐκ δὲ τοῦ Ἰωσήπου παραχθέντες καὶ οἱ λοιποὶ (Ἀκύλας, κτλ.) ἀντὶ *κρυστάλλου* ἔγραψαν *βδελλίου* (α).

Κεφ. ΚΖ. 21. Δήλωσις καὶ ἀλήθεια (Οὐρὶμ καὶ Θουμίμ). βλ. τὰ προειρημένα κεφ. Δ, σελ. 210, κτξ.

§. ς. Ἐκ τοῦ Δευτερονομίου.

Κεφ. Γ. 5: «Πόλεων τῶν *Φερεζαίων*». Τὸ ἑβρ. Pherezi, ὅπερ ἑρμηνεύουσιν *ἀτειχίστων* (οὕτω καὶ Ἀκύλας αὐτόθι. Ὅθεν καὶ εἷς κώδηξ τῶν Ο, ὁ Ὀξονιακὸς, ἔχει *ἀτειχίστων*). Ἀλλὰ τὸ παρεξήγημα τοῦτο τοῦ ἑβραϊκοῦ κειμένου κρύπτει καθ' ἑαυτὴν αὐτὴ τοῦ λόγου ἡ σειρά. Τίς ὑπομενεῖ τὴν τοιαύτην φράσιν τοῦ ἑβραϊκοῦ; (Ἐκρατήσαμεν τῶν πόλεων τοῦ Ὤγ) «*πᾶσαι αἱ πόλεις, τετειχισμέναι* - πλὴν πολυαρίθμων *πόλεων ἀτειχίστων*» Εἰ γὰρ ἦσαν πᾶσαι *τετειχισμέναι*, ποῦ λοιπὸν ὁ πολὺς τῶν *ἀτειχίστων* ἀριθμός; Ὀττιγῆρος δὲ μετέφρασε (Θησαυρ. σελ. 364) urbes paganorum, τουτ. «πόλεις κωμητῶν» (δηλοῖ δὲ καὶ τοῦτο τὸ ἑβρ. Φερεζὶ, ὡς λέγομεν εὐθύς)· ἀλλὰ πῶς ἑταιρειάζουσιν αἱ *πόλεις* πρὸς τοὺς *κωμήτας*;

---

(α) Voss. l. c. πρβλ. Bochart. Hieroz. P. II. p. 674 sq. (ὅστις μήτε βδέλλιον ἐθέλει τὸ Bedolach μήτε τῶν πολυτίμων τινὰ λίθων, ἀλλ' ἴσως μαργαρίτην).- Rosenmül. Sch. Genes. 2, 12. - Schleusn. Thes. V. T. Βδέλλιον, Κρύσταλλος, Ὕαλος, καὶ τοὺς Criticos Sacros.

Κατὰ δὲ τοὺς Ο, σαφὴς ὁ λόγος καὶ λογικός. « Πᾶσαι πόλεις ὀχυραὶ, *τείχη ὑψηλὰ*, πλὴν τῶν πόλεων τῶν *Φερεζαίων*, τῶν πολλῶν σφόδρα » (ὧν καὶ τούτων δηλονότι ἐκρατήσαμεν). Οἱ δὲ Φερεζαῖοι μνημονεύονται πολλαχοῦ τῆς θείας Γραφῆς (Γενέσ. ιγ, 7: ιε, 20: Ἐξόδ. γ, 8, 17), ὡς ἔθνος ἴδιον, (ἀρχαῖον ἴσως Χαναναῖον καὶ τοῦτο φῦλον), ἐν ὄρεσι (Ἰησ. ια, 3), καὶ πάγοις, ἢ πεδίοις κωμηδὸν κατοικοῦν (Α, Βασιλ. ς, 18). Τοῦτο δὲ σημαίνει καθόλου καὶ τὸ *φερεζί*, κωμήτας, ἢ χωρίτας, παγανοὺς (paganos), κατὰ κώμας, καὶ κωμοπόλεις ἀτειχίστους (ἀντιδιεσταλμένως πρὸς τὰ, ἄστυ, ἀστικοί), ἐν χώρᾳ *διεσπαρμένους*, ὡς ἡρμήνευσαν τὴν λέξιν πάλιν ἀλλαχοῦ οἱ αὐτοὶ Ο, (Ἐσθὴρ Θ, 19). Ὥστε λίαν ὀρθῶς ὧδε (Δευτ. γ, 5) καὶ ἀνέγνωσαν καὶ ἔγραψαν τὸ ἐθνικὸν καὶ κύριον Φερεζαῖοι, διακρίναντες ἀπὸ τοῦ προσηγορικοῦ. Καὶ αὐτὸ δὲ τὸ ἑβραϊκὸν (αὐτόθ.), ἂν ἀπαλλαχθῇ τῆς κακῆς στίξεως τῶν Μασοριτῶν, βεβαιοῖ τὴν ἀνάγνωσιν τῶν Ο (α).

Κεφ. ΚΓ. 17, 18. «Οὐκ ἔσται *πόρνη* ἀπὸ τῶν θυγατέρων Ἰσραὴλ, καὶ οὐκ ἔσται *πορνεύων* ἀπὸ υἱῶν Ἰσραήλ. Οὐκ ἔσται *τελεσφόρος* ἀπὸ θυγατέρων Ἰσραὴλ, καὶ οὐκ ἔσται *τελισκόμενος* [πρὸς πᾶσαν εὐχὴν] ἀπὸ υἱῶν Ἰσραήλ» (β). Τούτων τὸ δεύτερον κόμμα, τὸ Οὐκ ἔσται τελεσφόρος, κτλ. λείπει ἐκ τοῦ ἑβραϊκοῦ· διὸ καὶ ἀποῤῥίπτεται ὡς νόθον καὶ παρέγγραπτον, καὶ (καθὼς τινες τῶν κριτικῶν χαριεντίζονται) « *τοῦ πονηροῦ κόμματος* »! Νομίζουσι δὲ ὅτι παρεισέφρησεν εἰς τὸ τῶν Ο, κείμενον ἐκ τῆς ἑρμηνείας τοῦ Θεοδοτίωνος· (ἐξ οὗ διεσκεύασεν Ὠριγένης ὀβελοῖς καὶ ἀστερίσκοις τὸ τῶν Ο κείμενον ἐν τοῖς Ἑξαπλοῖς). Οὕτω γάρ (φασιν) ὁ Θεοδοτίων ἡρμήνευσεν αὐτὸ τὸ κῶλον τὸ ἑβραϊκὸν, ὅπερ οἱ Ο προηγουμένως ἐξέφρασαν

---

(α) Βλ. Gesen. Lex. Hebr. p. 839: καὶ Schleusn. Thes. λ. ἀτείχιστος.

(β) Τὸ «πρὸς πᾶσαν εὐχήν» λείπει ἐκ τοῦ Βατικαν. Οὐδ᾽ ὁ ἱερὸς Κύριλλος τούτου μνημονεύει (ἐν τῷ « περὶ τῆς ἐν Πνεύμ. » κτλ.). Ἀλλὰ κεῖνται αἱ λέξεις ἐν τῷ Ἀλεξανδρ. καὶ τοῖς ἄλλοις (πρβλ. καὶ Δευτερ. κγ. 18). Ἐν δὲ τῇ Κομπλουτ. ἐκδόσει (ἥτις ἐν πολλοῖς προσηρμόσθη πρὸς τὸ καθ᾽ ἡμᾶς ἑβραϊκὸν, ὡς προείπομεν) λείπει καὶ ὅλον τὸ κόμμα τὸ « Οὐκ ἔσται τελεσφόρος » κτλ. ὑπ᾽ αὐτῶν, ἴσως, τῶν ἐκδοτῶν ὀβελισθέν. Βλ. ἐκδ. Bos.

διὰ τοῦ «Οὐκ ἔσται *πόρνη*» κτλ. (α)· καὶ κεῖνται ἤδη παράλληλοι δύο ταυτολόγοι μεταφράσεις ἑνὸς καὶ τοῦ αὐτοῦ κόμματος (ἃ γὰρ εἶπον οἱ Ο, *πόρνη* καὶ *πορνεύων*, ταῦτα ὁ Θεοδοτίων, *τελεσφόρος*, καὶ *τελισκόμενος*). Μεταξὺ δὲ τῶν νοθιζόντων τὸ κόμμα, διαπρέπουσι καὶ οἱ περικλεέστατοι Κασωβὼν καὶ Σαλμάσιος (β), ὀβελίζοντες καὶ οὗτοι τὰ λόγια. Ἀλλ᾽ ὤφειλον οἱ ἄνδρες μᾶλλον ὀρθότερον, ἢ ὡς ἐξέλαβον, ἐξηγεῖν τὸ ῥητὸν, καὶ προστιθέναι δὲ τοῦτο καὶ εἰς τὸ κείμενον τὸ ἑβραϊκὸν (ὅθεν ἐξέπεσεν ἔκπαλαι ἐξ ἀβλεψίας τινων νυσταζόντων μεταγραφέων, ἢ ἄλλης τινος αἰτίας). Τὸ *τελεσφόρος* ἐνταῦθα σημαίνει οὐχὶ τὸν φέροντα *τέλη* (φόρους), τὸν φόρους *τελοῦντα*, ἀλλὰ τὸν φέροντα (κομίζοντα) *τέλη*, *τελετὰς* μυστηρίων (ὡς τὸ ἀῤῥητοφόρος, καὶ συγκοπ. ἀῤῥηφόρος), ἢ καὶ τὸν *φέροντα*, ἀντὶ τοῦ ἄγοντα (δρῶντα, ἢ δρῶσαν) *τελετὰς* μυστικὰς, τὸν καὶ τὴν *μυσταγωγόν*. Ὅθεν οἱ μὲν γραμματικοὶ λέγουσι. «Τελεσφόρον, τέλειον *μάντιν*, ἐγγαστρίμυθον»· καὶ πάλιν (ὡς ἐκ τοῦ θεοφορεῖσθαι) «Τελισκόμενος, ἐνθουσιῶν» (Σουΐδ.). Ὁ δὲ ἱερὸς Θεοδώρητος κυριώτερον· « Τελεσφόρον μὲν τὸν μυσταγωγοῦντα, *τελισκόμενον* δὲ τὸν μυσταγωγούμενον » (Ὅτι δὲ *τέλος* παρὰ τοῖς Ἕλλησι λέγεται καὶ ἡ *τελετὴ*, καὶ *τελεῖν* καὶ *τελεῖσθαι* τὸ μυεῖν καὶ μυεῖσθαι, φανερόν. Ἐκ τοῦ τελῶ καὶ τὸ τελίσκω, ὡς ἐκ τοῦ εὑρῶ, εὑρίσκω, στερῶ, στερίσκω, κτλ.). Σημειωτέον πρὸς τούτοις, ὅτι καὶ τὸ *τελεῖσθαι* καὶ λατρεύειν τοῖς εἰδώλοις *πορνεύειν* ὀνομάζεται παρὰ τῇ θείᾳ Γραφῇ· καὶ αὐτοὶ δὲ οἱ τὰς μιαρὰς τελούμενοι τελετὰς « *παρεδίδοντο εἰς πάθη ἀτιμίας*» (ὡς φανήσεται ἐφεξῆς). Ὥστε τὸ μὲν πρῶτον « Οὐκ ἔσται πόρνη» κτλ. ἀπαγορεύει τὴν ἰδίαν καὶ δημοσίαν αἰσχύνην τῶν μὴ τετελεσμένων τοῖς εἰδώλοις Ἰσραηλιτῶν. Τὸ δ᾽ εὐθὺς ἐπαγόμενον,

(α) Ὁ δὲ Rosenmüll. Sch. h. l. Τὸ οὐκ ἔσται τελεσφόρος κτλ. νομίζει γνήσιον τῶν Ο, τὸ δὲ προηγούμενον « Οὐκ ἔσται πόρνη » κτλ. γλώσσημα ξένον.

(β) Βλ. Casaub. Contr. Baron. p. 201. καὶ Antibaron. 13. p. 269· καὶ ad Theophr. Charact. c. 6. Τοιαῦτα καὶ ὁ σοφὸς Σαλμάσιος De Hellenistic. p. 244. - Grabius de vitijs LXX. int. p. 61. - Drusius Qnaest. Hebr. L. I. c. 20. - Hotting. Thes. p. 178. βλ. καὶ τὸν ἐπαμφοτερίζοντά πως Schleusn. Thes. V. T. v. Τελεσφόρος.

« Οὐκ ἔσται τελεσφόρος » ἀφορᾷ ἰδίως τοὺς τελουμένους τοῖς εἰδώλοις, καὶ ἀῤῥητοποιοῦντας.

Τούτων οὕτως ἐχόντων, τὴν ὀβελιζομένην φράσιν τῶν Ο κυροῦσι καὶ δεικνύουσι γνησίαν, 1) τὸ τοῦ Ὠσηὲ (δ, 14: β, 11, 12, 13). «*Μετὰ τῶν πορνῶν* συνεφύροντο, καὶ *μετὰ τῶν τετελεσμένων* ἔθυον». Τί ἄλλο ταῦτα δηλοῦσιν, εἰ μὴ περιληπτικῶς καὶ συντετμημένως αὐτὰ τὰ δύω κόμματα τοῦ Δευτερονομίου; Τὸ πρὸς ἄνδρας καὶ γυναῖκας ἐκεῖ διῃρημένως ἀπαγορευθὲν « Οὐκ ἔσται πόρνη — καὶ οὐκ ἔσται πορνεύων », τοῦτο εἶπεν ὁ προφήτης, καὶ οἱ Ο ἡρμήνευσαν, μονολεκτικῶς· « *μετὰ πορνῶν* ». Ὡσαύτως καὶ τὸ β, κόμμα, τὸ « Οὐκ ἔσται *τελεσφόρος* - καὶ οὐκ ἔσται *τελισκόμενος* », ἐν μιᾷ φωνῇ καὶ τοῦτο παρὰ τῷ Ὠσηὲ ἐξεφράσθη «*τετελεσμένων* ». Τοῦτο δὲ ὁ μὲν Ἀκύλας (Ὠσ. αὐτόθ.) ἀπέδωκεν « *ἐνηλλαγμένων* », ἢ *διηλλαγμένων* (τῶν ἀλλαξαμένων δηλαδὴ τὴν ἀνδρῴαν εἰς γυναικείαν φύσιν)· ὁ δὲ Σύμμαχος, *ἀκαθάρτων* (ἄλλοι, *ἑταιρίδων*, ἢ *ἑταιρῶν*), ὁ δὲ Θεοδοτίων, « *κεχωρισμένων* » (πορνῶν δηλαδὴ τῇ Ἀφροδίτῃ ἀφωρισμένων καὶ καθιερωμένων· ἄλλοι, *βδελυγμάτων*. βλ. ἔκδ. Βώς). Ὁ δὲ Ἱερώνυμος, *θηλυδριῶν*, κιναίδων (effoeminatum). Καὶ αὐτὴ δὲ ἡ ἀντίστοιχος ἑβραϊκὴ φωνὴ Kadesch (θηλυκῶς Kedischah) κυρίως σημαίνει τὸν τετελεσμένον καὶ ἀφωρισμένον, ἢ καθιερωμένον τῇ Ἀςάρτῃ, τῇ Ἀφροδίτῃ· διὸ καὶ τὸν πόρνον καὶ κίναιδον, καὶ τὰς πόρνας ἱερείας τῆς Ἀφροδίτης (Ἱερών. εἰς Ὠσ. αὐτ.). Ὅθεν πάλιν ὁ ἱερὸς Θεοδώρητος καὶ τοὺς παρ' Ὠσηὲ *τετελεσμένους* (καθὼς καὶ τὸ ἐν Δευτερ. *τελισκομένους*) ἡρμήνευσε, « τοὺς τὰ τῆς ἀσεβείας ὄργια μεμυημένους » (ἐν δὲ τῆς ἀσεβείας ὀργίοις καὶ ἡ ἀσέλγεια). Καὶ διαφέρει ἄρα τὸ *πόρνη* καὶ *πορνεύων* (ἁπλῶς ἐπὶ τῆς σημασίας τῶν χαμαιτυπῶν) παρὰ τὸ *τελεσφόρος* καὶ *τελισκόμενος*, ἢ *τετελεσμένος*, ὡς τοῦτο σημαῖνον ἰδίως τοὺς μεμυημένους καὶ ὀργιάζοντας καὶ δρῶντας τὰ ἔργα τῆς ἀσελγαινούσης εἰδωλολατρείας. Τοιοῦτοι ἦσαν παρὰ τοῖς ἐθνικοῖς οἱ τῇ *'Αστάρτῃ καὶ τοῖς ἄλσεσι λατρεύοντες*, γάλλοι τινες καὶ ἀνδρόγυνοι, καὶ παντοῖοι ἀῤῥητοποιοὶ, καὶ οἱ *τετελεσμένοι τῷ Βεελφεγὼρ* (Ψαλμ. ρε. 28. Ἀριθμ. κε, 3), ὃν ὁ Ἱερώνυμος

*Πρίαπον* ἐξήγησε (α). Διὰ ταῦτα καὶ παρ' Ὠσηὲ καὶ ἐν Δευτερονομίῳ ἐκφέρονται διῃρημένως τὰ *πόρνοι* καὶ *τετελεσμένοι*. Τούτων δὲ τῶν τετελεσμένων τὴν ἀκολασίαν ἐννοῶν ὁ ἱερὸς Κύριλλος, ἑρμηνεύει καὶ ἄλλως τὰς λέξεις· « Τελεσφόροι μὲν ἂν εἶεν οἱ φόρους τελοῦντες ὡς ἐξ ἀνάγκης ἑτέροις (ἴσ. γρ. *ἑταίραις*), καὶ τὰ (γρ. καὶ *τελισκόμενοι οἱ τὰ*) ἐκ τῆς ἀσελγείας μισθώματα τοῖς πριαμένοις συλλέγοντες » (Κύριλ. Ἀλεξ. π. τῆς ἐν πνεύμ. κτλ. - Σχόλ. εἰς Δευτερ. κγ, 18. ἐκδ. Βώς). - 2) Τὰ ἐν Δευτερον. (κγ. 18) « *τελεσφόρος* καὶ *τελισκόμενος* » οὐκ εἰσὶ λέξεις τοῦ Θεοδοτίωνος, (ὡς ὑπέλαβον οἱ κριτικοί). Καὶ τούτου μέντοι παραγράφου τοῦ Δευτερονομίου μετάφρασις οὐ σῴζεται ἐν τοῖς Θεοδοτίωνος λειψάνοις (οὐδ' ἐν τοῖς τῶν ἄλλων ἑρμηνευτῶν)· ἀλλ' ὅμως ὁ Θεοδοτίων τὴν πρὸς τὸ *τελισκόμενος* ἀναλογοῦσαν ἑβρ. φωνὴν (Kadesch, καὶ Kedischah), κειμένην καὶ ἐν Ὠσηὲ, δ, ἡρμήνευσεν (ὡς εἴδομεν) *κεχωρισμένων*. Μόνοι δὲ οἱ Ο ἐν Ὠσηὲ, *τετελεσμένων*. (Ἐν δὲ Δ. Βασιλ. κγ. 7. ἔγραψαν αὐτὸ τὸ ἑβραϊκὸν *Καδησὶμ*. βλ. καὶ Ἑξαπλ.). Οἱ αὐτοὶ ἄρα ἔγραψαν καὶ ἐν τῷ Δευτερον. τὸ *τελισκόμενοι*. Ἀλλ' οὐδὲ τοῦ Ἀκύλα φράσις ἐστὶ τὸ ἐν Δευτερ. « οὐκ ἔσται — *τελισκόμενος*, κτλ. καθὼς διατείνεται ὁ σοφὸς Ὀττιγγῆρος. Ὁ Ἀκύλας τὸ Kadesch ἡρμήνευσεν (ὡς εἴδομεν) « *ἐνηλλαγμένων* » (Οὕτω καὶ Γενέσ. λη, 21, 22, ἔγραψε *διηλλαγμένη*, καὶ *ἐνδιηλλαγμένη*, ὅπου οἱ Ο, *πόρνη*)· καὶ ἐν Δ. Βασιλ. κγ, 7 (ὅπου οἱ Ο, καθὼς εἴπομεν, τὸ ἑβραϊκ. Καδησὶμ, ἢ *τετελεσμένων*, ὡς ἔχει ἡ Κομπλουτ. ἔκδ.)

---

(α) Hier. Com. in Osee IV. 18. πρβλ. Selden. de Diis Syriis I. 11. c. 2. σελ. 147. sq. - Outhov. Bib. Brem. Clas. I. 216: - Spencer de leg. Hebr II. c. 22 etc. Ὅθεν· « Τετελεσμένον, μεμυημένον, — ἢ καὶ μεμιασμένον » (Ἡσύχ. καὶ Σχόλ. Κριτ.)· καὶ πάλιν, « Τετελεσμένοι, τελισκόμενοι, ἀνδρόγυνοι (αὐτ. ὅπου προφανῶς συνάπτει ὡς ταυτόσημα τὸ ἐν Δευτερ. τελισκόμενοι, καὶ τὸ ἐν Ὠσηὲ τετελεσμένοι). - « Ἐτελέσθησαν, ἐμιάνθησαν » κτλ. Σουΐδ. - πρβλ. Gesen. Lex. Hebr. p. 883. - Sturz. de Dial. Maced. pag. 196. καὶ Schleusn. Thes. V. T. καὶ Suicer. Thes. Eccles. λ. Τελέω. Καὶ αὐτὸς ὁ Σαλμάσιος εἶπε τελισκόμενον, τὸν μεμισθωμένον ἐπὶ πορνείᾳ. (Salmas. de Trapez. foen. p. 460). Περὶ τῆς παρὰ τοῖς Σύροις καὶ Βαβυλωνίοις ἀσελγοῦς λατρείας τῆς Ἀφροδίτης βλέπε καὶ Λουκιανοῦ τὸ Περὶ τῆς Συρίης Θεοῦ.

ὁ Ἀκύλας ἔγραψεν *ἐκπορνεύοντας* (Θεοδώρητ.), ἢ *ἐνδιηλλαγμένους* (Ἑξαπλ. τόμ. α. σελ. 378. ἐκδ. Μοντεφαλ.). Καὶ ἔπειτα, ὁ Ὠριγένης τὴν ἐν τοῖς Ἑξαπλοῖς δι᾽ ὀβελῶν καὶ ἀστερίσκων διασκευὴν τῶν Ο ἐφιλοπόνησεν οὐκ ἐκ τοῦ Ἀκύλα, ἀλλ᾽ ἐκ τοῦ Θεοδοτίωνος. Ὥστε πολὺ παρὰ τὸν Ὀττιγγῆρον ἀνεκτότερός ἐστιν ὁ παρ᾽ αὐτῷ καταψεγόμενος Σαλμέρων, εἰκάσας, ὅτι ὅλον τὸ λεγόμενον ἐν τοῖς Ο παρέγγραπτον κόμμα, τὸ « *Οὐκ ἔσται τελεσφόρος* » κτλ. ἐξέπεσε μᾶλλον ἐκ τοῦ ἑβραϊκοῦ κειμένου, («ὑπ᾽ αὐτῶν, ὡς λέγει, τῶν Ἰουδαίων ἀποξεσθὲν, τὸν Καίσαρα κολακευόντων, ᾧ *φόρους ἐτέλουν*»). Εἰ δὲ καὶ τοῦτο, κατὰ τὸν Ῥοδομύλλερον, ἀντιστοιχεῖ μᾶλλον πρὸς τὸ νῦν ἑβραϊκὸν, ἐξέπεσε λοιπὸν ἐκ τοῦ ἑβραϊκ. τὸ παρὰ τοῖς Ο προηγούμενον κῶλον, τὸ « Οὐκ ἔσται πόρνη », κτλ. παροραθὲν ὑπὸ τῆς ἀβλεψίας τοῦ μεταγραφέως, διὰ τὴν ὁμοιότητα τοῦ παρακολουθοῦντος κόμματος. - 3) Ὁ Τερτυλλιανὸς μνημονεύει τὸ « *οὐκ ἔσται τελεσφόρος* » κτλ. ἐκ τῆς ἀρχαίας λατινικῆς ἑρμηνείας τῶν Ο, (τῆς Ἰτάλας), ἐν ᾗ τὸ *τέλος* ἐξελήφθη ἀφελέστερον ἀντὶ τοῦ *φόρος* (α). Αὕτη δὲ ἡ ἀρχαιόσεμνος Ἰτάλα μεθηρμηνεύθη ἐκ τῶν Ο, ἔτι περὶ τὰ τέλη τοῦ α, αἰῶνος, πολλοὺς πρότερον ἐνιαυτοὺς, πρὶν ἢ καὶ Ἀκύ-

(α) Non erit vectigal pendens (τέλος, ἢ φόρον τελῶν) etc. Tertul. de Puditit. Ὅθεν ἀπεδείκνυεν ὁ γέρων Τερτυλλιανὸς, ὅτι παρ᾽ Ἰουδαίοις οὐκ ἦσαν τελῶναι. Πρῶτος ἀντεῖπε πρὸς αὐτὸν ὁ θεῖος Ἱερώνυμος, ἐπιφέρων τὸ παράδειγμα τοῦ Ζακχαίου, τοῦ Ματθαίου, κτλ. (Hier. Epist. 146 ad Damas. Tom. I. p. 1196). Ἀλλὰ, α) ὁ Τερτυλλιανὸς ἐθνικοὺς εἶναι λέγων τοὺς παρ᾽ Ἰουδαίοις τελώνας, ὑποσυνῆψεν ὅτι ἠδύναντο καί τινες εἶναι παρ᾽ αὐτοῖς καὶ Ἰουδαῖοι (καὶ μάλιστα μετὰ τὴν Ῥωμαίων ἐπικράτησιν), ὡς ὁ Ζακχαῖος καὶ ἄλλοι, παραβαίνοντες τὸν νόμον. β) Πόσον μισητὸν ὑπῆρχε παρ᾽ Ἰουδαίοις τὸ ἐπάγγελμα τοῦ τελώνου, φαίνεται πολλαχοῦ τῶν θείων Εὐαγγελίων. Αἰτίαν δὲ τούτου τινὲς τῶν νεωτέρων ὑπέλαβον, διότι τελῶναι παρ᾽ Ἰουδαίοις ἦσαν οἱ παρὰ Ῥωμαίοις καλούμενοι portitores (ἐλλιμενισταί· μικροί τινες τελωνίσκοι, οἷον δεκατηλόγοι, εἰκοστολόγοι, κτλ.), φαῦλοι καὶ οὐτιδανοὶ, καὶ πάντη διαφέροντες παρὰ τοὺς ἐντίμους Ῥωμαϊκοὺς τελώνας, ἢ δημοσιώνας (publicanos). Βλ. Burman. de vectig. pop. Rom. - Casaub. ad Theophr. Char. 6. - Salmas. de Foen. Trap. p. 253. Ὅθεν ὁ κλεινὸς Οὐόσσιος ὑπεραπολογεῖται τοῦ Τερτυλλιανοῦ (J. Vos. de Sibyl. Orac. p. 288), ἐκλαμβάνων τὸ τελεσφόρος ἐπὶ τῶν δημοσίους φόρους ἀπὸ τῆς πορνείας τελούντων, ἢ τελουσῶν (αὐτ. σελ. 267). Ἀλλ᾽ ὀρθότερον, ἴσως, ἐξέλαβε πρότερον κατὰ τὴν Θεοδωρήτου ἐξήγησιν, ἣν προείπομεν ἀνωτέρω (Voss. de LXX. p. 57).

λας καὶ οἱ λοιποὶ ἐπιχειρήσωσι νέαν ἑλληνικὴν ἑρμηνείαν τῆς ἑβραΐδος γραφῆς. Καὶ αὐτὸς ὁ ἐκ τῆς Ἰτάλας, ἢ (ἂν θέλωσιν οἱ κριτικοὶ) καὶ ἐξ αὐτῶν τῶν Ο μνημονεύσας τοῦ θείου τούτου ῥητοῦ Τερτυλλιανὸς (περὶ τὸ 190-209, μ. Χ.) ἔγραφε, πρὶν ἢ Ὠριγένης (τῷ 221-230) ἐκδώσῃ ἐν τοῖς Ἑξαπλοῖς τὴν ἑρμηνείαν τῶν Ο, παράλληλον πρός τε τὰς τῶν ἄλλων, καὶ πρὸς τὴν Θεοδοτίωνος (ἐξ οὗ τερατολογεῖται καὶ ἡ ποικίλη σύμφυρσις καὶ ταραχὴ τοῦ τῶν Ο κειμένου). Ὥστε τὸ « Οὐκ ἔσται τελεσφόρος » κτλ. μετὰ τοῦ προηγουμένου κόμματος, ἄνωθεν καὶ ἐξ ἀρχῆς ἀνεγινώσκετο ἐν τῇ Ἐκκλησίᾳ, καὶ ἀναγνωσθήσεται μέχρι συντελείας, ὡς γνησία φράσις τοῦ θείου νόμου, διατηρηθεῖσα παρὰ τοῖς Ο.

Κεφ. ΛΒ. 8. « Ὅτε διεμέριζε - κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ»· κτλ. βλ. ὄπισθεν, Κεφ. Ε §. ιγ. σελ. 289 (α).

Κεφ. ΛΓ. 6. « Ζήτω Ῥουβὴν, καὶ μὴ ἀποθανέτω· καὶ Συμεὼν ἔστω πολὺς ἐν ἀριθμῷ ». βλ. ἐν τοῖς ἐφεξῆς, βιβλ. Γ.

§. ζ. Ἐκ τῶν Βασιλειῶν.

Α, Βασιλ. ΙΕ. 5. « *Καὶ ἐνήδρευσεν ἐν τῷ χειμάῤῥῳ* ». Τὸ ἑβραϊκὸν ἔχει, *ἤρισεν*, ἢ *διεφιλονείκησε* (συνῆψε μάχην) *ἐν τῇ*

---

(α) Ὁ Φράγκελος, ἐν οἷς διορθοῖ τὸ Θεοῦ εἰς τὸ Ἤλ (βλ. ὄπισθ. σελ 294), ὑπαινίττεται, ὅτι καὶ ὁ Ὠριγένης ἀνέγνω πού κατὰ ἀριθμὸν υἱῶν Ἰσραήλ. Καὶ ἴσως ἐννοεῖ τὰ ἐν τῇ λατινικῇ μόνον σωζομένῃ μεταφράσει τῆς εἰς τοὺς Ἀριθμοὺς 28 Ὁμιλίας τοῦ Ὠριγένους, ὅπου ἀναγινώσκονται ταῦτα. «Quia sicut, cum dispergeret Filios Adam, statuit fines gentium secundum numerum Angelorum ejus, vel, ut in alijs exemplarijs legimus, secundum numerum filiorum Israel » (ἤτοι « κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ »· ἢ, καθὼς ἐν ἄλλοις ἀντιγράφοις ἀνέγνωμεν, κατὰ ἀριθμ. υἱῶν Ἰσραήλ»). — Ἀλλ' (εἴπερ ἔγραφε ταῦτα ὁ Ὠριγένης, καὶ μὴ διεσκεύασεν ὁ μεταφραστὴς ἐκ τῆς Βουλγάτας προσθεὶς), τὰ χειρόγραφα ταῦτα ἦσαν πάντως διεσκευασμένα ἐκ τῆς Ἀκύλα καὶ Συμμάχου ἀναγνώσεως, (ὡς ἔγραψαν οὗτοι « υἱῶν Ἰσραήλ»). Οἱ δὲ τῶν Ο κώδηκες πάντες, ὅσοι σῴζονται καὶ καθ' ἡμᾶς, ἔχουσιν « ἀγγέλων Θεοῦ ». Τοῦτο καὶ πάντες οἱ Πατέρες ἔγραψαν, καὶ αὐτὸς Ὠριγένης ἀλλαχοῦ τε (ὡς προεσημειώσαμεν, σελ. 289), καὶ ἐν τοῖς Ἑξαπλοῖς· ὅπου σημειῶν τὴν τοῦ Ἀκύλα καὶ Συμμάχου ἀνάγνωσιν, « Εἰς ψῆφον υἱῶν Ἰσραήλ »· καὶ τὰ τοῦ Σαμαρειτικοῦ « Κατὰ ἀριθμὸν υἱῶν Ἰσραήλ », ἐπιφέρει « Οἱ δὲ Ο, κατὰ ἀριθμ. ἀγγέλων Θεοῦ » (βλ. Ἑξαπλ. τ. α. σελ. 192. Montfauc.). Ὥστε μάτην ὁ ἀρχιραββῖς παρέσυρε σύμμαχον τὸν Ὠριγένην.

*φάραγγι*. Οἱ Ο συνέχεον (λέγουσι) τὸ ἐν τῷ κειμένῳ vajarob (ἐρίζειν), ἀναγνόντες vajerob (ἐνεδρεύειν, ἐκ τοῦ arab.). Ἀλλὰ τὴν σημερινὴν ἑβραϊκὴν ἀνάγνωσιν, καὶ καθ᾽ ἑαυτὴν ἀπίθανον οὖσαν, ἐξελέγχει καὶ αὐτὸς ὁ πολὺ παρὰ τοὺς Μασορίτας ἀκριβέστερον εἰδὼς ἀναγινώσκειν, καὶ τονίζειν, καὶ νοεῖν τὰς λέξεις τῆς πατρῴας γλώσσης Ἰώσηπος, γράφων καὶ οὗτος συμφώνως τοῖς Ο, «*ἐνέδρας* πολλὰς καὶ λόχους *περὶ τὸν χείμαῤῥον* τίθησιν» (Ἀρχ. ς, ζ, §. 2). Οὕτως ἔχει καὶ ἡ Βουλγάτα, (tetendit insidias), καὶ ἐκ τῶν νεωτέρων ἄλλοι τε καὶ ὁ Μιχαῆλος (α).

Κεφ. Κ. 30. Υἱὲ κορασίων *αὐτομολούντων*.—Τὸ ἑβραϊκ. (ὡς τανῦν ἀναγινώσκουσι καὶ ἐξηγοῦσιν) «Υἱὲ *διεστραμμένης ἀποστασίας* (ἢ ἀπειθείας). Ἄλλοι· «*γυναικὸς ἀποστάτιδος*»· ὁ δὲ Σύμμαχος ἔγραψεν «υἱὲ ἀπαιδεύτων ἀποστατούντων». Ἀλλὰ τὴν ἀνάγνωσιν τῶν Ο κυροῦσι, 1) Ὁ Ἰώσηπος, ἔχων καὶ αὐτὸς «*ἐξ αὐτομόλων γεγεννημένον*, καὶ πολέμιον ἀπεκάλει» (ὁ Σαοὺλ τὸν Ἰωνάθαν. Ἀρχ. ς, ια, §. 9), τουτέστι θρέμμα νεανίδων, ἢ παιδισκῶν αὐτομολουσῶν ἐκ τῶν οἰκείων πρὸς ξένους· ἢ καὶ ἁπλῶς, ἀντὶ «*κοράσιον*» ὑβριστικῶς (ὡς τὸ Ὁμηρικὸν, «ἔῤῥε κακὴ γλήνη»), ἄνανδρε, προδοτικὲ τῶν οἰκείων, καὶ αὐτόμολε πρὸς τοὺς ἀλλοτρίους· παράβαλε τὰ «υἱοὶ παρανόμων, υἱοὶ ἀφρόνων, ἀτίμων», ἀντὶ ἄφρονες, παράνομοι κτλ. 2) Καὶ ὁ Θεοδοτίων ἔχει «Υἱὲ κορασίων μετακινουμένων». 3) Ἄλλος· «Υἱὲ κορασίων αὐτομολουσῶν» (γρ. αὐτομολούντων). Ἄλλος· «γυναικοτραφές» (β). 4) Καὶ ἐν Ἰουδεὶθ, ις, 12, ἡ αὐτὴ φράσις «υἱοὶ κορασίων» (ἐπὶ τῆς σημασίας τοῦ ἄνανδροι καὶ ἐκτεθηλυμένοι).

Κεφ. ΚΕ, 11. «Τοὺς ἄρτους μου, καὶ *τὸν οἶνόν μου*, καὶ τὰ θύματά μου, ἃ τέθυκα τοῖς κείρουσί μου τὰ πρόβατα» κτλ. Τὸ ἑβρ. — Τὸν ἄρτον μου, *καὶ τὸ ὕδωρ μου* (ἢ τὰ *ὕδατά μου*· ἑβρ.

---

(α) Michael. Orient. Biblioth. 5. pag. 248.

(β) Βλ. Ἑξαπλ. τ. α. σελ. 300 Montfauc. (ὅπου καὶ ἐξαλειπτέον οἶμαι τὸ γυναικοτροφή· παρεισφρῆσαν ἐκ τοῦ πλησίον γυναικοτραφές). Ἡ δὲ Βουλγάτα οὔτι πάνυ ἀκριβῶς, «fili mulieris virum ultro rapientis» (τουτ. υἱὲ νόθε!) Βλ. Schleusn. Thes. v. Αὐτομολέω, Κοράσιον.

majm) κτλ. Ἀλλὰ πρῶτον μὲν, ἡ ἑβραῒς λέξις majm κυρίως σημαίνει *ποτὸν* οἱονδήποτε (συνομολογοῦσι δὲ καὶ οἱ ῥαββῖνοι). Ὅτι δὲ *ποτὸν* καὶ παρ᾽ Ἕλλησι πολλάκις ὁ *οἶνος*, πρόδηλον (βλ. Ἰωσήπ. Ἀρχ. ΙΑ, ς. 1). Ἢ (κατ᾽ ἄλλους) οἱ Ο ἀνέγνωσαν οὐ majm, ἀλλὰ jajin (οἶνον). Ἔπειτα, καὶ αὐτὸ τὸ νόημα *οἶνον* ἀπαιτεῖ. Ὕδωρ μὲν γὰρ οὔτε τῷ Δαβὶδ ἔλειπεν, οὔτε Νάβαλ ὁ ἀδιάκριτος ἐγλισχρεύετ᾽ ἂν καὶ ἠκριβολογεῖτο ἐπὶ τοσοῦτον, ὥστε μέγα τι στερήσεσθαι νομίζειν, εἴπερ ἔπεμπε ζητοῦντι τῷ Δαβὶδ ὕδατος ἀσκόν. Κἀκεῖνο δὲ πῶς οὐ παράλογον; καλὸν τῇ ἀληθείᾳ δεῖπνον ἡτοίμαζεν ὁ Νάβαλ τοῖς ὑπηρέταις ὕδωρ ποτὸν εἰς αὐτοὺς παρασκευάζων. Ἢ μήπως οἱ κριτικοὶ κατεῖδον τὸν Νάβαλ φειδωλότερον ὄντα καὶ τοῦ Κάτωνος (εἴγε χρὴ μνησθῆναι καὶ τοιούτου τινὸς), ὅστις διένειμε τῇ (καθὼς ἔλεγεν) ἀγροτικῇ αὐτοῦ οἰκογενείᾳ *ἄρτους, καὶ οἶνον, καὶ ὄψα, ἢ προσφάγια*; Καὶ ὁ μὲν κυμινοπρίστης Κάτων οὐχ εὕρισκεν ὑπερβολὴν, ἐὰν δι᾽ ὅλου τοῦ ἔτους ἕκαστος ὑπηρέτης πίνῃ ἀνὰ δύω κεράμια οἴνου. Ἐν δὲ τοῖς Κρονίοις καὶ ταῖς ἄλλαις ἡμέραις ταῖς συμποτικαῖς προσεφιλοτιμεῖτο καὶ πρὸς ἕκαστον οἰκέτην ἀνὰ ἕνα χοῦν (congium) οἴνου. Οἱ δὲ σοφοὶ ῥαββινισταὶ θέλουσι τὸν Νάβαλ μικρολογώτερον μὲν τοῦ Κάτωνος, ἀδικώτερον δὲ καὶ πρὸς τοὺς ἰδίους ἐργάτας καὶ κουρεῖς μᾶλλον, ἢ πρὸς τὰ ποίμνια· διότι ταῦτα μὲν ἔπινον ὕδωρ ὅσον ἤθελον· ἐκεῖνοι δ᾽ ἔμελλον τοῦτο πίνειν μεμετρημένον, ὅσον ἂν ἤθελεν ὁ κύριος αὐτοῖς ἑτοιμάσαι. Διὰ ταῦτα καὶ τῶν νεωτέρων συχνοὶ τὸ οἶνον εὑρίσκουσι πιθανώτερον (α). Οἶνον ἔχει καὶ ὁ Χαλδαῖος παραφραστής. Μαρτυρεῖ δὲ, τέλος, τοῖς Ο καὶ αὐτὴ τοῦ Νάβαλ ἡ σύζυγος Ἀβιγαία, ἥτις «ἔσπευσε καὶ ἔλαβε *διακοσίους ἄρτους», καὶ δύο ἀγγεῖα οἴνου* (οὐχ ὕδατος), καὶ πέντε πρόβατα, καὶ ἤνεγκε τῷ Δαβὶδ (αὐτόθ. κε, 18).

Β. Βασιλ. ΙϚ. 16. Καὶ ὧδε οἱ Ο, ἀμαθεῖς τῆς Ἑβραΐδος ἐξελέγχονται, διότι ἐξ ἐθνικοῦ καὶ κυρίου ὀνόματος ἔπλασαν προση-

---

(α) Schulz. Schol. in V. Test. vol. 2. p. 358. — Schleusn. Thes. λ. Οἶνος.

γορικόν, συνέῤῥαψαν δὲ καὶ δύω λέξεις εἰς μίαν, γράψαντες « Χουσὶ ὁ *ἀρχιεταῖρος* Δαβὶδ », ἀντὶ τοῦ ἑβραϊκοῦ Χουσί, ὁ Ἀρχίτης (ἑβρ. ἄκλιτον, *Ἀρχὶ*), ἑταῖρος Δαβίδ » (Chuschi hearki, rea David). Ἀλλὰ πρῶτον μέν, πόθεν ἐπιστώθησαν οἱ ἄνδρες, ὅτι τοῦτο τὸ Ἀρκὶ, ἢ Ἀρχὶ, ὑπάρχει κύριον ὄνομα κώμης, ἐν ᾗ ἐγεννήθη ὁ (κατ' αὐτοὺς) Ἀρχίτης Χουσί; Ἴσως τοῦτο συνείκασαν ἐκ τοῦ προηγουμένου κεφαλαίου (Β. Βασ. ιε, 32), ὅπου γράφεται ἐν τῷ ἑβρ. Χουσὶ ὁ Ἀρχὶ (Chuschi Hearchi), διότι ἐξέπεσαν ἐκ τοῦ ἑβραϊκοῦ αἱ δύω ἐφεξῆς λέξεις, rea David = ἑταῖρος Δαβὶδ (αἵτινες ὅμως κεῖνται πάλιν παρὰ τοῖς Ο, γράφουσιν, *ἀρχιεταῖρος* καὶ ὧδε, κεφ. ιε § 32, καὶ ἐφεξῆς §. 37, κατὰ τὸν Ἀλεξανδρ.). Ἀλλὰ (λέγουσι) τὸ αὐτὸ τῆς κώμης ὄνομα Ἀρχὶ εὑρίσκεται κἀν τῇ συνθέτῳ λέξει *Ἀρχιαταρώθ* (χώρας ὄνομα· Ἰησοῦ ις, 2). Οὕτως οἱ ἄνδρες, ἐν ᾧ ψέγουσι τοὺς Ο, ὡς συντιθέντας καὶ διαιροῦντας ἐσφαλμένως τὰς λέξεις *ἐξ ἀμαθίας*, συνάπτουσιν αὐτὰς καὶ διαιροῦσιν αὐτοὶ μᾶλλον σφαλερῶς, *διὰ σοφίας ἴσως ὑπερβολήν*. Ἢ πόθεν οἴδασιν, ὅτι ἡ *Ἀρχιαταρὼθ* ὑπῆρχεν ἡ αὐτὴ καὶ ἡ παρ' αὐτοῖς Ἀρχί; ἢ γοῦν, ὅτι ἦν καὶ ἄλλη τις ἀλλαχοῦ βεβαίως καὶ ἁπλῶς ὠνομασμένη *Ἀρχὶ*, χωρὶς τοῦ *Ἀτταρώθ*; (ἔστι δὲ πολλαχοῦ καὶ ἁπλῶς ἡ Ἀτταρὼθ, καὶ Ἀθαρὼθ, ἴσως ἡ αὐτὴ καὶ Ἀστερώθ. Ἀριθμ. Ἰησ. κτλ). Πῶς δ' οὐχ ὑπωπτεύσαντο καί τινα περὶ τὴν γραφὴν τῆς λέξεως παραδρομὴν τῶν ἀντιγραφέων; ἡ γὰρ Ἀρχιαταρὼθ (ὡς γράφεται ἐν τῷ νῦν ἑβρ. καὶ ἐν τῷ Ἀλεξανδρ. κώδηκι καὶ ἄλλοις) ἡ αὐτὴ πάλιν ἐν τῷ Βατικανῷ γέγραπται *Ἀχατωριθὶ*, καὶ ἐν ἄλλῳ (Ὀξον.), Ἀραχιατταρὼθ (ὅπου πάλιν βλέπομεν, ὅτι καὶ αὐτὰς τὰς πρὸ τοῦ Ἀταρὼθ ἀρχικὰς συλλαβὰς ἀνεγίνωσκον οὐκ archi μόνον, ἀλλὰ καὶ arachi (α) ) κτλ. Ἀλλὰ κἂν δοθῇ καὶ χώρα τις ἰδίως *Ἀρχὶ*, οὐδεμίαν αὕτη πάλιν ἕξει χώραν ἐν τῇ περὶ ἧς ὁ λόγος ἀναγνώσει, ὅπου τὸ ἑβραϊκ. archi

---

(α) Βλ. καὶ Schleusn. Thes. V. Test. λ. Ἀρχιεταῖρος (ὅστις γράφει καὶ Arachites, ἀντὶ Archites).

ἄλλο τι δηλοῖ (ὡς ὀψόμεθα εὐθύς). Καὶ ματαίως οἱ περὶ τὸν Νοβίλιον (α) ἐσπούδασαν διαλλάξαι τὸ ἑβραϊκὸν πρὸς τὸ τῶν Ο, διαιροῦντες τὸ *Ἀρχιεταῖρος* εἰς τὸ *Ἀρχὶ ἑταῖρος* (οὕτω διεῖλον τὴν λέξιν καὶ οἱ πολλαχοῦ τὸ τῶν Ο κείμενον πρὸς τὸ ἑβραϊκὸν προσβιάσαντες ἐκδόται τῆς Κομπλουτησίας, ἐν ᾧ πάντες οἱ λοιποὶ κώδηκες ἔχουσι συνθέτως *Ἀρχιεταῖρος*, ὅπερ ἔχει ἀλλαχοῦ καὶ αὐτὴ ἡ Κομπλουτ.). Ταύτην τὴν ἀνάγνωσιν τῶν Ο, βεβαιοῦσι, 1) Ἡ Α. τῶν Παραλειπομένων (κζ, 33), ἥτις ἔχει Χουσὶ « *ὁ πρῶτος φίλος* »· αὐτὸ δηλαδὴ τὸ *ἀρχιεταῖρος* (καὶ αὐτὴ ἡ Κομπλουτησία αὐτόθι ἔχει *ἀρχιεταῖρος*). 2) Ὁ Ἑβραῖος Ἰώσηπος, λέγων καὶ αὐτὸς τὸν Χουσὶ « *φίλον βέβαιον* » (Ἀρχ. Ζ. θ. § 2, 6. ὅπου τὰ κοινὰ ἀντίγραφα ἔχουσιν *ἀρχίφιλον*, ὡς τὸ ἀρχιεταῖρον). 3) Αὐταὶ τέλος, αἱ ἀντίστοιχοι τοῦ ἀρχιεταῖρος ἑβραϊκαὶ λέξεις, archi (ἢ arki) rea, δηλοῦσι κυρίως φίλον *μακρὸν* (ἤτοι μακροχρόνιον καὶ παλαιὸν, καὶ πείρᾳ μακρᾷ δεδοκιμασμένον, ὅθεν διαρκῆ, καὶ *βέβαιον*). Τοιοῦτον δὲ φίλον, ἢ ἑταῖρον ἀρχαῖον, δικαίως καὶ *ἀρχίφιλον*, καὶ *ἀρχιεταῖρον* ἀναγορεύουσιν οἱ Βασιλεῖς (β).

Δ. Βασιλ. Β. 14 « Ποῦ ὁ Θεὸς Ἡλιοὺ *ἀφφὼ* (ἄλλ. *ἀπφὼ*); » Ταύτην τὴν ἑβρ. φωνὴν οἱ μὲν ἑρμηνεύουσι μετὰ τοῦ Συμμάχου, « *καὶ νῦν* », οἱ δὲ, « *καὶ αὐτός* »· διὸ καὶ ψέγουσι τοὺς Ο, ὡς δύω πάλιν λέξεις, τὰς aph, hu, χωρὶς γεγραμμένας, ὡς ἂν μίαν ἀναγνόντας ὑφ᾿ ἓν, καὶ συγκαττύσαντας τὸ τερατῶδες λεξείδιον *Ἀφφώ*. Ἀλλὰ, 1), ἂν διῃρημένως ἀναγνῶμεν aph, hu, τότε τοῦτο σημαίνει οὐχὶ τὸ (κατ᾿ αὐτοὺς) « *καὶ νῦν* », ἀλλὰ « *καὶ αὐτός* » (ὡς καὶ Ἱερώνυμος παρετήρησεν). Ἀλλ᾿ ἐκ τούτου τοῦ *καὶ αὐτὸς* οὐδὲν ἐξέρχεται νόημα· διὸ καὶ τῶν νεωτέρων ἄλλος ἄλλο τι προσαναπληροῦσιν ἔξωθεν, εἰσάγοντες πρὸς τὸ δοκοῦν· οἷον, οἱ μὲν, « καὶ αὐτὸς » τουτ. ὁ *Ἡλίας οὕτως ἐποίησεν* (ἔσχισε τὸν Ἰορδάνην)· ἢ (ποῦ ἐστι) *καὶ αὐτὸς* (ὁ Ἡλίας), ἡ τούτου δηλονότι (περὶ τοῦ διπλασίου πνεύματος) πρὸς Ἐλισσαῖον ὑπόσχεσις »; οἱ

(α) Βλ. Füller. Miscell. Sac. L. 11. c. 10.

(β) Βλ. καὶ Schleusn. Thes. λ. Ἀρχιεταῖρος.

δὲ, « *καὶ αὐτὸς* » τουτ. ὁ *Ἐλισσαῖος ἐπάταξε τὸ ὕδωρ* (α)· ἀλλὰ τὸ τοιαῦτα ἐξηγεῖν παιζόντων ἂν εἴη μᾶλλον, ἢ σπουδαζόντων. 2) Καὶ ὁ θεῖος Ἱερώνυμος, Ὠριγένῃ παρακολουθήσας, μεθηρμήνευσε « *καὶ νῦν* » (nunc quoque), ἀναγνοὺς aphu (εἰς Ἡσαΐ. κβ, 1)· προστίθησι δὲ, καὶ ὅτι « ὁ σκοτεινὸς Ἀκύλας μετέφρασε τὴν λέξιν διὰ τοῦ *καίπερ τοι*, συνδέσμου κατὰ τὴν λατινικὴν διάλεκτον ἀνεξηγήτου»· ἀλλὰ καὶ παρ' Ἕλλησι (προσέθηκεν ἂν) καθ' ἣν παρελήφθη χρῆσιν ἀδιανοήτου παντάπασιν ». Ἄλλοι τῶν ἀρχαίων ἄλλως ἡρμήνευσαν. « *Ἀπφῶ*, πατρὸς, ἢ διπλασία χάρις » (Ἡσύχ.). Ἀπφῶ, ἀντὶ *νῦν*, ἢ « τοῦ *ἀποκρύφου*, ἢ τοῦ ἀποκρυβέντος » (Σουΐδ.) « Ἀπφῶ, τοῦ πατρός μου, — ἢ τοῦ μεγάλου μου, — ἢ τοῦ κρυβέντος ( Κύριλ. Λεξικ. καὶ ὁ ἱερὸς Μάξιμος). « Ἀπφὼ δὲ ἑρμηνεύεται *ἄμφω*· τουτέστι τὸ διπλοῦν » (Μ. Ἀθανάσ. τόμ. α. σελ. 374. Κομ.). Οὕτω τὸ ἑδραϊκὸν *Ἀφφῶ*, ἐπειδὴ καὶ *ἀπφῶ*, καὶ *ἀμφῶ* ἐγράφετο ἑλληνικώτερον (οὐδέποτε γὰρ οἱ Ἕλληνες διπλασιάζουσι τὰ δασέα), ἐξελήφθη διὰ τὴν ὁμοιοφωνίαν ὡς ταυτόσημον καὶ τοῦ *ἀπφὺς* (ὁ πατὴρ), καὶ τοῦ *ἄμφω* (τὸ διπλοῦν). Ἀλλὰ, 3), πολὺ τούτων ἀκριβέστερον καὶ σταθερώτερον ἡρμήνευσεν ὁ ἱερὸς Θεοδώρητος. « Ἐκάλεσεν (Ἐλισσαῖος) τὸν Ἠλιοὺ τοῦ διδασκάλου Θεὸν, τὸν τοῖς ἀνθρώποις *ἀόρατον*· — ἀφφὼ γὰρ ὁ *κρύφιος* ἑρμηνεύεται, κατὰ τὴν ἔκδοσιν τῶν ἄλλων ἑρμηνευτῶν » (τοῦ Θεοδοτίωνος καὶ τῆς Ε, ἴσως, ἢ Ϛ, ἐκδόσεως· βλ. Θεοδωρήτ. Ἀπόρ. εἰς Δ. Βασιλ. ἐρωτ. θ). Ταῦτα ὁ Σύρος πατὴρ (ᾧ καὶ Κύριλλος καὶ Μάξιμος καὶ Σουΐδας, ὅσον περὶ τῆς τοῦ *κρυφίου* σημασίας, συνήνεσαν, ὡς εἴδομεν ἀνωτέρω. πρβλ. καὶ Σειρ. εἰς τὴν Ὀκτάτευχ. τόμ. Β. σελ. 822). Μαρτυρεῖ δὲ καὶ τὸ τοῦ Ἀφφὼ συγγενὲς ἀφφουσὼθ (καὶ *ἀπφουσὼθ*) « Ἐν οἴκῳ ἀφφουσὼθ » (Δ. Βασιλ. ιε, 5: Β. Παραλ. κς, 21), ὅπερ Ἀκύλας καὶ οἱ λοιποὶ ἡρμήνευσαν (ἐν οἴκῳ) *κρυφαίῳ*· « τουτέστιν

---

(α) Βλ. Schulz. Schol. in Vet. Test. vol. 3. p. 132. πρβλ. Suicer Thes. Eccles. Tom. I. p. 499, *καὶ* Schleusn. Tets. V. Thes. λ. Ἀπφώ.

(β) Ἐν τοῖς Ἑξαπλοῖς (τόμ. α. σελ. 368. Montfauc.) ἀναγινώσκεται ἐκ τοῦ Ἀκύλα, « καίπερ αὐτός », οὐ τὸ καίπερ τοι μόνον, κατὰ τὸν Ἱερώνυμον.

ἔνδον, ἐν θαλάμῳ ὑπ' οὐδενὸς ὁρώμενος» (Θεοδώρητ. αὐτ. ἐρωτ. μς). Κατὰ δὲ τὴν β, ἔκδοσιν ὁ Ἀκύλας ἡρμήνευσε τὸ ἀφφουσὼθ «*ἐλευθερίας*» (ὃ καὶ Ἱερώνυμος ἠγάπησε, γράψας in domo libera), ἀλλ' οἱ λοιποὶ ἑρμηνευταὶ, καὶ τῶν ῥαββίνων ἱκανοὶ διετήρησαν τὸ «κρυφαῖος» (α). Κατέλιπον δὲ τὸ *Ἀφφὼ* ἀνερμήνευτον οἱ Ο, οὐχ ὡς *ἄγνωστον* αὐτοῖς λέξιν καὶ σκοτεινὴν (καθὼς τινες τῶν νεωτέρων εἶπον καὶ ὧδε ἀσχημονοῦντες), ἀλλὰ πρῶτον μὲν, ὡς ἄγαν ἐμφαντικὴν, ἢ καὶ πρὸς τὸ σημαινόμενον ἰδιάζουσαν, διὸ καὶ δυσμετάφραστον, ἴσως δὲ καὶ ἐν χρήσει τότε παρὰ τοῖς ἑλληνίζουσιν Ἑβραίοις (οὕτως ἀφῆκαν καὶ ἄλλας πολλὰς, καὶ αὐτὸ τὸ *ἀφφουσὼθ*, καὶ ἄλλο πάλιν [Ἱερεμ. νβ, 19], ἀπφὼθ, καὶ ἀμφὼθ, τουτέστιν *οἱ κρατῆρες*)· ἔπειτα δὲ καὶ μάλιστα δι' εὐλάβειαν καὶ σέβας, οὐχ ἡρμήνευσαν ὡς καθωσιωμένην προσηγορίαν τοῦ παρακειμένου ἀνεκφωνήτου ὀνόματος τοῦ Θεοῦ (β). Οὕτω καὶ ἐφεξῆς (Δ. Βασιλ. ι, 10) ἀνεξήγητον πάλιν κατέλιπον τὸ *Ἀφφώ*. «Καὶ τίς ἐπάταξε πάντας τούτους; ἴδετε *ἀφφὼ*, ὅτι οὐ πεσεῖται ἀπὸ τοῦ ῥήματος τοῦ Κυρίου», κτλ. Οἱ δὲ νεώτεροι καὶ ὧδε «*νῦν*» ἑρμηνεύουσι («ἴδετε νῦν»). Ἀλλὰ πρὸς τοῦτο οὐ συνᾴδει τῆς ῥήσεως ὁ νοῦς· εἴη δ' ἂν οὗτος μᾶλλον, ὁ ἐφεξῆς. «Τίς ἐπάταξε (λέγει) τούτους; ἴδετε (γνῶτε) τὸν *ἀόρατον*, ἢ *κρύφιον* Θεὸν (οὗ ὁ λόγος ἔμελλε πληρωθήσεσθαι). «ὅτι οὐ πεσεῖται» κτλ. (γ). Καὶ φαίνεται ἄρα καὶ τὸ *Ἀφφὼ*

---

(α) Vossij Resp. ad Huls. p. 97. Πρβλ. καὶ Gesen. Lex. Hebr. p. 361, ὅπου τὸ ἀνωτέρω οἶκος ἀ φ φ ο υ σ ὼ θ ἑρμηνεύεται ν ο σ ο κ ο μ ε ῖ ο ν. Ὅθεν διὰ τὸ ἀπῳκισμένον ἴσως ἐθεωρεῖτο τὸ οἴκημα καὶ ὡς κρυφαῖον.

(β) Τοῦτο *φρονεῖ καὶ αὐτὸς ὁ ἑβδομηκονταμάχος καὶ πολυμαθὴς Ἑΐνσιος, καὶ τὸ τοῦ Θεοδωρήτου κ ρ ύ φ ι ο ς μετ' ἐπαίνων ἀποδέχεται, ὡς κυρίαν σημασίαν τοῦ ἀφφὼ* (Heins. proleg. in Aristarch. Lugd. 1627). *Ἀλλ' ὁ Σουΐκῆρος* (Thes. Eccles. λ. Ἀπφὼ) *ἀπαρέσκεται, ταυτολογίαν ἄντικρυς εἶναι λέγων, ὅταν τὸ ἀπφὼ συναφθῇ πρὸς τὸ ἤδη προηγηθὲν ὄνομα τοῦ Θεοῦ. Καὶ τὸν Ἑΐνσιον ὁ Σουΐκῆρος θαυμάζει, πῶς εὕρηκε τὴν Θεοδωρήτου ἑρμηνείαν, ὡ ς ἄ ν τ ι δ ι ο π ε τ έ ς! (καθὼς γράφει τὴν λέξιν ἑλληνιστί). Λέγει δὲ ὅμως αὐτὸς (τὰ περὶ ταυτολογίας) οὔτε δ ι ο π ε τ ῆ, οὔτε γοῦν ἀ ε ρ ο π ε τ ῆ, ἀλλὰ πάντη χαμερπῆ καὶ χαμαίζηλα, καὶ (τοῦτ' αὐτὸ τὸ τοῦ Πινδάρου)* «Γνώμαν κενεὰν χαμαιπετοῖσαν».

(γ) Περὶ τῆς ἑβραϊκῆς γραφῆς τοῦ Aphhu, βλ. Vosij de LXX. p. 59: 434. καὶ Resp. ad Huls. p. 96. πρβλ. καὶ Gesen. Lex. Hebr. p. 87.

ἐξ ἐκείνων τῶν ἐπὶ Θεοῦ ὀνομάτων « ὧν τῆς ἑρμηνείας (κατὰ τὸν Οὐρανοφάντορα) οὐ κατετόλμησαν οἱ Ο, ἀλλ' αὐτὴν τὴν ἑβραϊκὴν ἐκφώνησιν μετεκόμισαν, ὡς τὸ Σαβαὼθ, καὶ τὸ Ἀδωναΐ, καὶ τὸ Ἐλωΐ, καὶ εἴ τι τοιοῦτον, οὐκ ἐπὶ τῶν θείων ὀνομάτων μόνον, ἀλλὰ καὶ ἐπ' ἄλλων πλειόνων τὴν εὐλάβειαν ταύτην ἐπιδεικνύμενοι » (α). Καὶ αὐτὸς δὲ ὁ Χαλδαῖος ἐν τῇ παραφράσει (Δ. Βασιλ. β, 14) ἀνεξήγητον εἴασε τὸ ἀφφώ. Καὶ οἱ ῥαββῖνοι δὲ πολλαχοῦ τὸ aph-hu, ἢ, aphu, καὶ μόνον δὲ τὸ hu ὡς ἓν τῶν ὀνομάτων τοῦ Θεοῦ ἐπικαλοῦνται (β). 4) Ὁ κλεινὸς Οὐόσσιος εἰς τὸν ἀόρατον Θεὸν καὶ αὐτὸς ἀναφέρων τὸ ὄνομα, ἑρμηνεύει ὅμως ἀπ' ἄλλης ἐτυμολογίας, λέγων· ὅτι, καθὼς ἑτέροις πολλοῖς ὀνόμασιν ὁ Θεὸς ἐν ταῖς γραφαῖς ὀνομάζεται (ἀπὸ λέξεων δηλονότι ἐκφραστικῶν τῆς ἀϊδίου αὐτοῦ ὑπάρξεως, καὶ τῆς παντοδυναμίας, καὶ τῶν ἄλλων αὐτοῦ τῶν ἀπείρων ἰδιοτήτων), οὕτω καὶ ἡ παντέφορος αὐτοῦ παρουσία σημαίνεται παρ' Ἑβραίοις δια τῶν δύω τούτων φωνῶν, τῶν Aph (ὄψις, πρόσωπον) καὶ Panim (πρόσωπα)· ὅθεν καὶ τὸ aph-hu (ἀφφὼ) κατὰ λέξιν δηλοῖ, ἡ *ὄψις αὐτὴ*, ἢ, τὸ *πρόσωπον αὐτό*. Καὶ μάρτυρες αἱ φράσεις ἐκεῖναι· « Οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι *πλὴν τῶν ἐμῶν προσώπων* » (Panim. Ἐξόδ. κ. 3), ὅπου οἱ Ο, σοφώτατα, « *πλὴν ἐμοῦ* »· καὶ « Τὰ πρόσωπά μου προελεύσονταί σου » (Ἐξ. λγ, 14), ὅπου οἱ Ο, « αὐτὸς προπορεύσομαί σου ». Οὕτω καὶ ἐν Ἡσ. ξγ, 9, τὸ *πρόσωπον* (ἐπὶ Θεοῦ), καὶ παρὰ τοῖς Ο, τὸ *Αὐτός*. Καὶ ἀλλαχοῦ πολλαχοῦ τὴν ἑβραίαν ταύτην φράσιν διὰ τοῦ *ἐγὼ*, ἢ *αὐτὸς*, οἱ θεοφάντορες Ο μεθηρμήνευσαν. Αὐ-

(α) Μ. Βασίλ. κατὰ Εὐνομ. *λόγ. β. τόμ. β. σελ.* 44. *Οὕτω καὶ ὁ θεῖος Χρυσόστομος (περὶ τῶν θείων ὀνομάτων Ἀδωναΐ, Ἐλωΐ, Σαβαὼθ). «Φοβερὰ τὰ ῥήματα, καὶ φρίκης γέμοντα· καὶ καλῶς ἐποίησεν ὁ συγγραφεὺς, μὴ μετενεγκὼν αὐτὰ πρὸς τὴν ἡμετέραν φωνήν· οὐ γὰρ ἴσχυσε μετὰ τῆς οἰκείας αὐτὰ ἀρετῆς μεταθεῖναι πρὸς τὴν* Ελλάδα *γλῶτταν » (λόγ.* Α. *περὶ Ἄννης. τ. β. σελ.* 794. Duc.). *Ὅπου παρατηρητέον, πῶς μονοπροσώπως μνημονεύει τοὺς (οὓς ἀλλαχοῦ λαμπρῶς ἐμνημόνευσεν)* Ο, *ὡς ἕνα τοὺς πάντας εἰσάγων, καὶ ἐν ἑνὶ στόματι ταυτὰ πάντας φθεγξαμένους (ὡς εἶπε καὶ Φίλων)· καὶ συγγραφεῖς, αὐτοὺς οὐχ ἑρμηνεῖς ὀνομάζει.*

(β) Voss. l. c. καὶ Heins. l. c.

ται δὲ αἱ ἀντωνυμίαι ἀπολύτως ἐν τοῖς θείοις γράμμασι λεγόμεναι, ἀναφέρονται κατ᾽ ἔμφασιν συνήθως ἐπὶ Θεοῦ. (Ὅτι δὲ καὶ παρ᾽ Ἕλλησι τὸ *αὐτὸς* ἐμφαντικὸν, ἀντὶ ὁ κύριος, προσεσημείωται) (α).

Δ. Βασιλ. ΚΑ. 6. «Ἐποίησε θελητήν» (β). Τὸ ἑβρ. ob=ἐγγαστρίμυθος, ἢ νεκρόμαντις. Καὶ ἐν τούτῳ ψέγουσι τοὺς Ο, συγχύσαντας τοῦτο τὸ ob πρὸς τὸ aba (ἠθέλησεν). Ἀλλὰ τὸ *θελητὴς* φαίνεται λέξις συνήθης παρά τε τοῖς Ἀλεξανδρεῦσι καὶ Ἀσιανοῖς ἑλληνισταῖς, σημαίνουσα *μάντιν ἐθελοντὴν* (καὶ ἰδίως ἐγγαστρίμυθον), τὸν ἐκ προαιρέσεως δηλονότι, ἢ καὶ ὁσάκις καὶ ὅ,τι καὶ ὅταν θέλῃ μαντευόμενον, ὡς πλήρη τοῦ μαντικοῦ δαίμονος. (Καὶ τὸ ἑβρ. ob σημαίνει κυρίως *ἀσκὸν*, εἶτα δὲ καὶ τὸν ἐγγαστρίμυθον, καὶ μάντιν, ὡς ἀσκὸν ἔμπλεων τοῦ πονηροῦ πνεύματος). Ὁ κλεινὸς Οὐόσσιος, ᾧ συνάδει καὶ Λεμοῦνος (γ) ἔκρινεν ἀντὶ τοῦ *θελητὴς* ἀναγνωστέον *θελκτὴς*, ὡς ἔχει καὶ τὸ Κυρίλλου Γλωσσάριον. Ἀλλὰ μᾶλλον (ὡς ἡμεῖς νομίζομεν) καὶ αὐτὸ τὸ τοῦ Γλωσσαρίου διορθωτέον εἰς τὸ *θελητής*· τὸ γὰρ θελκτὴς ἄγνωστον παρ᾽ Ἕλλησιν. Ἤτοι γὰρ *θέλκτης* ἔδει γράφειν παροξυτόνως (κατὰ τὰ ῥέκτης, δέκτης, θέτης, κτλ.), ἢ ὀξυτονοῦντας γραπτέον *θελκτὴρ* (κατὰ τὰ, ῥεκτὴρ, πρακτὴρ, καὶ ὅσα τοιαῦτα). Ὁ δὲ σοφὸς Λεμοῦνος καὶ τὸ τοῦ Ἡσυχ. « *θελητὴς, προαιρετικὸς* » διορθοῖ εἰς τὸ *θελκτὴς*, *προΕρετικὸς* (ὡς ἐκ τοῦ *προερεῖν* !), ἀντὶ *προῤῥητικὸς*, ὁ προφητικός: παράδοξος προΈρεσις! Ὁ δὲ πάλιν Σαμ.

---

(α) Βλ. καὶ Hemsterh. εἰς Ἀριστοφ. Πλουτ. 966. καὶ Casaub. εἰς Θεοφρ. Χαρακτηρ. ς.

(β) Κώδηξ Ἀλεξ. Ἀλδ. κτλ. Τὸ δὲ Βατικανὸν (αὐτόθ.) ἔχει, « ἐποίησε τ ε μ έ ν η » καὶ ἡ Κομπλουτ. ἐ γ γ α σ τ ρ ι μ ύ θ ο υ ς. Ἐ γ γ α σ τ ρ ί μ υ θ ο ν φαίνεται καὶ ὁ Θεοδώρητος ἀναγνούς (Ἀπόρ. εἰς δ. Βασιλ. ἐρωτ. νγ). Πλὴν ἀλλ᾽ ἔχει καὶ τὸ Βατικανὸν πάλιν, ὡς καὶ αἱ λοιπαὶ ἐκδόσεις θ ε λ η τ α ί (δ. Βασιλ. κγ, 24). Περὶ τοῦ Ἐγγαστρίμυθος καὶ τῶν τούτου συνωνύμων Ἐγγαστρίμαντις, Ἐντερόμαντις, Στερνόμαντις, Εὐρυκλῆς (ἀπὸ τίνος ἐπὶ τῇ μαντείᾳ ταύτῃ διαβοήτου Εὐρυκλέους), Πύθων, βλέπε τὴν ρνα χαριεστάτην τοῦ Φωτίου ἐπιστολὴν, ὅστις καὶ αὐτὸς προσέθηκε τὸ γ α σ τ ρ ί ο ι κ ο ν (« πνεῦμα πονηρὸν, καὶ ἄξιον τὴν κοπροδόχον γαστέρα οἰκεῖν » !). Τὸ Γαστρίοικος λείπει ἐκ τῶν λεξικῶν.

(γ) Le Moyen Varia. Sacr. vol. 2. pag. 996.

ὁ Πετῖτος (α) διορθοῖ τὸ *θελητὴν* εἰς τὸ *τελετὴν* (κατὰ τὸ τελεσφόρος, ὅπερ ὁ Σουΐδας ἐξηγεῖ *τέλειον μάντιν*, κτλ.). Ἀλλὰ *τελεστὴς* μὲν ἔστι τε καὶ λέγεται παρ' Ἕλλησιν· ὁ δὲ *τελετὴς* οὔτ' ἤκουσται, οὔτ' ἂν γένοιτο πώποτε· ἔσφηλε δὲ ἴσως τὸν μέγαν Πετῖτον καὶ ἡ κακὴ προφορὰ τοῦ θ, ὡς τ, καὶ τοῦ η, ὡς ε, προφέροντος ταῦτα Ἐράσμου νόμῳ! Ἄλλος δέ τις, τέλος (β), ἔκρινε τὸν θελητὴν λέξιν Αἰγυπτιακήν (!) «*Θελετὴ* γάρ, λέγει, παρὰ Κόπταις γόητα, μάγον, σημαίνει». Ἀλλ' (ἵνα παραλίπωμεν τὰς τοιαύτας παραδοξολογίας) τὸ τῶν Ο ἑλληνικώτατον *θελητὴς* ἐπικυροῦσι, 1) Τὸ ἐν Δ. Βασιλ. κγ, 24, ὅπου κἀκεῖ γράφεται «θελητής»· ὅθεν καὶ τὸ Γλωσσάριον· «Τοὺς θελητάς, τοὺς ἐγγαστριμύθους». - 2) Ὁ Ἀκύλας (εἰς Λευΐτ. κ, 6, καὶ Α, Βασιλ. κη, 9), ὅστις καὶ αὐτὸς ἔγραψε θελητὰς τοὺς παρὰ τοῖς Ο ἐγγαστριμύθους.- 3) Ὡσαύτως καὶ ἄλλοι ἑρμηνεῖς (εἰς Λευΐτ. ιθ, 31: κ, 27). Καὶ ἔστι λοιπὸν τὸ θελητὴς συνώνυμον τοῦ ἐγγαστρίμυθος, καθὸ μυθευόμενος ἀπὸ γαστρός, καὶ ῥᾷστα μαντευόμενος ὅταν *ἐθέλῃ*, ἢ καὶ περὶ τὴν γαστρομαντείαν ὅλῃ *θελήσει* πρόθυμος, καὶ ἐθελοντής, ἑκουσιαζόμενος, *προαιρετικός*· καθὼς ἐςι καὶ τ' ἀνάπαλιν «*θελητὴς* νόμου» (Α Μακκ. δ, 42), ὁ *προαιρετικὸς* περὶ τὴν ἐκτέλεσιν τῶν τοῦ νόμου ἐντολῶν (γ).

§. η. Ἐκ τῆς Ἐσθήρ.

Ἡ κατὰ τοὺς Ο ἑρμηνεία τῆς Ἐσθὴρ διαφέρει τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου, καθὸ καὶ πλείονας ἔχουσα ῥήσεις, καὶ χωρία, καὶ παραγράφους ὅλους, ἐν τοῖς ἑπτὰ μάλιστα κεφαλαίοις (ἀπὸ τοῦ Ι, μέχρι τέλους τοῦ ΙϚ) παρενεσπαρμένους, οἵτινες λείπουσιν ἐκ τοῦ ἑβραϊκοῦ. Τὸ ἑβραϊκὸν ὁ μακάριος Ἱερώνυμος (κατὰ τὸ σύνηθες) μᾶλλον ἠγάπησε καὶ ὧδε, παραβλέψας (πλὴν ὀλίγων) ἅπαντα τὰ παρὰ τοῖς Ο πλεονάζοντα, καὶ μάλιστα τὰ κατὰ τὴν ἀρχαίαν λατινίδα Βουλγάταν (ἥτις ἐν πολλοῖς καὶ τῶν Ο διαφέρει, καὶ τοῦ ἑβραϊκοῦ), καθὸ μετὰ ταῦτα (καθὼς λέγει) προσεῤῥαμμένα *κράσπεδά* τινα (lacinias), παρόμοια σοφιστικαῖς μελέταις σχολαστικῶν μειρακίων,

(α) S. Petiti Var. Lection. I. 13.— (β) Spencer de Legib. Hebr. rit. II. 21.

(γ) Schleusn. Thes. λ. Θελητής.

συγγραφόντων ἐπὶ τοῦ δοθέντος θέματος (α). Ἐκ τούτου μάλιστα κινηθέντες καὶ πολλοὶ τῶν νεωτέρων σφόδρα ῥαββινίζοντες κριτικοὶ, ἐξεσύριξαν ῥητῶς τὰ παρὰ τοῖς Ο πλεονάζοντα, κρίναντες, οἱ μὲν προσθήκας προσηλύτων τινῶν ἑλληνιστῶν, ἐξασκούντων τὴν γραφίδα πρὸς ἐκφράσεις ῥητορικὰς, οἱ δὲ, καὶ ἰδίως Γραικύλου τινος λῃρήματα. Τούτων τῶν κριτικῶν τῆς μερίδος ἐστι καὶ Γρότιος, καὶ αὐτὸς ὁ ἄλλως ἐν πολλοῖς ἐμβριθὴς Καπέλλιος (β). Ἀλλ' ὅμως ὀρθότερον ἂν ἔκρινον, ἴσως, οἱ ἄνδρες, εἴπερ ἔβλεπον καὶ ὧδε τὴν, ἣν μηδ' αὐτοὶ ἐν ἄλλοις ἀρνοῦνται, ποικίλην συντριβὴν καὶ κολόβωσιν τοῦ ἑβραίου κώδηκος. Ταύτην ἀπεφήνατο τὴν γνώμην ὁ παρὰ πολλοὺς Ἱερωνύμους καὶ μυρίους νεωτέρους κριτικοὺς ἐν τοῖς τοιούτοις πράγμασιν ἀξιοπιστότερος Ὠριγένης (γ). Ἄλλους τῶν ἀρχαίων Πατέρων ἔν γε τῷ παρόντι παραλείπομεν. Ὁ δὲ κλεινὸς Οὐάσσιος, οἷον διαλλάττων τὰς γνώμας, ἔκρινεν, ὅτι ἡ μεταξὺ τοῦ ἑβραϊκοῦ καὶ τῶν Ο διαφορὰ προῆλθεν ἐκ δύω τινων ἐκδόσεων τοῦ τεύχους τῆς Ἐσθὴρ, ἃς εἶχον ἀνέκαθεν (ὡς εἰκάζει) οἱ Ἰουδαῖοι, τὴν μεν ἐπιτομωτέραν (ἥτις ἔμεινε παρ' αὐτοῖς μέχρι καὶ νῦν), τὴν δὲ ἐκτενεστέραν καὶ μᾶλλον διεξοδικὴν, ἥτις παλαιόθεν (καὶ ἴσως κατὰ τὴν αἰχμαλωσίαν) διεξέπεσε παρ' Ἰουδαίοις. Ταύτην οὖν οἱ Ο, σωζομένην τότε κατ' αὐτοὺς, μεθηρμήνευσαν (δ). Ποτέρα δὲ κυρίως ὑπῆρχεν ἡ γνησία καὶ κυριωτέρα συγγραφὴ (εἴτ' ὑπ' αὐτοῦ Μαρδοχαίου, κατὰ τὸν Κλήμεντα, Στρωματ. α, 24, καὶ τοὺς πλείστους τῶν νεω-

---

(α) Hieron. Praefat. in Hesther. Tom. I. p. 1035. Par. βλ. καὶ Marchini de Divinit. et Canonicit. S. Bibl. pag. 184.

(β) L. Cappelli Com. et not. crit. in V. Test. p. 441. Ὅστις ἐπικρίνει πολλάκις τὸ κατὰ τοὺς Ο, κείμενον τῆς Ἐσθὴρ οὐκ ἀπ' αὐτοῦ τοῦ ἑλληνικοῦ, ἀλλ' ἀπὸ τῆς Βουλγάτας, ἥτις (ὡς εἴπομεν ἀνωτέρω) μήτε πρὸς τὸ ἑβραϊκὸν, μήτε πρὸς τὸ ἑλληνικὸν ἐν πολλοῖς συμφωνεῖ, ὡς ὁμολογουμένως ἐν πολλοῖς ἐσφαλμένη. Ἀλλ' ἀπήντησε πρὸς ταῦτα ὁ περικλεὴς Houbigant. not. critic. in V. Test. vol. I. pag. CCXXIV. sqq. — (γ) Ἐπιστολ. πρὸς Ἀφρικαν. καὶ τόμ. α, εἰς Ἰωάν.

(δ) J. Voss. de LXX. p. 61. Οὕτω φρονεῖ καὶ Bellarmin. de Verb. Dei L. I. c. 7. Ὁ δὲ σοφὸς Huet. Dem. Evang. prop. IV. p. 204. πολλοὺς ἐθέλει συγγραφεῖς γενομένους τῆς ἱστορίας τῆς Ἐσθὴρ, παράδοξα λέγων.

τέρων, ὃ καὶ μάλιστα πιθανώτατον, εἴτε καὶ ὑπὸ τοῦ Ἔσδρα, κατὰ τὸν Αὐγουστῖνον, συνεγράφη τὸ τεῦχος) (α), οἱ μὲν περὶ τὸν Οὐόσσιον ἀδιόριστον κατέλιπον. Ἡμῖν δὲ συγχωρείσθω, ἵνα καὶ ἐν τούτῳ φρονῶμεν βεβαίως ἃ παρελάβομεν παρὰ τῶν Πατέρων· ὅτι δηλαδὴ καὶ τὸ τεῦχος τῆς Ἐσθὴρ οἱ Ο μεθηρμήνευσαν ἀπὸ γνησίων καὶ τελείων ἀπογράφων τῶν βιβλίων τῶν κανονικῶν, ὁποῖα πάντως ἔφερον μεθ' ἑαυτῶν οἱ παρὰ τοῦ Ἀρχιερέως πρὸς τὸν Βασιλέα σταλέντες ἑρμηνεῖς. Ὥστε καὶ τὸ χειρόγραφον ἐκεῖνο τῆς Ἐσθὴρ ἀντίγραφον ἦν ἐξ αὐτῶν τῶν ἐν τῷ ναῷ σῳζομένων τότε πρωτογράφων, ἅπερ ὁ μόλις 160 ἐνιαυτοὺς πρὸ τῶν Ο γενόμενος Ἔσδρας ἐξέδωκε, καὶ σὺν αὐτῷ ὁ Νεεμίας. Μαρτυρεῖ δὲ καὶ Ἰώσηπος ἐκδοὺς τὴν ἐπιτομὴν τῆς Ἐσθὴρ κατὰ τοὺς Ο (β). Ὁ δὲ τῶν Ἱεροσολύμων ἱερεὺς καὶ ἱστορικὸς οὐκ ἂν ἐχρῆτο πάντως ἄλλοις τεύχεσι τῆς Γραφῆς, εἰ μὴ τοῖς γνησίοις καὶ κανονικοῖς. Ἀλλὰ περὶ τῆς Ἐσθὴρ λέγομεν καὶ ἐν τοῖς ἑξῆς (Βιβλ. Γ). Ἤδη δὲ τοσαῦτα διελάβομεν διὰ τὰς ἐν αὐτῇ νομιζομένας προσθήκας· προστιθέμεθα δὲ καὶ ἰδίως ἓν καὶ μόνον, ἓκ τῶν μάλιστα περισαλπιζομένων μεγάλων σφαλμάτων τῆς κατὰ τοὺς Ο Ἐσθὴρ, τὸ ἐφεξῆς.

Κεφ. Γ, 1, καὶ Θ, 24. « *Ἀμὰν Ἀμαδαθοῦ* » (ἢ Ἀμαδάθου παῖς) «*Βουγαῖος*» (κώδ. Ἀλεξανδρ. καὶ Βατικ. ἄλλοι, *Γωγαῖος*) «*ὁ Μα-*

---

(α) August. de Civit. Dei L. 18. c. 36· παρὰ Huet. l. c. Εἰσάγει δὲ καὶ τὸν ἱερὸν Ἐπιφάνιον ὁ Ὑέτιος ὡς τὴν αὐτὴν ἔχοντα γνώμην· ἀλλ' ὅτι ἐσφάλη μὴ κατανοήσας ἀκριβῶς τοὺς λόγους τοῦ μακαρίου Ἐπιφανίου, σεσημείωται ἐν τοῖς προλαβοῦσι, σελ. 571.

(β) Οὕτω (φερ' εἰπεῖν) τὰς δύω τοῦ Ἀρταξέρξου ἐπιστολὰς, ἃς ἔχουσιν οἱ Ο (κεφ. γ. 13, καὶ η, 12) ἔχει καὶ ὁ Ἰώσηπος κατὰ λέξιν σχεδὸν (πλὴν μικρῶν τινων διαφορῶν). Ἀπὸ δὲ τοῦ ἑβραϊκοῦ λείπουσι παντάπασιν αἱ ἐπιστολαί. Παρέλιπε δ' αὐτὰς καὶ ὁ μακάριος Ἱερώνυμος (διότι καὶ ταύτας κατέταξε πάντως μεταξὺ τῶν, ὧν ὠνόμασε προσραμμάτων, ἢ *κρασπέδων*, καὶ *σχολαστικῶν μελετῶν*. Ἀλλ' ἐκ τῶν νεωτέρων ἄλλοι τε καὶ ὁ Μιχαῆλος διϊσχυρίζονται, ὅτι ἐξέπεσε πάντως ἐκ τοῦ ἑβραϊκοῦ κώδηκος (ἐν γ, 13) ἡ ἐπιστολὴ (βλ. Michaelis not. ad h. l. Theotisc.). Περὶ ἄλλων φράσεων καὶ χωρίων τῶν αὐτῶν παρὰ τοῖς Ο, καὶ παρ' Ἰωσήπῳ (Ἀρχ. ΙΑ ς. 1, κτξ) κειμένων, λειπόντων δὲ ἐκ τοῦ ἑβραϊκοῦ, βλ. Schulz. Schol. in Esther, καὶ Criticos Sacr. Annot. ad Esther.

*κεδών* ».—Τὸ ἑβραϊκὸν, «Ἀμὰν Ἀμαδαθὰ Ἀγαγὶ» (Ἀγαγίτης· καὶ ἡ Βουλγάτα, « ἐκ τῆς φυλῆς Ἄγαγ »). Ὅθεν τινες καὶ τὸ Γωγαῖος ἀνέγνωσαν *Ἀγαγαῖος* (α). Οἱ δὲ τὸ Γωγαῖος ἐκλαμβάνουσιν ὡς ταυτόσημον τοῦ *Κωθαῖος*, ἢ *Χουθαῖος* (ἐκ τῶν Χουθαίων, ἢ Σαμαρειτῶν, οὓς μετῴκισεν εἰς τὴν ἐρημωθεῖσαν χώραν τῶν Ἰσραηλιτῶν ὁ Σαλμανασάρ· Ἰώσηπ. Ἀρχ. Θ. ιδ. §. 3). Ὁ δὲ πάλιν Ἱερώνυμος τὸ Βουγαῖος ἔκρινε τὸ αὐτὸ καὶ τὸ Περσικὸν *Βαγώας*, ὅπερ αὐτὸς ἑρμηνεύει *εὐνοῦχον*, ἢ *αὐλικόν* (β). Ὁ δὲ, τέλος, Ἰώσηπος οὔτε Γωγαῖον, οὔτ' Ἀγαγίτην λέγει τὸν Ἀμὰν, ἀλλ' *Ἀμαληκίτην* (Ἀρχ. ΙΔ. ϛ. 5), οὕτως, ἴσως τὸ Βουγαῖος (ἢ Γωγαῖος) ἐξηγῶν (ὡς νομίζουσιν οἱ γράφοντες Ἀγαγαῖον, ὡς ἐκ τοῦ Ἀμαληκίτου Ἄγαγ). *Μακεδόνα* δὲ πάλιν τὸν Ἀμὰν πλὴν τῶν Ο, οὐδεὶς ἄλλος ἔγραψεν. Ὅθεν οἱ κριτικοὶ λίαν ἐπὶ τούτῳ ἀγανακτοῦσι· καὶ, ἐπειδὴ λέγει ὁ Ἀρταξέρξης, ὅτι «Ὁ Ἀμὰν ἠθέλησε καὶ τὴν Περσῶν ἐπικράτειαν εἰς τοὺς Μακεδόνας μετατάξαι » (Ἐσθὴρ η, 13), συμπεραίνουσιν ἐντεῦθεν οἱ ἄνδρες βεβαίως, ὅτι ὁ τοιαῦτα γράφων περὶ τῶν Μακεδόνων κατὰ τοὺς Ἀρταξέρξου χρόνους (ὅτε τὸ Μακεδονικὸν ὄνομα, ἢ οὐδόλως, ἢ μόλις γοῦν ἠκούετο κατὰ τὴν Ἀσίαν) ἐξελέγχεται λοιπὸν λῆρός τις πλασο-

---

(α) Τὸ ἐν Ἀριθμ. κδ, 7. Γὼγ (κατὰ τοὺς Ο) ἐν τῷ νῦν ἑβραϊκῷ ἀναγινώσκεται Ἀγάγ· ἐντεῦθεν οἱ διαλλάττοντες τρέπουσι καὶ τὸ Γωγαῖος εἰς Ἀγαγαῖος. Κοινὸν δὲ λέγουσιν ἐπώνυμον, ἢ ὄνομα τῶν Ἀμαληκιτῶν βασιλέων τὸ Ἄγαγ, ὡς καὶ τὸ Φαραὼ τῶν Αἰγυπτίων, καὶ τῶν Παλαιστινῶν τὸ Ἀβιμέλεχ (Abimelech, τὸ αὐτὸ καὶ τὸ Περσικ. Padischach, Πατη - Σὰχ = Πατὴρ βασιλεὺς), καὶ τὸ Χιρὰμ τῶν Τυρίων, καὶ τ' ἄλλα περὶ ὧν προείπομεν (κεφ. I. §. ι). Ἀλλ' ἐν Ἀριθμ. κδ. 7. Γὼγ ἀνέγνω καὶ ὁ Σύμμαχος (βλ. Ἑξαπλ.). Φαίνεται δὲ ἡ λέξις Γὼγ συγγενὴς τοῦ Μαγὼγ, υἱοῦ Ἰάφεθ. (Γενέσ. ι, 2). Τὸ δὲ Ἄγαγ ὕστερον πολὺ μετὰ τὸν Μωϋσῆν ἀπαντᾶται ἐπὶ Σαούλ. Α. Βασιλ. ιε, 8.

(β) Οὕτω καὶ Πλίνιος (ΙΓ, 4) τοὺς σπάδωνας φησὶν ἐν Βαβυλῶνι Βαγώας καλεῖσθαι. Καὶ Οὐΐδιος (Amor. II. 3). Καὶ ἀνωτέρω δὲ ἐπὶ τοῦ Ἀμὰν προσηγορικόν ἐστι τὸ Βαγώας (εἴγε τὸ αὐτό ἐστι καὶ Βουγαῖος). Ἀλλ' εὑρίσκεται τοῦτο καὶ ὡς κύριον· οἷον, Βαγώας εὐνοῦχος ὀνομάζεται παρ' Ὀλοφέρνῃ τῷ Ἀσσυρίῳ (Ἰουδὶθ, ιβ). Καὶ Πλούταρχος Βαγώου τινος μέμνηται Πέρσου παρὰ Δαρείῳ (περὶ τῆς Ἀλεξ. τύχ. β). Καὶ ἄλλου Βαγώου εὐνούχου ὁ Λουκιανὸς (εἰς Εὐνοῦχ.), καὶ ὁ Ῥωμαῖος Κύρτιος (Libr. 6, 16). Καὶ φαίνεται ἄρα ἀπὸ προσηγορικοῦ καὶ ὡς κύριον κρατῆσαν τὸ ὄνομα (ἴσως ἀπό τινων ἐνδόξων εὐνούχων), καὶ μάλιστα παρὰ τοῖς ἀλλογλώσσοις, τοῖς ἀγνοοῦσι τὴν κυρίαν τοῦ ὀνόματος χρῆσιν καὶ σημασίαν.

γράφος μεταγενέστερος, ὅστις ἐνῷ συνέῤῥαπτε ταῦτα, εἶχε κατὰ νοῦν τὴν 100 περίπου ἔτεσι κατόπιν τῆς Ἐσθὴρ γενομένην στρατείαν τοῦ Ἀλεξάνδρου. Ἀλλὰ πρῶτον μὲν περὶ τοῦ *Μακεδὼν*, ὁ μὲν Οὐβιγάντης (ἔνθα ἀνωτέρω) ἠπιώτερον ἀποκρίνεται, λέγων. Τί παράδοξον, εἴπερ οἱ τοῦ Ἀμὰν πατέρες μεταναστάντες ἐκ Περσῶν εἰς τὴν τότε πάντως γνωστὴν τοῖς Πέρσαις Μακεδονίαν, ἐκεῖ τὸν Ἀμὰν ἐτέκνωσαν; (ἢ πόθεν ἔχουσιν ἀποδεῖξαι τοὐναντίον οἱ κατήγοροι;). Ἐντεῦθεν λοιπὸν καὶ Ἀμαληκίτης ἀπὸ τῶν πάλαι προγόνων ἦν ὁ Ἀμὰν, καὶ (ὡς ἐκ τοῦ γενεθλίου ἐδάφους) Μακεδὼν, καὶ προσέτι Βουγαῖος ἀπὸ Μακεδονικῆς τινος χώρας, ἐν ᾗ ἐγεννήθη» (Βούγας, ἴσως, καλουμένης, κατὰ τὴν ἰταλικὴν Βούκαν! Στράβ.). Οὐόσσιος δὲ τομώτερον ἁπάντων, «Τὸ Μακεδὼν, φησὶν, ἐστι τὸ αὐτὸ καὶ Μαγεδών. Μαγεδὼν δὲ, ἢ Μαγεδδὼ (Κριτ. ε, 19) ὑπῆρχε παλαιὰ καθέδρα καὶ χώρα τῶν Ἀμαληκιτῶν (ὅθεν καὶ «*θρῆνος* Μαγεδόνιος», ἐν παροιμίᾳ παρ' Ἰουδαίοις, ἀπὸ τοῦ ἐν πεδίῳ Μαγεδδὼ φονευθέντος Ἰωσίου. Δ. Βασιλ. κγ, 29: Β. Παραλ. λε, 25). Ἐν ταύτῃ τοίνυν τῇ χώρᾳ διήγαγον τὸν βίον οἱ τοῦ τελευταίου τῶν Ἀμαληκιτῶν βασιλέως Ἄγαγ ἀπόγονοι, καὶ ἐντεῦθεν ὁ Ἀμὰν καὶ ἦν καὶ προσηγορεύετο Ἀγαγαῖός τε, καὶ Ἀμαληκίτης, καὶ Μαγεδὼν, ἢ Μαγεδώνιος (ξένον δὲ τοῦ τῶν Περσῶν αἵματος αὐτὸν ἀνεκήρυξε καὶ ὁ βασιλεὺς Ἀρταξέρξης· Ἐσθὴρ η, 13). Ὅτι δὲ πάλιν ὁ Ἀμὰν ἐπεβούλευσε τὴν τῶν Περσῶν βασιλείαν μεταγαγεῖν εἰς τοὺς Μακεδόνας, λέγει μὲν ὁ βασιλεὺς Ἀρταξέρξης ἐν τῇ ἐπιστολῇ, ἐννοεῖ δὲ πάντως οὔτε τοὺς Ἀλεξάνδρου καὶ Φιλίππου προπάτορας Μακεδόνας, οὔτε τοὺς ἐν Μαγεδῶνι συγγενεῖς τοῦ Ἀμάν. Ἀλλὰ τοῦτον αὐτὸν σημαίνει τὸν ἐπίβουλον· ὅστις μελετῶν εἰς ἑαυτὸν τὴν τῶν Περσῶν βασιλείαν μεταβαλεῖν, ἤθελε πάντως εἰς τοὺς Μακεδῶνας, ἢ Μαγεδῶνας αὐτὴν μεταστῆσαι, κατὰ τὴν τοῦ γένους μετάληψιν (Μαγεδὼν γάρ τις ἦν καὶ αὐτός). Εἰ δ' ἐτύγχανε τοῦ σκοποῦ, κατῆρχον ἂν καὶ Μαγεδῶνες Περσῶν διὰ τὸν Ἀμὰν, ὡς λέγονται καὶ Πέρσαι κατάρξαντες Μήδων διὰ τὸν Πέρσην Κῦρον, καὶ τῶν Αἰγυπτίων, διὰ Καμβύσην (α).

(α) Βλ. Houbigant. ubi supr. Ὁ δ' ἀρχαιολόγος Ἰώσηπος μήτε Βουγαῖον, ἢ Γω-

§. θ. Ἐκ τοῦ Ἰώϐ.

Μεταξὺ τῶν πολλῶν τῆς ἱερᾶς τοῦ Ἰὼϐ ἑρμηνείας πρὸς τὸ νῦν ἑβραϊκὸν διαφορῶν (αἵτινες ἰδιαιτέρας χρήζουσι θεωρίας), ψέγουσιν οἱ κριτικοὶ τοὺς Ο μάλιστα διὰ τὰ ἀπὸ 4, μέχρι τοῦ 9 ἐδαφίου τοῦ Λ κεφαλαίου λόγια (α). Εἰσὶ δὲ τὰ ἐφεξῆς.

« Οἱ περικλῶντες (ϐ) ἅλιμα ἐπὶ ἠχοῦντι, ὧν ἅλιμα ἦν αὐτῶν τὰ σῖτα, ἄτιμοί τε καὶ πεφαυλισμένοι, ἐνδεεῖς παντὸς ἀγαθοῦ. Οἳ καὶ ῥίζας ξύλων ἐμασσῶντο ὑπὸ λιμοῦ μεγάλου. Ἐπανέστησάν μοι κλέπται, ὧν οἱ οἶκοι αὐτῶν τρῶγλαι πετρῶν. Ἀναμέσον εὐήχων βοήσονται, οἳ ὑπὸ φρύγανα ἄγρια διῃτῶντο· ἀφρόνων υἱοὶ καὶ ἀτίμων, ὧν ὄνομα καὶ κλέος ἐσϐεσμένον ἐπὶ γῆς. Νυνὶ δὲ κιθάρα αὐτῶν ἐγώ εἰμι» (ἐκ τοῦ Ἀλεξανδρ. κώδηκος). Ταῦτα τὰ σαφῆ καὶ καθαρὰ ψέγουσιν οἱ κριτικοὶ ὡς παντάπασιν ἀπὸ τοῦ ἑβραϊκοῦ διεστηκότα καὶ παράχορδα. Αὐτὸ δὲ τὸ κείμενον τὸ ἑβραϊκὸν ποῖά τινα περιέχει; Ἐάν τις παραϐάλῃ πρὸς ἀλλήλας τὰς νεωτέρας αὐτοῦ μεταφράσεις, οὐ μόνον αὐτὰς εὑρήσει μακρὰν ἀπ' ἀλλήλων ἀπεσχοινισμένας, ἀλλὰ καὶ τοιαῦτα περιεχούσας, ὁποῖα οὐκ ἂν εἴησαν οὔτε ἀληθῆ, οὔτε ὁμοιαλήθη (γ). Εὐθὺς τὸ πρῶτον

---

γαῖον, μήτε Μακεδόνα, ἀλλ' ἁπλῶς Ἀμαληκίτην γράφας τὸν Ἀμὰν (ὡς προείπομεν), οὐδ' εἰς τοὺς Μακεδόνας αὐτὸν λέγει, ἀλλ' ἁπλῶς ὅτι, «εἰς ἄλλους ἠϐούλετο τὴν ἀρχὴν μεταϐαλεῖν» (Ἀρχ. ΙΑ. ϛ, §. 12). Καὶ φαίνεται ἄρα, ὅτι καὶ Ἰώσηπος ἀνέγνω τὸ ἐν τῇ Ἐσθὴρ εἰς Μακεδόνας· ἐξεφράσθη δὲ καὶ ὧδε συντετμημένως καὶ ἀορίστως, ὡς ἐπιτέμνων, οὐ μεταγράφων ἀκριϐῶς τὸ τεῦχος τῆς Ἐσθήρ. Διὰ ταῦτα οὐδὲ τὸ ἐν ἀρχῇ τοῦ τεύχους ἐνύπνιον τοῦ Μαρδοχαίου διηγήθη· ἀλλ' εὐθὺς εἰσέϐαλεν εἰς αὐτὸ τὸ τῆς ἱστορίας κεφάλαιον.

(α) Ἐν τούτοις ὁ μακάριος Ἰὼϐ διαγράφει τὴν πενίαν καὶ μοχθηρίαν τῶν Ἀράϐων, τῶν οἰκούντων παρὰ τὸν κόλπον τὸν Ἀραϐικὸν, οἵτινες ὡς ἐν σπηλαίοις καὶ τρώγλαις οἰκοῦντες, ἐκαλοῦντο καὶ Ἐρεμϐοὶ, καὶ Τρωγλοδύται, καθὼς καὶ οἱ ἄλλοι, οἱ τὴν ἀντικειμένην ὄχθην τοῦ κόλπου κατοικοῦντες Τρωγλοδύται (βλ. Στράϐ. ιϛ, 776, 784. πρϐλ. καὶ Ἰωσήπ. Ἀρχ. ιε, 5, περὶ τῶν ἐν Τραχωνίτιδι Τρωγλοδυτῶν.

(ϐ) Ὁ Ἀλεξανδρ. καὶ Βατικαν. περικυκλοῦντες (ἄλλ. ἐσφαλμένως περικυκλῶντες)· ὁ δὲ Κομπλουτησ. περικλῶντες (ὃ καὶ πιθανώτερον), ὁ δὲ Σύμμαχος «ἀποκνίζοντες»· ἀλλὰ καὶ τὸ περικυκλοῦντες ἐκφράζει τοὺς κύκλῳ περικεχυμένους, ἢ περινοστοῦντας εἰς συλλογὴν τῶν ἀλίμων (ϐλ. Χρυσόστομ. εἰς Ἰὼϐ αὐτόθι).

(γ) J. Voss. de LXX. pag. 63, καὶ Respons. ad Huls. p. 109.

κόμμα ἑρμηνεύουσι· « Δρέπονται *θάμνους ἁλμυρώδεις* καὶ ῥίζαν *σπάρτων* (genistarum) εἰς σίτησιν αὐτῶν ». Ἄλλοι· « Δρέπονται *μαλάχην πλησίον θάμνων*, καὶ ῥίζαν *ἀρκεύθων* (Juniperi)· ἄλλοι δὲ ἄλλως (α). Ἀλλὰ τὸ ἑβραϊκὸν malluach οὔτε πλησίον, ἢ καὶ ὕπερθε θάμνων κειμένην, οὔτε ὅλως *μαλάχην* σημαίνει (ἣν ψευδῶς γεννῶσιν ἐκ τοῦ ὁμοήχου ἑβραίου maluach, ὡς καὶ τὸ λατιν. malva), οὔτε πάλιν ἀορίστως *θάμνους ἁλμυρώδεις*, ἀλλ' εἰδικῶς αὐτὰ τῶν Ο τὰ ἄλιμα (τὸ ἄλιμον, καὶ ἡ ἄλιμος), θαμνῶδες φυτὸν ὑφάλμυρον· μαρτυρεῖ δὲ καὶ τῆς ἑβραΐδος λέξεως τὸ θέμα (melach), ἅλας σημαῖνον. Καὶ οἱ Σύροι μέχρι σήμερον ὡσαύτως καλοῦσι τὸ φυτὸν, maliochia, ὡς ὁ Βοχάρτος ἀπέδειξε (β). « Ἄλιμα δὲ » (φησὶν ὁ θεῖος Χρυσόστομος ἐν τῇ Σειρᾷ, αὐτόθ.)· « βοτάνη τις ἐστιν, ὥς φασι, ταχὺ πληροῦσα, τὸν ἐσθίοντα καὶ κόρον ἐμποιοῦσα » (γ). Ὁ δὲ Σουΐδας· « Ἄλιμον, βοτάνη δενδροειδὴς παρὰ θάλασσαν· πληθυντικὰ δὲ τὰ ἄλιμα ». Ὅτι δὲ τὸ πάλαι (καθὼς καὶ νῦν παρὰ τοῖς

---

(α) Βλ. Criticos Sacros Annot. in Iob h. l. πρβλ. Cappell. not. - Schulz καὶ Rosenmüll. Schol. in h. l. Ὁ δὲ Μιχαῆλος (Supplem. pag. 1423) μεταβαλὼν τὰς μασοριτείους στιγμὰς τῶν γραμμάτων, ἀνέγνω οὕτως· « Οἱ ἀπὸ πλακῶν πετρίνων (tabulis petrarum) δρέπονται φύλλα θάμνων »· Τὸ δὲ Ταργούμ. « Ἐκτίλλουσιν ἀκάνθας ἀντὶ τρωκτῶν βοτανῶν », κτλ. Ἡ δὲ Βουλγάτα « Καὶ ἔτρωγον βοτάνας (herbas) καὶ δένδρων φλοιούς, καὶ ῥίζα ἀρκεύθων ἦν ἡ τροφὴ αὐτῶν » καὶ ἐν τοῖς ἐφεξῆς, μήτε τῷ ἑβραϊκῷ μήτε τοῖς Ο, καθ' ὅλα συμφωνεῖ. Καὶ ὁ Σύμμαχος ἔγραψεν « ἀποκνίζοντες φλοιοὺς φυτῶν ».

(β) Bochart. Hierozoic. P. I. L. III. c. 16. οὕτω καὶ Celsius Hierobotanic. p. 11, 96, 97, καὶ Drusius Quest. Hebr. L. I. c. 17. καὶ Schleusn. Thes. λ. Ἄλιμος, καὶ Gesen. Lex. Hebr. p. 577.

(γ) Παρὰ τὸ ἄλιμος (ὁ ἄνευ λιμοῦ, ἢ παύων λιμόν· κατὰ τὰ, ἄδιψος, ἄκοπος, κτλ.). Ὁ δὲ Οὐόσσιος ἐθέλει μᾶλλον δασύνεσθαι τὴν πρώτην συλλαβὴν παρὰ τὸ ἅλς (ἡ θάλασσα), ὅτι παράλιον τὸ φυτόν· καὶ ὁ Δρούσιος (Quaest. Hebr. I, 17) παρὰ τὸ ἅλς (ἅλας)· ἀλλ' ὁ Σκλευσίνερος ἀνανεύει (λ. ἄλιμος), καὶ ἴσως δικαίως· (ἄλλο δὲ τὸ ἄλιμα ἐλλειπτ. χωρία, ἀντὶ ἅλια, παράλια. Ἱερεμ. ιζ. 6). Πλὴν ἀλλ' ὅμως ὁ Σουΐδας συμμαχεῖ πως Οὐοσσίῳ « βοτάνην παρὰ θάλασσαν » ἐξηγῶν τὸ φυτὸν, καί τοι καὶ αὐτὸς ψιλοῖ τὴν φωνὴν (βλ. ἀνωτ. πρβλ. καὶ Ἡσύχ.). Μόνος ὁ Καπέλλιος φαίνεται παράδοξος, θεωρῶν τὸ ἄλιμα ὡς παραφθορὰν τοῦ ἑβρ. malluach, κατὰ μετάθεσιν τῶν στοιχείων. L. Cappell. Not. in Iob c. 30.

πολλοῖς) ἐδώδιμα τὰ ἅλιμα, διδάσκει μετὰ τοῦ Διοσκορίδου (α) καὶ Ἀθήναιος (β). Πάλιν οἱ Ο, « *ἐπὶ ἠχοῦντι* » (ἐλλειπτ. τόπῳ) « τουτέστιν ἐπὶ φάραγξι καὶ πετρώδεσιν· εὔηχοι γὰρ οἱ τοιοῦτοι τόποι, καὶ ἀντηχοῦσι τοῖς φθεγγομένοις· ἢ καὶ ἠχοῦντα λέγει τὸν ἀλσώδη τόπον » (Χρυσόστομ. αὐτόθ.) (γ). Ἀντὶ δὲ τῆς ἐμφαντικῆς ἐπαναλήψεως « *ὧν ἅλιμα ἦν αὐτῶν τὰ σῖτα* », αὐτοὶ ἔγραψαν (ὡς ἔχει καὶ τὸ νῦν ἑβραϊκὸν) « ῥίζας ἀρκεύθων (ἄλλοι, *σπάρτων*) εἰς σίτησιν αὐτῶν ». Ἀλλὰ πῶς ἂν γένοιτο σίτησις ἀρκεύθου ἢ σπάρτου κατάπικρος ῥίζα; Οἱ δέ τινες φεύγοντες τὴν σίτησιν, ἔγραψαν « *εἰς θέρμανσιν* » (ἵνα θερμαίνωνται ψύχους ὥρᾳ! πόθεν δὲ ἐξέφυσαν ὧδε αἱ ῥίζαι αὗται, βλέπομεν μετ᾽ ὀλίγον). Ἐφεξῆς γράφουσιν· « Ἐκ μέσου ἐδιώκοντο, καὶ κατόπιν αὐτῶν ἐκραύγαζον, ὡς ἐπὶ κλέπτας »· ταῦτα, ἀντὶ τοῦ τῶν Ο « Ἄτιμοι καὶ πεφαυλισμένοι ». Ἀλλὰ (λέγουσιν οἱ κριτικοὶ) καὶ οἱ Ο ἀπέδωκαν, εἰ καὶ μὴ τὴν κυρίαν τῶν λέξεων σημασίαν, ἀλλ᾽ ὅμως αὐτὸ τὸ σημαινόμενον πρᾶγμα. Οἱ ἐξελαυνόμενοι ἐκ μέσου τῆς πολιτείας, *ἄτιμοί* εἰσι καὶ πεφαυλισμένοι (δ). Ἡμῖν δ᾽ οὖν (οἶμαι δὲ καὶ ἄλλοις) ἄγαν μακρόθεν ἐζητημένη ἡ συμφωνία αὕτη δοκεῖ· μᾶλλον δὲ φαίνεται πιθανώτερον, ὅτι πάντῃ διαφόρως ἀνέγνωσαν οἱ Ο καὶ ὧδε, ἢ ὡς ἔχει τὸ καθ᾽ ἡμᾶς ἑβραϊκόν. Λείπουσιν ἐξ αὐτοῦ καὶ τὰ ἐφεξῆς τῶν Ο « ἐνδεεῖς παντὸς ἀγαθοῦ ». Ἐκ δὲ τῶν ἑπομένων τὸ « καὶ ῥίζας ξύλων ἐμασσῶντο » (ε) μετεφυτεύθη

---

(α) Διοσκορ. Βιβ. Γ. κεφ. φοε.

(β) « Τῶν Πυθαγορικῶν δ᾽ ἔτυχον ἄθλιοί τινες, Ἐν τῇ χαράδρᾳ τρώγοντες ἅλιμα, καὶ κακὰ Τοιαῦτα συλλέγοντες ἐν τῷ κωρύκῳ » (Ἀθήν. Δ. 161). Ἔστι δὲ τὸ ἅλιμον θαμνῶδες φυτὸν, ὅμοιον ῥάμνῳ, δίχως ἀκανθῶν, φύλλον ὡς τὸ τῆς ἐλαίας, χρήσιμον εἰς φραγμούς. Τούτου γοῦν τὰ φύλλα γίνονται πολλάκις τοῖς πένησι « λιμοῦ ἀλεωρή ».

(γ) Οἱ δὲ περὶ τὸν Οὐόσσιον (l. c.) ὑπονοοῦσιν εἰς τὸ « ἠ χ ο ῦ ν τ ι » τὸ αἰγιαλῷ, τουτέστι θάλασσαν ἠ χ ή ε σ σ α ν, παρ᾽ ᾗ φύονται τὰ ἅλιμα· ἀλλὰ τὸ ἐφεξῆς ἀναμέσον ε ὐ ή χ ω ν (ὅπου τὸ ἑβρ. Sciach) οὐ πάνυ τοι συνᾴδει.

(δ) Schleusn. Thes. λ. Ἄτιμος.

(ε) Καὶ ὁ Σύμμαχος, « Ῥίζα ξύλων ἀγρίων ἡ σίτησις » (αὐτῶν).

ἀνωτέρω πλησίον τῆς *ἐπὶ τῶν θάμνων μαλάχης*, καὶ τὸ *ξύλον* εἰδοποιήθη εἰς *ἄρκευθον*, ἢ *σπάρτον* (α). Οἱ Ο ἔχουσιν ἐφεξῆς· «Ἐπανέστησάν μοι κλέπται, ὧν οἱ οἶκοι αὐτῶν ἦσαν τρῶγλαι πετρῶν· ἀναμέσον εὐήχων» κτλ. Ἐν δὲ τῷ Ἑβρ. τὸ μὲν «ἐπανέστησάν μοι κλέπται» μετετέθη ἀνωτέρω μεταβληθὲν εἰς τὸ «κατόπιν αὐτῶν ἐκραύγαζον, ὡς ἐπὶ κλέπτας»· τ' ἄλλα δὲ συμφωνοῦσι σχεδὸν τοῖς Ο. Ἀντὶ δὲ τοῦ τῶν Ο· «Ἀναμέσον εὐήχων βοήσονται» (β) ἔχει, τὸ ἑβραϊκὸν (ὡς ἑρμηνεύουσι) «μεταξὺ θάμνων *ὀγκῶνται*» (γ)· καὶ ἀντὶ τοῦ «ὑπὸ φρύγανα ἄγρια διητῶντο» μεθερμηνεύουσιν, «ὑπ' *ἀκάνθας*» (ἄλλοι, ὑπὸ *κνίδας*· ἄλλοι, ὑπὸ *σκολύμους*· ἄλλοι, ὑπὸ *παλίουρον*) «συνέρχονται» (ἄλλοι, *συνουσιάζουσι*) (δ)· εἰς τοσαῦτα φυτὰ διηρέθησαν τὰ φρύγανα»! (ε).

---

(α) Τὸ ξύλων τῶν Ο ὁ Οὐόσσιος ἐξέλαβεν ἀντὶ τοῦ ξύλου τῆς ἐρέας (ἤτοι τοῦ βαμβακίου, λατιν. gossypium)· φύεται δὲ τὸ δενδρον κατ' ἐκείνους τοὺς τόπους τῆς Ἀραβίας.

(β) Ὁ δὲ Σύμμαχος· «μεταξὺ φυτῶν ἀγρίων ἠχοῦντες λιμῶδες»· Τὸ δὲ τῶν Ο εὐήχῳ (ἐλλ. τόπῳ), ὡς καὶ τὸ ἀνωτέρῳ ἠχοῦντι, ἀντὶ τοῦ ἑβρ. schiach κλάδος θάμνος, ἦχος, ᾠδὴ κτλ. ἀπὸ θέματος σημαίνοντος κυρίως τὸ προάγω, ἐξάγω, ἐκφέρω (φωνὴν, ἦχον, βλαστὸν κτλ). οἱ Ο, ἐξέφρασαν τὸν ἦχον. βλ. Gesen. Lexic. p. 962.- Schleusn. Thes. λ. Εὔηχος, Ἠχέω.

(γ) Τὸ ἑβρ. Nahak τίθεται ἐπὶ φωνῆς πεινώντων ὄνων (Ἰὼβ ϛ, 5), καὶ ἀνθρώπων πειναλέων (βλ. Gesen. Lex. Hebr. p. 652)· ἀλλ' οἱ Ο κἀκεῖ (Ἰὼβ ϛ, 5) ἔγραψαν κεκράξονται, ὡς καὶ ὧδε, βοήσονται, ῥήματι γενικωτέρῳ χρησάμενοι (οἷον, καὶ τὸ Naak, ταυτὸ σχεδὸν τῷ Nahak, κτλ.). Ὁ δὲ Ἱερώνυμος ἔγραψε laetabantur (ἠγάλλοντο), πολὺ πάντως διάφορον τοῦ ὀγκῶνται.

(δ) Βλ. Drusij Annot. - Cappell not. - Schulz. Sch. in h. l. Κατὰ δὲ τὸν Ἱερώνυμον «τὸ ὑπ' ἀκάνθαις εἶναι λογίζονται τρυφὴν» (delicias).

(ε) Τὸ ἑβρ. ἔχει Charul, ὅπερ ὁ Γεσένιος (Lex. Hebr. p. 368) ἑρμηνεύει urtica (κνίδη), ἐκ τοῦ λατ. ureo τὸ καίω (ὡς καὶ κνίδη ἐκ τοῦ κνίζω). Οὕτω καὶ τὸ ἑβρ. Charul (τὸ καίειν)· Ἀλλὰ καὶ τὸ φρύγανον ἐκ τοῦ φρύγειν (καίειν, ἀποκαίειν) καὶ αὕτη φαίνεται ἡ καθόλου τῆς ἑβραΐδος φωνῆς σημασία, ἣν οἱ νεώτεροι εἰς τοσαῦτα φυτῶν εἴδη, κνίδας, ἢ κνιδῶνας (urticela), καὶ σκολύμους, καὶ παλιούρους διεσχημάτισαν. Οὕτω καὶ Παροιμ. κδ. 31, ὅπου τὸ αὐτὸ charul πληθυντ, charulim ἑρμηνεύουσιν οἱ νεώτεροι κνίδας· «ἐπισκεπασμένος κνίδαις», οἱ Ο ἔχουσι χορτομανῶν (ὅτι καὶ τὸ χόρτον = φρύγανον). Ὁ δὲ Κέλσιος (Hierobot. p. II. pag. 164—168) καὶ τοῦτο τῶν Παροιμιῶν παλίουρον ἐξέλαβεν. Ἀλλ' ὁ

Τελευταῖον· ψέγουσι τοὺς Ο, ὅτι ἡρμήνευσαν *κιθάραν* τὸ ἑβραϊκὸν neginah, ὅπερ ἑρμηνεύουσιν ᾆσμα, ἢ ψαλμόν. Ἀλλ᾽ ἡ φωνὴ σημαίνει κυρίως ᾠδὴν διὰ χορδῶν, ἢ ψαλμῳδίαν (κιθαρῳδίαν, λυρῳδίαν, κτλ.), καὶ αὐτὸ τὸ χορδότονον ὄργανον (τὸ ἐντατόν)· ὅθεν καὶ κιθάραν, ἢ *ψαλτήριον*, ὡς ἡρμήνευσαν ἀλλαχοῦ τὸ αὐτὸ (Ἡσ. λη, 20), καὶ πάλιν (Θρήν. ε, 14) *ψαλμόν*· «ψαλμὸς δὲ καὶ ὁ τῆς κιθάρας ἦχος» (Ἡσύχ.)· *ψαλτήριον* ἡρμήνευσε καὶ Σύμμαχος (ἐπιγραφῇ τοῦ δ, ψαλμοῦ). Χαριεστάτη δὲ καὶ ἡ συνεκδοχὴ τῆς κιθάρας ἀντὶ τοῦ κιθαρῳδήματος (ἤτοι παρῳδήματος ἐπὶ χλεύῃ καὶ διασυρμῷ). Οὕτω καὶ τὸ *ἀηδὼν*, ἀντὶ τῆς ἀοιδῆς, ἢ ποιητικῆς ᾠδῆς (οἷον· «Τεαὶ ζώουσιν ἀηδόνες». Καλλίμαχ. Ἐπιγρ. β.), καὶ ὅσαι παρ᾽ Ἕλλησι τοιαῦται συνεκδοχαί. Ἀλλ᾽ ἱκανοῦσι ταῦτα περὶ τοῦ Ἰωβείου χωρίου, καθ᾽ οὗ μάλιστα πολλοὶ τῶν κριτικῶν σφόδρα καὶ ῥάγδην ἐπέβρισαν. Φαίνεται δὲ (νομίζομεν) καὶ ἐκ τούτου, ὅτι οἱ Ο καὶ ἀκραιφνέστερον ἀνεγίνωσκον, καὶ τὰς ἑβραΐδας φωνὰς ἀσφαλέστερον ἐξηκρίβουν. Ὅτι δὲ ὑπῆρχον ἔτι ἐπὶ τοῦ Ὠριγένους οὐκ ὀλίγαι διαφοραὶ μεταξὺ τοῦ παρ᾽ Ἑβραίοις κειμένου καὶ τῆς κατὰ τοὺς Ο ἑρμηνείας τοῦ Ἰὼβ, ἐσημείωσε μὲν αὐτὸς Ὠριγένης ἐν τῇ πρὸς Ἀφρικανὸν ἐπιστολῇ (σελ. 226), ἐπανέλαβε δὲ καὶ Ἱερώνυμος (προλόγ. εἰς Ἰώβ). Ἀλλὰ τὰ περὶ τούτων ἀνήκουσιν ἰδίως εἰς τοὺς Ὑπομνηματιστάς. Ἴσως δὲ καὶ ἡμεῖς ἐν τῷ ἐφεξῆς βιβλίῳ σημειώσομέν τινας ἐκ τούτων τῶν διαφορῶν.

§. ι. Ἐκ τῶν Ψαλμῶν.

Ψαλμ. Β. 12. «Δράξασθε παιδείας».— Τὸ ἑβρ. «φιλεῖτε τὸν υἱὸν» (ὡς ἑρμηνεύουσιν οἱ νεώτεροι). Ὁ δ᾽ Ἀκύλας εἶπε «*καταφιλήσατε ἐκλεκτῶς*». Ὁ δὲ Σύμμαχος, «*προσκυνήσατε καθαρῶς*». Οὕτω καὶ Ἱερώνυμος (adorate pure). Τῶν δὲ κριτικῶν οἱ μὲν ψέγουσι καὶ ὧδε τοὺς Ο, ὡς ἐπαριστέρους ἑρμηνεῖς· οἱ

---

Σχοῦλζιος (Schul. in Prov. h. l.) σαφῶς ὡμολόγησεν, ὅτι «Οὐδὲν βέβαιον ἔχομεν (περὶ τοῦ φυτοῦ τούτου), στερούμενοι τῆς ἀπὸ τῶν συγγενῶν (τῇ ἑβραΐδι) γλωσσῶν ἐπικουρίας».

δὲ καὶ πειρῶνται φιλανθρωπότερον αὐτοὺς διαλλάττειν πρὸς τὸ ἑβραϊκὸν καὶ τοὺς λοιποὺς μεταφραστάς, λέγοντες· « Ὅτι τὸ ἑβρ. Βὰρ (bar) σημαίνει μὲν καὶ τὸν καθαρόν, ἢ καθάριον, καὶ τὸν ἐκλεκτόν, σημαίνει δὲ καὶ τὸν υἱόν, ἢ παῖδα. Καὶ αὐτὸ δὲ λέγουσι τὸ τῶν Ο *παιδεία* οὐδέν ἐστιν ἕτερον, εἰμὴ τῶν ἀντιγραφέων ἀβλεψία. Καθότι καὶ οἱ Ο *παιδίον* ἔγραψαν· « *δράξασθε παιδίου*»· (τὸ δράξασθε δηλονότι ἀντὶ τοῦ ἀσπάσασθε θέντες)».—Πρὸς ταῦτα ἡμεῖς μὲν σιωπῶμεν, αἰδούμενοι τὴν πολυμάθειαν τῶν ἀνδρῶν, οἵτινες ἐνίοτε, τῆς διανοίας ἀνθρωπίνως ὀλισθαινούσης, ἀποφαίνονται καὶ ἃ μὴ δεῖ (α). Πᾶς δέ τις τῶν ἐξακριβούντων τὴν δύναμιν τῶν ἑλληνικῶν τούτων φωνῶν ὁμολογεῖ, ὅτι τὸ δράττομαι παρ' Ἕλλησιν οὐδέποτε σημαίνει οὔτε τὸ σπάω, σπῶ (τὸ ἕλκω, ὅθεν τὸ ἀσπάζομαι), οὔτ' αὐτὸ δὴ τὸ *ἀσπάζομαι*· πολλοῦ γε καὶ δεῖ! (πλὴν εἰ μή που καὶ ἡ βάτος *δραττομένη* τῶν παριόντων, *ἀσπάζεται* τούτους καὶ φιλεῖ, καὶ ὁ θεριστὴς *δραττόμενος* τὰ δράγματα). Μάταια ταῦτα καὶ λέγειν ὅλως. Τὸ δὲ τῶν Ο « *δράξασθε παιδείας* » ἐπικυροῦται 1) ἐκ τοῦ προηγουμένου δεκάτου ἐδαφίου τοῦ αὐτοῦ Ψαλμοῦ « (Καὶ νῦν βασιλεῖς σύνετε), *παιδεύθητε*» (ὡς ἡρμήνευσαν ἐκεῖ ἄλλο ῥῆμα ἑβρ. φέρον πρὸς τὴν ἔννοιαν τῆς ἑπομένης ῥήσεως, περὶ ἧς ὁ λόγος). Ὅθεν ὁ Ὠριγένης (εἰς Ψαλμ. β)· «Τὴν μὲν προκοπὴν διὰ τοῦ *παιδεύθητε* παριστᾷ, τὴν δὲ τελείωσιν διὰ τοῦ « *δράξασθε παιδείας* ». 2) Καὶ ἄλλος μεταφραστὴς ἔχει « ἐπιλάβεσθε ἐπιστήμης » (β). 3) Τοῦτ' αὐτὸ καὶ

---

(α) Πρῶτος ἴσως ὁ Ὀττιγγῆρος (Thes. Philol. pag. 371) ἐξεῦρε ταύτην δὴ τὴν θεραπείαν, τὴν « δράξασθε παιδίου » (ἣν ἄπορον πῶς καὶ αὐτὸς ὁ σοφὸς ἑλληνιστὴς Σκλευσίνερος ἀπεδέξατο ἐν Thesaur. V. Test. v. παιδεία, καὶ Opuscul. critic. pag. 162). Ἐπανέλαβε τὴν θεραπείαν καὶ ὁ Καπέλλιος λέγων, « τὸ δράξαι (!) παιδίου, ταὐτὸν εἶναι τῷ φιλῆσαι τὸν υἱόν, πρὸς γὰρ τὸ φιλῆσαι δραττόμεθα τῶν, οὓς ἐθέλομεν φιλεῖν » (Lud. Cappell. not. crit. in Vet. Test. p. 468). Ὡσαύτως καὶ ὁ Λεμοῦνος, γράφων· « δράξασθε παίδιον (sic!) βλ. Le Moyen Var. Sacra vol. 1. proleg. pag. 88. ἄλλα παραλείπομεν.

(β) Ὠριγ. Ἑξαπλ. τόμ. α. σελ. 475. συμβλ. καὶ Ἡσύχ. λ. Δράξασθε παιδείας, καὶ αὐτόθ. Σχόλ. Heinsij.

ἡ παλαιὰ Βουλγάτα. « apprehendite disciplinam. 4) Καὶ ὁ Χαλδαῖος παραφραστὴς, suscipite doctrinam (ὑποδέξασθε διδασκαλίαν)· ὅστις καὶ εἷς ἂν ἤρκεσεν ἀντὶ πάντων τῶν νεωτέρων εἰς μαρτυρίαν, εἴ γε τὸ bar καὶ ὧδε (καθὼς λέγει ὁ ῥαββῖνος Ἠλίας ὁ Λευΐτης καὶ μετ᾽ αὐτοῦ οἱ κριτικοὶ) ὑπάρχει λέξις Χαλδαϊκὴ, ἀντὶ τοῦ ἑβραϊκοῦ ben. 5) Ὡσαύτως καὶ ὁ Ἄραψ μεταφραστής. 6) Αὐτὴ ἡ λέξις ἡ bar, ὡς σημαίνει καὶ τὴν καθαρότητα ἐκ τοῦ καθαρὸς, οὕτως ἐξ ἀνάγκης σημαίνει καὶ τὴν *παιδείαν* ἐκ τοῦ *παῖς, παιδός* (α)· καὶ ταῦτα μὲν οὕτως (β). Οἱ δὲ τὸ « φιλεῖτε τὸν υἱὸν » δικαιοῦντες, λέγουσι τοῦτο πολὺ παρὰ τὸ « δράξασθε παιδείας » προτιμότερον, διότι ῥητῶς ὀνομάζει τὸν *Υἱὸν* (δηλαδὴ τοῦ Θεοῦ, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν). Ἀλλὰ (ἀπαντῶμεν) πολὺ τρανώτερον καὶ λαμπρότερον ἐξεφράσθη ἐν τῷ ζ, τοῦ αὐτοῦ ψαλμοῦ ἐδαφίῳ τὸ « *Υἱός μου εἶ σύ*· ἐγὼ σήμερον γεγέννηκά σε » (οὕτως ἔχει καὶ τὸ ἑβραϊκόν). Καὶ αὐτὸ δὲ τὸ προσκυνητὸν ὄνομα, ὁ *Χριστὸς* Κυρίου, ὁ Μεσσίας, διαλάμπει εἰς τὸ β, ἐδάφιον τοῦ ψαλμοῦ (γ).

---

(α) Βλ. Voss. de LXX. p. 64. Καὶ Λούθηρος δὲ τὴν τῶν Ο, ἑρμηνείαν ἀπεδέξατο καὶ ἐθαύμασε. Βλ. Luther Tom. 2. p. 10. (Jena Latin.). Σημειούσθω δὲ καὶ τοῦτο παροδικῶς· Ὡς τὸ παῖς, πάϊς, ἐκ τοῦ πάω, συγγεν. πόω (ποιῶ), οὕτω καὶ τὸ ben ἐκ τοῦ bana = ποιῶ, κτίζω· πρβλ. καὶ τὸ bar, bara, κτλ. ὄπισθεν σελ. 718.

(β) Καὶ τὸ ῥῆμα τὸ ἑβρ. Nasak οὐ μόνον τὸ φιλεῖν τῷ ςόματι σημαίνει, ἀλλὰ καὶ τὸ συνάπτειν, ἢ ἐφάπτεσθαι (pertingere. Βλ. Gesen. Lex. Hebr. p. 694). Ὅθεν (κατὰ τοὺς Ο) καὶ τὸ ἅπτεσθαι, δράττεσθαι. Ἄλλοι νομίζουσιν ὅτι οἱ Ο ἀνέγνων Naschag, καταλαμβάνω, φθάνω διώκων, ὅθεν καὶ τὸ δράττομαι (Schleusn. Thes. λ. Δράττομαι)· ἄλλοι δ᾽ ἄλλως εἰκάζουσι· Βλ. Rosenmüller Schol. in Psalm. 11.

(γ) Παραλείπομεν ἄλλους καινοτομιστὰς, οἵτινες ἀείποτε θρασυνόμενοι διορθοῦν τὰς Γραφὰς, εἰσάγουσιν ἀναγνώσεις τῆς ἰδίας αὐτῶν ἐπινοίας, ἄλλα τε πολλὰ διαφόρως ἀναγινώσκοντες, καὶ τὸ περὶ οὗ ὁ λόγος ἐδάφιον, ὅπου τὸ ἑβραϊκὸν, ἀντὶ τοῦ δράξασθε παιδείας, ἢ τοῦ (λεγομένου καθ᾽ ἑβραίους) φιλεῖτε τὸν υἱὸν, μεμαφράζουσι « παρασκευάζετε τὸν ἐξ ἀρνίων φόρον » (rüstet den Lämmertribut). Βλ. Thierschij De Pentateuch. version. p. 23. Ἄλλοι δὲ καὶ αὐτὸ « τὸ φιλεῖτε τὸν υἱὸν » (καθὼς ἑρμηνεύουσιν) ἐβεβήλωσαν, ἐπεξηγοῦντες « τὸν υἱὸν τοῦ Θεοῦ, δηλαδὴ τὸν βασιλέα. Βλ. Gesen. Lex. Hebr. p. 171.

Ψαλμ. Γ. 7. « Ἐπάταξας τοὺς ἐχθραίνοντάς μοι *ματαίως* ». Τὸ ἑβραϊκὸν (καὶ Ἀκύλας καὶ Σύμμαχος) « *εἰς τὴν σιαγόνα* ». Ὅσοι προτιμῶσι ταύτην τὴν ἀνάγνωσιν, διορθοῦσι πρὸς αὐτὴν καὶ τὸ τῶν Ο *ματαίως*, γράφοντες *μαθυίας*! (ὡς ἂν εἴπερ ἔγραψαν οἱ Ο, « ἐπάταξας τοὺς ἐχθραίν. μοι μαθυίας »· καὶ τοῦτο ἐλλειπτικ. ἀντὶ εἰς μαθυίας! ὡς τὸ πατάσσειν ἐπὶ κόῤῥης, ἢ εἰς τὴν γνάθον, κτλ.) (α). Τοῦτο δὲ τὸ μαθυῖαι τίποτε δηλοῖ; *γνάθους* (λέγουσιν), ὡς ἔχει ὁ Ἡσύχιος (β). Ἀλλ' οὔτε τὸ μαθυῖαι, ἢ μαθῆες ὑπάρχει (καθὼς γράφεται) λέξις ἑλληνική, οὔτ' (εἴπερ ὑπῆρχεν) ἔχει χώραν εἰς τὴν διάλεκτον τῶν Ο, οἵτινες οὐδέποτε ἔγραψαν ὀνόματα γλωσσηματικὰ καὶ ἀπηρχαιωμένα· ὥστε καὶ ἡ κριτικὴ αὕτη διόρθωσις κατ' οὐδέν ἐστιν εὐτυχεστέρα τῆς προηγουμένης δράξεως τοῦ παιδίου (γ).

---

(α) Οὕτως ὑπέλαβον ὁ Simon de Muis, ὁ Schindlerus, κτλ. (Βλ. Schleusner Thes. λ. Ματαίως). Ὁ δὲ Καπέλλιος (not. in Psalm.) γράφει μ α θ ῆ ε ς.

(β) « Μαθυῖαι, γνάθοι ». Ἡσύχ. (ὅπου ἄλλοι διορθοῦσι ματύαι. Βλ. Σημειώσ. τῶν Κριτικ. αὐτόθ.). Λέξις ἀόριστος, γλωσσηματική, καὶ ἀναμφιβόλως ἐσφαλμένη γραφή. Ἴσως ἐγράφετο ματτίαι, ἢ μάττιες, ἀντὶ μ ά σ τ ι ε ς, ἐκ τοῦ μάσις, μαστίζω, τὸ μασσῶ (ὅθεν καὶ μαστίχη), τὸ καὶ ματάζω, ὅθεν καὶ ὁ μάσταξ (στόμα, μάσσημα, κτλ.). Καὶ τὸ λατιν. maxilla ἐκ τοῦ μάσσω (μάξω) φαίνεται παράγωγον.

(γ) Πάμπολλα καὶ ἄλλα ξένα τῆς ἑλληνικῆς ἀκριβείας καὶ βαρβαρίζοντα πολλάκις ὀνόματα ἔγραψαν οἱ κριτικοί, διαλλάττοντες τάχα τοὺς Ο, πρὸς τὸ ἑβραϊκόν· οἷον, Τὸ « *ὡ ς ἄ ρ ν ε ς ἐπ' ἄγρωστιν* » (Μιχ. ε, 7), διορθοῦσι *ῥ ά ν ι ε ς* (ἀντὶ *ῥ α ν ί δ ε ς*!). διότι τὸ ἑβρ. ἔχει (καθὼς ἑρμηνεύουσιν) ὄμβροι [ὁ Ἀκύλας, ψεκάδες, ὁ Θεοδοτίων, νιφετός· ἡ Βουλγάτα, σταγόνες]. Τὸ « *Κ α τ ο ι ό μ ε ν ο ς καὶ καταφρονητὴς* » (Ἀββ. β, 5), Κατοινόμενος, ἢ κατοινούμενος, ἢ κατοινομένος, ἢ (ὡς θέλουσιν Εἴνσιος καὶ Δρούσιος) *κ α τ ῳ ν ω μ έ ν ο ς* (!), διότι τὸ νῦν ἑβρ. ἔχει οἶνος. Τὸ (σκότος) « *καταπατήσει με* » (ψαλμ. ρλη, 11) τρέπουσιν εἰς τὸ *κ α τ α π ε τ ά σ ε ι μ ε*. Τὸ (ὄναγροι) « *προσδέξονται* » (ψαλμ. ργ, 11), εἰς τὸ *π ρ ο σ δ ο κ ή σ ο ν τ α ι*. Τὸ (παρθένοι) « *ἀγόμεναι* » (Ἱερεμ. θρήν. α, 4), εἰς τὸ *ἀ χ ό μ ε ν α ι*, ἢ *ἀ χ θ ό μ ε ν α ι*. Τὸ « *π α ρ α π τ ώ μ α τ ι* » (Ζαχ. θ, 5) εἰς τὸ *π α ρ ο π τ ώ μ α τ ι* (ἐκ τοῦ παρόπτομαι! ἀντὶ τοῦ παροράματι). Τὸ « *ὡς ταραχὴ* » (Ὠσηὲ, ε, 12), εἰς τὸ *ἀ ρ ά χ ν η*, ἢ, *τ ά κ η* (παρὰ τὸ τήκω! διότι τὸ νῦν ἑβρ. ἔχει tinea, σής). Τὸ (ἄνθραξιν) « *ἐρημικοῖς* » (ψαλμ. ριθ, 4) εἰς τὸ *ἀ λ ι μ ι κ ο ῖ ς* (ἐκ τοῦ ἄλιμος. βλ. ὄπισθ. σελ. 772)· διότι τὸ νῦν ἑβραϊκ. ἔχει Rothem (ἄρκευθος, ἢ ἄλιμος). κτλ. κτλ. Εἰς τοιαύτας καὶ πολλὰς ἄλλας παραδιορθώσεις ἐκπεπτώκασιν οἱ σοφοὶ κριτικοί, παραβιάζοντες (οἱ πλεῖστοι), ἀείποτε τοὺς Ο, πρὸς συμφωνίαν τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ· ὡς ἂν ἐκείνων πανταχοῦ χρῃζόντων διορθώσεως, μηδέ-

ὅθεν οἱ Ο, ἀνέγνωσαν καὶ ὧδε διαφόρως, ἢ ὡς ἔχει τὸ σημερινὸν ἑβραϊκὸν, καὶ ἡρμήνευσαν ὡς ἀνέγνωσαν (μαρτυρεῖ δὲ καὶ Εὐσέβιος) (α). Καὶ τὸ *ἐχθραίνειν ματαίως* ἐπικυροῦσιν αὐτοὶ πάλιν οἱ Ο, παρομοίως εἰπόντες καὶ ἀλλαχοῦ « ἐχθραίνοντές μοι ματαίως » (καὶ ἐκ παραλλήλου), « οἱ μισοῦντές με δωρεάν » (β). *Ματαίως* ἔχουσι καὶ ἡ παλαιὰ Ἰτάλα, καὶ ἡ Βουλγάτα (sine causa).

Ψαλμ. Δ. 2. « Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; » — Τὸ ἑβρ. (ὡς ἐξηγοῦσι)· Υἱοὶ ἀνδρὸς, ἕως πότε τὴν δόξαν μου καταισχύνετε; Ὁ δ' Ἀκύλας, « ἕως πότε οἱ ἔνδοξοί μου ». Ὁ δὲ Σύμμαχος, « ἕως πότε ἡ δόξα μου »; Καὶ ὁ Χαλδαῖος ἀντὶ τοῦ *ἕως πότε*, γράφει *διὰ τί*· τούτοις ἐπηκολούθησε καὶ Ἱερώνυμος. Ἀλλὰ τὴν ἑρμηνείαν τῶν Ο κυροῦσι, 1) Ἡ παλαιὰ Βουλγάτα. 2) Ὁ Ἄραψ· 3) Ὁ Αἰθίοψ. 4) Πάντες οἱ ἀρχαιότατοι Πατέρες, ὅσοι ἐμνημόνευσαν τοῦ ῥητοῦ. 5) Αὐτὴ ἡ διαφορὰ τῶν ἄλλων ἑρμηνευτῶν, οἵτινες ἄλλως ἀναγνόντες, καὶ μάλιστα τὴν πρὸς τὸ *βαρυκάρδιος* (κατὰ τὸ « *ἐβαρύνθη ἡ καρδία* » Ἐξόδ. η. 15) ἀντιστοιχοῦσαν ἑβραϊκὴν φράσιν, μετέπλασαν εἰς *δόξαν, καὶ καταισχύνην*, καὶ εἰς αὐτὸ τὸ *ἔνδοξοί μου*, οὕτω σολοίκως καὶ ἀτόπως ἀπονεμόμενον ὡς τίτλος τιμητικὸς «εἰς τοὺς υἱοὺς τῶν ἀνθρώπων»! Ὅθεν καὶ εἰς υἱοὺς ἀνδρὸς αὐτοὺς μετεποίησαν. Ἀλλὰ ταῦτα οὐδ' αὐτοῖς ἀρέσκουσι τοῖς κριτικοῖς (γ). Καὶ ὁ σοφὸς Οὐβιγάντης κατὰ τὴν ἀνάγνωσιν τῶν Ο διορθοῖ τὸ κείμενον τὸ ἑβραϊκόν.

---

*ποτε δὲ τούτου, μηδαμοῦ μηδαμῶς. Ἐν οἷς δ' ὁ λόγος οὐχ ὑπείκει πρὸς τοῦ πόθου τὴν ἐκπλήρωσιν, τότε καταψέγουσι περιφρονοῦντες ὡς ἀνιάτους τοὺς Ο. «Ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσι »* ! (Βλ. Cappel. in Not. critic. *καὶ* in Crit. Sacr. p. 315. — L. Bos in Prolegom. V. Test. - Schleusn. Thes. V. Test. ἐν ταῖς ἄνω λέξεσι τῶν Ο.

(α) « Οἱ δὲ Ο, ματαίως ἐξέδωκαν· ἢ κατὰ τὰ ἀρχαῖα ἀντίγραφα ἑτέρως ἰσχηκότα, καθὰ φασί τινες τῶν ἑβραίων, ἢ τῆς λέξεως τὸ εὐτελὲς ἀποφεύγοντες». Εὐσέβ. παρὰ Montfaucon, Origen. Hexapl. T. I. p. 476.

(β) Ψαλμ. λδ. 19. κώδ. Βατικαν. Ὁ δὲ Ἀλεξανδρ. ἀντὶ τοῦ ματαίως ἔχει ἀδίκως (ὡς καὶ ψαλμ. λζ, 19 κτλ.)· ἀλλ' ἀμφότερα δηλοῦσι τὸ μάτην, εἰκῇ, οὐκ ἐν δίκῃ, ἀναιτίως, ὡς καὶ τὸ δωρεὰν καὶ τὰ ἀντιστοιχοῦντα ἑβραϊκά. — (γ) Houbigant. Not. critic. vol. 2. p. 2.

Ψαλμ. Η. 2. « Ἐκ στόματος νηπίων - κατηρτίσω αἶνον ». Τὸ ἑβραϊκ. «ἐθεμελίωσας κράτος». Οὕτω καὶ Ἀκύλας καὶ Σύμμαχος, «συνεστήσω κράτος»· Οἱ νεώτεροι, ἐθεμελίωσας δόξαν. Ἀλλὰ τὴν ἑρμηνείαν τῶν Ο κυροῖ ὁ θεῖος Εὐαγγελιστὴς Ματθαῖος (κα, 16)· πᾶσα δ' ἄλλη ἀπάντησις περιττή. Βροντῶσιν οὐρανοὶ, σιγάτωσαν βάτραχοι.

Ψαλμ. ΙϚ. 9. « Ἀγαλλιάσεται ἡ γλῶσσά μου ». Τὸ ἑβραϊκ. «*ἡ δόξα μου*» (καὶ τοῦτο ἐπεξηγοῦσιν, *ἡ ψυχή μου*). Ἀλλὰ τὸ τῶν Ο οὐ μόνον ἡ ἔννοια ἀπαιτεῖ, ἀλλὰ καὶ ὁ θεῖος Πέτρος, καὶ ὁ θεηγόρος Λουκᾶς ἐπεσφράγισαν (Πράξ. β. 26).

Ψαλμ. ΛΘ. 6. «Σῶμα δὲ κατηρτίσω μοι». Τὸ ἑβραϊκὸν, «ὦτά μοι ἐτρύπησας».Ὅθεν καὶ Ἀκύλας, «ὠτία δὲ ἔσκαψάς μοι»· ὁ δὲ Σύμμαχος, «κατεσκεύασάς μοι»· καὶ ἡ Βουλγάτα, «ὦτα δὲ κατηρτίσω μοι». Ἀλλὰ καὶ ὧδε τὸ μὲν ἑβραϊκὸν διέστραπται (α)· διδάσκει δὲ πάντας ὁ θεῖος Παῦλος τὴν μόνην ἀλήθειαν ἐκ τῶν Ο (Ἑβρ. Ι. 5). Τοσαῦτα καὶ περὶ τῶν Ψαλμῶν· (βλέπε καὶ ἐν τοῖς ἑξῆς, βιβλ. Γ.).

§. ια. Ἐκ τῶν Παροιμιῶν.

Κεφ. ΚΔ. 12. « Ὁ *πλάσας* πνοὴν πᾶσι ». Ἀντὶ τοῦ πλάσας (λέγουσι) τὸ ἑβραϊκὸν ἔχει «φυλάξας». Καὶ συνέχεον λοιπὸν οἱ Ο δύω ῥήματα παρόμοια, κακῶς ἀναγνόντες jatzar (πλάττω), ἀντὶ Natzar (φυλάττω). — Ἀλλὰ σφάλλονται καὶ ὧδε οἱ κριτικοί. Οἱ δὲ Ο ἠπίσταντο ὅτι τὸ Natzar οὐ μόνον τὸ φυλάττειν σημαίνει, ἀλλὰ καὶ τὸ ποιεῖν, πλάττειν, φύειν, ἢ φυτεύειν (ὡς ἡρμήνευσαν καὶ ἀλλαχοῦ). ὅθεν καὶ τὸ Natzer, φυτὸν, καὶ κλάδος, ἔρνος, ἢ ὅρπηξ, καὶ ἄνθος, καὶ μεταφορικῶς τέκνον, ἔκγονον (β).

§. ιβ. Ἐκ τῶν Ἡσαΐου.

Κεφ. ΚΗ, 1, καὶ 4. Ψέγονται οἱ Ο, διότι μετέφρασαν *ὄρος* τὸ ἑβρ. gai, ἢ ge (κοιλὰς, φάραγξ). Οὕτως ἄρα τοσάκις τὴν λέξιν ἐξακριβώσαντες ἀλλαχοῦ, ἐνταῦθα ἠγνόησαν! Ἀλλὰ διὰ τί καὶ ὧδε καὶ ἐν Δ, Βασιλ. (β, 16) ἡρμήνευσαν *ὄρος*; Διότι καὶ ὧδε κἀκεῖ ἀνέγνωσαν gi (σωρὸς, λόφος) καθὼς ὑπέλαβεν ὁ Τύξην (Tychsen).

(α) Βλ. J. Voss. de Sibyl. Orac. c. XIII.—(β) Gesen. Lexic. Hebr. p. 685.

Ἀλλὰ καὶ αὐτὸ τὸ gai οἱ Ἑβραῖοι γραμματικοὶ παράγουσι παρὰ τὸ geah, πᾶν τοὐναντίον σημαῖνον (ὕψωμα, λόφον). Ἐκ δὲ τούτου, οὐχὶ κατ' ἀντίφρασιν (ὡς αὐτοὶ θέλουσιν), ἀλλ' ὡς ἐκ τῆς ἐτυμολογίας ἔσχεν ἡ λέξις ἑκατέραν τὴν σημασίαν, καὶ κοιλάδα καὶ λόφον δηλοῦσα (γείτονα δὲ καὶ συμφυῆ τὰ κοῖλα πρὸς τὰ ἀντίθετα κυρτά) (α). Καὶ ὀρθῶς ἄρα ἀπέδωκαν ἐν δέοντι τὴν λέξιν ὄρος οἱ Ο, (οἷον ἐξοχὴν *βαθυπρήονα*), καθὼς ἀπαιτεῖ καὶ τοῦ χωρίου ὁ νοῦς. Ἰδοὺ τὸ προφητικὸν ῥητόν· «Τὸ ἄνθος τὸ ἐκπεσὸν ἐκ τῆς δόξης *ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ παχέος*» (β). Ἀντὶ δὲ τούτου ἑρμηνεύουσιν οἱ νῦν «ἐπὶ τῆς *κορυφῆς* τῶν παχειῶν κοιλάδων». Ἀλλ' ἡ κοιλὰς (ἡ κοιλὰς καθ' ἑαυτὴν θεωρουμένη) ἔχει κορυφήν; Ἄλλοι ὑπέλαβον, ὅτι οἱ Ο ἐξέλαβον τὸ *ὄρος* πλατυκώτερον, ἀντὶ *χώρας ὀρεινῆς* ὄρεσι περιστεφοῦς· ὅπου δὲ ὄρη, ἐκεῖ καὶ κοιλάδες· ἢ ὅτι ἀνέγνωσαν οὐχὶ gai, ἀλλὰ Ai, ἢ Hai (σωρὸς, βουνός) (γ). Ἀλλὰ πιθανώτερος ὁ τὸ πρῶτον κρίνας Οὐόσσιος.

Κεφ. ΜΒ. 4. «Καὶ *ἐπὶ τῷ ὀνόματι* αὐτοῦ *ἔθνη* ἐλπιοῦσι. - Τὸ ἑβρ. «Τὸν νόμον αὐτοῦ *νῆσοι* προσδοκήσουσι» (τοιαῦτα καὶ ἡ Βουλγάτα). Ἀλλὰ τὸ μὲν *νῆσοι*, ὅτι παρὰ τῇ θείᾳ Γραφῇ σημαίνει καὶ τὰ παράλια καὶ ἐν τῇ μεσογείῳ καὶ ἀλλαχοῦ μακρὰν ἀπῳκισμένα ἔθνη, δῆλον ἐξ αὐτοῦ τοῦ προφήτου Ἡσαΐου (ι, 5: μθ, 1, κτλ. καὶ Θεοδώρητ. αὐτόθ.) (δ). Περὶ δὲ τοῦ Νόμος (ἑβρ. Thorah)

---

(α) Οὕτω καὶ παρ' Ἕλλησι τὸ ὕψος ἐκ τῆς ὑπὸ (ὕποσσος· ὡς περὶ, περισσὸς, μετὰ, μέτασσος), ἢ ἐκ τοῦ ὑπτὸς, ὑψὸς, ὡς ἀπὸ θέματος ἀῤῥήτου ὕπω, ὕψω (ὗβος, ὑβός· συγγενοῦς τοῦ κύβω, κύπτω)· ἐκ δὲ πάλιν τοῦ ὑπτὸς τὸ ἐναντίον, ὁ ὕπτιος· καὶ αὐτὴ ἡ ὑπὸ συγγενὴς τῆς ὑπὲρ (λατιν. sub, καὶ super)· πρβλ. καὶ τὸ λατιν. altus ὁ ὑψηλὸς καὶ βαθὺς (καταλλήλως πρὸς τὴν ὑπόθεσιν), καὶ τὸ ἑλληνικὸν «ὑψίκρημνος, ὁ βαθύκρημνος. κτλ.

(β) Ἡ παλαιὰ Βουλγάτα, Super verticem montis pinquis (ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ παχέος)· ὁ δὲ Ἱερώνυμος in vertice vallis pinquissimae (ἐπὶ τῆς κορυφῆς τῆς κοιλάδος τῆς παχυτάτης). Κατὰ τὸν Ἀκύλαν «φάραγγος ῥυπαριῶν» (Bos. γρ. λιπαριῶν. Ἑξαπλ.). Ὁ δὲ Σύμμαχος· «φάραγγος πιοτήτων», καὶ ὁ Θεοδοτίων «φάραγ. πιόνων». Ἄλλος ὡς οἱ Ο. «τὸ ὄρος τὸ παχύ». — (γ) Βλ. Schleusn. Thes. V. Test. λ. Ὄρος.

(δ) Βλ. καὶ Gesenij Lexic. Hebr. p. 43. — Vossij de LXX. pag. 69. — Schleusn. Thes. v. Νῆσος.

λέγομεν, ὅτι καὶ « *τὸ ὄνομα* » παρὰ τοῖς Ο, ὧδέ τε καὶ ἀλλαχοῦ ἀντὶ τοῦ νόμος ἐτέθη· οἷον καὶ τὸ « ἕνεκεν τοῦ ὀνόματός σου » (ψαλμ. ρκθ, 4), ὅπου οἱ μὲν Ο ἀνέγνωσαν Θορὰ, Thorah (νόμος), ὑπὸ δὲ τῶν μεταγραφέων ἔκπαλαι διεστρεβλώθη εἰς τὸ Θιρὰ, Thira (φόβος), ὡς ἀνέγνω καὶ Ἱερώνυμος, μαρτυρῶν τὴν διαφοράν (α). Ὅθεν Ἀκύλας μὲν καὶ Θεοδοτίων ἔγραψαν « ἕνεκεν τοῦ *φόβου* σου (Θεοδώρητ. εἰς ψαλμ. αὐτόθ.). Ὁ δὲ Σύμμαχος (κατὰ δὲ τὸν Ἱερώνυμον καὶ ὁ Θεοδοτίων) «ἕνεκεν τοῦ *νόμου σου*». Ἡ δὲ ς, ἔκδοσις « *τοῦ λόγου σου* ». Ἄλλος, ἕνεκεν τοῦ ὀνόματός σου, (ὡς οἱ Ο). Ὁ δὲ σοφὸς Γράβιος μηδὲν μελήσας (ὡς εἴωθεν ἐνίοτε) διώρθωσε τοῦτο τοῦ ψαλμοῦ εἰς τὸ ἕνεκεν *τοῦ νόμου σου*! Ἀλλὰ τὸ ἀνωτέρω τοῦ Ἡσαΐου « *ἐν τῷ ὀνόματι αὐτοῦ* » ἐπικυροῖ τὸ τοῦ ψαλμοῦ « ἕνεκεν τοῦ ὀνόματός σου ». Ὡς καὶ τοῦτο πάλιν ἐξελέγχει τοὺς ψέγοντας τὴν ἀνωτέρω φράσιν τοῦ Ἡσαΐου· καὶ ἀμφότερα βεβαιοῦνται ἐκ τοῦ Ἱερεμίου (κγ, 27), ὅπου τὸ μὲν ἑβρ. ἔχει « *τοῦ ὀνόματός σου* ». *Οἱ δὲ Ο* « *τοῦ νόμου σου* ». Τὸ ἑβρ. Thorah σημαίνει καὶ νόμον καὶ πᾶσαν διδασκαλίαν, καὶ μάλιστα τὴν περὶ τῆς θείας ἐπιγνώσεως, αὐτὸν τὸν λόγον τοῦ Θεοῦ, «ὅς ἐστιν ἀλήθεια» (Ἰωάν. ιζ, 17). Ὅθεν καὶ τὴν ἀληθῆ θεογνωσίαν. Τοιαῦτα δὲ σημαίνει παρ' Ἑβραίοις καὶ ἡ λέξις Sem = ὄνομα· οἷον· « Οἱ γινώσκοντες τὸ ὄνομά σου » τὸ ἑβρ. καὶ οἱ Ο (ψαλμ. θ, 10,) « τουτέστιν οἱ ποιητὴν καὶ θεόν σε μεμαθηκότες » (Θεοδώρητ. αὐτόθ.). (β). Ὅθεν καὶ τὸ ἀνωτέρω τοῦ Ἡσαΐου (περὶ τοῦ Σωτῆρος Χριστοῦ προφητευθέν) « ἔθνη ἐλπιοῦσιν *ἐν τῷ νόμῳ αὐτοῦ* (καθ' ἑβραίους), ὀρθῶς καὶ θεοφορήτως ἀπέδωκαν οἱ Ο « *ἐπὶ τῷ ὀνόματι αὐτοῦ* ». Καὶ μαρτυροῦσιν οἱ θεῖοι Ἀπόστολοι τάξαντες καὶ αὐτοὶ τὸ *ὄνομα* παρομοίως ἐπὶ τῆς θεογνωσίας καὶ τῆς εὐαγγελικῆς πίστεως· οἷον· «Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις» (Ἰωάν. ιζ, 6), τουτ. τὴν ἀληθινὴν ἐπίγνωσιν καὶ λατρείαν σου, τὴν εὐαγγελικὴν πίστιν, αὐτὸν Σὲ τὸν ἐν Τριάδι Θεόν!

---

(α) Βλ. 'Ωριγ. Ἑξαπλ. τ. α. σελ. 639.

(β) Βλ. καὶ Gesenij Lex. Hebr. p. 1017, 1051. — Schleusn. Thes. λ. Νόμος. Ὄνομα. καὶ Lex. N. Test. v. Ὄνομα.

« ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν » (Ἰωάν. ιζ, 3). Οὕτως οἱ τρισόλβιοι Ο, φωτιζόμενοι ὑπὸ τοῦ Πνεύματος τοῦ λαλήσαντος διὰ τῶν προφητῶν, ἡρμήνευον τοὺς θείους τούτων χρησμοὺς, ὡς ἔμελλον ἐν τῷ πληρώματι τῶν χρόνων κηρύξειν αὐτοὺς οἱ θεοδίδακτοι Ἀπόστολοι. Καὶ αὐτὸ δὲ τὸ « Καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν » ἀπαραλλάκτως ἐξέφερε τὸ θεόπνευστον στόμα τοῦ Εὐαγγελιστοῦ Ματθαίου (ιβ, 21).

Κεφ. ΞΑ. 1. «*Τυφλοῖς ἀνάβλεψιν*». — Τὸ Ἑβρ. (ὡς ἐξηγοῦσι) « δεσμίοις ἄνοιξιν » (δηλαδὴ τῆς εἱρκτῆς). Ὁ δὲ Σύμμαχος, « δεδεμένοις λύσιν »· καὶ ἡ Βουλγάτα, « κεκλεισμένοις ἄνοιξιν » (clausis apertionem). Ἀλλ' ἢ τὸ Ἑβρ. esirim εἶχεν ἀμφοτέρας τὰς σημασίας (καὶ τοῦ δέσμιος καὶ τοῦ τυφλὸς), ἢ οἱ Ο ἀνέγνωσαν ἄλλην φωνὴν ἀντιστοιχοῦσαν πρὸς τὸ *τυφλοῖς* (α). Καὶ μαρτυρεῖ τὸ ῥῆμα τῆς ἑτέρας τῶν ἑβραϊκῶν φωνῶν (ἣν ἑρμηνεύουσιν ἄνοιξιν), τὸ *φακὰχ* (Phakach, ἀνοίγειν) τιθέμενον κυρίως ἐπὶ ἀνοίξεως ὀφθαλμῶν (β). Οὕτως ἐτέθη παρὰ τῷ Ἡσαΐᾳ καὶ ἀλλαχοῦ (μβ, 7), ὅπου καὶ τὸ ἑβρ. καὶ οἱ Ο, ἔχουσιν «*ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν*» ἐπὶ τοῦ αὐτοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν (ὡς καὶ τὸ ἀνωτέρω) προφητευόμενον. Ἀλλὰ τί τὰ πολλά; Αὐτὸς ὁ Κύριος ἡμῶν, ὅτε « ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ Προφήτου », ἀνέγνω τὴν φράσιν, καθὼς ὁ θεῖος Εὐαγγελιστὴς κατὰ τοὺς Ο, μεθηρμήνευσε· « Κηρύξαι . . τυφλοῖς ἀνάβλεψιν » (Λουκ. Δ. 18). Ταύτην τὴν ἀνάγνωσιν διετήρησε καὶ ἡ εἰς τὸν Ἀπόστολον Βαρνάβαν ἐπιγεγραμμένη καθολικὴ ἐπιστολή.

Κεφ. ΞΓ. 8-9. « Καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν *ἐκ πάσης θλίψεως αὐτῶν. Οὐ πρέσβυς, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ἔσωσεν αὐτούς* (κώδ. Βατικ.). Οὕτως οἱ Ο σαφῶς καὶ λαμπρῶς διατρανοῦσι τὸ μέγα τῆς θείας οἰκονομίας μυστήριον. « Οὐ πρέσβυς » (προφή-

---

(α) Βλ. Cappel. Crit. Sacr. 159. — (β) Gesenij Lex. Hebr. p. 836. - « Verbum Phakach proprie de apertione oculorum aut aurium dicitur ». Forer. Annot. ad Esai. h. l. Οὕτω καὶ ὁ Ῥαββῖνος Κιμχῆς παρ' Οὐοσσίῳ de LXX. p. 69. Ὅθεν καὶ τὸ κύριον ἑβρ. Phekuhija, Φακεΐας, ἢ Φακείας (Ἀλεξ.) σημαίνει τὸν, Οὗπερ ἤνοιξε τοὺς ὀφθαλμοὺς ὁ Θεός.

της), οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος καὶ Θεὸς, ὁ Ἐμμανουὴλ, ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, Ἰησοῦς ὁ Σωτὴρ ἔσωσεν αὐτοὺς («αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ» κτλ.). Τὸ δὲ Ἑβραϊκὸν πῶς ἑρμηνεύουσι; «Καὶ ἐγένετο αὐτοῖς εἰς σωτῆρα. *Ἐν πάσῃ θλίψει αὐτῶν, οὐ θλίψις*· καὶ ὁ ἄγγελος τῶν προσώπων αὐτοῦ ἔσωσεν αὐτούς (α). Ἄλλος· «*Ὁ θλίβων αὐτοὺς, οὗτος ἔθλιβε καὶ αὐτὸν, καὶ* ὁ ἄγγελος, ὡς ὢν ἐνώπιον αὐτοῦ, ἔσωσεν αὐτούς». Ἄλλος· «Ἐν πάσῃ θλίψει αὐτῶν *ἐγένετο ἐν θλίψει*» (ἄλλοι, «*αὐτῷ θλίψις*»· ἄλλοι, «*ἐθλίβη*) «καὶ ὁ ἄγγελος τοῦ προσώπου αὐτοῦ» (ἄλλ. *τῆς αὐτοῦ παρουσίας*) «ἔσωσεν αὐτούς» κτλ. Τοιοῦτο νέφος ἀμφιβολίας κατεσκέδασε κατὰ τοῦ καθαροῦ καθ' ἑαυτὸ ἑβραϊκοῦ τούτου κειμένου μία κακὴ στίξις, καὶ ἑνὸς ἰῶτα (Iod) παράπτωσις. Στίζοντες εὐθὺς μετὰ τὸ εἰς *σωτῆρα* (ἢ εἰς *σωτηρίαν*), καὶ γράφοντες διγράμματον τὸ Sr, ἢ Σρ, (θλίψις, ὃ προφέρουσι Sar, Σὰρ), ἀντὶ τοῦ (μετὰ τοῦ Jod) τριγραμμάτου (Sir, Σὶρ, ὁ πρέσβυς), οἱ μὲν συνῆψαν μετ' αὐτοῦ καὶ τὸ ἑπόμενον ἀρνητικὸν οὐ, καὶ οὕτως ἔπλασαν ἓν κῶλον αὐτοτελὲς, τὸ «ἐν πάσῃ θλίψει αὐτῶν, οὐ θλίψις». Οἱ δὲ πάλιν ἀγανακτοῦντες πρὸς τὴν ἄτοπον ταύτην ἀντίφασιν, ἔτρεψαν τὸ ἀρνητικὸν la (οὐ) εἰς τὴν ὁμοιόφωνον ἀντωνυμίαν lo (αὐτῷ), καὶ μετεποίησαν τὸν λόγον εἰς καταφατικόν· «ἐν πάσῃ θλίψει αὐτῶν (ἦν) *αὐτῷ* θλίψις (ἢ *ἐθλίβη* κτλ.). Οὕτω καταφατικῶς ἀνέγνωκεν ἡ Μάσορα (β), ᾗ καὶ ἄλλοι παρηκολούθησαν, μεταβαλόντες καὶ τὸ, «ἐν πάσῃ θλίψει αὐτῶν», εἰς τὸ «ἔθλιβον αὐτούς». Ἀλλὰ καὶ αὐτὸς ὁ μακάριος Ἱερώνυμος (τῷ διδασκάλῳ *Βαραβανίνῳ* καὶ ὧδε, ὡς μὴ ὤφελε, πειθόμενος), ὡσαύτως ἔστιζέ τε, καὶ ἀνεγίνωσκε τὸ χωρίον, κυμαινόμενος μεταξὺ τῆς ἀποφατι-

(α) «Et factus est eis in saluatorem; in omni angustia eorum non angustia, et angelus facierum ejus salvos facit eos» (Trad. Montani). ἄλλας διαφόρους ἑρμηνείας βλ. παρὰ Rosenmüll Schol h. l. και τοὺς Criticos Sacros.

(β) Βλ. Houbigant. Not. Crit. Tom. 2, p. 409. - Schulz. Schol. in V. Test. vol. 9. pag. 412. ὅστις καὶ αὐτὸς ἔχει τινας ἰδίας παραλλαγὰς ἑρμηνεύων «ἐν πάσαις ταῖς αὐτῶν στενοχωρίαις αὐτοῖς ἐβοήθησε (ipsis securit), καὶ ὁ ἄγγελος ὁ παρ' αὐτοῦ πεμφθεὶς (ab eo missus)» κτλ.

κῆς καὶ καταφατικῆς ἐννοίας. Καὶ αὐτὸς μὲν εἰς τὸ κείμενον ἡρμήνευσεν ἀποφατικῶς «Ἐν πάσῃ θλίψει αὐτῶν οὐκ ἐθλίβη (non est tribulatus), *καὶ ὁ ἄγγελος τοῦ προσώπου αὐτοῦ* ἔσωσεν αὐτούς· Ἐν δὲ τοῖς ὑπομνήμασιν ὑποσημειοῖ, λέγων· «Ὅπου ἡμεῖς ἡρμηνεύσαμεν «*ἐν πάσῃ θλίψει αὐτῶν οὐκ ἐθλίβη*», καὶ τὸ la ἐστὶν ἀρνήσεως ἐπίῤῥημα (= οὐ), δύναται ἀντ' αὐτοῦ ἀναγνωσθῆναι καὶ ἡ ὁμοιόφωνος ἀντωνυμία lo (αὐτὸς), ἵνα ᾖ ὁ νοῦς· «ἐν πάσῃ θλίψει αὐτῶν *αὐτὸς* ἐθλίβη» τουτ. ὁ Θεὸς (κατὰ τὸ «αὐτὸς τὰς ἀσθενείας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται»). Οἱ δὲ Ο, ἄλλο τεθείκασιν, ὅπερ ἐν τῷ Ἑβραίῳ οὐχ εὑρίσκεται· «Οὐ πρέσβυς, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ἔσωσεν αὐτούς» κτλ. (α). Ταῦτα ὁ φερώνυμος Ἱερώνυμος, ὅστις ὅμως ἐφεξῆς καὶ αὐτὸς, ἣν οὐχ εὗρεν (ὡς ἐνόμισεν) ἐν τῷ Ἑβραϊκῷ, τὴν φράσιν τῶν Ο, ἄσμενος καὶ χαίρων ὑπεμνημάτισεν, ἑρμηνεύσας ἀξίως τῆς θεηγόρου καὶ θεόφρονος αὐτοῦ σοφίας (β). Ἐκ τούτων τοίνυν βλέπομεν, ὅτι καὶ κατὰ τοὺς Ἱερωνύμου χρόνους καὶ κακῶς ἐστίζετο, καὶ κατὰ λέξιν ἡμαρτημένως ἐγράφετο τὸ χωρίον παρ' Ἰουδαίοις. Ἀλλ' ὁ Οὐόσσιος συνεῖδε τὸ πρᾶγμα, διδασκάλοις χρησάμενος οὐ ῥαββίνοις, ἀλλ' αὐτοῖς τοῖς Ο γέρουσι. Διὸ καὶ τὰς δύω διορθώσας ἐλλείψεις, τὴν τῆς στίξεως καὶ τὴν τοῦ γράμματος (Jod), ἡρμήνευσε τὸ θεῖον ῥητὸν κατὰ λέξιν ἐκλατινίσας οὑτωσί· «Et factus est eis saluti in omni tribulaetione eorum. Non legatus, aut angelus, facies ejus servavit eos» (γ)· τουτ. «Καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν ἐν πάσῃ θλίψει αὐτῶν. Οὐ πρέσβυς, ἢ ἄγγελος, τὸ πρόσωπον αὐτοῦ ἔσωσεν αὐτούς». Ὅτι δὲ καὶ τὸ πρόσωπον (ἢ *τὰ πρόσωπα*) (panim) κατά τε τὴν τῆς ἐννοίας καὶ τὴν τοῦ ἑλληνισμοῦ ἀκρίβειαν ἀποδίδοται διὰ τοῦ ἐμφαντικοῦ *Αὐτὸς*, ἀπέδειξαν οἱ Ο πολλαχοῦ τῆς Γραφῆς, καὶ ἐν Ἐξόδ. λγ, 14 (*αὐτὸς* προπορεύσομαί σου»), ὡς προείπομεν (σελ. 764). Ὅθεν καὶ ἐνταῦθα ἔγραψαν, «ἀλλ' *αὐτὸς*

(α) S. Hieronym. Comm. in Esaj. LXIII. 9. — (β) Id. ibid. — (γ) Voss. de LXX. p. 70.

ἔσωσεν αὐτοὺς » (α), συνάψαντες μετὰ τοῦ *αὐτὸς* καὶ τὸν ἀλλά. Καὶ εἰς μὲν τὸ ἑβραϊκὸν (κατὰ τὴν Οὐσσίου μετάφρασιν) ὁ σύνδεσμος οὗτος οὐ κεῖται, ἀλλ' ἐκφέρεται τὸ κῶλον κομματικῶς· «Οὐ πρέσβυς, ἢ» (ἐν δὲ τῷ ἑβραϊκῷ γράφεται « καὶ », παρὰ δὲ τοῖς Ο, *οὐδέ*, ἑλληνικώτατα, διὰ τὴν προηγουμένην ἄρνησιν οὐ) « οὐδὲ ἄγγελος, αὐτὸς (ὁ κύριος) ἔσωσεν αὐτούς». Καὶ εὐοδοῦται μὲν τὸ νόημα καὶ οὕτω, κομματικῶς ἀναγινωσκομένου τοῦ κώλου (κατὰ τὸ « Οὐ πλοῦτον, οὐδ' ἄλλο τι τῶν γηΐνων, αὐτήν σοι δωρεῖται τὴν βασιλείαν τῶν οὐρανῶν» [Χρυσόστομ.], ὅπου ὑπονοεῖται ὁ ἀλλά· καθὼς καὶ ἐν ἄλλοις τοιούτοις, ἐν οἷς μετὰ τὰς προηγουμένας ἀρνήσεις αὐτὸ τὸ κράτιστον ἐπιφέρεται), ἀκριβέστερον δὲ ὅμως καὶ σαφέστερον ποιεῖ τὸν λόγον ὁ σύνδεσμος προστεθείς· καὶ τὸ τῶν Ο κείμενον αὐτὸν ἀπαιτεῖ. Ὅθεν καί τις τῶν ἡμετέρων, ὁ περικλεὴς Στέφανος ὁ ἰατρὸς, (διορθώσας καὶ αὐτὸς τὸ ἐλλιπὲς Σρ, εἰς τὸ Σιρ) ὀρθῶς συνεῖδεν, ὅτι καὶ ἑτέρα συλλαβὴ ἐκ τοῦ ἑβραϊκοῦ κειμένου πρόπαλαι ἐξεπεπτώκει, ἀντίστοιχος πρὸς ὃν οἱ Ο ἀπέδωκαν *ἀλλά*· διὸ καὶ ἐξέδωκε διωρθωμένην τὴν γραφὴν τοῦ χωρίου, προσθεὶς καὶ τὸ μόριον ΑΚ (=ἀλλὰ, πάντως) εὐθὺς μετὰ τὸ Μελάκ (ὁ ἄγγελος)· σαφεστάτην δὲ ποιεῖ τὴν ἔκπτωσιν τῆς ΑΚ συλλαβῆς ἡ παρακειμένη λήγουσα τοῦ ΜελΑΚ, ἀπατηθέντος τοῦ ἀντιγραφέως ὑπὸ τῆς ταυτότητος τῶν στοιχείων (β). Καὶ λέγει λοιπὸν καὶ τὸ ἑβραϊκὸν ἀκριβῶς ὅ,τι εἶπον οἱ Ο· « Οὐ πρέσβυς, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς [ὁ κύριος] ἔσωσεν αὐτούς ».

§. ιγ. Ἐκ τοῦ Ἱερεμίου.

Κεφ. ΚΖ. 35-39 (Ἑβρ. Ν. 21) «Μάχαιραν ἐπὶ τοὺς Χαλδαίους

(α) Τὸ Ἀλεξανδριν. ἔχει, « Αὐτὸς Κύριος », καὶ τὸ τοῦ Ἀλδ. καὶ τὸ τῆς Κομπλουτ. « Αὐτὸς ὁ Κύριος » (οὕτω καὶ Κύριλλος ἐξέφερε, καὶ ὁ Κυπριανός). Ἀλλὰ τὸ Βατικανὸν « Αὐτὸς » (χωρὶς τοῦ Κύριος, ὅπερ ὑπονοεῖται πάντοτε κατ' ἔμφασιν), οὕτω καὶ Ἱερώνυμος ἐξέφερε (βλ. ἀνωτέρω), καὶ ὁ Προκόπιος, κτλ.

(β) Βλ. Ἐπιστασία κριτικὴ εἰς ἱερόντι λόγιον· ὑπὸ Στεφάνου Καραθεοδωρῆ, ἰατροῦ. Ἐν Κωνσταντινουπόλει, 1840. Ἐν τούτῳ τῷ μικρῷ πονηματίῳ ὁ σοφὸς καὶ φιλόθεος ἰατρὸς καὶ τὴν γραφὴν τοῦ ἑβραϊκοῦ χωρίου κριτικῶς ἐθεράπευσε, καὶ τὴν ἔννοιαν τοῦ θείου ῥητοῦ διεσάφησεν εὐσεβέστατα. βλ. καὶ ὄπισθ. Βιβλ. Α. κεφ. ια. §. ζ. σελ. 333.

καὶ ἐπὶ τοὺς κατοικοῦντας Βαβυλῶνα . . . (α). Μάχαιραν ἐπὶ τοὺς μαχητὰς αὐτῆς, καὶ παραλυθήσονται. Μάχαιραν ἐπὶ τοὺς ἵππους καὶ τὰ ἅρματα αὐτῶν . . . Μάχαιραν ἐπὶ τοὺς θησαυροὺς, καὶ διασκορπισθήσονται. *Ἐπὶ τῷ ὕδατι αὐτῆς*, καὶ καταισχυνθήσονται, ὅτι γῆ τῶν γλυπτῶν ἐστι, καὶ *ἐν τοῖς νήσοις* κατεκαυχῶντο. Διὰ τοῦτο κατοικήσουσιν ἰνδάλματα *ἐν ταῖς νήσοις*, καὶ κατοικήσουσιν ἐν αὐτῇ θυγατέρες Σειρήνων » κτλ. Τὸ νῦν Ἑβρ. « Μάχαιρα κτλ. — *αὐχμὸς* ἐπὶ τῶν ὑδάτων αὐτῆς ἔσται, καὶ *ξηρανθήσονται*· ὅτι γῆ τῶν γλυπτῶν ἐστι, καὶ ἐν τοῖς τέρασι (φοβεροῖς εἰδώλοις) αὐτῶν καυχῶνται » (ἄλλοι, « ἐξεμάνησαν », ἤ, « ἐμωράνθησαν »). « Διὰ τοῦτο κατοικήσουσιν ἐκεῖ δράκοντες μετὰ σατύρων » (faunis ficariis· ἄλλοι, « αἴλουροι μετὰ θωῶν »· ἄλλοι, « λύκοι μετ' αἰλούρων »)· « καὶ κατοικήσουσιν ἐν αὐτῇ στρουθοκάμηλοι » (ἄλλοι « γλαῦκες ἐμφωλεύσουσι ») κτλ. (β). Ἐν τούτοις πρῶτον μὲν, ἔγραψαν *αὐχμὸς* (ἐπὶ τῶν ὑδάτων) ἀντὶ τοῦ παρὰ τοῖς Ο, *μάχαιρα*, chereb (ἀπὸ κοινοῦ τῆς λέξεως νοουμένης ἐκ τῶν προηγηθέντων). Οἱ δὲ Μασορῖται ἄλλως ὧδε στίζουσι τὴν λέξιν, ἐκφέροντες choreb (αὐχμὸς, ἢ ξηρασία). Ἀλλ' οὕτω διακόπτεται τοῦ προφητικοῦ λήμματος ἡ ῥύμη, ἥτις ἀπ' ἀρχῆς μέχρι τέλους τῆς ἐννοίας ἐκφράζεται μάλιστα διὰ τῆς πυκνῆς ἐπαναφορᾶς. Ἡ ῥαββινικὴ σμικρολογία μετεσχημάτισε τὴν μάχαιραν εἰς αὐχμὸν, ἄτοπον (ὡς ἔοικεν) αὐτὴν εὑροῦσα καὶ ἀκατάλληλον πρὸς τὸ ὕδωρ. Ἀλλ' ὁ τῆς προφητικῆς φράσεως εἱρμὸς ἀποδείκνυσι δι' ὅλων τῶν ἐδαφίων, ὅτι πρὸς πάντα τὰ ἀναφερόμενα ὑποκείμενα ἡ μάχαιρα ἀρκεῖ. Μάχαιρα (ξιφήρης πολεμίων στρατὸς) καὶ ἄνδρας καὶ ἵππους κατασφάττει, καὶ ἅρματα καὶ *θησαυροὺς* διασκορπίζει, καὶ τὰ ὕδατα (τῆς πολιορκουμένης πόλεως) ἀνακόπτει, καὶ οἱ πολιορκούμενοι *καταισχύνονται* (αἰχμαλωτίζονται)· ὁ δὲ ῥαββινισμὸς καὶ ἀντὶ τοῦ *καταισχυνθήσονται* ἀνέγνω *ξηρανθήσονται* (τὰ ὕδατα δηλο-

---

(α) Ἡ Κομπλουτ. ἔκδ. καὶ τὸ Ἑβρ. προστίθησι καὶ, « Μάχαιραν ἐπὶ τοὺς μάντεις, καὶ ἄφρονες ἔσονται » (ἐν δὲ τῷ Ἀλεξ. καὶ Βατικ. κτλ. οὐ κεῖται ταῦτα).

(β) Βλ. Schulz. Schol. in Ierem. h. l. καὶ Criticos Sacros, ibid.

νότι), σύμφωνα τὰ πάντα καὶ ὁμοιόῤῥυθμα ποιῶν. Ἀλλ' ἡ τοιαύτη μεταβολὴ ἀντίκειται καὶ ἄλλως εἰς τὸ νόημα τὸ προφητικόν. Ὁ θεῖος Ἱερεμίας προφητεύει σαφῶς τὸν ὑπὸ τῶν πολεμίων παντελῆ τῆς Βαβυλῶνος ὄλεθρον· καὶ ἡ προφητεία ἐπληρώθη ἐπὶ Κύρου Περσῶν Βασιλέως, ὅστις εἷλε τὴν Βαβυλῶνα παρατρέψας τὸ πολὺ τοῦ Εὐφράτου ῥεῖθρον. Ὥστε τὸ ὑπολειφθὲν ἐγένετο διαβατὸν ἀνδρὶ, «*ὡς ἐς μέσον μηρὸν μάλιστά κῃ*, καὶ κατὰ τοῦτο (οἱ Πέρσαι) ἐσῄεσαν ἐς τὴν Βαβυλῶνα» (Ἡρόδοτ. Α. 191. Ξενοφ. κτλ.). Ὥστε *Μάχαιρα* μὲν καὶ σίδηρος ἐπὶ τῶν παρατραπέντων καὶ εἰς ὄγκον μικρὸν συσταλέντων ὑδάτων ἐπέπεσε, καὶ οἱ Βαβυλώνιοι κατῃσχύνθησαν (ὡς ἔγραψεν ὁ Ἱερεμίας, καὶ ἡρμήνευσαν οἱ Ο), αὐχμὸς δὲ καὶ ξηρασία οὐ φαίνεται οὐδαμοῦ οὐδαμῶς. Ἄλλο. Οἱ Ο ἔγραψαν «*ἐν ταῖς νήσοις*» ἀναγνόντες jim (Ἰείμ, νῆσοι), τὸ δὲ νῦν ἑβραϊκὸν ἔχει ἄλλην λέξιν, Emia (Ἐμία), ὃ κυρίως φόβους δηλοῖ (καὶ προσέτι τὸ ἔθνος τῶν Ἐμμαίων, ἢ Ὀμμαίων). Ἐνταῦθα δὲ (καὶ μόνον ἐνταῦθα) προστιθέασιν εἰς τὴν λέξιν καὶ ἄλλο σημαινόμενον, τὰ φόβητρα, ὅθεν καὶ εἴδωλα! Ἀλλ' ὁποῖα καὶ ἂν πλάττωνται τοιαῦτα τέρατα, τὰς νήσους τῶν Ο ἐπικυροῖ καὶ αὐτὴ ἡ χωρογραφία τῆς Βαβυλῶνος, ἥτις οὐ μόνον νησοειδής τις ἦν, καὶ μονονουχὶ περίκλυστος, ἀλλὰ καὶ νήσοις ἄλλαις πέριξ καὶ λίμναις, ἃς ὁ Τίγρις καὶ Εὐφράτης ἐποίουν, ὀχυρῶς ὑπῆρχε περιεζωσμένη (α). Ὅθεν καὶ ὁ ἱερὸς Θεοδώρητος· «Πάλαι γὰρ αὐτὴν μέσην ἔτεμνεν ὁ Εὐφράτης». — «Νήσους δὲ καλεῖ (ὁ Προφήτης) καὶ τὰς τῆς πόλεως οἰκίας, ὡς κύκλῳ τοὺς περιβόλους ὕδατος κατακλύζοντος, καὶ πάλιν ἐν μέσῳ τῆς πόλεως ἐχούσας τὸν ποταμὸν» (Ἑρμην. εἰς Ἱερεμ. αὐτόθ.). Τελευταῖον· οἱ Ο ἀνέγνων Σιρὶμ (Sir, πληθ. Sirim), καὶ μετέφρασαν ὀρθῶς *ἰνδάλματα*, «δηλαδὴ φαντάσματα, ὡς εἶπεν ὁ προφήτης τὰς τῶν δαιμονίων φαντασίας» (Θεοδώρητ. προβλ. Ἡσαΐ. ιγ, 21), ἐν δὲ τῷ νῦν ἑβραϊκῷ γράφουσι *Σιεὶμ* (ἄγρια θηρία), καὶ μεταφράζουσι δράκοντας, αἰλούρους, ἢ σατύρους, καὶ τ' ἄλλα παραλείπομεν.

(α) Βλ. Voss. de LXX. p. 72.

§. ιδ. Ἐκ τοῦ Ἰεζεκιήλ.

Κεφ. Η. 15. Ἐπλανήθησαν (κατὰ τοὺς κριτικοὺς) οἱ Ο, διότι τὸ ἑβρ. Thoëbah (βδελύγματα, πᾶν βδελυκτὸν καὶ ἀκάθαρτον) ἡρμήνευσαν *ἐπιτηδεύματα*. Ἀλλά, 1) καὶ τὰ ἐπιτηδεύματα τοῦτο πολλάκις σημαίνει. Οὕτως εἶπε καὶ Σειρὰχ περὶ τῆς πόρνης λέγων· « Ἐν ἐπιτηδεύμασιν αὐτῆς » (Θ. 4. Ἀλεξ. ἄλλοι, ἐπιχειρήμασι)· πρόσθες καὶ «*τὰ ἐπιτηδεύματα* γῆς Αἰγύπτου, — καὶ γῆς Χαναὰν» (Λευϊτ. ιη, 3), καὶ τοὺς ἄφρονας, ὅσοι «ἐβδελύχθησαν ἐν *ἐπιτηδεύμασιν*» (ψαλμ. ιγ). Εἶπε δὲ καὶ Ἀκύλας καὶ Θεοδοτίων « πονηρὰ *ἐπιτηδεύματα* » (Ἰερεμ. κα, 4). 2) Ἡ ἀκριβὴς ἀνάγνωσις τοῦ προφητικοῦ τούτου χωρίου κεῖται μάλιστα ἐν τῷ Ἀλεξανδρινῷ. « Υἱὲ ἀνθρώπου, ἑώρακας; καὶ μικρὰ τῷ οἴκῳ Ἰούδα τοῦ ποιεῖν τὰς *ἀνομίας*, ἃς πεποίηκαν αὐτοὶ ὧδε· καὶ ἔτι ὄψῃ *ἐπιτηδεύματα* μείζονα τούτων » (ὅπου φανερῶς τὰ ἐπιτηδεύματα συνωνυμοῦσι πρὸς τὰς *ἀνομίας*). Ἐν ἄλλοις δὲ κώδηξιν ἐκφέρεται τὸ ἐδάφιον ἐλλειπὲς, οὕτως· « Υἱὲ ἀνθρώπου, ἑώρακας; καὶ ἔτι ὄψῃ ἐπιτηδεύματα μείζονα τούτων ». Οὕτως ἐλλειπῶς φέρεται καὶ παρὰ τῷ Ἱερωνύμῳ, καὶ ἐν τῷ καθ' ἡμᾶς Ἑβραϊκῷ. Ἀλλὰ τὴν ἐν τῷ Ἀλεξανδρινῷ ἀνάγνωσιν βεβαιοῖ καὶ ἡ ἀρχαία Ἰτάλα, ᾗπερ ἐχρήσατο Τερτυλλιανὸς, καὶ πολλαὶ τῶν Πατέρων μαρτυρίαι. Ἀπαιτεῖ δὲ ταύτην καὶ τὸ νόημα, καὶ τὸ σχῆμα τῆς ἐπαναλήψεως, καθ' ἣν ἐκφέρονται παρομοίως αἱ προηγούμεναι ἐρωτήσεις. Ἐπαναλαμβάνεται δὲ ἡ αὐτὴ φράσις καὶ ἐν τῷ παρατελευταίῳ ἐδαφίῳ (τῷ 17) τοῦ αὐτοῦ κεφαλαίου (ὅθεν πλανηθέντες οἱ ἀντιγραφεῖς τοῦ ἑβραϊκοῦ, παρέβλεψαν τὴν πρότασιν ἐν τῷ 15 ἐδαφίῳ). Καὶ φαίνεται ἄρα καὶ ἐκ τούτου ἡ ἑλληνικὴ μετάφρασις ἀκεραιοτέρα τοῦ κώδηκος τοῦ ἑβραϊκοῦ.

§. ιε. Ἐκ τοῦ Ἀμώς.

Κεφ. Ε. 26. « Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ Θεοῦ ἡμῶν Ῥαιφάν » κτλ. βλ. ὄπισθ. σελ. 235 καὶ ἐφεξῆς Βιβλ. Γ.

Κεφ. Ϛ. 1. « Ἀπετρύγησαν ἀρχὰς ἐθνῶν ». Τὸ νῦν ἑβρ. (ὡς ἐξηγοῦσιν) «Οἱ ὠνομασμένοι ἔξοχοι τῶν ἐθνῶν ». Ψέγουσι τοίνυν οἱ κρι-

τικοὶ καὶ ὧδε τοὺς Ο, ὅτι ψευδῶς ἀνέγνωσαν Jakab (κοιλαίνω, σκάπτω), ἀντὶ τοῦ ἐν τῷ κειμένῳ Nakab (ἐξαιρέτως ὀνομάζω, καὶ τρυπῶ, διαπείρω, διακρίνω κτλ.) Ὅθεν καὶ ὁ Γράβιος (συναινοῦντος καὶ Δρουσίου) διώρθωσε καὶ ὧδε προχείρως τοὺς Ο, τρέψας τὸ *ἀπετρύγησαν* εἰς τὸ *ἀπετρύπησαν*! (α) Ἀλλὰ κρεῖττον ἂν ἐποίουν οἱ ἄνδρες, εἴπερ ἐσιώπων. Καὶ γάρ, 1), ἀμφότερα τὰ ἑβραϊκὰ ταῦτα ῥήματα συγγενεύουσι πρὸς ἄλληλα κατὰ τὴν γένεσιν καὶ τὰς σημασίας (β). Αὐτοὶ οἱ Ο, τρυπᾷν ἡρμήνευσαν τὸ Nakab ἀλλαχοῦ πολλαχοῦ (Ἰώϐ. μ, 21: καὶ Ἀγγ. α, 6, κτλ)· ἀλλ' ἐνταῦθα ἄλλως πως ἀνέγνων τὴν ἀντιστοιχοῦσαν Ἑβραΐδα φωνήν. Ἔπειτα καὶ τὸ τρυπᾷν καὶ σκάπτειν, ἢ ἐκκόπτειν, οὐ μακρὰν τοῦ «Κόπτειν βότρυν σταφυλῆς» (ὡς ἐν Ἀριθμ. ιγ. 24), δηλαδὴ τρυγᾷν.— 2) *Ἀπετρύγησαν* ἔχουσι καὶ ἡ παλαιὰ Ἰτάλα. 3) Ὁ Ἄραψ. 4) Ὁ Σύρος ἅγιος Ἐφραίμ. 5) Ὁ μάρτυς Ἰουστῖνος (γ), καὶ ἄλλοι τῶν θείων Πατέρων. 6) Τελευταῖον· αὐτὸ τὸ νόημα τοῦ προφητικοῦ χωρίου οὐκ εὐοδοῦται, εἰμὴ κατὰ μόνην τὴν φράσιν τῶν Ο. Ἰδοὺ πῶς ἑρμηνεύει ἡ Βουλγάτα τὸ ῥητόν. « *Οὐαὶ οἱ πλουτοῦντες ἐν Σιὼν, καὶ πεποιθότες τῷ ὄρει Σαμαρείας. Ἀριστεῖς, κεφαλαὶ λαῶν· οἱ εἰσερχόμενοι πομπικῶς εἰς οἶκον Ἰσραήλ* » (δ). Ἀλλὰ παρὰ τὰς τοιαύτας ἑρμηνείας τί ἂν

---

(α) Grab. Diss. de vitijs LXX. p. 28.

(ϐ) Voss. l. c. — Gesen. Lexic. Hebr. p. 438. 685.

(γ) Παρὰ τῷ μάρτυρι Ἰουστίνῳ ἀναγινώσκεται « Οἱ ὠνομασμένοι ἐπὶ τοῖς ἀρχηγοῖς ἀπετρύγησαν ἀρχὰς ἐθνῶν » (Διαλ. π. Τρύφων. σελ. 126. ἐκδ. Venet. 1747. πρβλ. καὶ σημ.). Ὅπου τὸ « οἱ ὠνομασμένοι ἐπὶ τοῖς ἀρχηγοῖς φαίνεται ἐξ ἄλλης τινος μεταφράσεως παρεισφρῆσαν εἰς τὸ κείμενον τοῦ Ἰουστίνου ὑπὸ τῆς ἀϐλεψίας τῶν μεταγραφέων, καὶ συναφθὲν πρὸς ὃ εἶχεν ὁ Μάρτυς ἐκ τῶν Ο, « ἀπετρύγησαν ἀρχὰς ἐθνῶν ». Καὶ ἄλλα δέ τινα τοιαῦτα παραναγνώσματα παρατηροῦνται καὶ ἀλλαχοῦ, καὶ εἰς αὐτὴν ἣν ὁ μάρτυς ἀντιγράφει ἐκ τοῦ παρόντος κεφαλαίου (τοῦ ε) μακρὰν τοῦ Ἀμὼς περικοπήν.

(δ) « Vae qui opulenti estis in Sion, et confiditis in monte Samariae. Optimates, capita populorum, ingredientes pompatice in domum Israel » (S. Hieron. Amos VI. 1). Παραλείπομεν ἄλλας τῶν νεωτέρων παντοίας περὶ τὴν ἑρμηνείαν διαφοράς. Προστιθέμεθα δὲ μόνον μίαν τῶν νεωτάτων κριτικῶν. « Vae tranquillis Sione, et securis in monte Samariae, principibus

γένοιτο (εἴγ᾽ ἔξεστιν εἰπεῖν) ἀτοπώτερον; Ὁ θεῖος Ἀμὼς ἐν τῷ κεφαλαίῳ τούτῳ προφητεύει τὴν αἰχμαλωσίαν τῶν ἐν τῷ βασιλείῳ τῆς Σαμαρείας τρυφουσῶν δέκα φυλῶν τοῦ Ἰσραήλ· οὐχὶ δὲ καὶ τῶν δύω τοῦ Ἰούδα φυλῶν, αἵτινες οὐδ᾽ ᾐχμαλωτίσθησαν οὔτε τότε συγχρόνως, οὔτε ὑπὸ τῶν Ἀσσυρίων· πρὸς τί λοιπὸν μνημονεύονται οἱ εἴτε *πλουτοῦντες*, εἴτε *γαληνιῶντες* καὶ ἀτάραχοι κατοικοῦντες *ἐν Σιών*; Ὁ μακάριος Ἱερώνυμος, ἀναγκασθεὶς ὑπὸ τῆς πρώτης παρερμηνείας τῆς « *οἱ πλουτοῦντες ἐν Σιὼν* », ἐξέλαβε τὴν προφητείαν κοινὴν κατά τε τοῦ Ἰούδα (τῶν δύω φυλῶν), καὶ κατὰ τοῦ Ἰσραὴλ (τῶν δέκα φυλῶν). Πρὸς τοῦτο κλίνουσι καὶ τῶν νεωτέρων συχνοί. Ἀλλ᾽ ἀρκεῖ καὶ μόνη ἡ ἀνάγνωσις τοῦ προφητικοῦ κεφαλαίου πρὸς ἔνδειξιν τῆς ἀληθείας. Ἀκούσωμεν δὲ ἤδη καὶ τοὺς Ο, πῶς ἑρμηνεύουσι τὴν περὶ ἧς ὁ λόγος περικοπήν. « Οὐαὶ τοῖς ἐξουθενοῦσι Σιὼν (α), καὶ πεποιθόσιν ἐπὶ τὸ ὄρος Σαμαρείας· ἀπετρύγησαν ἀρχὰς ἐθνῶν, καὶ εἰσῆλθον αὐτοί, οἶκος Ἰσραήλ ». Τί τούτων σαφέστερον; « Ἄθλιοί, φησι, καὶ τρισάθλιοι, οἱ τῆς μὲν Σιὼν καταφρονοῦντες, τῇ δὲ Σαμαρείᾳ θαῤῥοῦντες, καὶ μὴ σκοποῦντες, ὡς ὁ ἐν τῇ Σιὼν θεραπευόμενος Θεὸς εἰς τὴν τῆς ἐπαγγελίας αὐτοὺς ἐπήγαγε γῆν, τοὺς πρόσθεν ταύτην οἰκοῦντας παντελῶς ἀναλώσας » (αὐτὰ δηλονότι τὰ κράτιστα κεφάλαια, τὰς ἡγεμονείας

---

praestantissimae Gentium, ad quos Israelitae confluere solent ». (Schulz. Schol. in Amos ibid.). Ἄλλας δὲ πάλιν ἰδίας διαφορὰς ἔχει ὁ Rosenmüller ibid.

(α) « Ἐξουθενοῦσιν ἀναγινώσκει μετὰ τοῦ Οὐοσσίου καὶ ὁ Δάθιος, ἀποδεχόμενος ὡς μόνην ἀληθινὴν ταύτην τῆς λέξεως τὴν ἑρμηνείαν. Ὁ δὲ Σχούλζιος (h. l.) εἰς μάτην ἀντιλέγει. Παρὰ δὲ τῷ Ἰουστίνῳ ἀντὶ τοῦ « ἐξουθενοῦσι Σιὼν », ἀναγινώσκεται « οἱ κατασπαταλῶντες Σιὼν », καὶ ταύτην τὴν ἀνάγνωσιν ἐξέλαβόν τινες ὡς ἐξ ἄλλων ἑρμηνευτῶν. Ἀλλὰ τὸ κατασπαταλῶντες ὑπάρχει σαφῶς ἀβλεψία τοῦ ἀντιγραφέως, μεταγράψαντος τὴν λέξιν καὶ ὧδε ἐκ τοῦ σύνεγγυς 6, ἐδαφίου, τοῦ αὐτοῦ κεφαλαίου. Ὁ δὲ Δρούσιος (Annot. in h. l.) καὶ ἄλλοι (βλ. Scharfenb. in Cappel. Crit. Sacr. vol. 3. p. 189) τὸ « ἐξουθενοῦσι τὴν Σιὼν » διορθοῦσιν εἰς τὸ « εὐθηνοῦσι τὴν Σιὼν », ὅπως πλησιάζῃ καὶ τὸ τῶν Ο πρὸς τὴν νεωτέραν ἑρμηνείαν τοῦ ἑβραϊκοῦ! Καὶ γίνεται καὶ ὧδε παρεκτροπὴ μὲν τοῦ νοήματος, ἀλλ᾽ ὅμως ἀνδρικὸς περὶ τὴν σύνταξιν βαρβαρισμὸς, καὶ οὐχ ἧττον ἀμουσολάλος, ἢ κεῖνος ὁ κατὰ Γράβιον « ἀπετρύπησαν ἀρχάς »!

τῶν ἐν αὐτῇ κρατούντων ἐθνῶν, ἅπερ *ἀποτρυγήσαντες* καὶ ἐκκόψαντες εἰσῆλθον *αὐτοί*, ὁ *οἶκος Ἰσραήλ*, μετὰ τῶν ἄλλων δύω φυλῶν· κατὰ τὸ, «ἐξέβαλες, ἔθνη καὶ κατεφύτευσας αὐτοὺς») «καὶ λίαν αὐτοῖς εὐρεῖαν τὴν οἴκησιν χαρισάμενος» (Θεοδώρητ. ἑρμην. αὐτόθ.).

§. ις. Ἐκ τοῦ Ἰωνᾶ.

Κεφ. Γ. 4. «*Ἔτι τρεῖς ἡμέραι*, καὶ Νινευΐ» κτλ. — Τὸ Ἑβραϊκ. «ἔτι *τεσσαράκοντα ἡμέραι* (α). Τεσσαράκοντα ἔχουσι καὶ Ἀκύλας καὶ Σύμμαχος καὶ Θεοδοτίων καὶ ὁ Σύρος καὶ ἡ Βουλγάτα. Καὶ ψέγουσι λοιπὸν διὰ τοῦτο τοὺς Ο, ὡς κακοὺς ἀριθμητάς. Ἀλλὰ κἂν ὑποτεθῇ μὴ κατὰ τοὺς ἑβραίους κώδηκας, ἀλλ᾽ ἐν τοῖς τῶν Ο, μᾶλλον ἡμαρτῆσθαι τὴν πρόπαλαι κοινῶς παραδεδεγμένην γραφὴν τοῦ *τρεῖς* ἀριθμοῦ, οὐδ᾽ οὕτω τῶν ἑρμηνευτῶν ἐστι τὸ παράπτωμα, τῶν δ᾽ ἀρχαίων ἀντιγραφέων. Καὶ ὁ μὲν ἱερὸς Αὐγουστῖνος ἐσπούδασε διαλλάξαι τὴν τοῦ ἑβραϊκοῦ πρὸς τοὺς Ο διαφοράν (β). Ὁ δὲ πάλιν Ἱερώνυμος θαυμάζει περὶ τῆς τοσαύτης διαφωνίας, «ὁπότε, λέγει, μήτε γραμμάτων, μήτε συλλαβῶν, μήτε τόνων, μήτε τῶν λέξεων ἐστὶν ὁμοιότης μεταξὺ τοῦ καθ᾽ Ἑβραίους τεσσαράκοντα (arbaim) καὶ τοῦ τρεῖς (salos) (γ). Ἀλλ᾽ ὁ ἱερὸς Θεοδώρητος ῥητῶς ἀποδίδωσι τὸ σφάλμα εἰς τοὺς ἀντιγραφεῖς. «Δοκεῖ μοι (λέγει) τὸ τῶν *τεσσαράκοντα* ἡμερῶν ἀληθέστερον εἶναι (τῶν *τριῶν*). Εἰκὸς δὲ καὶ τοὺς Ο σύμφωνον τοῖς ἄλλοις τεθεικέναι τὸν ἀριθμόν· τοὺς δὲ τὴν ἀρχὴν ἐγγραψαμένους ἁμαρτεῖν περὶ τοῦτο, εἶτα οὕτω γενέσθαι πᾶσι τῶν ἀντιγράφων τὴν ἔκδοσιν» (Ἑρμην. εἰς Ἰων. γ). Οὕτω καὶ ὁ Θεοφύλακτος (αὐτόθι). Ὅθεν καί τινες τῶν νεωτέρων ὑπέλαβον, ὅτι τὸ πρῶτον ὁ ἀριθμὸς οὐχ ὁλόγραφος ὢν, ἀλλὰ στοιχειακὸς, εὐκόλως ἐν ταῖς ἀντιγραφαῖς μετεβλήθη, τοῦ μ (40) τραπέντος εἰς γ (3). Ἄλλοι δὲ πάλιν εἶπον, ὅτι αἱ τρεῖς ἡμέραι μετεγράφησαν καὶ ὧδε κατ᾽ ἐπανάληψιν ἐκ τοῦ προηγουμένου

---

(α) Εἷς κώδηξ ἑβραῖος ἔχει «τριάκοντα». βλ. Rossi, Supplem. pag. 88.
(β) S. August. de Civit. Dei XVIII. 44.
(γ) S. Hieron. Comm. in Ion. cap. 3. 4.

παραγράφου ἀβλεψίᾳ τῶν ἀντιγραφέων, ἀμελησάντων τοῦ μ. (α). Ἀλλ' ἡ γνησία τῶν Ο γραφὴ (καθὼς ἔκρινεν ὁ σοφὸς Οὐόσσιος) σῴζεται παρὰ τῷ φιλοσόφῳ καὶ μάρτυρι Ἰουστίνῳ· ὅστις μνημονεύων τοῦ ῥητοῦ, οὔτε *τρεῖς* ἡμέρας λέγει μόνον, οὔτε μόνον *τεσσαράκοντα*, ἀλλὰ *τεσσαράκοντα τρεῖς*. Καὶ ἵνα μή τις ὑπολάβῃ τὴν γραφὴν ἡμαρτημένην, δὶς ἀναφέρει τὸν αὐτὸν ἀριθμόν (β). Καὶ ὑπῆρχε λοιπὸν ἐξ ἀρχῆς γεγραμμένον· « ἔτι (τρεῖς) καὶ Μ. ἡμέραι » κτλ. Διὰ δὲ τὴν τῶν ἀντιγραφέων ἀβλεψίαν ἐκπεπτώκασι πρώϊμα ἐκ μὲν τοῦ ἑλληνικοῦ τὸ *καὶ μ* (40), ἐκ δὲ τοῦ ἑβραϊκοῦ τὸ *τρεῖς*. Ἐντεῦθεν ἡ μεταξὺ τοῦ κειμένου καὶ τῆς ἑρμηνείας ἀρχαία αὕτη διαφορά. Καὶ αἱ μὲν τρεῖς ἡμέραι ἦσαν ἀναγκαῖαι πρὸς τὸ κήρυγμα. « Ἦν γὰρ ἡ πόλις μεγάλη τῷ Θεῷ, ὡς πορείας ὁδοῦ ἡμερῶν τριῶν » (Ἰων. γ, 3)· ὅθεν καὶ ὁ προφήτης « ἤρξατο τοῦ εἰσπορεύεσθαι εἰς τὴν πόλιν ὡσεὶ πορείαν ἡμέρας μιᾶς » (αὐτ.). « Οὐ κατ' εὐθὺ τῆς πόλεως ὁδεύων, ἀλλ' ἀγορὰς καὶ ἀγυιὰς καὶ ῥύμας περινοστῶν, καὶ κηρύττων » (Θεοδώρητ. αὐτ.). Ἐκ τούτων, ὡς ἔοικεν, ὁρμώμενος ὁ Οὐόσσιος, εἰκάζει (περιεργότερον ἴσως) καὶ τὰ ἐφεξῆς, εἰς ἀπόδειξιν τῶν 43 ἡμερῶν. Ὅτι τὴν μὲν πρώτην ἡμέραν εἰσπορευόμενος ὁ Ἰωνᾶς ἐκήρυξεν, « *Ἔτι τρεῖς καὶ Μ. ἡμέραι* ». Τὴν

---

(α) Buxtorf. Anticrit. pag· 620. πρβλ. Schleusn. Thes. λ. Τρεῖς.

(β) Ἰουστίν. Διάλογ. π. Τρύφων. σελ. 212. ἐκδ. Venet. 1747. Ὅπου οἱ ἐκδόται ἐξέδωκαν οὕτως· « Ὅτι μετὰ (ἐν ἄλλοις τεσσαράκοντα) τρεῖς ἡμέρας »· καὶ πάλιν, « Ἐπὶ τῇ (τεσσαρακοστῇ) τρίτῃ ἡμέρᾳ », κτλ. Ὅθεν φαίνεται, ὅτι ἔν τισι χειρογράφοις ὑπῆρχε μόνον τρεῖς ἡμέραι, καί, τῇ τρίτῃ ἡμέρᾳ. Ἔπειτα δὲ τούτοις προσετέθη καὶ τὸ τεσσαράκοντα, καὶ τὸ τεσσαρακοστῇ, ὡς δῆλον ἐκ τοῦ παρενθέτου σημειώματος, τοῦ, « Ἐν ἄλλοις τεσσαράκοντα γράφεται ». Ἀλλὰ τοῦτ' αὐτὸ πάλιν τὸ ἐν ἄλλοις (ἐλλειπτικ. χειρογράφοις) δείκνυσιν, ὅτι ἦσαν καὶ ἄλλα χειρόγραφα τοῦ Ἰουστίνου ἔχοντα τεσσαράκοντα τρεῖς, καὶ τεσσαρακοστῇ τρίτῃ· καὶ ὑπάρχουσι καὶ νῦν τὰ τοιαῦτα χειρόγραφα, καὶ ἐκδόσεις, ἔχοντα 43 ἡμέρας, καὶ τεσσαρακοστῇ τρίτῃ, καθὼς οἱ ἐκδόται σεσημειώκασιν. Εἰ δὲ καὶ αὕτη ἐστὶν ἡ παρ' Ἰουστίνῳ γνησία γραφὴ τοῦ ἀριθμοῦ, λείπεταί τις ἀμφιβολία. Οὐδεὶς γὰρ ἕτερος τῶν ἀρχαίων ἔγραψε τὰς ἡμέρας 43, ἀλλ' ἢ τρεῖς μόνας (ὡς ἐν τοῖς ἀποσωθεῖσι χειρογράφοις τῶν Ο), ἢ 40 μόνον, ὡς γράφεται παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς, καὶ τοῖς τούτων μνημονεύουσιν ἱεροῖς πατράσιν.

δὲ δευτέραν, « Ἔτι δύω καὶ Μ. ». Τὴν δὲ τρίτην, τέλος, « Ἔτι Μ. ἡμέραι, κτλ. Ὅτι δὲ καὶ ὁ τεσσαρακονθήμερος ἀριθμὸς ὑπῆρχεν ἀνέκαθεν καθιερωμένος εἰς τὴν νηστείαν (ἥτις καὶ τῆς μετανοίας σύνδρομος γίνεται καὶ συνέριθος· ὅθεν ἐνήστευσαν καὶ οἱ Νινευῖται), μαρτυροῦσι καὶ ἄλλα χωρία τῆς Γραφῆς· οὕτω καὶ Μωσῆς καὶ Ἠλίας (καίτοι μὴ ἐπὶ μετανοίᾳ) *Μ. ἡμέρας ἐνήστευσαν* (α).

§. ιζ. Ἐκ τοῦ Ζαχαρίου.

Κεφ. Ι. 1. Κύριος ἐποίησε *φαντασίας*, καὶ ὑετὸν χειμερινὸν δώσει αὐτοῖς ». Ψέγουσι καὶ ὧδε τοὺς Ο, ὡς συγχύσαντας τὰ ἑβραϊκὰ chazah (ὄψις, θέα), καὶ chaziz (ἀστραπή)· διὸ καὶ μετεποίησαν τὰς *ἀστραπὰς* εἰς *φαντασίας*! Ἀλλ᾽, ὡς ἔοικεν, ἠγνόουν οἱ ἄνδρες, ὅτι τὸ *φαντασία* σημαίνει οὐ μόνον τὴν ἐν τῇ ψυχῇ τύπωσιν, ἀλλὰ καὶ φανότητα, *λαμπρότητα*, καὶ *φαῦσιν*, ἢ *φαινόμενον*, καθὼς καὶ τὰ *φαίνεσθαι* καὶ *φαντάζεσθαι* πολλάκις συνωνυμοῦσιν. « *Ἔφαναν* γάρ, φησιν, *αἱ ἀστραπαί σου τῇ Οἰκουμένῃ* ». Καὶ τούτων τὴν ἔκφαντον θέαν *φαντασίαν* εἶπεν ὁ προφήτης. Ὅθεν καὶ ὁ ἱερὸς Θεοδώρητος. « Τὰ τοιαῦτα φαντασίας ἐκάλεσεν, ὡς ἐκπλήττοντα τοὺς ἀνθρώπους » (ἑρμην. αὐτόθ.). Πρόσθες τούτοις, εἰ δοκεῖ, καὶ τὸ παρ᾽ Ἕλλησι *Φαναῖος*, ταυτιζόμενον σχεδὸν πρὸς τὸ *Ἀστραπαῖος* (Ζεύς). Ὅθεν ὁ μὲν Μύνστερος τὸ Chazizim ἡρμήνευσε νέφη λαμπρὰ (nubes candidas), ὡς περιλαμπόμενα ἐκ τῶν ἀστραπῶν. Ὁ δὲ Δρούσιος, στιλπνότητας, ἢ στιλβηδόνας (Corruscationes). Ἀλλὰ καὶ τῶν Ῥαββίνων οὐκ ἄσημοί τινες ἀμφοτέρας τὰς προγεγραμμένας ἑβραϊκὰς φωνὰς συγγενεῖς νομίζουσι καὶ ἰσοδυνάμους, ὡς ἐκ τῆς αὐτῆς ῥίζης παραγομένας. Καὶ ὀρθῶς ἄρα καὶ λίαν ἀκριβῶς διηρμήνευσαν οἱ Ο γέροντες τὴν δύναμιν τῆς ἑβραΐδος λέξεως, εἰπόντες « *ἐποίησε φαντασίας* » δηλονότι φαντάζοντα καὶ φαινόμενα θεάματα, ἢ φαίνοντα καὶ στίλβοντα σημεῖα ὑετοῦ. Τοιαῦται δὲ φανώταται καὶ « *ζάπυροι τῆς στεροπῆς ἕλικες ἐκλάμπουσιν* ».

(α) Βλ. Criticos Sacros ad h. l. καὶ Voss. de LXX. p. 75.

§. ιη. Τοσαῦτα πρὸς ἀπάντησιν ὑπὲρ τῶν χωρίων τῆς ἱερᾶς ἑρμηνείας, δἰ ἃ ψέγουσι τοὺς Ο ὡς ἀμαθεῖς οἱ σοφοὶ κριτικοί. Πολλὰ δὲ καὶ ἄλλα προσαριθμοῦσιν, οὔτε σοφώτερα οὔτε δικαιότερα λέγοντες. Τούτων δέ τινα καὶ ἐν τοῖς προηγηθεῖσιν ἐθεωρήσαμεν, καὶ ἄλλα δὲ ἴσως ἐξετάσομεν ἐν τοῖς ἐφεξῆς. Ἀρκοῦσι δὲ ὅμως καὶ τὰ σεσημειωμένα (καθὼς νομίζομεν) παρασχεῖν τοῖς ἡμετέροις δεῖγμά τε καὶ γεῦμα τῆς δριμύτητος τῶν κριτικῶν, ὅσοι τῶν Ο κατατρέχουσι, γνώμονι χρώμενοι καὶ κανόνι τῇ κατὰ τοὺς Μασορίτας ἀναγνώσει τοῦ καθ' ἡμᾶς Ἑβραϊκοῦ. Ἤδη δὲ μεταβαίνομεν καὶ εἰς τὴν θεωρίαν τῶν καθόλου πηγῶν, ἐξ ὧν ἀνευρίσκουσιν ἀναστομωθέντα τὰ κατ' αὐτοὺς πολλὰ καὶ μεγάλα σφάλματα τῆς ἑρμηνείας τῶν Ο.

## ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

*Καθόλου θεωρία περὶ τῶν λεγομένων αἰτίων τῆς τῶν Ο πρὸς τὸ καθ' ἡμᾶς ἑβραϊκὸν διαφωνίας.*

§. α. Δύω τινὰ διακρίνονται τὰ εἴδη τῶν μεταξὺ τῆς ἑρμηνείας τῶν Ο καὶ τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου ποικίλων διαφορῶν. Τὸ πρῶτον θεωρεῖται περὶ τὰ ὀνόματα τὰ καθ' ἕκαστα, ὅταν οἱ Ο μεταφράζοντες λέξιν, ἢ φράσιν τινα, φαίνωνται σαφῶς ἀνεγνωκότες ἐν τῷ κατ' αὐτοὺς κειμένῳ κατά τε σύμφωνα καὶ φωνήεντα καὶ τόνους ἄλλως πως τὰς φωνὰς γεγραμμένας, ἢ ὡς ἀναγινώσκονται καὶ ἐξηγοῦνται τανῦν ἐν τῷ καθ' ἡμᾶς ἑβραϊκῷ. Τὸ δὲ ἕτερον εἶδος τῶν διαφορῶν ἀποτελοῦσι τὸ μὲν πλεῖστον οἱ πλεονασμοί, ἔστι δ' ὅτε καὶ ἐλλείψεις, καί τινες περὶ τὴν τάξιν τῶν ὀνομάτων, ἐνιαχοῦ δὲ καὶ περιόδων, καὶ κεφαλαίων, ἀντιστροφαὶ καὶ μεταθέσεις, καθ' ἃ παραλλάσσει τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κώδηκος ἡ ἑρμηνεία τῶν Ο.

§. β. Ἀμφοτέρων δὲ τούτων τῶν ἐν γένει διαφορῶν, καὶ τῆς ἐξ αὐτῶν προκυπτούσης διαφωνίας τὴν ἐνοχὴν εἰς τὴν ἑρμηνείαν ἀποῤῥίπτουσιν οἱ δριμύτατοι τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κώδηκος ὑπέρ-

μαχοι κριτικοί. Πρὸς τοῦτον γὰρ καὶ μόνον, ὡς πρὸς ἀπαρέγκλιτον κανόνα τοῦ ὀρθοῦ καὶ γνησίου (καθὸ πρωτότυπον δηλονότι, πρὸς ὃ πάντοτε κρίνονται δικαίως αἱ μεταφράσεις) παραβάλλουσιν, ὡς ἐπέοικεν, οἱ ἄνδρες τὴν ἑρμηνείαν τῶν Ο· καὶ ταύτης τὴν φύσιν περί τε τὸ λεκτικὸν καὶ τὸ πραγματικὸν κριτικῇ μεθόδῳ μαστεύοντες καὶ διερευνῶντες, ἐξελέγχουσι τὴν ἑλληνίδα βίβλον βρύουσαν σφαλμάτων παντοδαπῶν. Ἐννέα δὲ τούτων ἀνευρίσκουσι τὰς αἰτίας, ἀφ᾽ ὧν, ὡς ἀπό τινος Ἐννεακρούνου πηγῆς, ἐξεῤῥύη τὸ χῦμα τῶν ἀμυθήτων διαφθορῶν. Ἀλλὰ ποῖον μὲν ὑπάρχει τὸ καθ᾽ ἡμᾶς ἑβραϊκὸν, καὶ ὅτι διαφέρει μεγάλως ἐκείνου τοῦ πρωτοτύπου, ἐξ οὗ συνέγραψαν τὴν ἑρμηνείαν οἱ Ο, λέγομεν ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς. Ἤδη δὲ θεωροῦμεν τὰς λεγομένας τῶν σφαλμάτων αἰτίας, ἁπάσας καταγράφοντες ἐν τῷ παρόντι κεφαλαίῳ, προστιθέντες δὲ παρ᾽ ἑκάστῃ καὶ τὴν ἀπάντησιν μετὰ τῆς ἐνδεχομένης ἐπιτομῆς.

§. γ. Α) Τὰ ἀπόγραφα (λέγουσιν), οἷς ἐχρῶντο περὶ τὴν ἑρμηνείαν οἱ Ο, ὑπῆρχον ἐν πολλοῖς ἡμαρτημένα περὶ τὰ γράμματα, καὶ ἢ μηδόλως, ἢ γοῦν κακῶς ἐστιγμένα κατὰ τὰς λέξεις, καὶ πάντῃ διαφέροντα τοῦ γνησίου κώδηκος ἐκείνου, ὃν ἐξέδωκεν ὁ Ἔσδρας ἀκήρατον καὶ καθαρεύοντα πάσης ἡμαρτημένης γραφῆς. Ἡ δὲ τοιαύτη τῶν παρ᾽ ἐκείνοις ἀπογράφων διαφθορὰ ὑφίστατο ἐν τοῖς ἐφεξῆς.

1) Περὶ τὰ φωνήεντα. Πολλαχοῦ γὰρ φαίνονται ἀνεγνωκότες ἐσφαλμένως α, ἀντὶ ε, ἢ ο, ἢ ι, καὶ τἀνάπαλιν· οἷον, ἀντὶ *Σὶμ* (ἔθετο), οἱ Ο ἀνέγνων *Σὲμ* (ὄνομα. Ψαλμ. λθ, 4). Ἀντὶ *Σοὺφ* (φῦκος), Σὸφ (ἐσχάτη) (α). Ἀντὶ *Σελεμὰ* (τετελεσμένη), *Σαλομὼν* (β)· καὶ ἄλλα

---

(α) Ὡς ἐν Ἰωνᾷ, β, 6. τὸ ἑβρ. λέγει « Ἄβυσσος ἐκύκλωσέ με· φῦκος περιδέδεται περὶ τὴν κεφαλήν μου » Οἱ δὲ Ο. « Ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη· ἔδυ ἡ κεφαλή μου » κτλ. (ἐν τῷ ἑβρ. συνάπτεται μετὰ τοῦ 6 ἐδαφίου καὶ τοῦ 7, ἡ ἀρχή. Πλὴν ἀλλ᾽ ἐν τούτοις παράδοξον φαίνεται τὸ φῦκος, πάντως πεφυκὸς ἐν τῇ κοιλίᾳ τοῦ κήτους, καὶ περιτυλιχθὲν περὶ τὴν κεφαλὴν τοῦ Ἰωνᾶ).

(β) Τὸ ἑβρ. « αἰχμαλωσίαν τετελεσμένην (Ἀμὼς α, 6)· οἱ Ο, αἰχμαλ. τοῦ Σολομὼν ». (Βλ. Θεοδωρήτ. ἑρμην. αὐτόθ.).

πολλὰ δείγματα παρεξηγήσεων, προελθουσῶν ἐκ τῆς ἐσφαλμένης τῶν φωνηέντων ἐναλλαγῆς.

2) Περὶ τὰ σύμφωνα. Καὶ τοῦτο τετραχῶς· ἢ κατὰ μεταβολὴν καὶ ἀντισοιχίαν (ἣν αὐτοὶ καλοῦσιν ἑλληνιςὶ *μεταστοιχείωσιν*· ὁπότε συγχέονται τὰ στοιχεῖα τῶν συμφώνων, καὶ μάλιστα τὰ ὅμοια, τιθέμενα θάτερα ἀνθ' ἑτέρων) (α), ἢ κατὰ πρόσθεσιν, ἢ κατὰ μετάθεσιν, ἢ κατ' ἀφαίρεσιν (β). Τοιοῦτο διαγράφουσιν οἱ κριτικοὶ τὸ εἶδος τῶν κωδήκων, ἐξ ὧν οἱ Ο μεθηρμήνευσαν· καὶ τὰς λέξεις θέλουσιν ἐν τοῖς στίχοις γεγραμμένας ὑφ' ἕν, καὶ ἀδιακρίτους ἀπ' ἀλλήλων. Ἐκ δὲ τῆς τοιαύτης ἐσφαλμένης καὶ συγκεχυμένης γραφῆς τῶν λέξεων ἐπήγασαν καὶ αἱ ψευδεῖς αὐτῶν ἑρμηνεῖαι· καὶ φέρουσιν οἱ ἄνδρες πολλὰ παραδείγματα πρὸς ἀπόδειξιν.

*Ἀπαντῶμεν.*

Τὸ περὶ πραγμάτων ἀνέκαθεν ὁμολογουμένων, καὶ διὰ τοσούτων αἰώνων ὑπὸ νέφους μαρτύρων καὶ τῆς ἱστορικῆς ἀληθείας κεκυρωμένων, οὕτως ἀποτόμως αὐτογνωμονεῖν καὶ αὐτοσχεδιάζειν, τοῦτ' ἔστιν ἐκεῖνο τὸ «*ἐρεύγεσθαι τὰ ἀπὸ κοιλίας*»· καὶ τοιοῦτον ἂν εἴη τὸ πλάττειν πλῆρες σφαλμάτων τὸ ἑβραϊκὸν ἀπόγραφον, ὅθεν οἱ Ο μεθηρμήνευσαν. Ἀλλ' εἴ ποτε ὑπῆρξαν ἀκραιφνεῖς καὶ τέλειοι κώδηκες τῶν ἑβραϊκῶν θείων γραφῶν, τοιοῦτος ἂν ἦν κἀκεῖνος, ᾧ περ ἐχρήσαντο πρὸς τὴν ἑρμηνείαν οἱ Ο. Καὶ τούτου δείγματα σαφῆ, τὰ ἐφεξῆς. α) Τὸ ἀντίγραφον μετὰ τῶν ἑρμηνευτῶν, δημοσίας πρεσβείας μεσιτευσάσης, ἐςάλη παρὰ τοῦ ἀρχιερέως καὶ τοῦ μεγάλου Συνεδρίου τῶν Ἱεροσολύμων πρὸς βασιλέα σοφὸν καὶ μεγαλόδωρον καὶ ἰσχυρὸν, οἷος ὁ Φιλά-

(α) Οἷον τοῦ ρ (Resch) ἀντὶ δ (Daleth), καὶ τ' ἀνάπαλιν (βλ. ὄπισθ. σελ. 649). Τοῦ jod ἀντὶ Waw, καὶ Zain· τοῦ Beth, ἀντὶ Kaph, καὶ Nun· τοῦ Cheth ἀντὶ He καὶ Tau. τοῦ Samech ἀντὶ Mem, κτλ.

(β) Βλ. τὸν μάλιστα πάντων ἀναλεξάμενον πολλὰ τοιαῦτα παραδείγματα Ὀττιγγῆρον (Thesaur. phil. p. 354—364), καὶ τὸν ἐξ αὐτοῦ ἀντιγράψαντα Καρψόβιον (Critic. Sacr. [p. 516). πρβλ. Buxtorf Anticritic. p. 557. — Glass. Philolog. Sacr. — Grabij de Vitiis LXX. - Eichhorn, Einleitung § 69. — Gesenius Geschichte der hebr. Sprache. — καὶ τὸν πολλὰ τοῖς τε ἄλλοις καὶ τῷ Ὀττιγγήρῳ ὀφείλοντα Φράγκελον (Frankel, l. c. p. 63, 204 κτλ.).

δελφος· καὶ ἑπομένως ὑπῆρχεν ἀκριβῶς ἀντιγεγραμμένον ἐκ τῶν ἐν τῷ ναῷ διατηρουμένων πρωτοτύπων τῆς ὑπὸ τοῦ Ἔσδρα ἐκδοθείσης Γραφῆς. β) Τοῦτο βεβαιοῖ καὶ αὐτὸς τῆς ἑρμηνείας ὁ σκοπός. Ἡ Ἑλληνικὴ μετάφρασις τῶν Γραφῶν οὐ μόνον ἕνεκα τῆς βασιλικῆς ἐφιλοπονεῖτο βιβλιοθήκης, ἀλλ᾽ ἵνα καὶ τοῖς ἁπανταχοῦ τῆς Οἰκουμένης ἑλληνίζουσιν Ἰουδαίοις εἰς θρησκευτικὴν καὶ δημοσίαν ἐν ταῖς Συναγωγαῖς ἀνάγνωσιν διαδοθῇ, καθὼς αὐτὴ ἡ πρὸς τὸν Φιλάδελφον ἐπιστολὴ τοῦ ἀρχιερέως, καὶ ἡ ἱστορία διακηρύττει. γ) Ἡ αὐτὴ ἱστορία, καὶ ἰδίως ὁ Ἰώσηπος διαγράφει τὴν ἀκρίβειαν ἐκείνου τοῦ κώδηκος, χρυσοῖς γράμμασιν ἐν διφθέραις φιλοτίμως ἐγγεγραμμένου· ὅθεν καὶ ὁ βασιλεὺς θαυμάσας τῆς ἰσχνότητος τοὺς ὑμένας καὶ τῆς συμβολῆς τὸ ἀνεπίγνωστον, ἠγάσθη, καὶ τὰς γραφὰς προσεκύνησε (βλ. Βιβλ. Α. κεφ. κα. §. ε. σελ. 630). δ) Ὡς ἔλαβε τέλος ἡ ἑρμηνεία ἀνεγνώσθη εἰς ἐπήκοον τῶν Ἰουδαίων, καὶ τῶν παρ᾽ αὐτοῖς ἀρχόντων καὶ ἱερέων, καὶ δοκιμασθεῖσα ἐπεκυρώθη, καὶ τοιαύτη διαμένειν εἰς αἰῶνας ἐψηφίσθη, κατά τε τῶν τολμησόντων οἱανδήποτε μεταβολὴν εἰς αὐτὴν ἐπενεγκεῖν ἀραὶ πανδήμως ἐξεφωνήθησαν. Μετὰ ταῦτα γοῦν καὶ τὰ τοιαῦτα, τίς ἂν εὐλόγως πιστεύσειεν, ὅτι τὴν ἀπὸ διεφθαρμένου κώδηκος διεφθαρμένην πάντως καὶ αὐτὴν προκύψασαν ἑρμηνείαν οὐδεὶς τῶν τότε Ἰουδαίων ἐξήλεγξεν; ἀλλὰ πάντες ἅμα καὶ οἱ κατ᾽ Ἀλεξάνδρειαν ἱερεῖς καὶ νομομαθεῖς, καὶ αὐτὸ τὸ Συνέδριον τῶν Ἱεροσολύμων συνώμοσαν, ἵνα παραδεχθῶσιν ὡς κυρίαν καὶ ἁγίαν τὴν κατάψευστον καὶ παντοίων σφαλμάτων βρίθουσαν ἑρμηνείαν; ε) Πᾶσαι αἱ κατ᾽ Αἴγυπτον καὶ Ἀσίαν καὶ τὴν Ἑλλάδα καὶ πανταχοῦ τῆς Οἰκουμένης συναγωγαὶ τῶν ἑλληνιστῶν Ἰουδαίων ἀνεγίνωσκον τὴν ἑρμηνείαν. Καὶ ἐπὶ τῶν Ἀποστόλων ἐκ ταύτης βλέπομεν « τὴν ἀνάγνωσιν τοῦ Νόμου καὶ τῶν Προφητῶν » (Πράξ. ιγ, 15), καὶ ὅτι, « Μωσῆς ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει, ἐν ταῖς Συναγωγαῖς κατὰ πᾶν Σάββατον ἀναγινωσκόμενος » (Πράξ. ιε, 21: ἑβραϊστὶ μὲν παρὰ τοῖς ἑβραΐζουσιν, ἑλληνιστὶ δὲ πάντως παρὰ τοῖς ἑλληνίζουσι). Μεταξὺ τοίνυν τοσούτων μυριάδων Ἰουδαίων πῶς οὐχ εὐ-

ρέθησαν τότε λόγιοί τινες Ἑβραῖοι καὶ βαθεῖς, εἰ καὶ μὴ κατ᾽ ἄλλας χώρας, ἀλλὰ γοῦν εἰς τὴν Παλαιστίνην αὐτὴν, ἵνα κατεξελέγξωσι τὴν ἑρμηνείαν ὡς ἀπόῤῥοιαν διεφθαρμένου κώδηκος ἑβραϊκοῦ; Οὕτω δὲ παντάπασιν ἀμαθεῖς τινες ἦσαν τότε περὶ τὰς πατρίους Γραφὰς οἵτε πρὸ τοῦ Ἰωσήπου σοφοὶ τῶν Ἑβραίων καὶ Ἰώσηπος αὐτός; ἢ μήπως οὗτος οὐκ ἐχρήσατο τῇ ἑρμηνείᾳ τῶν Ο πανταχοῦ σχεδὸν τῆς ἱστορίας τῶν πατρῴων ἐθίμων καὶ τῶν ἄλλων συμβεβηκότων; Τὸν δὲ Φίλωνα προσκυνοῦντα τὴν ἑλληνίδα καὶ τὴν ἑβραΐδα Γραφὴν ὡς ἀδελφὰς, μᾶλλον δὲ ὡς μίαν καὶ τὴν αὐτὴν, παραλείπομεν, διότι οὗτος (λέγουσιν) οὐκ ἠπίστατο οὐδ᾽ *ἄλεφ* ἑβραϊκὸν (καὶ ὁ Φράγκελος περὶ τούτου περιδίδωσιν ὅ,τι θέλεις!)· ἀλλ᾽ ὅμως Ἰουδαῖος ἦν καὶ Φίλων αὐτός. Καὶ αὐτὸς ἤθελε θρησκεύειν ἐξ ἀδιαφθόρων Γραφῶν. ϛ) Οἱ Ταλμουδικοὶ μνημονεύοντες τὴν ἱστορίαν τῆς ἑρμηνείας ἐθεώρουν πάντως αὐτὴν ἀπὸ καθαρῶν καὶ γνησίων μεταγραφεῖσαν κωδήκων. Καὶ τούτου μάλιστα δεῖξις ἐκεῖνα τὰ ΙΓ, χωρία τὰ διαβόητα, ἅτινα διεθρύλλησαν ὅτι τάχα διέστρεψαν οἱ Ο ἐξεπίτηδες (βλ. ὄπισθ. σελ. 558). Ὥστε καὶ ἐν τούτοις καὶ καθ᾽ ὅλα τ᾽ ἄλλα γνησίους καὶ ἀδιαστρόφους ἠπίσταντο καὶ οὗτοι τοὺς ἑβραϊκοὺς τῶν Ο κώδηκας. ζ) Αὐτοὶ οἱ σοφοὶ κριτικοὶ διατεινόμενοι παντὶ σθένει περὶ τῆς ἀφθορίας καὶ ἀκεραιότητος τοῦ καθ᾽ ἡμᾶς ἑβραϊκοῦ κειμένου, μίαν τῶν ἀποδείξεων προβάλλουσι μετὰ στόμφου τὴν λιπαρωτάτην καὶ θρησκευτικὴν τῶν Ἰουδαίων ἐπιμέλειαν εἰς τὸ μεταγράφειν ἀπτώτως καὶ ἀσφαλῶς τὰς θείας Γραφάς. Εἰ τοίνυν οἱ Ἰουδαῖοι τοσοῦτον ἦσαν εὐλαβεῖς περὶ τὴν ἀντιγραφὴν καὶ μετ᾽ αὐτὴν τὴν ἅλωσιν αὐτῶν (ὡς ἀξιοῦσιν οἱ κριτικοὶ), πολλῷ γ᾽ ἂν μᾶλλον ἦσαν τοιοῦτοι τρεῖς καὶ ἥμισυν αἰῶνας πρὸ τῆς αἰχμαλωσίας, ὁπότε καὶ ἡ παιδεία παρ᾽ αὐτοῖς ἤκμαζεν· ἢ μήπως καὶ οἱ τοῦ κώδηκος ἐκείνου μεταγραφεῖς, καὶ αὐτοὶ οἱ Ο, οὐκ ἦσαν Ἰουδαῖοι; η) Αὐτὸς ὁ τῆς τῶν χειρογράφων διαφθορᾶς πρωτοστάτης καὶ θερμὸς ὑπέρμαχος Ὀττιγγῆρος (ὃν καὶ ἄλλοι πολλοὶ μετέγραψαν) ἐν ἄλλῳ τινι τῶν αὐτοῦ συγγραμμάτων πανηγυρικῶς ἀνεκήρυξε, καὶ μετὰ μυρίων ἄλλων ἐκ παντὸς ἔθους μαρτύρων ἀνωμολό-

γησεν, ὅτι οἱ Ο μετέφρασαν ἀπὸ κώδηκος *ἑβραϊκοῦ ἐξηκριβωμένου* (α). Τὸ δ' αὐτὸ καὶ ὁ σεμνὸς Βοβέριος ἐπρέσβευε, καὶ ἄλλοι πολλοὶ τῶν νεωτέρων σοφῶν (β). θ) Ὁ κριτικώτατος Ὠριγένης παραβάλλων τὴν ἑρμηνείαν πρὸς τὸ κατ' αὐτὸν ἑβραϊκὸν, οὐδ' ὄναρ ἐφαντάσθη περὶ διαφθορᾶς τοῦ παρὰ τοῖς Ο κώδηκος. Ἀλλ' οὐδ' αὐτὸς ὁ μακάριος Ἱερώνυμος, οὐδ' ἐν οἷς ἐνίοτε πρὸς τοὺς σεβαστοὺς ἐκείνους γέροντας παρωξύνετο πρὸς ὥραν, οὐδὲ τότε γοῦν ὑπώπτευσε περὶ τοῦ ἱεροῦ τῆς *ἑβραίας ἀληθείας* ἀπογράφου τοιαύτην ἱερόσυλον ὑπόνοιαν. Τὸν δὲ θίασον τῶν ἄλλων ἱερῶν Πατέρων τῆς Ἐκκλησίας, ὡς ἀψευδῆ λόγια Θεοῦ τὴν ἑρμηνείαν τῶν Ο τιμώντων καὶ διδασκόντων, παρασιωπῶμεν. ι) Τελευταῖον· κατὰ τὴν δόξαν ταύτην τῶν κριτικῶν, οὐ μόνον αἱ μυρίαι τῶν ἑλληνιστῶν Ἰουδαίων Συναγωγαὶ, ἀλλὰ καὶ αὐτοὶ οἱ τῇ τῶν Ο μεταφράσει ἀείποτε χρώμενοι θεόπνευστοι Ἀπόστολοι συνεψεύδοντο (ἄπαγε!) μετὰ τῶν ἑρμηνευτῶν, καὶ παρεδίδουν τῇ Ἐκκλησίᾳ μετάφρασιν τῶν θείων λόγων μετωχετευμένην ἐκ πηγῆς θολερᾶς καὶ μεμολυσμένης. Ἀλλὰ τοῦτο μὲν ἀνθρώποις Ῥαββίνοις, τοῖς τε προλαβοῦσιν Ἀζαρίαις καὶ τοῖς καθ' ἡμᾶς Φραγκέλοις, φρονεῖν καὶ λέγειν ἐφεῖται. Εἰ δὲ καὶ Χριστιανοῖς ἀνδράσι προσήκει, σκοπείτωσαν αὐτοὶ πάλιν οἱ σφόδρα ῥαββινίζοντες κριτικοί.

---

(α) « Quotquod historiam LXX interpretum pertexuere (pertexuerunt autem eam Hebraei Antiquiores, recentiores, Graeci, Arabes, Christiani aeque ac Muslimini, Latini) ὁμοθυμαδὸν R. Azariae reclamant, docentque Biblia Graeca versa esse non ex mendosis, situ et squalore obsitis, multo minus sacrilegis plebis manibus dilaniatis et discerptis exemplaribus Chaldaicis, sed e m e n d a t i s s i m o c o d i c e H e b r a e o » Hotting. Exercit. Anti-morian. Sect. 43.

(β) « Libros quibus in vertendo usi omnino incorruptos fuisse censendum est ». Wower- Syntagm. cap. 7. p. 62. παράβαλε καὶ τὸν γεραρὸν Βάλτωνα (Prolegom. c. IX. §. 14), ὅστις ἰσχυρῶς ἀντιλέγων κατὰ τῆς κακοδοξίας ταύτης, ἐπιφέρει καὶ τὰ τοῦ περικλεοῦς Κασωβῶνος « Puerum in sacris litteris esse oportet qui nesciat, LXX interpretum versionem ex Hebraeo esse dessumptam » (Exercit. Sect. 11, 15). Τοὺς δὲ περικλεεῖς Ὑσσέριον, Ι. Οὐόσσιον, Πήρσωνα (Pearson) καὶ τοσούτους ἄλλους, παρασιωπῶμεν.

Ὅσον δὲ περὶ τόνων καὶ στιγμῶν φωνητικῶν συνομολογοῦμεν μετὰ τῶν κριτικῶν, ὅτι κατὰ τοὺς χρόνους τῶν Ο, καὶ πολλοὺς ὕστερον αἰῶνας, ἡ ἑβραϊκὴ γραφὴ τῶν τοιούτων φορτίων καὶ στιγμάτων ἐκαθάρευε· καὶ οἱ Ο οὐδόλως ἐγίνωσκον οὔτε τὸ *Κάμετσ*, οὔτε τὸ *Πατὰχ*, ἢ τὸ *Σεγὸλ*, ἢ τὸ *Χῶλεμ*, καὶ τὸ *Χῆρεκ*, καὶ τ᾽ ἄλλα τὰ παρακεντήματα τῆς ῥαββινικῆς σοφίας. Καὶ τῶν τότε κωδήκων ἡ γραφὴ ὑπῆρχεν εἰρομένη καὶ συνεχής, μὴ διακρινομένων τῶν λέξεων ἀπ᾽ ἀλλήλων (καθὼς ἔγραφον κατ᾽ ἐκείνους τοὺς χρόνους καὶ οἱ Ἕλληνες, ὡς φαίνεται, ἔν τε ταῖς ἀρχαίαις ἐπιγραφαῖς, καὶ τοῖς Αἰγυπτίοις παπύροις, καὶ ἄλλοις χειρογράφοις παλαιοῖς. Ἀλλὰ καὶ μετὰ Χριστὸν πολλὰ καὶ ἄλλα τῶν ἀντιγράφων καὶ αὐτῆς δὲ τῆς θείας Γραφῆς πολλάκις οἱ κώδηκες οὕτω φαίνονται γεγραμμένοι), καὶ ἐκ τοιαύτης εἰρομένης γραφῆς ἡρμήνευσαν οἱ Ο, καθὼς καὶ Τοίπλερος διατείνεται, μηδενὸς ἀντιλέγοντος (α). Ἀλλ᾽ οὐδὲ τὴν πολυσύνθετον ῥαββινικὴν γραμματικὴν ἐγνώριζον οἱ γέροντες ἐκεῖνοι, ἥτις οὐδὲν κατώρθωσεν ἕτερον, εἰ μὴ τὸ πολλαπλασιάσαι πολλαχοῦ τὰς τῶν γραφικῶν λέξεων σημασίας, ὥστε τὰς ἐπαγομένας ἐξηγήσεις ἀντιφάσκειν πρὸς ἀλλήλας, καὶ ἀνατρέπεσθαι ὑπ᾽ ἀλλήλων (β). Ἀλλ᾽ ὅμως οἱ Ο οὗτοι διέκρινον, καὶ ἀνεγίνωσκον, καὶ κατενόουν καὶ ἀστίκτους καὶ συνωρμαθισμένας τὰς λέξεις τοῦ θείου κειμένου οὐχ ἧττον ἐλευθέρως καὶ ἀπταίστως, παρ᾽ ὅσον καὶ οἱ τότε συγχρονοῦντες Ἀλεξανδρινοὶ καὶ ἄλλοι Ἕλληνες τὰς ὑφ᾽ ἓν συνημμένας καὶ ἀτονίστους ἑλληνίδας φωνάς, οἵας αὐτὰς βλέπομεν γεγραμμένας ἐν οἷς εἴπομεν παλαιοῖς χειρογράφοις. Καὶ αὐτῶν δὲ τῶν καθ᾽ ἡμᾶς Ἀσιανῶν ἐθνῶν οἱ μάλιστα πεπαιδευμένοι συνήθως ἀστίκτους ἀναγινώσκουσι τὰς γραφὰς τῶν ἰδίων αὐτῶν γλωσσῶν. Ἀλλὰ καὶ αὐτοὶ οἱ Ἰουδαῖοι δίχως στιγμῶν μεταχειρίζονται πολλάκις ἄλλα τε τῶν παρ᾽ αὐτοῖς βιβλίων, καὶ αὐτὰς τὰς θείας Γραφάς· πλὴν μόνον, ὅτι τὴν ἀρχαίαν καὶ γνησίαν τῆς ἱερᾶς γλώσσης τῶν Γραφῶν προφοράν, καὶ αὐτὴν ἐν πολλοῖς τὴν ὀρθὴν τῶν

---

(α) Toepler, De Pentateuchi interpret. Alexandr. pag. 6.

(β) Voss. de Sibyl. Orac. c. XIV.

στοιχείων γραφὴν ἀπώλεσαν ἔκπαλαι· προφέρουσι δὲ καὶ γράφουσι τὰς λέξεις, ὡς διώρισαν οἱ πρῶτοι τὰς φωνητικὰς στιγμὰς κακοὶ κακῶς καταπήξαντες Μασορῖται, μηδ᾽ οὗτοι γινώσκοντες τὴν γνησίαν τῶν φωνῶν ἀπαγγελίαν. Ἔτι κατὰ τοὺς Ἱερωνύμου χρόνους (τρεῖς αἰῶνας πρὸ τῆς Μασόρας) ἄστατος ὑπῆρχε καὶ διάφορος ἡ τῶν λέξεων προφορὰ περὶ τὴν ἀνάγνωσιν τῶν ἑβραίων Γραφῶν. « Καὶ γάρ (φησιν) ἐν τῷ μέσῳ τῶν λέξεων σπανιώτατα φωνήεσι χρῶνται οἱ Ἰουδαῖοι· διὸ καὶ πρὸς *τὴν βούλησιν τῶν ἀναγνωστῶν*, καὶ τὴν διαφορὰν τῶν χωρῶν, αἱ λέξεις αἱ αὐταὶ κατὰ διαφόρους φθόγγους καὶ τόνους ἐκφέρονται (α). Ὅθεν καὶ πάντες οἱ σοφοὶ καὶ δίκαιοι τῶν πραγμάτων δικασταὶ πολλὴν ὁμολογοῦσι μεταξὺ τῶν ἀρχαίων καὶ τῶν νεωτέρων Ἑβραίων τὴν διαφορὰν περὶ τὴν ἀνάγνωσιν τῆς ἱερᾶς γλώσσης τῶν Γραφῶν (β). Καὶ πολὺ δὲ πρότερον Ἱερωνύμου, ἔτι κατ᾽ αὐτοὺς τοὺς Ἀκύλα χρόνους, ποικίλη τις ὑπῆρχεν ἡ ἀνάγνωσις τῶν Γραφικῶν φωνῶν, καθὼς ἀποδεικνύουσιν αἱ διάφοροι μιᾶς τινος καὶ τῆς αὐτῆς λέξεως ἐξηγήσεις, ἄλλως μὲν παρὰ τοῖς Ο, διαφόρως δὲ παρ᾽ Ἀκύλᾳ καὶ Συμμάχῳ ἀναγνωσθείσης (γ). Πόσον δὲ ῥοώδης καὶ εὐμετάπτωτος ἀπὸ σημα-

---

(α) « Ultrum S a l e m aut Salim nominetur: cum vocabibus in medio litteris perraro utantur Hebraei, et pro voluntate lectorum ac varietate regionum eadem verba diversis sonis atque accentibus proferantur ». S. Hieronym. Epistol. ad Evangelum.

(β) Montfaucon Praeliminar. in Hexapl. Origen. Tom. 1. pag. 27. Ἴτω νῦν ὁ Φράγκελος καὶ διοριζέτω ἐκ τῆς ἑαυτοῦ Μιδράσχης καὶ τῆς Χαγαδᾶς τὴν ἐπὶ τῶν Ο, προφορὰν τῆς ἑβραΐδος γλώσσης, καὶ μάλιστα καθ᾽ ἃς ἀνέπλασεν Ἀλεξανδρινὰς καὶ Παλαιστινὰς διαλέκτους αὐτῆς (βλ. ὄπισθ. σελ. 622).

(γ) Ἓν φέρομεν παράδειγμα, καὶ τοῦτο ὑπὸ τοῦ Ἱερωνύμου κεκυρωμένον. Ἐν Ἱερεμ. γ. 1, οἱ Ο ἔχουσι « π ο ι μ έ σ ι ν ». Ἄλλοι δὲ (Ἀκύλας καὶ Σύμμαχος) ἑ τ α ί ρ ο ι ς, ἢ φ ί λ ο ι ς, ἢ ἐ ρ α σ τ α ῖ ς (ὡς ἑρμηνεύουσιν οἱ νεώτεροι καὶ νῦν). Ἡ δὲ διαφορά, διὰ τὴν διάφορον τῆς αὐτῆς λέξεως ἐκφώνησιν, Ῥ ο ϊ μ (ποιμένες) καὶ Ῥ ε ϊ μ (ἐρασταὶ κτλ.). Verbum enim REIM, quod quatuor litteris scribitur (Res, Ain, Jod, Mem) et amatores et pastores utrunque significat. Et si legamus REIM, amatores significat: si ROIM, pastores ». S. Hieron. Com. in Jerem. l. c. Ὁ δὲ Μοντεφαλκώνιος ἐπὶ τῆς προκειμένης λέξεως ἐσημείωσε ταῦτα. « Manuscriptus noster antiquissimus bis habet Rehim et

σίας εἰς σημασίαν ὑπάρχει ἡ τῶν Ἑβραΐδων μάλιστα φωνῶν τοιάδε τις, ἢ τοιάδε, καὶ σμικρῷ διαφέρουσα προφορὰ, δεικνύουσι καὶ νῦν οἱ μάλιστα φιλοκαινοτόμοι τῶν κριτικῶν· ἢ οὐκ εἴδομεν ἐν τοῖς προηγηθεῖσι τὸν Μιχαῆλον διὰ μικρᾶς μεταβολῆς τῶν φωνητικῶν στιγμῶν μεταποιήσαντα τὸ «*ἅλιμα πλησίον*» εἰς «*πλάκας πετρίνας*»; καὶ ἄλλον πάλιν «*τὸ φιλεῖτε τὸν υἱὸν*», εἰς τὸ «*παρασκευάζετε τὸν ἐξ ἀρνίων φόρον*»;(σελ.771, 776), καὶ ἄλλους ἄλλα τοιαῦτα θαυματοποιοῦντας, καθ᾽ ὅλην τὴν ἀκρίβειαν τῶν κανόνων τῆς γραμματικῆς; Οὕτως ἀληθεύει καὶ καθ᾽ ὅλας μὲν τὰς ἄλλας, μάλιστα δὲ περὶ τὴν πρὸ πολλῶν αἰώνων τεθνηκυῖαν καὶ σεσιγημένην ἑβραϊκὴν διάλεκτον τὸ, « γράμμα διδάσκει, καὶ γράμμα βλάπτει »! (α). Οἱ δὲ Ο ἀνεγίνωσκον καὶ μεθηρμήνευον τὴν γλῶσσαν τῶν Γραφῶν, καθ᾽ ὃν χρόνον ἤκμαζεν εἰσέτι ἡ παράδοσις τῆς τε γνησίας αὐτῆς προφορᾶς, καὶ τῆς δυνάμεως καὶ χρήσεως τῶν φωνῶν. Οἱ Ο ἔζων ἐπὶ ἀρχιερέως Ἐλεαζάρου, ἕκτου τὸν ἀριθμὸν μετὰ τὸν ἐπὶ τοῦ Ἔσδρα ἀρχιερατεύσαντα Ἐλιασούβ. Καὶ διδασκάλους ἔσχον γραμματεῖς καὶ ἱερεῖς μόλις δισεγγόνους ἐκείνων τῶν ἱερέων καὶ Λευϊτῶν, οἵτινες ἐπ᾽ αὐτοῦ τοῦ Ἔσδρα καὶ συνάμα μετ᾽ αὐτοῦ « ἀνεγίνωσκον τὸν νόμον, καὶ (διὰ τῆς ἐξηγήσεως) ἐσυνέτιζον τὸν λαόν » (Νεεμ. η, 5-9: θ, 3). Ὥστε καὶ τὴν γραφὴν καὶ τὴν ἀπαγγελίαν καὶ τὴν ἔννοιαν τῶν γραφικῶν λέξεων ἠπίσταντο μετὰ ἀκριβείας, ζῶσαν ἔτι καὶ θάλλουσαν διαδεξάμενοι τὴν προφορικὴν τῆς γλώσσης παράδοσιν. Καὶ λοιπὸν τὰ παρὰ τῶν κριτικῶν προβαλλόμενα παραδείγματα πρὸς ἀπόδειξιν τῆς δῆθεν διαφθορᾶς τῶν παρὰ τοῖς Ο κωδήκων, πᾶν τοὐναντίον, ἐξελέγχουσι τὴν περὶ τὴν ἀνάγνωσιν τῶν Γραφῶν διεφθαρμένην τῶν μεταγενεστέρων Ἰουδαίων προφορὰν, καθ᾽ ἣν ἐγράφη καὶ ἐτονίσθη ὁ παρ᾽ αὐτοῖς συνήθης κῶδηξ τῆς ἑβραϊκῆς Γραφῆς.

---

semel Rohim, (ὡς ἀνέγνωσαν οἱ Ο). Sed infra Hierem. c. 6. v. 2. idem codex habet Reim et Roim. Verisimile est Aquilam et Symmachum vertisse ἐραστὰς, vel ἑταίρους, vel φίλους. Montfauc. in Hexapl. Tom. 2. p. 197. — (α) « Littera docet, littera nocet ».

§. ε. Β) Δευτέραν αἰτίαν τῆς πρὸς τὸ Ἑβραϊκὸν διαφορᾶς τῶν Ο θεωροῦσιν οἱ κριτικοὶ τούτους αὐτοὺς τοὺς ἑρμηνευτὰς, ἀνακρίνοντες κατὰ διαφόρους τρόπους, οὓς καὶ καταγράφομεν ἑξῆς.

α) Λέγουσιν· εἴτε διὰ πλάνην καὶ ῥεμβασμὸν τοῦ νοῦ, εἴτε καὶ δι' ἄγνοιαν ἢ τῆς ἀναγνώσεως, ἢ τῆς σημασίας πολλῶν τινων ἑβραϊκῶν φωνῶν, περιέπεσαν εἰς οὐκ ὀλίγας παρερμηνείας. Ἐξελέγχονται δ' ἐνίοτε καὶ περὶ τὴν ἐτυμολογίαν, καὶ τοὺς γραμματικοὺς τῆς γλώσσης κανόνας ἀδαεῖς. Δείγματα δὲ τῆς περὶ τὴν γλῶσσαν παχείας αὐτῶν ἀδαημοσύνης ἐπιφέρουσιν οἱ κριτικοὶ ταῦτα. 1) Ὅτι τὰ προσηγορικὰ ἐκλαμβάνουσιν ὡς κύρια ὀνόματα· οἷον «τῶν *Φερεζαίων*» ἀντὶ τῶν *κωμητῶν* (α). « Ὁ υἱὸς *Μασὲκ* τῆς οἰκογενοῦς μου » (Γενέσ. ιε, 2), ἀντὶ τοῦ *ἐπιτρόπου* (β). « Ἐν πόλεσι τῆς *Σεφηλᾶ* », ἀντὶ τῆς *πεδινῆς* (γ). « Ἦλθεν εἰς *Σαλὴμ* »

---

(α) Βλέπε τὰ περὶ τούτου ὄπισθ. σελ. 750.

(β) Τὸ Μασὲκ (ἑβρ. Meschec) διαφόρως ἡρμήνευσαν. Ὁ Ἀκύλας, « υἱὸς τοῦ ποτίζοντος οἰκίαν μου ». Ὁ Θεοδοτίων, « τοῦ ἐπὶ τῆς οἰκίας μου » Ἄλλος, « Συγγενὴς τοῦ οἴκου μου » (Ἑξαπλ.). Ὁ Ἱερώνυμος, τοῦ ἐπιτρόπου ἢ φροντιστοῦ μου, procuratoris mei (Quaest. Hebr. in Genes.). Τῶν δὲ νεωτέρων, οἱ μὲν, υἱὸς dispensationis (τοῦ ἐπὶ τῆς δαπάνης)· οἱ δὲ, gubernator iste (ὁ κυβερνήτης οὗτος). Ἄλλος, τῆς κτήσεως τοῦ οἴκου μου. Ἄλλος, τοῦ διαδρομέως μου (ἐτυμολογοῦντες παρὰ Sakak τὸ διατρέχειν) δηλαδὴ τοῦ φροντιστοῦ μου· (Ἄπορον, πῶς οὐ προσέθηκε καὶ τοῦ διακόνου μου, παρὰ τὸ κονεῖν καὶ ἐγκονεῖν, ὡς οἱ δρομικοὶ καὶ ὀτρηροὶ θεράποντες!)· ἢ (προστίθησι) τοῦ κοσμήτορος (κατὰ τὸ Ἀραβικὸν messek, τὸ κτενίζειν, στιλβοῦν, καὶ μεταφορικ. ἐπιμελῶς φροντίζειν. Βλ. Criticos Sacros. - Rosenmüll. Sch. in Genes. - Toepler, l. c. p. 49). Τοσαῦτα ἄναντα, κάταντα, πάραντα, δόχμια τ' ἦλθεν ἡ φιλόκαινος σοφία τῶν μὴ στεργόντων εἰς τὴν παρὰ τοῖς Ο, ἁπλῆν καὶ μόνην ἀληθινὴν (ὁποίαν καὶ αὐτὴ τῶν ἀντιλεγόντων ἡ διαφωνία μαρτυρεῖ) τοῦ κυρίου ὀνόματος ἐκδοχήν. Οἱ δὲ περὶ τὸν Τοίπλερον εἰσήγαγον καὶ τὸ Μασὲκ ὡς ἀπόδειξιν τῆς παρὰ τοῖς Ο ψευδοῦς τῶν προσηγορικῶν ἀντὶ κυρίων ἐκδοχῆς. Ἀλλ' αὐτοὶ σφάλλονται μᾶλλον, τρέποντες τὰ κύρια εἰς προσηγορικά.

(γ) Τὸ σεφηλὰ οὐχ ὡς κύριον ἐξέλαβον, ἀλλ' ὡς συνήθη παρὰ τοῖς ἑλληνισταῖς λέξιν. Δεῖξις δὲ σαφὴς, ὅτι παρευθὺς ἐν τῷ αὐτῷ ἐδαφίῳ συνῆψαν καὶ ἄλλην λέξιν συνήθη παρὰ τοῖς ἑλληνισταῖς « ἐν πόλεσι τῆς ναγὲβ » ἀντὶ νοτίαις (πρὸς νότον).

ἀντὶ «ὑγιὴς» (ἑβρ. Salem) (α)· καὶ τἀνάπαλιν, τὰ κύρια ὡς προσηγορικά· οἷον, «λατρεύειν *ἄρχοντι*», ἀντὶ τῷ *Μολόχ* (β). «Ἔθνη ἰσχυρὰ, ἀντὶ Ζουζαίους (βλ. ὄπισθ. σελ. 729) κτλ. - 2) Ὅτι περί τινας λέξεις σαφεῖς ἀποδίδουσιν ἄλλην, καὶ τὴν ἐναντίαν μάλιστα σημασίαν· οἷον ὅταν γράφωσι «*τὸν οἶνόν μου*» ἀντὶ τὸ «*ὕδωρ μου*»· καὶ, «*ὄρος*» ἀντὶ *φάραγξ*, κτλ. (γ). 3) Ἑρμηνεύουσιν ὀνόματα διὰ ῥημάτων· οἷον, «*κατάρτισαι αὐτὴν*» (ψαλμ. οθ, 15) ἀντὶ «*φυτὸν*» (δ). 4) Συγχέουσι λέξεις ἑβραϊκὰς ὁμοιοφώνους καὶ ὁμοήχους (οἷον τὰ ob καὶ ab), ὡς ὅταν γράφωσι «*θελητὴν*» ἀντὶ μάντιν ἐγγαστρίμυθον (ε). Τοιαῦτα καὶ τὰ «εἰς Σιὼν», ἀντὶ (Zion) «πέτρας ἀποτόμου» (ζ). «Ὁ *πλάσας* πνοὴν, ἀντὶ *φυλάττων* (η). «*Ἀπετρύγησαν*», ἀντὶ «ἐτρύπησαν» (θ) κτλ. 5) Καταλείπουσιν ἀνερμηνεύτους τὰς μὴ πάνυ συνήθεις καὶ εὐχρήστους φωνάς· οἷον «ἐν φυτῷ *Σαβέκ*» (Γενέσ. κβ), «*Βεδὲκ*» (Δ, Βασ. ιβ, 5) «*Θεραφὶν*» (Α. Βασιλ. ιε, 23), «*Ἀπφὼ*» (Δ. Βασιλ. η), καὶ ἄλλα. 6) Ἀμελοῦσι τῆς ἐτυμολογίας, ἢ τῆς γνησίας σημασίας τῶν φωνῶν, ὡς ὅτε λέγουσιν *ἐπιτηδεύματα*, ἀντὶ βδελύγματα (ι) κτλ. 7) Παρερμηνεύουσι τὰ δυσχερέστερα χωρία· οἷον, «ἐπὶ τὸ ἄκρον τῆς *ῥάβδου*» ἀντὶ

---

(α) Γεν. λγ. 18. Ἀλλ' ὅτι ὑπῆρχε καὶ Σαλὴμ πόλις Σηκίμων ἔδειξεν ὁ Δρούσιος (Not. Major. ad Genes. h. l.). Σαλὴμ ἔχει καὶ ὁ Σύρος· ὁ δὲ Τοίπλερος (σελ. 50) πλανᾶται. Μέμνηται (αὐτόθ.) καὶ τοῦ Οὐλαμλούζ. περὶ οὗ βλ. ὄπισθ. σελ. 667.

(β) Βλ. ὄπισθ. σελ. 745. — (γ) Βλ. ὄπισθ. σελ. 663.

(δ) «Κατάρτισαι» ἔχει καὶ ἡ Βουλγάτα (perfice)· τὴν ὀρθὴν τῶν Ο (ἑρμηνείαν ἀπαιτεῖ καὶ τὸ νόημα· ὁμολογεῖ καὶ ὁ Gesenius, Lerhg. der hebr. Spr. pag. 355).

(ε) Βλ. ὄπισθ. σελ. 764 — (ζ) Ὄπισθ. σελ. 618. — (η) Ὄπισθ. σελ. 779.

(θ) Ὄπισθ. σελ. 789. Τοιαῦτα καὶ ἄλλα προστίθησιν Ὀττιγγῆρος (Thes. p. 366). οἷον τὸ Δ α β ε ὶ ρ (Γ. Βασιλ. ς, 5, 19), τὸ Θ ε ὲ (Ἰεζεκ. μ.) κτλ. Ἀλλὰ πόθεν ἔμαθεν ὁ σοφὸς ἀνὴρ, ὅτι αἱ τοιαῦται λέξεις ἐπὶ τῶν Ο, ἦσαν παρὰ τοῖς ἑλληνισταῖς (καθὼς λέγει) ἀσυνηθέστεραι, ἢ ἀχρηστότεραι; insolentiores, aut inusitatiores! Ἀλλ' ὡς ἔοικεν, ἦσαν ἀναγκαῖα καὶ ταῦτα τὰ ἐπίθετα πρὸς ἀπόδειξιν, ὅτι Ο νομομαθεῖς ἑβραῖοι, τρεῖς αἰῶνας ὅλους πρὸ τῆς Χριστοῦ γεννήσεως, οὐκ ἠπίσταντο τὰς λέξεις τῶν πατρῴων αὐτοῖς Γραφῶν, ὅσον αὐτὰς ἐξηκρίβωσαν μετὰ 19 καὶ 20 αἰῶνας οἱ Δόκτορες Ὀττιγγῆροι καὶ ἄλλοι νεώτεροι κριτικοί!

(ι) Βλ. ὄπισθ. σελ. 788.

«*τῆς κλίνης*» (α). «*Θύραν*», ἀντὶ «*μάρτυρα*» (6). Ἐκ τούτων καὶ ἄλλων πολλῶν τοιούτων βλέπεις, ἀναγνῶστα, τὴν κατὰ τοὺς κριτικοὺς βαθεῖαν ἀμάθειαν τῶν Ο. Ἐφεξῆς δὲ μαθήσῃ καὶ μεθ' οἵας κακοτεχνίας ἀνακεκραμένην εἶχον ἐκεῖνοι τὴν ἔμφυτον ταύτην περὶ τοὺς λόγους ἀπαιδευσίαν.

β) Ἐπίσημος (λέγουσίν) ἐστιν ἡ σπουδὴ τῶν ἑρμηνευτῶν τοῦ κειμένου (δηλονότι τῶν Ο), ἤ τινων ἑτέρων συναρμοστῶν καὶ διορθωτῶν, μεθ' ἧς πολλὰ χωρία τοῦ ἑβραϊκοῦ συνεξισοῦσι πρὸς ἄλληλα, καὶ ὁμοιόμορφα ἀποτελοῦσιν· ὅπου γὰρ ἂν εὕρωσί τινα συντομώτερον, ἢ κατ' ἔλλειψιν ἐκφερόμενα, ἀναπληροῦσιν ἐξ ἄλλων παραλλήλων τὰς φαινομένας ἐλλείψεις, προστιθέντες αὐτοί (γ). Καὶ οὐ τοῦτο μόνον (περὶ οὗ λέγομεν παρακατιόντες), ἀλλὰ 2) καὶ τὴν θέσιν καὶ τάξιν τῶν ῥημάτων μεταβάλλουσι· καὶ 3) τὸν σχηματισμὸν τῆς φράσεως· καὶ 4) ἄλλ' ἀντ' ἄλλων διορθοῦσι καὶ μεταλλάσσουσι, πρὸς τὰ συνῳδὰ καὶ σύμμορφα τὰ πάντα ποιεῖν.

---

(α) Βλ. ὄπισθ. σελ. 680.

(6) Ἐξόδ. κ6. 13. «Ἐὰν δὲ θηριάλωτον γένηται» (τὸ πρόβατον ἢ τὸ κτῆνος· τότε ὁ λαβὼν αὐτὸ φυλάξαι), «ἄξει αὐτὸν» (τὸν κύριον τοῦ θηριοβρώτου) «ἐπὶ τὴν θήραν» (ἐπ' αὐτὸ τὸ κείμενον θηριόβρωτον θήραμα) «καὶ οὐκ ἀποτίσει» (τὴν τιμὴν αὐτοῦ). Τὸ δ' ἑβραϊκὸν πῶς ἑρμηνεύουσι; «Ἐὰν σπαραχθὲν σπαραχθῇ» (lacerando laceratum fuerit, τὸ ζῶον), «προσαγαγέτω μάρτυρα· τὸ σπαραχθὲν οὐκ ἀποτίσει». Καὶ φαίνεται ἄρα, ὅτι οἱ Ο, μετὰ τὸ ad (πρὸς, εἰς) ἀνέγνωσαν καὶ Zaid (θήρα)· τούτου δ' ἐκπεσόντος ἐκ τοῦ κειμένου, τρέπουσι τὸ ad εἰς ed (μάρτυς), καὶ διαστρέφουσι τὴν παρὰ τοῖς Ο διαύγειαν τοῦ νοήματος εἰς θολερὰν ἀνατροπήν. (Ἐν δὲ τῇ Βουλγάτᾳ συμβέβηκεν ἄλλο τι· τὸ θήραν ὁ λατῖνος ἑρμηνεὺς ἢ παραγεγραμμένον εὑρὼν, ἢ αὐτὸς παραναγνοὺς, ἐξέλαβεν ὡς θύραν, ὅθεν μεταφράζει ad ostium, ἕως εἰς τὴν θύραν· τὸ αὐτὸ σύμπτωμα, ὡς καὶ τὸ κατὰ τὴν θήραν καὶ χήραν. (βλ. ὄπισθ. σελ. 250). Τῶν δ' οὖν Ο, τὴν ἑρμηνείαν ἀποδέχονται καὶ τῶν κριτικῶν οὐκ ἄσημοι (Cartwright. Annot. ad Exod. h. l. - Schleusn. Thes. v. θήρα). Ὁ δὲ Τοίπλερος καὶ ἐκ τούτου καὶ ἐξ ἄλλων τοιούτων οὐκ ὀλίγων ἐκόσμησε τὰς ἑαυτοῦ σελίδας, ἀποδεικνὺς τῶν Ο τὴν ἀμάθειαν!

(γ) Toepler, l. c. p. 8—16 καὶ Frankel, l. c. pag· 77. Ὅστις ὅμως ἅπαντα τὰ ἐφεξῆς ἀριθμούμενα ἀνωτέρω ἀποδίδωσιν οὐκ εἰς τοὺς ἑρμηνεῖς, ἀλλ' εἰς διορθωτὰς, ἢ διασκευαστὰς τῆς ἑρμηνείας· βλ. ἐν τοῖς ἐφεξῆς τοῦ κεφαλαίου ὅ,τι λέγει.

(Καὶ τοῦτο τὸ ἰδίωμα παρατηρεῖται καὶ εἰς τὸ Σαμαρειτανὸν κείμενον). Οἷον· 1) τὸ Γενέσ. α, 6, « *Καὶ ἐγένετο οὕτω* », μετέφερον ἀπὸ τοῦ 7, καὶ εἰς τὸ 6, ἐδάφιον (ὅπου λείπει ἐκ τοῦ ἑβραϊκοῦ), διότι παρετήρησαν τὸ κόμμα κείμενον καὶ ἐν τοῖς 9, 11, 15, 24, ἐδαφίοις, εὐθὺς μετὰ τοὺς λόγους τοῦ Θεοῦ. 2) Γενέσ. β, 4. Τὸ Ἑβρ. ἔχει « *τὴν γῆν καὶ τὸν οὐρανόν* ». Οἱ δὲ Ο (καὶ τὸ Σαμαρειτανὸν) « *τὸν οὐρανὸν καὶ τὴν γῆν* ». διότι ταύτην παρετήρησαν τὴν ἀκολουθίαν τῶν ῥημάτων ἐπικρατοῦσαν καὶ ἐν ἄλλοις ἐδαφίοις (α, 1: β, 1: ιδ, 19 κτλ.). Ἐν Λευϊτ. κ, 19: κα, 2. Τὸ Ἑβρ. ἔχει « τῆς μητρός σου καὶ τοῦ πατρός σου »· οἱ δὲ Ο, « τοῦ πατρός σου καὶ τῆς μητρός σου », καὶ πανταχοῦ πρῶτα γράφουσι τὸν πατέρα· διότι τοῦτο παρετήρησαν καὶ ἀλλαχοῦ (Λευϊτ. κ. 9: Ἐξόδ. κ, 12: κα, 15 κτλ.). Ἐν Ἀριθμ. λβ, 25, 29, 31 προτάσσουσι τὸν Ῥουβὴμ πρὸ τοῦ Γάδ, ὡς πρωτότοκον· διότι τοῦτο παρετήρησαν πρότερον ἐν τῷ Ἑβραϊκῷ (αὐτόθ. §. 1). Τοιαῦτα καὶ ἄλλα πολλά. 3) Ἀλλαχοῦ δὲ πάλιν μετασχηματίζουσι τὸν λόγον. Οὕτω (Γενέσ. η, 17) τοὺς εἰς τὰ κτήνη ἀναφερομένους λόγους τοῦ Θεοῦ μετὰ τὴν τοῦ Νῶε ἔξοδον ἀπὸ τῆς κιβωτοῦ, « ἵνα πολλαπλασιάζωνται, καὶ αὐξάνωσι, καὶ πληθύνωνται » (ὡς ἔχει τὸ Ἑβρ.), οἱ Ο μετέβαλον εἰς δεύτερον πρόσωπον (ὡς ἂν εἰ ἐλέγοντο πρὸς τὸν Νῶε καὶ τοὺς υἱοὺς αὐτοῦ) « *αὐξάνεσθε καὶ πληθύνεσθε* » (ὡς καὶ θ, 1, 7: α, 28). Τὸ καθ' Ἑβραίους « ἕως ἐπαύσατο αὐτὸν ποτίζουσα » (κδ, 19) μετέβαλον εἰς τὸ « ἕως (αὐτὸς) ἐπαύσατο πίνων » (πρβλ. Γενέσ. λθ, 14, καὶ 7, 12). 4) Ποιοῦσι λέξεων ἀνθυπαλλαγήν. Οὕτως ἐν Γενέσ. ζ, 11 καὶ η, 14 (κατὰ τὸ Ἑβρ.) ὁ ΙΖ ἀριθμὸς τῶν ἡμερῶν φαίνεται ἀντιλέγων πρὸς τὸν ἐν κεφ. η, 14 γραφόμενον ΚΖ. Ἔγραψαν λοιπὸν οἱ Ο κἀκεῖ ΚΖ, θεραπεύοντες τὴν δυσχέρειαν, ἵνα γένηται ἰσότης. Ἐν Γενέσ. θ, 7, τὸ « αὐξάνεσθε ἐπὶ τῆς γῆς, καὶ πληθύνεσθε ἐπ' αὐτῆς » (κατὰ τὸ Ἑβρ.), μετηλλάγη εἰς τὸ « πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς » (κατὰ τὸ κεφ. α, 28). Τὸ Γενέσ. μϛ, 13 κύριον ὄνομα Ἰώβ, οἵ τε Ο καὶ τὸ Σαμαρειτανὸν μετέβαλον εἰς τὸ Ἰα-

σούϐ. Διότι οὕτω κεῖται καὶ ἀλλαχοῦ ἐν τῷ ἑϐραϊκῷ (Ἀριθμ. κϛ', 24: Α. Παραλ. ζ. 1) (α). Τοιαῦται παρὰ τοῖς Ο ἀνθυπαλλαγαὶ ἀριθμοῦνται καὶ ἄλλαι ὑπὲρ τὰς 30.

γ) Τὸ δὲ μέγιστον καὶ κράτιστον τῆς διαφορᾶς ἀποτελεῖ ὁ μέγας ἀριθμὸς τῶν χωρίων ἐκείνων, ὅσα διεσκευάσθησαν, οὐ μόνον λέξεων καὶ γνωμῶν, ἀλλὰ καὶ περιόδων ὅλων προστεθεισῶν, ἵνα πρὸς ἄλλα παράλληλα συμφωνήσωσι καὶ ἐξισωθῶσιν. Οἷον, ἐν Γενέσ. α, §. 8, παρενέδυσαν τὸ «Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλὸν», συναδόντως πρὸς τὰ §. 4, 10, 12, 18. Εἰς δὲ τὸ 9 ἐδάφιον προσέθηκαν τὸ «Καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτοῦ, καὶ ὤφθη ἡ ξηρά». Ὁ γὰρ θεῖος τοῦ κεφαλαίου τούτου συγγραφεὺς εἴωθεν, ἐπειδὰν δηλώσῃ καθ' ἕκαστον τῶν δημιουργικῶν κελευσμάτων τοῦ Θεοῦ, διὰ τῶν αὐτῶν ῥημάτων πάλιν διηγεῖσθαι καὶ τὴν ἐκπλήρωσιν τοῦ κελεύσματος (ὡς §. 3, 6, 11, 14). Ὅπου λοιπὸν ἐν τῷ ἑϐραϊκῷ ἡ τοιαύτη διήγησις σεσιώπηται, προσετέθη ὑπὸ τῶν Ο, ἢ τῶν διασκευαστῶν. Οὕτως ἐν τῷ αὐτῷ κεφαλαίῳ εἰς μὲν τὸ 11 ἐδάφιον προσετέθη τὸ «*κατὰ γένος καὶ καθ' ὁμοιότητα*» ἐκ τοῦ 12 ἐδαφίου· εἰς τοῦτο δὲ πάλιν, τὸ «*κάρπιμον*» καὶ τὸ «*ἐπὶ τῆς γῆς*» ἐκ τοῦ 11. Οὕτως (ἵνα παραλίπωμεν ἄλλα) καὶ αὐτὸς ὁ δεύτερος Καϊνᾶν προσετέθη (Κεφ. ι, 23, 24 κώδ. Ἀλεξ.), ἵνα καὶ οἱ πρόγονοι τοῦ Ἀϐραάμ, ἐννέα ὄντες τὸν ἀριθμόν, ἐξισωθῶσι πρὸς τοὺς δέκα προγόνους τοῦ Νῶε. Τοιαῦται προσθῆκαι καθ' ὅλην τὴν Πεντάτευχον ἀπαντῶνται πλῆθος πολύ, πρὸς ἐξίσωσιν τῶν παραλλήλων χωρίων ἐφευρεθεῖσαι (ϐ).

δ) Ἔστι καὶ ἕτερον εἶδος προθηκῶν, σαφηνείας χάριν ὑπ' αὐτῶν

---

(α) Οἱ κριτικοὶ σχολιασταὶ τοῦ ἑϐρ. λέγουσιν ὅτι τὸ Ἰώϐ ἐγράφη ἀραϐικώτερον (βλ. Rosenmüller, Schleusner, etc.). Ἀλλὰ τίνος χάριν ὁ θεῖος Μωϋσῆς ἔγραφε τὸ ὄνομα νῦν μὲν ἀραϐίζων, νῦν δὲ κυριώτερον ἑϐραΐζων; Τί μὴ μᾶλλον ὁμολογοῦσιν οἱ ἄνδρες, ὅτι καὶ ἐν Γενέσ. μη, ἔγραψεν Ἰασοὺϐ (ὡς ἔχει καὶ τὸ Σαμαρειτικόν, καὶ οἱ Ο), ἡ δὲ τῶν Ἑϐραίων ἀντιγραφέων ἀϐλεψία συνέτριψεν ἐνταῦθα τὴν τοῦ ὀνόματος γραφήν, ἥτις ἐτηρήθη ἐν Ἀριθμοῖς, καὶ τῇ Α, τῶν Παραλειπομένων;

(ϐ) Βλ. τὰς λεγομένας προσθήκας ταύτας παρὰ τῷ Toepler, l. c. p. 11—16.

τῶν ἑρμηνέων ἐπιτηδευθέν. Καὶ εἰς τοῦτο ἀνήκουσιν ἡ τῶν κυρίων ὀνομάτων ἐπανάληψις, καὶ ὅπου μάλιστα σαφής ἐστιν ὁ λόγος, καὶ πάσης ἀνεπίδεκτος ἀμφιβολίας. Οὕτως ἐν Γενέσ. α, 7, τὸ « ὁ Θεὸς » ἐπαναλαμβάνεται δὶς ἐν τῷ αὐτῷ ἐδαφίῳ· τοιοῦτο καὶ τὸ Ἀδὰμ, Ἀδὰμ (γ, 9), τὸ Νῶε (ζ, 9) κτλ. 2) Ἡ παραφραστικὴ τῶν ἑβραϊκῶν φωνῶν ἐξήγησις, καθ᾽ ἣν καὶ λέξεις συσσωρεύονται συνώνυμοι καὶ ἰσοδύναμοι, ἢ καὶ τὴν σημασίαν ἐξαίρουσαι ἐπὶ μεῖζον· οἷον, Γεν. γ. 14. ἐπὶ τῷ στήθει σου, *καὶ τῇ κοιλίᾳ* (τοῦτο τὸ β, οὐ κεῖται ἐν τῷ ἑβραϊκῷ). Γεν. ιε, 11. « ἐπὶ τὰ διχοτομήματα αὐτῶν » (οὐδὲ τοῦτο κεῖται), καὶ ἄλλα τοιαῦτα. Καί τοι τῶν τοιούτων τὰ πλεῖστα φαίνονται μὴ ὑπ᾽ αὐτῶν τῶν ἑρμηνευτῶν προστεθέντα, ἀλλ᾽ ἐκ τῆς ᾤας τοῦ χειρογράφου (ὅπου πρότερον σεσημείωντο) μεταταχθέντα εἰς τὸ κείμενον ὑπ᾽ ἀντιγραφέων ἀμαθῶν. Τοιοῦτο φαίνεται καὶ τὸ « *κατὰ τὸν ἱππόδρομον Χαβραθὰ τῆς γῆς* » (Γενέσ. μη, 7)· ὅπου τὸ *ἱππόδρομος*, ὡς ἑρμηνεία τοῦ Χαβραθὰ, σημειωθὲν εἰς τὸ περισέλιδον (ἴσως ἐκ τοῦ Θεοδοτίωνος, οὕτως ἑρμηνεύσαντος τὸ Χαβραθὰ), παρεισέφρησεν ὕστερον καὶ εἰς τὸ κείμενον (α). Τοιαῦτα καὶ ἄλλα γλωσσηματικὰ παρεισέδυσαν. Ὅθεν εὑρίσκονται πολλάκις ἑνὸς καὶ τοῦ αὐτοῦ κόμματος, ἢ καὶ παραγράφου, δύω διαφόρων ἑρμηνευτῶν ἑρμηνεῖαι, συνάμα συντεθειμέναι· οἷον καὶ τὸ ἐν Δευτερον. 23. « Οὐκ ἔσται τελεσφόρος ἀπὸ θυγατέρων Ἰσραὴλ » κτλ. (β). ἀλλὰ περὶ τῶν γλωσσημάτων τούτων λέγομεν καὶ ἐν τοῖς ἐφεξῆς τοῦ κεφαλαίου. 3) Ἄλλα δὲ, τέλος, προσετέθησαν ὡς ἐλλείψεων ἀναπληρωτικὰ, σαφηνίζοντα τὴν ἔννοιαν· οἷον, ἐν Γεν. β, 24, τὸ ἑβραϊκ. « Καὶ ἔσονται σὰρξ μία » οἱ Ο ἀνεπλήρωσαν « Καὶ ἔσονται οἱ δύω *εἰς σάρκα μίαν* » (οὕτως ἔχει καὶ τὸ Σαμαριτικόν.). Τοιοῦτο καὶ τὸ Γενέσ. δ, 8 « Διέλθωμεν εἰς τὸ πεδίον » (οἱ Ο καὶ τὸ Σαμαρειτ.), καὶ ἄλλα τοιαῦτα. Καὶ ἡ Γενέσ. μς, 20, μακροτέρα προσθήκη τῶν υἱῶν καὶ ἐγγόνων τοῦ Μανασσῆ καὶ τοῦ Ἐφραὶμ (ἴσως ληφθεῖσα ἐκ τοῦ Α, Παραλειπ. ζ, 14, 20,

---

(α) Βλ. ὄπισθ. σελ. 227. — (β) Βλ. ὄπισθ. σελ. 751.

21)· ὅθεν αἱ (κατὰ τὸ Ἑβραϊκὸν) 70 ψυχαί, αἱ μετὰ τοῦ Ἰακὼβ εἰς Αἴγυπτον κατελθοῦσαι, ἀποβαίνουσιν ἑβδομήκοντα πέντε. Ἄλλαι μακρότεραι προσθῆκαι (ὡς ἐν Γενέσ. λα, 48: μγ, 28: Ἐξόδ. α, 11: Λευϊτ. ιε, 3 κτλ.) φέρουσι τὸ πλεῖστον τῶν γλωσσημάτων τὴν μορφήν·

ε) Οὐδ' ἀπό τινων ἐλλείψεων καὶ κολοβωμάτων ἡ ἑρμηνεία τῶν Ο καθαρεύει. Ἀπαντῶσι γὰρ τόποι, καθ' οὓς ἀντιβαλλομένη πρὸς τὸ Ἑβραϊκὸν, φαίνεται ἐν τούτοις ἠκρωτηριασμένη καὶ χασματώδης. Καὶ τῶν μὲν τοιούτων χωρίων τὸ πλεῖστον μέρος ἀποδοτέον εἰς τὴν ἀπερίσκεπτον ἀβλεψίαν τῶν ἀντιγραφέων, καὶ μάλιστα περὶ τὰ ὁμοιοσύλλαβα καὶ ὁμοιοτέλευτα. Οὕτως ἐν τῷ « *πᾶν* ὄρνεον, *πᾶν* πτερωτὸν » (Γενέσ. ζ, 14) παρεῖδεν ὁ μεταγραφεὺς τὸ δεύτερον *πᾶν*. Καὶ Γενέσ. λα, 51, 52, τὸ μὲν Ἑβρ. « Ἰδοὺ ὁ σωρὸς οὗτος, καὶ ἰδοὺ ἡ στήλη, ἣν ἔστησα μεταξὺ ἐμοῦ καὶ σοῦ. Μάρτυς ὁ σωρὸς οὗτος, καὶ μάρτυς ἡ στήλη αὕτη». Κατὰ δὲ τοὺς Ο, « Ἰδοὺ ὁ βουνὸς οὗτος· καὶ μάρτυς ἡ στήλη αὕτη »· τὰ δὲ λοιπὰ παρωράθησαν. Καὶ τοιαῦτα μὲν τὰ τῶν μεταγραφέων. Ὑπάρχουσι δὲ ὅμως καὶ ἄλλα ἐξεπίτηδες ὑπὸ τῶν ἑρμηνευτῶν παραλειφθέντα καὶ ἀποκοπέντα, χάριν ἧς προείπομεν περὶ τὴν ἐξίσωσιν σπουδῆς. Οὕτως ἐν Γεν. η, 17 τὸ ἑβρ. μὲν ἔχει « ἵνα πολλαπλασιασθῶσι (ἢ βρυάσωσιν, ὡς ἐξηγοῦσι τὸ ἑβρ. Scharaz) ἐπὶ τῆς γῆς », οἱ δὲ ἑρμηνεῖς τοῦτο παρέλιπον, ἐξισοῦντες τὸ κόμμα πρὸς τὰ Γενέσ. α, 28, ὅπου γράφεται μόνον τὸ « αὐξάνεσθε καὶ πληθύνεσθε ». Καὶ Γενέσ. κδ, τὸ Ἑβρ. « *ἐπὶ τοῦ προσώπου* — περὶ τὰς χεῖρας αὐτῆς ». Οἱ δὲ Ο ἀπέκοψαν τὸ ἐπὶ *τοῦ προσώπου*, ἐξισοῦντες τὸν στίχον πρὸς τὸ 22 ἐδάφιον, ὅπου οὐδ' ἐν τῷ ἑβρ. κεῖται τὸ « *ἐπὶ τοῦ προσώπου* ». Τοιαῦται λέξεων ἐξεπίτηδες ἀποκοπαὶ φαίνονται καὶ ἐν Γενέσ. λε, 10: πρβλ. λβ. 29: καὶ ἐν Ἀριθμ. α. §. 22. πρβλ. §. 20, 24. ἴσως καὶ ἐν Δευτερ. 28 §. 4. πρβλ. §. 18 (α).

ϛ) Ὑπάρχουσι καί τινα χωρία καὶ κεφάλαια προφανῶς τεταρα-

---

(α) Toepler l. c. p. 21—24.

γμένα περὶ τὴν τάξιν τῶν λέξεων καὶ κομμάτων, ἅπερ οὐκ ἀναλογοῦσιν ἀκριβῶς ἀντιστοιχοῦντα πρὸς τὰ τοῦ κειμένου τοῦ ἑβραϊκοῦ (α). Καὶ τὰς μὲν τοιαύτας διαφωνίας, ἢ κακίας μᾶλλον (λέγει Τοίπλερος), δηλονότι κῆρας καὶ φθορὰς (vitia) τοῦ ἑλληνικοῦ κειμένου ἀποδοτέον ἂν εἴη, χωρὶς ἀμφιβολίας, εἰς τὴν ἀκηδίαν τῶν βιβλιογράφων καὶ βιβλιοπωλῶν. Εἰσὶ δὲ ὅμως καὶ ἄλλαι τινες ὑπολανθάνουσαι συγχύσεις, αἵτινες, χωρὶς ἐξηκριβωμένης ἑκατέρων

---

(α) Οὕτω (λέγει Τοίπλερος) ἐν τῷ Βατικανῷ τῶν Ο κώδηκι τὰ ἔσχατα κεφάλαια τῆς Ἐξόδου φαίνονται συγκεχυμένα. Τὰ ἐν Κεφ. λς, 8, μέχρι τέλους τοῦ κεφαλαίου τῆς ἑρμηνείας τῶν Ο, ἀντιστοιχοῦσι πρὸς τὰ τοῦ Ἑβραϊκοῦ κεφ. λθ, ἀπὸ τοῦ τέλους τοῦ α, παραγράφου μέχρι τοῦ 31. Τὰ ἐν Κεφ. λζ τῶν Ο ἀντιστοιχοῦσι πρὸς τὰ Ἑβρ. κεφ. λη, 24—31, καὶ κεφ. λθ, 33 —43. Ἀλλὰ καὶ ἐν τούτοις τὸ κείμενον τῶν Ο φαίνεται πανταχοῦ συγκεκομμένον καὶ χασματῶδες» (Toepler l. c. p. 24). Ἀλλὰ καὶ ὧδε (ἀπαντῶμεν) εἰς κενὸν ὁ Τοίπλερος ἐδαπάνησε τὸ ἔλαιον τῆς μελέτης αὐτοῦ. Τί κοινὸν ἔχουσι πρὸς τὸ γνήσιον κῦρος τῆς ἑρμηνείας τῶν Ο αἱ τοιαῦται μεταθέσεις τῶν χωρίων καὶ κεφαλαίων, αἵτινες ὑπάρχουσιν ἔργον οὐχ οὕτως, ἴσως, τῶν μεταγραφέων, ὅσῳ τῶν βιβλιοπηγῶν, πλανηθέντων περὶ τὴν ἀκολουθίαν τῶν ἐν τοῖς ἀντιγράφοις σελίδων; Ἔγραψε περὶ τούτων ὁ Γράβιος (καίτοι μετὰ τῶν αὐτῷ φίλων ὑπερβολῶν) ἐν τῷ De vitiis LXX Interpret. c. 1. §. 6, 7 (πρβλ. καὶ Grabij not. ad Exod. c. 36 ἐν τῃ ὑπ' αὐτοῦ ἐκδ. Γραφῇ κατὰ τοὺς Ο, tom. 1. σελ. 173. ἐκδ. Breiting.). Ἔπειτα, ἄδηλον, ποῦ συνέβη τὸ πρῶτον ἡ σύγχυσις, ἐν τοῖς ἀντιγράφοις τῆς ἑρμηνείας τῶν Ο, ἢ ἐν τοῖς τοῦ κειμένου τοῦ Ἑβραϊκοῦ. Μὴ γὰρ οὐχ εὑρίσκονται καὶ ἐν αὐτῷ τῷ ἑβραϊκῷ τοιαῦται συγχύσεις καὶ μεταθέσεις κατὰ διαφόρους κώδηκας; Αὐτίκα ἐν Ἐξόδ. κεφ. ζ, τὰ τρία τὰ ἔσχατα ἐδάφια κατ' ἄλλους κώδηκας συνάπτονται μετὰ τοῦ η. κεφαλαίου (ὡς ἔχουσι καὶ οἱ Ο, καὶ ἡ Βουλγάτα). Ἄλλας τοιαύτας διαφωνίας τῶν Ἑβραϊκῶν ἀντιγράφων παραλείπομεν. Κἀκεῖνο δὲ προσθετέον· ὅτι ἐν τῇ Κομπλουτησίᾳ καὶ τῇ τοῦ Φραγκοφόρτου ἐκδόσει τὰ προσσημειωμένα χωρία τῶν Ο ἀντιστοιχοῦσι πρὸς τὰ Ἑβραϊκὰ (βλ. καὶ ἔκδ. Bos). Κἂν αὕτη τεθῇ ἡ γνησία τάξις, ἀλλ' οὐδ' ἡ Βατικανὴ καὶ αἱ λοιπαὶ ἐκδόσεις ἐκ τῶν μεταθέσεων παραβλάπτονται περί τι καίριον· τοιαῦται ἀβλαβεῖς ἀντιμεταθέσεις φαίνονται καὶ ἐν τοῖς τοῦ προφήτου Ἱερεμίου κεφαλαίοις, καὶ ἀλλαχοῦ, περὶ ὧν ἐφεξῆς). Οἱ δὲ περὶ τὸν Τοίπλερον ἀντὶ τοῦ κρίνειν τὴν ἀμώμητον ἀξίαν τῶν Ο ἐκ τῶν παραδρομῶν τῶν βιβλιοδετῶν, ὤφειλον μᾶλλον σημειώσασθαί τι λόγου ἄξιον περὶ τῶν ἐν τοῖς ἀνωτέρω χωρίοις τῆς Ἐξόδου ψυχρῶν ἐπαναλήψεων, καὶ συχνῶν παλλιλογιῶν, ὅσαι τὸ Ἑβραϊκὸν καταχραίνουσι κείμενον. Ἀλλ' αὐτοὶ ψέγουσι μᾶλλον τὴν ἀπὸ τῶν τοιούτων καθαρεύουσαν ἑρμηνείαν τῶν Ο, ὡς ἂν οὖσαν χασματώδη καὶ ἐλλειπῆ· ἀπαράλλακτα ποιοῦντες, ὡς καὶ εἴ τις τὴν πενταδάκτυλον χεῖρα λέγοι πεπηρωμένην, ὡς πρὸς ἄλλην παραβάλλων ἑξαδάκτυλον.

τῶν κειμένων ἀντιβολῆς, διαφεύγουσι τὴν τῶν ὀμμάτων καὶ τῆς διανοίας τὴν ἀκμήν. Οἷον· τὰ ἐν Γενέσ. λα, 26· « Ἵνα τί κρυφῇ ἀπέδρας καὶ ἐκλοποφόρησάς με » ; (κατὰ τοὺς Ο), ταῦτα ἀντιστοιχοῦσιν ἀκριβῶς πρὸς τὰ τοῦ 27: ἐδαφίου (κατὰ τὸ Ἑβραϊκόν)· τὰ δὲ ἐν τῷ 26 ἐδαφίῳ τοῦ ἑβρ. « καὶ ἔκλεψας τὴν καρδίαν μου », οὐχ εὑρίσκονται παρὰ τοῖς Ο, (α). Ἐν Ἐξόδ. α, 7. « Ηὐξήνθησαν, καὶ ἐπληθύνθησαν, καὶ χυδαῖοι ἐγένοντο» (κατὰ τοὺς Ο). Ἀλλ' ἐν τῷ ἑβρ. τὸ Scharaz (ὅπερ ἀντιστοιχεῖ πρὸς τὸ *χυδαῖοι ἐγέ-*

---

(α) Ἰδοὺ τὸ Ἑβραϊκὸν (ὡς ὁ Δρούσιος λατινιστὶ μεταφράζει) §. 26. « Quid fecisti? furatus est cor meum, et duxisti filias meas sicut captivas gladio §. 27. Quare clam fugisti et furatus es me, nec indicasti mihi? et dimissem te cum gaudio » etc. Τουτέστι. § 26. « Τί ἐποίησας; ἔ κ λ ε ψ α ς τ ὴ ν κ α ρ δ ί α ν μ ο υ, καὶ ἀπήγαγες τὰς θυγατέρας μου ὡς αἰχμαλώτιδας μαχαίρᾳ. §. 27: Τί κρυφῇ ἀπέδρας, καὶ ἔ κ λ ε ψ ά ς μ ε, καὶ οὐκ ἐδήλωσάς μοι; Καὶ ἀπέστειλα ἄν σε μετ' εὐφροσύνης » κτλ. Ἰδοὺ καὶ τὰ τῶν Ο. §. 26. « Τί ἐποίησας; ἵνα τί κρυφῇ ἀπέδρας, καὶ ἐκλοποφόρησάς με, καὶ ἀπήγαγες τὰς θυγατέρας μου ὡς αἰχμαλώτιδας μαχαίρᾳ; § 27. Καὶ εἰ ἀνήγγειλάς μοι, ἐξαπέστειλα ἄν σε μετ' εὐφροσύνης » κτλ. Βλέπεις ἀναγνῶστα, πόσον ἁπλούστερον καὶ κατὰ φύσιν ἔχουσι τὰ τῶν Ο, ὅλον περικλείοντα τὸν ἔλεγχον ἐν τῷ 26 ἐδαφίῳ συνεστραμμένον· πόσον δὲ πάλιν κεχυμένα τὰ τοῦ Ἑβραϊκοῦ καὶ ἀηδῆ διὰ τὴν τῆς φράσεως ἐπανάληψιν. « Ἔκλεψας τὴν καρδίαν μου », καὶ πάλιν, « Ἔ κ λ ε ψ ά ς μ ε (καὶ τοῦτο πάλιν ἐπεξηγοῦσι, τ ὴ ν κ α ρ δ ί α ν μ ο υ. Rosenmüll.). Παλλιλογία ῥαββινικῆς σμικρολογίας ὄζουσα, προελθούσης ἔκ τινος διεφθαρμένης ἀναγνώσεως τοῦ κειμένου. Τὸ « ἔκλεψας τὴν καρδίαν μου » ἀγνοεῖ καὶ ἡ Βουλγάτα. Ἰδοὺ καὶ ταύτης τὸ κείμενον §. 26. « Quare ita egisti ut clam me abigeres filias meas, quasi captivas gladio? §. 27. Cur ignorante me fugere voluisti, nec indicare mihi, ut prosequerer te cum gaudio? etc. τουτέστι. «Τί ἐποίησας οὕτως, ὥστε κ ρ ύ φ α μ ο υ ἀπαγαγεῖν τὰς θυγατέρας ὡς αἰχμαλ. μαχαίρᾳ; §. 27 Τί ἀ γ ν ο ο ῦ ν τ ό ς μ ο υ φ υ γ ε ῖ ν ἠ θ έ λ η σ α ς, οὐδ' ἐδήλωσάς μοι, ἵνα σε παραπέμψω μετ' εὐφροσύνης; κτλ. Ὥστε καὶ ἡ Βουλγάτα συμφωνεῖ τοῖς Ο· πλὴν μόνον, ὅτι ἀντὶ τοῦ ἐ κ λ ο π ο φ ό ρ η σ ά ς μ ε (τουτ. ἔκλεψας, ἃ φέρεις εἴδωλά μου. Γενέσ. αὐτ. §. 30. πρβλ. §. 19), ἠρκέσθη μόνον εἰς τὸ κ ρ ύ φ α μ ο υ· τὸ δὲ τί κ ρ υ φ ῇ ἀ π έ δ ρ α ς, μετέθηκε περιφραστικώτερον εἰς τὸ 27 ἐδάφιον. Ὁ δὲ Τσίπλερος εἰς μάτην ἐζήτει παρὰ τοῖς Ο τὸ παρέμβυστον. « Καὶ ἔκλεψας τὴν καρδίαν μου ». Καὶ ἄλλας τοιαύτας διασκευάς, ἢ κολοβώσεις, καὶ ἀταξίας παρατηρεῖ τις εἰς τὸ κείμενον τὸ ἑβραϊκόν, αἵτινες οὔτε τῶν ὀμμάτων οὔτε τῆς διανοίας τὴν ἀκμὴν διαφεύγουσι, πλὴν εἰμή τις κρίνοι περὶ τῶν τοιούτων, χρώμενος μικροσκοπίῳ ῥαββινικῷ.

*νοντο*) κεῖται οὐχ ἔσχατον (καθὼς τοῦτο), ἀλλὰ μέσον τῶν δύω παρακειμένων ῥημάτων (α), τοιαῦτα καὶ ἄλλα τινα. Ἐν δὲ τῷ ιδ κεφ. τοῦ Δευτερον., καὶ τῷ ια τοῦ Λευϊτικοῦ, τῶν μνημονευομένων ζώων τὰ ὀνόματα πολλάκις ἔχουσι τὴν τάξιν συγκεχυμένην, μὴ ἀντιστοιχούντων τῶν ἑλληνικῶν πρὸς τὰ ἑβραϊκά (βλ. ὄπισθ. σελ. 613).

ζ) Εὑρίσκεις παρὰ τοῖς Ο καὶ ἑρμηνεύματα, καὶ διορθώσεις τοῦ ἑβραϊκοῦ κειμένου γενομένας στοχαστικῶς, ἢ ἐξ εἰκασίας. Οἷον· Τὸ ἑβρ. (« κατηραμένη ἡ γῆ) *διὰ σὲ* » (Γενέσ. γ. 17). Οἱ δὲ Ο « *ἐν τοῖς ἔργοις σου* ». Καὶ φαίνεται ἡ κατὰ τοὺς Ο ἀνάγνωσις καταλληλοτέρα πρὸς τὴν ἔννοιαν. Πάλιν, Γενέσ. κβ, 13, τὸ ἑβραϊκ. « κριὸς *ἐξόπισθεν* », οἱ δὲ Ο, « κριὸς *εἷς* »· ὀρθότερον· καὶ ἄλλα τοιαῦτα (β).

## *Ἀπαντῶμεν.*

§. ϛ. α) Ἐπὶ τὸ πρῶτον (σελ. 803). Πρὸς τὰς ἀναιδεστάτας συκοφαντίας, ἀναιδεύοιτ᾽ ἂν ὁμοίως ὁ βουλόμενος ἀπαντᾶν. Ἡμεῖς δὲ καὶ τὴν αἰδῶ περὶ πλείστου ποιούμενοι, καὶ τῶν κακηγόρων αὐτῶν τὴν πολυμάθειαν τιμῶντες, ἀλγοῦμεν, ὁρῶντες τοὺς ἄνδρας οὕτω τῆς ὀρθῆς κρίσεως παρεκτραπέντας, ὥστε τοὺς Ο κηρύττειν ἄντικρυς ἀμαθεῖς, καὶ μονονοὺκ ἀγραμμάτους ἐν ταῖς πατροπαραδότοις ἁγίαις Γραφαῖς. Καὶ τοῦτο μόνον λέγομεν, ὑπὲρ αὐτῶν ἀπολογούμενοι τῶν ἀδίκως ψηφισαμένων, ὅτι τῶν Ο τὴν ἀξίαν οὐκ ἔγνωσαν οἱ τοιοῦτοι κριτικοὶ (οὐ γὰρ ἂν εἴποιμεν, ὅτι κατωρχήσαντο τῆς ἀληθείας ἐν γνώσει). Ἀλλ᾽ οὐδ᾽ ἐκεῖνο γοῦν ἐπῆλθεν αὐτοῖς κατὰ νοῦν· Εἰ γὰρ οἱ νομομαθεῖς ἐκεῖνοι γέροντες, Ἱεροσολυμῖται τὸ γένος ὄντες, καὶ ζῶντες ἔτι τοῦ ναοῦ συνεστῶτος, ὁπότε περιῆν ἡ δημοσία

---

(α) Καὶ μὴν πᾶς τις ἐννοεῖ σαφῶς, ὅτι πρῶτον ηὐξήθησαν, καὶ ἐπληθύνθησαν, καὶ μετέπειτα χυδαῖοι ἐγένοντο, τουτ. « ἐξεχύθησαν κατὰ πάσης ἐκείνης τῆς γῆς » (Θεοδώρητ.). Ὥστε μετάθες, ὦ Τοίπλερε, τὸ κακόθετον Scharaz εἰς τὴν οἰκείαν αὐτῷ χώραν. Εἰδ᾽ ἀμφιβάλλεις περὶ τούτου, πειθέτω σε ὁ πρωτομάρτυς Στέφανος, ἐπικυρῶν μετὰ τοῦ θεηγόρου Λουκᾶ τὴν ἀνάγνωσιν τῶν Ο (Πράξ. ζ, 17).

(β) Βλ. ὄπισθ. σελ. 680. καὶ Toepler l. c. p. 29—32. Περὶ τῶν τοιούτων λέγομεν καὶ ἐν τῷ ἐφεξῆς κεφαλαίῳ.

λατρεία, καὶ σχολαὶ, καὶ διδασκαλεῖα, καὶ παραδόσεις τοῦ νόμου καὶ τῶν προφητῶν ἤκμαζον ἀλλαχοῦ τε τῆς Παλαιστίνης καὶ μάλιστα κατὰ τὴν Μητρόπολιν, (εἰ δ' Ἀλεξανδρινοὺς ἐθέλει τοὺς *μεμαιευκότας τὴν τῶν Γραφῶν ἑρμηνείαν* ἡ παραπαίουσα σοφία τῶν Σκαλιγήρου καὶ Ζβιγγλίου θιασωτῶν, οὐδεμία περὶ τούτου φροντίς· αὐτοὺς μᾶλλον ἐξελέγχει τὸ πλάσμα), εἴπερ, λέγομεν, ἐκεῖνοι πρὸς τὸ μέγα τῆς ἑρμηνείας ἔργον ἐκλεγέντες, καὶ πρὸς τηλικοῦτον τῆς Αἰγύπτου σκηπτοῦχον ἀποσταλέντες, οὐκ ἠπίσταντο τὰς φωνὰς τῶν πατρίων Γραφῶν ἀπταίστως ἀναγινώσκειν, καὶ κατανοεῖν ἀκριβῶς, καὶ μηδὲ *τὸν οἶνον τοῦ ὕδατος* ᾔδεισαν διακρίνειν (σελ. 804), ποῖοι λοιπὸν ἦσαν οἱ μετὰ τοσούτους ἀναστάντες αἰῶνας, βαθείας ἤδη τῆς βαρβαρότητος τὸ τῶν Ἰουδαίων αἰχμάλωτον ἔθνος ἐπισκοτούσης, ἄθλιοί τινες ῥαββῖνοι, καὶ Ταργουμισταὶ, καὶ αὐτοὶ οἱ Μασορῖται, οἱ μετὰ τὸν Ἔσδραν Ἔσδραι καὶ θεοφάντορες τῶν Γραφῶν ὑποφῆται νομισθέντες παρὰ τοῖς κριτικοῖς; Οὗτοι γὰρ ἔστιξαν, καὶ ἐτόνισαν παντοδαπῶς, καὶ διορθώσαντες ἐξέδωκαν τὸ κείμενον τὸ Ἑβραϊκὸν, καθ' ἣν ἐγνώριζον τότε προφορικὴν παράδοσιν τῆς πρὸ πολλῶν αἰώνων σεσιγημένης γλώσσης τῶν Γραφῶν. Καὶ γράμματα δέ τινα μετήλλαξαν, ἀντικαταστήσαντες πολλάκις ἀντὶ γραπτῶν φωνηέντων ἄλλους φθόγγους προφορικοὺς, διὰ στιγμῶν εἰκονιζομένους. Καὶ τοιοῦτοι ἔμελλον εἶναι οἱ πρεσβεύοντες ἐκεῖνο τὸ ῥαββινικώτατον ἀξίωμα· « *Ἀρθήτω ἓν γράμμα* (τῆς Γραφῆς) *ὑπὲρ τῆς δόξης τοῦ εὐλογητοῦ Θεοῦ* »! Πρὸς τούτων οὖν τὸ κείμενον παραβάλλοντες οἱ κριτικοὶ τὸ τῶν Ο, ἐξελέγχουσι κἀκείνους ἀμαθεῖς, καὶ τὴν ἑρμηνείαν πλήρη σφαλμάτων. Ἀλλ' ὅτι μὲν οἱ καθ' ἡμᾶς περισωθέντες ἑβραῖοι κώδηκες ὁμολογουμένως καὶ ἀναντιῤῥήτως ἐν πολλοῖς καὶ πολλαχῶς διαφέρουσι τῶν ἀρχαίων, καὶ αὐτῶν ἐκείνων οἷς ἐχρήσαντο πάντες οἱ μετὰ τοὺς Ο τὴν ἑβραϊκὴν ἑρμηνεύσαντες Γραφὴν (οἵ τε περὶ τὸν Ἀκύλαν ἑλληνισταὶ, καὶ αὐτὸς ὁ τρεῖς αἰῶνας μετ' ἐκείνους λατινιστὴς Ἱερώνυμος), λέγομεν ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς, τοσαῦτα μόνον ἐνταῦθα προσθέντες. Ὅτι τῶν μεταξὺ τῶν Ο καὶ τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ σεσημειωμένων *ἐπι-*

*σήμων* (α) διαφορῶν, ὅσας διαθρυλλοῦσιν ἐπ᾽ ὀνείδει τῆς ἑλληνικῆς ἑρμηνείας, αἱ μὲν πηγάζουσιν ἐκ τῆς τοῦ Μασοριτείου κειμένου διαφθορᾶς, αἱ δὲ καὶ ἐκ τῆς ἀγνοίας πολλῶν ἑβραϊκῶν φωνῶν καὶ φράσεων, ὅσας ἠπίσταντο μὲν ἀκριβῶς οἱ Ο ἑρμηνεῖς, ἠγνόησαν δὲ καὶ ἀγνοοῦσι πάντες καὶ ῥαββῖνοι καὶ ῥαββινισταί· αἱ δέ, τέλος, (οὐκ ὀλίγαι) καὶ ἐξ αὐτῶν τῶν ἀντιστοιχούντων τοῖς ἑβραϊκοῖς ἑλληνικῶν ὀνομάτων, ἃ πολλάκις οὐκ ἐνόησαν οἱ κατὰ τῆς ἑρμηνείας ὑπερήφανον ὀφρῦν ἐπάραντες κριτικοί. Περὶ δὲ τῆς εἰς τὴν ἑρμηνείαν ἀρίστης μεθόδου τῶν Ο, λέγομεν ἐν τῷ κεφαλαίῳ τῷ ἐφεξῆς.

β) Τί δ᾽ ἂν εἴποιμεν πρὸς τὸ δεύτερον κατὰ τῶν Ο κρίμα τῶν κριτικῶν; (σελ. 805). Τοὺς οὕτως ἀμαθεῖς περὶ τὴν γλῶσσάν τῶν θείων Γραφῶν κατακεκριμένους, καὶ μονονουχὶ πρὸς πᾶσαν λέξιν προσεπταικότας, τούτους αὐτοὺς ἑτέρωθεν διαγράφουσι δεινούς τινας τῆς Ἑβραϊκῆς Γραφῆς ἀκριβαστάς, οἵτινες σταθμίζοντες πᾶσαν λέξιν καὶ πάντα λόγον, καὶ μικρὸν καὶ μέγαν, καὶ πολλαῖς ὁδοῖς διειλημμένον, ἐσπούδαζον ἐπιμελῶς περὶ τὴν μετάφρασιν ἐξισοῦν τὰς λέξεις, τὰ κόμματα, τὰ κῶλα, τὰς περιόδους, ἰσόμετρα τὰ πάντα ποιοῦντες, καὶ ἰσόῤῥοπα πρὸς ἄλλας παραλλήλους ἐν ἄλλοις χωρίοις ἐκφράσεις, ἵνα συνῳδὰ καὶ σύμφωνα κατὰ τὴν ἑρμηνείαν ὑπάρχωσι πάντα τὰ περὶ τῆς αὐτῆς ἐννοίας ἑκασταχοῦ διαλαμβάνοντα, καὶ μήτε πλεονάζοντα κατά τι, μήτ᾽ ἐλλείποντα καὶ κολοβά, οἷα καὶ τὴν σήμερον ἀπαντῶσιν ἐν τῷ κειμένῳ τῷ ἑβραϊκῷ. Καὶ βλέπεις λοιπόν, ἀναγνῶστα, τοὺς πρώην ἀμαθεῖς Ο, παραδόξως ἤδη φανέντας τεχνικωτάτους ἀρχιτέκτονας γνωμῶν καὶ λόγων. Τοιαῦτα δύναται σοφιστεία πολυμαθής, φαινομένη πολλάκις πολὺ μᾶλλον ἰσχυροτέρα παρὰ τὴν μεμυθευμένην ῥάβδον τῆς

(α) Λέγομεν ἐ π ι σ ή μ ω ν, διότι πλάττει καί τινας ἀσήμους παντελῶς καὶ ἀνυπάρκτους διαφορὰς ἡ μωμοσκόπος σμικρολογία τῶν ζητούντων «γόνατα καλάμης ἐν σπάρτῳ», καὶ καταιτιωμένων ἀνελευθέρως τὰ καθαρὰ καὶ ἀκαταιτίατα· ὡς ἔστιν ἰδεῖν ἐκ τῶν παραδειγμάτων, ὅσα Τοίπλερος παρατεταμένως ἐσημείωσε (Toepler l. c. p. 13-15).

Ἀθηνᾶς, ἥτις μόνον ἐπιπολῆς τοῦ σώματος ἁπτομένη, μετέβαλλε τὸν γέροντα, τὸν ῥικνὸν καὶ κατίσχνον καὶ κυφὸν, εἰς ἄνδρα κάλλιστον ἰδεῖν καὶ ῥωμαλαῖον. Ἀλλὰ πρὸς τὰς τοιαύτας κενολογίας, αἵτινες κινδυνεύουσι « μήτε λόγον κοινὸν, μήτε λογισμὸν ἔχειν », περιττὸν ἂν ἦν καὶ ὅλως ἀπαντᾷν, εἰ μή γε ταύτας ἐξηρεύγοντο κάλαμοι σοφῶν ἀνδρῶν· οἵτινες ὅμως καὶ ὅταν ἄξια λέγωσι, καὶ τότε πάσχουσιν ἔν τισιν ἀνθρώπινα. Διὸ καὶ πρὸς τοὺς λόγους αὐτῶν ὀφείλομεν, οἷον θυρωρὸν ἀκριβῆ, τὸν λογισμὸν ἐφιστάναι, μήποτε λάθωμεν μετὰ τῶν καλῶν παραδεξάμενοι καί τινα μὴ καλὰ, μηδὲ ἀληθῆ. Τὰ δ᾽ οὖν ἀνωτέρω λεχθέντα περὶ τῆς ἐξισώσεως τῶν παραλλήλων χωρίων τῆς Γραφῆς καὶ λίαν ἄτοπα φαίνονται· δῆλον δὲ ἐκ τῶν ἐφεξῆς. 1) Τί βουλόμενοι ἆρα οἱ ἑρμηνεῖς, ἐσπούδαζον περὶ τὴν τοιαύτην ἐξίσωσιν τῶν θείων ῥητῶν; Πότερον, ἵνα πληρεστέραν τοῦ πρωτοτύπου τὴν μετάφρασιν ἀναδείξωσι, τὰ μὲν προστιθέντες πρὸς τοῖς θείοις λόγοις, τὰ δ᾽ ἐκκόπτοντες καὶ βραχύνοντες, ἢ μετατιθέντες, καὶ παντοίως διαστρέφοντες τὰς φράσεις τῶν θεοπνεύστων προφητῶν; Ἀλλ᾽ οὕτως ἐκινδύνευον ἀναφανῆναι ῥᾳδιοῦργοί τινες πλαστογράφοι, καὶ τοῦ θείου κειμένου βεβηλωταί. Τοῦτο δὲ πῶς ἂν ἥρμοζεν εἰς τὴν εὐσέβειαν αὐτῶν; (πολὺ πάντως οὖσαν ἀκραιφνεστέραν, καὶ πάντῃ διάφορον τῆς, ἣν ἡμῖν ἐπισείουσιν οἱ ῥαββινισταὶ, θεοφιλοῦς περὶ τὰς γραφὰς ἀκριβείας τῶν μεταγενεστέρων ῥαββίνων καὶ Μασοριτῶν)· καὶ πρὸς αὐτὸν δὲ τῆς ἑρμηνείας τὸν σκοπὸν ὑπῆρχε τὸ ἔργον ἐναντιώτατον. Εἰ γὰρ ἐξέφερον τὴν ἑρμηνείαν οὕτω διαφέρουσαν τοῦ κατ᾽ αὐτοὺς ἑβραϊκοῦ, ὅσῳ νῦν διαφέρει τοῦ καθ᾽ ἡμᾶς, αὐτίκα τὴν τοσαύτην διαφωνίαν ἐξήλεγχον ἂν παρὰ πόδας ἀμφοτέρων τῶν γλωσσῶν ἐπιστήμονες Ἰουδαῖοι, καὶ οὐκ ἂν ἐπεκύρουν πανεθνεὶ τὴν μετάφρασιν, ὡς καλῶς καὶ ὁσίως γεγενημένην (καθὼς ἡ ἱστορία κηρύττει), οὐδ᾽ ἀπεδέχοντο τὴν βίβλον ἐν ταῖς συναγωγαῖς τῶν ἑλληνιστῶν, τιμῶντες καὶ προσκυνοῦντες ὡς ὁμότιμον καὶ ἰσοδύναμον τῷ πρωτοτύπῳ. 2) Ἀλλ᾽ οὐδὲ διασκευασταί τινες ἤθελον περὶ τὴν τοιαύτην ἐξίσωσιν εἰς μάτην διαπονεῖσθαι· συνάπτει δὲ καὶ τὸν δια-

σκευαστὴν μετὰ τοῦ ἑρμηνέως (ὡς εἰώθεν ἑνικῶς τοὺς Ο καλεῖν) ὁ πολυμαθέστατος νεανίας Τοίπλερος, συγκεχυμένως καὶ ἀορίστως ὁτὲ μὲν τοῦτον, ὁτὲ δ' ἐκεῖνον, καὶ πολλάκις ἀμφοτέρους ἐκφέρων. Ἀλλὰ περὶ διασκευῆς λέγομεν παρακατιόντες. 3) Ἐκ τῶν μνημονευομένων ὡς δῆθεν ἐξισωθέντων χωρίων πολλὰ κεῖνται παρομοίως καὶ ἐν τῷ τεύχει τῆς Σαμαρειτανῆς Πεντατεύχου. Πότερον, ἐκ τῶν Ο μετέφερον ταύτας δὴ τὰς ἐξισώσεις εἰς τὴν ἑαυτῶν γραφὴν καὶ οἱ Σαμαρεῖται, ἢ τούτους ἐμιμήθησαν ἐκεῖνοι; Ἀλλ' ἀμφότερα καὶ λέγειν ὀχληρόν. Οὔτε γὰρ Ἰουδαῖοι Σαμαρείταις ἐκοινώνουν, καὶ ἡ ἐκ τοῦ Σαμαρειτανοῦ παρά τισι πλασθεῖσα μετάφρασις τῆς Πεντατεύχου ἐξελέγχεται γελοῖος ὄνειρος πυρέσσοντος τεταρταῖον. 4) Καὶ εἰς τὰς μεταγενεστέρας ἑρμηνείας τοῦ ἑβραϊκοῦ, οἷον τὴν Συριακὴν, καὶ τὴν Ἀκύλα καὶ Συμμάχου καὶ Θεοδοτίωνος, καὶ κατ' αὐτὴν τὴν Ἱερωνύμου Βουλγάταν ἀπαντῶσιν ἔστιν ὅπου τοιαῦται ἐξισώσεις, ἢ μεταθέσεις (α). 5) Τούτων τῶν λεγομένων ἐξισώσεων καὶ προσθηκῶν, ἢ καὶ, τἀνάπαλιν, ἀκρωτηριάσεων καὶ συγκοπῶν, καὶ τῶν ἐναλλαγῶν καὶ μεταθέσεων, οὐκ ὀλίγας μνημονεύουσιν ἀπαραλλάκτως καὶ οἱ θεόπνευστοι συγγραφεῖς τῆς Καινῆς τοῦ Θεοῦ Διαθήκης. Αὐτίκα, τὸν δεύτερον Καϊνᾶν ἔχει καὶ ὁ θεῖος Λουκᾶς (β). Τὸ « ἔσονται *οἱ δύω* εἰς σάρκα μίαν » οἱ Εὐαγγελισταὶ, καὶ ὁ θεῖος Παῦλος (γ). Τὸ « *χυδαῖοι ἐγένοντο* » πάλιν ὁ Λουκᾶς, κτλ. 6). Ἀθέμιτον, ἀνόσιον, οὐδὲ μακρὰν ἀπονοίας

---

(α) Οὕτω τὸ « ἐγένετο οὕτως » ἐν Γενέσ. α, 20, λείπει μὲν ἐκ τοῦ ἑβραϊκοῦ, κεῖται δὲ παρὰ τῷ Συμμάχῳ καὶ Θεοδοτίωνι, καθὼς καὶ παρὰ τοῖς Ο (βλ. Ἑξαπλ.). Καὶ Γενέσ. β, 4, ἡ Βουλγάτα « c o e l u m e t t e r r a m », ὡς οἱ Ο· τὸ δ' ἑβραϊκὸν ὑστερόπρωτα « τ ὴ ν γ ῆ ν κ α ὶ τ ὸ ν ο ὐ ρ α ν ό ν ». Καὶ Λευϊτ. κα, 2 « Super patrem et matrem, ὡς καὶ οἱ Ο « ἐπὶ πατρὶ καὶ μητρί »· Τὸ δ' ἑβρ. « ἐπὶ μητρὶ καὶ πατρί ». Πάλιν, Γενέσ. η, 17 « crescite et multiplicamini » καὶ οἱ Ο « αὐξάνεσθε καὶ πληθύνεσθε » (δευτεροπρόσωπον)· τὸ δ' ἑβρ. τριτοπροσώπως (ἐπὶ τῶν ζώων) « ὅπως αὐξηθῶσι καὶ πληθυνθῶσι ». Τὸ « κ ρ ι ὸ ς ε ἷ ς » ἔχει καὶ ὁ Σύρος ὡς οἱ Ο, καὶ τὸ Σαμαρειτικὸν μετὰ τῶν Ταργουμιστῶν, κτλ. βλ. ὄπισθ. σελ. 680.

(β) Λουκ. γ. — (γ) Ματθ. ιθ. 5: Μάρκ. ι, 8: Ἐφεσ. ε, 31: Α. Κορινθ. ς. 16. Καὶ ὁ Σύρος, καὶ ἡ Βουλγάτα.

ἀπολειπόμενον τὸ συκοφαντεῖν ὡς παραχαράκτας καὶ πλαστογράφους τοὺς ἑρμηνεῖς ἐκείνης τῆς ἑρμηνείας τῶν θείων Γραφῶν, ἣν αὐτὸς ὁ Θεὸς ᾠκονόμησεν, ὡς προπαίδειαν καὶ προπαρασκευὴν τῶν ἐθνικῶν, ἀνοίγων δι' αὐτῆς τὰς ὁδοὺς τῶν προφητῶν τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, ἵνα προσέλθωσι καὶ πιςεύσωσιν εἰς τὸν προφητευθέντα Σωτῆρα τοῦ κόσμου. Πρὸς δὲ ταύτην τὴν οὕτω σαφῶς φανερωθεῖσαν θείαν βουλὴν οὕτως ἀπαυθαδιάζειν, πῶς ἂν εἴη ἀνασχετόν; (α). Ὅπου γε καὶ αὐτὸς ὁ μακάριος Ἱερώνυμος οὐκ ἐπαινεῖται, διότι εἶπε τοὺς Ο, μήτε πλαστογράφους, μήτε παραποιητὰς τοῦ θείου κειμένου (ἄπαγε), μηδ' ἄλλο τι τῶν τοιούτων, ὅσα ληρεῖν εἴωθεν ἀχαλίνων στομάτων ἄκοσμον θράσος, εἶπε δὲ μόνον, «ὅτι συνεσκίασαν, ἄλλως πως ἑρμηνεύσαντες τὰς φωνὰς ἐκείνας, ἐν αἷς ἡ Γραφὴ μαρτυρεῖ περὶ Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος ἁγίου, ἢ καὶ παρεσιώπησαν, - ἵνα μὴ τὰ μυστήρια τῆς ἑαυτῶν πίστεως ἐναργῶς προδῶσι τοῖς Ἐθνικοῖς, καὶ βάλωσι τὰ ἅγια τοῖς κυσὶ καὶ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων» (β). Τοιαῦτα ὁ Δαλμάτης Πατὴρ, ὑπεραπολογούμενος μὲν χωρὶς ἀνάγκης ὑπὲρ τῶν Ο, ἓν δὲ μόνον ἀληθεύων, ὅτι τούτους ἐθεώρει μεμυημένους ἐκ θείας πάντως ἐλλάμψεως τὰ προφητευθέντα μεγάλα τῆς εὐσεβείας μυστήρια. Ἄλλως δὲ, οὔτε συνεσκίασαν, οὔτε παρεσιώπησαν οὐδὲν τῶν ἐν ταῖς προφητείαις τεθησαυρισμένων δογμάτων τῆς πίστεως· καὶ τὰ γεγραμμένα *ἐν τῷ νόμῳ καὶ προφήταις καὶ ψαλμοῖς* περὶ τοῦ Θεανθρώπου Σωτῆρος, οὕτω λαμπρῶς ἐξήγησαν καὶ πανηγυρικῶς, καὶ συμφώνως ἅμα πρὸς τὸ κείμενον τὸ Ἑβραϊκὸν, ὥστε καὶ αὐτὸς ὁ μακάριος Ἱερώνυμος τὰς τῶν Ο φωνὰς ἐκλατινίζων πολλάκις, ἐκήρυττεν ἐκφαντορικῶς τὰς Εὐαγγελικὰς ἀληθείας (γ). Καὶ τὰ μὲν Ἱερωνύμου τοιαῦτα.

---

(α) Βλ. τὸν σεμνότατον Βάλτωνα Proleg. c. IX. §. 17. pag. 388.

(β) S. Hieronym. Praef. in Pentat. καὶ Praef. in Esai. καὶ Tradit. Hebr. in Genes. πρβλ. καὶ S. August. de Civit. Dei L. XVIII, 42, 44.

(γ) Οἷον Γενέσ. Γ, 15: ΚΒ, 18: ΜΘ, 10: Ἡσαΐ. κεφ. Ζ, Θ, ΙΑ, ΝΓ, ΞΑ, Μιχ. Ε: κτλ. Ψαλμ. Β, ΚΑ, ΜΔ, ΟΔ, ΡΘ, κτλ. κτλ.

Ἡ δὲ δριμύτης τῶν κριτικῶν ἐξελέγχεται σοφισματίων μηχανοῤῥάφος, καλοῖς κακοὺς ἑλίσσουσα λόγους, ὅπως ἀποκρύψῃ τὴν ἀλήθειαν. Ἀλλ' ὦ σοφώτατοι ἀνδρῶν, τί πάρισα ζητεῖτε καὶ ὁμοιόμορφα, διαστρεβλοῦντες τὰ εὐθέα; Εἴπατε μᾶλλον τὰ ὄντα, « καθαρὰν ἀνοίξαντες κληΐδα φρενῶν », καὶ ὁμολογήσατε μετ' εἰλικρινείας τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου τὴν ἐν πολλοῖς κολόβωσιν καὶ διαστροφήν. Θεῖον καὶ ἱερὸν (ἐν οἷς οὐ διεστράφη) καὶ ἔστι καὶ ἔσται τὸ κείμενον τὸ Ἑβραϊκόν. Οὔτε περὶ τὰ δόγματα τῆς θεοσεβείας, οὔτε περὶ τὰς ἐκφαντορικὰς θεοπροπίας τῶν προφητῶν, οὔτε περὶ τὴν ἠθικὴν διδασκαλίαν ἔπαθε λυμαντικὴν διαφθοράν. Ἀκέραιον ἐν τοῖς κρατίστοις καὶ ἀβλαβῆ διετήρησε τὸν λόγον τῆς παλαιᾶς αὐτοῦ Διαθήκης ὁ πάλαι διὰ νόμου καὶ προφητῶν λαλήσας Θεός· καὶ τούτου φύλακας ἀνέδειξεν αὐτοὺς τοὺς ἀχαρίστους Ἰουδαίους « εἰς μαρτύριον αὐτοῖς ». Ἀλλ' ὅμως κατὰ μέρος ὁ κώδηξ ἐτρώθη παντοδαπῶς. Ἥτε γὰρ ἐπενεχθεῖσα θεήλατος συμφορὰ τοῦ χριστοκτόνου ἔθνους, καὶ ἡ μακρὰν τῆς πατρῴας γῆς διασπορά, καὶ ἡ παντελὴς τῆς ἀρχαίας τῶν προγόνων γλώσσης ἀπώλεια, καὶ τὸ περιχυθὲν αὐτοῖς ψηλαφητὸν τῆς βαρβαρότητος σκότος, καὶ τῶν ῥαββίνων ἡ ἀθλιότης καὶ κακεντρέχεια, καὶ τῶν τῆς Γραφῆς μεταγραφέων ἡ ἀμάθεια, καὶ τέλος τὸ τῶν Μασοριτῶν κακομαθέστατον θράσος ἐπέφερον εἰς τὴν ἱερὰν βίβλον πολλὰς κακώσεις καὶ κῆρας, ὧν ἡ θεραπεία φαίνεται καθ' ἑαυτὴν ἀνίατος. Ἄλλο βιβλίον ἀρχαῖον, γεγραμμένον κατ' ἐκείνην τὴν γλῶσσαν τὴν γραφικήν, οὐχ εὑρίσκεται. Πολλαὶ μυριάδες Ἰουδαίων μετὰ τὴν πρώτην αἰχμαλωσίαν οὐκ ἐπανῆλθον εἰς τὴν Παλαιστίνην μετὰ τοῦ Ἔσδρα, ἀλλὰ κατέμειναν ἐν Ἀσσυρίᾳ, καὶ κατ' αὐτὴν τὴν Αἴγυπτον, δι' ὅλων ἑπτὰ αἰώνων πρὸ τοῦ Σωτῆρος Χριστοῦ· καὶ ὅμως οὐδεὶς συγγραφεύς, οὐδὲν βιβλίον, οὐδὲ φυλλάδιον ἐν τούτοις ἐφάνη. Ἐξ περίπου αἰῶνας, μέχρι τῆς ἐπὶ Τίτου παντελοῦς καταστροφῆς, κατῴκουν τὴν Παλαιστίνην, ὅπου καὶ τὴν πάτριον γλῶσσαν ἀρχῆθεν καὶ τὴν ἑλληνικὴν ὕστερον ἐξεμάνθανον, καὶ τὴν τοῦ Νόμου παιδείαν καί τινας ἄλλας γνώσεις τῆς τότε πολυμαθείας ἠσκοῦντο· καὶ

ὅμως οὔτε τούτων εὑρίσκεται σύγγραμμα *ἑβραϊκὸν* ἓν οὐδὲ ἕν, οὔτε τῶν μετὰ τὴν πανωλεθρίαν διασπαρέντων. Μόλις κατὰ τὸν β, μετὰ Χριστὸν αἰῶνα ἀνεφάνη παρ᾽ αὐτοῖς ὁ πρῶτος Χαλδαῖος τῆς Πεντατεύχου παραφραστὴς, καὶ ἄλλοι μετ᾽ αὐτὸν κατὰ τοὺς ἐφεξῆς αἰῶνας (α), Χαλδαῖοι καὶ οὗτοι, καὶ τὴν διδασκαλίαν καὶ προφορὰν τῆς Γραφικῆς γλώσσης ἐκ μόνης στοματικῆς παραδόσεως ἐκμανθάνοντες, μηδενὸς ὄντος αὐτοῖς βιβλίου διδακτικοῦ τῶν κανόνων τῆς μηκέτι ζώσης ἐκείνης φωνῆς, μήτε λεξικοῦ, μήτ᾽ ἄλλου γραμματικοῦ, ἢ φιλολογικοῦ συντάγματος ἐκ τῆς προτέρας εὐημερίας περισωθέντος. Ἐντεῦθεν μάλιστα προῆλθον αἱ πολλαὶ τοῦ ἑβραϊκοῦ κειμένου διαστροφαὶ (εἰ δέ τινας καὶ ἑκόντες οἱ ῥαββῖνοι ἐρραδιούργησαν, ἢ μὴ, βλέπομεν ἀλλαχοῦ). Ἐντεῦθεν αἱ πολλαὶ κολοβώσεις, καί τινες πλεονασμοὶ, καὶ κακογραφίαι καὶ τ᾽ ἄλλα τοῦ κώδηκος πάθη, καὶ ἡ πολλῶν πρὸς τούτοις λέξεων καὶ φράσεων βαθυτάτη ἄγνοια μετὰ τῆς παντόλμου θυγατρὸς αὐτῆς, τῆς παρερμηνείας. Καὶ ἀναγινώσκουσι τὴν σήμερον οἱ Ἰουδαῖοι τὴν ἱερὰν βίβλον ὑπὸ τὸ παχὺ τῆς περὶ τὴν προφορὰν καὶ τὴν ἐξήγησιν διεφθαρμένης ἕξεως κάλυμμα, λίαν ἀναλογοῦν πρὸς ὃ φέρουσιν ἐπὶ τῆς καρδίας κάλυμμα τῆς πωρώσεως. « *Ἄχρι γὰρ τῆς σήμερον* (φησὶν ὁ Ἀπόστολος) *τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς Διαθήκης μένει* » (β. Κορινθ. γ, 14). Μόνοι οἱ Ο ἀπεμάξαντο καὶ ἀπεθησαύρισαν ἐν τῇ ἑρμηνείᾳ πᾶν τὸ τῆς Ἑβραΐδος γλώσσης καλὸν, καὶ οὗτοι μόνοι δύνανται καὶ πρὸς τὴν ἀκριβῆ καὶ τελείαν ἀνάγνωσιν τοῦ πρωτοτύπου καθοδηγεῖν. Ἀλλ᾽ οἱ πλεῖστοι καὶ σοφώτατοι τῶν κριτικῶν ἀντιλέγουσιν, οὐδὲ στέργουσι διόρθωσιν τοῦ Ἑβραϊκοῦ ἐκ τῶν Ο. « Πανταχοῦ (λέγουσι) τὸ πρωτότυπον προτιμητέον τῆς ἑρμηνείας ». Ἀλλ᾽ ὅταν ἢ τὸ πρωτότυπον πολλαχῶς διεφθαρμένον, σώζηται δέ τις ἑρμηνεία τούτου παλαιὰ, καὶ γνησία πάντοθεν ἀποδεδειγμένη,

(α) Περὶ τῶν Ταργουμίων καὶ Ταλμουδίων, καὶ ἄλλων ῥαββινικῶν βιβλίων, καὶ περὶ τῆς μυθευομένης ἀρχαιότητος αὐτῶν τε καὶ τῆς Μασόρας, καὶ τῶν περὶ τὰ τοιαῦτα ῥαββινικῶν λήρων, λέγομεν ἐν τῷ ἐφεξῆς Γ. Βιβλίῳ.

(ὡς ἡ τῶν Ο, καὶ παρ᾽ Ἰουδαίων ἀρχαίων ἑλληνιστῶν, καὶ παρ᾽ αὐτῶν τῶν Ἀποστόλων καὶ τῶν παλαιῶν Πατέρων τῆς Ἐκκλησίας, καὶ ὑπ᾽ ἄλλων μεταφράσεων μεμαρτυρημένη), καὶ ἐξ αὐτῆς δὲ τῆς πείρας ἀνωμολογημένη σοφὴ, καὶ μόνη πολλάκις ἀσφαλὴς ὁδηγὸς πρὸς κατανόησιν τοῦ πρωτοτύπου, διὰ τί μὴ πρὸ τούτου προτιμητέον τὴν ἑρμηνείαν; Τῶν Ἀριστοτέλους (φέρ᾽ εἰπεῖν), ἢ τῶν τοῦ Πλουτάρχου συγγραφῶν, ἐν ὅσοις καὶ αὗται χωρίοις φαίνονται χρόνῳ πεπονηκυῖαι καὶ ἀτελεῖς, μετὰ τοσαύτας καὶ τηλικαύτας ἐπικουρίας, ὅσας παρέχει πλουσίως ὁ τῆς Ἑλληνικῆς φιλολογίας ἀνεξάντλητος θησαυρὸς, θησαυρὸς ἄντικρυς κρίνεται καὶ ἄν τις ἀρχαία καὶ πιστὴ λατινὶς ἑρμηνεία τούτων ἐξευρεθῇ, πρὸς θεραπείαν καὶ ἀναπλήρωσιν τοῦ κειμένου τῶν εἰρημένων συγγραφῶν· καὶ τοσούτῳ μάλιστα τιμᾶται, ὅσῳ βεβαιότερον ὁμολογεῖται γενομένη καθ᾽ ὃν χρόνον ἤκμαζον ἀκέραια τὰ βιβλία. Καὶ ὅσαι δὲ σῴζονται λατινικαὶ μεταφράσεις ἐκλελοιπότων τινῶν πονημάτων ἑλληνικῶν, οἷον τῶν Ὠριγένους, φέρ᾽ εἰπεῖν, ὁμιλιῶν, καὶ ἄλλων τοιούτων, καὶ ταύτας ἡ φιλολογία περὶ πλείστου ποιεῖται· καὶ λίαν ἀσμένως ἀναγινώσκουσι τὸν Μέναδρον οἱ φιλομαθεῖς ἐν τοῖς ἀποσωθεῖσι ποιήμασι τοῦ Τερεντίου· καί τινας τῶν σῳζομένων Μενάνδρου στίχων, ἤν που πονῶσιν, ἐκ τοῦ λατίνου μεταφραστοῦ πειρῶνται διορθοῦν. Μόνην τὴν ἑρμηνείαν τῶν Ο κρίνουσιν οἱ κριτικοὶ παντάπασιν ἀνάρσιον καὶ ἀσυντελῆ πρὸς γνῶσιν καὶ διόρθωσιν τοῦ πρωτοτύπου, σωζομένου μὲν τούτου καθ᾽ ἡμᾶς καὶ διδασκομένου, ἀλλ᾽ ὅμως οὕτως ἐν πολλοῖς διεφθαρμένου καὶ παραφώνου, ἢ καὶ ὅλως ἀφώνου καὶ σιγῶντος πολλάκις, ὡς ἂν καὶ εἰ μηδόλως ὑπῆρχε. Πολλὴν εὑρίσκουσι βοήθειαν εἰς ἐξήγησιν τῶν Ἑβραΐδων λέξεων ἐκ τῶν συγγενῶν Ἀσιανῶν γλωσσῶν (τῆς Ἀραβικῆς, Χαλδαϊκῆς, Συριακῆς, Αἰθιοπικῆς)· ὁμολογοῦσι δὲ ἅμα καὶ ὅτι μηδὲ τούτων τὴν ἀρχαίαν χρῆσιν καὶ δύναμιν τῶν φωνῶν δύναταί τις ἐξακριβῶσαι (οὐδὲ γὰρ ἐν ταύταις εὑρίσκεται σύγγραμμα τῶν πρὸ Χριστοῦ αἰώνων, ὅτε ἤκμαζον αἱ εἰρημέναι γλῶσσαι μετὰ τῶν λαλούντων αὐτὰς ἐθνῶν), ὑφορῶνται δὲ πολ-

λάκις καὶ τὴν ἐκ τῆς ὁμοιοφωνίας ἀπάτην, ὁποίαν πάσχουσι πολλάκις οἱ τὰς ἀρχαίας συγγενεῖς σπουδάζοντες γλώσσας (καθὼς ἡ γλωσσηματικὴ ἀποδείκνυσιν ἐπιστήμη) (α)· καὶ ὅμως προτιμῶσι πολλάκις τὴν ἐκ τούτων τῶν γλωσσῶν ὁδηγίαν (κἂν ἀμφίβολος ᾖ), παρὰ τὴν ἀρχαιόσεμνον ἑρμηνείαν τῶν Ο. « Τοῦτο (λέγουσιν) ἐκ ςοχασμοῦ, ἢ *ἐξ εἰκασίας* ἡρμήνευσαν οὕτως οἱ Ο (ex conjectura). Ἐκεῖνο *προσέθηκαν ἀφ' ἑαυτῶν* (de suo addiderunt). Ἐν ἄλλοις ἠπατήθησαν περὶ τὴν γραμματικὴν, περὶ τὴν ἐτυμολογίαν, περὶ τὴν ἀνάγνωσιν τῶν συλλαβῶν, τῶν τόνων, τῶν γραμμάτων αὐτῶν »! Μόνους ἀποδέχονται ἀπλανεῖς ὁδηγοὺς τοὺς Μασορίτας, ὡς μόνους διασώσαντας καὶ στήσαντας διὰ τῶν ςιγμῶν τὴν γνησίαν παράδοσιν τῆς ἀρχαίας προφορᾶς. Ἀλλὰ καὶ τοῦτο πῶς οὐ παράδοξον; Ἐνόσησεν ὁ περικλεὴς Ἔρασμος τὴν περὶ τὴν προφορὰν τῆς Ἑλληνίδος γλώσσης φιλολογικὴν ἀῤῥωστίαν. Καὶ πᾶσα ἡ κατ' αὐτὸν σχολὴ ἠσπάσατο τὴν τότε καινοφανῆ διδασκαλίαν (ἥτις καὶ νῦν πολλαχοῦ τῆς σοφῆς Εὐρώπης ἐπικρατεῖ). « Ἀπώλεσαν (ἔκραζον) οἱ νεώτεροι Ἕλληνες ἐκβαρβαρωθέντες τὴν γνησίαν καὶ κυρίαν τῶν πατρῴων φωνῶν καὶ γραμμάτων ἀπαγγελίαν »! Καὶ ἔστι μὲν ἐπιεικῶς παράδοξος καὶ γελοῖος ὁ παραλογισμός· ἀλλ' ὅμως οὐκ ἀσυντελὴς πρὸς ἀνακάλυψιν ἄλλης πλάνης πολὺ παραδοξοτέρας, τῆς περὶ τὴν δῆθεν ἀπλανῆ καὶ γνησίαν στίξιν καὶ ἀνάγνωσιν τῶν Μασοριτῶν. Οἱ νεώτεροι Ἕλληνες ἀείποτε λαλοῦντες κοινῶς τὴν γλῶσσαν τῶν πατέρων αὐτῶν, βάρβαρον μὲν ἔν τισιν ὀνόμασι κατὰ μέρος καὶ μιξοσόλοικον, ἀλλ' ὅμως περὶ τὰ καθόλου πάλιν ἑλληνικὴν, ἀδιαλείπτως δὲ διδασκόμενοι τοὺς ἀρχαίους καὶ παντοδαποὺς τῆς γλώσσης συγγραφεῖς καὶ ποιητὰς, καὶ ἀκούοντες ἐπ' Ἐκκλησίας τὴν μελίῤῥυτον τῶν πατέρων φωνὴν, πανταχοῦ καὶ παρὰ πάντων ταυτοφώνως προφερομένην,

---

(α) « Mihi vero, uti jam saepius monui, huiusmodi illustrationes ex dialecto arabica qua voci sexcenties in una eademque significatione recurrenti, aliena et hebraicae linquae alias ignota vis tribuitur, ubivis improbandae videntur ». Schulz Schol. in Proverb. 19. 1.

καὶ ταύτῃ περὶ τὰ σπουδαιότερα χρώμενοι, καὶ συγγράφοντες, καὶ πλουτοῦντες ἀδιάλειπτον συγγραφέων σειρὰν, ἀπὸ τῶν Ὁμήρου χρόνων μέχρι σήμερον ἑλληνιςὶ συγγραψάντων· ἔχοντες, τέλος, ἐχέγγυα τῆς κατ᾽ αὐτοὺς γνησίας ἀπαγγελίας, τοὺς ἀπὸ τοῦ Πλάτωνος καὶ Ἀριςοτέλους, καὶ τῶν τούτου διαδόχων Ἀλεξανδρινῶν γραμματικῶν ἀκριβεστάτους τῆς ἀκμαζούσης τότε γλώσσης κανονισμοὺς, καὶ τούτους δἰ ἐγγράφων τόνων καὶ προσῳδιῶν ἔκτοτε κατεστηριγμένους, οὕτως οὖν οἱ νεώτεροι Ἕλληνες διακείμενοι, πάντως οὐκ ἀπέβαλον, οὐδ᾽ ἀποβαλεῖν ἠδύναντο τὴν ἀκρίβειαν τῆς πατρῴας προφορᾶς. Οἱ δὲ Μασορῖται, τἀνάπαλιν, ἔμελλον ἐξ ἀνάγκης διεφθαρμένην ἕξειν τὴν ἀπαγγελίαν τῆς γλώσσης τῶν Γραφῶν. Ζῶντες μὲν γὰρ ἔτεσι χιλίοις καὶ ἐπέκεινα, ἀφ᾽ οὗ ἐπαύσατο καὶ λαλουμένη καὶ γραφομένη ἡ Ἑβραῒς ἐκείνη φωνὴ, ἄγλωσσοι δὲ καὶ ἄφωνοι πάσης ἄλλης διαλέκτου τῆς ἀρχαίας ἐκείνης Ἑβραϊκῆς διατελοῦντες, ἔρημοι δὲ πάσης γραμματικῆς, ἢ φιλολογικῆς πρὸ Χριςοῦ Σωτῆρος συγγραφῆς (ὡς προείπομεν), οὐδὲν ἕτερον ἔχοντες σύγγραμμα παλαιὸν κατὰ τὸ ἰδίωμα τῆς ἱερᾶς βίβλου συγγεγραμμένον, καὶ ταύτην διδασκόμενοι ἄλλως ἀλλαχοῦ κατὰ τόπους προφερομένην, ἤδη καὶ πολὺ πρότερον αὐτῶν (βλ. ὄπισθ. σελ. 801), κώδηκας δὲ κεκτημένοι ποικίλως διεφθαρμένους, ὡς μαρτυροῦσιν αἱ γραφαὶ τῶν σημειωμάτων ἃ καλοῦσιν ἀναγνωςὰ καὶ γραπτὰ (Κερὶ, Κετὶβ), καὶ αἱ ποικίλαι διαφοραὶ τῶν κατ᾽ αὐτοὺς Σχολῶν (τῶν Βαβυλωνίων καὶ τῶν Παλαιστινῶν), ἑπομένως λοιπὸν οὔτ᾽ Ἀρίσταρχοί τινες ἐφάνησαν, οὔτε Ζηνόδοτοι γραμματικοὶ περὶ τὸν κανονισμὸν τῶν τόνων καὶ τῆς προφορᾶς τῶν Ἑβραΐδων Γραφῶν. Ἔστιξαν δὲ καὶ διώρισαν τὴν γραφὴν τοῦ ἱεροῦ κώδηκος, καθ᾽ ἣν παρέλαβον παράσημον τῆς ἀναγνώσεως παράδοσιν, καὶ ἐπὶ χειρογράφων φερόντων, ὡς εἰκὸς, πολλαχοῦ τὴν σφραγῖδα τῆς ἐξ ἀμαθῶν ἢ κακομαθῶν ἀντιγραφέων διαφθορᾶς. Τοιοῦτος, ὡς ἐπίπαν, ἐστὶν ὁ κανὼν, πρὸς ὃν παραβάλλουσι τὴν ἑρμηνείαν τῶν Ο οἱ ῥαββινίζοντες κριτικοί. Τελευταῖον· ὁμολογοῦσιν οἱ σοφοὶ οὗτοι τὴν πολλάκις ἀπαντῶσαν ἐλλειπῆ καὶ χασματώδη φράσιν τοῦ ἑβραϊκοῦ, καὶ πολλῶν προσέτι

λέξεων τὴν ἐσφαλμένην καὶ παράτονον γραφὴν, ἥτις ἐξελέγχεται καὶ ἐξ ἄλλων κωδήκων ἑβραϊκῶν· καὶ ὅμως ἐπιμένουσι πάλιν εἰς τὴν κοινῶς παραδεδεγμένην ἀνάγνωσιν τοῦ κειμένου, πειρώμενοι πάντα τρόπον αὐτὴν δικαιοῦν, καὶ ἀποῤῥίπτοντες (ὡς εἴδομεν) πᾶν εἶδος διαφθορᾶς εἰς τὴν διαφέρουσαν ἑρμηνείαν τῶν Ο. Καὶ περὶ τὰ νοήματα δὲ κρατοῦσιν ἐν πᾶσι τὴν Ἰουδαϊκὴν τοῦ γράμματος ἑρμηνείαν, ἀποφεύγοντες εἴ τι κατὰ τοὺς Ο, φαίνεται πνευματικώτερον. Εἰ δέ ποτε καὶ μαρτύρων δεήσοι πρὸς ἔλεγχον τῆς γνησίας ἀναγνώσεως καὶ σημασίας τῶν φωνῶν, προτιμῶσι τοὺς Ῥαββίνους πρὸ τῶν Πατέρων τῆς Ἐκκλησίας, καὶ τοὺς Ταργουμιστὰς καὶ Ταλμουδιστὰς πρὸ τῶν θείων Εὐαγγελιστῶν καὶ Ἀποστόλων. Ταῦτα πρὸς τὸ παρὸν ἀπαντῶμεν πρὸς οὓς οἱ ἄνδρες ἐπιφέρουσι λόγους μετὰ παραδειγμάτων, ἐμφανίζοντες ἐν τούτοις τὰ σφάλματα τῆς ἑρμηνείας, ὡς οἱ δεικνύοντες τῶν προσώπων τὴν δυσμορφίαν ἐν κατόπτροις παραῤῥύθμοις καὶ στρεβλοῖς. Τῶν δὲ προειρημένων λόγων μάλιστα παράλογος ἂν εἴη ἡ τετραγῳδημένη τῆς ἐξισώσεως τῶν παραλλήλων χωρίων ἐπίνοια. Διὰ ταύτης γὰρ παριστῶσι τοὺς ἑρμηνεῖς, καθάπερ ἀφυεῖς τινας σοφιστὰς, οἵτινες ἀφέντες τὸ ἔργον τῆς ἑρμηνείας, ἐμελέτων *ὑπόθεσιν συγκριτικήν*· ἢ καθάπερ τινὰς τοῦ μύθου Προκρούστας, ἐκτείνοντας, ἢ συγκόπτοντας τὰ μήκη τῶν φράσεων πρὸς τὸ μέτρον ἄλλων ἀλλαχοῦ κειμένων ὁμοειδῶν, ὅπως ἂν ἔχωσιν ἑκάτεραι πρὸς ἀλλήλας ἐμμελῆ καὶ ὁμαλὴν ἁρμονίαν καὶ συμφωνίαν. Ἐπειδὴ δὲ τοῖς Ο μαρτυρεῖ πολλάκις καὶ τὸ κείμενον τὸ Σαμαρειτανὸν, καταδικάζουσι καὶ τοῦτο, ὡς ὁμοίως ἐξισωμένον· ἀπαράλλακτα ποιοῦντες, ὡς καὶ εἴ τις κατηγορήσας τινῶν ἐπ' ἐγκλήματι πρὸς τοὺς δικαστὰς, κἀκείνων μάρτυρας τῆς ἰδίας ἀθῳότητος ἀξιοχρέους ἐπαγομένων, ὁ δὲ στραφεὶς συκοφαντοίη καὶ τοὺς μάρτυρας αὐτοὺς, ὡς συνενόχους τοῖς κατηγορουμένοις.

§. ζ. Γ) Τρίτην λέγουσιν αἰτίαν τῆς τοῦ κειμένου πρὸς τὴν ἑρμηνείαν διαφορᾶς τὴν μετὰ ξενικῶν ἰδιωτισμῶν, οἷον Χαλδαϊκῶν, ἢ Συριακῶν καὶ Ἀραβικῶν, ἀνάμιξιν καὶ φθορὰν τῆς ἤδη κατὰ τὴν

προλαβοῦσαν αἰχμαλωσίαν ἀποβαλούσης τὸ γνήσιον καὶ πάτριον κάλλος ἀρχαίας ἑβραϊκῆς (α). Πολλάκις οἱ Ο δηλονότι μετέφραζον ἑβραΐδα τινα λέξιν, καθ' ἣν εἶχεν αὕτη σημασίαν (ἢ καὶ ἄλλη τις ὁμόηχος, ἢ συγγενὴς αὐτῆς φωνὴ) παρὰ τοῖς εἰρημένοις ἔθνεσι. Καὶ φέρουσιν οἱ κριτικοὶ καὶ τούτων παραδείγματα πρὸς ἀπόδειξιν. Οἷον· τὸ ἑβρ. « Μωὰβ λέβης *λούματός μου* », (καὶ Ἀκύλας, « λέβης *τοῦ λουτροῦ μου* », καὶ ὁ Σύρος, « κάδος τῆς πλύσεώς μου »), εἶπον οἱ Ο « *λέβης τῆς ἐλπίδος μου* » (Ψαλμ. νθ, 8. Οὕτω καὶ ἡ Βουλγάτα, καὶ ὁ Σύμμαχος, « κάδος τῆς ἀμεριμνίας μου »)· διότι ἡ ἑβραία λέξις *ῥαχὰζ* (Rachaz, λοῦσις) ὁμοφωνεῖ πρὸς τὸ Χαλδαϊκὸν *ῥεχὰζ* (ἐλπίζειν, πεποιθέναι). Πάλιν· τὸ ἑβραϊκὸν (ὡς ἐξηγοῦσιν) « *ἐπὶ ταῖς συμφοραῖς αὐτῶν* » (ὁ δ' Ἀκύλας, « *ἐν ταῖς κακίαις αὐτῶν* »)· οἱ δὲ Ο (καὶ Θεοδοτίων) « *ἐν ταῖς εὐδοκίαις* αὐτῶν » (Ψαλμ. ρμ, 5), ὅπου φαίνονται παραγαγόντες τὴν ἑβραΐδα λέξιν ἐκ τοῦ Χαλδαίου *ῥεὰ* (θέλειν, εὐδοκεῖν), καὶ ἄλλα τοιαῦτα. Ἀραβισμῶν δὲ φέρουσι παραδείγματα ταῦτα: « τῆς *σιωπήσεώς σου* (Ἆσμ. δ, 1) ἀπὸ τοῦ ἀραβικοῦ semam (ἐσίγησεν, ἐκωφώθη), ἀντὶ τοῦ ἑβρ. samma, ἢ tsammah, ἡ καλύπτρα. Πάλιν οἱ Ο· « Βασιλεὺς *δημηγορῶν* ἐν ἔθνει » (Παροιμ. λ, 31), τὸ δ' ἑβρ. « βασιλεὺς *ἀνίκητος* » (alekum· κατ' ἄλλους, περικυκλούμενος, περιεστοιχισμένος). Ἐξήγησαν λοιπὸν οἱ Ο κατὰ τὸ ἀραβικὸν al-kom (ἐκ τοῦ ἄρθρου al, καὶ kom, στάσις, λαὸς κύκλῳ περιϊστάμενος, ὡς στεφάνη· ὡς ἂν εἴποις, ὁ δῆμος περὶ αὐτὸν), καὶ ἄλλα τοιαῦτα (β).

---

(α) Hottinger. Thes. p. 367 sq. ὅστις προστίθησι καὶ τὸ Αἰγυπτιακὸν ἰδίωμα μεμιγμένον παρὰ τοῖς Ο. Ἀλλ' ὁ Φράγκελος ἀμφίβολον ἔκρινε τὸ πρᾶγμα. (l. c. p. 203). οὐχ ὅτι ᾐσχύνθη τὸ ψεῦδος τοῦ Ὀττιγγήρου, ἀλλὰ διότι ὑπώπτευσε, μήποτε καὶ αὐτὸς ὁ θεόπτης Μωϋσῆς ἀναφανῇ Αἰγυπτιάζων ἔν τισιν ἰδιωτισμοῖς τῆς Πεντατεύχου! Ὅτι δὲ περὶ τὸ ὄνομα Ἰασοὺβ ἐφάνη ὁ προφήτης ἀραβίζων, (ἵνα μὴ φανῇ ὁ μασορίτειος κώδηξ ἐσφαλμένος), εἴδομεν ἐν τοῖς προλαβοῦσι (σελ. 807) τρανῷ τῷ στόματι ἀποφαινομένους τοὺς κριτικούς!

(β) Hottinger. l. c. — Rosenmüller Annot. in Psalm. 60, 9. — Schulz Schol. ib. καὶ in Proverb. l. c. — Schleusn. Thes. V. Test. λ. Ἐλπὶς, Εὐδοκία. Δημηγορέω. — Frankel, l. c. p. 202, ὅπου ἀντὶ τοῦ δημηγορῶν

*Ἀπαντῶμεν.*

§. η. α) Ὅτι μὲν ἡ γλῶσσα τῶν νικητῶν καὶ ἡ μετ᾽ ἄλλων ἑτερογλώσσων ἐπιμιξία πολλὴν ἔχει τὴν ἐπιῤῥοὴν εἰς τὴν συνήθη τοῦ νικηθέντος ἔθνους διάλεκτον, καὶ εἰς αὐτὰς ἐνίοτε τῶν ἐν αὐτῷ σοφωτέρων τὰς συγγραφὰς, ὑπάρχει πρᾶγμα πρόδηλον. Ὅτι δὲ ἐπενεργεῖ καὶ εἰς τὰ παλαιὰ συγγράμματα τῶν ἐνδόξων αὐτοῦ συγγραφέων, καὶ εἰς τὴν τούτων ἐξήγησιν, ὑπὸ πεπαιδευμένων ὁμογενῶν γινομένην, τοῦτο καὶ αὐτόν τινα πιστεῦσαι, καὶ τοὺς ἄλλους πεῖσαι, δυσχερές. Εἴη γὰρ ἂν τὸ αὐτὸ, καὶ εἴ τις λέγοι, ὅτι Διόδωρος, καὶ Στράβων, καὶ Πολύβιος, καὶ Πλούταρχος, ἀκμάζοντες, ὅτε τοῖς Ἕλλησιν ἐπεμίγησαν τὰ Ῥωμαϊκὰ, εἴποτε τὸν Ὅμηρον ἐξήγουν καὶ Πλάτωνα καὶ τὸν Δημοσθένην, περιέβαλλον τὰς ἀκηράτους αὐτῶν λέξεις καί τινας σημασίας ἐκ τῶν περικεχυμένων λατινικῶν ὀνομάτων, ἑρμηνεύοντες φέρ᾽ εἰπεῖν τὸ ὁμηρικὸν *σκύτος* (Ὀδυσ. ξ, 34) *ἀσπίδα*, ἐκ τοῦ λατινικοῦ scutum, καὶ ἄλλα ὡσαύτως. Ἀλλὰ τὰ τοιαῦτα μόλις ἄν τις δοίη ξένοις ἀνθρώποις ἡμιμαθέσι περί τινα γλῶσσαν ἑτερόφωνον, οἵτινες συλλογιζόμενοι καθ᾽ ἑαυτοὺς εἰς ἣν ἐθήλασαν πάτριον διάλεκτον, ἄν που περιτύχωσι λέξει τινὶ ὁμοήχῳ πρὸς ἄλλην τοῦ κατ᾽ αὐτοὺς ἰδιώματος, ἐκλαμβάνουσι κἀκείνην ταυτόσημον τῇ οἰκείᾳ· καὶ ὁ Γερμανὸς φέρ᾽ εἰπεῖν ἐξηγεῖ τὸ ἑλληνικὸν λέγειν (λαλεῖν), ὡς τὸ κατ᾽ αὐτὸν συγγενὲς μὲν τῆς ἑλληνικῆς φωνῆς, ἀλλ᾽ ὅμως ἑτερόσημον legen (κεῖσθαι). Ἀλλ᾽ οἱ Ο, ὑπῆρχον Ἑβραῖοι ἐξ Ἑβραίων, καὶ τῆς γλώσσης τῶν πατροπαραδότων Γραφῶν ἐγκρατεῖς. Ὥστε τὸ τοιούτοις ἁμαρτήμασι κατὰ τὴν ἑρμηνείαν αὐτοὺς περιπεσεῖν, φαίνεται ἀπίθανον. – β). Κἀκεῖνο δὲ θεωρητέον. Πᾶς τις μέλλων ξένους ἰδιωτισμοὺς ἐφ᾽ οἱωνδήποτε συγγραφῶν κριτικῶς ἐξελέγχειν, ὀφείλει πάντως ἐπίστασθαι μετὰ ἀκριβείας πάσας τὰς σημασίας ἑκάστης λέξεως καὶ φράσεως τῶν,

---

ὁ τυπογράφος ἐξέδωκε παρὰ τῷ Φραγκέλῳ δημιουργῶν! Ὁ ἀρχιραββῖνος οὗτος προσέθηκεν, ὅτι καὶ ἡ Ἑλληνικὴ γλῶσσα συνετέλεσεν τοῖς Ο εἰς ἀποπλάνησιν ἀπὸ τῆς ὀρθῆς ἑρμηνείας, καὶ φέρει τούτου παραδείγματα, περὶ ὧν λέγομεν εὐθὺς ἐν τῇ ἀπαντήσει.

ὧν παραβάλλει, γλωσσῶν· ἄλλως δὲ, πληροῖ τὰς σελίδας λόγων κενῶν· καὶ βλέπομεν πολλῶν κριτικῶν τοιαῦτα τολμήματα δικαίως καταγελώμενα· οἷα κἀκείνων τῶν ἐν τῇ καινῇ Διαθήκῃ πολλοὺς γνησίους ἑλληνισμοὺς ἐκλαβόντων ὡς ἀκράτους ἑβραϊσμούς (α). Οἱ δὲ τοὺς Συροχαλδαϊσμοὺς καὶ Ἀραβισμοὺς ἐξευρόντες ἐν τῇ τῶν Ο ἑρμηνείᾳ ἆρά γε κατεῖχον ἀκριβῶς ἐκμεμαθηκότες ἃς παραβάλλουσιν ἀρχαίας ἀσιανὰς διαλέκτους; καὶ διέκρινον τὰ τέρματα τῶν ὁρίων τῆς πρὸς τὴν γλῶσσαν τῶν Γραφῶν ἀρχαίας αὐτῶν σχέσεως καὶ συγγενείας; Ἀλλὰ τοῦτο (νομίζομεν) οὐκ ἂν ἀξιώσειαν οὐδ' αὐτοὶ οἱ πολυΐδμονες κριτικοί. Καὶ ὀρθῶς ἄρα κεκρίκασιν ἄλλοι μετριώτεροι, καὶ οὐχ ἧττον ἐγκρατεῖς τῶν Ἀσιανῶν γλωσσῶν, ὅτι ἐν τῇ Ἑβραΐδι γλώσσῃ λανθάνουσι σπέρματά τινα τῆς Χαλδαϊκῆς, κἀν ταύτῃ πάλιν τῆς Συριακῆς, ἐν ἐκείνῃ δὲ καὶ ἄλλων τινῶν κατὰ τὴν Ἀσίαν παλαιῶν διαλέκτων. Ὅθεν οὐ μόνον ἐν τοῖς περὶ τὴν αἰχμαλωσίαν συγγραφεῖσι τεύχεσι τῶν προφητῶν, ἀλλὰ καὶ ἐν τῷ Ἰὼβ ἀπαντῶνται Συριασμοὶ καὶ Χαλδαϊσμοί, καὶ κατ' αὐτὴν τὴν Πεντάτευχον εὑρίσκονται φωναί τινες νομιζόμεναι ἰδίως Χαλδαϊκαὶ (οἷον τὸ Γενέσ. κεφ. λα, 47) (β). Ὥστε καὶ αἱ λέξεις ἃς ἐξέλαβον οἱ Ο κατὰ τὴν παρὰ Χαλδαίοις σημασίαν, εἶχον καὶ ἐν τῇ Ἑβραϊκῇ τὴν δύναμιν τὴν αὐτὴν, ἣν ἐκεῖνοι καλῶς μὲν ἠπίσταντο, ἀφθόνως δὲ διδάσκουσι καὶ τοὺς βουλομένους μανθάνειν, καὶ ῥαββίνους καὶ κριτικούς (γ). – γ) Καὶ ὁ τῶν Ἀσιανῶν γλωσσῶν ἐγκρατέστατος Γεσένιος εἶπεν, ὅτι οἱ Ο φωνῶν τινῶν εἰθι-

---

(α) Βλ. Olearij de Stylo N. Test. pag. 7, 13. Lipsiae, 1677.

(β) Βλ. Pfeiffer Crit. sacr. cap. 3. p. 52-55. Ὅθεν καί τις τῶν καθ' ἡμᾶς σοφῶν ὀρθῶς ἀπεδέξατο μηδὲν τῶν ἀρχαιοτάτων βιβλίων τῆς παλαιᾶς Διαθήκης καθαρεύειν Χαλδαϊσμῶν. Βλ. Lud. Hierzel, Commentat. de Chaldaismi biblici origine et auctoritate critica. Lipsiae 1830 πρβλ. Rosenmüll. Prolegom. in Job. p. 21.

(γ) Οὕτω καὶ ὁ μακάριος Ἱερώνυμος ἐσφάλη, νομίσας ὅτι οἱ Ο, μεταφράσαντες προαίρεσιν ἐν τῷ Ἐκκλησιαστῇ (κεφ. α. β), Σύραν σημασίαν, οὐ τὴν Ἑβραίαν ἐξέφρασαν (βλ. ὄπισθεν σελ. 541). Ἐντεῦθεν ἴσως λαβόντες τὴν ἀφορμὴν οἱ νεώτεροι κριτικοὶ κατεμέστωσαν τὴν ἑρμηνείαν Συρισμῶν καὶ Χαλδαϊσμῶν.

σμένας παρὰ τοῖς Ἄραψι σημασίας ἐγνώριζον καὶ ὡς Ἑβραϊκὰς καὶ Χαλδαϊκάς. (α). - δ) Ὡμολόγησε καὶ Φράγκελος, ὅτι χρεία προσοχῆς, μή ποτε σημασίας τινας Ἀραβικὰς μακρόθεν λαμβανομένας ἀπονέμωμεν εἰς τοὺς Ο· καίτοι γε πρῶτος αὐτὸς οὐ προσέσχε τῷ παραγγέλματι. (β). - ε) Ὅλα τὰ ἐπιφερόμενα παραδείγματα τῶν Χαλδαϊσμῶν ἢ Ἀραβισμῶν ἐπιλύονται ἐξ ἄλλων χωρίων, ἢ μεταφράσεων τῆς Γραφῆς. Αὐτίκα, τὸ « *Λέβης τῆς ἐλπίδος μου* » (γ) παραβάλλεται πρὸς τὸ Ἀμὼς δ, 2, καὶ Ζαχαρ. ιδ, 20. Περὶ τοῦ Σαμμὰ (Tsamma), τῆς καλύπτρας, εἴπομεν ἐν τοῖς προηγηθεῖσι (σελ. 637). Οὐδὲν δὲ ξένον, εἰ καὶ παρὰ τοῖς Ἄραψιν ἡ αὐτὴ σχεδὸν φωνὴ ἀπὸ τοῦ ἀλάλου καὶ κωφοῦ προσέλαβε κατὰ μετάληψιν καὶ τὴν καλύπτραν (ὡς καὶ ταύτης βυούσης τὰ ὦτα καὶ τὸ στόμα, καὶ τὸν φέροντα ποιούσης κωφὸν μογιλάλον· τοιαύτας δὲ βαθείας καὶ νῦν τὰς καλύπτρας εἰλίσσονται περὶ τὸ πρόσωπον αἱ γυναῖκες τῶν Ἀσιανῶν ἐθνῶν). Χαριέντως δὲ προσετέθη ἡ σημασία καὶ εἰς τὴν ἑλληνικὴν *σιώπησιν*. Ὑπομιμνήσκει γὰρ ἡ λέξις τὴν φέρουσαν ἐπὶ τοῦ προσώπου τὸ καλὸν τῆς αἰδοῦς κάλυμμα, κἀκεῖνο τὸ ἔπος, «Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει». Τὸ δὲ, τέλος, « *Δημηγορῶν ἐν ἔθνει* » ὡσαύτως ἡρμήνευσαν καὶ ὁ Σύρος καὶ ὁ Χαλδαῖος (concionem habens in populo suo), οὔτε ἀραβίζοντες, οὔτε χαλδαΐζοντες, ἀλλ' ἀναγνόντες ὀρθῶς τὴν ἑβραϊκὴν φωνὴν, ὡς ἀνέγνων

---

(δ) Gesenius Comment. zu Jesaias pag. 63. — (β) Frankel, l. c. pag. 201.

(γ) Τὴν ἑρμηνείαν τοῦ ῥητοῦ βλ. παρὰ τῷ ἱερῷ Θεοδωρήτῳ, εἰς ψαλμ. νθ, 9, καὶ εἰς ψαλμ. ρζ (ὅπου ἐπαναλαμβάνει κατὰ λέξιν τὰ αὐτὰ ἐδάφια ὁ προφητάναξ ψαλμῳδός)· Πρβλ. καὶ τὰ τοῦ Ἡσυχίου· «Ὅλον τῶν ἐθνῶν τὸ σύστημα διὰ τῆς τοῦ Μωὰβ προσηγορίας αἰνίττεται. Θυσία ἀληθινὴ τῷ πυρὶ τοῦ θείου πνεύματος θερμαινομένη» (ὡς τὰ ἐν τῷ λέβητι κατὰ τὴν θυσίαν ἑψόμενα, ἐπ' ἐλπίδι ἱλασμοῦ). Ἡσύχ. λ. Μωὰβ λέβης κτλ. κατὰ τὸ «ἔσονται ὡς λέβητες ἐν τῷ οἴκῳ κυρίου». Ζαχαρ. ιδ, 20. Τῶν δέ τις νεωτέρων ἐξήγησε τὸ ῥητὸν κατὰ γράμμα, «ὁ Μωὰβ, ἡ ἐλπιζομένη μοι ὑπηρεσία» (ὡς ὁ λέβης δηλονότι, σκεῦος ὑπηρετικόν). «Mea sperata Servitia» (Rosenmüll Sch. in Psalm. l. c.). Ἀλλ' εἶπεν ἂν ἁπλούστερον, «Λέβης ἐκκαίων τὴν ἐλπίδα μου» (εἰς κατάκτησιν αὐτοῦ δηλαδὴ, κατὰ τὰ ἐφεξῆς τοῦ ψαλμοῦ). Ὑπέταξε δὲ καὶ τοὺς Μωαβίτας ὁ Δαβὶδ (Β. Βασιλ. η, 2· Α. Παραλ. ιη, 2).

καὶ οἱ Ο. Τὴν δ᾽ ἐν τῷ καθ᾽ ἡμᾶς ἑβραϊκῷ στρεβλὴν τῆς λέξεως γραφὴν, καὶ τὴν ἔτι στρεβλοτέραν εἰς τὸ ὁμοιόφωνον ἀραβικὸν ἐφαρμογὴν οὐκ ἐπαινοῦσιν οὐδὲ τῶν καθ᾽ ἡμᾶς κριτικῶν οἱ ἐπίσημοι (α). Καὶ ταῦτα μὲν ταύτῃ. Ὁ δὲ Φράγκελος ἐξήλεγξε τοὺς Ο καὶ ὡς ἀναμίξαντας ἑλληνικάς τινας καὶ μυθικὰς σημασίας, καὶ φράσεις παροιμιώδεις ἐκ τῆς παρ᾽ Ἕλλησι συνηθείας, δι᾽ ὧν παρηρμήνευον τὸ κείμενον τὸ ἑβραϊκόν· οἷον, ὅταν λέγωσι « *κέρας Ἀμαλθείας* » (Ἰὼβ μβ, 14) τὸ ἑβρ. Keren-hapuch (κέρας στίμμεως), καὶ τὸ Seol, ᾅδην. Ἀλλὰ περὶ τοῦ πρώτου, βεβαιοῦμεν τὸν Ἀρχιραββῖνον, καὶ τοὺς περὶ τὸν Σκλευσήνερον (πρὸς ὃν παραπέμπει καὶ ὁ Φράγκελος), ὅτι οἱ Ο, οὔτ᾽ αὐτοὶ τοὺς Ἡρακλέους ἄθλους ἐτίμων, ἢ τοὺς ἄλλους ἐδίδασκον τιμᾷν, οὔτε μύθους ἀνεμίγνυον ἐν ταῖς ῥήσεσι τῶν θεοπνεύστων Γραφῶν. Ὡς οὐδ᾽ αὐτὸς ὁ μέγας Ἰὼβ, *κέρας στίμμεως* τὴν τρίτην θυγατέρα καλέσας, ἐδίδασκε τὸ στιμμίζειν καὶ ὑπογράφειν τοὺς ὀφθαλμούς. Ἀλλὰ καὶ οὗτος ἐχρήσατο τῷ ὀνόματι, σημαίνοντι τὴν εὐόφθαλμον καὶ χαριτοβλέφαρον, καὶ ἑπομένως, ἀπὸ μέρους τὸ ὅλον, τὴν καλλίστην τὸ εἶδος, καὶ οἱ Ο θαυμαστῶς ἀπέδωκαν τὴν σημασίαν τοῦ ὀνόματος, τό,τε *κέρας* φυλάξαντες κατὰ λέξιν, καὶ ἀντὶ τοῦ στίμμεως (ἀσαφῆ τὸν λόγον ποιοῦντος) ἀντιτάξαντες τὸ σύνηθες τοῖς Ἕλλησιν Ἀμάλθεια. Καὶ πάντως, ἡ τότε συνήθεια *κέρας Ἀμαλθείας* ἔλεγε κάλλος χαριτόβρυτον ἐν εὐπραγίαις (β), μηδεμιᾶς ἀναφορᾶς εἰς τὸν μῦθον γινομένης· καθὼς καὶ ὅτε κοινῶς ἐχρῶντο καὶ ἄλλοις κυρίοις ὀνόμασιν, *Ὑάκινθον* λέγοντες καὶ *Ἄδωνιν* καὶ τὰ τοιαῦτα, οὐδὲ τότε συνεισῆγον καὶ τοὺς ἐπ᾽ αὐτοῖς μύθους. Αὐτοὶ οἱ Ο εἶπον καὶ Γίγαντας καὶ Τιτᾶνας, ἑρμηνεύοντες ἀκριβῶς τὴν ἀντιστοιχοῦσαν ἑβραΐδα φωνήν· μήπως ἀνεμίγνυον ἐν ταῖς θείαις ῥήσεσι καὶ τὴν ἔννοιαν τῆς Γιγαντομαχίας, ἢ Τιτανομαχίας; Ἐν τῷ αὐτῷ ἐδαφίῳ

(α) Schulz. Schol. in Proverb. l. c.

(β) Οὕτω καὶ ἐν παροιμίαις, « Ἀμαλθείας κέρας, ἐπὶ τῶν ἀφθόνως ζώντων καὶ εὐθηνούντων, καὶ εὐπραγούντων ». Σουΐδ. Καὶ αὐτὸ τὸ Ἑβραϊκὸν κέρας στίμμεως, ἀφθονίαν στίμμεως, καὶ εὐμορφίας δηλοῖ. βλ. Criticos Sacros. in h. l.

τοῦ Ἰὼϐ ἡ πρώτη τούτου θυγάτηρ ὀνομάζεται καὶ ἑϐραϊστὶ καὶ ἑλληνιστὶ *Ἡμέρα*. Ἡμέρα δὲ καὶ ἡ Ἄρτεμις ἐπιθετικῶς ἐκαλεῖτο (α)· μήπως ἐκ τούτου ψεκτέον τὸν Ἰὼϐ καὶ τοὺς Ο, ὡς καθιεροῦντας « *Ἄρτεμιν Ἰοχέαιραν* » ; ἢ *Ἡμέραν Ὑπερίονος θύγατρα*; Ἀλλ' οὕτως οὐκ ἂν φθάνοι Φράγκελος ψέγων τοὺς ἑρμηνεῖς, ὅτι καὶ *Νύκτα* εἶπον, καὶ *Ὕπνον*, καὶ *Ὥρας*, καὶ τἄλλα τῶν φυσικῶν, τὰ παρὰ τοῖς μυθογράφοις θεοποιούμενα. Τὸ δὲ Ἅδης ὅτι ἀκριϐῶς ἀντιστοιχεῖ πρὸς τὸ Ἑϐραϊκὸν Seol, Ἅδην καὶ τοῦτο σημαῖνον, ἢ *Τάρταρον ἠερόεντα*, κἂν ὁ ῥαϐϐῖνος ἀγνοεῖν ὑποκρίνηται, διδάσκουσιν ἄνδρες περιώνυμοι (ϐ). Ἀλλ' ὁ κριτικὸς οὗτος φυσῶν, καὶ *νάπυ βλέπων* κατὰ τῶν Ο, πεπλάνηται καὶ ὧδε, νομίσας, ὅτι καὶ ταύτην τὴν λέξιν εἶπον, εἰσάγοντες εἰς τὴν θείαν Γραφὴν τὸν ἐθνικὸν Ἀϊδωνέα, « Κρόνου παῖδα *Πλούτωνα*, *νερτέροισιν ἀνάσσοντα σὺν ἐπαινῇ Περσεφονείῃ* ». Πλὴν εἰμή που νομίζει ὁ Ῥαϐϐὶς, ὅτι καὶ ὁ γέρων Πατριάρχης Ἰακὼϐ, οὕτως ἐξελάμϐανε τὴν Ἑϐραΐδα λέξιν, ἐν οἷς ἔλεγεν (ὡς ἡρμήνευσαν κατὰ λέξιν οἱ Ο) « *καταβήσομαι - πενθῶν εἰς ᾅδου* » (Γενέσ. λζ, 35). Καὶ Παροιμίας (φησὶν) εἰσήγαγον ἑλληνικὰς οἱ Ο· οἷον ἐν Γ, Βασιλ. κα, 11. « Μὴ καυχάσθω *ὁ κύρτος* (ἤθελε γράψαι *κυρτὸς*) « ὡς *ὁ ὄρθος* » (ἤθελε γράψαι *ὀρθός*). Τὸ δ' ἑϐραϊκὸν (ὡς ἐξηγοῦσιν) ἔχει· « Μὴ καυχάσθω ὁ περίζωστος, ὡς *ὁ ἄζωστος* » (accinctus, aeque ac discinctus)· καὶ τοῦτο θεραπεύουσιν, ἐπεξηγοῦντες « ὁ περιεζωσμένος *τὰ ὅπλα*, καὶ ὁ ἀπεζωσμένος ». Ἀλλ' ἡ τῶν Ο ἐξήγησις ἁπλουστάτη φαίνεται, καὶ μάλιστα ἐκφράζουσα τὴν πρὸς τὸν αὐχηματίαν Ἄδερ παροιμιώδη καὶ μεγαλόφρονα ἀπόκρισιν τοῦ Δαϐίδ. Ὥστε κάλλιον ἂν ἔπραττεν ὁ ῥαϐϐῖνος μὴ ζητῶν ἐν τοῖς Μισνικοῖς αὐτοῦ πατράσι τὴν ἀλήθειαν, ἀλλὰ παρ' αὐτῶν μανθάνων τῶν Ο τὴν

(α) Ἡμέρα, 'Αρτέμιδος ἐπίθετον ». Ἡσύχ. βλ. καὶ τὰς σημειώσεις τῶν κριτικῶν. Οὕτω καὶ παρὰ τοῖς Ῥωμαίοις ἐκ τοῦ Dies ἡ Diana. πρϐλ. Rosenmüll. Schol. in Job. l. c. καὶ τοὺς Criticos Sacros ibid.

(β) « Seol· Tartarus, Orcus ». Schleusn. Thes. V. Test. v. Ἅδης. πρϐλ. καὶ Gesen. Lexic. Hebraic. pag. 973.

γνησίαν τῶν λέξεων σημασίαν (α). Ὤφειλε δὲ προσθεῖναι καὶ παρά τίσι τῶν Ἑλλήνων κεῖται ἡ παροιμία αὕτη, ἡ « Μὴ καυχάσθω ὁ κυρτός »! Καὶ ἀντὶ (λέγει) τοῦ « *λάκκος βαθὺς* » (ὡς ἔχει παροιμιωδῶς τὸ Ἑβρ. Παροιμ. κγ, 27), ἀντέταξαν οἱ Ο τὴν γνωστὴν ἑλληνικὴν παροιμίαν, τὴν « *πίθος τετρημένος* ».— Ἀλλ' οἱ Ο ὧδε διαφόρως ἀνέγνωσαν, ἢ ὡς ἔχει τὸ νῦν ἑβραϊκόν. Τοῦτο λέγει « Λάκκος βαθὺς, πόρνη » (οὕτω καὶ ἡ Βουλγάτα, καὶ ὁ Σύμμαχος, « ὄρυγμα βαθὺ, πόρνη » ), οἱ δὲ Ο, « Πίθος τετρημένος *οἶκος ἀλλότριος* ». Πρὸς δὲ *τὸν οἶκον* καταλληλότερον τὸ *πίθος τετρημένος*, ἢ τὸ, *λάκκος καὶ ὄρυγμα* βαθύ.

§. θ. Δ) Τετάρτην αἰτίαν τῆς περὶ τὴν μετάφρασιν διαφορᾶς ἀριθμοῦσιν οἱ κριτικοὶ τὴν ἄγαν ἐλευθερίαν τῶν Ο, οἵτινες τὴν ἔννοιαν μόνον ἐξέφραζον ἐν πολλοῖς, ὀλίγον περὶ τῶν λέξεων μεριμνῶντες. Ἐντεῦθεν ἀπαντῶσι πανταχοῦ τῆς ἑρμηνείας τοσαῦται φωνῶν, φράσεων, γνωμῶν ἐπαναλήψεις, ἐξ ὧν προκύπτει μεγάλη ἡ τῶν Ο, πρὸς τὸ Ἑβραϊκὸν πρωτότυπον παραλλαγή. Εἰς ταύτην τὴν ἐλευθερίαν τῶν ἑρμηνευτῶν ἀνήκει καὶ ἡ περὶ τὴν χρονολογίαν μεγάλη διαφορὰ, καθ' ἣν τὸ μὲν Ἑβραϊκὸν ἀπὸ κτίσεως κόσμου μέχρι τοῦ Κατακλυσμοῦ ἀριθμεῖ ἔτη 1655, ὁ δὲ τῶν Ο ἄφετος κάλαμος παραξέτεινε τὸν ἀριθμὸν εἰς ἔτη 2242, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.

*Ἀπαντῶμεν.*

§. ι. Περὶ μὲν τῆς χρονολογίας πραγματευόμεθα τὰ εἰκότα ἐν τῷ ἐφεξῆς Γ. Βιβλίῳ. Ἡ δὲ λεγομένη περὶ τὸ μεταφράζειν ἀπόλυτος ἐλευθερία τῶν Ο, τοσοῦτον ἀπέχει τῆς ἀληθείας, ὥστε, πᾶν τοὐναντίον, οὐδεμίαν εὑρήσεις τῶν ἄλλων ἑρμηνειῶν οὕτως ἐξηκριβωμένην καὶ κατὰ λέξιν καὶ κατ' ἔννοιαν, οἵαν οἱ κρίνοντες δικαίως ὁμολογοῦσι τὴν ἑρμηνείαν τῶν Ο. Μόνη ἡ φιλόκαινος σοφία τῶν

---

(α) Ὁ δὲ Λύδιος (διαλλάττων ἴσως ἀμφότερα τὰ κείμενα) ἐκλαμβάνει τὸ κυρτὸς, ἐπὶ τῶν βαρέως ὡπλισμένων, ὡς κυρτουμένων ὑπὸ τοῦ βάρους· ὥστε καὶ τὸ ὀ ρ θ ὸ ς λοιπὸν ἐκληπτέον ἐπὶ τῶν ψιλῶν, ἢ ἐλαφρῶν (βλ. Schleusner. Thes. v. Κυρτός). Ἀλλ' ἡ ἐκδοχὴ φαίνεται βεβιασμένη.

προμάχων τοῦ καθ' ἡμᾶς Ἑβραϊκοῦ συγκαλύπτουσα τούτου τὰς παντοδαπὰς ἀτελείας, ἐπενόησε μετὰ τῶν ἄλλων κομψευμάτων καὶ τὴν ἀνέδην ἐλευθερίαν τῶν ἑρμηνευτῶν. Ὤ; ἂν εἴπερ ἐποιεῖτο τὸν λόγον περὶ συγγραφῆς ἀσήμου, καὶ τριωβολιμαίας, ἐν γωνίᾳ που καὶ παραβύστῳ κειμένης ἀχρήστου, καὶ μὴ περὶ τῆς βίβλου τῶν θείων Γραφῶν, ἥπερ καὶ πρὸ Χριστοῦ Σωτῆρος δι' ὅλων τριῶν αἰώνων πολλαχοῦ τῆς Οἰκουμένης μυριάδες ἑλληνιστῶν Ἰουδαίων ἐχρῶντο κατὰ τὰς προσευχάς. Πολλοὶ δὲ τούτων καὶ ἑβραΐζοντες ἐμελέτων, καὶ ἐσχολίαζον, καὶ πρὸς τὰς ἰδίας αὐτῶν συγγραφὰς ὁδηγὸν αὐτὴν ἀσφαλῆ παρελάμβανον. Οἱ δὲ θεῖοι Ἀπόστολοι αὐτοί τε ἀνεγίνωσκον, καὶ τῇ Ἐκκλησίᾳ παρέδωκαν, ὡς Γραφὴν θεόπνευστον. « Πᾶσα γὰρ (φησι) Γραφὴ θεόπνευστος. » Τοιαύτην δὲ καὶ οἱ Πατέρες τῆς Ἐκκλησίας ἀνωμολόγησαν, πάσης δολερᾶς σκευωρίας ἄχραντον καὶ καθαρεύουσαν διατηροῦντες. Νῦν δὲ τῶν κριτικῶν ἡ περίνοια τὸ πλεῖστον τῆς θείας βίβλου φαύλων ἀνθρώπων ἔργον πειρᾶται δεικνύειν, προσθήκας πολλὰς καὶ δεινὰς ἐξ αὐτῶν εὑρίσκουσα τῶν ἑρμηνευτῶν προελθούσας, καὶ τούτους ζωγραφοῦσα τοιαῦτα καὶ τοσαῦτα τετολμηκότας περὶ τὴν μεταγλώττισιν τῶν λόγων τοῦ Θεοῦ, οἷα καὶ ὅσα οὐδὲ τῶν οἱασδήποτε βεβήλου συγγραφῆς μεταφραστῶν οὐδεὶς εὑρίσκεται θρασυνάμενος. Ἀλλὰ περὶ τῆς κατὰ τὴν ἑρμηνείαν ἀρίστης μεθόδου τῶν Ο, λέγομεν ἰδίως ἐν τῷ ἐφεξῆς κεφαλαίῳ.

§. ια. Ε) Πέμπτην πηγὴν τῶν πρὸς τὸ κείμενον διαφορῶν τῆς ἑρμηνείας εἰσάγουσιν οἱ κριτικοὶ τὴν περί τινα θρησκευτικὰ φρονήματα τῶν μεταγενεστέρων Ἰουδαίων μυθωδεστέραν καινοτροπίαν, ἣν νοσήσαντες καὶ οἱ Ο, παρεισήγαγον εἰς τὴν ἑρμηνείαν, διαφθείραντες τὴν ἀρχαίαν ἁπλότητα τοῦ κειμένου τοῦ Ἑβραϊκοῦ. Ταύτης δὲ δύω μάλιστα διαιροῦσι τὰ εἴδη.

α) Πρῶτον λέγουσιν εἶδος, τὴν ἀπὸ τοῦ γράμματος εἰς ἀλληγορικὰς ἐννοίας μεταπήδησιν, ὁπότε μεθερμηνεύουσι τὰς λέξεις, κατὰ τὴν τότε παρ' Ἰουδαίοις κρατοῦσαν ἀλληγορικὴν σημασίαν, ταύτην προτιμῶντες μᾶλλον, ἢ τὴν κατὰ λέξιν ὑπὸ τοῦ γράμματος

καὶ τῆς τοῦ λόγου συνθήκης ἐκφραζομένην. Ταύτην δὲ τὴν Ἰουδαϊκὴν συνήθειαν διετήρησαν καὶ ὕστερον οἱ Ταργουμισταί (α).

β) Δεύτερον λέγουσι, τὴν ἄκραν τῶν μεταγενεστέρων Ἰουδαίων σπουδὴν, ἣν εἶχον εἰς τὸ φεύγειν ἐπιμελῶς πᾶν ὅ,τι ἂν ὄζῃ πολυθεϊσμοῦ. Διὸ καὶ πᾶσαν λέξιν, ἢ φράσιν τῆς Γραφῆς ἐπίζηλον, καὶ εὐεπιχείρητον, καὶ πρὸς τὸ κακέμφατον ἐκληφθῆναι δυναμένην, μετεποίουν πρὸς τὸν συνήθη τρόπον, ἐκφράζοντες κατ' *εὐφημισμόν*. τοῦτο δὲ καὶ οἱ Ο φαίνοντ' ἐπιτετηδευκότες περὶ τὴν ἑρμηνείαν τῶν Γραφικῶν χωρίων ἐκείνων, ἐν οἷς εἰς τὸν Θεὸν ἀναφέρονταί τινα κατὰ ἄνθρωπον πάθη, καὶ μορφῆς ἀνθρωπίνης ἰνδάλματα, προσάπτοντα τῷ Θεῷ μέλη σώματος ἀνθρωπίνου· ἐν πᾶσι γὰρ τοῖς τοιούτοις μεταποιοῦσι τὰς φράσεις, ἀποβλέποντες πρὸς τὸν μονοθεϊσμὸν, καὶ σπουδάζοντες ἐκκλίνειν καὶ ἀποφεύγειν πᾶσαν ἐπὶ Θεοῦ φαινομένην *ἀνθρωπώδη μορφὴν*, καὶ *ἀνθρωποπάθειαν*. Τοῦτο δὲ παρατηρεῖται καὶ εἰς τὸ κείμενον τὸ Σαμαρειτανὸν, καὶ εἰς τὰς Χαλδαϊκὰς τῶν Γραφῶν παραφράσεις. Ἀλλ' οὐδεὶς τῶν παλαιῶν ἑρμηνέων (λέγουσιν οἱ κριτικοὶ) πρὸς τοῦτον τὸν σκοπὸν ἀφορῶν, ἐτόλμησε κατὰ τῆς ἁγιωτάτης φράσεως τῶν θείων λογίων ἔργα βιαιότερα παρὰ τοὺς Ο! οἵτινες προκατέσπεισαν ἐπὶ τῆς ἑρμηνείας τὰ δόγματα τῆς Ἀλεξανδρινῆς τῶν Ἰουδαίων φιλοσοφίας, ἧς ἔπειτα πρωτεύων συγγραφεὺς ἐγένετο Φίλων. Τῆς δὲ τοσαύτης (λέγουσι) τῶν Ο τόλμης ἐμβριθέστατα δείγματα πολλὰ καταφαίνονται. Αὐτίκα, τὸ Ἐλωεὶμ (Elohim, παρ' Ἑβρ. πληθυντικ. οἱ Θεοὶ, λεγόμενον καὶ ἐπὶ τοῦ μόνου Θεοῦ), καὶ ὅτε πρὸς πληθυντικὸν συντάσσεται ῥῆμα (ὡς Γενέσ. κ. 13), οὐδ' ἔστι κίνδυνος ἐκδοχῆς ἐπὶ ψευδοθέων, κᾀκεῖ οἱ Ο ἑνικῶς ἑρμηνεύουσιν, « *ὁ Θεός* ». — Ἐν Γενέσ. ς, 6, 7, τὸ Ἑβρ. ἔχει « μετεμελήθη ὁ θεὸς, » οἱ δὲ Ο « *ἐνεθυμήθη* ». — Ἐξόδ. κδ, 10, 11. τὸ Ἑβρ. « *εἶδον τὸν Θεόν* » οἱ δὲ Ο, « *εἶδον τὸν τόπον, οὗ εἱστήκει ὁ Θεός* ». — Ἀριθμ. ιβ, 8. Τὸ Ἑβρ. « *τὸ* εἶδος Κυρίου », οἱ δὲ Ο « τὴν δόξαν Κυρίου ». — Ἐξόδ. ιε, 3. Τὸ Ἑβρ. « Ὁ

(α) Cellarij Disput. de LXX. Interpret. §. 20. — Carpzovij Crit. Sacr. P. II. c. 2. pag. 518.

Κύριος ἀνὴρ πολέμου », οἱ δὲ Ο « Κύριος *συντρίβων πολέμους* ». — Δευτερ. λϐ. 4. τὸ ἑϐρ. *Πέτρα*, ἢ *βράχος* (ἐπὶ Θεοῦ)· οἱ δὲ Ο, « ὁ Θεός ». — Δευτερ. ιδ. 23, τὸ Ἑϐρ. « *κατοικίσει* τὸ ὄνομα αὐτοῦ (τοῦ Θεοῦ) ἐκεῖ »· οἱ δὲ Ο « *ἐπικληθῆναι τὸ ὄνομα* » κτλ. Τῆς τῶν κάτω χρόνων Ἰουδαϊκῆς θεολογίας ἴχνη παρὰ τῶν ἑρμηνευτῶν ἐν τῇ Πεντατεύχῳ τετυπωμένα δεικνύουσι κἀκεῖναι αἱ δύω λέξεις, « *δαιμόνια* » (Δευτερ. λϐ. 17. ὅπου τὸ ἑϐρ. Sedim), καὶ « ἄγγελοι » (Δευτερ. λγ, 2. ὅπου τὸ ἑϐρ. esch dath, πυρὸς νόμος, ἢ ignea Lex).

Καὶ τὰς φοϐερὰς τοῦ Θεοῦ ἀπειλὰς συγκιρνῶσιν ἐνίοτε πρὸς τὸ ἠπιώτερον· οἷον Ἀριθμ. κε, 4. τὸ ἑϐρ. « *κρέμασον* αὐτούς »· οἱ δὲ Ο, *παραδειγμάτισον*. — Δευτερον. ιγ, 9. τὸ ἑϐρ. « Ἀποκτείνων ἀποκτενεῖς αὐτὸν εὐθέως »· οἱ δὲ Ο, « Ἀναγγέλλων ἀναγγελεῖς περὶ αὐτοῦ ». — Λευϊτ. ιη. 25 τὸ ἑϐραϊκ. « καὶ *ἐξήμεσεν* » (ἡ γῆ ἐπὶ τοῖς ἐγκαθημένοις ἐπ' αὐτῆς)· οἱ δὲ Ο, « *προσώχθισε* ». - Δευτερ. ζ, 16. τὸ ἑϐρ. « Καὶ φάγῃ *πάντα τὰ ἔθνη* »· οἱ δὲ Ο, « *φάγῃ πάντα τὰ σκῦλα τῶν ἐθνῶν* » κτλ.

Καὶ ἄλλοι δὲ τῶν Ο τόποι ἐκπνέουσιν εἰδικῶν Ἀλεξανδρινῆς φιλοσοφίας δογμάτων ὀσμήν. Οἷον τὸ *τετραγράμματον* ὄνομα τοῦ Θεοῦ νομίζοντες καὶ οὗτοι ἄῤῥητον καὶ ἀπόῤῥητον (ὡς μαρτυρεῖ καὶ ἡ κατ' αὐτοὺς ἑρμηνεία ῥητῶς. « Ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου » κτλ. Λευϊτ. κδ, 16), ἑρμηνεύουσιν ἀείποτε διὰ τοῦ *Κύριος*. Ὅπου δ' οὐκ ἐχώρησε τὸ *Κύριος*, ἔγραψαν ὁ ΩΝ (ὡς Ἐξόδ. γ, 14: δίς). Οὐδ' ἂν ἀρνηθείη τις, ὅτι οἱ Ο, καθὼς καὶ Φίλων μετ' αὐτοὺς, δύω τῆς τοῦ κόσμου δημιουργίας ἱστορίας ὑπελάμϐανον, καὶ δημιουργίαν διπλῆν, τὴν μὲν πνευματικὴν, δι' ἧς ἐν ἰδέαις ἀοράτοις ἐδημιουργήθησαν τὰ ὄντα *κατὰ γένη*, τὴν δὲ ὁρατὴν, καθ' ἣν ἕκαστα τῶν ὄντων ἐκτίσθησαν *καθ' ὁμοιότητα*, ἤτοι κατὰ μίμησιν τοῦ ἀρχετύπου παραδείγματος τῶν πρότερον δημιουργηθεισῶν ἰδεῶν αὐτῶν. Καὶ τοῦτο πρεσϐεύοντες οἱ Ο, καταφαίνονται ἐκ τοῦ Γενέσ. κεφ. α, 2: καὶ κεφ. β, 5, 9, 19. Οἱ δέ τινες τῶν κριτικῶν προσέθηκαν, ὅτι καὶ τῆς Εὔας τὴν δημιουργίαν οἱ Ο ἀλληγορικῶς ἐξέλαϐον ἀντὶ τῆς *σαρκὸς*, τὸν δὲ ὄφιν, ἀντὶ τῆς *ἡδονῆς* κτλ. (α).

(α) Βλ. Dähne Geschichtl. Darstellung der Jüdisch - Alexandrinischen

### *Ἀπαντῶμεν.*

§. ιϐ. α) Πρῶτον· οἱ περὶ τὸν Κελλάριον μεμψάμενοι τοὺς Ὀ καθολικώτερον ὡς ἀλληγορικοὺς, ἐπελάθοντο ἄρα, ὅτι τὰ σοφώτατα καὶ πρεϐύτατα τῶν ἐθνῶν ἀλληγορίαις ἐχρῶντο. Μάρτυς Ὅμηρος, πολλαχοῦ τῶν ποιημάτων ἀναντιῤῥήτως ἀλληγορῶν. Ὅθεν καὶ πρὸ τοῦ Πλάτωνος ὑπῆρχον οἱ τοὺς παρ' Ὁμήρῳ μύθους ἀλληγοροῦντες (α)· καὶ Ἡρακλείδης ὁ Ποντικὸς ἔγραψεν *ἀλληγορίας Ὁμηρικάς* (ϐ). Καὶ αὐτὸς Ἀριστοτέλης, καὶ Θεόκριτος ὁ ποιητὴς, μαρτυροῦσι τοὺς ἀρχαίους εἰδότας ἀλληγοροῦντα πολλάκις τὸν Ποιητήν (γ). Καὶ αὐτοῦ δὲ τοῦ Πυθαγόρου ἡ συμϐολικὴ διάλεκτος οὐκ ἀπεῖχε μακρὰν τῆς ἀλληγορίας. Ἀλλὰ ταῦτα μὲν καὶ τὰ τοιαῦτα καταλείπομεν θυραυλοῦντα ἐκτὸς τοῦ ἱεροῦ περιϐόλου. Πρὸς δὲ τὰς θείας Γραφὰς ἀφορῶσιν, ὅτι παρὰ τοῖς ἀρχαίοις Ἑϐραίοις συνήθης ἦν ἡ ἀλληγορία, δῆλον μὲν καὶ ἐκ πολλῶν χωρίων τῶν προφητῶν, διδάσκει δὲ καὶ

---

Religions-philosophie. P. II. c. 1. — G. Thierschij De Pentat. versione Alexandr. pag. 41-49 πρϐλ. Michaelis Syntagm. Comment. P. II. N. 13. Ἐκ τούτων καὶ ἄλλων ἠρανίσατο καὶ ὁ κριτικὸς Φράγκελος (l. c. p. 174-179) οὐ μεμπτὴν ἐράνου συμϐολήν· προσέθηκε δὲ καί τινα καὶ ὡς ἀρχιραϐϐῖνος ἐκ τῶν ἀρεσκόντων τῇ Συναγωγῇ, περὶ ὧν λέγομεν ἐν τῇ ἀπαντήσει.

(α) Βλ. Πλάτων. περὶ πολιτ. β. σελ. 625 ἐκδ. Francof. Καὶ αὐτὸς δὲ Πλάτων, καίτοι τὸν Ὅμηρον διὰ τοὺς Θεοῖς ἀπρεπεστάτους μύθους ἐκϐάλλων τῆς ἑαυτοῦ πολιτείας (αὐτόθ. σελ. 604)· ἀλλ' ὅμως καὶ αὐτὸς οὐκ ἔφευγε τὰς ἀλληγορίας. Ἀλλ' ὕστερον οἱ ἀλληγορισταὶ (καὶ μάλιστα οἱ Νεοπλατωνικοὶ) κατὰ κόρον ἀλληγοροῦντες, ἐξέπεσαν εἰς ἐννοίας ἀλλοκότους καὶ ψευδεῖς. βλ. Schow, Comment. crit. εἰς Ἡρακλείδ. Ἀλληγορ. σελ. 223-241.

(ϐ) Βλ. Ἡρακλείδ. Ἀλληγορ. Ὁμηρικ. ἐκδ. Schow. Gœtting. 1782.

(γ) Οὕτως Ἀριστοτέλης τὰς παρ' Ὁμήρῳ «ἑπτὰ ἀγέλας» ἐκ 350 βοῶν συνεστώσας, ἠλληγόρησεν εἰς τὰς ἡμέρας τοῦ ἐνιαυτοῦ (παρὰ Λουκιαν. περὶ Ἀστρολογ. βλ. ὄπισθ. σελ. 286). Καὶ Θεόκριτος ἠλληγόρει τὴν Κίρκην εἰς τὴν ἄμουσον, ἢ κακόμουσον μοχθηρίαν, εἰπὼν, ὅτι «Μῶσαι φίλαι - ὀρεῦντι γαθεῦσαι, τὼς δ' οὔτι ποτῷ δαλήσατο Κίρκα» (Εἰδυλ. Θ. 35.). Βλ. καὶ τὸ εἰς τὸν Πλούταρχον ἐπιγραφόμενον Περὶ τῆς Ὁμήρου ποιήσεως §. ια, κτλ. καὶ Πορφυρίου περὶ τοῦ Νυμφῶν ἄντρου, καὶ Πρόκλου εἰς τὴν Πλάτωνος πολιτείαν §. ϐ. πρϐλ. καὶ τὸν θεῖον Κύριλλον τὸν Ἀλεξ. κατὰ Ἰουλιαν. Α. σελ. 26, 27. καὶ τὸν ϐαθὺν Εὐστάθιον πολλαχοῦ τῶν Παρεκϐολῶν.

ἡ καθ' ἡμᾶς ἱερὰ θεολογία· καὶ πρὸ πάντων ὁ θεῖος Ἀπόστολος Παῦλος, εἰπὼν τὰ ἐν τῇ θείᾳ Γραφῇ «*ἀλληγορούμενα*». (α) Αὐτὸς ὁ θεόπτης Μωϋσῆς «τὰ μὲν αἰνίττεται δεξιῶς, τὰ δ' ἀλληγορεῖ μετὰ σεμνότητος, ὅσα δ' ἐξ εὐθείας λέγεσθαι συνέφερε, ταῦτα ῥητῶς ἐμφανίζει» (β). Τὰς δι' αἰνιγματώδεις *παραβολὰς*, ἐν αἷς ἤνοιγε τὸ θεόπνευστον στόμα τοῦ Προφητάνακτος (Ψαλ. οζ. 2), καὶ τὰς ἀλληγορικωτέρας τῶν Σολομῶντος Παροιμιῶν, (λ, 16.), καὶ τὰ συμβολικώτερα τοῦ Ἐκκλησιαστοῦ (ε, 15—18: ιβ, 2—7), παρασιωπῶμεν. Ἀλλὰ κἂν τῇ πανάρέτῳ Σοφίᾳ τοῦ Σολομῶντος (ιη, 24) σεσημείωται ἀλληγορικὸν παράδειγμα, τὸ ἑξῆς· «Ἐπὶ γὰρ ποδήρους ἐνδύματος ἦν ὅλος ὁ Κόσμος». Ὡσαύτως κἀκεῖνος ὁ τοῖς Ο σύγχρονος ἀρχιερεὺς Ἐλεάζαρος ἐξήγησεν ἀλληγορικῶς τὰς γραφὰς (γ), καὶ ὁ Ἀριστόβουλος (δ) μετὰ τῶν Ἐσσηνῶν, ὡς προείπομεν (Βιβλ. Α. κεφ. ιβ. σελ. 444.), καὶ μετὰ ταῦτα Φίλων, ὁ πέραν τοῦ μετρίου πολλάκις ἀλληγορήσας (ε). Ὥςε οἱ περὶ τὸν Κελλάριον ψέγοντες τοὺς Ο, ὡς χρησαμένους τῷ τρόπῳ τῆς ἀλληγορίας ὁμοίως τοῖς τὰς ἁγίας καὶ πατριαρχικὰς παραδόσεις βεβηλώσασι Χαλδαίοις Ταργουμισταῖς (ἐξ ὧν ὕστερον προῆλθε καὶ τὸ τέρας τῆς δυσσεβείας τῶν Καββαλιστῶν),

---

(α) Γαλάτ. δ, 24. πρβλ. Γενέσ. ιϛ, καὶ κα. - Α. Κορινθ. θ, 9. καὶ Δευτερ. κε. 4. βλ. καὶ τὴν Βαρνάβα ἐπιστολὴν ἀλληγοροῦσαν οὐκ ὀλίγα.

(β) Ἰώσηπ. Ἀρχαιολ. προοιμ. §. δ.

(γ) Ἀριστέας σελ. 18. — Εὐσέβ. Εὐαγ. Προπαρ. η, σελ. 218. Lut.

(δ) Κλήμ. Στρωμ. ε. — Εὐσέβ. Ἐκκλ. ἱστορ. ζ, 32.

(ε) Τὴν τοιαύτην ἀμετρίαν καὶ εἰσροὴν, ἀλλ' οὐχ ἁπλῶς τὴν ἀρχαιότροπον καὶ σωφρονοῦσαν ἀλληγορίαν ἐννοεῖ καὶ ὁ ἱερὸς Φώτιος, ἐν οἷς λέγει περὶ τῆς ἀλληγορίας (ᾗ καὶ αὐτὸς ἐν τοῖς Ἀμφιλοχίοις ἐχρήσατο), ὅτι «ἐκ τοῦ Φίλωνος οἶμαι καὶ πᾶς ὁ ἀλληγορικὸς ἐν τῇ Ἐκκλησίᾳ λόγος ἔσχεν ἀρχὴν εἰσρυῆναι» (Ἀναγνώσ. ρε.). Αἰνίττεται δὲ μάλιστα τὸν Ὠριγένην, ὅστις καὶ αὐτὸς ἑρμηνεύων τὰς θείας Γραφὰς, ἐξέπεσεν εἰς ἀμετρίαν ἀλληγορίας. Τῶν δὲ θείων Πατέρων οἱ ἀρχαιότατοι πολλὰ τῶν θείων Γραφῶν ἀκριβῶς ἠλληγόρησαν, οἷον Κλήμης ὁ Ῥώμης (ἐπιστολ. α.), καὶ ὁ θεῖος Εἰρηναῖος (Βιβλ. Γ, καὶ Δ, ὅστις καὶ τὰς σκοτεινὰς τῶν βλασφήμων Γνωστικῶν ἀλληγορίας ἀνασκευάζει), καὶ Γρηγόριος ὁ Νύσσης (τόμ. α. σελ. 468-483 Paris 1615), καὶ ἄλλοι τῶν ἁγίων Πατέρων συχνοί. Βλ. Münter Fragmenta veter. Patr. pag. 35 Hafn. 1778. - Mangey praef. in Philon. p. V-VI.

οὐκ ἂν φθάνοιεν ἐξελέγχοντες πρῶτον τοὺς θεηγόρους Προφήτας· οὐδὲν γὰρ τούτων ἀλλότριον, οὐδ᾽ αὐτόγνωμον, ἀλλὰ πάντα σύμφωνα καὶ συνῳδὰ μετέφρασαν καὶ οἱ Ο. Καὶ ταῦτα μὲν καθόλου περὶ τῆς ἀλληγορίας. Ἴδωμεν δὲ καὶ τὰ κατὰ μέρος εἰς αὐτοὺς ἀποῤῥιπτόμενα παραδείγματα πρὸς ἀπόδειξιν τῆς περὶ τὴν ἑρμηνείαν Ἰουδαϊκῆς τῶν Ἀλεξανδρινῶν φιλοσοφίας.

β) « Ἑνὸς ἀτόπου δοθέντος μυρία ἕψεται, » γνώμη λέγει παλαιά. Καὶ τοῦτο μάλιστα κατέδειξαν οἱ τῶν Ο κατήγοροι. Τῆς μὲν γὰρ ἱστορικῆς παραδόσεως ἀποπλανηθέντες, πρεσβεύσαντες δὲ πεποιθότως, ὅτι δῆθεν οἱ πρῶτοι τὰς θείας Γραφὰς ἑρμηνεύσαντες ἦσαν Ἀλεξανδρινοὶ, καὶ οὗτοι περὶ τοὺς κάτω γενόμενοι χρόνους, ὁπότε οἱ κατὰ τὴν Ἀλεξάνδρειαν Ἰουδαῖοι, ἀνθαμιλλώμενοι πρὸς τοὺς ἐθνικοὺς, κατεχρῶντο τῇ περὶ τὰς Γραφὰς ὑπερβολῇ τῶν ἀλληγοριῶν, μάλιστα δὲ πάντων ὁ Φίλων, ὅστις ἐφήρμοζε πολλάκις τὰς πυθαγορικὰς καὶ πλατωνιζούσας ἰδέας εἰς τὴν ἐξήγησιν τῶν θείων Γραφῶν, ταῦτα λέγομεν πεισθέντες οἱ σοφοὶ κριτικοὶ, ῥᾷστα τὸ λοιπὸν καὶ οὓς ἐμίσουν Ο κατεδίκασαν, ὡς δῆθεν καταχράναντας τὴν ἑρμηνείαν τῶν θείων λόγων δι᾽ ὧν ἐγκατέσπειραν οὐχ᾽ ὁσίων ἰδεῶν τῆς Ἀλεξανδρινῆς φιλοσοφίας, προπιόντες τῷ Φίλωνι τὸ τοιοῦτον εἶδος τῆς ἐξηγήσεως. Ἀλλ᾽ ἴδωμεν ἃ φέρουσιν οἱ ἄνδρες ἐμβριθέστατα παραδείγματα τῆς τοσαύτης τόλμης τῶν Ο.

Τὸ *Ἐλωεὶμ* (λέγουσι), καὶ ἀκινδύνως ἐπὶ τοῦ μόνου Θεοῦ λεγόμενον ἐν τῷ Ἑβραϊκῷ κειμένῳ, μεθερμήνευσαν ἑνικῶς *ὁ Θεός*· καὶ τοῦτο πρὸς ἀποφυγὴν τῆς ἐννοίας τοῦ πολυθεϊσμοῦ. Ἀλλ᾽ ἡμεῖς ἐκκαλοῦμεν τὴν δίκην εἰς αὐτοὺς πάλιν τοὺς κριτικούς. Τὸ Ἑβρ. Ἐλωΐμ, ἢ Ἐλωεὶμ, τύπον ἔχον πληθυντικὸν, ἔχει δύναμιν διττὴν, σημαῖνον καὶ ἓν, καὶ πολλά· ὅθεν τίθεται καὶ ἐπὶ τοῦ ἑνὸς καὶ μόνου Θεοῦ, καὶ ἐπὶ πολλῶν τῆς εἰδωλομανίας Θεῶν· καὶ ὀρθῶς λοιπὸν Προκόπιος ὁ Γαζαῖος, καὶ ὁ μακάριος Ἱερώνυμος εἶπον τὸ Elohim *ἀριθμοῦ κοινοῦ* (α). Διὰ ταύτην τὴν ἰδιότητα συμφέρεται τὸ Ἐλωΐμ

(α) Βλ. S. Hieronym. Quaest. Hebr. καὶ Epist. 136 πρβλ. Drusij An-

καὶ πρὸς ἑνικὸν ῥῆμα καὶ πρὸς πληθυντικόν. Αὐτίκα, ἐν ἀρχῇ τῆς Γενέσεως ἔχει τὸ Ἑβραϊκὸν ἐν ἀρχῇ *ἐποίησΕν* οἱ Θεοί, καὶ πάλιν ὁ Ἀβραὰμ (περὶ τοῦ μόνου Θεοῦ διαλεγόμενος) φησίν « Ἐξήγαγόν με

---

not. in Genes. l. c. κτλ. Σημειωτέον δέ, ὅτι περὶ τοῦτο τὸ πληθυντικῶς ἐν ἀρχῇ τῆς Γενέσεως λεγόμενον Elohim τινὲς τῶν ἀρχαίων μυστικώτερον θεολογοῦντες, εἶπον, ὅτι διὰ τοῦ πληθυντικοῦ ἀριθμοῦ τὸ μυστήριον τῆς παναγίας Τριάδος ὑπέγραψε θεοπνεύστως ὁ Μωϋσῆς. Οἱ δὲ Ἰουδαῖοι, καὶ πολλοὶ τῶν νεωτέρων μάλιστα κριτικῶν, θεωροῦσι τὴν φωνὴν ὡς ἁπλοῦν ἰδίωμα τῆς γλώσσης, ἔμφασιν μεγέθους παρέχον καὶ ἀξιώματος, κατά τινα μίμησιν τῶν τὰς μεγάλας πεπιστευμένων ἀρχάς, ὧν ἕκαςος περὶ ἑαυτοῦ πληθυντικῶς πολλάκις ἐκφράζεται, ἡ μ ε ῖ ς, λέγων, καὶ κ ε λ ε ύ ο μ ε ν κτλ. (συνήθης δὲ καὶ τῇ ἑλληνικῇ, καὶ ἄλλαις γλώσσαις ἡ τοιαύτη ἀξιωματικὴ ἔκφρασις. Ἀλλ' ὅμως ἐπὶ Ὁμήρου παρ' Ἕλλησιν ἄγνωστος ἦν. Πῶς ἄν τις πιστεύσειεν, ὅτι εἴθιστο παρὰ τοῖς Ἀσιανοῖς ἐπὶ τῶν πολλῷ παλαιοτέρων χρόνων τοῦ Μωϋσέως; Ἐπ' αὐτοῦ γε μὴν ὁ Φαραὼ διαλέγεται ἑνικῶς). Ἔπειτα (λέγουσι) καὶ ἄλλο ὄνομα πληθυντικὸν λέγεται ἐπὶ Θεοῦ, τὸ Adonim (Ἀδωναΐ)· -καὶ τὸν οὐρανὸν δυϊκῶς ἡ Ἑβραῒς ὀνομάζει Schamaim. Ἔσω ταῦτα πρὸς ὥραν. Ἀλλὰ τὸ « Π ο ι ή σ ω μ ε ν ἄ ν θ ρ ω π ο ν κ α τ' ε ἰ κ ό ν α ἡμετέραν » (α, 26: πρβλ καὶ β, 18) διὰ τί λέγεται πληθυντικῶς; καὶ πρὸς τίνα διαλεγόμενος οἷον βουλεύεται ὁ Θεός; Πρὸς τοὺς ἀγγέλους, λέγουσιν οἱ Ἰουδαῖοι (συναινοῦντος καὶ τοῦ Φίλωνος. τόμ. α. σελ. 16—17)· ἢ καὶ τοῦτο (λέγουσιν) ἐκφέρεται ἀξιωματικώτερον, ἀντὶ ἑνικοῦ (συναινοῦσι καὶ οἱ πλεῖστοι τῶν νεωτέρων κριτικοί). Ἀλλ' οἱ θεῖοι Πατέρες συμφώνως ὧδε « διδάσκουσι τὰ τέκνα τῆς Ἐκκλησίας, ὅτι οὐ πρὸς κτιστήν τινα δύναμιν διαλέγεται. ἀλλὰ πρὸς τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ. Οὗτός ἐστιν (Ἡσαΐ. θ, 6) ὁ τῆς μεγάλης βουλῆς ἄγγελος, ὁ θαυμαστὸς σύμβουλος, ὁ ἐξουσιαστής, ὁ ἄρχων τῆς εἰρήνης, ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος, ὁ μονογενὴς τοῦ Θεοῦ παῖς » (Χρυσόστομ. εἰς Γένεσ. Ὁμιλ. η. καὶ Σειρ. τῶν Πατέρ. εἰς Γένεσ. αὐτ.). Τοῦτο δὲ συνωμολόγησαν καί τινες τῶν κριτικῶν (βλ. Criticos Sacros in Genes. ibid.). Οὕτω καὶ Γενέσ. ια, 7, τὸ « Δ ε ῦ τ ε κ α ὶ κ α τ α β ά ν τ ε ς σ υ γ χ έ ω μ ε ν α ὐ τ ῶ ν ἐ κ ε ῖ τ ὰ ς γ λ ώ σ σ α ς », « πρὸς τὸν υἱὸν καὶ τὸ πνεῦμα εἴρηται » (Σειρ. εἰς Γένεσ. αὐτόθ.)· οἱ δὲ ῥαββῖνοι καὶ ῥαββινισταὶ ἀντιλέγουσι καὶ ὧδε ματαίως. Ἀλλ' εἶπε πάλιν ὁ Θεὸς (οἰκτείρων τὸν παραπεσόντα ἄνθρωπον, ὡς πιστεύσαντα τῷ διαβόλῳ εἰπόντι, « κ α ὶ ἔ σ ε σ θ ε ὡ ς Θ ε ο ί » ). « Ἰδοὺ (φησὶν) Ἀδὰμ γέγονεν ὡς « ε ἷ ς ἐ ξ ἡ μ ῶ ν » (Γενέσ. γ. 22). Τί λέγουσι καὶ πρὸς τοῦτο, τὸ τηλαυγῶς διαφαῖνον τῆς τριαδικῆς θεολογίας προαύγασμα; οἱ μὲν Ἰουδαῖοι πάλιν τοὺς ἀγγέλους εἰσάγουσι ληροῦντες, καὶ Φίλων αὐτὸς (τόμ. α. σελ. 431), Ὁ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν (ἐμοῦ τοῦ Θεοῦ, καὶ ὑμῶν τῶν Ἀγγέλων! ὁποία ἰσότης τοῦ κτίστου καὶ τῶν κτισμάτων!). Ὅθεν καὶ ὁ Χαλδαῖος Ὄγκελος αἰδεσθείς, παραβιάζει γελοίως τὸ ἐ ξ ἡ μ ῶ ν εἰς τὸ ἐξ α ὐ τ ο ῦ· καὶ μεταφράζει « γ έ γ ο ν ε ν ε ἷ ς ἐ ν τ ῷ α ἰ ῶ ν ι, καθὸ ἐ ξ α ὐ τ ο ῦ (γινώσκων καλὸν καὶ πονηρόν). Συναινοῦσι καὶ οἱ περὶ τὸν Γρότιον, τοὺς ἀγγέλους ἐκλαμβάνοντες, ἐναντίον καὶ τοῦ

οἱ Θεοὶ (Elohim) ἐκ τοῦ οἴκου τοῦ πατρός μου (Γενέσ.» κ, 13) (α). Ἐρωτῶμεν λοιπὸν τοὺς κριτικούς· πότερον, ἠδύναντο καὶ Ἑλληνικῶς οἱ Ο εἰπεῖν « ἘποίησΕν *οἱ Θεοί*; » ἤ, ἐξήγαγόν με *οἱ Θεοί*; χωρεῖ τὸ πρῶτον ἡ Ἑλληνικὴ γλῶσσα; χωρεῖ τὸ δεύτερον ἡ τοῦ Ἀβραὰμ εὐσέβεια, λεγόμενον πρὸς Ἕλληνας καὶ ἑλληνιστὰς ἀγνοοῦντας τὸ τοιοῦτο τῆς Ἑβραΐδος ἰδίωμα; χωροῦσιν ἀμφοτέρας τὰς φράσεις ἑνὸς ἑκάστου τῶν Εὐρωπαίων τούτων κριτικῶν αἱ σημεριναὶ διάλεκτοι; δειξάτωσαν· εἰ δὲ μή, τί θεσμοποιοῦσιν ἄθεσμα; 2) Πολλαχοῦ τῆς Θείας Γραφῆς καὶ κατ' αὐτὸ τὸ Ἑβραϊκὸν ἀντὶ τοῦ πληθυντικοῦ ἐκφέρεται καὶ τὸ ὄνομα καὶ τὸ ῥῆμα ἑνικῶς « Καὶ *ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον* ». Τί ἄλλο λοιπὸν ἔπραξαν οἱ Ο παρομοίως ἑρμηνεύσαντες πανταχοῦ, εἰ μὴ ὅ,τι καὶ ἡ Γραφὴ λέγει, καὶ ἡ φύσις τῆς Ἑλληνικῆς φωνῆς ἀπαιτεῖ; ἢ μήπως καὶ ὁ θεόπνευστος τοῦ κειμένου συγγραφεὺς εἶχε τὸν αὐτὸν καὶ οἱ Ο σκοπόν, ὃν ἐνεῖδον ἐν αὐτοῖς λοξότερον ἐμβλέψαντες οἱ κριτικοί; 3) Αὐτοὶ οἱ Ο μετέφρασαν τὸ Ἐλωεὶμ καὶ πληθυντικῶς ὅπου καὶ ἡ φύσις τῆς γλώσσης ἀπήτει καὶ τὸ νόημα· οἷον ἐπὶ τῶν μοσχολατρούντων· « Οὗτοι *οἱ Θεοί* σου Ἰσραήλ » (Ἐξόδ. λβ, 4, 8: Νεεμ. θ, 18. πρβλ. Α. Βασιλ. ζ, 3: Β. Παραλ. ιγ, 8:). Οὕτω καί, « Θεοὺς οὐ κακολογήσεις » (Ἐξόδ. κβ, 28: δηλονότι *τοὺς κριτάς*, ἢ τοὺς *ἡγουμένους*). 4) Εἴπερ οἱ Ο ἀνεμίγνυον καὶ κατὰ τὴν ἔκφρασιν ταύτην τὰ ἀρέσκοντα τῇ Ἀλεξανδρινῇ τῶν Ἰουδαίων φιλοσοφίᾳ, διὰ τί

---

κειμένου, καὶ αὐτοῦ τοῦ ὀρθοῦ λόγου. Οἱ δὲ νεώτατοι κριτικοὶ κἄτι τολμηρότερον εἶπον, ὅ,τι μήτε Φίλων, μήτε τις τῶν ἄλλων μεταφραστῶν, μήτ' αὐτοὶ ῥαββῖνοι ἐφαντάσθησαν· ὅτι δηλαδὴ τὸ Ἑβραϊκὸν ἑρμηνευτέον, οὐχὶ « ὡς εἷς ἐξ ἡμῶν », ἀλλά, « ὡς ἡμεῖς » (ἀξιωματικῶς δηλονότι, ἀντὶ ἑνικοῦ), κατὰ τὸ ἰδίωμα, φασι, τῆς ἑβραϊκῆς (Schulz καὶ Rosenmüll. Schol. in Genes. l. c.)· καὶ πρὸς τούτου πίστωσιν φέρουσιν ἓν μόνον παράδειγμα, καὶ τοῦτο τρίτου προσώπου ἐκ τῆς Β. Παραλ. ιη, 12, ὅπου ὅμως κἀκεῖ καὶ τὸ ἑβραϊκὸν καὶ ὅλαι αἱ μεταφράσεις ἔχουσιν « ὡς εἷς ἐξ ἐκείνων ». Οὕτως οἱ ταῖς Γραφικαῖς ἀντιλέγοντες ἀληθείαις ἀνύουσιν οὐδέν, πειρώμενοι χειρὶ τῶν ἄστρων ἅπτεσθαι, καὶ σχοίνῳ μετρεῖν οὐρανόν!

(α) Σπανιώτατον δὲ τὸ πρὸς ῥῆμα πληθυντικόν, καὶ μόνον κατά τινας τύπους, διατηρηθὲν ἐν τούτοις ἴσως ἐκ τοῦ πολυθεϊσμοῦ, ὡς ἐσημείωσεν ὁ Gesenius Lexic. Hebr. pag. 61.

παρομοίως ἐκφράζεται καὶ τὸ Σαμαρειτανόν; ἢ μήποτε καὶ οἱ Σαμαρεῖται πρὸ τοσούτων αἰώνων πρότερον τοῦ Φίλωνος ἐφιλώνιζον; 5) Οὔτε ὁ Ἀκύλας (ὁ μάλιστα παραβιάσας τὴν φύσιν τῆς ἑλληνικῆς φωνῆς, ὅπως ἀποδῷ καὶ τὰ *πρόαρθρα* τῆς ἑβραΐδος, καθὼς εἶπεν ὁ Ἱερώνυμος), οὔτε οἱ λοιποὶ (Σύμμαχος, καὶ Θεοδοτίων), οὔτε ἡ Συριακὴ, οὔτε ἡ Βουλγάτα ἑρμηνεία γνωρίζουσιν ἄλλην ἔκφρασιν τοῦ θείου ὀνόματος ἐν τοῖς ἄνω σεσημειωμένοις χωρίοις, εἰμὴ τὴν ἑνικὴν, ὡς καὶ οἱ Ο. Τί ἄλλο σημαίνει ἡ κοινὴ αὕτη τῶν ἀρχαίων ἐκείνων συμφωνία, εἰ μὴ ὅτι μηδὲ κατ᾿ ὄναρ ἰδόντες τῆς Ἀλεξανδρινῆς φιλοσοφίας τὰ φάσματα, μεθηρμήνευσαν τὴν ἑβραΐδα λέξιν ἁπλῶς καὶ ἀκριβῶς, ὡς ἥτε σημασία τοῦ ὀνόματος ἀπήτει, καὶ ἡ νενομισμένη χρῆσις τῆς γλώσσης εἰς ἣν μετέφραζον; Εἰ δέ τις ἀπίδοι καὶ πρὸς τὸ Σαμαρειτανὸν, οὐκ ἀλόγως ὑπονοήσει, μήπως ἐν τῷ Μασοριτικῷ κειμένῳ ἐγράφη τὸ Ἐλωῒμ καὶ ὅπου οὐκ ἔδει.

Οὐχ ἧττον παράδοξα καὶ περὶ τοῦ *ἐνεθυμήθη* δογματίζουσιν οἱ τοὺς Ο καὶ ἄκοντας φιλοσοφίζοντες κριτικοί. Καὶ γὰρ 1) Αὐτοὶ οἱ Ο εἶπον ἀλλαχοῦ «*μετεμελήθη* Κύριος» (Α. Βασιλ. ιε, 35). Καὶ πάλιν· «μετανόησον Κύριε» (Ἀμώς, ζ, 3, 6). - 2) Καὶ αὐτὸ τὸ *ἐνθυμεῖσθαι* σημαίνει καὶ τὸ *μεταμέλεσθαι*, μετανοεῖν, καθὰ καὶ τὸ ἐνθύμιον· «Ἐνθύμιόν οἱ ἐγένετο ἐμπρήσαντι τὸ ἱρόν» (Ἡρόδοτ. η, 54), δηλαδὴ μετάμελος, μετάνοια· μετεμελήθη, τὸ αὐτὸ καὶ *ἐνεθυμήθη* (α)).- 3) Τὸ ἑβραϊκὸν ῥῆμα οὐ μόνον τὸ μετανοεῖν σημαίνει, ἀλλὰ καὶ τὸ παρεκλήθη, καὶ τὸ ἤλγησε. - 4) Κατ᾿ αὐτὸ τὸ ἐδάφιον μετὰ τὸ *ἐνεθυμήθη*, γράφουσιν οἱ Ο καὶ *διενοήθη*· μὴ καὶ τοῦτο οὐκ ἀνθρωπικόν; Ἀλλὰ καὶ ἐφεξῆς §.7, οἱ αὐτοὶ ἔγραψαν «*καὶ ἐθυμώθην*» (κατὰ τὸν Ἀλεξανδρινὸν καὶ ἄλλους κώδηκας· *ἐθυμώθην* ἀνέγνω καὶ Φίλων, τόμ. α. σελ. 283. - καὶ Αὐγουστῖνος, *π. πόλ. Θεοῦ*, ιε, 24, καὶ ὁ ἱερὸς Ἀμβρόσιος, ἐν τῷ *περὶ Νῶε*, κεφ. 4) (β). Διὰ τί οὐκ

---

(α) Βλ. Valcken. εἰς Ἡρόδοτ. 6, 175.

(β) Καὶ αὐτὸ τὸ ἐνθυμοῦμαι παρ᾿ Ἕλλησι σημαίνει καὶ τὸ ἁπλοῦν θυμοῦμαι (Αἰσχύλ. Εὐμεν. 217). Ὁ δ᾿ Ἀκύλας ἀντὶ τοῦ ἐνεθυμήθη, ἔγραφε μετεμελήθη· ὁ δὲ Σύμμαχος, «καὶ ἐπίστρεψε» (βλ. Ἑξαπλ. τόμ. α. σελ. 23).

ἐφοβήθησαν καὶ ὧδε οἱ Ο τὴν ἀνθρωποπάθειαν, οὐδ᾽ ἐτεχνεύσαντο τὸν εὐφημισμόν; Διὰ τί καὶ ἀλλαχοῦ πολλαχοῦ τῆς Γραφῆς εἶπον (ὡς ἔχει καὶ τὸ ἑβραϊκὸν) περὶ τοῦ Θεοῦ, ὅτι καὶ « *ὀργίζεται θυμῷ* » καὶ « *θυμοῦται ὀργῇ* » (Ἐξόδ. κβ, 24: λβ, 10, 11) καὶ, « *παροξύνεται δι᾽ ὀργὴν, καὶ ζηλοῖ, καὶ πῦρ ἐκκαίεται ἐκ τοῦ θυμοῦ αὐτοῦ*; (Δευτερ. λβ, 19, 20, 22), καὶ ἄλλα τοιαῦτα; Τί μὴ καὶ ἐν τούτοις ἐφιλοσόφησαν Ἀλεξανδρινώτερον;

Περὶ τοῦ « *εἶδον τὸν τόπον* » ἀντὶ τοῦ « *εἶδον τὸν Θεὸν* » εἴπομεν ἐν τοῖς ἔμπροσθεν (σελ. 742), ἀποδείξαντες, ὅτι καὶ αὐτὸς ὁ Μωϋσῆς (καίτοι θεόπτης καὶ γενόμενος καὶ καλούμενος, ὡς ἰδὼν τὴν ἔνδοξον ἐκείνην θέαν τῆς ὑπερφώτου θεοφανείας. Ἐξόδ. λγ, 19)· ὡμολόγησεν ὅμως, ὅτι οὐκ εἶδεν *αὐτὸν τὸν Θεὸν*, « ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται » (α. Τιμοθ. ϛ, 16). Προστιθέασιν οἱ κριτικοὶ, καὶ ὅτι τὸ ἐν τῷ Ἑβραϊκῷ λεγόμενον *εἶδος Κυρίου* (species), οἱ Ο, μεθηρμήνευσαν « *δόξαν* » (καὶ τοῦτο δηλαδὴ κατ᾽ *εὐφημισμὸν*, ἵνα μὴ εἴπωσιν *εἶδος*, ἢ *μορφὴν Θεοῦ* »). Ἀλλὰ πρῶτον μὲν ἡ Ἑβραϊς λέξις Themona σημαίνει μὲν εἶδος, καὶ ὄψιν, ἢ μορφὴν (Δευτερ. δ, 15, 16, ὅπου οἱ Ο, *ὁμοίωμα*), σημαίνει δὲ ἐπὶ Θεοῦ καὶ αὐτὴν τὴν θείαν μεγαλοπρέπειαν (α), καὶ τοῦτο λίαν ὀρθῶς εἶπον οἱ Ο *δόξαν* (ὡς καὶ ἀλλαχοῦ, *δόξα Κυρίου*, καὶ ἑβρ. Kabod, ὀνομάζεται τῆς θείας μεγαλειότητος ἡ λαμπρότης καὶ ἐπιφάνεια. βλ. Ἐξόδ. ιϛ, 10, κδ, 17). *Δόξαν* ὡσαύτως ἡρμήνευσαν οἱ Ο τὸ Themona, καὶ Ψαλμ. ιϛ, 15· « ἐν τῷ ὀφθῆναί

Ὁ δὲ θεῖος Χρυσόστομος (Ὁμιλ. κβ εἰς Γένεσ.) « *τὸ δὲ ἐνεθυμήθη ἀντὶ τοῦ μετεμελήθη* (ὡς συνώνυμα δηλονότι παρὰ τοῖς Ο ἀμφότερα τὰ ῥήματα ἐκδεχόμενος). Ὁ δὲ Προκόπιος· « Κατενύγη, καὶ σύννουν ἔσχε τὸν λογισμόν ». Καὶ πάλιν ἐπισημειοῖ. « Τὸ ἑβρ. ἔχει διενοήθη, ἢ προσέσχεν, ἐνταῦθα μόνον· ἀλλαχοῦ δὲ, εἴπου ἔχει μ ε τ ε μ ε λ ή θ η, δηλοῖ π α ρ ε κ λ ή θ η ». Καὶ τῷ ὄντι τὸ ἑβρ. Nicham ἑρμηνεύεται, ἤλγησεν, ἢ ἐλυπήθη (κατενύγη), παρεκλήθη, μετενόησε » κτλ. (βλ. Gesenij, Lexic. Hebraic. pag. 660). Ὁ δὲ κλεινὸς Οὐόσσιος ἑρμηνεύει τὸ ἑβρ. in animum revocare ἀνακαλεῖν κατὰ νοῦν, τουτέστι μεταγινώσκειν, μεταβάλλειν γνώμην (τοῦτο σημαίνει κυρίως καὶ τὸ μ ε τ α ν ο ε ῖ ν). Βλ. Voss. de LXX. p. 356 καὶ Schleusn. Thes. v. Ἐνθυμέομαι.

(α) Βλ. Schleusn. Thes. v. Δόξα. πρβ. Rosenmül. Schol. in Psalm. 17.

μοι τὴν δόξαν σου ». 2) οἱ Ο εἶπον καὶ ὧδε *δόξαν Κυρίου* ἐπίσης ὀρθῶς καὶ συμφώνως ἑαυτοῖς, ὡς εἶπον καὶ « δεῖξόν μοι τὴν σεαυτοῦ δόξαν » (Ἐξόδ. λγ, 18). Δόξαν ἔχει κἀκεῖ τὸ ἑβραϊκὸν (Kabod). Μήποτε οὖν καὶ ὁ θεῖος Μωσῆς, λέγων πρὸς Θεὸν « δεῖξόν μοι τὴν δόξαν σου » (τὸ αὐτὸ καὶ « ἐμφάνισόν μοι σεαυτόν »· αὐτόθ. §. 13), ὑπεξέφευγε τὸ ἀνθρωπόμορφον; 3) Τελευταῖον· ἐν τῷ αὐτῷ τόπῳ (Ἀριθμ. ιβ, 8) μικρῷ πρὸ τοῦ *δόξα Κυρίου*, οἱ αὐτοὶ Ο ἔγραψαν ἐπὶ Θεοῦ (ὡς ἔχει καὶ τὸ ἑβραϊκὸν) « *Στόμα κατὰ στόμα λαλήσω αὐτῷ ἐν εἴδει* » (δηλαδὴ ἐν ὄψει, ἐμφανῶς). Καὶ *εἶδος θεοῦ* ἔγραψαν ἀλλαχοῦ (Γεν. λβ, 30)· πῶς κἀν τούτοις τὰ ἀνθρωπικώτερα *στόμα* καὶ *εἶδος* οὐκ ἐθεράπευσαν πρὸς τὸ εὐφημότερον, « *φίλης δ' ἐπελάθοντο τέχνης*;

Καὶ τὸ « *Κύριος συντρίβων πολέμους* » ὀρθῶς ἀντέταξαν πρὸς τὸν βαθὺν ἑβραϊσμὸν, τὸν « ὁ Κύριος, ἀνὴρ πολέμου »· τοῦτο γὰρ ἀσύνηθες παρ' Ἕλλησι, καὶ τραχὺ, καὶ πρὸς ἑαυτὸ ἀσυνάρτητον « *ὁ Θεὸς, ἀνὴρ πολέμου*! δηλονότι « ἄνθρωπος πολεμιστὴς » (ὡς αὐτοὶ πάλιν οἱ Ο ἡρμήνευσαν τὴν αὐτὴν φράσιν, *ἐπὶ ἀνθρώπων* εἰρημένην ἐν Α. Παραλ. ιγ, 3. Ἡσαΐ. γ, 2)· διὰ τοῦτο δὲ τὸ ἀσύναπτον καὶ Ὄγκελος ἡρμήνευσε « Νικητὴς πολέμων » (τὸ γὰρ ἑβρ. Isch, ἀνὴρ, σημαίνει καὶ τὸν ἀνδρεῖον, ὡς καὶ τὸ *ἀνὴρ* παρ' Ἕλλησι). Τὸ δὲ Σαμαρειτικὸν οὔτε Isch ἔχει, ἀλλὰ Gibor (ἰσχυρὸς), καὶ γράφει, « ἰσχυρὸς ἐν πολέμῳ », (ἢ ἐν πολέμοις)· οὕτως ἴσως καὶ οἱ Ο ἀναγνόντες ἐν τῷ τότε Ἑβραϊκῷ (ὡς ἔκρινε καὶ Οὐβιγάντης) ἔγραψαν τὸ *συντρίβων* πολέμους· οἷον καταῤῥάσων τοὺς πολεμίους, καὶ « ῥηγνὺς φάλαγγας, ἢ στίχας ἀνδρῶν », οἷόν ἐστι καὶ τὸ *ῥηξήνωρ* (συνώνυμον τοῦ ἰσχυρός). 2) Ἡ αὐτὴ φράσις ἀναγινώσκεται καὶ ἐν Ἰουδεὶθ, θ, 7. « Σὺ εἶ κύριος, συντρίβων πολέμους » κτλ. (α). 3)

---

(α) Τὸ π ο λ έ μ ο υ ς τινὲς τῶν κριτικῶν διορθοῦσιν εἰς π ο λ ε μ ί ο υ ς (Schleusn. Thes. v. Πόλεμος, Συντρίβω)· ἀλλὰ ματαίως· καὶ π ό λ ε μ ο ς γὰρ μεταληπτικῶς οἱ πολέμιοι· ὡς « Συντρίψει πόλεμον » (Ἡσαΐ. μβ, 13 : πρβ. Γ, Βασιλ. ε, 3). Καὶ ὁ Σκλευσήνερος ὑπέλαβεν, ὅτι οἱ Ο τὸ Κ ύ ρ ι ο ς ἀ ν ὴ ρ π ο λ έ μ ο υ μεθηρμήνευσαν « συντρίβων πολέμους »· αἰδεσθέντες, μήπως οἱ τὴν ἑρμηνείαν τῆς Γραφῆς ἀνα-

Αὐτοὶ οἱ Ο ἔγραψαν « Κύριος *δυνατὸς* ἐν πολέμῳ » (Ψαλμ. κγ, 8 καὶ τὸ Ἑβρ. Gibor)· καὶ πάλιν, « Τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον » κτλ. πῶς οὐκ ἥδοῦντο κἂν τούτοις παρεισάγοντες (καὶ χωρὶς τοῦ ἀνὴρ) τὸν Θεὸν, ὡς ἥρωα κραταιὸν πολεμιστὴν, « *μάχης εὖ εἰδότα πάσης* »;

Εἰσήγαγον ὡς εὐφημισμὸν καὶ τὸ *Θεὸς*, ἀντιταχθὲν ἀντὶ τοῦ Σοὺρ=*πέτρα*, ἢ σκόπελος (βράχος). Ἀλλ' ἐρωτῶμεν τοὺς κριτικούς· τίς καὶ ἄλλος τῶν ἑρμηνευτῶν μετέφερεν ἀπαραλλάκτως τὸν παράδοξον τοῦτον ἑβραϊσμὸν, καθ' ἑαυτὸν λεγόμενον (χωρὶς τοῦ Θεοῦ), ὡς συνώνυμον αὐτοῦ τοῦ Θεοῦ; Ὅπου μὲν γὰρ ἡ μεταφορὰ λέγεται πλαγίως ὡς κατηγορούμενον ἐπὶ Θεοῦ, μετέφρασαν ἀπαραλλάκτως καὶ οἱ Ο· οἷον· « Κύριε, *πέτρα μου* » (Β. Βασιλ. κβ. 2. καὶ *στερέωμά μου*. Ψαλμ. ιζ. 2). Ἐν δὲ Δευτερ. λγ, 4: πῶς ἂν εἶχον ἑλληνιστὶ γράψαι τοιαῦτα; « Πέτρα, ἢ σκόπελος (βράχος)· τέλειον τὸ ἔργον αὐτοῦ » (οὕτως ἔχει τὸ ἑβραϊκόν). Ποῖα τὰ τέλεια (ἢ ἀληθινὰ) τοῦ βράχου, ἢ τῆς πέτρας ἔργα; (εἶπεν ἂν δικαίως ἀπορῶν Ἕλλην, ἢ ἑλληνιστὴς ἄπειρος τοῦ ἑβραϊσμοῦ). Καὶ πάλιν, τὸ ἑβραϊκὸν, « Τὴν πέτραν, ἥτις σὲ ἐγέννησε » (Δευτερ. λβ, 18) ὅταν τις Ἕλλην ἀκούσῃ, κινδυνεύει συγχύσαι τοῦτο πρὸς τὸ παροιμιῶδες « *ἀπὸ δρυὸς* ἐσσὶ, παλαιφάτου, ἢ *ἀπὸ πέτρης* ». Καὶ ὀρθῶς ἄρα καὶ λίαν θεοπρεπῶς ἡρμήνευσαν οἱ Ο· « Θεὸς, ἀληθινὰ τὰ ἔργα αὐτοῦ »· καὶ « Θεὸν τὸν γεννήσαντά σε » (Δευτερ. αὐτόθι), ἀποδόντες αὐτὸ τὸ κύριον ἀντὶ τοῦ μεταφορικοῦ. 2) *Θεὸς* ἡρμήνευσε πανταχοῦ τὸ τοιοῦτο καὶ ἡ Βουλγάτα, καὶ αὐτῶν τινες τῶν νεωτέρων ἑρμηνευτῶν (α). 3) Τελευταῖον· τὸ Σοὺρ τοῦτο (ἢ Tsur) ἐν τοῖς ἀνωτέρω χωρίοις ὅ,τε

---

γινώσκοντες ἐθνικοὶ, τὸν ἑβραϊσμὸν τῆς φράσεως ἀγνοοῦντες, ὑπολάβωσι τὸν Θεὸν τῶν Ἑβραίων ἄνθρωπόν τινα κραταιὸν ὡς τὸν Ἄρην » (Schleusn. l. c. λ. Συντρίβω). Ἀλλ' οὔτε τὸν Διὸς καὶ Ἥρας Ἄρην οἱ ἐθνικοὶ ἐνόμιζον ἄνθρωπον (ὡς τὸν ἥρω Ἡρακλῆν), καὶ χωρὶς τοῦ τοιούτου φόβου, αὐτὴ καθ' ἑαυτὴν ἡ, Θεὸς ἀνὴρ πολέμου, φράσις, ἀλλοτρία φαίνεται καὶ πάντῃ ξένη τῆς Ἑλληνίδος φωνῆς. Πλὴν ἀλλ' ὅμως ὁ περικλεὴς Σκλευσήνερος, καίτοι περιττότερον ὑποπτεύσας, ἀλλ' ὅμως εἰς τὴν παραδοξολογίαν τῶν Εὐφημιστῶν οὐχ ὑπέπεσε.

(α) Βλ. Criticos Sacros Annot. in h. l.

Θεοδοτίων *πλάστην* ἡρμήνευσε, καὶ πολλοί τινες τῶν νεωτέρων, *δημιουργόν* (α). Κἂν τὸ ἔτυμον τοῦτο τεθῇ, πάλιν ὀρθῶς οἱ Ο ἀπέδωκαν τὸ κύριον ἀντὶ τοῦ προσηγορικοῦ, σαφέστερον ἐξηγοῦντες. Ὥστε καὶ οὕτως οἴχεται ἡ ἐπίνοια τοῦ εὐφημισμοῦ.

Περὶ δὲ τοῦ *Ἄγγελοι* (Δευτερ. λγ, 2-4, ὅπου τὸ ἑβρ. *πύρινος* νόμος, ἢ διαταγή), ὅτι ὀρθῶς ἀνέγνων καὶ ἡρμήνευσαν οἱ Ο, μαρτυροῦσιν οἱ θεῖοι Ἀπόστολοι, πρὸς τοῦτο τὸ χωρίον ἀφορῶντες, ἐν οἷς εἶπον τὸν νόμον « *εἰς διαταγὰς ἀγγέλων* δοθῆναι » καὶ « *δι᾽ ἀγγέλων λαληθῆναι* » (Πράξ. ζ, 38, 53: Ἑβρ. β, 2: Γαλάτ. γ, 19. βλ. καὶ Θεοφύλακτον αὐτόθ.). Εἶπε δὲ καὶ Ἰώσηπος· « Ἡμῶν δὲ τὰ κάλλιστα τῶν δογμάτων, καὶ τὰ ὁσιώτατα *τῶν ἐν τοῖς νόμοις δι᾽ ἀγγέλων* παρὰ τοῦ Θεοῦ μαθόντων ». (Ἀρχ. ΙΕ, ε. §. γ). Οἱ δέ τινες τὸ νῦν ἑβραϊκὸν πρὸς τοὺς Ο, διαλλάσσοντες εἶπον, ὅτι καὶ τὸ esch (πῦρ) μεταληπτικώτερον ἀγγέλους σημαίνει, κατὰ τὸ « τοὺς λειτουργοὺς αὐτοῦ *πυρὸς φλόγα* » (β)· καὶ ὁ Σύρος « *ἀγγέλους* » ἔχει (Δευτερ. λγ.). Οἱ δὲ περὶ τὸν Τοίπλερον εὕρηκαν καὶ τοὺς ἀγγέλους καὶ τὰ *δαιμόνια* τῆς νεωτέρας τῶν Ἰουδαίων Θεολογίας ἴχνη, τυπωθέντα κατὰ τὴν ἑρμηνείαν ὑπὸ τῶν Ο! (βλ. ὄπισθ. σελ. 833). Ἀλλὰ πρὸς τὰ τοιαῦτα καὶ ὅλως ἀπολογεῖσθαι, αἰδώς. Σαδδουκαίων δὲ τῶν πάλαι, καὶ τῶν νῦν ὀρθολογιστῶν οὐδεὶς τοῖς εὐσεβέσι λόγος. Οἴδασι γὰρ οὗτοι καὶ τὸν θεῖον Μωσῆν μετὰ τῶν Πατριαρχῶν, καὶ τοὺς ἄλλους Προφήτας τὴν περὶ τῶν Ἀγγέλων διδασκαλίαν κηρύττοντας συμφώνως τῇ θειοτάτῃ τῆς Εὐαγγελικῆς ἀληθείας ἀποκαλύψει (βλ. ὄπισθ. σελ. 295, 301). Οἱ δὲ περίσοφοι κριτικοὶ καὶ πρὸς αὐτὸ τὸ ἑβραϊκὸν (οὗ δῆθεν ὑπερασπίζονται) κείμενον ἀντιλέγουσι· τὸ γὰρ ἑβρ. Sed, πληθυντ. Sedim, Δευτερ. λβ, 17 (ὅπου οἱ Ο, « ἔθυσαν *τοῖς δαιμονίοις*, ὡς καὶ ψαλμ. ρε, 37) τοῦτ᾽ αὐτὸ *δαιμόνια* σημαίνει (καθὰ καὶ τῶν Σύρων ἡ φωνὴ μαρτυ-

---

(α) Βλ. Rosenmüller Schol. in Deuter. h. l.

(β) Masius εἰς Δευτερον. αὐτόθ. πρβλ. καὶ Grotium καὶ τοὺς ἄλλους Critic. Sacros annot. ad Hebr. et Galat. l. c.

ρεῖ), ὅθεν καὶ τὰ, δι' ὧν τοῖς δαίμοσιν ἐλάτρευον, εἴδωλα (α). Τὸ δὲ τὴν περὶ τῶν δαιμόνων δόξαν ἀναιρεῖν, σαφής ἐστι διδασκαλία *δαιμονίου μεσημβρινοῦ*! Ἐκεῖνος ἦν ἀπ' ἀρχῆς «ὁ *ψεύστης, καὶ ὁ τοῦ ψεύδους πατήρ*».

Τοιαῦτα τὰ παρὰ τοῖς κριτικοῖς διαθρυλλούμενα ἐμβριθῆ παραδείγματα τοῦ δῆθεν ὑπὸ τῶν Ο σπουδασθέντος εὐφημισμοῦ. Εἰ δέ τινα καὶ ἄλλα προβάλλονται, ταὐτοῦ κἀκεῖνα καὶ χείρονος κόμματος. Πρὸς δὲ τὰ δείγματα τοῦ συγκερασμοῦ τῶν φοβερῶν ἀπειλῶν τοῦ θεοῦ (βλ. ὄπισθ. σελ. 833) περιττὸν καὶ ὅλως ἀπαντᾶν. αὐτόθεν γὰρ φαίνεται τούτων ἡ σαθρότης (β). Ἐπισημειούμεθα δὲ μόνον τὸ *παραδειγμάτισον*, ἀντὶ τοῦ *κρέμασον* (Ἀριθμ. κε, 4)· τοῦτο γὰρ τὸ ῥῆμα σημαῖνον καθόλου τὸ ἀτιμάζειν, ἢ τιμωρεῖν εἰς παράδειγμα, εἶχεν εἰδικῶς καὶ τὴν ἔννοιαν τοῦ κρεμᾶν (ὡς τοῦ θανάτου τῶν κρεμαμένων ἀτιμοτάτου λογιζομένου. Δευτερ. κα, 23). Καὶ μάρτυς ὁ θεῖος Παῦλος, συνάψας τὸ *παραδειγματίζειν* μετὰ τοῦ *ἀνασταυροῦν* (Ἑβρ. ς. 6.). Ἀντὶ δὲ τοῦ *ἀποκτείνων ἀποκτενεῖς* (Δευτερ. ιγ. 9) ὀρθῶς ἔγραψαν οἱ Ο, *ἀναγγέλλων ἀναγγελεῖς*, οὐχ ὑπομαλάσσοντες καὶ συγκιρνῶντες τὸ σκληρὸν τῆς ἐντολῆς (ὡς ὑπέλαβε καὶ Γρότιος), ἀλλ' ἀπ' ἄλλης ἀναγνώσεως ἑρμηνεύσαντες (ὡς ἔκρινε καὶ Οὐβιγάντης)· δῆλον δὲ καὶ ἐξ αὐτῆς τῆς ἐννοίας. Τὸ μὲν γὰρ *ἀποκτείνων ἀποκτενεῖς* παντί τινι αὐτηκόῳ τοῦ βλασφημήματος γενομένῳ παρέχει τοῦ φόνου τὴν ἐξουσίαν (ὅπερ ἀτοπώτατον), κατὰ δὲ τοὺς Ο, *ἀναγγέλλεται* καὶ εἰσαγγέλλεται πρῶτον ὁ ἔνοχος εἰς τὸ δικαστήριον (γ). Καὶ τὸ *σκῦλα* δὲ πάντως ἀνέγνων οἱ Ο, γράψαντες «φαγῇ τὰ σκῦλα τῶν ἐθνῶν»· ἐξέπεσε δ' ἡ λέξις ἐκ τοῦ ἑβραϊκοῦ. Εἰ δ' ἀπῆν ἐξ ἀρχῆς, ἔγραφον

(α) Βλ. Grot. annot. καὶ Rosenmüll. Schol. in Deuteron. h. l. πρβλ. καὶ Gesenij Lex. Hebr. p. 982. Καὶ ἄλλας ὀνομασίας δαιμόνων βλ. σελ. 20, 406, 966.

(β) Οὕτω προτιθέασι τὸ ἄθυτον ὡς εὐφημότερον παρὰ τοῖς Ο, ἀντὶ τοῦ ἑβρ. βδέλυγμα (περὶ οὗ προείπομεν σελ. 259), καὶ τὸ «προσώχθισεν ἡ γῆ» ἀντὶ τοῦ ἑβρ. ἐξήμεσε (Λευϊτ. ιη, 25), καὶ ἄλλ' ἄττα τοιαῦτα.

(γ) Τοῦτο καὶ Rosenmüll. (Schol. in h. l.) ἐσημείωσεν, εἰς μάτην πειρώμενος θεραπεύειν τὴν ἀτοπίαν τοῦ ἑβραϊκοῦ.

ἂν καὶ ὧδε παρομοίως οἱ γέροντες, ὡς ἔγραψαν οἱ αὐτοὶ καὶ ἀλλαχοῦ «*ἔδεται ἔθνη*» (Ἀριθμ. κδ, 8), καὶ πάλιν, «κατεσθίοντες τὸν λαόν» (Ψαλμ. ιγ), μηδὲν τὴν φράσιν ὑπογλυκάναντες! (συνήθης δὲ καὶ παρ' Ἕλλησιν ἡ φράσις· οἷον καὶ τὸ *Δημοβόρος*, καὶ τὸ «Ὠμὸν βεβρώθοις Πρίαμον, Πριάμοιό τε παῖδας». Ἰλ. δ, 35. κτλ.).

Καθόλου δὲ θεωρούμενον τὸ παρὰ τοῖς κριτικοῖς ἐφευρεθὲν ἐπινόημα τοῦ εὐφημισμοῦ, δι' οὗ τοὺς Ο κατεδίκασαν ὡς ἐπιχράναντας καὶ διαστρέψαντας τὰ θεῖα λόγια πρὸς ἀποφυγὴν μάλιστα τῶν ἀνθρωπικώτερον περὶ θεοῦ λεγομένων, σφόδρα παράδοξον φαίνεται. Πῶς δ' οὐχί; Μὴ γὰρ αὐτοὶ οὗτοι οὐκ ἔγραψαν οἱ Ο, (ὡς ἔχει καὶ τὸ ἑβραϊκὸν) τὸ *κατ' εἰκόνα θεοῦ*, καὶ ὅτι *ἐνεφύσησεν* ὁ θεός, καὶ *ἔπλασε*, καὶ *περιεπάτει*, καὶ *ἀνέβη*, καὶ *κατέβη*, καὶ *ἐπέβη* ἐπὶ Χερουβὶμ, καὶ *ἐπετάσθη*, καὶ *ὕπνωσε*, καὶ *ἐξηγέρθη*, καὶ τ' ἄλλα τὰ τοιαῦτα ταπεινὰ καὶ ἀνθρωπικώτερα; Καὶ *πόδας* δὲ καὶ *χεῖρας*, καὶ *δεξιὰν*, καὶ *βραχίονα*, καὶ *ὦτα*, καὶ *ὀφθαλμοὺς*, καὶ *βλέφαρα*, καὶ *πρόσωπον*, καὶ *καρδίαν* οὐκ εἶπον ἐπὶ θεοῦ; Καὶ τ' ἄλλα δὲ τὰ κατὰ ἄνθρωπον πάθη οὐκ ἀπέδωκαν ἀκριβῶς, κατὰ τὸ ἑβραϊκὸν, *ὠργίσθη* γράψαντες ὁ θεός, καὶ *ἐζήλωσε*, καὶ *ἐνεθυμήθη*, καὶ *μετεμελήθη*, καὶ *μετενόησε*, καὶ *ἀνεμνήσθη*, καὶ *ὠσφράνθη ὀσμὴν εὐωδίας*, καὶ *ὠλιγώθη ἡ ψυχὴ αὐτοῦ*; (α). Πῶς λοιπὸν οὗτοι ἐπενόησαν τρόπους εὐστομίας καὶ εὐφημισμοὺς πρὸς ἀποφυγὴν τῶν ἀνθρωπικῶς ἐπὶ θεοῦ λεγομένων ἐν ταῖς θείαις Γραφαῖς; Ἀλλ' ἔμελλεν ἄρα καὶ ὁ παρὰ τῶν Ο ἑρμηνευθεὶς λόγος τοῦ θεοῦ *λίθος* ἔσεσθαι *προσκόμματος καὶ πέτρα σκανδάλου*! Πάλαι μὲν γὰρ αἱρετικοί τινες ἄνθρωποι λυμαινόμενοι τῆς ἐκκλησίας τὰ δόγματα, ἐκ

(α) Κριτ. Ι. 16: δηλονότι ὠ λ ι γ ο ψ ύ χ η σ ε ν, ἀντὶ τοῦ ὀλίγη ἐγένετο, συνεστάλη, ἐθλίβη, ἐλυπήθη, ἢ καὶ οὐκ ἠνέσχετο αὐτοῦ ἡ ψυχὴ (οὐκ ἔ τ λ η ἡ κ α ρ δ ί α), ὡς τὸ τῆς συνηθείας, οὐκ ἐβάστασεν αὐτοῦ ἡ ψυχή· τὸ αὐτὸ καὶ ἤλγησεν, ᾤκτειρεν αὐτοὺς «ἐν τῷ πόνῳ αὐτῶν». Καὶ τὸ ἑβραϊκὸν, τὸ αὐτό· decurtatus, ἢ brevis est animus (ἐβραχύνθη ἡ ψυχή)· ὁ δὲ Φράγκελος (l. c. p. 178) ἐν τούτῳ τῷ «ὠ λ ι γ ι ώ θ η (sic) ἡ ψυχὴ» κἄτι πλείονα τοῦ πρωτοτύπου εὕρηκε τὴν ἀνθρωποπάθειαν· διότι λέγει τὸ Nephes (ἡ ψυχὴ) ὧδε σημαίνει θέλησιν. Ἀλλὰ ἀρνεῖται καὶ τὸ νόημα, καὶ ὁ Gesenius Lexic. Hebr. p. 899.

τῆς ἑρμηνείας τῶν Ο ἐλάμβανον τὸ *κατ' εἰκόνα θεοῦ*, καὶ τ' ἄλλα τὰ κατὰ ἄνθρωπον πάθη, καὶ ὡς ἐξ αὐτῆς « ἀνθρωπόμορφον ἔλεγον τὸ θεῖον, εἰς μορφὴν ἀνθρωπίνην κατάγοντες τὸν ἀσχημάτιστον καὶ ἀνείδεον καὶ ἀναλλοίωτον, καὶ σχήματα καὶ μέλη περιτιθέντες τῷ ἀσωμάτῳ, μήτε κερδαίνειν βουλόμενοι ἀπὸ τῆς τῶν θεοπνεύστων Γραφῶν διδασκαλίας, ἀλλὰ καὶ τὰ μέγιστα βλαπτόμενοι », ὡς ἔλεγε περὶ τῶν τοιούτων ὁ θεῖος Χρυσόστομος (εἰς Γένεσ. Ὁμιλ. η). Ἤδη δὲ, τ' ἀνάπαλιν, ἡ κριτικὴ σοφία προσκρούσασα τοῖς Ο, κατεδίκασε τούτους ὡς ἐπισκοτίσαντας, καὶ μονονοὺκ ἀποσυλήσαντας ἐκ τῶν θείων Γραφῶν τὰ ἀνθρωπικώτερον εἰρημένα, διότι (λέγει) δόξαις ἐδούλευον πλάναις τῆς Ἀλεξανδρινῆς τῶν ὑστεροχρόνων Ἰουδαίων φιλοσοφίας! Ἀλλ', ὡς ἔοικεν, οὐ μόνον αἱ εὔνοιαι δειναὶ, ἀλλὰ καὶ τὰ μίση δεινότερα δεκάσαι τὰς ψήφους, καὶ τὰς λευκὰς καὶ τὰς μελαίνας. Καὶ τοῦτο φαίνονται πεπονθότες οἱ κριτικοί. Δουλεύοντες ἐμπαθέσι λογισμοῖς, συνορῶντες δὲ καὶ τὰ Φιλώνεια φιλοσοφήματα, ὡς προείπομεν, τὸ δὲ χεῖρον καὶ τοῖς ῥαββίνοις πεισθέντες, ἀπένειμαν εἰς τοὺς Ο, ὅ,τι ἐκεῖνοι μάλιστα ἐπετήδευσαν. Ἐκεῖνοι γὰρ, « *ἀφ' οὗ τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν* », ἐπεβάλοντο μάλιστα παρερμηνεύειν τὰς θείας Γραφὰς ἐν ταῖς κατ' αὐτοὺς παραφράσεσι καὶ τοῖς ὑπομνηματισμοῖς, εὐστρόφως ὑποκλέπτοντες δι' εὐφημισμῶν πᾶν τὸ ἐπὶ Θεοῦ ἀνθρωπολογούμενον, οὐ μόνον πρὸς ἀποφυγὴν τοῦ πολυθεϊσμοῦ, ἀλλὰ μάλιστα καὶ ὅπως ἀντιλέγειν ἔχωσι πρὸς τοὺς χριστιανοὺς, ὅταν τοὺς προφητικοὺς χρησμοὺς ἀποδεικνύωσιν, ἐπὶ τοῦ ἐνανθρωπήσαντος Υἱοῦ καὶ Λόγου τοῦ Πατρὸς πληρωθέντας. Ὑπῆρχε δὲ καὶ πάτριον αὐτοῖς νόσημα (μετὰ τὴν κατὰ τοὺς ὑστέρους χρόνους διαφθορὰν) τὸ παρεξηγεῖν τὰς Γραφὰς, « Ἀκυροῦντες τὸν λόγον τοῦ Θεοῦ τῇ παραδόσει αὐτῶν » (Μάρκ. ζ, 13). Καὶ τοιοῦτοι μάλιστα ἐφάνησαν μετὰ τὴν ἐσχάτην αἰχμαλωσίαν οἱ παρ' αὐτοῖς Χαλδαῖοι Ταργουμισταὶ, οἵτινες τὸ κατ' εὐφημισμὸν λεγόμενον τοῦτο εἶδος τῆς ἑρμηνείας εἰσήγαγον εἰς τὰς Γραφὰς, ἀναμίξαντες ἐν ταῖς Γραφικαῖς ἐξηγήσεσι μετὰ τῶν κεκαινοτομημένων παραδόσεων αὐτῶν καί τινας ξενικὰς

(ἴσως Χαλδαϊκὰς) καὶ Φιλωνείους ἰδέας (α). Μαρτυροῦσι δὲ τρανῶς πρῶτος Ὄγκελος, πολὺ δὲ μᾶλλον οἱ μετ' αὐτὸν ἐκβακχευθέντες ῥαββῖνοι. Τοὺς δὲ θεοφιλεῖς Ο ματαίως συμπαρέσυραν οἱ κριτικοί. Οὕς γε καὶ αὐτῶν τῶν καθ' ἡμᾶς τις ῥαββίνων σφόδρα μωμήσασθαι θέλων, ὡμολόγησεν ὅμως, καὶ οὐκ ἠρνήσατο, ὅτι «οἱ τῆς Πεντατεύχου ἑρμηνεῖς ἔλασσον, ἢ Ὄγκελος, ἐφρόντισαν περὶ τῆς ἀποφυγῆς τῶν ἀνθρωπομορφιῶν. Ἐν δὲ τοῖς ἄλλοις τεύχεσι πυκνότερον ἀπαντᾶται τὸ ἀνθρωπόμορφον, καὶ αἱ ἀνθρωποπάθειαι» (β). Τουτέστιν οἱ Ο οὐδόλως ἐμελέτησαν, οὐδ' ἠπίσταντο τὰ τῆς εὐφημολογίας τεχνάσματα, τὴν ἁπλότητα τοῦ θείου λόγου διαφθείροντα.

Ἀλλὰ μικροῦ διέφυγον ἡμᾶς τὰ περὶ τὸ *τετραγράμματον* ὄνομα τοῦ Θεοῦ, ὅπερ ἐπάγουσιν οἱ κριτικοὶ τρανωτάτην ἀπόδειξιν, ὅτι τὴν Ἀλεξανδρινὴν φιλοσοφίαν ἐνόσουν οἱ Ο, διότι τοῦτο καὶ αὐτοὶ νομίζοντες ἄῤῥητον καὶ ἀνεκφώνητον, ἀείποτε διὰ τοῦ Κύριος ἡρμήνευσαν, καὶ δὶς διὰ τοῦ ὁ ΩΝ· εἶπον δὲ καὶ ῥητῶς «ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου - θανατούσθω» (Λευϊτ. κδ, 15. ὅπου τὸ ἑβρ. ἔχει «ὁ καταρώμενος τῷ ὀνόματι τοῦ Θεοῦ). Ἀλλὰ 1) τὸ *ὀνομάζειν* ἐνταῦθα σημαίνει οὐ τὸ λέγειν, ἢ προφέρειν ἁπλῶς τὸ ὄνομα (ὡς κακῶς ἐνόμισαν οἱ κριτικοί), ἀλλὰ τὸ λέγειν ἐπὶ κακῷ, κακολογεῖν, *βλασφημεῖν* (ὡς καὶ παρ' Ἕλλησι τὸ *προφέρειν* δηλοῖ καὶ τὸ *ὀνειδίζειν*· καὶ τὸ τοῦ ὀνομάζειν ἀντίστοιχον ἑβραϊκὸν Nakab, σημαίνει καὶ τὸ καλεῖν ἐξ ὀνόματος, καὶ τὸ καταρᾶσθαι)· καὶ τούτου δεῖξις καὶ τεκμήριον ἐναργὲς τὸ μικρὸν ἀνωτέρω τοῦ αὐτοῦ κεφαλαίου χωρίον (Λευϊτ. κδ, 11), ἔνθα καὶ τὸ ἑβρ. καὶ οἱ Ο ἔχουσι «Καὶ ἐπονομάσας τὸ ΟΝΟΜΑ, κατηράσατο»· ὥστε καὶ τὸ *ὀνομάσας* ταυτόσημον τοῦ *ἐπονομάσας* (ἐπὶ κακῷ, δυσφήμως)· δηλοῖ δὲ καὶ ἡ τῶν χωρίων ἀπὸ τοῦ 10 μέχρι τοῦ 16 ἐδαφίου παράλληλος σύμφρασις (γ).

---

(α) Βλ. Φίλων τ. α. σελ. 182 Μ. ὅστις ἄλλως (ἀφορῶν πρὸς τὴν πολυθεΐαν) σκέπτεται ὀρθῶς, λέγων. «Τὴν μὲν ἀτοπίαν τοῦ λόγου, ὅτι ἀνθρωπόμορφον τὸ θεῖον, ἀποδιδράσκειν, τὴν δὲ ἐν τοῖς ἔργοις ἀσέβειαν, ὅτι ἀνθρωποπαθὲς, ἐπανορθούμενοι».

(β) Frankel, l. c. pag. 177-178.

(γ) Βλ. Michaelis Jur. Mosaic. P. 5. §. 251. — Schulz Schol. in Levit. l. c.

2) Τοιαύτη κατ' εὐφημισμὸν, ἢ κατ' ἀντίφρασιν, χρῆσίς ἐστι καὶ ἡ τοῦ εὐλογεῖν ἀντὶ τοῦ καταρᾶσθαι· οἷον· « εὐλόγησε Θεὸν, καὶ βασιλέα » (α) (= ἐβλασφήμησε· τὴν αὐτὴν διπλῆν σημασίαν ἔχει καὶ τὸ ἀντίστοιχον ἑβρ. Barach) (β). 3) Εἴδομεν ἀνωτέρω, ὅτι καὶ ὁ θεῖος Μωϋσῆς (διὰ μέγα σέβας), καὶ οἱ Ο ὡσαύτως, ἔγραψαν μόνον τὸ ΟΝΟΜΑ, σιωπήσαντες τὸ εὐλογητὸν ὄνομα τοῦ Θεοῦ· ἐννοεῖται δὲ ἐνταῦθα τὸ *τετραγράμματον* γραφόμενον παρ' Ἑβραίοις (βλ. ὄπισθ. σελ. 596), οὗτινος ἡ κυρία προφορὰ μένει ἀδιόριστος. Ἰεχωβὰχ (Jehovach, ἢ Jehova) γράφουσι τοῦτο συνηθέστερον, ἀλλ' ἡ ἀρχαία τούτου ἐκφώνησις φαίνεται διάφορος (διὰ τὸν διάφορον τονισμόν)· παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ γράφεται ΙΑΩ (γ). Σαμαρεῖται δὲ τοῦτο λέγουσιν ΙΑΒΕ (δ). Εὑρίσκεται καὶ ΙΕΥΩ (ε). καὶ παρὰ τῷ ἱερῷ Κλήμεντι ΙΑΟΥ (ζ). Τοῦτο τοίνυν

(α) Γ. Βασιλ. η. 14. πρβλ. Ἰὼβ, β. 6: Ἰώσηπ. Ἀρχ. Η. ιγ, 8. Ἡσύχ. λ. Εὐλόγησε.

(β) Τοιαῦτα μέσης σημασίας καὶ παρ' Ἕλλησι τὰ χαίρειν, εὐφημεῖν, ὑμνεῖν. « Εὐφημοῦσι, στένευσι, κολύουσι » (διορθοῦσι, καταλαλοῦσι, γραπτέον μᾶλλον, ὡς νομίζομεν, κωκύουσι) « κατ' ἀντίφρασιν » (Ἡσύχ.). Εὐφήμοις γόοις, δυσφήμοις· κατ' ἀντίφρασιν » (αὐτ.). « Ὑμνεῖν, ὀδύρεσθαι » (Σουΐδ.) « Χθονὸς τῆς δ' ἐκτὸς ὑμνήσεις κακά » (Σοφοκλ. Ἠλέκτρ. καὶ Εὐριπ. Τρῳάδ. 385). « Αἱ παρθένοι αὐτῶν οὐχ ὑμνήθησαν (ψαλμ. οζ, 63. Ἀκύλ. καὶ ἡ ς, ἔκδοσις)· ἀνθ' οὗ οἱ Ο, οὐκ ἐπενθήθησαν. βλ. Schleusn. Thes. v. Ὑμνέω.

(γ) « Παρὰ δὲ τοῖς Ἰουδαίοις, Μωσῆν τὸν ΙΑΩ ἐπικαλούμενον Θεόν (Διόδωρ. Α. §. 94. σελ. 105. ἐκδ. Wess. καὶ σχολ. αὐτόθ. πρβλ. Ἡσύχ. λ. Ὀζείας. — Macrob. Saturn. I. 18). — (δ) « Καλοῦσι δὲ αὐτὸ Σαμαρεῖται μὲν ΙΑΒΕ, Ἰουδαῖοι δὲ ΙΑΩ »· Θεοδώρητ. Ἄπορ. εἰς Ἔξοδ. Ἐρωτ. ιε, ἐκδ. Εὐγ. (ὅπου γράφεται ἡμαρτημ. ΑΙΑ).

(ε) Παρ' Εὐσεβ. Εὐαγγελ. Προπαρ. Α, 9, ἐκ τοῦ Φίλωνος τοῦ Βυβλίου· καὶ Πορφύριος ὡσαύτως ἔγραψε.

(ζ) Κλήμ. Στρωμ. ε, 410. πρβλ. Εἰρην. β. κεφ. ἐσχάτῳ — Ἐπιφάν. Αἱρέσ. κς. Περὶ τοῦ Iehova πολλοὶ καὶ τῶν νεωτέρων ἔγραψαν· οἷον Reland. de vera pronunt. Jehova. Traject. ad Rhen. 1707. — Michael. Supplem. p. 524. καὶ Drusius, καὶ Cappellus, etc. πρβ. καὶ Walton Prolegom. VIII. κτλ. Ἐκ τοῦ Iehova τινὲς ἐνόμισαν καὶ τὸ λατιν. Iovis· ψευδῶς. Τοῦτο γὰρ παρὰ τὸ Jus, ὅπερ σέσωσται ἐν τῷ Jupiter (= Jus piter = Ζεὺς πατήρ)· τὸ δὲ Jus = Ζὺς (ὡς Jugum = ζυγὸν κτλ.), ἀντὶ Ζεὺς, Δεὺς, Deus = Θεὺς, Θεός· καὶ Θιὸς (Λακων. Σιός), Διὸς (Δίς. δ=θ). Ὁ δὲ Βαλλάκης (Wallace Dissert. of the true Age of the World, etc. p. 164. London, 1844) εἴ τῳ πιθανὸς, παράγει τὸ Δὶς, ἐκ τοῦ ἑβρ. Di (ἱκανὸς), καὶ ἐκ τοῦ Sdi τὸ Ζεύς. - Ἄλλοι δὲ πάλιν ἐκ τῶν

τὸ τετραγράμματον οἱ Ο (α) μεθηρμήνευσαν κυρίως μὲν, ὁ ὨΝ (καθότι καὶ τὸ ὄνομα κοινῶς ἐτυμολογοῦσιν ἐκ τοῦ Eheje, ἔσομαι, καὶ εἰμί· διὸ καὶ λέγουσι τῆς ἀϊδίου οὐσίας τοῦ ὄντως Ὄντος εἶναι σημαντικόν) (β). Ἀλλαχοῦ δὲ συνήθως ἐξήγησαν διὰ τοῦ *Κύριος*, μηδαμοῦ κατὰ λέξιν αὐτὸ τὸ αὐτόλεκτον ὄνομα γράψαντες, διὰ σέβας· (οὕτω καὶ οἱ Ἰουδαῖοι, ὅπου τὸ τετραγράμματον ἀπαντῶσιν ἐν τῇ Γραφῇ, προφέρουσι τὸ Adonai, ἢ τὸ Elohim· καὶ Σαμαρεῖται μεταλλάσσουσιν ὡσαύτως· καὶ οἱ λοιποὶ ἑρμηνευταὶ, Ἀκύλας, Σύμμαχος, Θεοδοτίων, διὰ τοῦ Κύριος ἀπέδωκαν, καὶ ἡ Βουλγάτα διὰ τοῦ Dominus), ὡς νομίζοντες τὸ ὄνομα ἀνεκφώνητον καὶ ἄῤῥητον· Οἱ δὲ νεώτεροι Ἰουδαῖοι, ὑπέλαβον, ὅτι καὶ ὁ θεῖος νόμος τοῦτο κελεύει (Λευῒτ. κδ, 14), μηδόλως *ὀνομάζειν* (προφέρειν ἀπὸ στόματος) τὸ ὄνομα. Ἀλλ᾽ ὅτι μὲν ἐκεῖ τὸ ὀνομάζειν εἴρηται κατ᾽ εὐφημισμὸν (ἀντὶ τοῦ βλασφημεῖν), προείπομεν. Ὅτι δὲ καὶ σπανίως, καὶ μόνον ἐν τῷ ναῷ, καὶ ὑπὸ τῶν ἱερέων ἐξεφωνεῖτο τὸ τετραγράμματον εἰς εὐλογίαν τοῦ λαοῦ (Ἀριθ. ϛ. 27), ὑπάρχει πρᾶγμα βέβαιον· ὁμολογοῦσι δὲ καὶ οἱ ῥαββῖνοι (γ)· καὶ αὐτὸς

---

Αἰγυπτίων εἰς τοὺς Ἑβραίους μετενεχθῆναι τὸ ΟΝΟΜΑ ὑπενόησαν· ἵνα μηδὲν τῶν θείων καὶ ἱερῶν ἄθικτον καταλίπῃ ἡ δύστηνος πολυμάθεια τοῦ σκότους τοῦ αἰῶνος τούτου, μηδ᾽ αὐτὸ τὸ εὐλογητὸν ὄνομα τοῦ Ὄντος Θεοῦ· ὃ καὶ αὐτὸς ὁ χριστομάχος Πορφύριος τοῖς Ἑβραίοις ἀπένειμε· καὶ πᾶσα ἡ ἀρχαιότης, καὶ ἱερὰ καὶ βέβηλος, ἑβραϊκὸν τὸ τετραγράμματον ἀνεκήρυξεν· οἱ δ᾽ Αἰγύπτιοι, γνωστὸν, ὅτι τὴν Ἶσιν καὶ τὸν Ὄσιριν ἐτίμων ὡς ὑπερτάτους ἐγχωρίους Θεούς.

(α) Ἐξόδ. γ, 14 δίς· καὶ Ἱερεμ. α, 6: ιδ, 13: λθ (καθ᾽ Ἑβρ. 32) 17.

(β) Τὸ Ἑβρ. Eheje περιέχει καὶ τῶν τριῶν τοῦ ὑπαρκτικοῦ χρόνων τὰς σημασίας (ἦν, εἰμὶ, ἔσομαι. Βλ. Criticos Sacr. Annot. ad Exod. 3: et Levit. l. c.). Ὅθεν ὁ θεολόγος υἱὸς τῆς Βροντῆς ἐξέφρασε λαμπρότερον « ὁ Ὢν καὶ ὁ Ἦν καὶ ὁ Ἐρχόμενος » (Ἀποκαλ. α, 4). Ταύτης τῆς δυνάμεως τοῦ ἑβραϊκοῦ ὑπαρκτικοῦ, καὶ δὴ καὶ τῆς τοῦ θείου ὀνόματος σημασίας ὕστερον καὶ εἰς Αἰγυπτίους ἐκ παραδόσεως διαφημισθείσης, ἐπεγράφη καὶ εἰς τὸν ἐν Σάει ναὸν τὸ « Ἐγώ εἰμι πᾶν τὸ γεγονὸς, καὶ ὂν, καὶ ἐσόμενον », ὡς ἱστόρησε Πλούταρχος (ἐν τῷ περὶ Ἴσιδ. καὶ Ὀσίρ. σελ. 396 R.). Ὁ δ᾽ αὐτὸς ἑρμηνεύων καὶ τὸ ΕΙ τὸ ἐν Δελφοῖς (εἰς τὸν Ἀπόλλωνος ναὸν ἐπιγεγραμμένον), μεταξὺ τῶν ἄλλων σημασιῶν, τὴν μόνην ἴσως ἀληθεστέραν, εἶπε καὶ τὴν τοῦ δευτέρου προσώπου τοῦ ὑπαρκτικοῦ εἰμί (Περὶ τοῦ ΕΙ τοῦ ἐν Δελφοῖς). πρβλ. Πλάτωνα ἐν Φαίδρ. καὶ Τιμαίῳ. — (γ) Βλ. Walton Proleg. c. VIII. §. 19. Ὅστις προστίθησι καὶ ὅτι,

ὁ ἱερεὺς Ἰώσηπος ἄῤῥητον ἐφρόνει τὸ ὄνομα, λέγων· « οὔ μοι θέμις εἰπεῖν » (α). Καὶ ἄλλα δὲ τῶν ἀρχαίων ἐθνῶν καὶ ταύτην τὴν συνήθειαν μετ' ἄλλων Μωσαϊκῶν διδαγμάτων παραλαβόντες, καὶ αὐτοὶ οἱ Ἕλληνες, καὶ ἰδίως οἱ Ἀττικοί, ἀπεσιώπων ἐνίοτε τὸ ὄνομα τοῦ Θεοῦ, καὶ μάλιστα ἐν τοῖς ὅρκοις (β). 4) Καὶ συνάγεται ἄρα ἐκ τούτων, ὅτι τὸ ἀνεκφώνητον καὶ ἀπόῤῥητον τηρεῖν τὸ τετραγράμματον ὑπῆρχε παρ' Ἰουδαίοις ἔθος ἀρχαιότατον, ἴσως ἀπ' αὐτοῦ Μωϋσέως λαβὸν τὴν ἀρχὴν, ὅστις πρῶτος ἔγραψεν ἐλλειπτικῶς τὸ ΟΝΟΜΑ. Ὅθεν καὶ τῶν νεωτέρων ἄνδρες ἐπίσημοι ὡμολόγησαν, ὅτι πολλοὺς πρὸ τοῦ Σωτῆρος αἰῶνας ἐτήρουν τὸ ἔθος τοῦτο οἱ Ἰουδαῖοι, εἴτε δι' εὐλάβειαν, εἴτε καὶ κατ' ἀρχαίαν παράδοσιν (γ). Κατὰ ταῦτα τοίνυν καὶ Φίλων (ὡς Ἰουδαῖος πάντως, οὐχ ὡς φιλόσοφος) ἐδόξαζε καὶ ἔγραφε περὶ τοῦ *Ὀνόματος*· « ὃ μόνοις τοῖς ὦτα καὶ γλῶτταν σοφίᾳ κεκαθαρμένοις » (τοῖς ἱερεῦσι) « θέμις ἀκούειν καὶ λέγειν ἐν *ἁγίοις* » (ἐν τῷ ναῷ δηλαδὴ), « ἄλλῳ δ' οὐδενὶ τὸ παράπαν οὐδαμοῦ » (δ). Οὕτω δὲ παλαιᾶς

---

διὰ τὸ συνήθως ἀνεκφώνητον εἶναι τὸ ὄνομα, διὰ τοῦτο καὶ ἡ τούτου γνησία προφορὰ παρ' Ἰουδαίοις ἀπώλετο, καὶ μάλιστα μετὰ τὴν καταστροφὴν τοῦ ναοῦ.

(α) « Ὁ Θεὸς αὐτῷ (τῷ Μωϋσῇ) σημαίνει τὴν ἑαυτοῦ προσηγορίαν, οὐ πρότερον εἰς ἀνθρώπους παρελθοῦσαν· περὶ ἧς οὔ μοι θέμις εἰπεῖν ». Ἰώσηπ. Ἀρχ. Β. ιϐ. §. 4.

(ϐ) « Ἐλλειπτικῶς ὀμνύειν Ἀττικῶν ἐστι » (Παυσαν. Κορινθ. 74). « Μὰ τὸν — ἐγῶ γὰρ » κτλ. (Ἀριστοφ. Βατρ. 1364)· ὅπου ὁ Σχολιαστής· « Ἐλλειπτικῶς ὀμνύει· καὶ οὕτως ἔθος ἐςὶ τοῖς ἀρχαίοις ἐνίοτε, μὴ προστιθέναι τὸν Θεὸν, εὐλαβείας χάριν » (Καὶ ἡ Συνήθεια πολλαχοῦ « διὰ τ' ὄνομα » λέγει, ἐλλειπτικῶς τοῦ Θεοῦ). Καὶ περὶ τῶν παλαιῶν Ῥωμαίων ἱστόρησε Πλίνιος (ΚΗ. 2) ὅτι « Nomen Dei, sub cujus tutella erant, studiose occultabant ne, nomine cognito, hostes ipsum evocarent ». Καὶ Αἰγύπτιοι τὸν παρ' αὐτοῖς τιμώμενον Νείλου παῖδα Βάκχον ὀνομάζειν ἀθέμιτον ἡγοῦντο. Cicer. de Natura Deorum III, 56. Καὶ παρ' Ἰνδοῖς λέγεται μυστικὸν ὄνομα Θεοῦ τὸ Om. Βλ. Rosenmül. Sch. in Exod. 3.

(γ) Walton, l. c. προλ. Rosenmül. u. s. — Gesen. Lex. Hebr. p. 408.

(δ) Φίλων π. Βίου Μωσ. γ. σελ. 152. Οὕτω καὶ Ἀριστέας « ὄνομα γράμμασιν ἁγίοις » (σελ. XIII). Καὶ Ἱερώνυμος « Nomen Dei quod apud illos ἀνεκφώνητον habetur » (S. Hieronym. de vest. sacerd.) Ὡσαύτως καὶ Κλήμης Στρωμ. Εὐσέβιος, Θεοδώρητος, κτλ.

παρ' Ἰουδαίοις οὔσης τῆς συνηθείας, σφόδρα λοιπὸν ἐπλανήθησαν τῆς ἀληθείας οἱ νομίσαντες, ὅτι μεταξὺ τῶν ἄλλων (ὧν αὐτοὶ πάλιν οἴδασι) γνωρισμάτων τῆς Ἀλεξανδρινῆς φιλοσοφίας, εὕρηκαν παρὰ τοῖς Ο καὶ τὸ ἀνεκφώνητον τοῦ θείου ὀνόματος. Ὅτι δὲ καὶ ταύτης τῆς τῶν Ἀλεξανδρινῶν Ἰουδαίων φιλοσοφίας τὰ γενέθλια λίαν ἀρχαῖα καὶ ὠγύγια πλάττουσιν, ἄλλος περὶ τούτου λόγος.

Ταύτης τῆς φιλοσοφίας δείγματα κατεῖδον οἱ σοφοὶ καὶ ἐν τῷ α, κεφαλαίῳ τῆς Γενέσεως, ὅπου (φασὶν) οἱ Ο φαίνονται διπλῆν τῶν ὄντων δημιουργίαν πρεσβεύοντες, οἵαν καὶ Φίλων ἐδόξαζε πλατωνίζων· πρώτην μὲν τὴν τοῦ ἀρχετύπου καὶ ἀσωμάτου, ἢ ἰδανικοῦ κόσμου, δευτέραν δὲ τὴν τοῦ σωματικοῦ καὶ ὁρατοῦ, πρὸς ἐκεῖνο τὸ ἀρχέτυπον δημιουργηθέντος. Ἀλλ' αὐτὰ τὰ παραδείγματα, ὅσα φέρουσιν οἱ ἄνδρες πρὸς ἀπόδειξιν τοῦ φαντάσματος, ἐξελέγχουσι τοῦτο μηδὲν ἕτερον ὄν, ἢ τοῦτ' αὐτὸ φάντασμα· 1) Τὸ Γεν. α, 2, « ἡ δὲ γῆ ἦν *ἀόρατος καὶ ἀκατασκεύαστος* » ὅ,τι σημαίνει, προείπομεν (σελ. 719). Τοιαύτη δὲ ἦν ἡ γῆ πάντως, ἀφ' οὗ προῆλθεν εἰς τὸ εἶναι ἐκ τοῦ χάους τοῦ μηδενὸς, ὑπὸ τοῦ παντουργοῦ συμπαγεῖσα λόγου· καὶ τοῦτο λέγει αὐτὴ ἡ Γραφή· Μετὰ γὰρ τὸ *ἐν ἀρχῇ ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν*, αὐτίκα διαγράφει τῆς ἤδη *ποιηθείσης* καὶ σωματωθείσης γῆς τὴν νεογνὸν κατάστασιν. Οἱ δὲ τὸ *ἀόρατον καὶ ἀκατασκεύαστον* ἐκλαμβάνοντες ὡς τεκμήριον τῆς ἔτι δῆθεν ἐν ἰδέαις ἀσωμάτοις ἀοράτως ὑφεστώσης, καὶ μήπω συμπαγείσης γῆς, ἀντιφάσκουσι λαμπρῶς πρὸς τὸ κείμενον, καὶ φιλοσοφοῦσιν ὑπὲρ τὸ δέον! 2) Τὸ « *καθ' ὁμοιότητα* » (Γενέσ. α, 11) λείπει ἐκ τοῦ ἑβραϊκοῦ, μόνον ἔχοντος τὸ « *κατὰ γένος* » (ἐπὶ τῶν φυτῶν). Εἰ μὲν οὖν προσετίθουν εἰς τὴν ἑβραϊκὴν φράσιν καὶ τὸ *καθ' ὁμοιότητα* (πρόπαλαι ἐκπεσὸν, καθὼς καὶ ἄλλα τινα τοῦ αὐτοῦ κεφαλαίου), πάντως ἂν ἀπηλλάττοντο πραγμάτων οἱ ἄνδρες, αἰδεσθέντες εἰσάγειν φιλωνίζοντα καὶ αὐτὸν τὸν Μωϋσῆν. Εἰ δὲ (καθὼς ἀξιοῦσιν) αὐτοὶ προσέθηκαν οἱ Ο τὴν λέξιν, οὔτ' ἀρχέτυπά τινα καὶ ἰδανικὰ φυτὰ, οὔτε τὴν πρὸς ταῦτα τῶν ἐκτύπων καὶ ὁρατῶν ὁμοίωσιν ἐφαντάζοντο, ἀλλ' ἡρμήνευσαν ἀκριβῶς τὴν ἑβραΐδα

φωνὴν, min, ἥτις καὶ *μορφὴν*, ἢ ὁμοίωμα, καὶ γένος, ἤτοι *εἶδος* σημαίνει (ὡς καὶ τὸ ἑλληνικὸν *ἰδέα*, τό,τε εἶδος καὶ τὴν μορφήν) (α)· καὶ ἀμφότερα ἐνταῦθα σημαίνει τὸ ἑβραϊκὸν ὄνομα, δηλονότι τό,τε εἶδος τοῦ φυτοῦ, καὶ τὴν τοῦ φύοντος πρὸς τὸ φυόμενον ὁμοιότητα (εἴγε καὶ καθ' Ἕλληνας, « Ἕκαστον (κατ' εἶδος) *ὅμοιον ἑαυτῷ γεννᾷ* »). Καὶ μαρτυροῦσιν αὐτοὶ πάλιν οἱ Ο, οἵτινες καὶ ἀλλαχοῦ τὴν αὐτὴν ἑβραΐδα λέξιν διὰ τοῦ *ὁμοίου* ἐξέφερον· οἷον· « τὸν ἰκτῖνα καὶ *τὰ ὅμοια αὐτῷ* » (τὰ ὁμοιοειδῆ· ὅπου τὸ ἑβρ. κατὰ τὸ εἶδος (min) αὐτοῦ·(Λευϊτ. ια, 14,15). Εἰ δέ τις καὶ ἄλλης μαρτυρίας χρεία, παρίτω Φίλων αὐτὸς, ὁ τῶν ἀρχετύπων παραδειγμάτων καὶ τῶν σωματικῶν ἀπεικονισμάτων ἱεροφάντης, ὅστις ἄγαν φυσικῶς καὶ σωματικῶς ἑρμηνεύει τὸ καθ' ὁμοιότητα τοῦτο τῶν Ο, λέγων· « Παρασκευαὶ γὰρ ἦσαν οἱ καρποὶ (ἑκάστου εἴδους) *πρὸς τὴν τῶν ὁμοίων ἀεὶ γένεσιν* » (τόμ. α. σελ. 9). 3) Ποῖα δὲ καὶ τὰ προβαλλόμενα ἐκ τοῦ β, τῆς Γενέσ. κεφαλαίου (§. 5, 9, 19); Ἄκουε. « Καὶ (ἐποίησεν ὁ Θεὸς) πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ, πρὸ τοῦ *ἀνατεῖλαι* » κτλ. Ἐπὶ δὲ τούτων ὁ ἰδανικώτατος Φίλων ἄσμενος ἐπισημειοῖ· « Ἆρ' οὐκ ἐμφανῶς τὰς ἀσωμάτους καὶ νοητὰς ἰδέας παρίστησιν, ἃς τῶν αἰσθητῶν ἀποτελεσμάτων σφραγῖδας εἶναι συμβέβηκε; πρὶν γὰρ *χλοῆσαι τὴν γῆν*, αὐτὸ τοῦτο ἐν τῇ φύσει τῶν πραγμάτων χλόη, φησὶν, ἦν· καὶ πρὶν ἀνατεῖλαι χόρτον ἐν ἀγρῷ, χόρτος ἦν οὐχ ὁρατός » κτλ. (τόμ. α. σελ. 30). Καὶ ταῦθ', ὡς ἔοικε, τὰ τοῦ Φίλωνος δανεισάμενοι καὶ οἱ κριτικοὶ, παριστῶσι τοὺς Ο συνᾴδοντας ταῖς Φιλωνείαις Μούσαις καὶ συγχορεύοντας. Ἀλλ' οὔτε Φίλων εὐώδωται, συγκλώθων τὰ ἀσύγκλωστα, καὶ πειρώμενος τὰς πλατωνικὰς ἰδέας ἐκ τῶν θείων ἀποδεικνύναι Γραφῶν (β), καὶ οἱ σοφοὶ κριτικοὶ λίαν ἐπισφαλῶς ἀπεκρέμασαν δόξαν βαρεῖαν ἀπὸ μίτου λεπτοτάτου, ἑνὸς ἑβραϊσμοῦ ( τοῦ « *πρὸ τοῦ γενέσθαι* » ). Ταῦτα γὰρ τὰ, *πρὸ τοῦ γενέσθαι*, καὶ *πρὸ τοῦ ἀνατεῖλαι*, ἰσοδυναμοῦσι

---

(α) Βλ. Gesen. Lex. Hebr. p. 570.

(β) Βλ. Πλάτων. Τιμαίῳ σελ. 28, κτλ.

τῷ « πρὶν ἢ γένωνται » κτλ. ἢ τῷ « *μήπω πρότερον* ἀνατείλαντα καὶ γενόμενα ἐπὶ τῆς γῆς »· ἢ καί, ἅπερ οὐκ ἦν πρότερον *γεγονότα* (α). « Τοῦτο γὰρ βούλεται εἰπεῖν· ὅτι *τὰ πρότερον μὴ ὄντα* εἰς τὸ εἶναι ὑπέστη· καὶ *ἅπερ οὐκ ἦν*, ταῦτα ἀθρόον ἐδείκνυτο » (Χρυσόστομ. Ὁμιλ. ιβ εἰς Γένεσ.). Καὶ κυροῦσι τὴν ἐκδοχὴν αὐτοὶ πάλιν οἱ Ο, παρομοίᾳ χρησάμενοι συντάξει καὶ ἐν Α. Βασιλ. γ, 7. « Καὶ Σαμουὴλ, *πρὶν ἢ γνῶναι* τὸν Κύριον »· ἀντὶ τοῦ, πρότερον οὐκ ἦν ἐγνωκὼς », ἤ, « οὔπω πρότερον ἐγνώκει τὸν Κύριον »· κατὰ τὸ « *οὐδέπω* πεφόβησθε » (Ἐξόδ. θ, 30). Οὕτω καὶ οἱ Ταργουμισταὶ καὶ πολλοὶ τῶν νεωτέρων ἡρμήνευσαν. Ὡσαύτως καὶ τὸ « Καὶ ἔπλασεν ὁ Θεὸς *ἔτι* » (τοῦτο τὸ *ἔτι* λείπει ἐκ τοῦ ἑβραϊκοῦ, παρέμεινε δὲ ὅμως ἐν τῷ Σαμαρειτανῷ) « ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ » (Γεν. β. 19) κατ᾽ ἐπανάληψιν εἴρηται (παρά τε τοῖς Ο, καὶ ἐν τῷ ἑβραϊκῷ), πρὸς τὰ πρότερον ἐν τῷ α, κεφαλαίῳ προεξιστορηθέντα τὴν ἀναφορὰν ἔχον. Ἀλλὰ πλείω περὶ τούτων λέγειν, ὀχληρόν. Ἄπορον δὲ φαίνεται, πῶς οἱ κριτικοὶ οὗτοι παρεῖδον τὸν ἐπὶ τοῦ ὄρους τῷ Μωσῇ καταδειχθέντα *τύπον*, ἢ τὸ « *παράδειγμα* τῆς σκηνῆς καὶ τῶν σκευῶν αὐτῆς» (Ἐξόδ. κε. 9). Οὕτω γὰρ εἶχον λαμπρότερον περὶ τὰς ἀρχετύπους ἰδέας τοὺς Ο σὺν αὐτῷ Μωσῇ φιλωνίζοντας ἀποδεῖξαι! Τὸν δὲ σοφὸν Δαῖνον ἁβρῶς καὶ πλουσίως ἀνακαινίσαντα τὴν περὶ τῆς *Εὔας* καὶ τοῦ *ὄφεως* ἀλληγορίαν τοῦ Φίλωνος (βλ. ὄπισθ. σελ. 833), ἵνα καὶ ἐκ τούτου τὴν Ἀλεξανδρινὴν τῶν Ο φιλοσοφίαν ἐναργέστερον ἀποδείξῃ, πάνυ δικαίως ἅμα καὶ εὐγενῶς ὁ σεμνὸς ἐξήλεγξε Θήρσιος (β). Καὶ φαίνεται ἄρα λίαν ὀργῶσα περὶ τὰς τοι-

---

(α) Ὁ Ὄγκελος καὶ ὁ Ἰωνάθαν « donec non essent, ἄχρις ὅτου (ἢ μέχρι τότε) οὐκ ἦσαν. Καὶ ὁ Τρεμέλιος τὸ therem (ἀνθ᾽ οὗ οἱ Ο, π ρ ὸ τ ο ῦ) nondum (οὔπω) ἡρμήνευσε. Καὶ Μάσιος τὸ χωρίον μεταφράζει « nulla planta agri a d h u c (ἄχρι τότε) erat in terra etc. Mas. in Josua c. II. 8. Καὶ Δρεύσιος ὡσαύτως, καὶ ἄλλοι, καὶ Rosenmüll. Schol. in Genes. II. 5—29.

(β) Βλ. Thiersch, De Pentateuchi versione Alexandr. etc. p. 44. Ὡς εἴθε καὶ τὰς ἄλλας ὑπερβολὰς τοῦ Δαίνου μὴ παρεδέξατο ὁ χρηστὸς καὶ ἑλληνικώτατος Θήρσιος.

αὐτας φαντασίας καὶ ἀκρατὴς ἡ νεωτέρων τινῶν κριτικῶν πολυμάθεια· ἥτις μικρᾶς τινος ἀφορμῆς ἐκ τῶν ἀρχαίων σοφῶν δραξαμένη, πρόεισιν ἐπὶ τὰ μείζω, καινοτομίας ἱμέρῳ, καὶ εἰς ὕψος αἰρομένη, « Οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει ». Τοιοῦτός τις ἐπ᾽ ἄλλης ὑποθέσεως ἐφάνη καθ᾽ ἡμᾶς καί τις φιλολόγος πολυμαθὴς, ὁ Φορχάμμερος (Vorchhammer), ὅστις καὶ αὐτὰ τὰ ἱστορικὰ τῆς ἑλληνικῆς μυθολογίας πρόσωπα ἀπηνθρώπησεν, ἀλληγορήσας εἰς ἄλλα ὄντα φυσικά· οἷον τὸν Ἡρακλῆν, φέρ᾽ εἰπεῖν, εἰς ποταμὸν, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Τοιοῦτοι δὲ ὄντες, ἔπειτ᾽ ὀνειδίζουσι τῷ Φίλωνι τὴν ἀμετρίαν τῶν ἀλληγοριῶν, συνεπιξαίνοντες καὶ τοὺς Ο! ἀλλ᾽ ἐπὶ τὸ προκείμενον. Πρὸς τοῖς εἰρημένοις δείγμασι τῆς Ἀλεξανδρινῆς τῶν Ο δῆθεν φιλοσοφίας, ἅπερ ἐπενόησεν ἡ πολυϊδμοσύνη τῶν κριτικῶν, ὡς ἂν εἴπερ οὗτοι οὐκ ἐξήρκουν, ἐπῆλθεν ἡμῖν καὶ Φράγκελος ὁ ἀρχιραββῖνος, φέρων κατωμάδια βιβλία τῆς ἑαυτοῦ Συναγωγῆς, πάνυ σκολιὰ περὶ τὰς ὀνομασίας, Μιδράσχας, ἃς λέγει, καὶ Χαλαχὰς, καὶ Χαγαδὰς(α), πειρώμενος ἀποδεῖξαι, ὅτι, πρὸς τῷ τῆς Ἀλεξανδρινῆς φιλοσοφίας εὐφημισμῷ,

---

(α) Βλ. Frankel, l. c. pag. 179—191. Ὁρίζει δὲ αὐτὸς οὗτος τὴν μὲν Μιδράσχαν, θρησκευτικὴν ἑρμηνείαν (τῶν Γραφῶν), τὴν δὲ Χαλαχὰν πρακτικὴν διδασκαλίαν τοῦ νόμου· τὴν δὲ Χαγαδὰν, ἑρμηνείαν καὶ ταύτην τῆς Γραφῆς, προστιθεῖσαν καὶ νέας τινας παραδόσεις. Εἰσάγει δὲ ταῦτα τὰ βιβλία πάνυ γηραιὰ καὶ ἀρχαῖα καὶ τριπέμπελα, κατὰ τὸ εἰκὸς, ὁ ἀρχιραββῖνος. Καὶ τὴν ἀρχὴν τῆς Μιδράσχης ἀναφέρει μέχρις εἰς αὐτὴν τὴν ἐποχὴν τοῦ β, ναοῦ (ἴσως ὀλίγῳ τοῦ Ἔσδρα νεωτέραν τιθείς). Ὅθεν, λέγει, καὶ εἰς τὴν Ἀλεξάνδρειαν ἡ ταύτης ἐξεχύθη διδασκαλία, ὅτε Πτολεμαῖος (ὁ Λάγου πάντως) κατέσχε τὴν Παλαιστίνην κτλ. Οὕτως ὁ καυχηματίας Φράγκελος τὰ πολλοὺς αἰῶνας μετὰ Χριστὸν ὑπό τινων Ῥαββίνων συγκαττυθέντα ταῦτα βιβλία, παλαιᾶς σοφίας γνωρίσματα, μηδὲν αἰδούμενος, παριστᾷ καθὼς ἄλλοι πάλιν ὁμογενεῖς αὐτοῦ τὰς Μασοριτείους στιγμὰς κατάγουσιν ἀπ᾽ αὐτοῦ τοῦ Ἔσδρα, καὶ ἀπὸ Μωσέως αὐτοῦ. Ἀλλὰ τὰ μὲν τῶν Ῥαββίνων τοιαῦτα. Τὴν δ᾽ οὖν Μιδράσχην, ἢ τὰς Μιδράσχας ταύτας (Midraschim) ἄλλοι τε διέγραψαν ἀκριβῶς, καὶ ὁ σοφὸς Μορῖνος (Lib. II. Exercit. IX. c. 1). Ὑπομνηματισμοί τινές εἰσι τῶν ἀρχαίων Ῥαββίνων εἰς τὴν ἁγίαν Γραφὴν ἀλληγορικοὶ καὶ ἀναγωγικοὶ, μᾶλλον δὲ λογιδρίων καὶ μυθαρίων γραωδῶν συλλογὴ, ἣν αὐτοὶ μὲν οἱ Ἰουδαῖοι μόλις ἀναφέρουσιν εἰς τὰ 210 μ. Χ. ἡ δ᾽ ἀλήθεια ταύτην ἀποδείκνυσι γενομένην τῷ 500 μ. Χ.

καὶ ταῦτα τὰ Ῥαββινικὰ συγγράμματα ἐπενήργησαν εἰς τὴν ἑρμηνεῖαν τῶν Ο, ὡς καὶ ταῦτα δηλαδὴ μεμελετηκότων, καὶ πολλὰς ἀρυσαμένων γνώμας σοφάς· Καὶ φέρει τινα παραδείγματα. « Τὸ Μιδράσχειον στοιχεῖον (λέγει σεμνοστομῶν, καὶ τὰς ὀφρῦς τοξοποιῶν), μεγίστην ἔσχεν ἐπὶ τῆς ἑρμηνείας ῥοπὴν (καὶ μὴν καὶ Φίλων αὐτὸς ἐδανείσατο τῆς Χαλαχικῆς ἐκφράσεως τοὺς τύπους, οἷον τὸ ἐρωτηματικὸν εἶδος, καίτοι μηδὲν ἀπονάμενος τῆς θρησκευτικῆς διδασκαλίας) (α). Αὐτίκα (λέγει), τὸ ἐν Ἰησοῦ ιγ, 22 « Καὶ τὸν Βαλαὰμ ἀπέκτειναν ἐν τῇ ῥοπῇ, » ὃ πολλὰ τοῖς φιλολόγοις παρέσχε πράγματα, ἐξηγεῖται ἐκ τῆς Χαγαδᾶς. « Ὁ Βαλαὰμ (λέγει αὕτη) διὰ τῶν μαντικῶν αὐτοῦ τεχνῶν ἀνέπτη εἰς οὐρανὸν, ὁ δὲ Πιγχᾶς κατεκρήμνισεν αὐτόν. » Ἰδοὺ τί σημαίνει τὸ τῶν Ο ῥοπὴ, πτῶσιν δηλαδὴ καὶ κατακρήμνισιν (β). Ἄλλο πάλιν τῶν Ο ῥητὸν, τὸ « Υἱὲ κορασίων αὐτομολούντων » (Α. Βασιλ. κ, 30) ἑρμη-

(α) Ἀλλ' ὁ Φράγκελος αὐτὸς ἀλλαχοῦ τὸν Φίλωνα παντάπασιν ἀμαθῆ τῆς ἑβραϊκῆς εἶπε (βλ. ὄπισθ. σελ. 731)· τί δ' οὐχὶ καὶ τῆς Χαλδαϊκῆς; ἤδη δὲ τὸν λόγῳ καὶ διανοίᾳ πλατωνικώτατον Φίλωνα μαθητὴν ἀποδείκνυσι τῆς 400 ὅλους ἐνιαυτοὺς νεωτέρας αὐτοῦ Χαλαχαίας τερθρείας!

(β) Τὸ Ἀλεξανδριν. καὶ Βατικαν. ἔχει ἐν τῇ ῥοπῇ· ἡ δὲ τοῦ Ἄλδου ἔκδοσις καὶ ἡ Κομπλουτ. « ἐν ῥομφαίᾳ ἐν τῇ τροπῇ. Ἡ δὲ τοῦ Ὀξωνίου ἐν προνομῇ. Ἀλλ' ἡ πιθανωτάτη ἀνάγνωσις φαίνεται ἡ ἐν τῇ τροπῇ· καὶ ὁ Σύρος ἑρμηνεύει in bello (ἐν τῷ πολέμῳ)· οὕτω καὶ Μάσιος καὶ ἄλλοι (Annotat. εἰς Ἰησ. αὐτόθι). Καίτοι καὶ αὐτὸ τὸ ῥοπὴ οὐδὲν ἕτερον σημαίνει ἢ τροπὴν, ἤτοι κλίσιν καὶ φυγὴν τῶν νικηθέντων (συγχέονται δὲ συχνάκις τὸ ῥοπὴ πρὸς τὸ τροπή· οὕτω παρ' Ἰωσήπῳ Ἀρχ. ιϐ, γ, 3. « τὴν τῶν πραγμάτων ἐπὶ θάτερον « τροπὴν », ἀντὶ ῥοπήν)· τὸ δὲ νῦν ἑβρ. λέγει « ἀπέκτειναν (οἱ υἱοὶ Ἰσραὴλ) ῥομφαίᾳ παρὰ τοῖς ἀποκτανθεῖσι (νεκροῖς) αὐτῶν ». (Ὅθεν καί τινες τῶν κριτικῶν τρέπουσι [μετὰ τῆς συνήθους ἀποτυχίας] τὸ τῶν Ο, ῥοπὴ, εἰς τὸ ἅρπη, δηλαδὴ ῥομφαία! Βλ. Schleusn. Thes. λ. Τροπὴ, Ῥοπή). Καὶ ταῦτα μὲν τὰ τῆς Γραφῆς. Σὺ δ' ἐν τούτοις βλέπεις ἀναγνῶστα, α) ὅτι ἡ λέξις ῥοπὴ, κατὰ τὸ λεξικὸν τοῦ Φραγκέλου, σημαίνει πτῶσιν! β) Ὅτι πρὸς κατάληψιν τῆς ἐννοίας τῶν Ο χρείαν ἔχεις τῆς Χαγαδᾶς, ἧς τὰ νοήματα πρὸ 800 χρόνων μαντεύσαντες οἱ Ο, παρέπλεκον ἐν τῇ ἑρμηνείᾳ τῶν Γραφῶν. γ) Ὅτι ἡ Χαγαδὰ περιέχει πράγματα σύμφωνα ταῖς Γραφαῖς, ὅσον συμφωνεῖ τὸ « ἀπέκτειναν υἱοὶ Ἰσραὴλ τὸν Βαλαὰμ ἐν ῥομφαίᾳ », πρὸς τὸν μῦθον τοῦ Πιγχᾶ! Καὶ γνωρίζεις λοιπὸν καὶ ἐκ τούτων τῶν ὀλίγων τὴν κριτικὴν ἀκρίβειαν τοῦ ἀρχιραββίνου κριτικοῦ. Ἐξ ὄνυχος τὸν λέοντα!

νεύεται ἐξ ἄλλου πάλιν ἱστορήματος τῆς Χαγαδᾶς (α). Ἐκ δὲ τῆς Χαλαχᾶς ἐξηγεῖται τὸ « Ἐὰν βρώσει βρωθῇ τῇ τρίτῃ ἡμέρᾳ, ἄθυτόν ἐςι » (Λευϊτ. ιθ, 7). Τοῦτο (λέγει Φράγκελος) τὸ *ἄθυτον* οὐκ ἐνόησαν οἱ ἐξηγηταὶ, νομίσαντες φωνὴν Ἀλεξανδρινὴν (βλ. ὄπισθ. σελ. 259)· οἱ δ' ἑρμηνεῖς (οἱ Ο) ἐξέφρασαν αὐτὸ τὸ νόημα τῆς Χαλαχᾶς, ἥτις ὁρίζει ταῦτα. Ἐπειδάν τις θύειν μέλλων διανοηθῇ φαγεῖν τὰ κατάλοιπα τοῦ θύματος τῇ τρίτῃ (ἀπὸ τῆς θυσίας) ἡμέρᾳ, τότε τὸ θῦμα γίνεται βδελυρὸν (figul), οὐδ' ἔξεστι τοῦτο θύειν· τοῦτο τοίνυν οἱ ἑρμηνεῖς ἐξέφρασαν σαφέστατα διὰ τοῦ *ἄθυτόν* ἐστι (β). Ταῦτα καὶ τοιαῦτα κομψεύεται ςωμύλως ὁ ἀρχιραββῖνος κριτικός. Ἡμεῖς δὲ τοῦτον ἀποστέλλοντες μεθ' ὧν ἐπάγεται θησαυρῶν, ἐπιδειξόμενον αὐτοὺς πρὸς τοὺς οἰκείους, ἐπάνιμεν ἐπὶ τὰ λοιπά.

§. ιγ. ϛ) Ἕκτην ἀριθμοῦσιν αἰτίαν τῆς τῶν Ο πρὸς τὸ ἑβραϊκὸν διαφορᾶς τὰ (καθὼς ὀνομάζουσι) *γλωσσήματα*· δηλονότι λέξεις καὶ φράσεις πολυειδεῖς, ἢ ἐξ ἄλλων παραλλήλων χωρίων τῆς Γραφῆς, ἢ ἐξ ἄλλων μεταφράσεων (οἷον τοῦ Ἀκύλα, τοῦ Συμμάχου, τοῦ Θεοδοτίωνος), ἢ καὶ ὡς ἐπεξηγήσεις ὑπό τινων ἐν τῷ περισελίδῳ προσεσημειωμένας. Ἔπειτα δὲ, τοῦ χρόνου προϊόντος, ἀβλεψίᾳ τῶν μεταγραφέων, εἰσεῤῥύησαν καὶ εἰς τὸ κείμενον τῶν Ο. Τοιαῦτα σημειοῦσι πολλὰ καὶ ποικίλα. Καὶ πρῶτον, τὰς διπλᾶς λεγομένας μεταφράσεις μιᾶς καὶ τῆς αὐτῆς λέξεως, ἢ ἑνὸς καὶ τοῦ αὐτοῦ κόμματος, ἢ χωρίου, αἵτινες προῆλθον μάλιστα καὶ ἐκ τῶν Ὠριγένους Ἑξαπλῶν. Ἐν τούτοις γὰρ ὁ Ὠριγένης προσῆψε πρὸς τῇ ἑρμηνείᾳ τῶν Ο καὶ τὰς τῶν λοιπῶν ἑρμηνευτῶν

(α) Βλ. ὄπισθ. σελ. 757.

(β) Βλέπεις ἐκ τούτων, ἀναγνῶστα, τοὺς Χαλαχαίους τούτους καὶ τοὺς ἄλλους παλαιοὺς Ῥαββίνους, δείγματα σαφῆ παρεχομένους, ὅτι καὶ ἀνεγίνωσκον τοὺς Ο, καὶ παρελάμβανον ὁδηγοὺς εἰς κατάληψιν τοῦ ἑβραϊκοῦ κειμένου (καίτοι συμφύροντες καὶ τὰς ῥαββινικὰς τερθρείας). Τοιαῦτα γνωρίσματα τῆς ἀναγνώσεως τῶν Ο παρέχονται καὶ Ὄγκελος καὶ ἄλλοι Ταργουμισταὶ, χρώμενοι τῇ ἑρμηνείᾳ πρὸς κατάληψιν τῶν πλείστων ὧν ἠγνόουν ἑβραϊκῶν φωνῶν, ὡς ἐσημείωσε παρεδικῶς καὶ ὁ γηραιὸς Οὐέσσιος.

ἀναγνώσεις, ὅσαι ἔλειπον, ἢ διέφερον ἐκείνης, ἃς καὶ πρὸς διάκρισιν ἐσημείωσε δι' ἀστερίσκων καὶ λημνίσκων· τὰ δὲ πάλιν ἐν τοῖς Ο περιττεύοντα κατέδειξε δι ὀβελῶν. Ἔπειτα κατὰ τὰς ἀντιγραφὰς πολλάκις ἀμελουμένων τῶν κριτικῶν τούτων σημείων, συνεχύθησαν αἱ ἑρμηνεῖαι εἰς μίαν (α). Τοιούτων διπλῶν μεταφράσεων δείγματα φέρουσιν ἄλλα τε, καὶ μάλιστα τὰ ἐφεξῆς. Τὸ « *Οὐκ ἔσται τελεσφόρος* » κτλ. περὶ οὗ προείπομεν (σελ 751).—Τὸ ἐν Ἰὼβ θ, 3 « Οὐ μὴ ὑπακούσῃ αὐτῷ, ἵνα μὴ ἀντείπῃ, » ὅπου τὸ μὲν « *οὐ μὴ ὑπακούσῃ αὐτῷ* » τοῦ Συμμάχου καὶ τοῦ Θεοδοτίωνος ἦν ἑρμηνεία· τὸ δὲ « *ἵνα μὴ ἀντείπῃ* » τῶν Ο· ἔπειτα συνέπεσαν ἀμφότεραι. - Ψαλμῷ ιζ, 35, οἱ Ο ἔγραψαν « *Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος* »· τούτῳ προσετέθη καὶ τὸ τοῦ Θεοδοτίωνος « *Καὶ ἡ παιδεία σου αὐτή με διδάξει.* » — Ψαλμ. κη, 1. « Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ· *ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν* » ὅπου τὸ δεύτερον ἐξ ἄλλης ἑρμηνείας προσεκολλήθη. — Β. Βασιλ. ιε, 19, 20 (Βατικαν.). « Ὅτι ξένος εἶ, καὶ ὅτι μετῴκησας σὺ ἐκ τοῦ τόπου σου. Εἰ ἐχθὲς παραγέγονας, καὶ σήμερον κινήσω σε μεθ' ἡμῶν; *Καί γε μεταναστήσεις* [εἰς] *τὸν τόπον σου· χθὲς ἡ ἔλευσίς σου καὶ σήμερον μετακινήσω σε μεθ' ἡμῶν τοῦ πορευθῆναι;* (τὰ ἀπὸ τοῦ « Καί γε » κτλ. ἐξ ἄλλης ἑρμηνείας). — Ἀββακοὺμ, γ, 2. Ὅλον τὸ ἐδάφιον ἔχει προσθήκας τινὰς, καὶ ἀναδιπλώσεις· οἷον· « *Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθείσῃ* ». - Δευτερ. ις, 7. *Καὶ* « *ἑψήσεις, καὶ ὀπτήσεις* » (ἀντὶ μόνου τοῦ *ὀπτήσεις*)· διπλῆ μετάφρασις· καὶ ἀλλαχοῦ πολλαχοῦ (β). Καὶ τοῦτο δὲ (προςίθησιν ὁ Φράγκελος) παρατηροῦμεν, ὅτι τὰ γλωσσήματα προέρχονται, ὡς ἐπὶ τὸ πλεῖστον, ἀπὸ λέξεων πολυσημάντων, ἐν οἷς καταφαίνεται καὶ παρὰ τοῖς Ο τὸ *ἀναγνωστὸν* καὶ τὸ *γραπτόν*. (Keri, Ketib. βλ. ὄπισθ. σελ 822). Οἷον· ἐν Κριτ. ϛ. 5· τὸ

(α) Βλ. Montfaucon Praeliminar. in Hexapl. Origen. Tom. 1. p. 42-43.

(β) Βλ. Frankel, l. c. p. 70-89. πάμπολλα παραδείγματα συσσωρεύσαντα, ὅσα συνήθροισεν ἀπὸ διαφόρων κριτικῶν, ἀσχοληθέντων μάλιστα περὶ τοῦτο (Cappellum, Glassium, Hottingerum, Drusium etc.), θησαυρίσας ἐν ταῖς χερσὶν αὐτοῦ ἀκαρπίαν!

ἑβραϊκόν. «Παρεγίνοντο μετὰ τῶν σκηνῶν αὐτῶν »· οἱ δὲ Ο (κώδ. Ἀλεξ.) « Καὶ τὰς σκηνὰς αὐτῶν παρέφερον, καὶ παραγένειντο. » (οὕτως! *ἀντὶ παρεγείνοντο* = παρεγίνοντο), ὅπου (λέγει) τὸ μὲν *παρέφερόν ἐστι* τὸ *γραπτὸν*, τὸ δὲ παρεγένειντο (οὕτω!), τὸ *ἀναγνωστόν*. Καὶ ἐν Ἱερεμ. β. 20 «Οὐ δουλεύσω σοι, ἀλλὰ πορεύσομαι »· τὸ δουλεύσω, *γραπτὸν* (ἐν τῷ κειμένῳ)· τὸ πορεύσομαι *ἀναγνωστὸν* (ἐκ τῆς ὤας).

Πλὴν τῶν, ὅσα πρὸς ἐξίσωσιν μετέβαλον παντοίως αὐτοὶ οἱ ἑρμηνεῖς (βλ. ὄπισθ. σελ. 805), οὐκ ὀλίγα κατέπραξαν καὶ οἱ διορθωταί (φησι Φράγκελος), ἢ *διασκευασταί*· οἵτινες, ἕνεκα σκοπῶν πολεμικῶν (δηλονότι πολεμοῦντες πρὸς τοὺς Ἰουδαίους οἱ Χριστιανοὶ) ἐπεχείρουν εἰσάγειν προσθήκας. Ἀλλ᾽ οὐ προυχώρει (λέγει) τὸ ἐπιχείρημα, ῥαδίως ἐλεγχόμενον ὑπὸ τῶν ἑβραϊκῶν καὶ ἑλληνικῶν χειρογράφων· ὅθεν ὀλίγα χωρία εὑρίσκονται παραμεμορφωμένα ἐξεπίτηδες· Οἷον, τὸ, Ἰωὴλ β, 32· «Οἱ εὐαγγελιζόμενοι» (ὅπου τὸ ἑβρ. οἱ κατάλοιποι) «οὓς Κύριος προσκέκληται». Καὶ τὸ τοῦ Ἡσαΐ. νγ, 8 «*ἤχθη εἰς θάνατον*» (ὅπου τὸ ἑβρ. *ἐπλήγη*). Καὶ ἄλλως δὲ οἱ διασκευασταὶ ἐπειρῶντο τελειότερον τὸ κείμενον καταστῆσαι, παράλληλα χωρία προσιθέντες, οἷον βλέπομεν καὶ ἐν τῇ Σαμαρειτανῇ Πεντατεύχῳ (α). Τοιαῦτα παραπληρώματα ἔχει ἡ Πεντάτευχος ἑξακόσια περίπου (ἐν τῇ Γενέσει, 270-280· ἐν δὲ τῇ Ἐξόδῳ, 100· ἐν δὲ τῷ Λευϊτικῷ, 70-80· ἐν Ἀριθμοῖς, 50-60· ἐν Δευτερονομίῳ, 60-70). Πολὺ δὲ πλείονες τοιοῦτοι παραλληλισμοὶ ἀπαντῶνται ἐν τοῖς ἄλλοις τεύχεσι τοῖς προφητικοῖς· ὅπου καὶ ὁλόκληροι παράγραφοι, καὶ κεφάλαια ὅλα προστίθενται· οἷον· τὸ τέλος τοῦ Ἰώβ, προστεθὲν ἐκ τῆς Γενέσεως λς, 2: (β). Τὰ ἐν Β. Βασιλ. β. 10, ἐκ τῶν Ἱερεμ. θ, 23, 24. Τὸ ἐν Ψαλμ. ιγ, 3. « τάφος ἀνεῳγμένος » κτλ. πολυσύνθετον (ἐκ τριῶν Ψαλμῶν, ε, 9: ρλθ, 3: θ, 28: καὶ ἐκ τῶν Παροιμ. α, 16, καὶ ἐκ

(α) Ὁ Φράγκελος (l. c. p. 78) εἴωθεν ἀπονέμειν μᾶλλον εἰς διασκευαστὰς ὅ,τι ὁ Τοίπλερος ἀπεδίδου ἐν μέρει μὲν εἰς τοὺς διασκευαστάς, τὸ δὲ πλεῖστον εἰς αὐτοὺς τοὺς ἑρμηνεῖς.

(β) Περὶ τοῦ τέλους τοῦ Ἰώβ, καὶ τῶν τῆς Ἐσθὴρ, εἴπομεν ἐν τοῖς προηγηθεῖσι (σελ. 584, 765)· λέγομεν δὲ καὶ ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς.

τοῦ Ἡσαΐ. νθ, 7, 8). Καὶ τόπους, ὅλους ἢ χωρία, προστιθέασιν οἱ διασκευασταί· οἷον ἐν τῇ βίβλῳ τῆς Ἐσθὴρ τὸ ὄνειρον τοῦ Μαρδοχαίου, καὶ τὰς Ἀρταξέρξου ἐπιστολάς. Τοιαῦται ῥητορικαὶ προσθέσεις ἀπαντῶνται καὶ ἐν ταῖς Παροιμίαις· οἷον (ς, 8), « Πορεύθητι πρὸς τὴν μέλισσαν », καὶ τὰ ἐφεξῆς τοῦ ἐδαφίου. Καὶ τό, « Τοῦ πιστοῦ ὅλος ὁ κόσμος τῶν χρημάτων, τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολός » (Παροιμ. ιζ, 4)· ὅπου βλέπει πᾶς τις ἐκεῖνο τὸ ἀξίωμα τῆς Στοᾶς· ὅτι « μόνος ὁ σοφὸς πλούσιος· μόνος ὁ σοφὸς ἐλεύθερος· καὶ πᾶς ἄφρων δοῦλος »· Βλέπομεν δὲ καί τινας παραδόσεις, γνωρίσματα τῆς διαδοθείσης καὶ εἰς Ἀλεξάνδρειαν διδασκαλίας τῆς Χαγαδᾶς (βλ. ὄπισθ. σελ. 854). Οἷον τὸ ἐν Ἰησοῦ κδ, 30, ὅτι « Εἰς τὸ μνῆμα (ὅπου ἔθαψαν τὸν Ἰησοῦν) ἔθεντο καὶ τὰς μαχαίρας τὰς πετρίνας, ἐν αἷς περιέτεμε τοὺς υἱοὺς Ἰσραὴλ ». (τοῦτο δ' ἐκ τοῦ ἑβραϊκοῦ λείπει). Τοιοῦτό τι ἱστοροῦσι καὶ οἱ Παλαιστινοὶ (ἐν Μιδράσχῃ) περὶ τῶν σαλπίγγων, αἷς ἐχρῆτο Μωϋσῆς. Ἔστι δ' ὅπου τῆς γνησίας ἑρμηνείας ὁ στίχος, ἢ τὸ ἐδάφιον, ἠφανίσθη παντελῶς, ἀντιτάξαντος τοῦ διασκευαστοῦ τὰ οἰκεῖα. Τοιοῦτόν ἐστι τὸ Δευτερ. λβ, 43. « Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ » κτλ. καὶ τὸ Παροιμ. ια, 14 « Οἷς μὴ ὑπάρχει κυβέρνησις, πίπτουσιν, ὥσπερ φύλλα »· ὅπου ἦν « Εἰ μὴ ὑπάρχει κυβέρνησις, πίπτει φυλή»· ὁ δὲ διασκευαστὴς ἀγνοῶν τὴν σημασίαν τοῦ *φυλὴ* (= λαός, ὡς ἔχει καὶ τὸ ἑβρ.), μετέβαλεν αὐτὸ εἰς *φύλλα*.

Καὶ μεταθέσεις δὲ πεποιήκασιν οἵτε διασκευασταὶ καὶ ἀντιγραφεῖς, μεταθέντες στίχους καὶ χωρία ἔνθα μὴ δεῖ. Οὕτω τὸ « Ἔπηξε τὴν σκηνὴν αὐτοῦ » Γενέσ. λε, §. 16 » μετετέθη ἐκ τοῦ §. 21, (ἔνθα κεῖται ἐν τῷ ἑβραϊκῷ)· καὶ πάλιν ἀπὸ τοῦ Ἐξόδ. ιη, 4 μετέθηκαν ἀτόπως τὴν γέννησιν τοῦ Γηρσὼν εἰς τὸ Ἐξόδ. β, 22. Πάλιν ἐν Παροιμιῶν ιη, 8, ἔχουσιν οἱ Ο, « Ὀκνηροὺς καταβάλλει φόβος, ψυχαὶ δ' ἀνδρογύνων πεινάσουσι » (τούτων οὐδ' ἴχνος ἐν τῷ ἑβραϊκῷ)· ἐν δὲ κεφ. ιθ, 15, τὸ μὲν ἑβραϊκὸν ἔχει « Ὀκνηρία καταβάλλει εἰς ὕπνον βαθὺν, ψυχὴ δ' ἄεργος πεινάσει »· κατὰ δὲ τοὺς Ο « *Δειλία κατέχει ἀνδρόγυνον, ψυχὴ δ' ἀεργοῦ πει-*

νάσει ». Ἐν τούτοις καταφαίνεται, α) ὅτι προστίθεται τὸ *ἀνδρόγυνος*, ὅπερ ἐκτὸς τῶν δύω τούτων χωρίων οὐδαμοῦ κεῖται παρὰ τοῖς Ο. β) Ὅτι τὸ δεύτερον κῶλον τοῦ ιη, 8, ἐδαφίου, καὶ τὸ πρῶτον τοῦ ιθ, 15 ἀνήκουσιν εἰς ἄλλον μεταφραστήν· Καὶ γ) ὅτι ἐν μὲν τῷ ιη, 8, παρενεγράφη ὅλη ἡ φράσις, ἐκ δὲ τοῦ ιθ, 15 ἐξέπεσεν ἡ ἀρχαία μετάφρασις, ἥτις εἶχεν οὕτω « ὀκνηροὺς καταβάλλει φόβος, ψυχὴ δ᾽ ἀεργοῦ πεινάσει ». Τοιαῦτα, καὶ ἄλλα παρόμοια τὰ τῶν κατὰ Φράγκελον διασκευαστῶν.

*Ἀπαντῶμεν.*

§. ιδ. α) Ἡ λεγομένη φύρσις καὶ ἀνάμιξις τῆς τῶν Ο πρὸς τὰς τῶν λοιπῶν ἑρμηνείας ἐκ τῶν Ὠριγένους Ἑξαπλῶν ἐξελέγχεται φάντασμα παράδοξον, ἀτόπως πεπλασμένον ὑπ᾽ ἀνδρῶν λέγειν τι καινότερον φιλοτιμουμένων. Δείκνυσι δὲ πρῶτον αὐτὸ τὸ πρᾶγμα.

α) Τέσσαρα σημεῖα κριτικὰ ἔγραψεν ὁ Ὠριγένης ἐν τῇ τῶν Ο ἑρμηνείᾳ ἣν ἐξέδωκεν, ἐν τοῖς Ἑξαπλοῖς, τὸν Λημνίσκον καὶ Ὑπολημνίσκον, οἵτινες ἐσήμαινον (ὡς νομίζουσιν), ὁ μὲν δίστιγμος Λημνίσκος, ὅτι δύω τινὲς ἑρμηνεῖς ἔχουσι τὴν λέξιν πρὸς ᾗ προσεγράφετο, ὁ δὲ μονόστιγμος Ὑπολημνίσκος, ὅτι μόνος εἷς ἑρμηνεύς. Μετὰ δὲ τούτων τῶν δύω συμβολικῶν σημείων οὐδεμία προσετίθετο λέξις εἰς τὸ τῶν Ο κείμενον ἐκ τῶν λοιπῶν ἑρμηνευτῶν. (Οὐδὲ γὰρ ἔστιν ὅλως πιθανὸν, ὅ τινες πάνυ κούφως ὑπενόησαν, ὅτι διὰ τούτων τῶν σημείων ὁ Ὠριγένης προσετίθει πρὸς τῷ κειμένῳ τῶν Ο καὶ τὰς διαφερούσας ἀναγνώσεις τῶν ἄλλων ἑρμηνευτῶν, ἀνάμιγμα διαφόρων μεταφράσεων, καὶ αὐτόχρημα κυκεῶνα τὴν ἑρμηνείαν τῶν Ο καθιστάς) (α). Ὁ δὲ ὀβελὸς ὑπῆρχε τρίτον σημεῖον, καὶ οὗτος συμβολικὸν, παραδεικνύον, ὅτι ἔλειπεν ἐκ τοῦ ἑβραϊκοῦ ἡ

(α) « An vero credibile est Originem hisce notis (τοῖς λημνίσκοις καὶ ὑπολημνίσκοις) ad exemplaria τῶν Ο varia remisisse, aut Exemplarium lectiones varias in ipso textu cum hisce notis apposuisse, nec ipse Origenes nec alius quispiam hoc umquam dixit ». Montfaucon Praelim. in Hexapl. Origen. vol. 1. p. 42. πρβλ. Masij Praefat. ad Iosuam. — Walton Prolegomen. IX. §. 23.

φράσις, ἢ ἡ λέξις, πρὸς ἣ προσεγέγραπτο. Ὅσον γοῦν ἐκ τῶν τριῶν τούτων σημείων οὐδεὶς ὑπῆρχε κίνδυνος ἀναμίξεως τοῦ κειμένου τῶν Ο πρὸς τὰς ἑρμηνείας τῶν λοιπῶν. Οὐδεμία γὰρ τούτων λέξις (ὡς εἴπομεν) μετὰ τῶν προειρημένων σημείων προσεγράφετο. Τέταρτον, τέλος, σημεῖον, συνεπαγόμενον καὶ λέξεις καὶ φράσεις, ἦν ὁ ἀστερίσκος. Τοῦτον δὲ προσέγραφεν ὁ Ὠριγένης πρὸς διάκρισιν ὧν κατόπιν αὐτοῦ συνεῖρεν ἐν τῷ κειμένῳ τῶν Ο, προστιθεὶς, ὅσα δηλονότι ἔλειπον μὲν ἐξ αὐτοῦ, ἔκειντο δ' ἐν τῷ τότε ἑβραϊκῷ. Ταῦτα δὲ προσετίθει ὁ Ὠριγένης, λαμβάνων ἐκ μόνου τοῦ Θεοδοτίωνος (α). Ὅθεν οὐδ' ἐκ τούτου συνεμίγνυτο πρὸς τὰ προστεθειμένα τὸ τῶν Ο κείμενον, ὥστε δύω μεταφράσεις τοῦ αὐτοῦ χωρίου εἰς μίαν συμπίπτειν. Πῶς γὰρ ἂν συνέπιπτον, ὅπου τὸ χωρίον οὐδόλως ὑπῆρχε παρὰ τοῖς Ο; Καὶ λίαν θαυμάζειν ἔπεστι, πῶς ἐν τῷ τῶν Ο κειμένῳ ἄνδρες σοφοὶ γεννῶσιν ἐκ τῶν Ὠριγένους τούτων ἀστερίσκων διπλᾶς τῶν αὐτῶν ἑβραϊκῶν χωρίων, ἢ λέξεων, ἑρμηνείας, μίαν αὐτῶν τῶν Ο, καὶ ἄλλην τοῦ Θεοδοτίωνος, ἢ τυχὸν, καὶ τῶν ἄλλων ἑρμηνευτῶν.

β) Λέγουσιν, ὅτι καὶ ἐκ τῆς ᾤας τῆς σελίδος παραγεγραμμένα τινα γλωσσήματα παρεποίησεν εἰς τὸ κείμενον ἡ παράνους ἀβλεψία τῶν μεταγραφέων. Τοῦτο πιθανώτατον, ὡς καὶ ἐν ἄλλοις βιβλίοις παρετηρήθη. Καὶ κατ' αὐτὸ τὸ κείμενον τῶν Ο ἔχομεν δείγματα σαφῆ, περὶ ὧν λέγομεν εὐθὺς παρακατιόντες. Ἀλλ' ὅτι τοιαῦται παρεγγραφαὶ καὶ παρεμποιήσεις ἐκράτησαν καὶ καθ' ὅλων τῶν ἀπογράφων τοῦ διὰ παντὸς ἀνὰ πᾶσαν τὴν Ἐκκλησίαν, καὶ παρὰ τοῖς ἱεροῖς πατράσι καὶ διδασκάλοις ὄντος ἐν χρή-

---

(α) Origenem in editione LXX. Theodotionis editionen miscuisse S. Hieronym. Praef. in Paralip. Οὕτω καὶ Epist. 104. Καὶ αὐτὸς Ὠριγένης λέγει « Καί τινα ὠβελίσαμεν ἐν τῷ ἑβραϊκῷ μὴ κείμενα, οὐ τολμήσαντες αὐτὰ πάντῃ περιελεῖν· τινὰ δὲ μετ' ἀστερίσκων προσεθήκαμεν, ἵνα δῆλον ᾖ, ὅτι μὴ κείμενα παρὰ τοῖς Ο ἐκ τῶν λοιπῶν ἐκδόσεων συμφώνως τῷ ἑβραϊκῷ προσεθήκαμεν » (Ὠριγέν. τόμ. ιε. εἰς Ματθ. πρβλ. καὶ ἐπισ. π. Ἀφρικ.). ἄλλας δὲ λέγων ἐκδόσεις τὴν τοῦ Θεοδοτίωνος ἐννοεῖ, ὡς ἐδήλωσεν Ἱερώνυμος αὐτόπτης καὶ ζηλωτὴς τῶν Ὠριγένους πόνων γεγονώς.

σει κειμένου τῶν Ο, τοῦτο γοῦν οὐδ' ἂν αὐτοὶ πιστεύσειαν οἱ προστάται τῆς δοξασίας, εἴγε βούλοιντο τ' ἀληθῆ λέγειν.

γ) Ἐκ τῶν λεγομένων διπλῶν ἑρμηνειῶν, ἢ τῶν ἄλλων παρεγγραφῶν, οὐκ ὀλίγαι κεῖνται καὶ παρὰ τοῖς ἀρχαίοις πατράσι τῆς Ἐκκλησίας, τοῖς πρὸ τῶν Ὠριγένους Ἑξαπλῶν γενομένοις (Εἰρηναίῳ, Κλήμεντι, κτλ.) καὶ παρ' αὐτῷ Ὠριγένει, κἂν τῇ παλαιᾷ Ἰτάλᾳ, καὶ παρ' αὐτῷ τῷ τῶν Ἀποστόλων συγχρόνῳ Φίλωνι, πολὺ πλέον, ἢ μίαν ἑκατονταετηρίδα προλαβόντι τὸν Θεοδοτίωνα καὶ τοὺς ἄλλους ἑρμηνεῖς. Τοῦτο δὲ καὶ Φράγκελος αὐτὸς ὡμολόγησε (σελ. 77)· φανήσεται δὲ καὶ ἐκ τῶν ἑξῆς. Ὥστε (κατὰ τὸ παρεπόμενον ἐκ τῆς γνώμης τῶν κριτικῶν) καὶ οἱ Ἀπόστολοι ἄρα τοιαύτην ἐν πολλοῖς παρεμπεποιημένην τὴν ἔκδοσιν τῶν Ο αὐτοί τε ἀνεγίνωσκον, καὶ τῇ Ἐκκλησίᾳ παραδεδώκασι! Καὶ λοιπὸν ἐξέστω μὲν ἡμῖν συμπαραναγινώσκειν μετὰ τῶν Ἀποστόλων, ἐπαγαλλέσθωσαν δὲ μετὰ τῶν Ῥαββίνων ἐπὶ τῇ ἀκεραιότητι τοῦ Μασοριτείου κειμένου οἱ κριτικοί!

δ) Πολλὰ τῶν παρὰ τοῖς Ο λεγομένων παραπληρωμάτων ἀποδείκνυνται γνησίως ἔχοντα καὶ ἐξ ἄλλων χωρίων τῆς θείας Γραφῆς. Οὕτω, φέρ' εἰπεῖν, ἐν Ψαλμ. δ, 8, τὸ μὲν ἑβρ. ἔχει, « *Ἐν καιρῷ*, ὅτε πληθύνεται ὁ σῖτος αὐτῶν, καὶ ὁ οἶνος αὐτῶν »· οἱ δὲ Ο « *Ἀπὸ καρποῦ* (α), σίτου, οἴνου, *καὶ ἐλαίου* αὐτῶν ἐπληθύνθησαν ». Οὕτω καὶ οἱ ἄλλοι τρεῖς (ὡς ἐν τῷ Βατικανῷ σεσημείωται « οἱ Γ. ὁμοίως τοῖς Ο »), καὶ ὁ Σύρος· καὶ ἡ Βουλγάτα. Πολλαχοῦ

(α) Ἀπὸ καιροῦ τινες καὶ τοῦτο διορθοῦσιν, ὡς ὁ Γράβιος, Δρούσιος, Μοντεφαλκώνιος, καὶ ἄλλοι· καὶ φέρουσι μαρτυρίαν δῆθεν Ὠριγένους λατινικήν, ἐν ᾗ λέγεται, ὅτι « In Hebraeo à t e m p o r e habetur· sic quoque LXX posuere », etc. apud Danielem Barbarum. βλ. Montfauc. Hexapl. Tom. I. p. 477. Ἀλλὰ τὸ Σχόλιον οὐκ ἂν εἴη τοῦ Ὠριγένους. Αὐτὸς γὰρ Ὠριγένης ἐσημείωσεν, ὅτι « καὶ οἱ τρεῖς (Ἀκύλας, Σύμμαχος, Θεοδοτίων) ὁμοίως τοῖς Ο » (ὡς λέγομεν ἀνωτέρω). Ἔπειτα, καὶ τῶν ἄλλων ἀρχαίων ἑρμηνειῶν οὐδεμία ἔγραψεν ἀπὸ καιροῦ· καὶ αὐτὴ ἡ Βουλγάτα ἔχει à fructu (ἀπὸ καρποῦ. βλ. Biblia Sacra etc. τόμ. α. σελ. 418 ἐκδ. Paris 1842). Ὁ δὲ Μοντεφαλκώνιος γράψας τὸ à fructu, προστίθησιν ἐν παρενθέσει (a tempore)! Οὐδὲ τὸ ἀ π ὸ κ α ι ρ ο ῦ σ ί τ ο υ, κτλ. συμφωνεῖ τῇ ἑλληνικῇ φράσει (οὐδεὶς ἂν εἴποι ἑλληνιστὶ « ἀ π ὸ κ α ι ρ ο ῦ — ἐπληθύνθησαν). Ἀπαρέσκεται τῷ ἀ π ὸ κ α ι ρ ο ῦ καὶ ὁ Schleusn. Thes. v. Καρπός.

δὲ τῆς θείας Γραφῆς τὰ τρία ταῦτα εἴδη τῶν προϊόντων τῆς Παλαιστίνης συνάμα ἐκφέρονται πρὸς ἔνδειξιν εὐθηνίας, « σῖτος, οἶνος, ἔλαιον » (βλ. Δευτερον. κη, 51 πρβλ. Ὠσηὲ β, 8. 22: Ἰωὴλ α, 10. β, 24: Μιχ. ϛ, 15 κτλ.). Οὕτως οὖν εἶχε καὶ τὸ ἑβραϊκὸν τοῦ ψαλμοῦ κείμενον· ὅθεν ἡ λέξις ἐκπέπτωκε. Τὸ δὲ λέγειν, ὅτι αὐτοὶ οἱ Ο προσέθηκαν τὸ *ἐλαίου*, ἐξ ἄλλων ὁμοίων τόπων παραλαβόντες, δικαιοῦν ἐστι τὰ ἀδικαίωτα, καὶ περιπορφύροις ῥήμασι τὰ πεπηρωμένα περικαλύπτειν (α).

Ἀλλ' ἐξετάσωμεν καὶ κατὰ μέρος τὰ πρὸς ἀπόδειξιν τῆς διασκευῆς παραβαλλόμενα παραδείγματα. Τὸ ἐν Ἰὼβ Θ, 3, « οὐ μὴ *ὑπακούσῃ*, ἵνα μὴ ἀντείπῃ », ἐκφράζει σαφῶς τὴν δύναμιν τοῦ ἑβρ. anah, ὅπερ ἐνταῦθα σημαίνει τὸ *ἀποκρίνεσθαι*, οὐχ ἁπλῶς, ἀλλὰ *μετ' ἀντιλογίας* (β). Ὅτι δὲ οἱ Ο ἀμφότερα τὰ ῥήματα ἔγραψαν, δῆλον ἐκ τῆς φράσεως. « Ἐὰν γὰρ βούληται κριθῆναι μετ' αὐτοῦ, οὐ μὴ ὑπακούσῃ αὐτῷ, ἵνα μὴ ἀντείπῃ πρὸς ἕνα λόγον » κτλ. (ἐν τοῖς Τετραπλοῖς ἐγράφετο, « οὐδ' οὐ *μὴ ἀντείπῃ* »). Ἔξελε τὸ *οὐ μὴ ὑπακούσῃ αὐτῷ*, καὶ μένει τὸ *ἵνα μὴ ἀντείπῃ* ἀσυνάρτητον. Οὕτως ἔχουσι καὶ πᾶσαι αἱ ἐκδόσεις τῶν Ο. Εἰ δ' ἐν τοῖς Ἑξαπλοῖς (τόμ. α. σελ. 407) σεσημείωται τὸ μὲν « *οὐ μὴ ὑπακούσῃ* » ὡς μόνον τοῦ Συμμάχου καὶ τοῦ Θεοδοτίωνος, τὸ δὲ « *ἵνα μὴ ἀντείπῃ* » ὡς μόνων τῶν Ο, οὐκ' ἐνταῦθα μόνον ἐξελέγχεται συγκεχυμένη ἡ Μοντεφαλκώνειος ἔκδοσις τῶν λειψάνων τῶν Ἑξαπλῶν. — Τὸ ψαλμ. ιζ, 35, « Καὶ *ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος* », κρίνεται μόνον τῶν Ο· τὸ δὲ « *καὶ ἡ παιδεία σου αὐτή με διδάξει* » ἀναφέρεται ὡς τοῦ Θεοδοτίωνος. Λέγει δὲ τοῦτο καί τι Σχόλιον ἀνώνυμον (αὐτόθ. ἐκδ. Βώς). Ἀλλ' ἡ Βουλγάτα ἔχει ἀκριβῶς κατὰ τοὺς Ο. Οὕτως ἔχουσιν ὁμαλῶς καὶ πᾶσαι τούτων αἱ ἐκδόσεις· οὕτως ἀνέγνωσαν καὶ οἱ ἱεροὶ πατέρες (οἷον Θεοδώρητος ἐν ἑρμην. αὐτόθ. κτλ.),

---

(α) Βλ. Rosenmüll. Schol. in Psalm. h. l.

(β) Gesenius Lex. Hebr. pag. 781. καὶ τὸ ὑπακούω ἑλληνιστὶ = ἀκούων ἀποκρίνομαι, ἀμείβομαι. Ἡ Βουλγάτα, non poterit respondere. τὸ δ' ἑβραϊκ. μόνον (χωρὶς τοῦ δυνήσεται) οὐκ ἀ π ο κ ρ ι ν ε ῖ τ α ι (ἀντιλέγων). βλ. Σειρ. εἰς Ἰὼβ, αὐτόθ.

πολὺ πάντως καὶ ἀξιοπιστότεροι τοῦ Σχολίου, καὶ ἀρχαιότεροι. Ἐν δὲ τοῖς καθ' ἡμᾶς λειψάνοις τῶν Ἑξαπλῶν (τόμ. α. σελ. 496) γέγραπται ταῦτα. «Α (Ἀκύλας). Καὶ ἡ πρᾳότης σου ἐπλήθυνέ με» (οὕτω καὶ τὸ νῦν ἑβρ.). Σ. (Σύμμαχος). «Καὶ τὸ ὑπακούειν με αὐξήσεί με». Ο. Καὶ παιδεία σου (γρ. ἡ παιδεία σου) ἀνώρθωσέ με». Θ. (Θεοδοτ.) «Καὶ ἡ παιδεία σου αὐτή με διδάξει» (ἀλλ' ἴσως ἀρχῆθεν ὑπῆρχον, ὡς καὶ ἀλλαχοῦ, ἀμφότερα τὰ ὀνόματα γεγραμμένα Ο, Θ. ἤτοι οἱ Ο, καὶ Θεοδοτίων, «*καὶ ἡ παιδεία σου*» καὶ τὰ λοιπὰ ὑφ' ἕν)· λείπει δὲ καὶ τὸ *εἰς τέλος* ἐν τοῖς νῦν Ἑξαπλοῖς· κεῖται δὲ ὅμως ἐν τῷ Σχολίῳ. Ὥστε ἐκ πάντων τούτων φαίνονται οἱ Ο καὶ ἄλλως καὶ πλείω πάντως ἀνεγνωκότες ἐν τῷ κατ' αὐτοὺς κειμένῳ, ἢ ὡς ἔχει τὸ καθ' ἡμᾶς ἑβραϊκὸν ἀπὸ τῶν Ἀκύλα χρόνων καὶ ἐφεξῆς. — Τὸ Ψαλμ. κη, 1 «*Ἐνέγκατε τῷ Κυρίῳ* υἱοὶ Θεοῦ» κτλ. Τοῦτο τὸ πρῶτον μέρος τοῦ ἐδαφίου, μαρτυρεῖ Εὐσέβιος (Σχόλ. αὐτόθ. ἐκδ. Βώς), ὅτι «κατὰ τὴν Ἑβραίων ἀνάμνησιν (ἴσ. γρ. *ἀνάγνωσιν*) οὐκ ἐμφέρεται· διὸ καὶ ὠβέλισται παρὰ τοῖς Ο, ὡς μὴ κείμενον μήτε ἐν τῷ ἑβραϊκῷ, μήτε *παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς*». Εἰ δ' οὐκ ἔκειτο παρὰ τοῖς ἄλλοις, οὐκ ἂν εἴη λοιπὸν οὐδ' ἐνταῦθα *διπλῶν ἑρμηνειῶν* σύνθεσις, ὡς ὑπέλαβον οἱ κριτικοί! 2) Καὶ αὐτῆς δὲ τῆς ἑρμηνείας τῶν Ο, τινὰ τῶν ἀντιγράφων οὐκ εἶχον τὸ «*Ἐνέγκατε τῷ Κ. υἱοὶ Θεοῦ*» (πλανηθέντος τοῦ μεταγραφέως, διὰ τὴν ἐπανάληψιν τοῦ ἐφεξῆς ὁμοίου στίχου)· ἤρχετο δ' ἐν τοῖς τοιούτοις ὁ Ψαλμὸς, «*Ἐνέγκατε τῷ Κ. υἱοὺς κριῶν*», ὡς σημειοῖ σαφῶς ὁ μέγας Βασίλειος (Ὁμιλ. εἰς Ψαλμ. κη). Ἀλλ' ὅμως 3) «*Ἐν ἄλλοις πολλοῖς τῶν ἀντιγράφων* προσκείμενον ἦν τὸ «*Ἐνέγκατε τ. Κ. υἱοὶ Θεοῦ*», ὡς ὁ αὐτὸς οὐρανοφάντωρ μαρτυρεῖ, καὶ διερμηνεύει (αὐτόθ.). Οὕτως ἀνέγνω καὶ ὁ ἱερὸς Θεοδώρητος, καὶ ἄλλοι τῶν πατέρων, καὶ ἡ Βουλγάτα. 4) Καὶ κατ' αὐτὸ τὸ ἑβρ. διαφόρως ἀναγινώσκουσι τὸ τέλος τοῦ πρώτου «*Ἐνέγκατε*»· οἱ μὲν γὰρ ἐξηγοῦσιν, υἱοὶ *τῶν δυνατῶν*· οἱ δὲ, υἱοὶ *Θεῶν*. Καίτοι παρὰ τοῖς ἀρχαίοις οὐχ εὑρίσκετο οὕτως ἐξηγούμενον ἐν τῷ ἑβραϊκῷ (ὡς ἴδομεν ἐκ τῶν ἀνωτέρω λόγων τοῦ Εὐσεβίου), ἀλλὰ μόνον

ἀνεγινώσκετο τὸ *υἱοὺς κριῶν* ὡς ἔχει καὶ ὁ Σύρος (filios arietum)· ἡ δὲ τοιαύτη διαφορὰ προήρχετο πάντως ἐκ τῆς ὁμοιοφωνίας τοῦ πληθ. Elim, ὅπερ ἀπὸ διαφόρων ἑνικῶν (El, Aol) προερχόμενον, καὶ διαφόρως στιζόμενον, διαφόρους δέχεται σημασίας, σημαῖνον καὶ *Θεοὺς*, καὶ *δυνατοὺς*, καὶ *κριούς* (α). Ὅθεν 5) διὰ ταύτην τὴν ὁμοιοφωνίαν τῆς τελευταίας λέξεως τῶν παρομοίων στίχων, πλανηθέντος τοῦ Ἑβραίου μεταγραφέως, ἐξέπεσεν ἔκπαλαι ὁ ἕτερος ἐκ τοῦ ἑβραϊκοῦ κειμένου· ὡς δι' ἄλλην ὁμοίαν αἰτίαν παρωράθη καὶ ἔν τισιν ἀπογράφοις τῶν Ο, καθὼς προείπομεν. Ἀλλ' ἐκεῖνα μὲν ἰάθησαν ἐκ τῶν ἄλλων τῶν πολλῶν ἀντιγράφων, ἐν οἷς ἔμειναν ἀκέραιοι ἀμφότεροι οἱ στίχοι, ὡς ἔχουσι καὶ τὴν σήμερον· τὸ δ' ἑβραϊκὸν ἔμεινε καὶ καθ' ἡμᾶς μονόκωλον καὶ ἀθεράπευτον. Δείκνυσι δὲ τὸ γνήσιον τῆς τῶν Ο ἀναγνώσεως οὐ μόνον τὸ νόημα, ἀλλὰ καὶ αὐτὸ τὸ καλὸν τῆς ἐπαναλήψεως σχῆμα, ὅπερ δι' ὅλου τοῦ ψαλμοῦ ἐπικρατεῖ. — Τὴν δὲ ἐν Β. Βασιλ. ιε, 19, 20 (κατὰ τὸν Βατικανὸν κώδηκα) διπλῆν τοῦ αὐτοῦ χωρίου γραφὴν μάτην ἐπ' ὀνείδει προβάλλουσι· (βλ. ὄπισθ. σελ. 857)· οὔτε γὰρ διπλαῖ μεταφράσεις εἰσὶν, ἀλλὰ πλάνη τοῦ μεταγραφέως, ἐπαναλαβόντος ἀπὸ τοῦ *Καίγε* καὶ ἐφεξῆς, τὰς αὐτὰς λέξεις· (πλὴν τοῦ *μεταναστήσεις, καὶ τοῦ ἔλευσις*)· καὶ ἡ ὑγιὴς τοῦ χωρίου γραφὴ σῴζεται ἐν τῷ Ἀλεξανδρινῷ, καὶ ἐν ἄλλοις κώδηξιν ἀπαραλλάκτως, ὡς ἔχει καὶ τὸ ἑβραϊκόν· « Ὅτι ξένος εἶ σὺ, καὶ ὅτι μετῴκησας σὺ ἐκ τοῦ τόπου σου· εἰ ἐχθὲς παραγέγονας, καὶ σήμερον κινήσω σε μεθ' ἡμῶν τοῦ πορευθῆναι; » κτλ. — Τοιαύτη τοῦ μεταγραφέως ἐπανάληψίς ἐστιν (ἐν τῷ Βατικανῷ) καὶ ἡ ἐν Ἰεζεκ. γ, 6, « *ἀλλοφώνους, ἢ ἀλλογλώσσους* » ὅπου τὸ Ἀλεξανδρινὸν ἔχει μόνον τὸ *ἀλλογλώσσους*, ὡς κεῖται καὶ ἐν τῷ Ἑβραϊκῷ. — Τὰ δ' ἐν Ἀββακοὺμ γ, 2, πόσον μὲν ὀρθῶς καὶ ἐντελῶς ἀναγινώσκονται παρὰ τοῖς Ο, πόσον δὲ συγκεχυμένως καὶ παρακεκομμένως κεῖνται ἐν τῷ Ἑβραϊκῷ, δείκνυσι καὶ μόνη ἡ παραβολὴ τῶν ἑρμηνειῶν ἑκατέρων. Ὅθεν καὶ οἱ κριτικοὶ πολλὰ

---

(α) Βλ. Rosenmüll Schol. in Psalm. 29, 1. — Schleusn. Thes v. Κριός. — Gesenij Lexic. Hebraic. p. 45, 55.

πράγματα ἔχουσι, ποικίλως σχολιάζοντες τὸ ἑβραϊκόν. — Τὸ δὲ Δευτερον. ιϛ, 7 « *Καὶ ἑψήσεις καὶ ὀπτήσεις* »(ἀντὶ τοῦ ἁπλοῦ *ὀπτήσεις*) μάτην παρώξυνε τὸν κλεινότατον Βοχάρτον (α). Τὸ γὰρ ἀντίστοιχον ἑβραϊκὸν Basal σπανίως σημαίνει τὸ *ὀπτᾷν* (ἐν πυρὶ), συνηθέστερον δὲ τὸ *ἕψειν* (ἐν ὕδατι, μαγειρεύειν· καὶ ἐπὶ καρπῶν, ὡς καὶ τὸ ἑλληνικὸν ἕψειν = πεπαίνειν, ὡριμάζειν). Αὐτὸ δὲ πάλιν τὸ *ἕψειν* ἔτι κατὰ τοὺς Ἀλεξανδρινοὺς χρόνους προσέλαβεν ἐν τῇ κοινῇ συνηθείᾳ καὶ τὴν σημασίαν τοῦ *ὀπτᾷν* (ὡς καὶ νῦν παρ' ἡμῖν τὸ χυδαῖον *ἑψήνειν*, καὶ *ἑψητὸν*, ἀντὶ ὀπτὸν, ὀπτᾷν). Ὅθεν οἱ Ο ἐξηγοῦντες ἀκριβῶς τὸ ἀμφίβολον Basal, διορίζοντες δὲ καὶ τὸ *ἕψειν* (ὡς καὶ τοῦτο συνήθως δισήμαντον καὶ ἀμφίβολον ἀποβὰν), προσέθηκαν πρὸς τῷ *ἑψήσεις* ἐπεξηγηματικῶς καὶ τὸ ὀπτήσεις, ὅπερ ὁ θεῖος νόμος ῥητῶς περὶ τοῦ πασχαλίου προβάτου διαγορεύει· « Οὐκ ἔδεσθε - *ἡψημένον ἐν ὕδατι, ἀλλ' ἢ ὀπτὰ πυρί* » (Ἐξόδ. ιβ, 8, 9). Οἱ δὲ κριτικοὶ προσκρούσαντες καὶ ὧδε πρὸς τῇ ἀκριβείᾳ τῶν Ο, οἱ μὲν τούτους ἀμαθεῖς ἐκάλεσαν, οἱ δὲ καὶ σύμπτωσιν δύω διαφόρων ἑρμηνειῶν τὸ *ἑψήσεις καὶ ὀπτήσεις* ὑπέλαβον. Ἀλλ' εἰ καὶ μηδὲν ἄλλο, τοῦτο γοῦν ὤφειλον οἱ ἄνδρες ἐνθυμηθῆναι, ὅτι οὔτε οἱ Ο, Ἑβραῖοι ὄντες, οὔτ' ἄλλος τις τῶν ἑρμηνευτῶν ἠγνόει, ὅπως τρώγουσιν οἱ Ἰουδαῖοι τὸ πασχάλιον πρόβατον. Ὅθεν οὐδεὶς τούτων ἠδύνατο γράψαι *ἑψήσεις* (ἐν ὕδατι, βράσεις, elixeris, ὡς ἐξηγοῦσιν ἐνταῦθα γελοίως τὸ ἑψήσεις), καὶ ἅμα, τὸ αὐτὸ πρόβατον, ὀπτήσεις (ἐν πυρί). Οὐδ' ἂν εἰς τοσοῦτον ἐχώρησεν ἀναιδείας, ὥστε περὶ πράγματος οὕτω γνωστοῦ καὶ συνήθους προστιθέναι διαταγὴν ἀπ' εὐθείας ἀντικειμένην πρὸς τὴν περὶ τοῦ τρόπου τῆς θυσίας τοῦ πάσχα ῥητῶς ἐκπεφασμένην ἐντολὴν τοῦ Θεοῦ. Παραλείπομεν ἄλλα παρατράγῳδα παρομοίως ἐπανθοῦντα καὶ ἐν τοῖς ἄλλοις παραδείγμασι τῶν διπλῶν ὧν λέγουσιν ἑρμηνειῶν· οὐδὲ γὰρ ὑπομνήματα γράφομεν.

Ἐκεῖνο δὲ τοῦ Φραγκέλου οὐ παρασιωπητέον. Πολλὰ πολλοὶ τῶν νεωτέρων παρετόξευσαν, ἀστοχήσαντες περὶ τὰς κριτικὰς

(α) Bochart. Hierozoic. P. I. Lib. II. c. 50. pag. 596.

ἐρεύνας τῆς ἑρμηνείας τῶν Ο· ἀλλ᾽ οὐδεὶς ἐτόλμησεν εἰς αὐτὴν ἐφαρμόσαι καὶ τὰ τῶν Ῥαββίνων εἰς τὸ ἑβραϊον κείμενον ἄθλια παρασημειώματα, ἐφ᾽ οἷς ἔδει τὸν Φράγκελον συγκαλύπτεσθαι, ὡς ἐκ τούτων ἐλεγχομένης λαμπρῶς τῆς διαφθορᾶς τοῦ ἑβραϊκοῦ. Ὁ δὲ *μηδὲν* ὀκνήσας, εὕρηκε πρῶτος παρὰ τοῖς Ο τὸ *ἀναγνωστὸν*, καὶ τὸ *γραπτὸν* (Keri, Ketib). Καὶ ταύτης τῆς δεινῆς εὑρέσεως πεπλήρωκεν ἐφεξῆς ἐν ἰδίῳ κεφαλαίῳ ὁλοκλήρους 23 σελίδας (σελ. 219-242), παραβάλλων πολλὰς ἀναγνώσεις τῶν Ο πρὸς τὰ κατ᾽ αὐτὸν *Κερία* καὶ *Κετίπια*, καὶ παρεξηγῶν, καὶ διαςρέφων, ὡς οὐκ ἂν γένοιτο ἀτοπώτερον. Κἀκεῖνα μὲν ἰδιαιτέρας χρήζουσι θεωρίας, οὐδ᾽ ἱδρῶτος καὶ πόνου πρὸς συντριβήν, ἅτε *βέλη κωφὰ*, καὶ ταῦτα Ῥαββίνου. Ἤδη δὲ θεωροῦμεν ἅπερ προλαβὼν ἐπιφέρει παραδείγματα, καὶ πρῶτον τὸ τῶν Κριτ. ς, 5. Ἐν τούτῳ τοίνυν τὸ μὲν Βατικανὸν ἔχει οὑτωσί. « Ὅτι αὐτοὶ καὶ αἱ κτήσεις αὐτῶν ἀνέβαινον, καὶ *αἱ σκηναὶ αὐτῶν παρεγίνοντο*, καθὼς ἀκρὶς εἰς πλῆθος» κτλ. Τὸ δὲ Ἀλεξανδρινὸν (καὶ Ὀξων. Ἀλδ. Κομπλουτ.), οὕτως· « Ὅτι αὐτοὶ καὶ τὰ κτήνη αὐτῶν ἀνέβαινον, καὶ τὰς σκηνὰς αὐτῶν *παρέφερον*, καὶ παρεγείνοντο, ὡς ἀκρὶς εἰς πλῆθος ». Τίς οὐ βλέπει ἐνταῦθα, ὅτι ὁ μεταγραφεὺς τοῦ Βατικανοῦ παρεῖδε τὸ *παρέφερον*, καὶ ἀντὶ τῆς αἰτιατικῆς *τὰς σκηνὰς* αὐτῶν, ἔγραψε κατ᾽ ὀνομαστικὴν αἱ *σκηναί*, συνάπτων τοῦτο πρὸς τὸ παρεγίνοντο; ὅθεν ἀπέβη καὶ τὸ νόημα ἀσυνάρτητον· τὸ γὰρ ἐπιφερόμενον παράδειγμα « *καθὼς ἀκρὶς εἰς πλῆθος* » οὐδόλως ἂν ἁρμόσειεν εἰς τὸ *σκηναί*. Κατὰ δὲ τὸ Ἀλεξανδρινὸν, ὁμαλὰ τὰ πάντα καὶ σύμφωνα. Τὰ κτήνη παρέφερον τὰς σκηνὰς, καὶ παρεγίνοντο (οἱ υἱοὶ Ἰσραὴλ), καθὼς ἀκρὶς εἰς πλῆθος. Ὅτι δὲ ἀνέγνωσαν οἱ Ο ἐν τῷ ἑβραϊκῷ καὶ τὸ τοῦ *παρέφερον* ἀντίστοιχον ἑβραϊκὸν, ἀπέδειξε λαμπρῶς καί τις τῶν ἐν τοῖς νεωτέροις ἐπισήμων κριτικῶν (α). — Οὕτως ἐξέπεσεν ἐκ τοῦ ἑβραϊκοῦ

(α) Ὁ Scharfenberg. Βλ. Schleusn. Thes. v. Παραφέρω. Αὐτὸς δὲ ὁ Σκλευσήνερος ματαίως ἐφαντάσθη παρεγγραφὴν ἐν τῷ ἑβραϊκῷ κειμένῳ ἄλλου ῥήματος εἰς τὴν ᾤαν τοῦ ἑβραίου κώδηκος προσγεγραμμένην, ὅθεν ἴσως καὶ ὁ Φράγκελος ἠρύσατο τὴν ἐπίνοιαν τοῦ παρὰ τοῖς Ο Keri καὶ τοῦ Ketib.

καὶ τὸ παρὰ τοῖς Ο « *ἀλλὰ πορεύσομαι* » (ἐπὶ πάντα βουνὸν ὑψηλὸν, Ἱερεμ. β, 20), μαρτυρεῖ δὲ μετ᾽ ὀλίγον ἡ αὐτὴ φράσις (Ἱερεμ. γ, 6), ὅπου πάλιν οἱ Ο « *ἐπορεύθησαν* » (ἐπὶ πᾶν ὄρος ὑψηλόν)· οὕτως ἔχει αὐτόθι καὶ Ἀκύλας, καὶ ἡ Βουλγάτα, καὶ τὸ νῦν ἑβραϊκόν. Τοιαῦτα τὰ τοῦ Φραγκέλου παρὰ τοῖς Ο *Κερι-κετίβια* (ἀνεκτέον γὰρ καὶ τούτων τῶν ἀλλοφύλων φωνῶν, αἵτινες ἔχουσι χρῆσιν πάντη διάφορον τῆς τῶν παρ᾽ ἡμῖν ἐν τοῖς τῶν ἀντιγράφων περισελίδοις σεσημειωμένων διαφόρων ἀναγνώσεων). Ταῦτα δὲ καλῶς ἂν ἔπραττεν ὁ ἀνὴρ μελετῶν ἐν μόνῳ τῷ κατ᾽ αὐτὸν Μασοριτείῳ κειμένῳ, καὶ διορίζων (ὡς κελεύουσι τὰ Μασόρας θέσφατα) « Τίνα μὲν *οὐ γράφονται* » (ἐν τῷ κειμένῳ), *ἀλλ᾽ ἀναγινώσκονται* (ἐν τῷ περισελίδῳ). « Τίνα δὲ *γράφονται μὲν* (ἐν τῷ κειμένῳ), *ἀλλ᾽ οὐκ ἀναγινώσκονται* »· πόσα δὲ πάλιν ἐν μὲν τῷ κειμένῳ γράφονται πολλὰ *συνημμένως ὑφ᾽ ἕν*, *ὡς μία λέξις*, ἀναγινώσκονται δὲ ὅμως *διῃρημένως κατὰ λέξεις* διακεκριμένας ἐν τῷ περισελίδῳ »· πόσα δὲ τἀνάπαλιν διῃρημένως γραφόμενα, συνημμένως ἀναγινώσκονται, καὶ τ᾽ ἄλλα τὰ τοιαῦτα ἐν οἷς εἴτις νοῦν ζητείη, μάτην πονήσει! (α). Ὁ δὲ Ῥαββῖνος τούτοις οὐκ ἀρκεσθεὶς, ἐπεχείρησεν ἀποδεῖξαι καὶ παρὰ Χριστιανῶν τινων διασκευαστῶν διεφθαρμένον τὸ κείμενον τῶν Ο, χάριν τῆς πρὸς Ἰουδαίους ἀντιλογίας. Ὡς ἂν εἴπερ οὐκ ἐξήρκουν, καὶ χωρὶς τῶν Ο, αἵ τε τῶν λοιπῶν (τοῦ Ἀκύλα καὶ τῶν ἄλλων) καί περ ἰουδαΐζουσαι μεταφράσεις τῆς ἑβραΐδος Γραφῆς, καὶ αὐτὸ τὸ κατ᾽ αὐτοὺς Μασορίτειον κείμενον, πρὸς ἀναντίῤῥητον τῆς Ἰουδαϊκῆς πωρώσεως ἔλεγχον! Ἀλλὰ τίνες μὲν οἱ τοῦ κειμένου τῶν θείων λόγων φθορεῖς, φανήσεται ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς. Ὅσον δὲ πρὸς τὸ παρὸν ἀπαντῶμεν, ὅτι τὸ τοῦ Ἡσαΐου « *ἤχθη εἰς θάνατον* » ἔγραψαν οἱ Ο, καθὼς ἀνέγνωσαν ὀρθῶς ἔχον ἐν τῷ ἑβραϊκῷ. Ὁ γὰρ *εἰς θάνατον ἀχθεὶς* αὐτὸς ἐστὶν ἐκεῖνος, περὶ οὗ

(α) Τῶν τοιούτων παραλλαγῶν ἢ διαφόρων ἀναγνώσεων τοῦ Μασοριτείου κειμένου κατάλογον ἐξέδωκεν ὁ Καπέλλιος (Critic. Sacr.) καὶ ὁ Βάλτων ἐν τῷ ἐσχάτῳ τόμῳ τῆς ἣν ἐξέδωκε Πολυγλώττου Γραφῆς. βλ. καὶ Prolegom. VIII. §. 19—25.

πρὸ μικροῦ εἶπε πάλιν ὁ Προφήτης, « Ὡς πρόβατον *ἐπὶ σφαγὴν ἤχθη* (ἔχει δὲ τοῦτο καὶ τὸ ἑβραϊκόν). Εἰ δὲ καὶ τὸ τοῦ « ἤχθη εἰς θάνατον » ἀντίστοιχον ἑβραϊκὸν μετεστράφη εἰς τὸ *ἐπλήγη* (καὶ κυρίως « *πληγὴ αὐτῷ* »· ἢ « *πληγὴ αὐτοῖς* », ὡς ἡρμήνευσεν ὁ Σύμμαχος), τοὺς σοὺς πατέρας ἐρώτα, Φράγκελε, τί ποτε παθόντες ἔγραψαν οὕτως, ὡς γράφεται τανῦν. Εἷς δέ τις τῶν οὐχ ἧττόν σου σοφῶν περὶ τὴν ἑβραΐδα κριτικῶν, ὁ Φορέριος, οὐ πάνυ τοι εὐμενὴς πρὸς τοὺς σοὺς φαίνεται Ῥαββίνους, ὡς παρεξηγοῦντας καὶ οὕτως ἔχον τὸ ῥητόν (α). Τὸ δ' *εὐαγγελιζόμενοι* τοῦ Ἰωὴλ (β, 32) οὕτω καὶ σὺ μεθερμηνεύσεις, ἐὰν τὴν ἐψευσμένην ἐν τῷ Μασοριτείῳ σου τεύχει ἀνάγνωσιν, μικρῷ παρατρέψας (ὡς ἐποίησαν καὶ ἄλλοι σοφοὶ ἑβραϊσταὶ), ἀναγνῷς γνησίως κατὰ τοὺς Ο (Bescherim, ἐκ τοῦ Bischar, εὐαγγελίζεσθαι) (β).

Πολλὰς ἑκατοντάδας προσθηκῶν οἱ περὶ τὸν Φράγκελον ἀριθμοῦσι παρὰ τοῖς Ο (βλ. ὄπισθ. σελ. 858)· ἀλλ' ἡμεῖς αὐτοὺς ὑπομιμνήσκομεν οὐκ ἄμουσον διήγημα, τὸ τοῦ ζωγράφου ἐκείνου, ὅστις αἰτηθεὶς ἵππον τρέχοντα γράψαι, κυλιόμενον ἔγραψεν. Ἀγανακτοῦντος δὲ τοῦ τὴν ζωγραφίαν ἐκδεδωκότος, ἀλλ' ἔχεις, εἶπεν ὁ ζωγράφος, ὅπερ ἐθέλεις. « Στρέψον τὸ πινάκιον, καὶ ὁ κυλιόμενος ἔσται σοι τρέχων ». Στρέψον, ὦ τᾶν, τὸ τῆς κρίσεως πινάκιον, ἐν ᾧ βλέπεις τ' ἄνω κάτω ἀντιστρόφοις διανοίας ἐπιβολαῖς, καὶ τότε τὰ νῦν σοι κυλιόμενα παρὰ τοῖς Ο, καὶ παρέλκοντα δοκοῦντα, καὶ ἄτοπα διασκευάσματα, ὄψει τρέχοντα ῥυθμῷ, καὶ γνήσια μέρη τῶν θείων Γραφῶν, ἅπερ ἐξεκόπησαν ἐκ τοῦ ἑβραϊκοῦ κειμένου, πολλαχοῦ μετὰ τὴν ἅλωσιν συντριβέντος, καὶ τὰ χείριστα παθόντος ὑπὸ βαρβάρων ἀντιγραφέων, καὶ Ῥαββίνων μοχθηρῶν, καὶ μάλιστα τῶν πρὸς τὸ δοκοῦν τὰ πάντα τυπωσάντων σκαιῶν Μασσοριτῶν, οὐκ ὄντος τοῦ κωλύσοντος, οὐκ

---

(α) « Ex hac dictione (τῆς « πληγῇ αὐτῷ ») infideles Rabbini occasionem accipiunt ut de populo Israelitico interpretentur » etc. Forer. Annot. ad Esaj. cap. 53, 8. — (β) Schleusn. Thes. v. Εὐαγγελίζω. — Drus. annot. ad Joel h. l. πρβλ. Gesenij Lex. Hebr. p. 181.

Ἀρχιερέως, οὐ Συνεδρίου, οὐχ ἱερατείας, οὐ θυσίας, οὐ ναοῦ, μεθ᾽ οὗ καταστραφέντος, καὶ αὐτοῦ τοῦ ἀποῤῥήτου θείου ὀνόματος τὴν γνησίαν οἱ Ἰουδαῖοι ἀπώλεσαν προφοράν. Ἐπὶ δὲ τῶν Ο, πάντων ἔτι τῶν καλῶν ἐκείνων παρὰ τοῖς Ἰσραηλίταις ὑπαρχόντων, ἀλλὰ καὶ μετὰ ταῦτα μέχρις ἁλώσεως τῆς ἀχαρίστου πόλεως τοῦ Θεοῦ, οὐδεὶς ἂν ἐτόλμησε τοιαῦτα δὴ καὶ τοσαῦτα περὶ τὴν ἱερὰν βίβλον κακουργῆσαι, οἷα παριστῶσιν οἱ σοφοὶ τοὺς ἑρμηνεῖς αὐτοὺς, ἢ τυχὸν, καὶ τοὺς μετ᾽ αὐτοὺς ἑλληνιστὰς, ἐπ᾽ ἀδείᾳ δεδρακότας, μεταβαλόντας δηλονότι καὶ προσθέντας καὶ λέξεις καὶ περιόδους, καὶ χωρία ὅλα, καὶ ὅλα κεφάλαια. Ἄχραντον καὶ ἀῤῥαδιούργητον διετήρησε τὴν ἑρμηνείαν ἡ Συναγωγὴ (καὶ ἐγγυῶνται Φίλωνες καὶ Ἰώσηποι). Καὶ τοιαύτην οἱ Ἀπόστολοι παραλαβόντες, ἀπεθησαύρισαν ἐν τοῖς ἀσύλοις καὶ ἀκηράτοις κόλποις τῆς Ἐκκλησίας. Ἀλλὰ τὰ περὶ τῶν προσθηκῶν τούτων καὶ μεταθέσεων, ἐφ᾽ οἷς ὁ Φράγκελος κάθηται δεινὸς λογιστὴς (σελ. 858), ἀνελίττων τοὺς Μασοριτείους αὐτοῦ κώδηκας, ὡς ἂν εἰ παρέβαλλεν αὐτὰ τῶν Προφητῶν τὰ αὐτόγραφα, ὀψόμεθα ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς. Ἤδη δ᾽ ἀπαντῶμεν συντόμως πρὸς ὀλίγας τινὰς ἔτι τῶν τοῦ Φραγκέλου διασκευῶν. Τῆς ἐν Α, Βασιλειῶν β, 1, θειοτάτης ᾠδῆς τῆς Ἄννης ὁ 10 στίχος ἐξέπεσεν ἐκ τοῦ ἑβραϊκοῦ. Ὅτι δὲ ἔκειτο ἐξ ἀρχῆς (ὡς καὶ νῦν κεῖται παρὰ τοῖς Ο), μαρτυρεῖ αὐτὸς ὁ προφήτης Ἱερεμίας, ἐκ τῆς Α τῶν Βασιλειῶν τὴν ῥῆσιν λαβὼν (Ἱερ. Θ 23, 24: ἔν τε τῷ ἑβρ. καὶ τοῖς Ο). Πολλαὶ δὲ παρὰ τοῖς Προφήταις ἀπαντῶνται ῥήσεις ἐκ τῶν προγενεστέρων θείων Γραφῶν· καὶ τὸ πρᾶγμα πρόδηλον τοῖς μετιοῦσι τὰς θείας βίβλους, καὶ παρὰ τοῖς κριτικοῖς ὁμολογούμενον. Αὐτίκα δὲ φανήσεται καὶ παρὰ τῷ Ἡσαΐᾳ (νθ, 7) ῥῆσίς τις ἐκ τῶν Παροιμιῶν (α, 16: βλ. σελ. 871). Ἔπειτα καὶ ἡ Ἐκκλησία ἀνέκαθεν μετὰ τοῦ 10 ἐδαφίου ψάλλει τῆς χαριτωνύμου Ἄννης τὴν ᾠδήν. Ἀλλὰ καὶ καθ᾽ ἑαυτὸ τὸ ἔγκλημα θεωρούμενον φαίνεται γελοῖον. Τί βουλόμενοι οἱ λεγόμενοι Διασκευασταὶ, μετέφερον τὰ Ἱερεμίου εἰς τὸ β, κεφάλαιον τῆς Α, τῶν Βασιλειῶν, μηδὲν μηδόλως ἔχοντα κοινόν; - Τὸ «*Τάφος ἀνεῳγμένος*»

κτλ. ἀναφέρει ὡς πολυσύνθετον παρεγγραφὴν ἐν τῷ ιγ, ψαλμῷ (βλ. ὄπισθ. σελ. 858). Ἀλλ' οὐ ξένον, εἰ Ῥαββῖνος ἄνθρωπος ἠγνόει τὸ χωρίον τοῦτο, ὅτι κεῖται ἐν τῇ πρὸς Ῥωμαίους τοῦ θείου Παύλου Ἐπιστολῇ (γ, 10-18), ὅπερ ὁ Ἀπόστολος ἐξέφερεν ἀπηνθισμένον ἔκ τε τῶν ψαλμῶν τοῦ Δαβὶδ, καὶ ἐκ τοῦ Ἡσαΐου, ὡς αὐτοὶ πάλιν οἱ Πατέρες ἡμῶν ἐσημείωσαν (α), ἐξ αὐτῶν δὲ καὶ οἱ νεώτεροι κριτικοὶ, πλούσιον ἐν πᾶσι Φραγκέλῳ, καὶ καλοῖς καὶ μὴ καλοῖς, τὸν ἔρανον συντελοῦντες (β). Ἐκ δὲ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς ἀντέγραψέ τις τὸ χωρίον καὶ εἰς τὸ περισέλιδον τῆς βίβλου τῶν Ψαλμῶν οὐ μακρὰν τοῦ ε, Ψαλμοῦ (οὗ τινος μέρη τινὰ περιεχει τὸ χωρίον). Οὕτω κεῖται καὶ τανῦν ἐν τῇ ᾠα τοῦ Βατικανοῦ κώδηκος (ὡς μαρτυρεῖ Μοντεφαλκώνιος ἐν τοῖς Ἑξαπλοῖς, τόμ. α. σελ. 492). Ἀντιγραφεύς δέ τις (οἷα γίνεσθαι πολλάκις φιλεῖ, καθὼς προείπομεν σελ. 861), εἰσεποίησε ταῦτα καὶ εἰς τὸ κείμενον τοῦ ιγ ψαλμοῦ. Καὶ κεῖνται νῦν ἐν τῇ ἐκδόσει τοῦ Βατικανοῦ (γ). Ἀλλ'

---

(α) « Δαβὶδ μὲν γὰρ εἰσὶ τὰ ἀπὸ τοῦ « Οὐκ ἔστι δίκαιος οὐδὲ εἷς » ἄχρι τοῦ « [ὧν τὸ στόμα] ἀρᾶς καὶ πικρίας γέμει ». Ἡσαΐου δὲ τὸ « Ὀξεῖς οἱ πόδες αὐτῶν » ἕως τοῦ « ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν ». Εἶτα πάλιν τὰ τοῦ Δαβίδ. Τοὺς οὖν γνωριμωτάτους τῶν προφητῶν παράγει κατηγόρους αὐτῶν, καὶ ὁμοφρονοῦντας ἀλλήλοις δείκνυσι » (Θεοφύλακτ. Ἐξηγ εἰς τὴν πρὸς Ῥωμ. γ. 9 σελ. 35. Londin. 1636).

(β) Βλ. Grotij Annotat. ad Epist. S. Paul. Rom. III. etc. Ὁ δὲ Φράγκελος Τοιπλέρῳ (καθὼς λέγει) μᾶλλον πεισθεὶς, πρὸς τοῖς ἐκ τῶν Ψαλμῶν καὶ τοῦ Ἡσαΐου χωρίοις, ἐξ ὧν σύγκειται ἡ ἀνωτέρω περικοπὴ, ἵνα μᾶλλον πολυσύνθετον αὐτὴν ἀποδείξῃ, προσέθηκε καὶ ὡς ἐκ τῶν Παροιμιῶν α, 16, (ἐκδόσ. Ἀλεξανδρ. καὶ Ἄλδου) τὸ « Οἱ πόδες αὐτῶν ταχινοί » κτλ. Ἀλλὰ τοῦτ' αὐτὸ τὸ ῥητὸν κεῖται καὶ ἐν Ἡσαΐᾳ νθ, 7. (λαβόντος τοῦτο τοῦ Προφήτου ἐκ τῶν Παροιμιῶν). Ὁ δὲ θεῖος Παῦλος ἐκ τοῦ Ἡσαΐου προφανῶς ἔλαβε καὶ τοῦτο, καθὼς καὶ τὰ πρὸ τούτου λόγια.

(γ) Ἐκ τοιούτου κώδηκος προσετέθησαν καὶ εἰς τὸ Ψαλτήριον τῆς Βουλγάτας, καὶ εἰς τὸ Αἰθιοπικὸν, καὶ Ἀραβικόν. Μνημονεύει τούτων καὶ ὁ θεῖος Ἰουστῖνος ἐν μέρει (Διαλ. πρὸς Τρύφων. σελ. 131), συνάπτων καὶ ἄλλας ῥήσεις τοῦ Ἡσαΐου, ἀλλ' οὐχὶ καὶ ἐξ ὀνόματος τὸν ιγ ψαλμὸν, ἢ τὸν Δαβὶδ, μνημονεύει, ὡς οὐδὲ τὸν Ἡσαΐαν· Ἐκφέρει δὲ τὰς ῥήσεις ὑπὸ κοινὸν ὄνομα, τὸ τῶν Προφητῶν. Σχόλιον δέ τι παλαιὸν εἰς τὸν ιγ ψαλμὸν (ἐκδ. Βὼς) λέγει ταῦτα « Διόδωρος καὶ Θεόδωρος καὶ Κύριλλος καὶ Δίδυμος. « Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, ὧν τὸ στόμα ἀρᾶς καὶ

ὅμως ἐν τῷ Ἀλεξανδρινῷ ἀπογράφῳ λείπει τοῦτο τὸ παρὰ τῷ Ἀποστόλῳ χωρίον· λείπει καὶ ἐκ τοῦ κώδηκος, ᾧπερ ἐχρῆτο ὁ μακάριος Θεοδώρητος (βλ. ἑρμην. εἰς τοὺς ψαλμούς). Οὐδ᾽ ὁ Χρυσόστομος, οὐδ᾽ ὁ Θεοφύλακτος (ὡς εἴδομεν) ἠγνόουν, πόθεν ἀπήνθισεν ὁ θεῖος Παῦλος τὸ χωρίον. Καὶ σχόλιον ἄλλο πάλιν εἰς τὸν ιγ, ψαλμὸν (ἐκδ. Βώς), « *Οὐδαμοῦ* (φησι) *κεῖνται τῶν ψαλμῶν* » (οἱ παρὰ τῷ Ἀποστόλῳ συνάμα λεχθέντες οὗτοι στίχοι)· « πόθεν δὲ ὁ Ἀπόστολος εἴληφεν αὐτοὺς, ζητητέον ». Ἀλλ᾽ οὐδ᾽ ἐν τοῖς Ἑξαπλοῖς ἔκειτο. Οὐδὲ τὴν σήμερον κεῖνται οὐδ᾽ ἐν ᾧ συνήθως ἡ Ἀνατολικὴ Ἐκκλησία κέχρηται ψαλτηρίῳ τοῦ Δαβίδ. - Τὴν εἰκόνα τῆς μελίσσης (Παροιμ. ς, 6) μόνη τῶν Ἰουδαϊκῶν ἀντιγραφέων ἡ λημώδης ἠλιθιότης ἠδύνατο παραδραμεῖν. Κεῖται δὲ τὸ χωρίον ἐν πᾶσι τοῖς ἀπογράφοις τῶν Ο, καὶ ἐν Ἀποστόλων Διαταγαῖς (Β, 63), καὶ παρὰ τοῖς ἀρχαίοις πατράσι (Κλήμεντι Στρωμ. α. σελ. 209. - Μ. Βασ. Ὁμιλ. ς. εἰς τὴν Ἑξαήμερ. τόμ. α. σελ. 103. - Γρηγορ. Ναζ. κτλ.). Καὶ ὁ πολλὰ τῶν Παροιμιῶν τοῦ Σολομῶντος μιμούμενος Σειρὰχ τῆς *μικρᾶς μελίσσης* τὸν πόνον, « ὡς *ἀρχὴν γλυκασμάτων* » ἐμνημόνευσε (κεφ. ια. 3).

Τὸ δ᾽ ἐν Παροιμ. ιζ, 4, κείμενον ῥητὸν (βλ. ὄπισθ. σελ. 869) ἀναγινωσκόμενον ἐν τῷ Ἀλεξανδρινῷ κώδηκι, μαρτυρεῖ τὴν κατὰ τοῦτο ἔλλειψιν τοῦτε Βατικανοῦ, καὶ τοῦ Ἑβραϊκοῦ. Ὁ δὲ χαρίεις ἀρχιραββῖνος προσθήκην καὶ τοῦτο ῥητορικὴν ὀνομάζων, ἐξήγαγεν ἐκ μέσων τῶν δογμάτων τῆς Στοᾶς! Ἀλλ᾽ οἱ μὲν Ο, μεθηρμήνευσαν ὅ,τι ἔγραψεν αὐτὸς ὁ Σολομὼν, ἀφορῶν πρὸς ἐκείνην τὴν εἰς αὐτὸν γενομένην μεγαλοδωρεὰν τοῦ Θεοῦ. « Ἀνθ᾽ ὧν (φησιν) — ᾔτησας σεαυτῷ σοφίαν, — τὴν σοφίαν καὶ τὴν σύνεσιν δίδωμί σοι, *καὶ πλοῦτον καὶ δόξαν καὶ χρήματα* δώσω σοι ». κτλ.

---

πικρίας γέμει· ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα· σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν ». Ἐν δὲ τῷ Ἑξαπλῷ ταῦτα οὐχ εὕρηται ». — Ἄδηλον δὲ, εἰ καὶ οἱ Πατέρες οὓς μνημονεύει τὸ σχόλιον, ἐκ τοῦ ιγ ψαλμοῦ (κατὰ τὸν Βατικανὸν κώδηκα) ἐξέφερον τὸ χωρίον, ἢ μᾶλλον ἀπέβλεπον πρὸς τὰ τοῦ Ἀποστόλου (Ρωμ. γ.)

(Β, Παραλ. α, 11, 12). Ὅθεν ὁ σοφὸς ἀπεφθέγξατο, καὶ ὅτι *τοῦ πιστοῦ* (δηλονότι τοῦ εὐσεβοῦς) ἀνταπόδομα θεόθεν ἔρχεται πᾶς ὁ *τῶν χρημάτων κόσμος* (ὅταν νεύσῃ ὁ εἰπὼν « Ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον » Ἀγγ. β, 8). Καὶ τὴν σοφίαν πάλιν ὡς πηγάζουσαν πλοῦτον καὶ δόξαν διέγραψε (Παροιμ. γ, 16)· καὶ Σειρὰχ ὡσαύτως ἐφιλοσόφησε (Κεφ. δ, ιδ, ιε). Ὁ δὲ Φράγκελος « *Λέγει μηδὲν πιστόν* » (Παροιμ. β, 12). — Φεύγει ὁ Ῥαββῖνος καὶ τὸ « Εὐφράνθητε *οὐρανοί* » κτλ. (βλ. σελ. 869)· καὶ δικαίως (ἢ Ῥαββίς)· ἀλλὰ τοῦτο *γέγραπται* δὶς ὑπὸ τοῦ Νομοθέτου τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης (Δευτερ. λβ 43 : καὶ τὸ πλεῖστον, ἐν τῇ πρὸς Ἑβραίους, α, 6). — Γελοιάζει δὲ πάλιν καταμωκώμενος τῶν δῆθεν ἐξ ἀμαθείας γραψάντων *φύλλα*, ἀντὶ *φυλὴ* (Παροιμ. ια, 14). Ἀλλ' ἀντὶ τοῦ διορθοῦν (ὡς διορθοῖ γελοίως) τοὺς Ο, ὤφειλε μᾶλλον τὸ κατ' αὐτὸν ἑβραϊκὸν ἐπανορθοῦν, ἐνθυμηθεὶς ἐκεῖνο τὸ τοῦ Ἡσαΐου· « *Ἐξεῤῥύημεν ὡς φύλλα*, διὰ τὰς ἀνομίας ἡμῶν » (ξδ, 6). Καὶ ὁ Σειρὰχ δὲ τῶν, « ὡς φύλλον θάλλον ἐπὶ δένδρου », καταπιπτόντων ἐπεμνήσθη (ιδ, 18. πρβλ. ϛ, 3). Οἱ δὲ Ο, ἔγραψαν πάλιν ὅπου ἔδει τὸ *φυλή*. « Ἐλασσονοῦσι δὲ φυλὰς ἁμαρτίαι » (Παροιμ. ιδ, 34. οὕτως ἔχει αὐτόθι καὶ τὸ ἑβραϊκόν). Φέρει πάλιν ὁ Ἰουδαῖος τὰς πολλὰς αὐτοῦ *Μιδράσχας*, δικαιῶν τὴν ἐκ τοῦ ἑβραϊκοῦ κολόβωσιν τῆς (Ἰησ. κδ. 30) ἐνταφιάσεως τῶν πετρίνων μαχαιρῶν » (βλ. ὄπισθ. σελ. 869). Ἀλλ' (εἰ χρὴ καὶ ὅλως ἀπαντᾶν). « *Δέχου*, Φράγκελε, *τὸν ὄρνιν* καὶ τοὺς ἄνδρας τοὺς Ῥαββεῖς », ὁμολογοῦντας δι' ὧν μυθοπλαστοῦσιν, ὅτι ἔκειτο καὶ ἐν τῷ ἑβραϊκῷ τὸ χωρίον (ὡς κεῖται καὶ παρὰ τοῖς Ο). Ἐντεῦθεν γὰρ, ὡς ἔοικε, λαβόντες τὴν ἀφορμὴν, ἐμυθογράφησαν καὶ οἱ σοὶ Παλαιστινοὶ τὰ περὶ τῶν σαλπίγκων τοῦ Μωϋσέως. Παράδοξον δὲ κἀκεῖνο τοῦ κριτικοῦ· λίαν εὐχερῶς ἐξωθεῖ καὶ μετακινεῖ καὶ λέξεις, καὶ στίχους, καὶ ὅλα χωρία, ἀφ' ἑνὸς εἰς ἄλλο κεφάλαιον, ἢ καὶ βιβλίον μετατιθεὶς, καθάπερ οἱ ψηφοπαῖκται, οἵ γε πολλαχῶς τὸν *ἀπὸ γραμμῆς* κινοῦσι *λίθον*, ὅταν παίζωσι τὸν *διαγραμμισμὸν*, ἢ καὶ τὴν *διελκυστίνδα*. Τοιοῦτός τις ἐφάνη

καὶ περὶ τοὺς δύο παρομοίους στίχους, τὸν μὲν ἐν Παροιμ. ιη, 8 (ὅπου λείπει ἐκ τοῦ νῦν ἑβραϊκοῦ), τὸν δὲ ἐν Παροιμ. ιθ. 15 (βλέπε ὄπισθ. σελ. 869, 870). Συναλείφει τούτους εἰς ἕνα· καὶ τοῦτον πάλιν παντοίως διαστρεβλοῖ, νοθίζει τὸν ἥμισυν, ἐκ θατέρου μέρους ἐξοβελίζει, γεννᾷ διασκευὰς ἐπὶ διασκευαῖς, προσεπισάττει καὶ τὴν οἰκείαν, καὶ πάσχει ὁ ἄνθρωπος ἀλλόκοτον ταραχήν. Ἀλλ᾽ εἴπερ ἐν τῷ ιθ. κεφαλαίῳ κεῖται ἔν τε τῷ ἑβραϊκῷ καὶ παρὰ τοῖς Ο, τίς ἂν ἄλλη σαφεστέρα γένοιτο δεῖξις, ὅτι τὸ αὐτὸ ῥητὸν ἔκειτο καὶ πρότερον ἐν τῷ ιη, 8, τοῦ ἑβραϊκοῦ, ὡς σῴζεται καὶ νῦν παρὰ τοῖς Ο; Ὅτι δὲ καὶ ἐν ταῖς Σολομῶντος Παροιμίαις, καὶ ἐν τῇ Σοφίᾳ τοῦ Σειρὰχ πολλαὶ πολλάκις γνῶμαι καὶ αὖθις ἐπαναλαμβάνονται μετά τινος μικρᾶς τροπῆς, περιττὸν ἂν εἴη λέγειν (α). Περὶ δὲ τοῦ *ἀνδρόγυνος* (ὁ γυναικώδης καὶ ἔκλυτος διὰ δειλίαν) οὐκ ἂν ἐπεγέλα ὁ κριτικὸς, εἴπερ ἔβλεπεν ὅτι πρὸς τοῦτο καὶ ὁ Σειρὰχ ἀποβλέπων, εἶπεν ἀντ᾽ αὐτοῦ τὸ « *νωθρὸς καὶ παρειμένος* ἐν τοῖς ἔργοις » (δ, 30)· καὶ « καρδίας δειλὰς, καὶ παρειμένας » (β, 12, 13). Εἰ δ᾽ ἐν τούτοις μόνοις τοῖς δυσὶ χωρίοις εὑρίσκεται τὸ ἀνδρόγυνος, ἀλλὰ καὶ τὸ *ταπεινόφρων* ἅπαξ εὑρίσκεται παρὰ τοῖς Ο (Παροιμ. κθ, 23), καὶ τὸ *ὑψηλοκάρδιος* (Παροιμ. ιϛ. 5) καὶ τὸ *μαγὶς* (Κριτ. ζ. 13), καὶ ἄλλα τῶν ἅπαξ εἰρημένων· ὁ δὲ Σειρὰχ ἔγραψε καὶ τὸ *λαπιστής*. Τοσαῦτα καὶ πρὸς τὰ τοῦ Φραγκέλου περὶ διασκευαστῶν αὐτόχρημα *λαπίσματα*· ὅστις ἔῤῥιψεν εἰς μέσον τὰς κατὰ τῶν Ο κριτικὰς αὐτοῦ θεωρίας, πλήρεις παντοίων ῥύπων σοφιστικῶν, ὡς λίθον *ἠρδαλωμένον*. Ἀλλ᾽ ἐν ᾧ τὸν χρόνον ἀπώλλυε, φυτεύων λόγους Ἀδώνιδος κήπων ἀκαρποτέρους, καὶ συῤῥάπτων πολυτρήτους κέντρωνας διασκευῶν ἔν τε τοῖς ἄλλοις τεύχεσι τῶν Ο, καὶ μάλιστα ἐν ταῖς *Παροιμίαις*, συμφορώτερον ἂν ἔπραττεν ἔργον ἑαυτῷ τε μάλιστα καὶ τοῖς οἰκείοις, εἴπερ ἐξήλεγχε ψευδομένας ἄλλας διασκευὰς, ὅσας κατ᾽ αὐτὸ τὸ ἑβραϊκὸν κείμενον τῶν Παροιμιῶν (οἷον κεφ.

(α) Πρβλ. Παροιμ. κεφ. α, 7 καὶ θ, 10: — κεφ. ι, 1 καὶ ιε, 20: (οὕτω καὶ ἐν τῷ ἑβρ.) κτλ. πρβλ. Σειρὰχ δ, 4, 5: η, 8, 9, κτλ. κτλ.

λ. §. 20, κτλ.) ἐσπούδασεν ἐξευρεῖν ἡ ὑψηλὴ τῶν νεωτέρων κριτικὴ (ἐφ' ᾗ δὴ καὶ αὐτὸς κομπάζει), προστιθεῖσα καὶ ὅτι ψευδῶς ἐπιγέγραπται εἰς τὸν Σολομῶντα τοσοῦτον πλῆθος εὐφυεστάτων καὶ χρησιμωτάτων γνωμῶν. Θέλει δὲ τὸ Σύνταγμα ἡ τοιαύτη κριτικὴ Συλλογήν τινα, ἢ Ἐκλογὴν διαφόρων ἀποφθεγμάτων παντοίων σοφῶν, ἀτάκτως ἐν πολλοῖς συγκεκαττυμένων, καὶ εἰς τὸ Σολομῶντος ὄνομα ἐπιγεγραμμένων (οἷα, λέγει, καὶ τὰ Πυθαγόρου *χρυσᾶ ἔπη*, καί τινα τῶν Ἀράβων τοιαῦτα φέρονται Ἐκλόγια)· καὶ δὴ καὶ κατατέμνει τὴν θεόπνευστον βίβλον εἰς δ, τεμάχια, ὧν μόλις τὸ πρῶτον μόνον (ἀπὸ τοῦ α, μέχρι τοῦ θ, κεφαλαίου) ἀπονέμει τῷ Σολομῶντι· τὰ δ' ἄλλα πολλῷ τούτου νεώτερα γνωματεύει. Τῶν δὲ τοιούτων φλεγμαινόντων κριτικασμάτων αἴτιος πάλιν αὐτὸς ὁ κώδηξ ὁ ἑβραϊκὸς, ἢ μᾶλλον ἡ τούτου ῥαββινικὴ διασάφησις, πολλὰς παρέχουσα λαβὰς τοῖς οὐκ ἐπ' ἀγαθῷ, οὐδ' ἐπ' ἀληθεῖ σοφίᾳ περιεργαζομένοις περὶ τὰς θείας Γραφάς (α)· καὶ ταῦτα μὲν ταύτῃ.

(α) Τὸ ἑβραϊκὸν κείμενον τῶν Παροιμιῶν κεφ. κδ, 23, λέγει (καθὼς τοῦτ' ἀναγινώσκουσι). «Καὶ ταῦτα ἀποφθέγματα τῶν σοφῶν (ἀνθ' οὗ οἱ Ο «Ταῦτα δὲ λέγω ὑμῖν τοῖς σοφοῖς ἐπιγινώσκειν» Οὕτω καὶ ἡ Βουλγάτα, κατὰ δοτικήν· «Haec quoque Sapientibus»· καὶ ταῦτα τοῖς σοφοῖς Καὶ πάλιν κεφ. λ. 1. τὸ ἑβρ. «Ῥήματα Ἀγοὺρ, υἱοῦ Ἰακαί· χρηματισμὸς, ὃν οὗτος ὁ ἀνὴρ ἐλάλησε πρὸς τὸν Ἰθιὴλ, πρὸς τὸν Ἰθιὴλ καὶ τὸν Οὐκάλ» (ὅπου οἱ Ο «τάδε λέγει ὁ ἀνὴρ τοῖς πιστεύουσι τῷ Θεῷ»). Καὶ πάλιν, κεφ. λα, 1 «λόγοι Λεμουὴλ» (ἀνθ' οὗ οἱ Ο «οἱ ἐμοὶ λόγοι εἴρηνται ὑπὸ Θεοῦ»). Ἐκ τούτων ὁρμηθέντες οἱ νεώτεροι κριτικοὶ, κατεμέρισαν τὴν ἱερὰν ταύτην βίβλον εἰς διαφόρους ἀγνώστους συγγραφεῖς Σοφοὺς, φέροντες πρὸς ἀπόδειξιν τὸ «Καὶ ταῦτα Σοφῶν ἀποφθέγματα» (ὡς τὸ, «Καὶ ταῦτα Φωκυλίδεω» φησὶ Γρότιος). Ἔπειτα προσωνόμασαν καὶ Λεμουήλους, καὶ Ἀγούρους· τούτου δὲ μαθητὰς λέγουσιν, ἢ φίλους, τὸν Ἰθιὴλ καὶ τὸν Οὐκάλ (οἷοι, λέγει Γρότιος, ἦσαν καὶ οἱ Θεόγνιδος μαθηταὶ, Κύρνος καὶ Ὀνομάκριτος). Καὶ ταῦτα πάντα διὰ τὴν διάφορον ἀνάγνωσιν τοῦ κειμένου· τοῦτο δὲ καὶ πρῴην μὲν ἐπὶ Ἀκύλα κακῶς ἀνεγινώσκετο κατὰ μέρος (ἔχει γὰρ καὶ οὗτος δύω κυριωνυμίας Ἐθιὴλ καὶ Λαμμοῦν, ὃν ὁ Θεοδοτίων λέγει Ῥεμουήλ· ὁ δὲ Σύμμαχος Ἰαμουὴλ, ὁ δὲ Σύρος Μουὴλ, ὡς κύρια καὶ αὐτοὶ τὰ προσηγορικὰ ἀναγνόντες), μετὰ δὲ τὴν στίξιν τῶν Μασοριτῶν κατήντησε τὸ κείμενον εἰς τὴν σημερινὴν ἀνάγνωσιν! βλ. Critic. Sacros in Proverb. h. l. — Calmet, Diction. v. Agur. Iamuel. (Οὗτος δὲ καὶ Ἀγοὺρ, καὶ Λεμουὴλ

§. ιε. Ζ) Ἕβδομον λέγουσιν αἴτιον τῶν τῆς ἑρμηνείας πρὸς τὸ ἑβραϊκὸν διαφορῶν, τὴν δυσσέβειαν τῶν αἱρετικῶν, καὶ αὐτῶν τῶν Ἰουδαίων καὶ μάλιστα τῶν Ἀλεξανδρινῶν τὴν ἀπιστίαν, οἵτινες διέφθειρον ἐξεπίτηδες τὰ ἀπόγραφα τῶν κατὰ τοὺς Ο Γραφῶν. Τοῦτο δὲ νοοῦσι καὶ οἱ παλαιοὶ τῆς Ἐκκλησίας Πατέρες μεμφόμενοι τοῖς Ἰουδαίοις, ὅτι διελυμαίνοντο τὰς Γραφάς· αὐτὴν δηλονότι τὴν ἑρμηνείαν λέγοντες, οὐχὶ τὸ κείμενον τὸ ἑβραϊκόν. Ταῦτα οἱ περὶ τὸν Ὀττιγγῆρον.

*Ἀπαντῶμεν.*

§. ιϛ. Ἀληθῶς καὶ αἱρετικοὶ κατὰ τῶν ἀπογράφων τῶν θείων Γραφῶν ἐξεμάνησαν, καὶ οἱ Ἰουδαῖοι μετὰ τὴν θεήλατον αὐτῶν συμφοράν· καὶ τοῦτο μαρτυρεῖ πρώτιστα πάντων ὁ μάρτυς Ἰουστῖνος, λέγων· « Ὅτι πολλὰς γραφὰς τέλεον περιεῖλον ἀπὸ τῶν ἐξηγήσεων, τῶν γεγενημένων ὑπὸ τῶν παρὰ Πτολεμαίῳ γεγενημένων πρεσβυτέρων » (Διάλ. πρὸς Τρύφων· σελ. 177). Καὶ ἄλλως δὲ τὰς λέξεις, ὡς ἠδύναντο, διέφθειρον, « ἰδοὺ ἡ *νεᾶνις* » λέγοντες, ἀντὶ « ἰδοὺ ἡ *παρθένος* ἐν γαστρὶ ἕξει », καὶ ὅσα τοιαῦτα. Ταύτης δὲ τῆς ἐνοχῆς οὐδ᾽ Ἀκύλας, οὐδὲ Σύμμαχος ἐοίκασι καθαρεύειν. Εἰ δὲ καὶ περὶ τὰς ἑαυτῶν ἑβραΐδας γραφὰς ἐρρᾳδιουργήκασιν οἱ Ἰουδαῖοι, τὰ μέν τινα παραγράψαντες ἑκουσίως, τὰ δὲ καὶ παντάπασιν ἀποκόψαντες, θεωρήσομεν ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς. Ἤδη δὲ θαυμάζομεν τοὺς κριτικούς, πῶς ἐκ τῆς τοιαύτης μερικῆς κακουργίας τῶν αἱρετικῶν καὶ τῶν Ἰουδαίων, τῆς εἰς τὰ παρ᾽ αὐτοῖς ἀντίγραφα τῶν Ο καταπραττομένης, συνεπέραναν τὸ καθόλου καὶ εἰς ἅπαντα τῆς ἑρμηνείας τὰ χειρόγραφα τὴν λύμην διαδοθεῖσαν. Αὐτὸς ὁ θεῖος Ἰουστῖνος (αὐτόθ. σελ. 178) αὐταῖς λέξεσι λέγει· « Ὅτι ἀπὸ τῶν διὰ Ἱερεμίου λεχθέντων ταῦτα περιέκοψαν· « Ἐγὼ δὲ ὡς

---

υἱὸν τοῦ Ἰακαί, ἐκλαμβάνει τὸν Σολομῶντα, ὅστις λέγει, ἐκαλεῖτο καὶ Iedidiah καὶ Coheleth, ἤτοι Ἐκκλησιαστής. Ἀλλὰ τοῦτ᾽ ἐστι τὸ κακῷ κακὸν ἰᾶσθαι, καὶ ψεύδει ψεῦδος· τίς ποτ᾽ ἐγένετο πεντώνυμος, οἷον ἡμῖν παρίστησιν ὁ Καλμέτης τὸν Σολομῶντα ;). Παράβλ. καὶ Herders, Geist der Hebr. Poësie. P. II. p. 280. — Schulz. Schol. in Vet. Test. vol. 5. proleg.

ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι » κτλ. (Ἱερεμ. ια, 19)· Καὶ, « Ὅτι αὕτη ἡ περικοπὴ ἡ ἐκ τῶν λόγων τοῦ Ἱερεμίου, *ἔτι ἐστὶν ἐγγεγραμμένη ἔν τισιν ἀπογράφοις* τῶν ἐν [ταῖς] συναγωγαῖς τῶν Ἰουδαίων· πρὸ γὰρ ὀλίγου χρόνου ταῦτα ἐξέκοψαν » κτλ. Ὥστε μηδ' αὐτῶν τῶν ἐν ταῖς Συναγωγαῖς ἀναγινωσκομένων ἀπογράφων τὸ σύνολον ἴσχυον εὐκόλως οἱ Ιουδαῖοι λυμαίνεσθαι καὶ διαστρεβλοῦν. Πῶς οὖν ἠδύναντο διαφθεῖραι πάντα τὰ τῆς ἑρμηνείας ἀπόγραφα, τὰ κατά τε τὴν καθολικὴν ἐκκλησίαν καὶ παρὰ τοῖς χριστιανοῖς πανταχοῦ τῆς Οἰκουμένης ἐν χρήσει διατελοῦντα; (α). Καὶ εὕρηκε μὲν Ὠριγένης πολλὴν μεταξὺ τῶν ἀντιγράφων (τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης) διαφορὰν, « εἴτε ἀπὸ ῥαθυμίας τινῶν γραφέων, εἴτε ἀπὸ τόλμης τινῶν μοχθηρᾶς τῆς διορθώσεως τῶν γραφομένων, εἴτε καὶ ἀπὸ τῶν τὰ ἑαυτοῖς δοκοῦντα ἐν τῇ διορθώσει προστιθέντων, ἢ

(α) Τὸ ἀνωτέρω τοῦ Ἱερεμίου *χωρίον σῴζεται καὶ ἐν πάσαις ταῖς καθ' ἡμᾶς ἐκδόσεσι τῶν* Ο, *καὶ παρὰ τοῖς θείοις πατράσιν, ὅσοι μετὰ τὸν Ἰουστῖνον μνημονεύουσι τοῦ ῥητοῦ* (*οἷον* Χρυσόστομος, Θεοδώρητος, Κύριλλος, *κτλ.*), *καὶ ἐν αὐτῷ τῷ καθ' ἡμᾶς ἑβραϊκῷ* (*ὅπου ὅμως ἀντὶ τοῦ κατὰ τοὺς* Ο, « *δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ* » *ἡ ῥαββινίζουσα τῶν νεωτέρων κριτικὴ ἄλλως ἀναγινώσκουσα τὰς ἀντιστοίχους ἑβραΐδας λέξεις, ἐξηγεῖ·* « perdamus arborem in virore suo »· « *ὀλέσωμεν τὸ δένδρον ἐν τῇ ἀκμῇ αὐτοῦ* »· *καὶ τὸ νόημα ἀναφέρουσιν οἱ ἐξηγήτορες εἰς τὸν προφήτην αὐτὸν, οὐκ εἰς τὸν Σωτῆρα Χριστὸν, ὃν ἐκήρυξε καὶ Ἡσαΐας,* « *ὅτι ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἄφωνος* » *κτλ. ἀλλ' οἱ μὲν τοιοῦτοι ματαιούσθωσαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν*). Τὴν *δ' οὖν περικοπὴν τοῦ* Ἱερεμίου, *καίτοι σῳζομένην ἐν τοσούτοις ἀπογράφοις τῶν* Ο, *οὐχ ἧττον ὅμως ἀληθεύει πάλιν ὁ θεῖος Ἰουστῖνος στηλιτεύων τοὺς κατ' αὐτὸν Ἰουδαίους, ὡς ἐκκόψαντας αὐτὴν ἐκ πάντων* (*πλὴν ὀλίγων*) *τῶν παρ' αὐτοῖς ἐν ταῖς Συναγωγαῖς ἀντιγράφων.* Ὁ *δὲ Φράγκελος* (l. c. p. 59—60) *εἰς μάτην πειρᾶται τοὺς ἑαυτοῦ προγόνους τοῦ μιάσματος ἀθῳοῦν, οἵ γε καὶ ἐν ἄλλοις τοιούτοις ἐξηλέγχθησαν ἐναγεῖς.* Ὁ *θεῖος Ἰουστῖνος λέγει, ὅτι διέμεινεν ἡ περικοπὴ ἔν τισι τῶν ἐν ταῖς Συναγωγαῖς ἀντιγράφων, ὡς μήπω φθασάντων τῶν ῥᾳδιούργων ἐπιβαλεῖν καὶ τούτοις τοὺς μιαροὺς αὐτῶν ξυστῆρας·* « *πρὸ γὰρ ὀλίγου, φησὶ, χρόνου* (*ἐκ τῶν ἄλλων χειρογράφων*) *ταῦτα ἐξέκοψαν* ». Ὁ *δὲ Φράγκελος ἔοικε συμπεραίνων ἐκ τῶν Ἰουστίνου λόγων, ὅτι οὐκ ἀπέκοψαν λοιπὸν οἱ Ἰουδαῖοι τὸ προφητικὸν ῥητόν!* Ὁ *δ' αὐτὸς μνημονεύει καὶ ἄλλας τρεῖς ῥήσεις γραφικὰς, ἃς καὶ ταύτας ὁ Ἰουστῖνος ἀποκόψαι τοὺς Ἰουδαίους φησὶν, αἵτινες ὅμως μήτε παρὰ τοῖς* Ο *κεῖνται, μήτε ἐν τῷ ἑβραϊκῷ.* Περὶ *τούτων λέγομεν ἐν τῷ βιβλίῳ τῷ ἐφεξῆς.*

ἀφαιρούντων » (α). Ἀλλὰ πρῶτον μὲν ἐν τοῖς ἀπογράφοις τῆς Παλαιᾶς (παραλείπομεν τὰ τῆς Καινῆς) εὕρισκε τὴν διαφωνίαν, παραβάλλων πάντως αὐτὰ πρὸς ἄλληλα. Εἰ δὲ διεφώνουν, ὑπῆρχον ἄρα καὶ ἀδιάφθορα, πρὸς ἃ διεφώνουν τὰ μὴ τοιαῦτα. Καὶ τοῦτο μαρτυρεῖ λαμπρῶς αὐτὸς πάλιν Ὠριγένης, λέγων ἀλλαχοῦ ταῦτα. « Οὕτω καὶ ἐν *τοῖς ἀκριβέσιν ἀντιγράφοις* εὕρομεν, καὶ ταῖς λοιπαῖς παρὰ τοὺς Ο ἐκδόσεσι » κτλ. (Ἐξηγ. εἰς Ἰωάν. τόμ. ϛ. καὶ ἀλλαχοῦ. βλ. καὶ ἐφεξῆς σελ. 883.). Ἔπειτα παρέβαλλε τὰ ἀντίγραφα καὶ πρὸς τὰς τότε νεωστὶ προελθούσας ἐκδόσεις τῶν ἄλλων τριῶν ἑρμηνευτῶν (βλ. ὄπισθ. 861), ἀνακρίνων, εἴ τινας εἶχεν ἀμφιβολίας. « Τὴν μὲν οὖν φησὶν ἐν τοῖς ἀντιγράφοις τῆς Παλαιᾶς Διαθήκης διαφωνίαν, Θεοῦ διδόντος, εὕρομεν ἰάσασθαι, κριτηρίῳ χρησάμενοι ταῖς λοιπαῖς ἐκδόσεσι. Τῶν γὰρ ἀμφιβαλλομένων παρὰ τοῖς Ο, διὰ τὴν τῶν ἀντιγράφων διαφωνίαν, τὴν κρίσιν ποιησάμενοι ἀπὸ τῶν λοιπῶν ἐκδόσεων, τὸ συνᾷδον ἐκείναις ἐφυλάξαμεν » κτλ. Πρόσθες, ὅτι ἐπὶ Ὠριγένους καὶ μέχρι τοῦ Χρυσοστόμου ἐσῴζετο κατὰ τὴν Βιβλιοθήκην τῆς Ἀλεξανδρείας αὐτόγραφον ἐξ αὐτῆς τῆς τῶν Ο μεταφράσεως, ὡς αὐτός τε ὁ Χρυσόστομος (α), καὶ πρὸ τούτου Τερτυλλιανὸς, Ὠριγένους σύγχρονος μαρτυρεῖ (β). Καὶ ἄλλως δὲ, πῶς ἂν εἶχον διαφθαρῆναι πάντα τὰ ἀντίγραφα τῶν Ο, τά τε ἄλλα, καὶ ὅσα πρὸ τῶν

---

*(α) Ὠριγέν. εἰς Ματθ. τ. ιε. Διορθώσεις δὲ τῶν γραφομένων ἐννοεῖ ὁ Ὠριγένης τὰς ἐπανορθώσεις τῶν κατά τινας σελίδας ἀπαντώντων ἀντιγραφικῶν σφαλμάτων. Καὶ τοιαύτας τινας διορθώσεις τινὲς ἐποίουν τολμηρότερον, διορθοῦντες ἐνίοτε καὶ τὰ γνήσια, καὶ κατὰ τὴν διόρθωσιν προστιθέντες ἢ ἀφαιροῦντές τινὰ πρὸς δῆθεν θεραπείαν τῶν σφίσι δοκούντων ἐσφαλμένως ἔχειν περὶ τὴν τοῦ λόγου συνθήκην, ἔν τε τῇ καινῇ καὶ τῇ παλαιᾷ Διαθήκῃ (περὶ γὰρ ἀμφοτέρων ὁ λόγος τῷ Ὠριγένει καὶ μάλιστα περὶ τῶν ἀντιγράφων τῆς Καινῆς, ἐν οἷς λέγει ῥητῶς ὅτι πολλὴν εὗρε διαφωνίαν, « ὥστε πάντα τὰ κατὰ Ματθαῖον μὴ συνᾴδειν ἀλλήλοις » κτλ. Ὠριγεν. αὐτόθ.). Ἐντεῦθεν ὁρμηθεὶς ὁ θίασος τῶν ἀπ' Ὀττιγγήρου μέχρι Φραγκέλου κριτικῶν, ἔπλασαν αὐτοὶ διορθώσεις καὶ διασκευαστὰς τῶν Ο, τοσαύτας καὶ τοσούτους, ὅσους καὶ οἵους ἴδομεν ἐν τοῖς προηγουμένοις· προβάλλουσι δ' εἰς δεῖξιν, ὡς πανάμωμον ᾀείποτε διαμεῖναν καὶ πανάληθες καὶ παντέλειον, τὸ ἑβραϊκόν !*

(β) Κατὰ Ἰουδ. ὁμιλ. α. τόμ. ϛ. σελ. 373. Savil.

(γ) Tertul. Apolog. 18. πρβλ. Walton. Proleg. IX. 18. pag. 384.

Ὠριγένους χρόνων μετεχειρίζοντο τοσοῦτοι μετὰ τοὺς Ἀποστόλους εὐθὺς ἀκμάσαντες σοφοὶ τῆς Ἐκκλησίας Πατέρες, οἵτε Ἀποστολικοὶ καὶ οἱ τούτων διάδοχοι; Πολλοὶ δὲ πολλαχοῦ διέλαμπον οὗτοι καὶ ἀγαθοί· οἷον, Διονύσιος ὁ Κορίνθου ποιμὴν, « *γραφῶν τῶν θείων ἐξηγήσεις παρατιθεὶς* », καὶ Θεόφιλος ὁ Ἀντιοχείας, καὶ Μελίτων, ὁ καὶ κατάλογον τῶν κανονικῶν βίβλων τῆς Παλαιᾶς, καὶ τὰς ἐκ τούτων ἐκλογὰς ἀναγράψας, καὶ Εἰρηναῖος, καὶ Πάνταινος, μετὰ τῶν ἐν λόγῳ καὶ τῇ περὶ τὰ θεῖα σπουδῇ δυνατῶν, ἐξ ὧν συνεκροτεῖτο τὸ κατὰ τὴν Ἀλεξάνδρειαν ἀποστολικὸν τῶν θείων λόγων Διδασκαλεῖον, καὶ Κλήμης αὐτὸς, Ὠριγένους διδάσκαλος, οἵτινες ἀεννάως τὰς Γραφὰς ἐμελέτων εἰς οἰκοδομὴν τοῦ θείου λόγου, καὶ ἀνατροπὴν τῶν ψευδωνύμων γνώσεων, καὶ τῶν κατὰ τῆς Ἐκκλησίας ἐπιβουλῶν. Αὐτίκα ὁ μὲν μάρτυς Ἰουστῖνος ἐστηλίτευε λαμπρῶς (ὡς εἴδομεν ἀνωτέρω) τὰς ἐν τῷ κειμένῳ τῶν Ο ἰουδαϊκὰς ῥᾳδιουργίας, προβάλλων τὴν ὀρθὴν ἀνάγνωσιν ἐξ ἀντιγράφων πάντως ἀδιαφθόρων. Οἱ δὲ περὶ τὸν Κάνδιδον καὶ τοὺς ἄλλους τοὺς ὀλίγῳ προγενεστέρους, ἢ καὶ συγχρόνους Ὠριγένους (τῷ 190-240) διδάσκαλοι τῆς Ἐκκλησίας ἐξήλεγχον τὴν ὑπὸ τῶν μαθητῶν τοῦ δυσσεβοῦς Ἀρτέμωνος γενομένην διαφθορὰν πολλῶν τῆς Γραφῆς ἀντιγράφων, ἐξετάζοντες αὐτὰ πρὸς ἄλληλα (α). Ἔπειτα καὶ μετὰ τὴν Ὠριγένους ἔκδοσιν, ὅ,τε Λουκιανὸς ὁ ἱερομάρτυς ἐν Ἀντιοχείᾳ, καὶ Ἡσύχιος ἐν Ἀλεξανδρείᾳ, ἐξέδωκαν πάλιν τὸ αὐτὸ κείμενον τῶν Ο διωρθωμένον· οὐδὲν δὲ διέφερον ἀπ' ἀλλήλων αἱ ἐκδόσεις αὗται, εἰ μὴ κατά τινας ἀναγνώσεις καὶ κούφας παραλλαγὰς, μηδαμοῦ μηδόλως παραβλαπτούσας τοῦ νοήματος τὴν ἀκρίβειαν. Τοιούτους ἀγρύπνους φύλακας τῶν ζωηρρύτων καὶ θεοπνεύστων Γραφῶν ἐπέστησεν ὁ δι' αὐτῶν λαλήσας Θεὸς τοὺς ἁγίους ἡμῶν Πατέρας καὶ διδασκάλους· οἵτινες καὶ τὴν Παλαιὰν καὶ τὴν Καινὴν Διαθήκην καὶ ἰδίως ἐκδιδόντες, κἀν τοῖς ἰδίοις συγγράμμασιν ἐξηγοῦντες, καὶ ἐν Σχολαῖς καὶ ἐπ' Ἐκκλησίας ἀναγινώσκοντες καὶ διασαφοῦντες,

(α) Εὐσέβ. Ἐκκλ. ἱστορ. Βιβλ. Δ, κγ, κδ, κς: Ε. η, ι, κη: πρβλ. Θεοδωρήτ. Αἱρετ. μυθαρ. β, 5.

ἄχραντον διετήρησαν καὶ ἀμίαντον ἀπὸ πάσης παρὰ τῶν αἱρετικῶν καὶ ἀπίστων ἐπιβουλῆς καὶ κακώσεως, καὶ πᾶσι τοῖς ὑπ' οὐρανὸν χριστεπωνύμοις ἔθνεσι φέροντες παρέδωκαν, τοῖς τε ἄλλοις, καὶ αὐτοῖς τοῖς παλαιοῖς προγόνοις τῶν σοφῶν κριτικῶν. Οὕτως ἡ διὰ πάντων αἰώνων κατὰ πᾶσαν τὴν Ἐκκλησίαν διηνεκὴς καὶ ἀδιάλειπτος χρῆσις τῶν κατὰ τοὺς Ο Γραφῶν γίνεται ἐχέγγυος τῆς ἀδιαφθορίας καὶ ἀκεραιότητος αὐτῶν. Ἡ δὲ παρὰ τῶν δυσσεβούντων κατὰ τῶν θείων γραμμάτων ἐπιβουλὴ « *Οὐδὲν ἡμᾶς ἠδίκησεν* (ὡς εἶπεν ὁ θεῖος Ἐπιφάνιος κατὰ τοῦ Μαρκίωνος)· « *σώζονται γὰρ οἱ τόποι* » (οὓς καθ' ἑαυτοὺς ἐκεῖνοι διέφθειρον) « ἀκραιφνεῖς ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ ».

§. ιζ. Η) Ὄγδοον αἴτιον τῆς διαφθορᾶς προβάλλουσιν οἱ κριτικοὶ τὴν τῶν ἀντιγραφέων ἀβλεψίαν, ἣν κατὰ πολλοὺς τρόπους ἐκτραγῳδοῦσι. α) Λέγουσιν ἀντιγράφοντες τὰς θείας Γραφὰς, ἠμέλουν τῶν ἐν αὐταῖς ὑπ' Ὠριγένους προστεθέντων κριτικῶν σημείων, καὶ οὕτω συνέχεον τὰ τῶν ἄλλων ἑρμηνευτῶν μετὰ τῆς ἑρμηνείας τῶν Ο (βλ. ὄπισθ. σελ. 860). — β) Κατεσπάραττον τὰς ἀμεταφράστους ἑβραϊκὰς λέξεις, ἀντιτιθέντες ὁμοιοφθόγγους ἑλληνικάς· οἷον τὰς ἑξῆς· (Γ, Βασιλ. ις, 18) *ἄντρον*, ἀντὶ τοῦ ἑβρ. *ἀρμών*· καὶ (αὐτόθ. ιη, 32) *θάλασσα*, ἀντὶ *θααλά*· καὶ (Δ, Βασιλ. ιδ, 9) *ἄκαν*, ἀντὶ *ἀχοέ* (α). — γ) Κατελίμπανον, ἢ παρέγραφόν τινα στοιχεῖα· οἷον· Ἱερεμ. ιε, 10 *ὠφέλησα*, καὶ πάλιν τὸ αὐτὸ κατ' ἄλλην γραφὴν, *ὠφείλησα* (βλ. Ὠριγέν. τόμ. γ. σελ. 225)· *τραφεὶς*, ἀντὶ *ταφεὶς* (β). — δ) Ἁμαρτάνουσι προστιθέντες, ἢ παραλείποντες, ἢ συγχέοντες ὀλιγοσυλλάβους τινας λέξεις, πυκνῶς ἐπαναλαμβανομένας ἐν τῷ κειμένῳ, οἷα τὰ, *πᾶς*, *καὶ*, *μοῦ*, *σοῦ*, *ἡμεῖς*, *κύριος ὁ Θεός*· συσσωρεύουσι δὲ καὶ τὰ θεῖα ὀνόματα· οἷον, « Ἀδωναΐ, Κύριε, Σαββαὼθ »

---

(α) Ὁ Φράγκελος (σελ. 64) προστίθησι καὶ τὰς ἐν πολλοῖς κυρίοις ὀνόμασιν ἡμαρτημένας γραφὰς, φέρων μάρτυρα καὶ τὸν Ὠριγένην· ἀλλὰ περὶ τούτων προείπομεν ἐν τοῖς προλαβοῦσι σελ. 647.

(β) Βλ. ὄπισθ. σελ. 731. Ὁ Φράγκελος προστίθησι καὶ τὸ Θουβαλκαΐν, καὶ τὸ « υἱῶν Ἰηλ ». Εἴπομεν καὶ περὶ τούτων (σελ. 654, 294, 756).

(Α. Βασιλ. α, 11, ὅπου τὸ ἑβρ. ἔχει μόνον Ἀδωναΐ, Σαβαώθ). — ε) Καὶ οἱ ἀντιγραφεῖς (πλὴν τῶν κυρίως διορθωτῶν, ἢ διασκευαστῶν) κατειργάζοντο παραλληλισμοὺς, ἐξισοῦντες πρὸς τοῖς προλαβοῦσι τὰ συχνάκις ἐπανερχόμενα ταὐτὰ χωρία. Οὕτως ἀπαντῶνται παρὰ τοῖς Ο, πάντοτε *ἑπτὰ* ἔθνη τῶν Χαναναίων· ἐν δὲ τῷ ἑβρ. ἐκφέρονται καὶ ἐλλειπέστερον. — Ὡσαύτως καὶ ἡ Σκηνὴ τοῦ *μαρτυρίου*, καὶ ἡ Κιβωτὸς τῆς *διαθήκης*· ἐν δὲ τῷ ἑβραϊκῷ πολλάκις καὶ ἁπλῶς, ἡ *Κιβωτὸς*, ἡ *Σκηνή*. Καὶ ἐν τῷ Λευϊτικῷ συχνάκις προστίθεται τὸ *ὀσμὴ εὐωδίας*, καὶ ὅπου ἄπεστιν ἐκ τοῦ ἑβραϊκοῦ. Ἄλλοτε δὲ πάλιν οἱ ἀντιγραφεῖς παρέλειπόν τινας τῶν παρακειμένων ὁμοιοπτώτων ἢ ἀναδιπλουμένων λέξεων, μεταπηδῶντος τοῦ ὀφθαλμοῦ ἀπὸ τῆς προτέρας εἰς τὴν ἐφεξῆς· οἷον (Γενέσ. α, 27) « Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν ». Τὸ δὲ τέλειον (ὡς ἐν τῷ ἑβρ.)· « Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον *κατ᾽ εἰκόνα αὐτοῦ*. Κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν ». — « Τὴν διαθήκην μου ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου » (Γενέσ. ιζ, 7). Τὸ δὲ τέλειον· « Ἀνὰ μέσον μου (γρ. ἐμοῦ), καὶ ἀνὰ μέσον σοῦ, καὶ τοῦ σπέρματός σου ». — ς) Ἐσφάλησαν, τέλος, περὶ τὴν ὀρθογραφίαν γράφοντες, *γένεσθΕ*, ἀντὶ *γένεσθαι* (!)· *ἔλαιος*, ἀντὶ *ἔλεος*· *ἑταίρους*, ἀντὶ *ἑτέρους*· *παιδίῳ*, ἀντὶ *πεδίῳ* (α), καὶ ἄλλα πολλὰ, ἐξ ὧν ἡ ἑρμηνεία ζημιοῦται μέγα μέρος τῆς βεβαιότητος.

*Ἀπαντῶμεν.*

§. ιη. α) Περὶ τῶν Ὠριγένους κριτικῶν σημείων προείπομεν, ἀποφάσκοντες τὴν λεγομένην σύμπτωσιν τῶν διπλῶν ἑρμηνειῶν, τῆς τε αὐτῶν τῶν Ο, καί τινος ἑτέρας, ὑπ᾽ Ὠριγένους προστεθειμένης (βλ. σελ. 860). Ἤδη δὲ καὶ τοῦτο θαυμάζομεν· πῶς παριστῶσιν οἱ τῶν κριτικῶν παῖδες ὡς ἓν τῶν αἰτίων τῆς τῶν Ο πρὸς τὸ κείμενον διαφορᾶς καὶ τὴν ἀμέλειαν τῶν ἀστερίσκων, οἵτινες ἐδήλουν, « ὅσα μὴ κείμενα παρὰ τοῖς Ο, προσέθηκεν Ὠριγέ-

---

(α) Βλ. Lam. Bos, Prolegom. εἰς τοὺς Ο, κεφ. β. καὶ Hottinger, Thes. Philol. pag. 371, παρ᾽ ᾧ καὶ ὅσα ἐν μιᾷ τινι ἐκδόσει τῶν Ο, τυπογραφικὰ σφάλματα ἀπαντῶνται, θεωροῦνται ὡς ἁμαρτήματα πασῶν τῶν ἐκδόσεων!

νης (καθὼς αὐτός φησιν) ἐκ τῶν λοιπῶν ἐκδόσεων, συμφώνως τῷ ἑβραϊκῷ ». Ταῦτα γὰρ προστεθέντα, καὶ μετὰ προσκειμένων τῶν ἀστερίσκων, καὶ χωρὶς, μᾶλλον σύμφωνον τὴν ἑρμηνείαν, ἀλλ᾽ οὐ διάφορον τοῦ ἑβραϊκοῦ ἀπετέλουν. Ἀλλ᾽ οὐδὲ τῶν ὀβελῶν ἀμεληθέντων προῆλθε διαφωνία· καὶ προσκείμενοι γὰρ ἐδήλουν τὴν τότε μεταξὺ τῆς ἑρμηνείας καὶ τοῦ ἑβραϊκοῦ διαφορὰν, καὶ τούτων παροραθέντων, ἡ διαφορὰ μένει πάλιν ἡ αὐτή. Πρὸς μὲν γὰρ τὴν κριτικὴν σπουδὴν καὶ χρῆσιν τῆς ἑρμηνείας τῶν Ο συνετέλουν πάντως τὰ σημεῖα, ὅπως ἂν εἰδῶσιν ἐξ αὐτῶν οἱ μετιόντες τίνα τὰ τῶν Ο γνήσια, καὶ τίνα τὰ κατηστερισμένα τοῦ ἐπ᾽ Ὠριγένους ἑβραϊκοῦ. Καὶ τοῦτο φαίνεται λέγων καὶ ὁ μακάριος Ἱερώνυμος (α). Ὅτι δὲ τῶν σημείων τούτων ἡ ἐξάλειψις ἐγένετο καὶ παραίτιος τῆς ἤδη μεταξὺ τῶν δύω κειμένων προϋπαρχούσης, καὶ ἧς χάριν ἐτέθησαν καὶ τὰ σημεῖα, διαφορᾶς, τοῦτο παράλογον ἐφαντάσθησαν οἱ κριτικοί. Θαυμάσαι δ᾽ ἄν τις πολλῷ πλέον, ὅταν ἐνθυμηθῇ, ὅτι πλὴν τῶν τὰ κριτικὰ σημεῖα φερόντων ἀντιγράφων τῶν Ο, ὑπῆρχον καὶ ἄλλα χωρὶς τούτων μυρία, καὶ αὐτὰ τὰ τῆς ἐκδόσεως τοῦ Λουκιανοῦ καὶ Ἡσυχίου. Ἀλλὰ περὶ τούτων ἐροῦμεν ἐκτενέστερον ἐν τῷ Δ, Βιβλίῳ. — β) Οὐδεμία τῶν ὑπὸ Φραγκέλου σεσημειωμένων ἀνωτέρω τριῶν λέξεων φαίνεται διεφθαρμένη ὑπὸ τῶν ἀντιγραφέων. « *Ἄντρον* » (τοῦ οἴκου τοῦ βασιλέως) ἡρμήνευσαν οἱ Ο τὸ ἑβραϊκὸν *ἀρμὼν*, ἀκρόπολιν σημαῖνον, καὶ παλάτιον (β), καὶ μάλιστα τὸ ἐσώτατον, ἢ τὸν ὑπόστεγον *μυχὸν*, ὁποῖον καὶ τὸ *ἄντρον*, « ὑπὸ πέτρας περιεχόμενον μονοειδοῦς » (Πορφύρ.)· ὅθεν καὶ γυναικωνίτην τινὲς προσηρμήνευσαν τὸ ἀρμὼν (γ). *Θάλασσαν*

---

(α) « Hinc apud vos, et apud plerosque error exoritur, quod scriptorum negligentia, virgulis et asteriscis subtractis, distinctio universa confunditur » S. Hieronym. Epist. ad Suniam et Fretel. p. 1127. Tom. 1. Paris. — (β) Οὕτω καὶ παρὰ Γάλλοις τὸ Chateau = Castello, φρούριον.

(γ) Οἷον· τὸ ἀραβικὸν Harem (χαρέμ)· βλ. Schleusn. Thes v. Ἄντρον, καὶ Gesen. Lexic. Hebraic. p. 99. Τὸ ἄντρον, ἢ ἀρμὼν (ἢ, ὡς τανῦν προφέρουσιν aremon) ἔοικε τῷ κρυφαίῳ, ἢ ἀφφουσὼθ (βλ. ὄπισθ. σελ. 761). Ἐν τῷ ἑβραϊκῷ κεῖται ἡ λέξις καὶ ἐν Δ. Βασιλ. ια, 25, ὅπου οἱ Ο, ἡρμήνευσαν οἶ-

δὲ πάλιν οὐχ οἱ μεταγραφεῖς, ἀλλ᾽ αὐτοὶ οἱ Ο ἔγραψαν, ἐξηγοῦντες τὸ *Θααλά* (α)· σημαίνει δὲ ἡ λέξις ὑδραγωγὸν, ἢ ὑδροῤῥόαν, ὀχετὸν (canalem), καὶ τὸ ἐν αὐτῷ, ἢ ἐξ αὐτοῦ συναγόμενον ὕδωρ· ὅθεν ἀλλαχοῦ μετέφρασαν τὸ Θααλὰ καὶ τοῦτ᾽ αὐτὸ, *ὑδραγωγὸν* (Ἡσαΐ. λϛ, 2), καὶ *ῥύσιν* (Ἰὼϐ λη, 25), καὶ *σύστημα* (ὕδατος· πρβλ. Γενέσ. α, 9). Εἶπον δὲ καὶ θάλασσαν ἰδίως τὸν ὀχετὸν, ὃν περὶ τὸ θυσιαστήριον Ἠλίας ἐποίησε (Γ. Βασιλ. ιη, 32, 35)· θάλασσαν γὰρ ἔλεγον τότε καὶ τὸν περὶ τὸ ἐκτὸς τοῦ ναοῦ θυσιαστήριον *νιπτῆρα* (ἐκ τοῦ ἑϐρ. Jam, ὃ κυρίως θάλασσαν, καὶ ποταμοῦ διώρυχα, κτλ. καὶ τοῦτον αὐτὸν σημαίνει τὸν *νιπτῆρα*. Γ. Βασιλ. ζ, 23, 39. Β. Παραλειπομ. δ, 2) (ϐ). Τὸ δὲ *ἄκαν*, ἄκανος, ὁ, ἀντὶ τοῦ «*ἀχοὲ*» φαίνεται καὶ γελοῖον· Ὁ ἄκαν ὑπάρχει λέξις ἀρχαία ἑλληνικὴ (ἐκ τοῦ ἀκὴ, ἀκὰ), ὅθεν καὶ ἡ ἄκαινα (ἀντὶ ἄκανα), καὶ ἡ ἄκανθα. Τοῦτο σημαίνει καὶ τὸ *ἀχοὲ* (γ). — γ) Τὸ ὠφέλησα (ἀντὶ *ὠφείλησα*) ὑπάρχει παλαιὰ γραφὴ, ἣν καὶ Φίλων ἀνέγνω (τόμ. α, σελ. 411, 412)· ἀλλ᾽ ὁ Ὠριγένης μαρτυρεῖ, ὅτι «ἐν τοῖς *ἀκριβεστάτοις* ἀντιγράφοις καὶ συμφωνοῦσι τοῖς ἑϐραϊκοῖς, ἐγράφετο «*Οὐκ ὠφείλησα*, οὐδὲ ὠφείλησέ με οὐδεὶς» (εἰς Ἱερεμ. ὁμιλ. ιδ). Εἰ δ᾽ ἔξεστί τι προσθεῖναι τούτοις, καὶ αὐτὸ τὸ *ὠφέλησα* (ὡς γράφεται ἐν τοῖς καθ᾽ ἡμᾶς ἀντιγράφοις) ἐτέθη (νομίζομεν) ἀντὶ τοῦ *ὤφλησα* (ὡς ἔχει καὶ ὁ Σύρος παρὰ Θεοδωρήτῳ εἰς Ἱερεμ. αὐτόθ.), ἐκ τοῦ ὄφλω. Καὶ γὰρ καὶ τὸ ὀφείλω (καὶ ποιητικ. ὀφέλλω) ἐκ τοῦ ἀχρήστου *ὀφέλω*, ὅθεν τὰ ἐν χρήσει ὄφελον, καὶ ὤφελον (ἀντὶ ὤφειλον), καὶ ὀφελήσω (ἀντὶ ὀφλήσω)· ὅθεν εἶπον καὶ οἱ Ο,

---

κον, καὶ ἀλλαχοῦ, πόλιν ὀχυρὰν (ἀκρόπολιν. Ἡσαΐ. κε, 2), οὐδαμοῦ δ᾽ ἀφῆκαν αὐτὸ τὸ ἑϐρ. armon. Πρόσθες, ὅτι καὶ ἄλλην λέξιν τὴν metsad, ἀκρόπολιν, καὶ ἕρκος, ἢ ὀχύρωμα δηλοῦσαν, οἱ Ο, σπήλαιον (= ἄντρον) ὑψηλὸν ἡρμήνευσαν (Ἡσ. λγ, 16)· καθότι καὶ τὸ σπήλαιον καὶ τὸ ἄντρον καθόλου δηλοῦσι τόπον ἀπόκρυφον καὶ περισκεπῆ, ἐν ᾧ τις λανθάνει, ἢ ὀχυροῦται ἀσφαλῶς.

(α) Θααλὰ ἔχει μόνη ἡ πρὸς τὸ ἑϐραϊκὸν ἐν πολλοῖς προσαρμοσθεῖσα Κομπλουτησία ἔκδοσις. Ὅθεν καὶ εἰς τὸ Θαλάν τινες ἔκριναν τρεπτέον, μηδὲν δέον, τὸ Γ· Βασιλ. ιη, Θάλασσαν· ἄλλοι δὲ διώρθουν Θαλσάν ! ! βλ. Schleusn. Thes. v. Θααλά.

(ϐ) Ὅθεν καὶ θαλασσίδιον ἐν τῷ ἱερῷ Εὐχολογίῳ τὸ ὑποκάτω τῆς ἁγίας Τραπέζης ἐμϐαδὸν, τὸ περὶ τὸν κίονα, τὸν ἀνέχοντα τὴν ἁγίαν Τράπεζαν.

(γ) Βλ. Sturz. de Dial. Maced. p. 144, καὶ Schleusn. Thes. v. Ἄκαν.

ὠφέλησα, καὶ ὁ Σοφοκλῆς συνθέτως, *ἐπωφέλησα* (α). – δ) Τὰς ὀλιγοσυλλάβους λέξεις οἱ Ο μετεχειρίσθησαν κατὰ τὴν χρείαν τοῦ λόγου. Εἰ δέ τινες τούτων λείπουσιν ἐν τῷ ἑβραϊκῷ, παρεῖναι δέον, ἐσφάλησαν οἱ Ἰουδαῖοι ἀντιγραφεῖς. Πολλαὶ τούτων τῶν λέξεων, καὶ μάλιςα ὁ *Καὶ*, λείπουσιν ἐκ τοῦ ἑβρ. εὑρίσκονται δὲ ὅμως καὶ ἐν τῷ κειμένῳ τῷ Σαμαρειτανῷ (β). Καὶ τὸ *Κύριε* προσέθηκαν οἱ Ο, ὡς ἐπεξηγηματικὸν τοῦ *Ἀδωναΐ*, τηρήσαντες καὶ τὴν φωνὴν διὰ σέβας, ἑρμηνεύσαντες δὲ καὶ τὴν δύναμιν αὐτῆς. — ε) Τὸ δὲ καὶ τοὺς ἀντιγραφεῖς τῆς ἑρμηνείας ὑποδεῖν ὃν παντὶ ποδὶ προχείρως ἐφαρμόζουσι κόθορνον τῆς *διασκευῆς*, πολλὴν ἀδικίαν ἐμφαίνει τῶν κριτικῶν· *δικαιότεροι* δ᾽ ἂν ἦσαν, εἴπερ ὡμολόγουν τὴν ἀβλεψίαν τῶν ἰουδαϊκῶν μεταγραφέων, οἵτινες παρεῖδον πάμπολλα τοῦ κειμένου « λημῶντες κολοκύνθαις »! οἱ δὲ Μασορῖται συνέῤῥαπτον ἔπειτα τὰ διεῤῥωγότα *ῥάμμασι σκυτίνοις*. Τίς ἂν φρένας ἔχων πεισθείη, ὅτι οἱ μεταγραφεῖς ἀντέγραφον ἅμα, καὶ ἀμφεπονοῦντο περὶ διασκευάς; Ποῖοι δέ τινες ἦσαν οὗτοι; Ἰουδαῖοι ἑλληνισταί; Ἀλλ᾽ ἀνανεύουσι πάντες, οἵ τε ἄλλοι, καὶ αὐτοὶ οἱ ῥαββινίζοντες κριτικοί, πιστοὺς μέχρι κεραίας, καὶ σφόδρα προσεκτικοὺς περὶ τὴν γραφὴν τῶν θείων λόγων ἐθέλοντες τοὺς Ἰουδαίους. Ἦσαν οὖν Χριστιανοὶ οἱ διασκευαστῆρες οὗτοι μεταγραφεῖς; ἧπου γε (φασί)· καὶ Φράγκελος μακρόθεν ἐπινεύει σεσηρώς. Ἀλλ᾽ ἡμεῖς αὐτοῖς αὐτοῦ τοῖς λόγοις μηλοβολήσομεν τὸν ῥαββίν. Οὐ γὰρ ἔλεγεν οὗτος μικρῷ πρόσθεν, ὅτι ἄρα οἱ Χριστιανοὶ ὀλίγα τινα χωρία τῆς Γραφῆς παρεμόρφωσαν, δύω μόνα (βλ. ὄπισθ. σελ. 858), κωλυόμενοι ὑπὸ τοῦ πλήθους τῶν ἑβραϊκῶν καὶ ἑλληνικῶν ἀντιγράφων; Πῶς οὖν οἱ ἀντιγραφεῖς διεσκεύαζον ἐπ᾽ ἀδείας ἕκαστος τὰ δοκοῦντα, μηδόλως ἐνθυμούμενοι τῶν γνησίων χειρογράφων τὰς μυριάδας;

(α) « Δῶρον, ὃ μήποτ᾽ ἐγὼ ταλακάρδιος ἐπωφέλησα ἐξελέσθαι » Σοφοκλ. Οἰδ. Κολ. 541. βλ. καὶ Ῥειμέρ. Ἑλληνογερμ. Λεξικ. Ὥστε περιττῶς ὁ Καπέλλιος διορθοῖ τὸ ὠφέλησα τῶν Ο, εἰς τὸ ὤφλησα (Cappell. Crit. Sacr.).

(β) Εἰς πλείους τῶν 300 τῆς Γενέσεως τόπους ἐν τῷ Σαμαρειτανῷ προστίθεται, ἢ ἀφαιρεῖται τὸ γράμμα waw (ὃ σημαίνει καὶ τὸν Καὶ), ἐν οἷς τὸ ἑβραϊκὸν καὶ κατὰ τοῦτο διαφέρει· βλ. Dathe, praefat. in Walton. Prolegom. p. 48.

Κἀκεῖνο δὲ ποιοῦσι παράδοξον. Ἵνα μὴ διομολογήσωσι τῶν Ἰουδαίων ἀντιγραφέων τὴν χάσμην, προτιμῶσι μᾶλλον τὸν θεόπνευστον Προφήτην ἀποδεῖξαι ῥεμβόμενον καὶ ἄστατον, νῦν μὲν *ἑπτὰ* τὰ ἔθνη γράφοντα διωρισμένως (α), νῦν δὲ πάλιν *ἕξ*, καὶ αὖθις *πέντε*· καὶ νῦν μὲν κιβωτὸν *τῆς διαθήκης*, καὶ σκηνὴν *τοῦ μαρτυρίου*, νῦν δὲ μόνον *σκηνὴν*, καὶ *κιβωτὸν* (καί τοι δέον προσγράφειν καὶ τὸ γνώρισμα τῆς κτητικῆς γενικῆς). Ἔπειτα σφόδρα πτερόεις ἐφάνη κἀν τούτοις ὁ κάλαμος τοῦ κριτικοῦ. Πολλάκις γὰρ καὶ οἱ Ο, *σκηνὴν* γράφουσι καὶ *κιβωτὸν* ἁπλῶς (ὡς ἔχει καὶ τὸ ἑβραϊκὸν), ὅπου δῆλον ἐκ τῶν ἡγουμένων καὶ ἑπομένων, ὅτι τὴν κιβωτὸν *τῆς διαθήκης*, καὶ τὴν σκηνὴν τοῦ *μαρτυρίου* σημαίνει ὁ λόγος (βλ. Ἐξόδ. κεφ. κε, κϛ, λ, καὶ ἀλλαχοῦ πολλαχοῦ). Ὅπου δὲ πρὸς σαφήνειαν, ἢ ἔμφασιν ἐχρῆν, προστίθεται καὶ ἡ γενική· οἷον « Ποιήσεις κιβωτὸν *μαρτυρίου*, (Ἐξόδ. κε. §. 10. πρβλ. καὶ §. 16, ὅπου λείπει τὸ *μαρτύριον* ἐκ τοῦ ἑβραϊκοῦ), καὶ κιβωτὸς *διαθήκης* (Ἐξόδ. κε, 15: ὅπου λείπει καὶ τὸ *διαθήκης* ἐκ τοῦ ἑβρ.). Οὕτω καὶ ἐπὶ *τῆς σκηνῆς*, κτλ. Πρόσθες, ὅτι καὶ τὸ Σαμαρειτανὸν συμφωνεῖ τοῖς Ο, κατὰ ταῦτα· διαφωνεῖ δὲ τὸ ἑβραϊκόν. Ἀλλ᾽ οὐδὲ περὶ τῶν τόπων, τῶν παραλειφθέντων δῆθεν ὑπὸ τῶν ἀντιγραφέων τῆς ἑρμηνείας ἀληθεύουσιν οἱ κριτικοὶ (βλ. ὄπισθ. σελ. 880). Τὸ μὲν γὰρ ἐν Γενέσ. α, 27, αὐτὸ καθ᾽ ἑαυτὸ δείκνυσι πλάνην παλαιὰν Ἰουδαίου ἀντιγραφέως, γράψαντος τὸ « *κατ᾽ εἰκόνα* » δίς. « Καὶ ἐποίησε (φησίν) ὁ Θεὸς τὸν ἄνθρωπον *κατ᾽ εἰκόνα* αὐτοῦ. κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν » (οὕτω διπλασιάζουσι καὶ Ἀκύλας, καὶ Θεοδοτίων). Ἀλλ᾽ ὅσον μὲν ἀηδὴς ἡ παλιλογία, πρόδηλον· πολὺ δ᾽ ἁπλούστερον καὶ φυσικώτερον τὸ τῶν Ο. « Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν ». Οὕτως ἀνέγνω καὶ Φίλων (τόμ. α. σελ. 653), ὁ σύγχρονος τοῖς θείοις Ἀποστόλοις· μετὰ δὲ τούτων πάντως καὶ Ἰουστῖνος ὁ μάρτυς (Διαλόγ.

---

(α) « Ἑπτὰ ἔθνη ». Δευτερ. ζ. 1. οἱ Ο, καὶ τὸ ἑβρ. Ἑπτὰ παρὰ τοῖς Ο καὶ Ἐξόδ. γ, 8 (ὅπου τὸ ἑβρ. ἕξ), καὶ Ἐξόδ. ιγ, 5, (ὅπου τὸ ἑβρ. πέντε), κτλ. βλ. καὶ ὄπισθ. σελ. 291.

πρὸς Τρύφ. §. 62), καὶ Κλήμης, καὶ Ὠριγένης (περ. Ἀρχῶν τ. α, σελ. 152), καὶ πάντες οἱ ἀρχαῖοι Πατέρες. Συνάμα δὲ τῷ Φίλωνι, καὶ πρὸ αὐτοῦ δὲ πάντως, ἅπασα τῶν αὐτῷ συγγενῶν ἑλληνιςῶν ἡ Συναγωγὴ, παρ' ἧς καὶ αὐτὸς παρέλαβε τὰς Γραφάς. — Τὸ δὲ *ἀναμέσον ἐμοῦ, καὶ ἀνὰ μέσον σοῦ* » (Γενέσ. ιζ. §. 10) ἔχει Φράγκελος, καθὼς ἐπιθυμεῖ, ἔν τε τῷ Ἀλεξανδρινῷ κώδηκι, καὶ ἐν ἄλλοις, (βλ. ἔκδ. Βώς), καὶ ἐν αὐτῷ τῷ Βατικανῷ (αὐτόθ. §. 2, καὶ §. 10)· ὁ δὲ πρὸς ταῦτα μύσας τοὺς ὀφθαλμοὺς, ἰλλώπισε μόνον πρὸς τὸ 7 ἐδάφιον τοῦ Βατικανοῦ (ὅπου λείπει ἐκπεσὸν τὸ *ἀναμέσον ἐμοῦ*), δεικνύων ἐκ τούτου τοὺς ἀντιγραφεῖς τῆς ἑρμηνείας καθόλου πεπλανημένους. ϛ) Τελευταῖον πανηγυρίζουσιν ἐν *σάλπιγξιν ἐλαταῖς* τὰ περὶ τὴν ὀρθογραφίαν ἔν τισι φωναῖς παροράματα τῶν ἀντιγραφέων. Καὶ ἡμεῖς ὁμολογοῦμεν, ὅτι οὐ μόνον ἐν τῇ Παλαιᾷ Διαθήκῃ, ἀλλὰ καὶ ἐν τῇ Καινῇ, πολλοὶ κώδηκες ἔχουσί τινας ἀνορθογραφίας· διότι πάντες οἱ Ἕλληνες ἀντιγραφεῖς οὐκ ἦσαν ἀναμάρτητοι, καθὼς οἱ Ἰουδαῖοι (!). Ἀλλὰ τὰ τοιαῦτα παροράματα διορθοῦνται καὶ διὰ τῆς παραλλήλου τῶν διαφόρων ἀντιγράφων ἀντιβολῆς, καὶ ἐκ τῶν παρὰ τοῖς ἱεροῖς Πατράσι σῳζομένων συμφώνων ἀναγνώσεων, καὶ δι' ἄλλων μέσων προσηκόντων πρός τε τὴν ἁγιότητα, καὶ τὸ σέβας, καὶ τὴν ἀδιάλειπτον ἐν τῇ Ἐκκλησίᾳ χρῆσιν τῶν θείων Γραφῶν. Καὶ αὐτῶν δέ τινες τῶν Εὐρωπαίων κριτικῶν, συνετοὶ καὶ μετριόφρονες, ἐξέδωκαν σημειώσεις τῶν ἐν τοῖς διαφόροις ἀντιγράφοις ἐμφερομένων ὀρθογραφικῶν παροραμάτων (α). Ὅσοι δὲ, κατὰ τὸν Φράγκελον, ἐξελέγχουσι καὶ τὰ κουφότατα τῶν τοιούτων παροραμάτων, καὶ ταῦτα μεγεθύνουσι, «διϋλίζοντες τὸν κώνωπα », καὶ περὶ σκιᾶς σκνιπὸς στενολεσχοῦντες, ὤφειλον γοῦν ἐν τούτοις ἀκριβέστερον προσέχειν τὸν νοῦν. Ἀλλ' ὁπότε πταίουσιν ἐν πταίσμασι, γράφοντες παράτονα, οἷον « *γένεσθε, ἀντὶ γένεσθαι* (ἤθελε γράψαι, *γενέσθε*, ἀντὶ *γενέσθαι*), καὶ εἴ τι ἄλλο τοιοῦτο, προστιθέασι δὲ καὶ τὰς ἐξ ἑαυτῶν ἀνορθογραφίας

(α) L. Bos in edit. τῶν LXX. proleg. cap. 2. — Breittinger in Edit. LXX. Tom. 3. praefat.

γράφοντες κατ᾽ *εἴκονα*, *καὶ γίγοντα*, *καὶ ἀλλοφωνοὺς*, *ἀλλογλωσοὺς*, *καὶ καίρον*, *καὶ κρίων* (κριῶν), *καὶ τύφλον*, *καὶ τύφλους*, καὶ ἄλλα (ἐν οἷς, ἴσως, ἡ περὶ τὴν τύπωσιν ἀβλεψία τὸ πλεῖστον ὑπαίτιος), ἢ καὶ, ἔτι τολμηρότερον, μεταποιοῦσι τὰς λέξεις καὶ διορθοῦσιν, οἷα προείδομεν (ὄπισθ. σελ. 777), τοιοῦτοι, λέγομεν, διορθωταὶ, καὶ τὰ ἐσφαλμένα παραφθείροντες καὶ τὰ ὀρθὰ διαςρεβλοῦντες, πῶς ἂν ἔπειτα πιστευθεῖεν, εἴτε τοῦ ἑλληνικοῦ, εἴτε καὶ αὐτοῦ τοῦ πολυαμαρτήτου ἑβραϊκοῦ κειμένου φάσκοντες εἶναι ἰατροὶ σοφοί!

§. ιθ. Θ) Ἔννατον καὶ τελευταῖον αἴτιον τῆς διαφορᾶς θεωροῦσι τὴν, ἣν λέγουσι, διόρθωσιν τῆς ἑρμηνείας τῶν Ο πρὸς τὸ κείμενον τὸ Σαμαρειτανόν. Εἴδομεν ἐν τοῖς προηγηθεῖσι (σελ. 596) τὸν ἀμενηνὸν ὄνειρον ἐπισήμων τινων κριτικῶν, οἵτινες ἔκριναν τὴν ἑρμηνείαν τῆς Πεντατεύχου γενομένην οὐκ ἀπὸ τοῦ Ἑβραϊκοῦ κειμένου, ἀλλ᾽ ἐκ τοῦ Σαμαρειτανοῦ. Οἱ δὲ περὶ τὸν Ὀττιγγῆρον μετριάζοντες, ἑρμηνείαν μὲν οὐχὶ, διόρθωσιν δὲ μόνον τῶν Ο πρὸς τὸ Σαμαρειτανὸν ἐπρέσβευσαν ἐπιτηδευθεῖσαν. Καὶ ἀριθμοῦσιν 160 τόπους τοῦ Σαμαρειτανοῦ συμφωνοῦντας ἀκριβῶς τοῖς Ο, ἐν οἷς διαφέρει παντάπασι τὸ ἑβραϊκόν (α).

*Ἀπαντῶμεν.*

§. κ. Βραχὺς ὁ λόγος. Τὴν γνώμην ταύτην ἀναιροῦσι καὶ ἱςορικαὶ καὶ κριτικαὶ δείξεις ἀναντίῤῥητοι. α) Τὸ Σαμαρειτανὸν συμφωνεῖ μὲν ἐν πολλοῖς πρὸς τοὺς Ο, συμφωνεῖ δὲ πολλαχοῦ καὶ πρὸς τὸ καθ᾽ ἡμᾶς ἑβραϊκόν· ἐν ἄλλοις δὲ πάλιν ἑκατέρων παρασάγγας ὅλους ἀπέχει. Διὰ τί κἀν τούτοις οὐ διώρθωται ἡ ἑρμηνεία τῶν Ο; — β) Οἱ Ο συμφωνοῦσι πρὸς τὸ ἑβραϊκὸν, καὶ ἐν οἷς τὸ Σαμαρειτανὸν διαφωνεῖ. — γ) Πολλὰ τῶν παρὰ τοῖς θείοις Ἀποςόλοις ἐν τῇ Καινῇ Διαθήκῃ κατὰ τοὺς Ο γεγραμμένων προφητικῶν ῥητῶν συμφωνοῦσιν οὐ πρὸς τὸ Σαμαρειτανὸν, ἀλλὰ πρὸς τὸ

(α) Hottinger, Thes. pag. 296—306. Τοιοῦτό τι καὶ Τσίπλερος φαίνεται ὑπονοῶν. Τὴν πρὸς τὸ Σαμαρειτανὸν ὁμοιομορφίαν πολλῶν χωρίων τῶν Ο, διέγραψε καὶ Gesenius in Comment. de Pentateuchi Samaritani origine, indole ac auctoritate. Halae. 1815.

ἑβραϊκόν. Ἔστι δ᾽ ἃ συνᾴδουσι καὶ πρὸς ἀμφότερα τὰ κείμενα.— δ) Τοῦτ᾽ αὐτὸ παρατηρεῖται καὶ ἐν ὅσοις γραφικοῖς χωρίοις μνημονεύουσι Φίλων, καὶ Ἰώσηπος, καὶ οἱ ἀρχαιότατοι τῶν θείων Πατέρων τῆς Ἐκκλησίας. Ὥστε ἡ λεγομένη διόρθωσις ἐγένετο λοιπὸν κατὰ τοὺς πρὸ Χριστοῦ Σωτῆρος χρόνους, ὁπότε μυριάδες ἀντιγράφων ἀνεγινώσκοντο πολλαχοῦ τῆς Οἰκουμένης παρὰ τῶν ἐχθίστων τοῖς Σαμαρείταις Ἰουδαίων Ἑλληνιστῶν· ὅπερ ἦν ἀδύνατον(α). — ε) Καὶ αὐτὰ τῶν τριῶν ἑρμηνευτῶν (Ἀκύλα καὶ Συμμάχου καὶ Θεοδοτίωνος) τὰ σωζόμενα λείψανα συμφωνοῦντα πολλαχοῦ τοῖς Ο, διαφωνοῦσι πρὸς τὸ Σαμαρειτανόν.—ϛ) Ὁ Ὠριγένης, καὶ μετ᾽ αὐτὸν Λουκιανὸς καὶ Ἡσύχιος, ἐξέδωκαν τὴν ἑρμηνείαν τῶν Ο, παραβαλόντες οὐ πρὸς τὸ Σαμαρειτανὸν, ἀλλὰ πρὸς τὸ ἑβραϊκόν. — ζ) Ὁ ἱερὸς Ἐπιφάνιος διαλαμβάνων περὶ τῶν ὑπ᾽ Ὠριγένους εἰς τὴν ἑρμηνείαν τῶν Ο κατηστερισμένων ἐκ τοῦ ἑβραϊκοῦ (κατὰ τὸν Θεοδοτίωνα) προσθηκῶν, ἐπιφέρει· «Ἵνα μὴ παραλείψῃ (Ὠριγένης) *Ἰουδαίοις καὶ Σαμαρείταις* ἐπιλαμβάνεσθαι τῶν ἐν ταῖς ἁγίαις Ἐκκλησίαις θείων Γραφῶν» (περὶ Μέτρ. καὶ Σταθμ. §. 2). Μαρτυρεῖ λοιπὸν καὶ ὁ Πατὴρ διαφέρουσαν ἐν πολλοῖς τοῦ Σαμαρειτανοῦ τὴν ἑρμηνείαν τῶν Ο. — Πόθεν οὖν πάλιν ἡ ἐν πολλοῖς ἐπισημοτάτη τῶν Ο συμφωνία μὲν πρὸς τὸ Σαμαρειτανὸν, διαφωνία δὲ πρὸς τὸ καθ᾽ ἡμᾶς ἑβραϊκόν; Οὐ Σφιγγὸς τὸ αἴνιγμα· ῥάστη δὲ καὶ πρόχειρος ἡ ἐπίλυσις αὐτοῦ. Τὸ ἑβραϊκὸν κείμενον, ἐξ οὗ, καὶ καθ᾽ ὃν χρόνον οἱ Ο μεθηρμήνευσαν τὰς Γραφὰς, ὑπῆρχε σύμφωνον καὶ ταυτὸν πρὸς τὸ τῶν Σαμαρειτῶν (ὅπερ κατ᾽ ἀρχὰς διέφερε τοῦ ἑβραϊκοῦ μόνον κατὰ τὴν ἀρχαίαν τῶν γραμμάτων μορφὴν, περὶ ὧν προείπομεν, σελ. 190). Καὶ συνεφώνει ἄρα καὶ ἡ ἑρμηνεία πρὸς ἀμφότερα τὰ κείμενα (β). Μαρτυ-

(α) Βλ. Dathe praefat. in Walton. Prolegom. pag. 50.

(β) Καὶ ὁ Τοίπλερος ἀναγκαζόμενος ὑπὸ τῆς πρὸς τὸ Σαμαρειτανὸν συμφωνίας τῶν Ο, τοιοῦτό τι φαίνεταί πως ὑπενδιδούς. «Εἰ μή που (λέγει) τὸ ἑβραϊκὸν ἀρχέτυπον, ἐξ οὗ ἑκάτεροι (οἵτε Ο, καὶ ὁ τοῦ Σαμαρειτανοῦ ἐκδότης), ὡς ἀπὸ πηγῆς, τὰ ἑαυτῶν ἠρύσαντο, τὰς αὐτὰς περιεῖχεν ἀναγνώσεις» κτλ. (Toepler l. c. p. 2). Ἀλλὰ τὸ ἑβραϊκὸν ἀρχέτυπον ὑπῆρχε τὸ αὐτὸ καὶ τὸ Σαμαρειτανὸν, ὡς προείπομεν·

ροῦσι δὲ τὴν μὲν πρὸς τὸ ἑβραϊκὸν αὐτῆς συμφωνίαν Φίλων καὶ Ἰώσηπος. Τὴν δὲ πρὸς τὸ Σαμαρειτανὸν, αὐτὰ τὰ ἐν αὐτῷ σωζόμενα πάμπολλα τεκμήρια. Ἐπειδὴ δὲ καὶ τὸ ἑβραϊκὸν μετὰ τὴν ἅλωσιν ἐν πολλοῖς διεφθάρη, καὶ τὸ Σαμαρειτανὸν ἴσως καὶ πρὸ τῆς ἁλώσεως, ἐντεῦθεν πάλιν ἡ πρὸς τοὺς Ο διαφωνία τοῦ τε Σαμαρειτανοῦ καὶ τοῦ ἑβραϊκοῦ, καὶ τούτων αὖθις πρὸς ἄλληλα.

§. κα. Ταῦτα πρὸς ἃς καταλέγουσιν αἰτίας τῆς πολλῆς τῶν Ο πρὸς τὸ νεωτερικὸν ἑβραϊκὸν διαφορᾶς οἱ σοφοὶ κριτικοί (α). Τὸ μὲν οὖν συνιέναι καὶ λογίζεσθαι τὰ βέλτιστα, λόγου δ' ἑρμηνέως ἀπορεῖν, « ἥμισύ (φασι) τ' ἀγαθοῦ », καὶ παρόμοιον πηγῇ ναμάτων διαυγῶν, ὑπὸ σήριγγας λανθανόντων, καὶ φανερὰς οὐκ ἐχόντων ἀποῤῥοάς. Τὸ δὲ τὰ χείριστα λογιζομένους, δύναμιν ἔχειν λόγου προφορικοῦ, καὶ πλήθει καὶ κάλλει ῥημάτων περιπέττειν τὴν μοχθηρίαν τῶν ἐννοιῶν, τοῦτο δεινὸν, καὶ πέρα δεινοῦ. Πολλοὶ γὰρ ἑρμηνεῦσαι μὲν ἐγένοντο δυνατώτατοι, βουλεύσασθαι δὲ φαυλότατοι, καθάπερ οἱ σοφισταὶ, τὴν μὲν διάνοιαν ἄμουσοι καὶ ἄσοφοι γεγονότες, τοῖς δὲ φωνητηρίοις ὀργάνοις πάμμουσοι καὶ καλαμοβόαι. Καὶ τοιαύτη τις ἐφάνη, τὸ πλεῖστον, ἡ κατὰ τῆς ἑρμηνείας τῶν Ο ῥάγδην καὶ χύδην ἐπιβρίσασα κριτικὴ, παντοίαις εὑρεσιλογίαις τὴν ἀλήθειαν κατακλύζουσα. Τὰ μὲν γὰρ ἀντίγραφα τῶν ἑβραίων Γραφῶν, ἐξ ὧν οἱ Ο μεθηρμήνευσαν, ἁμαρτάδων μεστὰ παρέστησαν οἱ σοφοὶ, καὶ τὰ χείριστα καὶ φαυλότατα βιβλίων ἁπάντων, ὧν ποτε χεῖρες ἀνθρώπων ἔγραψαν ἐπὶ γῆς. Αὐτοὺς δὲ τοὺς Ο παντάπασιν ἀδαεῖς, ἢ ἀγροικοσόφους, μικρά τινα τῆς ἑβραΐδος ἐπαΐοντας γλώσσης, καὶ ταῦτα μέντοι κακοὺς κακῶς· καὶ ξένων δὲ γλωσσῶν ἰδιωτισμοῖς τὰς ἑβραϊκὰς νοθίζοντας σημασίας, καὶ βέβηλόν τινα φιλοσοφίαν ἐγκαταμιγνύντας τοῖς θείοις λόγοις.

---

(α) Ὁ Ὀττιγγῆρος προστίθησι καὶ δεκάτην αἰτίαν ἐκείνην τοῦ Ζβιγγλίου τὴν κρίσιν· « Ὅτι δῆθεν οὐχ ἅπαντες οἱ ἑρμηνεῖς ἅμα συνειργάσαντο τὴν ἑρμηνείαν· ἀλλ' ἕτερος ἕτερον μέρος τῶν Γραφῶν διανειμάμενοι, μετέφραζον ἕκαστος κατ' ἰδίαν, ἄλλοι ἄλλως τὰς αὐτὰς λέξεις καὶ φράσεις ἑρμηνεύοντες », καὶ τὰ λοιπὰ τῆς παρανοίας ῥητὰ, ἅπερ ἐγράψαμεν ἐν τοῖς προηγηθεῖσι (σελ. 604).

Καὶ τούτοις μὴ ἀγαπήσαντες, ἐπενόησαν καὶ διασκευαστάς τινας καὶ ἐξισωτὰς, παντοίως ῥαδιουργοῦντας περὶ τὴν ἑρμηνείαν, μηδ' αὐτοὺς τοὺς ἑρμηνεῖς, μηδὲ τοὺς ἁπλοῦς ἀντιγραφεῖς ἀπολύοντες τοῦ μιάσματος, ἐν οἷς ἡ ἑρμηνεία φαίνεται πληρεστέρα τοῦ πεπηρωμένου καθ' ἡμᾶς ἑβραϊκοῦ· καὶ γλωσσημάτων δὲ, τέλος, πολὺν ἐπὶ τῆς ἑρμηνείας συνεφόρησαν σάρον, ἀσπαλάκων τυφλοτέρους εἰσάγοντες τοὺς ἀντιγραφεῖς. Ἐπειδὴ δὲ καὶ τὸ Σαμαρειτανὸν εὐαρμόστως πολλάκις πρὸς τὴν ἑλληνίδα συνᾴδει Γραφὴν, κᾀκεῖνο διεσκευασμένον καὶ παρέγγραπτον ἀπεφήναντο. Παρόμοια ποιοῦντες, ὡς καὶ εἴ τις τῶν φιλοκάλων ἔνθεν μὲν ἀρχαίαν βλέπων οἰκοδομὴν, καλὴν καὶ μεγάλην καὶ θαυμαστὴν ἰδεῖν, τῷ δὲ χρόνῳ βεβλαμένην, καὶ πολλὰ τῶν μερῶν περικεκαρμένην, καὶ τὸ τέλειον τῆς πρώτης καλλονῆς ἀποβεβληκυῖαν, σύννους ἀποθαυμάζοι· ἑτέρωθεν δὲ πάλιν ἄλλην ἀναβαίνουσαν καθορῶν, πρὸς τὴν πρώτην ἐκείνην, ὡς πρὸς ἀρχέτυπον ἀκριβῶς ἀπομεμιμημένην, καὶ τὸ κάλλος ἄτρωτον καὶ ἀνεπηρέαστον διασῴζουσαν, χρυσόστεγον καὶ ὑψίροφον, ὑπερῴοις μεγάλοις καὶ προδόμοις καὶ περιστύλοις καὶ παντοίαις ἀγλαΐαις κεκοσμημένην, τοιαύτην ταύτην βλέπων ὁ θεωρὸς, ἐπαινοίη μὲν εἰκότως, ἀλλ' ὅμως ἐπεσκευασμένην νομίζοι, καὶ κάλλεσιν ἠρτυμένην ὀθνείοις καὶ ἐπικτήτοις, καὶ πάντῃ παρηλλαγμένην τοῦ πρώτου παραδείγματος, πρὸς ὃ κατεσκεύασται. Ἐπειδὰν δὲ ταύτης οἱ παλαιοὶ καὶ σεμνότατοι φύλακες ἀκριβῶς αὐτὴν ἐκείνην εἶναι διαμαρτύρωνται, μηδεμίαν ἀλλοίωσιν προσλαβοῦσαν, καὶ μυρίαις μαρτυρίαις καὶ δείξεσιν ἀτρεκέσι τὸ πρᾶγμα πιστοποιῶσι, καὶ χαρακτῆρας δὲ τῆς ἀρχαιότητος ἄλλους τε δεικνύωσι πολλοὺς, καὶ παλαιὰν εἰκόνα τοῦ ἀρχετύπου, δηλοῦσαν, οἷον ὑπῆρχε κᾀκεῖνο, πρὶν ἢ πάθῃ τὴν συντριβὴν, ὁ δὲ γραφεὶς καὶ τὴν εἰκόνα λέγοι προσπεπλασμένην, καὶ τὰς μαρτυρίας ἀποβάλλοι, καὶ τῶν φυλάκων καταμωκώμενος, παντοίους λόγους ἀκόσμους ἐκχέοι, μόνοις τοῖς οἰκείοις ὡς ἀσφαλέσιν ἐπερειδόμενος λογισμοῖς. Τοιαύτην τινα καὶ περὶ τῆς ἑρμηνείας ἐξέδωκε κρίσιν ὁ πολύσοφος θίασος τῶν νεωτέρων κριτικῶν. Καίτοι μηδὲ πρὸς ἑαυ-

τοὺς ἐν πολλοῖς οἱ ἄνδρες ὁμοφωνοῦσι. Πεφύκασι γὰρ οἱ κατασοφιζόμενοι τὴν ἀλήθειαν πολεμίοις χρῆσθαι πολλάκις ταῖς ἑαυτῶν δυνάμεσι (καθά τις τῶν ἀρχαίων σοφῶν ἀπεφήνατο), καὶ λόγων ἐνθυμήμασι καὶ βουλευμάτων λόγοις ἀντιστατοῦντες, καὶ μηδαμῇ μηδαμῶς συνᾴδοντες πρὸς ἀλλήλους.

§. κϐ. Ἡμεῖς δὲ λίαν θαυμάζοντες, πῶς ποτε τοσοῦτοι δὴ καὶ τηλικοῦτοι σοφοὶ χαίρουσι λόγοις σοφωτέροις τῆς ἀληθείας ἐμματαιάζοντες, ἀγαπῶμεν ἃς οἴδαμεν ἀσφαλεστέρας, ὅσῳ καὶ προφανεστέρας, αἰτίας τῶν τῆς ἑρμηνείας πρὸς τὸ νεωτερικὸν ἑϐραϊκὸν διαφορῶν, καὶ ταύτας ὑπ᾽ ἀνδρῶν οὐχ ἧττον σοφῶν καὶ φίλων ἅμα τῆς ἀληθείας ἀνωμολογημένας· περὶ ὧν καὶ πρότερον σποράδην εἰπόντες, ἀθρόας αὐτὰς ἤδη καταλέγομεν. Εἰσὶ δὲ κυρίως αὗται. Α) Ἡ μετὰ τὴν ἅλωσιν τῶν Ἰουδαίων πολλαπλῆ τοῦ ἱεροῦ κειμένου τῶν ἑϐραϊκῶν Γραφῶν διαστροφὴ καὶ κολόϐωσις, ἣν οὐδ᾽ ἂν αὐτοὶ ἀρνηθεῖεν οἱ μετριώτεροι τῶν πολεμίων τῆς ἑρμηνείας. Β) Ἡ πολλῶν ἑϐραϊκῶν φωνῶν ἀπηρχαιωμένων παντελὴς ἀκαταληψία, ἃς οἵ τε ῥαϐϐῖνοι (καθὼς εἰώθασι), καὶ αὐτοὶ οἱ ῥαϐϐινισταὶ στοχαστικῶς ἑρμηνεύοντες καὶ ἐξ εἰκασίας, ἀποπλανῶνται τῆς γνησίας αὐτῶν σημασίας. Γ) Ἡ συνήθης τῆς ἑϐραϊκῆς γλώσσης ἐκ μόνων συμφώνων καὶ δίχως φωνηέντων (ὡς ἐπὶ τὸ πλεῖστον) γραφὴ, καθ᾽ ἣν ἐπὶ τῶν αὐτῶν συμφώνων ἄλλων ἄλλοτε φωνηέντων ἔξωθεν ὑπακουομένων, ποικίλλεται παντοίως ἡ σημασία (ὡς ὁπόταν γράφωσι ΔΒΡ, καὶ προφέρουσι νῦν μὲν *Δαϐὰρ*, λόγος, νῦν δὲ *Δεϐὲρ*, λοιμὸς, νῦν δὲ *Δεϐὶρ*, ἄδυτον, ἢ χρηστήριον, νῦν δὲ *Δοϐὲρ*, λέγων, νῦν δὲ *Δεϐδρ*, λέγειν, νῦν δὲ *Δαϐοὺρ*, λεχθὲν, νῦν δὲ *Δαϐὰρ* (α, βραχὺ), ἔλεξε, κτλ.). Ἐκ δὲ τοῦ τοιούτου τρόπου τῆς ἀναγνώσεως τῶν ταυτοσυμφώνων λέξεων παρερμηνεύθησαν παρὰ τοῖς ὑστέροις ἑρμηνεῦσι καὶ ῥαϐϐίνοις πολλά (α).

---

(α) **Βλ. Morini Lib. I. Exercit. IV. cap. IV. pag· 101 — 143.** Γένοιτο δ' ἂν τὸ πρᾶγμα φανερώτερον καὶ ἐκ παραδείγματος ἑλληνικοῦ. Θῶμεν γὰρ τρία σύμφωνα τὰ ΚΡΣ, χωρὶς φωνηέντων γεγραμμένα. Ἐκ ταύτης οὖν τῆς τρισυμφώνου γραφῆς, ἄλλοτε ἄλλου φωνήεντος ἐπιτιθεμένου, σχηματίζονται λέξεις περί-

Δ) Ἡ διαφορὰ τῆς ἐπὶ τῶν Ο τῶν ἑβραϊκῶν φωνῶν γραφῆς καὶ προφορᾶς, καὶ τῆς ὑπὸ τῶν Μασοριτῶν διὰ τῶν ἐγγράφων τόνων διορισθείσης· ὡς ἀποδεικνύουσιν ἄλλα τε πολλὰ, καὶ τὰ κύρια ὀνόματα, οἷον *Εὔα*, *Μαθουσάλα*, κτλ. κατὰ δὲ τοὺς Μασορίτας, *Χαυὰ*, *Μετουσαλὲχ*, κτλ. Ε) Ἡ διὰ τὴν ςενότητα τῆς γλώσσης πλείςων λέξεων πολυσήμαντος δύναμις. Ἐν δὲ τοῖς τοιούτοις ὁμωνύμοις ἄλλην σημασίαν ἐξηγησάντων τῶν Ο, ἄλλην ἐξήγησαν οἱ ῥαββῖνοι. Ὅτι δὲ πολὺ τῶν πολλῷ μεταγενεστέρων Χαλδαίων ἀκριβέστερον διέκριναν τὰς καταλλήλους σημασίας οἱ ζώσης ἔτι τῆς ἱερᾶς γλώσσης (παρὰ τοῖς σοφωτέροις μάλιστα), καὶ τῆς γνησίας περὶ τὴν ἐκφώνησιν παραδόσεως, ἀκμάσαντες Ο, πρόδηλον. Ϛ) Τὰ πολλὰ καὶ ποικίλα σφάλματα τῶν Ἰουδαίων ἀντιγραφέων, καὶ ἡ πάντων τῶν ἀρχαίων ἑβραϊκῶν ἀπογράφων παντελὴς παρὰ τοῖς Ἰουδαίοις ἔκλειψις. (οὐδὲν γὰρ ἔχουσιν ἀντίγραφον παλαιότερον τοῦ δεκάτου αἰῶνος μ. Χ.). Ζ) Ἡ ἑλληνικὴ διάλεκτος, καθ' ἣν οἱ Ο μεθηρμήνευσαν τὰς Γραφὰς, σπουδάζοντες εἶναι χρήσιμοι καὶ καταληπτοὶ τῷ τε πλήθει τῶν ἐν πολλοῖς εἰσέτι ἑβραϊζόντων ἑλληνιςῶν Ἰουδαίων, καὶ τοῖς τούτων σοφωτέροις. Ταύτης δὲ τῆς διαλέκτου τὴν ὅλην ὑφὴν, καὶ ἰδίως δὲ πολλῶν τῆς Μακεδονιζούσης διαλέκτου συνήθων τότε φωνῶν τὴν σημασίαν καὶ χρῆσιν ἀγνοήσαντες πολλοὶ τῶν κριτικῶν, ἔπλασαν ἀνυπάρκτους τῆς ἑρμηνείας πρὸς τὸ ἑβραϊκὸν διαφοράς. Η) Ἡ τῶν τότε ἱερῶν κωδήκων περὶ τὴν τάξιν τῶν βιβλίων καὶ κεφαλαίων πρὸς τοὺς μετὰ ταῦτα ῥαββινικοὺς κώδηκας (καὶ τοὺς ἐπ' αὐτοῦ τοῦ Ὠριγένους ἔν τισι) διαφορὰ, δι' ἣν εὑρίσκουσι τοσαύτας μεταθέσεις καὶ χωρίων, καὶ κεφαλαίων, καὶ βιβλίων παρὰ τοῖς Ο, ἐναντίως τῇ τάξει τοῦ

---

που τριάκοντα. οἷον· ΚάΡαΣ (τὰς, ἐκ τοῦ κάρα, ἡ), ΚαΡὶΣ, ΚαΡὸΣ, (Κὰρ), ΚάΡοΣ, ΚέΡαΣ, ΚεΡαὸΣ, ΚεΡὰΣ (κεράω), ΚεΡαῒΣ, ΚηΡὸΣ, ὁ, ΚηΡὸΣ (γενικὴ τοῦ κὴρ), ΚῆΡοΣ (κῆρ, κέαρ), ΚαιΡὸΣ, ΚαῖΡοΣ, ΚεῖΡιΣ, ΚείΡαΣ (κείρω), ΚόΡοΣ, ΚόΡαΣ (τὰς), ΚόΡιΣ, ΚόΡυΣ, ΚοῦΡοΣ, ΚΡᾶΣ, ΚΡῆΣ, ΚΡὴΣ, ΚΡέαΣ, ΚΡιὸΣ, ΚῦΡοΣ, ΚυΡὸΣ, ΚύΡιοΣ, ΚυΡίωΣ, κτλ. Ὅταν οὖν ἐν τοῖς τοιούτοις μικρὰ γένηται τοῦ προσήκοντος φωνήεντος παρεκτροπὴ, ποῖα καὶ πόσα σφάλματα παρέπονται περὶ τὴν ἔννοιαν τῆς λέξεως, πολλάκις δὲ καὶ τοῦ λόγου εἰς ὃν ἀνήκει, πρόδηλον τῷ μικρὸν ἐπιςήσαντι.

καθ' ἡμᾶς ἑβραϊκοῦ. Ἀπαντῶνται δὲ τοιαῦται μεταθέσεις ἐν τοῖς ἀπογράφοις τῶν Ο καὶ ἐν ἄλλοις τεύχεσι, καὶ μάλιστα ἐν τῷ τοῦ Ἱερεμίου. Ὅτι δὲ καὶ κατ' αὐτὸ τὸ νῦν ἑβραϊκὸν θεωροῦνται πολλὰ πρωθύστερα ἐν τοῖς κεφαλαίοις τοῦ θείου Ἱερεμίου, σεσημείωται παρὰ τοῖς κριτικοῖς. ὁμολογοῦσι δὲ καὶ οἱ ῥαββῖνοι (α). Ἀλλὰ τὰ περὶ τούτων ἐκτενέστερον ἐν τῷ Δ, βιβλίῳ. Θ) Ὁ ἱερὸς Ἐπιφάνιος φιλολογικώτερον θεωρῶν τὰς ἐν μέρει τότε τοῦ ἑβραϊκοῦ πρὸς τοὺς Ο διαφοράς, αἴτιον τούτων ἔκρινε τὴν περὶ τὸ σαφὲς καὶ τὸ πλῆρες μετὰ τοῦ εὐφραδοῦς σπουδὴν τῶν ἑρμηνευτῶν (β). Ἀλλὰ περὶ τούτου λέγομεν ἐν τῷ κεφαλαίῳ τῷ ἐφεξῆς. Ι) Ὡς ὁ μακάριος Ἐπιφάνιος, οὕτω καὶ ὁ ἱερὸς Αὐγουστῖνος τὴν διαφορὰν τῆς ἑρμηνείας καὶ ὡς ἐκ θείου βουλήματος ἔν τισι χωρίοις γενομένην διακηρύττει, λέγων. « Ἐν τῷ γὰρ αὐτῷ Πνεύματι καὶ οἱ Ο μεθηρμήνευσαν, ἐν ᾧ καὶ τὰ μεθερμηνευόμενα ἐρρέθησαν (ὑπὸ τῶν Προφητῶν), ὅπερ ἐξ αὐτῆς αὐτῶν τῆς κηρυττομένης θαυμαστῆς

---

(α) Βλ. Morin. l. c. p. 142.

(β) « Οἱ ΟΒ ἑρμηνευταὶ ἐξ Ἑβραίων ὁρμώμενοι, καὶ ἐξ ἁπαλῶν ὀνύχων τήν τε τῶν Ἑβραίων, οὐ μὴν ἀλλὰ καὶ [τὴν] τῶν Ἑλλήνων ἀκριβῶς πεπαιδευμένοι φωνήν, οὐ μόνον τὴν ἐκ τῆς ἑβραΐδος εἰς [τὴν] ἑλληνίδα ἡρμήνευσαν Γραφήν, ἀλλὰ καὶ τὴν ἐν τῇ ἑβραΐδι διὰ δισσολογίας ἐκφωνουμένην διάλεκτον, τῇ τρανότητι ἑρμηνεύοντες παρήγαγον » (καὶ φέρει παραδείγματα). « Ἀντὶ τοῦ εἰς δύω τόπους κεῖσθαι τὸ ὄνομα τοῦ ἔτους, ἑνὶ τόπῳ χρησάμενοι, τὴν δοκοῦσαν εἶναι βόμβησιν εἰς λειότητα μετέβαλον, φήσαντες. « Ἔζησε δὲ Ἀδὰμ τριάκοντα καὶ ἐννεακόσια ἔτη· οὔτε ἐλλειπές τι ποιήσαντες τῷ λόγῳ, ἀλλὰ καὶ εἰς τρανότητα κατέστησαν τὴν ἀνάγνωσιν, ὅπερ ἐν τῇ ἑβραΐδι οὐ δύναται διὰ τῆς ἑρμηνείας λέγεσθαι οὕτως, — οὔτε τῇ ἑλληνίδι. ὡς ὁ Ἀκύλας ἡρμήνευσεν ἐξ ἐπιπολῆς λέγων· « Ἔζησεν Ἀδὰμ ἐννεακόσια ἔτος, καὶ τριάκοντα ἔτος » — Καὶ πάλιν· « Ἀφ' ἑαυτῶν οἱ Ο τὰς λέξεις προσέθηκαν, οὐκ εἰς μάτην, ἀλλὰ μᾶλλον εἰς ὠφέλειαν· ταῖς γὰρ ἐλλιπῶς ἐχούσαις λέξεσι προστεθεικότες, εἰς σαφήνειαν τὴν ἀνάγνωσιν παρήγαγον. Ὥσθ' ὑπολαμβάνειν ἡμᾶς καὶ εὐμοίρους αὐτοὺς γεγενῆσθαι πνεύματος ἁγίου. Ὧν γὰρ οὐκ ἦν χρεία δισσολογεῖν, παρῆκαν, ὅπου δὲ χωλὸν ἐδόκει τὸ ῥῆμα εἶναι, εἰς ἑλληνικὴν διάλεκτον μεταφερόμενον, ἐκεῖ τὴν προσθήκην ἐποιήσαντο. Θαυμάσαι δ' ἔστιν ἐπὶ τούτῳ, καὶ μὴ τολμᾶν μέμψιν ἐπάγειν, ἀλλὰ μᾶλλον ἔπαινον, ὡς ἐκ βουλῆς Θεοῦ γεγενημένον συνιέναι τὸν εὐλαβῆ ». Ἐπιφ. π. Μέτρ. σελ. 159—161.

συμφωνίας ἐπικυροῦται. Καὶ τοίνυν παραλλάσσοντές τινα περὶ τὴν μετάφρασιν, καὶ μηδόλως ἀφιστάμενοι τοῦ βουλήματος τοῦ Θεοῦ (οὗ ῥήματα ἦσαν τὰ μεθερμηνευόμενα, καὶ ᾧ ταῦτα δουλεύειν ἔμελλον), οὐδὲν ἕτερον ἠθέλησαν ἀποδεῖξαι, ἢ τοῦτ' αὐτὸ ὅπερ θαυμάζομεν ἤδη κἀν τῇ τῶν Εὐαγγελιστῶν συμφώνῳ παραλλαγῇ » κτλ. (α). Τοιαῦτα καὶ ὁ μακάριος Ἱερώνυμος, λέγων· « Ὅπου δὲ πρόκειται ὁ ὀβελὸς, — ἐκεῖ σημαίνεται, ὅτι οἱ Ο προσέθηκαν, εἴτε χάριν εὐπρεπείας, εἴτε *κατὰ βούλησιν τοῦ παναγίου Πνεύματος* » κτλ. (β). Ἀλλὰ καὶ Ἱλάριος ὁ ἱερώτατος, « Πολλαχοῦ, φησι, τὰς παρὰ τοῖς Ο προσθήκας *πνεύματι γενέσθαι προφητικῷ*, ἵνα τὴν διάνοιαν ἡμῶν ἀπὸ τοῦ γράμματος ἀνυψῶσιν εἰς τὸ νόημα τὸ μυστικὸν, ἀπὸ τοῦ τύπου εἰς τὸ πρωτότυπον, ἀπὸ τῆς εἰκόνος εἰς τὴν ἀλήθειαν » κτλ. (γ). Καὶ ταῦτα μὲν περὶ τούτων. Ἤδη δὲ θεωροῦμεν συνοπτικῶς ἐν ἰδίῳ κεφαλαίῳ καὶ τὴν μέθοδον, ἥπερ

---

(α) S. August. De Consonnant. Evang. L. II. c. 66. Τοιαῦτα καὶ ἐν τοῖς De civ. Dei L. 18. c. 43. et De Doctrin. Christ. L. 2. p. 15 et Lib. c. 2. Ep. 8, 10, et Quaest. in Genes.

(β) S. Hieron. Praef. in 2 Paralip. Ὁ μακάριος Ἱερώνυμος προστίθησι καὶ ἄλλας δύω αἰτίας τῆς ἔν τισι μεταξὺ τῶν Ο καὶ τοῦ ἑβραϊκοῦ διαφορᾶς. α) Ὅτι παρέλιπόν τινα οἱ Ο, ἢ συνέκρυψαν, ἄλλως μεταφράσαντες, ἵνα μὴ δημοσιεύσωσι πρὸς τοὺς ἀπίστους τὰ τὴν ἔλευσιν τοῦ Σωτῆρος Χριστοῦ καὶ τὸ μυστήριον τῆς παναγίας Τριάδος ὑποδηλοῦντα. β) Σχολιάζων εἰς τὸ Ἱερεμ. ιζ. 1. « Ἡ ἁμαρτία Ἰούδα γεγραμμένη ἐν γραφίδι σιδηρᾷ. — Τοῦτο λέγει παρέλιπον οἱ Ο, φειδόμενοι τοῦ ἔθνους αὐτῶν » (S. Hieron. Comm. in Esai. c. 9. καὶ Hierem. l. c.). Ἀλλ' οὔτε τὸ τοῦ Ἱερεμίου παρέλιπον ἀνερμήνευτον οἱ Ο (κεῖται γὰρ ἐν τῇ Κομπλ. ἐκδόσει, καὶ παρὰ τῷ ἱερῷ Θεοδωρήτῳ ἑρμην. εἰς Ἱερεμ. ἀλλὰ καὶ παρ' Εὐσεβ. Εὐαγ. Ἀποδ. βιβλ. 10. ὅστις ὅμως λέγει « ὅτι εὗρε ταῦτα μετὰ παραθέσεως ἀστερίσκων ἐν τοῖς ἀκριβέσι τῶν παρὰ τοῖς Ο ἀντιγράφων) », καὶ οἱ Ο πιστῶς μεθερμήνευσαν ἁπάσας τὰς πολλαχοῦ τῶν θείων προφητῶν δικαίας κατὰ τῶν Ἰουδαίων ἀπειλὰς τοῦ Θεοῦ, μηδαμοῦ μηδὲν τῶν ὁμοφύλων φεισάμενοι. Ἔπειτα, πρὸς τί ἡ τῶν Ο φειδώ; μὴ γὰρ οἱ τούτων ὁμογενεῖς οὐκ ἀνεγίνωσκον ταῦτα ἐν αὐτοῖς τοῖς ἑβραϊκοῖς τεύχεσι τῶν θείων προφητῶν; Ὡσαύτως ἐξέφρασαν λαμπρῶς καὶ τὰς προκαταγγελλούσας τὰ τῆς θείας πίστεως μυστήρια φωνὰς τῶν προφητῶν, ὡς προείπομεν (σελ. 817). Ὥστε περιττότερα ταῦτα περὶ τῶν Ο φαίνεται φρονήσας ὁ μακάριος Ἱερώνυμος.

(γ) S. Hilar. Praefat. in Psalm. et in Psalm. 142, 143, 145.

οἱ Ο περὶ τὴν ἑρμηνείαν ἐχρήσαντο, ὡς ἐξετάζουσιν αὐτὴν οἱ παῖδες τῶν κριτικῶν (α).

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

### *Περὶ τῆς ἑρμηνευτικῆς μεθόδου τῶν Ο, φιλολογικὴ παρέκβασις.*

§. α. Τρεῖς εἰσι κυρίως αἱ τοῦ λόγου ἀρεταὶ, ἃς ὀφείλει κατορθοῦν ὁ μεταφραστής· *Ἀλήθεια*, καὶ *Σαφήνεια* (αὗται δύω πρώτισται, καὶ ἀναγκαιότεται, καὶ μάλιστα τοῖς τῶν θείων λόγων ἑρμηνευταῖς), καὶ τρίτη, *Εὐφράδεια*, οὐ μεμπτὴ καὶ αὕτη, καθ᾽ ὅσον διδάσκει, καὶ πρὸς τὴν ἀκρίβειαν τῆς ἐκφράσεως τὰ μέγιστα συντελεῖ. Τὴν μὲν οὖν ἀλήθειαν κατορθοῖ τις, ὅταν μεταφέρῃ πιστῶς καὶ ἀκριβῶς τὴν ἔννοιαν τοῦ κειμένου· τὴν δὲ σαφήνειαν, ὅταν σαφῆ καὶ τρανὴν ποιῆται τὴν ἑρμηνείαν· τὴν δὲ εὐφράδειαν, ὅταν φιλοτεχνῇ τὰ εἰκότα περί τε τὴν συνθήκην τοῦ λόγου, καὶ τὴν τῶν λέξεων ἐκλογήν· Καὶ σφάλλεται μὲν τοῦ παντὸς ὁ παραβαίνων τὰ σεμνὰ τῆς ἀληθείας θεσμὰ, παραφράζων καὶ πλατύνων τὸν λόγον (ἐν οἷς μὴ δεῖ), χάριν δῆθεν τῆς σαφηνείας (β). Ἐκπίπτει δὲ πάλιν τῆς σαφηνείας, καὶ πολλῷ γε μᾶλλον τῆς εὐφραδείας, ὁσάκις σπουδάζων περὶ τὸ κείμενον εἶναι πιστὸς, ἐκφράζει τὰς λέξεις δι᾽ ὀνομάτων ἀσαφῶν καὶ σκοτεινῶν, ἢ καὶ (χωρὶς ἀνάγκης) αὐτὰς ἀντιγράφει τοῦ κειμένου τὰς λέξεις, ἀνερμηνεύτους καταλιπὼν, ὡς ἔπραξεν ὁ Θεοδοτίων, αὐτὰς πολλαχοῦ τὰς ἑβραϊκὰς φωνὰς μεταγράψας γράμμασιν ἑλληνικοῖς. Γνωστὴ δὲ καὶ ἡ τοῦ δυσκόλου καὶ περὶ τὴν λέξιν κατεσκληκότος Ἀκύλα κακοζηλία, μὴ μόνον τὴν σαφή-

(α) S. Toepler l. c. p. 41, sqq. — H. Thiershij De Pentateuchi version. Alex. p. 21. sqq.

(β) « Τί γὰρ ὄφελος τρανὴν μὲν καὶ σαφῆ τὴν ἑρμηνείαν ποιεῖσθαι, ψευδῆ δὲ ἄλλως; ἀνάγκη γὰρ οὕτως ἐχόντων ἀπατᾶσθαι τὸν ἀκροατὴν, καὶ μεγίστην καρποῦσθαι συμφορὰν μετὰ ἀγνοίας καὶ ἀπαιδευσίας. Τί γὰρ, ἂν λέγῃ τῷ παιδὶ τρανῶς καὶ σαφῶς, δείξας τὸ ἄλφα στοιχεῖον, ὅτι ἐστι γάμμα, ἢ τὸ η, ὅτι ἐστὶν ω; κτλ. Φίλων Νόμων Ἀλληγορ. Γ. σελ. 111. τόμ. Α. Mang.

νειαν διαβολοῦσα, ἀλλὰ καὶ τὴν ἀκρίβειαν τοῦ ἑλληνισμοῦ διαφθείρουσα. Περιώνυμος δὲ τοῦ ἑλληνισμοῦ παραβάτης ἐκρίθη καὶ Σύμμαχος. Ἀλλὰ τῶν Ο μεγίστη μὲν ἡ περὶ τὴν σαφήνειαν σπουδὴ, παραπλησία δὲ καὶ ἡ περὶ τὴν εὐφράδειαν, ἔξοχος δὲ, τέλος, ἡ περὶ τὴν ἀκριβῆ καὶ πιστὴν ἀπόδοσιν τοῦ κειμένου.

§. β. Καὶ τῆς μὲν σαφηνείας δείγματα ταῦτα· Ὅτι τῇ κοινῇ τῶν κατ᾽ Ἀλεξάνδρειαν καὶ Συρίαν μακεδονιζόντων Ἑλλήνων ἐχρήσαντο διαλέκτῳ· καὶ ὅτι τὴν ἑρμηνείαν οὐχ οὕτω πολλῶν ἐπλήρωσαν ἑβραϊσμῶν (οἷς ἐχρῶντο μάλιστα οἱ τότε κατ᾽ Ἀσίαν ἑλληνίζοντες Ἰουδαῖοι), ὥστε καταστῆσαι τὴν κατάληψιν τῶν λεγομένων δυσχερῆ· καὶ ὅτι παρὰ τοῖς ἀσαφεστέροις καὶ ὑποζόφοις παρέθηκαν καὶ τὰ διαυγέστερα, διασαφοῦντες, ὅτε πάλιν ἐπανήρχοντο τὰ πράγματα τὰ αὐτά· καὶ τοὺς ἐξ ἀνάγκης εἰσπεπτωκότας ἑβραϊσμοὺς συνεκέρασαν, ἄλλως τε παντοίως, καὶ τὰ κύρια καὶ ξενικὰ ὀνόματα ἐξηγοῦντες, ἀπαιτούσης τῆς σαφηνείας, ὡς φανήσεται ἐκ τῶν ἐφεξῆς. Τῶν γὰρ ἐν τῇ Πεντατεύχῳ καὶ τοῖς λοιποῖς προφητικοῖς τεύχεσι μνημονευομένων κυρίων ὀνομάτων, τὰ μὲν ἦσαν τοῖς Ἕλλησι γνωστὰ, τὰ δὲ ἄγνωστα· καὶ τὰ μὲν ὑπῆρχον ἤδη καὶ κατὰ τὴν Ἑλλάδα φωνὴν ἐπεξενωμένα, φέροντα μορφὴν ἑλληνικήν· τὰ δ᾽ οὔπω μετεσχηκότα πολιτείας ἑλληνικῆς. Καὶ γνωστὰ μὲν ἦσαν ὀνόματα ἐθνῶν καὶ τόπων τῆς Ἀσίας πολλά. Ἐν δὲ τούτοις ὀρθῶς οἱ Ο προτετιμήκασι τοῦ καθ᾽ Ἑβραίους τὸν καθ᾽ Ἕλληνας σχηματισμὸν, ἅτε γνωστὸν καὶ τοῖς ἑλληνίζουσι. Τοιαῦτα τὰ, Εὐφράτης, Τίγρις, Ἀσσυρία, Ἰδουμαία, Βαβυλὼν, Ἑβραῖοι, Χαλδαῖοι, Μαδιαναῖοι (καὶ τὸ σπανιώτερον Μαδιανῖται). Ἀλλὰ καὶ ἐν ἄλλοις ἐθνῶν καὶ τόπων ὀνόμασι προείλοντο τὸ ἑλληνικὸν, καίτοι παρ᾽ Ἑβραίοις πάντῃ διαφόρως ὀνομαζόμενον, οἷον Αἰθιοπία (ἑβρ. Χοὺς), Μεσοποταμία Συρίας (ἑβρ. Παδὰν Ἀρὰμ), Καππαδοκία (ἑβρ. Καφθὼρ), Φοινίκη (Kenaan), Ἐρυθρᾶ θάλασσα (Jam Suf). κτλ. Τὰ δὲ πάλιν Αἰγύπτια προσηκόντως ἀπεκάλεσαν ταῖς τότε παρ᾽ Αἰγυπτίοις νενομισμέναις προσηγορίαις, οἷον Τάνις (Tzoan), Ἡλιούπολις (On), Γεσὲμ (Gosen), καὶ πάλιν πόλις

Ἡρώων (Γενέσ. μς, 28, 29)· ὡς ἐκάλουν τότε οἱ Αἰγύπτιοι πόλιν τῆς κατὰ τὴν Γεσεμῖτιν χώρας Ῥαμεσσῆ (α). Καὶ τὸ *Μωϋσῆς* δὲ (ὡς γράφεται συνήθως ἐν τῷ Βατικανῷ κώδηκι, καὶ παρ Ἰωσήπῳ, ἐν δὲ τῷ Ἀλεξανδρινῷ ἀείποτε Μωσῆς) ἴσως ἔχει τὸ υ, πρὸς σαφεστέραν ἔνδειξιν τῆς αἰγυπτιακῆς ἐτυμολογίας (β). Καὶ τὸ αἰγύ-

---

(α) Τὸ ἑβρ. (Γενέσ. μς, 28, 29) ἔχει « Ἀπέστειλεν—εἰς Γεσὲμ, καὶ ἦλθον εἰς γῆν Γεσέμ »· οἱ δὲ Ο, « Ἀπέστειλε — καθ' Ἡ ρ ώ ω ν π ό λ ι ν εἰ ς γ ῆ ν Ῥ α μ ε σ σ ῆ ». Τὴν ἀνάγνωσιν τῶν Ο, καὶ Ἰώσηπος ἐπικυροῖ (Ἀρχ. Β. ζ, 5), ὅστις ἔχει καὶ αὐτὸς τὸ « καθ' Ἡ ρ ώ ω ν π ό λ ι ν (μέμνηται ταύτης καὶ Στράβων, 809, 836, καὶ Πλίνιος, καὶ Πτολεμαῖος) « Γῆν Ῥαμεσσῆ » ἔχει καὶ τὸ ἑβρ. (Γεν. μζ, 11)· ὡς ἔχουσι κἀκεῖ οἱ Ο, τὴν αὐτὴν λέγοντες χώραν (ἐν ᾗ κατῴκησεν ὁ Ἰακὼβ μετὰ τῶν υἱῶν)· ἀλλὰ ταύτην πάλιν τὸ ἑβρ. καὶ ἀλλαχοῦ Γεσὲμ ὀνομάζει (Γεν. μς, 34), ὅπου καὶ οἱ Ο, Γεσὲμ τ ῆ ς Ἀ ρ α β ί α ς (οὕτως ἀναγνόντες ἐν τῷ ἑβραϊκῷ). Ὑπῆρχεν οὖν πιθανῶς τὸ μὲν Γεσὲμ καθολικώτερον ὄνομα τῆς χώρας, μέρος δὲ ταύτης ἡ γῆ Ῥαμεσσῆ (πόλεως καὶ ταύτης) (βλ. Drusii Annotat. ad Genes. h. l.). ἐν δὲ τῇ γῇ τῇ Ῥαμεσσῇ ἡ πόλις Ἡρῴων, πρὸς τὴν εἴσοδον τῆς Αἰγύπτου κειμένη (Bonfrer. ad Euseb. Onom. p. 77.). Ἄλλοι δὲ τὴν Ἡρῴων πόλιν ταυτίζουσι τῇ πόλει Ῥαμεσσῇ (Horn, Introduct. tho the Study etc. vol. 3. p. 615. πρβλ. καὶ De Laborde Comment. Géographiq. sur l'Exode etc. p. 67: καὶ Append. p. 32). Νομίζουσι δὲ καὶ ὅτι ἡ Ἡρῴων πόλις, ἡ Ἡρωόπολις, ἐκτίσθη ἐπὶ τῶν Πτολεμαίων (τοῦ α, δηλαδὴ) ἐπὶ τῆς ἤδη σαθρωθείσης Ῥαμεσσῆ. Εἰ δὲ τοῦτ' ἀληθεύει, οἱ Ο λοιπὸν ἐχρήσαντο τῷ τότε κοινῷ τῆς πόλεως ὀνόματι τῷ, Ἡ ρ ώ ω ν π ό λ ι ς, ἀντὶ τοῦ ἀπηρχαιωμένου Ῥαμεσσῆ, ὅπερ ἐτήρησαν ἐν μόνῳ τῷ ὀνόματι τῆς ἐπαρχίας· « καθ' Ἡρῴων πόλιν, εἰς γῆν Ῥαμεσσῆ » (οὕτω καὶ τὴν Ὢν εἶπον καὶ Ἡλιούπολιν). Ἀλλ' ὅμως ἡ φράσις τῶν Ο πρὸς ταῦτα οὐ πάνυ συνᾴδει. Εἰ δὲ καὶ Ἡρωόπολις ἦν αὐτὴ ἡ Ῥαμεσσῆ, ἀνέγνωσαν λοιπὸν οἱ Ο, ἐν τῷ ἑβρ. « κατὰ Ῥαμεσσῆ, εἰς γῆν Ῥαμεσσῆ » (ὅπερ ἄτοπον). Τὴν δὲ γῆν Γεσὲμ ἄλλως ἄλλων ὁριζόντων (βλ. S. Hieron. Quaest. in Genes.), οἱ νεώτεροι (Schulz. Schol. in Gen. 45) τοποθετοῦσιν ἐν τῷ μεταξὺ τῆς Ἡλιουπόλεως, καὶ τῆς Ἐρυθρᾶς, καὶ τῆς Μεσογείου σχηματιζομένῳ τριγώνῳ, ὁμοροῦσαν τῇ Παλαιστίνῃ (πρβλ. Ἐξόδ. ιγ. 17: Α, Παραλ. ζ. 21). Τὴν δ' οὖν τῶν Ο ἀνάγνωσιν, τὴν « κ α θ' Ἡ ρ ώ ω ν π ό λ ι ν εἰ ς γ ῆ ν Ῥ α μ ε σ σ ῆ, ἀποδέχεται καὶ Rosenmüller (Sch. in Genes. 45, 10). Ὁ δὲ, τέλος, Ἰώσηπος (ἔνθ. ἀνωτέρ.) γράφει καὶ ταῦτα « Καὶ συνεχώρησεν αὐτῷ (τῷ 'Ιακὼβ ὁ Φαραὼ) ζῆν μετὰ τῶν τέκνων ἐν 'Ηλιουπόλει »· ὅπου ὁ Δρούσιος εὐλόγως διορθοῖ ἐν Ἡρωοπόλει, (ἢ μᾶλλον, ἐν 'Ηρώων πόλει, δηλαδὴ τῇ ἐν γῇ 'Ραμεσσῇ). Οὐ γὰρ εἶχε πάντως κατὰ νοῦν ὁ 'Ιώσηπος τὴν ἐτυμολογίαν τῆς 'Ραμεσσῆ, ἣν Ἡλιογενῆ ἡρμήνευσεν ὁ Champollion ἐκ τοῦ Αἰγυπτ. Ῥα (ἥλιος), καὶ Μεσσὲς (γόνος, τέκνον)· ὑπῆρχε δὲ καὶ ἐπώνυμον τῶν βασιλέων τῆς Αἰγύπτου τὸ 'Ραμεσσὴς (οἷον Ἡλιάδης, Ἡλίου παῖς). Βλ. Cahen, La Bible. Tom. 1. in Genes. h. l.

(β) « Τὸ γὰρ ὕδωρ μ ω Αἰγύπτιοι καλοῦσι υσης δὲ τοὺς ἐξ ὕδατος σωθέντας

πτιον Πεντεφρῆς ἐξελλήνισαν ὁπωσδήποτε (ἐκ τοῦ Πουτιφάρ, ὡς γράφεται τανῦν ἐν τῷ ἑβραϊκῷ). Τὰ δέ τινα καὶ ἄκλιτα ἐξέφερον, ὡς τὸ *ψονθομφανὴχ* (ἴσως διὰ τὸ ἐπίσημον τοῦ ὀνόματος)· καὶ τὸ *οἰφὶ* δὲ, καὶ τὸ *ἄχι*, καθὸ συνήθη μὴ μόνον τοῖς Αἰγυπτίοις, ἀλλὰ καὶ τοῖς ὁμόροις Παλαιστινοῖς καὶ Σύροις ἑλληνισταῖς. Τὸ δὲ *κόνδυ* καὶ τὸ *πάπυρος* ἦσαν πρὸ πολλοῦ συνήθη καὶ τοῖς Ἕλλησιν, ὡς προείπομεν (σελ. 229, 239).

§. γ. Ὅσα δὲ πάλιν ὀνόματα παρὰ τοῖς Ἕλλησιν οὐδόλως ἦσαν συνήθη, καὶ ταῦτα μετέφραζον πρὸς τὸ εὐφωνότερον, διατηροῦντες ἅμα καὶ τὴν τότε μάλιστα παρὰ τοῖς ὁμοφύλοις κρατοῦσαν ἀπαγγελίαν τῶν ἑβραϊκῶν φωνῶν (ἥτις καὶ κατὰ τὴν φωνηέντων χρῆσιν, καὶ κατ᾽ αὐτὰ πολλάκις τὰ σύμφωνα διέφερε τῆς προφορᾶς τῶν μεταγενεστέρων, ὡς προείπομεν καὶ ἀλλαχοῦ σελ. 801) (α). Οὕτως

---

(Ἰώσηπ. Ἀρχ. Β, θ, 6) κατὰ τὸ « Ἐκ τοῦ ὕδατος αὐτὸν ἀνειλόμην (Ἐξόδ. β, 10). Οὕτω καὶ Κλήμης (Στρωμ. α) « Μωϋσῆν ἐτύμως· τὸ γὰρ ὕδωρ μῶϋ ὀνομάζουσιν Αἰγύπτιοι » (βλ. καὶ Ἡσύχ. καὶ Σουΐδ.). Ἀλλ᾽ ὁ τραγῳδὸς Ἰεζεκιὴλ Μωσῆν γράφει (ὡς καὶ τὸ ἑβρ. Mose), καὶ Φίλων ὡσαύτως. Ἀλλὰ καὶ ἐν τῇ Καινῇ Διαθήκῃ τὸ Μωσῆς συνηθέστερον. Καὶ φαίνεται ὁ σχηματισμὸς οὗτος πρὸς τὸ ἑβραϊκώτερον τετυπωμένος, ὡς ἂν ᾖ τὸ ἔτυμον τοῦ ὀνόματος ἐκ τοῦ ἑβραϊκοῦ Μασὰ, = εἵλκυσεν, ἐξείλκυσεν, ἐξ οὗ καὶ Δρούσιος ἐτυμολογεῖ (Annot. ad Exod.). Οὕτω δὲ καὶ Φίλων ἡρμήνευσε, λῆμμα (Τόμ. α. σελ. 597)· ἄλλοι, ἐκλήπτορα (βλ. Bernand. εἰς Ἰώσηπ. ἔνθ. ἀνωτέρ.—Thiersch, l. c. p. 28. — Gesen. Lexic. Heb. pag. 624).

(α) Εἰς μάτην ὁ Φράγκελος ἐσπούδασε διορίσαι τὸ ἰδίωμα τῆς ἐν Ἀλεξανδρείᾳ ἑβραϊκῆς διαλέκτου, παραβάλλων τὰ παρὰ τοῖς Ο ἑβραϊκὰ πρὸς τὴν ὑπὸ τῶν Μασοριτῶν κανονισθεῖσαν, καὶ τανῦν κρατοῦσαν γραφὴν αὐτῶν καὶ προφορὰν (βλ. ὄπισθ. σελ. 623). Καὶ κατ᾽ Ἀλεξάνδρειαν καὶ κατὰ τὴν Παλαιστίνην ἐπὶ τῶν Ο, ὑπῆρχε διάφορος ἡ ἀπαγγελία τῆς ἑβραΐδος γλώσσης. Καὶ μαρτυροῦσι τὸ πρᾶγμα αὐτὰ τὰ ὀνόματα, καὶ οἱ μετὰ τῆς ἑβραϊκῆς ἀνάμικτοι χαλδαϊκοὶ τύποι, περὶ ὧν λέγομεν ἀνωτέρω. Καὶ ὁ παλαιστινὸς Ἰώσηπος ἐν πᾶσι (σχεδὸν) διατηρεῖ τὴν κατὰ τοὺς Ο προφοράν. Ὡσαύτως καὶ οἱ περὶ τὸν Ἀκύλαν. Ἀλλὰ καὶ ἐπ᾽ αὐτοῦ Ὠριγένους καὶ Εὐσεβίου, καὶ ὕστερον ἐπὶ Ἱερωνύμου (παρ᾽ οἷς ἡ προφορὰ φαίνεται παρομοία τῆς καθ᾽ ἡμᾶς) σῴζονται ἴχνη τῆς ἀρχαίας διαφορᾶς (βλ. ὄπισθ. σελ. 801). Οὐδὲν ἄλλο, πλὴν τῶν Ο, σῴζεται μνημεῖον τῶν κατ᾽ ἐκείνους τοὺς χρόνους ἑβραϊκῶν κατὰ τόπους ἰδιωμάτων, ὡς ἄριστα ἐκ τοῦ Γενεσίου ἐσημείωσεν ὁ κλεινὸς Θήρσιος (σελ. 28). Καίτοι καὶ οὗτος εἶπε τοὺς Ο χρωμένους τῇ προφορᾷ τῶν Ἀλεξανδρινῶν Ἑβραίων (καθὸ τούτους καὶ αὐτὸς νομίζων Ἀλεξανδρινοὺς, κατὰ τὰ ἀρέσκοντα τοῖς νεωτέροις κριτικοῖς).

ἔγραψαν *Ναυῆ* (τὸ νῦν παρ' Ἑβραίοις γραφόμενον Νοῦν, Nun), καὶ *Ἀβιοὺδ* (τὸ Abihu) κτλ. Ἀλλὰ καὶ χαλδαϊσμοί τινες φαίνονται παρὰ τοῖς Ο· ὡς ὅταν τὰ εἰς ιμ ἑβραϊκὰ ἐκφέρωσιν εἰς ιν, καὶ ειν, χρῶνται δὲ καὶ τῷ κατὰ τὴν λήγουσαν ἐμφαντικῷ τῶν Χαλδαίων α, οἷον μάννα (ἑβρ. man), σίκερα, πάσχα, Σίκιμα (ἡ πόλις Σιχὲμ), ἄκλιτα καὶ ταῦτα γράφοντες (οἷα καὶ τὰ ἑλληνικὰ γράμματα, ἄλφα, βῆτα, γάμμα κτλ. κατὰ τὴν Φοινίκων διάλεκτον διατηρήσαντα τὴν λήγουσαν. Οἱ γὰρ φίλοι τῆς εὐφωνίας Ἕλληνες παρὰ τῶν Φοινίκων τὰ γράμματα λαβόντες, καὶ « *ἅμα τῇ φωνῇ καὶ τὸν ῥυθμὸν* (τὸν φθόγγον) αὐτῶν *μεταβαλόντες* », ἐκράτησαν ὅμως τὸ α, τῆς ληγούσης ὡς μεγαλόφωνον). Κατὰ δὲ τὸν πληθυντικὸν ἀριθμὸν κλίνουσι καὶ ταῦτα ἑλληνικώτερον, *Σικίμων*, λέγοντες καὶ *σαββάτων*, καὶ τὰ *σάββατα*, ὡς ἐκ τοῦ σάββατον, τὸ, (ὃ καὶ τοῦτο λέγουσιν ἐνίοτε, καὶ τὰ σάββατα πάλιν ἄκλιτον, ὡς ἑνικόν· βλ. Ἐξόδ. ις, 23, κτλ.). Ἐπὶ δὲ τῶν ἄλλων τῶν κυρίων ὀνομάτων, μόνα τὰ αὐτόματα λήγοντα εἰς φωνῆεν ἔκλιναν ἑλληνικῶς· οἷον τὰ εἰς α, καθαρὸν, καὶ εἰς ρα, λα, φα, κα, θηλυκά· Λεία, Σάῤῥα, Μεῤῥὰ, Βαλλὰ, Ζελφὰ, Ῥεβέκκα (ας, α, αν). Ἔκλιναν δὲ καὶ τῶν ἀρσενικῶν τὰ εἰς α, μετασχηματίζοντες ὡς ἐπὶ τὸ πλεῖστον εἰς ας, Ἰούδας, Ἰωνᾶς (κατὰ τὰ εἰς ας λατινικὰ, Σύλλας, Ἀκύλας· βλ. καὶ σελ. 651). Ἴδιον δὲ συνιστῶσι σχηματισμὸν τὸ Μωϋσῆς, σῆ, σῆ, σῆν, καὶ τὸ Ἰησοῦς, σοῦ (καὶ σπανίως ἡ δοτικὴ Ἰησοῖ), Ἰησοῦν. Καὶ τοῦ ἀκλίτου Σινὰ εὑρίσκεται δοτικὴ, ἐν Σινᾷ, ὡς καὶ Λουζᾷ, ὡσαύτως καὶ τοῦ ἀκλίτου Φαραῷ· βλέπεις καὶ τὸ ἄκλιτον Βεσελεὴλ παρακείμενον πρὸς τῷ κλιτῷ Οὐρίου («Βεσελεὴλ ὁ τοῦ Οὐρίου». Ἐξόδ. λε, 30). Οὕτω καὶ τὰ ἐθνικὰ *Χαναν*ὶ, Γεσερὶ, καὶ πάλιν ἑλληνικώτερον σχηματιζόμενα, Χαναναῖος, Ἰσραηλίτης, καὶ ἄλλα περὶ ὧν προείρηται (σελ. 655). Τῆς δὲ τοιαύτης ἀνωμαλίας αἴτιον ὑπῆρχεν αὐτῆς τῆς τότε κοινῆς τῶν ἑλληνιστῶν Ἰουδαίων διαλέκτου τὸ ἀνώμαλον καὶ ἀστάθμητον, ἀναμιγνύντων τοὺς τύπους καὶ σχηματισμοὺς τῆς ἑλληνικῆς πρὸς τοὺς τῆς ἑβραϊκῆς· καὶ ταύτην τὴν ἀνωμαλίαν ὑπέμενον ἐξ ἀνάγκης καὶ οἱ ἑρμηνεῖς, χάριν τῆς

σαφηνείας. Ὁ μὲν γὰρ Ἰώσηπος συγγράφων ἔτεσι πλέον ἢ 360 μετὰ τοὺς Ο, καὶ μετὰ τὴν ἐκ τῆς μακρᾶς τῶν Πτολεμαίων καὶ Σελευκιδῶν ἐπικρατείας διάδοσιν καὶ παγίωσιν τῆς ἑλληνικῆς γλώσσης, ἐξελλήνιζεν ὁμαλώτερον τὰ ἑβραϊκὰ ὀνόματα, σχηματίζων κατὰ τύπους ἀκριβεστέρους πρὸς χρῆσιν τῶν ἐλλογίμων (α). Οἱ δὲ παλαιοὶ ἐκεῖνοι γέροντες κατὰ πρῶτον ἑρμηνεύοντες τὰς ἑβραϊκὰς Γραφὰς, καὶ ταύτας πρὸς ὠφέλειαν μάλιστα τοῦ πλήθους τῶν ἑλληνιζόντων ὁμογενῶν, συγκατέβαινον πολλάκις πρὸς τὴν ἔτι τότε νεαρὰν ἐν τοῖς στόμασιν αὐτῶν καὶ ἀρτιδίδακτον διάλεκτον τῆς ἑλληνικῆς φωνῆς, μόλις ἥμισυν αἰῶνα κατεχούσης καὶ τὴν Αἴγυπτον καὶ τὴν Συρίαν μετὰ τὴν Ἀλεξάνδρου ἀνάβασιν. Καὶ φαίνεται ἄρα ἡ γραφικὴ τῶν Ο διάλεκτος (ὡς γοῦν ἐκ τῆς τοιαύτης ἀνωμαλίας τῶν φωνῶν) ὁμοία παλαιοῦ ἁγίου ναοῦ, ᾠκοδομημένου χρυσέας ἐπὶ κρηπῖδος ἐκ λίθων ἀλαξεύτων πολλάκις καὶ ἀργῶν.

§. δ. Ἀξιόλογον δεῖγμα σαφηνείας τῶν Ο, καὶ ἡ μετάφρασις τῶν κυρίων ὀνομάτων ἐκείνων, μεθ' ὧν ἐν τῇ ἑβραϊκῇ διαλέκτῳ φαίνεται συνεζευγμένη καὶ ἡ ἐτυμολογικὴ σημασία. Τὰς γὰρ τοιαύτας κυριωνυμίας τόπων, ἢ προσώπων, μεταφράσαντες ἅπαξ μετὰ τοῦ ἐτύμου, χάριν τῆς σαφηνείας, ἢ καὶ πρὸς ἔνδειξιν ἐμφάσεως, καταλείπουσιν ἔπειτα αὐτὸ τὸ ἑβραϊκόν. Ἰδοὺ καὶ τῆς τοιαύτης ἱερᾶς αὐτῶν συνέσεως ὀλίγα τινα παραδείγματα. Ἀφ' οὗ πρῶτον ἡρμήνευσαν τὸ *Εὔα*, *Ζωὴ*, συμφώνως τῇ παρακειμένῃ ἐτυμολογίᾳ (ἐκάλεσεν αὐτὴν *Ζωὴν*, « *ὅτι μήτηρ πάντων τῶν ζώντων* ». *Γενέσ. γ*, 20), ἐν τοῖς ἐφεξῆς ἀείποτε λέγουσιν αὐτὸ τὸ ἑβραϊκὸν *Εὔα*. Πάλιν, ἐξηγήσαντες τὸ *ἑβραῖος*, ὅτι σημαίνει *περάτης* (« Ἀβραὰμ ὁ περάτης » Γενέσ. ιδ, 13), ἔπειτα πανταχοῦ λέγουσιν *ἑβραῖος*. *Υἱὸν ὀδύνης μου* ἡρμήνευσαν τὸ πρὸς ὥραν δοθὲν ὄνομα (καθὸ τὴν τῆς μητρὸς

---

(α) « Τὰ ὀνόματα διὰ τὸ τῆς Γραφῆς εὐπρεπὲς ἑλλήνισται, πρὸς ἡδονὴν τῶν ἐντευξομένων. Οὐ γὰρ ἐπιχώριος ἡμῖν ὁ τοιοῦτος αὐτῶν τύπος, ἀλλ' ἕν τε αὐτῶν σχῆμα, καὶ τελευτὴ μία » (τουτέστιν εἰσὶν ἄκλιτα). Ἰώσηπ. Ἀρχαιολ. Α. ς. §. ι. πρβλ. καὶ Thiersch, l. c. p. 29, 30.

δυσοκίαν ἱστορικῶς ἐκφράζον) *Βενονὶ*· τὸ δ' ἐφεξῆς ἐπικρατῆσαν κυριώτερον ὄνομα Βενιαμὶν γράφουσι καὶ ἀμετάφραστον (Γενέσ. λε, 18). Ἀνερμήνευτον ἀφῆκαν καὶ τὸ *Φαρὲς* (ὡς εὐκατάληπτον, κείμενον εὐθὺς μετὰ τοῦ *διεκόπη*· οἷον διεκοπεὺς), καὶ τὸ *Ζαρὰ* μετὰ τὸ *ἐξῆλθε* (οἷον ἔξηλυς, ἐξελθών· ἤ, κατὰ τὸν Ἱερώνυμον, oriens, ἀνατείλας, ὡς ἂν εἴποις *Ἀνατόλιος*, ὡς ἐξαγαγὼν ἐν τῷ γεννᾶσθαι τὴν χεῖρα. Γενέσ. λη, 29, 30). *Σύγχυσιν* ἅπαξ εἰπόντες τὸ *Βαβυλὼν* (Γενέσ. ια, 9), ἔπειτα τοῦτο, καὶ ὡς σύνηθες τοῖς Ἕλλησι, γράφουσι πανταχοῦ. *Φρέαρ ὅρκου* (Γενέσ. κα, κϐ, κς) μεθηρμήνευσαν τὸ ἄλλως πανταχοῦ γραφόμενον Βηρσαβεὲ (Ber-seba). Καὶ τῶν τριῶν φρεάτων τὰ ὀνόματα μετέφερον. Ἀδικία, Ἔχθρία, Εὐρυχωρία (Γενέσ. κς, 20—22, ὅπου παράκειται καὶ τὸ ἔτυμον). Οὕτω καὶ τὸ Φρέαρ τῆς Ἄγαρ ἐξήγησαν *Φρέαρ ὁράσεως*, καὶ « Φρέαρ, *οὗ ἐνώπιον εἶδον* (Lachai roi)· τούτου γὰρ ἐνώπιον ἴδε τὸν ἄγγελον (Γενέσ. ις, 14, κδ, 62: κε, 11). — « *Οἶκον Θεοῦ* » κατὰ λέξιν ἡρμήνευσαν τὸ Bethel, ἢ Βαιθὴλ (τὸν *τόπον*, ἐφ' οὗ εἶδε καθ' ὕπνους ὁ Ἰακὼϐ τὰ θεῖα θαυμάσια). Ὅθεν τὸ αὐτὸ, καὶ « *τόπον Θεοῦ* » (Γενέσ. κη, 17, 19: λα, 13). Ὅπου δὲ γεωγραφικῶς γίνεται μνεία τῆς πόλεως ταύτης, γράφουσι *Βαιθήλ*. Οὕτω καὶ τὸ *Μαναΐμ* (Ἰησ. ιγ, 26), ἢ ὡς γράφουσι τανῦν, *Μαχαναΐμ* πρῶτον ἡρμήνευσαν *Παρεμβολὰς* (Γενέσ. λϐ. 1, 2), καὶ ὁ λόγος τοῦ ἐτύμου πρόκειται· διότι « Ἀναϐλέψας (ὁ Ἰακὼϐ) εἶδε παρεμϐολὴν Θεοῦ παρεμϐεϐληκυῖαν » (α). Καὶ τὴν πόλιν *Φανουὴλ* (Ἰησ. η, 8, 9) ἐμνημόνευσαν τὸ πρῶτον (Γενέσ. λϐ, 31, 32) ἡρμηνευμένην, *εἶδος Θεοῦ* (Penuel)· διότι αὐτοῦ εἶδεν ὁ Ἰακὼϐ τὸ *εἶδος τοῦ Θεοῦ*. Καὶ τὴν *Σοκχὼθ*, ὅπου ἐποίησε *σκηνὰς* (Γενέσ. λγ, 17)

---

(α) Τὸ « Καὶ ἀναϐλέψας, κτλ. λείπει ἐκ τοῦ νῦν ἑϐραϊκοῦ. Ὅθεν οἱ τούτου προμαχοῦντες λέγουσιν ὑπὸ τῶν Ο προστεθειμένον τὸ κόμμα. Ἀλλ' οὐδεμίαν εἶχον προσθήκης ἀνάγκην, καὶ ἡ κατὰ τοὺς Ο σαφεστάτη διαγραφὴ παραϐαλλομένη πρὸς τὸ ἑϐραϊκὸν δείκνυσι τὴν τούτου κολόϐωσιν. Συνήθης δὲ ἡ φράσις, ἡ « Ἀναϐλέψας εἶδεν », ἐν τοῖς τοιούτοις καὶ ἀλλαχοῦ τῆς θείας Γραφῆς. Γενέσ. κϐ, 13 : Ἰησ. ε, 13, κτλ.

ἡρμήνευσαν *Σκηνάς*. Τοὺς δὲ Ῥαφαεὶμ (Γενέσ. ιε, 20) προηρμήνευσαν *γίγαντας* (αὐτόθ. ιδ, 5). Ὅθεν καὶ τοὺς τούτων συγγενεῖς, *Ἐνακεὶμ* (Δευτ. β 11, 21), ἢ *υἱοὺς Ἐνὰκ* (αὐτ. θ, 2. ἑβρ. bene Enakim), εἶπον καὶ *υἱοὺς γιγάντων* (Δευτ. α, 28) (α).

Ἑρμηνεύουσι δὲ καὶ τὰς ὀνομασίας πολλῶν κατὰ τὴν ἐν ἐρήμῳ τοῦ Ἰσραὴλ διατριβὴν τόπων καὶ πραγμάτων, σαφηνίζοντες τὰς μᾶλλον ἀγνώστους, ὅπου μάλιστα παράκειται καὶ τὸ ἔτυμον (διὸ καὶ παραλείπουσιν ἐνίοτε τὸ ἑβραϊκὸν γράφοντες μόνον τὸ ἑλληνικόν). Οἷον· ἐν τῷ αὐτῷ ἐδαφίῳ ἔγραψαν *Μεῤῥὰ*, καὶ τὸ σημαινόμενον *Πικρία* (Ἐξόδ. ιε, 23)· « πικρὸν γὰρ ἦν » (τὸ ὕδωρ). Καὶ πάλιν ἄλλον τόπον, εἶπον *Πειρασμὸν* καὶ *Λοιδόρησιν* (ἑβρ. Massa ve Merriba), « διὰ τὴν λοιδορίαν, καὶ τὸ πειράσαι Κύριον » (Ἐξόδ. ιζ, 7) (β). Τοιοῦτο καὶ τὸ (Ἀριθμ. κ, 13, 24) « Ὕδωρ Ἀντιλογίας » (ἑβρ. moi meribah), καὶ Ὕδωρ λοιδορίας (γ). Καί τις ἄλλος τόπος, *Ἐμπυρισμὸς* (ἑβρ. Thaberah)· « ὅτι ἐξεκαύθη πῦρ παρὰ Κυρίου » (Ἀριθ. ια, 3). Καὶ ἄλλος (αὐτόθ. §. 34, 35) « *Μνήματα ἐπιθυμίας*·

(α) Βλ. Θεοδωρήτ. Ἀπόρ. εἰς Γένεσ. Ἐρωτ. μη: καὶ Κυρίλλ. Γλαφυρ. εἰς Γένεσ.

(β) Καὶ ἡ Βουλγάτα μεταφράζει ταῦτα τὰ ἑβραϊκὰ ὀνόματα « Mara, ἀντὶ Μεῤῥὰ, id est amaritudinem (τουτέστι πικρίαν)· ἐν δὲ τῷ ἀνωτέρῳ χωρίῳ (Ἐξόδ. ιζ, 7) μόνον τὴν ἑτέραν ἔχει λέξιν Tentatio (πειρασμὸς), τὸ δὲ λοιδόρησις λείπει. Ὁ δὲ Δρούσιος (Not. Major. ad. h. l.), θαυμάζει, διὰ τί οἱ Ο οὐκ ἐκράτησαν μᾶλλον τὸ ἑβρ. ὄνομα τοῦ τόπου, τὸ Massa κτλ. ταὐτὸ ποιῶν, ὡς ἂν καὶ εἴπερ ἐθαύμαζε διὰ τί ὁ Στράβων ἔγραψε Πέτραν (τῆς Ἀραβίας πόλιν) Ἀραβιστὶ Hagar, καὶ τὴν Καπύαν ἡρμήνευσε κεφαλὴν (ε, 248), καὶ Πλούταρχος ὡσαύτως ἐξελλήνισε « Χῶμα (τὸ λατ. Agger. Νουμ. §. 10)· καὶ ἄλλο χωρίον ἐν Ῥώμῃ μόνον ἑλληνικῶς ἐξέφρασε, « τοὺς λεγομένους βαθμοὺς καλῆς ἀκτῆς » (Ῥωμύλ. §. κ.) κτλ. βλ. ὄπισθ. σελ. 657.

(γ) Καὶ ταῦτα ἡ Βουλγάτα πάντα ἐκλατινίζει· « Aqua contradictionis. — Incensio. — Sepulchra concupiscentiae [ὁ δ' Ἰώσηπος, Γ. ιγ, προστίθησι καὶ τὸ ἑβρ. « Καβρωθαβὰ (Chabroth Atava), ὅ ἐστιν ἐπιθυμίας μνημεῖα »]. — Quercus Fletus. — Planctus Aegypti. — τὸ δὲ Φάραγξ βότρυος ἐκφέρει μετὰ τοῦ ἑβραϊκοῦ Nechel-escol, id est, Torrens Botri ». Νεχὲλ-Εσκὸλ, ὅ ἐστι χείμαῤῥος βότρυος ». (Σημείωσαι καὶ τὸ ἑλλην. Botri, ἀμετάφραστον· ὡς τὸ Dabitha, quae nominatur Dorcas !). Σημαίνει δὲ τὸ ἑβρ. Nachal καὶ φάραγγα, καὶ χείμαῤῥον (Gesen. Lexic. Hebr.). Ὅθεν ὁ Ἰώσηπος ποταμὸν τὸν τόπον εἶπεν (Ἀρχ. Δ. η). καὶ ἐν Α. Μακκαβ. ε, 37—42. ποταμὸς, καὶ χείμαῤῥος καλεῖται (βλ. καὶ Pearson praefat. in LXX).

ὅτι ἐκεῖ ἔθαψαν τὸν λαὸν τὸν ἐπιθυμητήν ». Τοιαῦτα καὶ τὰ « Βάλανος πένθους » (Γενέσ. λε, 8), καὶ « Πένθος Αἰγύπτου » (Γενέσ. ν, 11), καὶ Φάραγξ Βότρυος » (Ἀριθ. ιγ, 25) (α). Φιλοῦσι δὲ μάλιστα τὰ παρὰ τοῖς Ἕλλησιν ἄγνωστα τότε γεωγραφικὰ ὀνόματα διὰ προσηγορικῶν μεθερμηνεύειν· οἷον (Δευτερον. λδ, 3) « Πόλις

---

(α) Δυσαρεστοῦνταί τινες ἐν τοῖς ἐφεξῆς· Ὅ ρ ι ο ν ἡρμήνευσαν τὸ Γῆ Κ α β ο ὺ λ (Γ. Βασιλ. θ, 13), δηλαδὴ δ υ σ ά ρ ε σ τ ο ν, (καὶ ὁ Ἰώσηπος γράφει « Χ α β α λ ὼ ν γ ῆ, ὃ κατὰ Φοινίκων γλῶσσαν ο ὐ κ ἀ ρ έ σ κ ο ν σημαίνει » Ἀρχ. Η, ε. §. 3). Ἀλλὰ καὶ τὸ ὅ ρ ι ο ν = ἐσχατιὰ (γῆ λυπρὰ, ὅθεν ἀπαρέσκουσα· κατ' ἄλλους οἱ Ο ἀνέγνωσαν Gebal, ὅριον). — « Ἀπέναντι τῆς Ἐπαύλεως » (Ἐξόδ. ιδ, 2), καὶ πάλιν τὸ αὐτὸ « ἐπὶ στόμα Εἰρὼθ » (Ἀριθμ. κδ). Ἀλλ' ἡ μὲν Ἔ π α υ λ ι ς ἐξηγεῖ τὸ Εἰρώθ. τὸ δ' ἀπέναντι τὸ αὐτὸ καὶ ἐπὶ σ τ ό μ α (κατὰ πρόσωπον, ἀντικρύ. ὡς Νεεμ. β, 13, « π ρ ὸ ς σ τ ό μ α π η γ ῆ ς, »). Ἐν πόλει Ἀρβὸκ (Γενέσ. κγ, 2), καὶ πάλιν τὸ αὐτὸ « εἰς πόλιν τοῦ π ε δ ί ο υ (Ἀλλ' ἡ Χεβρὼν, ἡ αὐτὴ καὶ Ἀρβὸκ, ἢ Ἀρβὸ, ὑπῆρχεν ὀρεινή, φησιν Ἱερώνυμος, καὶ συναγανακτεῖ ὁ Δρούσιος). Καὶ ὅμως τὸ Ἀρβὸ (Ἰησ. ιδ, 15· Ἀλεξ. Ἑβρ. Arba, κύριον ὄνομα ἀνδρὸς), ὡς ἀνέγνωσαν οἱ Ο (διὰ τοῦ aijn, οὐχὶ διὰ τοῦ aleph ἀρχικοῦ), π ε δ ί ο ν σημαίνει (βλ. Schleusn. Thes. λ. πεδίον). Τὸ δὲ (δρῦς) ὑ ψ η λ ὴ » (ἑβρ. Moreh. Γενέσ. ιβ. 6, Δευτερ. ια, 30), καὶ (« γῆ) ὑ ψ η λ ὴ » (Γενέσ. κβ, 2. ἑβρ. Moria), καὶ Ἀκύλας κ α τ α φ α ν ῆ ἡρμήνευσε, καὶ Ἱερώνυμος illustrem. καὶ ποικίλαι περὶ τοῦ Moria αἱ γνῶμαι· οἱ δὲ Ο εἶπον ὑ ψ η λ ὴ ν, ὀρθῶς ἐτυμολογοῦντες (βλ. Criticos Sacros. καὶ Rosenmül. Schol. in Genes. 22). — Ὀρθῶς δὲ καὶ τὸν Ἀβὶβ, μῆνα τῶν Ν έ ω ν (ἐλλ. γεννημάτων, ἢ χίδρων) ἐξελλήνισαν (Schleusn. Thes v. Νέος). Καὶ περὶ τοῦ « Κύριος ἥκει-σὺν μυριάσι Κ ά δ η ς (Δευτερ. λγ. 2) ἀδίκως ψέγουσι τοὺς Ο, ὡς ἐκλαβόντας κύριον ὄνομα τὸ Κάδης (παρὰ τῷ Φαρὰν καὶ τῷ Σινᾷ), ἀναγνόντες Kadesch ἀντὶ Kodesch (ἁγιασμὸς), ὡς καὶ Ἀκύλας ἡρμήνευσεν « ἀπὸ μυριάδων ἁγιασμοῦ », καὶ ὁ Σύμμαχος « ἀπὸ μυριάδος ἁγίας », καὶ ἡ Βουλγάτα Sanctorun militia. Διὸ καὶ Ὠριγένης. « Νῦν Κάδης οὐχὶ τὸν τόπον λέγει, ἀλλὰ τοὺς ἁγίους »· οὕτω καὶ Θεοδώρητος (βλ. Σειρὰν εἰς Δευτερ. αὐτόθ.). Καὶ ξένον μὲν οὐδὲν, εἴπερ, κατὰ τὸν Ὠριγένην, κατέλιπον οἱ Ο ἀμετάφραστον τὸ Κάδης (ἐπὶ τῶν ἁγίων, τουτ. τῶν ἀγγέλων ἐκλαμβάνοντες), ὡς λέξιν καθιερωμένην τότε καὶ παρὰ τοῖς Ἑλληνισταῖς Ἰουδαίοις. Ἀλλ' ὅμως ὁ Κεννικῶτος ἀποδείκνυσι σαφῶς τὸ Κάδης ἐνταῦθα παρά τε τοῖς Ο καὶ ἐν τῷ ἑβραϊκῷ σημαῖνον τὸ τοπικὸν ὄνομα (ὡς καὶ τὰ συννημμένα ὀνόματα, Σινᾶ, Σηεὶρ, Φαράν· βλ. Kennicot, Diss. Super Rat. text. Hebr. vol. 1. p. 408, 409· πρβλ. Schulz Shol. in Deuter. h. l.). Τὸ δὲ τοῦ Ἀποστόλου Ἰούδα (§. 14) « ἐν μυριάσιν ἁ γ ί α ι ς » ἀναφέρεται εἰς τὴν βίβλον τοῦ Ἐνώχ. Καὶ τὸ τοῦ θείου Παύλου « μυριάσιν ἀ γ γ έ λ ω ν » (ἑβρ. ιβ, 22) φαίνεταί πως ἀναφερόμενον εἰς τὸ « Σὺν μυριάσι Κάδης, ἐκ δεξιῶν αὐτοῦ ἄ γ γ ε λ ο ι » κτλ. (βλ. ὄπισθ. σελ. 843.

φοινίκων. Καὶ Δευτερον. α, ι: Αὐλῶν (ἐκ τοῦ αὐλή. ἑβραϊκ. Aseroth)· οὕτω καὶ ἐν Ἀριθμ. κϐ, 39 « Πόλεις ἐπαύλεων » (Kiriath uzoth). Καὶ Ἀριθμ. κζ, 12. « Τὸ ὄρος τὸ ἐν τῷ πέραν » (τοῦ Ἰορδάνου)· τὸ αὐτὸ καὶ ὄρος *Ἀϐαρὶμ* (αὐτ. λγ, 47: Δευτ. λϐ, 49)· καὶ πάλιν « κορυφὴ λαξευτὴ » (Δευτ. δ, 49) τὸ αὐτὸ, καὶ « κορυφὴ *Φασγὰ* » (Δευτ. λδ. 1, = λαξευτή).

§. ε. Καὶ περὶ τὰ μέτρα καὶ σταθμὰ καὶ νομίσματα τὴν σαφήνειαν ἐσπούδασαν οἱ Ο διατηρῆσαι. Οὕτω τὰ ἑϐρ. Sekel (ἐπὶ νομίσματος) καὶ *σίκλον* ἡρμήνευσαν, καὶ *δίδραχμον* (διὰ τὴν κοινὴν τὸ τότε χρῆσιν τοῦ τῷ σίκλῳ ἰσοδυναμοῦντος Ἀλεξανδρινοῦ διδράχμου (βλ. ὄπισθ. σελ. 207). Καὶ τὸ τοῦ σίκλου ἥμισυ (beka), δραχμὴν (Γενέσ. κδ, 22: Ἐξόδ. λη, 26). καὶ τῆς δραχμῆς τὸ τίμημα, « *εἴκοσιν ὀϐολοὶ* » (Λευϊτ. κζ, 25: ἑϐρ. gera, τὸ εἰκοστημόριον τοῦ σίκλου). Ἐπὶ δὲ σταθμῶν ἀείποτε τῷ *σίκλος* ἐχρήσαντο (Ἐξόδ. λ. 24)· ὑπῆρχε δὲ καὶ παρ' Ἕλλησι πολὺ πρὸ τῶν Ο πολιτογραφηθεῖσα ἡ λέξις σίκλος, ἐπὶ ςαθμοῦ (βλ. Ξενοφ. Ἀναϐ. Α. 46). Περὶ δὲ τοῦ χρυσοῦ (στατῆρος) εἴπομεν (σελ. 732). Εἶδος νομίσματος καὶ τὸ ἑϐρ. Kesita, ὅπερ ὀρθῶς ἐξήγησαν *ἀμνὸν*, (διὰ τὸν ἐπικείμενον ἀμνοῦ τύπον). « Ἐκτήσατο τὴν μερίδα τοῦ ἀγροῦ *ἑκατὸν ἀμνῶν* » (Γενέσ. λγ, 19) (α). Πάλιν, εἶπον μὲν *οἰφὶ*

---

(α) *Ὅτι νόμισμα σημαίνει « τὸ ἑκατὸν ἀμνῶν » δείκνυσι λαμπρῶς ὁ πρωτομάρτυς Στέφανος, περὶ τοῦ αὐτοῦ χωρίου εἰπὼν « Ὠνήσατο τιμῆς ἀργυρίου »* (Πράξ. ζ, 16). *Εἰς μάτην τινὲς τρέπουσι τὸ ἀμνῶν εἰς τὸ μνῶν. Τὸ ἑϐρ.* Κεσίτα *(σημαίνει δὲ κυρίως, σταθμητὸν,* appensum) *ὅτι ὑπῆρχεν εἶδος νομίσματος (ἴσ. τεσσάρων σίκλων ἰσοστάσιον), ὁμολογοῦσιν οἱ ἐπισημότατοι τῶν κριτικῶν· καίτοι τινὲς μὲν νομίζουσιν ἄσημον, ἢ ἀχάρακτον, ἀργυρίου, ἢ χρυσίου διωρισμένον σταθμὸν, οἱ δὲ (τὸ ἀληθέςερον) νόμισμα, χάραγμα φέρον ἀμνὸν* (ϐλ. Bochart. Hierozoic. I. 2. 43. p. 433. — Criticos Sacros καὶ Rosenmüll. Annotat. in Genes. 33, 19. — Schleusn. Thes. v. Ἀμνὸς, Ἀμνάς). *Εὕρηται δὲ καὶ ἐν Κύπρῳ παρὰ τὸ Κίτιον νόμισμα φοινίκειον ἀρχαῖον, ἔχον τύπον ἀμνοῦ* (βλ. Wiseman Discours sur les Rapports entre la science etc. pag. 322. Ὁ δὲ σοφὸς Γεσένιος *οὔτι πάνυ ἀσφαλῶς ἓν τῶν συνήθων τοῖς Κυπρίοις ἐθέλει τοῦτο τὸ νόμισμα.* Gesen. Lexic. Hebraic. p. 909). *Ὑπῆρχε δὲ πάντως ἐπὶ τῶν πατριαρχῶν συνήθης ἡ χρῆσις τοῦ χαρακτοῦ νομίσματος, ὡς δείκνυται τρανῶς ἐκ τῶν εἴκοσι χρυσῶν,*

(ὡς μέτρον τῶν εἰς θυσίαν προσφερομένων· διὸ καὶ τοῖς ἑλληνίζουσιν Ἰουδαίοις λέξιν συνήθη), εἶπον δὲ καὶ *τρία μέτρα*, ἐξηγοῦντες τὸ *οἰφὶ*, καὶ ἅμα διορίζοντες καὶ ἄλλο μέτρον, τὸ Γομὸρ (Homer τὸ μικρὸν), « τὸ δέκατον τῶν τριῶν μέτρων », ἤτοι τοῦ οἰφὶ (Ἐξόδ. ις, 22, 32, 36). Αὐτὸ δὲ τὸ Γομὸρ τάξαντες ἐπὶ μέτρου, ἔπειτα τὴν ἑτέραν αὐτοῦ σημασίαν ἐξελλήνισαν *δράγμα* (ἐφ' ᾧ μάτην Ὅδιος ἠγανάκτει· βλ. ὄπισθ. σελ. 616, καὶ τὸν Γεσένιον Λεξ. ἑβρ. σελ. 779). Οὕτω καὶ τὸ μέτρον *εἴν*, ἢ ἴν (hin)

---

*καὶ τῶν* 1000 *διδράχμων* (Γεν. λζ. κ, 16; 28). Καὶ αὐτὴν δὲ τὴν ἐκ τοῦ κεχαραγμένου τύπου τοῦ ἀμνοῦ παρωνυμίαν τοῦ νομίσματος παραβάλλοις ἂν πρὸς τὰ ἀρχαῖα ἑλληνικὰ, τὰ, « β ο ῦ ς (ἐξ οὗ καὶ τὸ δεκάβοιον), καὶ γ λ α ῦ ξ (Ἀθηναίων τετράδραχμον), καὶ τ ο ξ ό τ η ς (Δαρεικὸς), καὶ τὰ λατιν. pecunia ἐκ τοῦ pecus (πρόβατον), καὶ τὸ opes (κατά τινας) ἐκ τοῦ oves (ὄϊες)· δῆλα δὲ καὶ τῶν νεωτέρων τὰ Λ ε ό ν τ ε ι α, καὶ τὰ Σ τ α υ ρ ω τ ὰ, καὶ τὰ συνήθη Δ ί σ τ υ λ α, κτλ. καὶ ταῦτα μὲν ταύτῃ. — Ἐν δὲ Γενέσ. λα, 7 καὶ 41, οἱ Ο ἔχουσιν « ἤλλαξε τὸν μισθόν μου τῶν δέκα ἀμνῶν. » καὶ, « δέκα ἀ μ ν ά σ ι ». Ὅπου μετ' ἄλλων ὁ Γράβιος διώρθωσε δέκα μ ν ῶ ν, καὶ δέκα μ ν α ῖ ς, ἀντὶ τοῦ ἀ μ ν ά σ ι ν (ἐξ οὗ καὶ ἔν τισι τοῦ Ἀλεξανδρινοῦ ἐκδόσεσιν εἰσεχώρησεν ἡ ἄχαρις διόρθωσις), ἵνα διαλλάξῃ τοὺς Ο, πρὸς τὸ νῦν ἑβρ., ὅπερ ἔχει monim, τουτ. ἀριθμοὺς (ἢ φορὰς ἐπὶ ἀριθμοῦ, δέκα φορὰς, δ ε κ ά κ ι ς, ἀντὶ τοῦ πολλάκις ὡς εἶπεν ὁ Σύρος. Οὕτω καὶ Ἀκύλας· « ἤλλαξε τὸν μισθόν μου δέκα ἀριθμοὺς », καὶ Σύμμαχ. « δεκάκις ἀριθμῷ »)· ἀντὶ δὲ τούτου τοῦ monim (φασὶν) οἱ Ο ἀνέγνωσαν m a n a m (μνῶν). Ἀλλὰ τί κοινὸν τῷ διωρισμένῳ νομίσματι, τῇ μνᾷ, πρὸς τὴν ἔννοιαν τοῦ ἀ ρ ι θ μ ο ῦ; καὶ ποία τις ἡ ἐκ τούτου διαλλαγή; Ἄλλοι ἐξηγοῦσι τὸ δέκα ἀ μ ν ῶ ν ἀντὶ τοῦ κ α ι ρ ῶ ν, ὡ ρ ῶ ν, καθ' ἃς δηλονότι ἔτικτον τὰ πρόβατα (ἃ ἐποίμαινεν ὁ Ἰακὼβ), ὡς λέγεται παρὰ λατίνοις δ έ κ α θ έ ρ η (messes), καὶ δ έ κ α· θὲς τ ρ υ γ η τ ο ὶ καὶ τὸ ἑλληνικὸν, δέκα « χ ε ί μ α τ α, κ α ὶ π ο ί α ς » (Drusij etc. καὶ Schleusn. Thes. v. Ἀμνάς)· κατὰ δὲ ταῦτα σημαίνει καὶ ὧδε ὁ λόγος δ έ κ α ἔ τ η! (ἂν ὑποτεθῶσιν ἅπαξ τοῦ ἐνιαυτοῦ τίκτοντα τὰ πρόβατα). Ἀλλ' οὔτε τὸ δέκα ἀ μ ν ο ὶ δύναται σημαίνειν δ έ κ α τ ο κ ε τ ο ὺ ς ἀμνῶν (ἵνα πρὸς τὸ δέκα θ έ ρ η κτλ. ἡ φράσις ἀναλογῇ), καὶ τὰ δέκα ταῦτα ἔτη, ἢ καιροὶ, ο ὐ δ ὲ ν ἔ χ ο υ σ ι ν ἐκ τῆς ἱερᾶς ἱστορίας μαρτύριον. Τὸ μόνον ἀληθές ἐστιν, ὅτι οἱ Ο ἄλλως ἀνέγνωσαν, καὶ ὅτι μετέφρασαν ὀρθῶς, δείκνυσι τὸ §. 41. « Ταῦτά μοι εἴκοσιν ἔτη ἐγώ εἰμι ἐν τῇ οἰκίᾳ σου. Ἐδούλευσά σοι δεκατέσσαρα ἔτη ἀντὶ τῶν δύο θυγατέρων σου, καὶ ἓξ ἔτη ἐν τοῖς προβάτοις σου, καὶ παρελογίσω τὸν μισθόν μου δέκα ἀ μ ν ά σ ι ν ». — Ἐν τούτῳ τοίνυν τῷ ἑξαετεῖ χρόνῳ ὁ Λάβαν παρελογίσατο τὸν μισθὸν τῶν δέκα ἀμνῶν, « Οὓς (φησιν Ὠριγένης) συνέθετο αὐτῷ δοῦναι, καίπερ οὐδαμοῦ φαίνεται ὅτι συνέθετο, ἀλλ' ἀφ' ὧν αὐτὸς λέγει φανερόν ἐστι· πολλάκις οὖν ἡ Γραφὴ ἃ ἐν τῷ πράττεσθαι οὐκ ἐξηγήσατο, διά τινος ἐξηγουμένου ἐδήλωσε » κτλ. Ὠριγέν. Σχόλ. αὐτόθ. (ἐν τῇ Σειρᾷ εἰς τὴν Ὀκτάτευχ. σελ. 379).

ἐξελλήνισαν μὲν καὶ *χοῦν*, ἐπὶ κοινῆς χρήσεως (Λευΐτ. ιθ, 36), κατέλιπον δὲ καὶ ἀμετάφραστον ἐπὶ τῶν εἰς θυσίαν προσφερομένων (Ἐξόδ. κθ, 40)· ὡς μηδὲ ταύτην τὴν φωνὴν οὖσαν ἄγνωστον τοῖς ἀκριβῶς τηροῦσι τὰ πάτρια ἑλληνισταῖς Ἰουδαίοις. Τὸ δὲ Log κοτύλην ἐξήγησαν (Λευΐτ. ιδ, 10). *Κόρον* δὲ, τὸ Chomer (μέγα μέτρον, τοῦ Γομὸρ παρὰ πολὺ διάφορον, περιέχον οἰφὶ δέκα, ὡς ἡ ἀρτάβη. βλ. ὄπιθ. σελ. 616.). Τὸ δὲ Κόρος (καὶ τοῦτο ἐκ τοῦ ἑβρ. Kor) ἔοικε πρὸ τῶν Ο παρὰ τοῖς Ἀλεξανδρεῦσι καὶ Σύροις ἑλληνικῆς πολιτείας μετασχόν. Καὶ τὸ Kikar (σταθμὸν 3000 σίκλων ἱερῶν) ὀρθῶς ἡρμήνευσαν *τάλαντον*. Καὶ πάλιν μνᾶν (ἐπὶ σταθμοῦ καὶ νομίσματος) τὸ mane (ἐξ οὗ τινες παράγουσιν οὐ πάντῃ πιθανῶς καὶ τὸ ἑλληνικὸν μνᾶ, λατιν. mina), *καὶ* ἄλλα τοιαῦτα (α).

§. ϛ. Θαυμαστοὶ τῆς σαφηνείας οἱ Ο καὶ δι' ἐκεῖνο μάλιστα· ὅτι τὰ μὴ κύρια μηδὲ σαφῆ μεταφράζουσι διὰ τῶν κυρίων καὶ πολιτικῶν ὀνομάτων, ἐπισημότατα δηλούντων τὸ ὑποκείμενον Τῷ γὰρ παλαιάν τινα συγγραφὴν εἰς ἄλλην μεθερμηνεύοντι γλῶσσαν τὸ μὲν μεταφυτεύειν κατὰ λέξιν ἁπάσας τοῦ πρωτοτύπου τὰς καλλονὰς, δυσχερές· καὶ ἴσως οὐδενὶ τῶν θνητῶν ἐξεγένετο πώποτε. Ἄλλη γὰρ ἄλλων γλῶσσα, καὶ ἑκάστῃ ἔνεστι τὰ οἰκεῖα καλά. Φορτικὸν δὲ πάλιν καὶ ἀπειρόκαλον καὶ πολλῆς μικροφροσύνης δεῖγμα, καὶ εἴ τις, ὅπως δῆθεν ἀκριβὴς ᾖ καὶ πιστὸς περὶ τὴν ἑρμηνείαν, μεταφέροι καὶ αὐτῶν τῶν γραμματικῶν ἰδιωτισμῶν τοὺς ἄγαν ἐζητημένους, οἷον ἐλλείψεις, καὶ πλεονασμοὺς, καὶ μεταφορὰς μακρόθεν ἀρτωμένας, διαστρέφων τὴν φύσιν τῆς γλώσσης εἰς ἣν ποιεῖται τὴν μετάφρασιν. Ἀρκεῖ δὲ μόνον ἄν τις ἀποδιδοὺς κατὰ λέξιν τὰ παρ' ἀμφοτέραις ταῖς διαλέκτοις ἀποδεκτὰ καὶ φίλα καὶ συνήθη, ἔπειτα ἐν τοῖς ἄλλοις κατακευάζῃ τὸν λόγον οὕτως, ὥστε γίνεσθαι σαφὲς καὶ καταληπτὸν τὸ ἑρμηνευόμενον. Καὶ ταύτην οὖν τὴν μάλιστα πρὸς τὸ σαφὲς συμβάλλουσαν ἀρετὴν κατώρθωσαν οἱ Ο γέροντες, ἀποδόντες πολ-

---

(α) Βλ, Thiersch, *καὶ* Toepler l. c.

λάκις τὰ σπάνια διὰ τῶν συνηθεστάτων, καὶ τὰ μὴ κύρια καὶ σκοτεινὰ διὰ τῶν κυριωτάτων καὶ φανώτατα τὸ πρᾶγμα καταδηλούντων. Ἴδε τούτου παραδείγματα. — Γενέσ. γ, 8. τὸ ἑβραϊκὸν ἔχει « Πρὸς τὸν ἄνεμον τῆς ἡμέρας » (δηλονότι καθ' ἣν ὥραν ἐπιπνέει ὁ ἑσπερινὸς ἄνεμος), οἱ δὲ Ο, « *τὸ δειλινόν* ». — Γενέσ. ε, 22. κτλ. τὸ ἑβρ. « Περιπατεῖν μετὰ (ἢ ἐνώπιον) τοῦ Θεοῦ ». Οἱ δὲ Ο, *εὐαρεστεῖν τῷ Θεῷ*. — Γενέσ. ις, 2. « Ἴσως οἰκοδομήσομαι ἀπ' αὐτῆς » (τουτέςι, γενήσονταί μοι τέκνα, οἰκογένεια). οἱ Ο « *ἵνα τεκνοποιήσωμαι ἐξ αὐτῆς* ». — Γενέσ. ις. 12· « Ὄναγρος ἐν ἀνθρώποις ». οἱ Ο, « *ἄγροικος ἄνθρωπος* ». — Γεν. ιη, 1 « Ἐν αὐτῇ τῇ ζέσει τῆς ἡμέρας ». οἱ Ο, « *μεσημβρίας* ». — Γενέσ. μα, 41· « Ἐπὶ τῷ στόματί σου *φιλήσει* πᾶς ὁ λαός μου ». οἱ Ο, « ἐπὶ τῷ στόματί σου *ὑπακούσεται πᾶς*, κτλ. — Γεν. μγ, 11. « Ἆσμα τῆς γῆς » (οὕτως ὁ Ἑβραῖος λέγει τὰ κάλλιςα καὶ περιᾳδόμενα προϊόντα)· οἱ Ο « τῶν καρπῶν τῆς γῆς ». — Γεν. μδ. 21. « Καὶ ἐπιβαλῶ τὸν ὀφθαλμόν μου ἐπ' αὐτῷ ». οἱ Ο « *καὶ ἐπιμελοῦμαι αὐτοῦ* ». — Γενέσ. μθ, 3. « Ἀρχὴ ἰσχύος μου » (ὁ πρωτότοκος)· οἱ Ο « *Ἀρχὴ τέκνων μου* » (πρβλ. Δευτερ. κα, 17). — Γενέσ. μθ, 10. « Οὐκ ἀποχωρήσει σκῆπτρον ἐξ Ἰούδα, οὐδὲ σκήπων ἀπὸ τῶν ποδῶν αὐτοῦ »· οἱ Ο, οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ ». — Γενέσ. ν, 4. « Οἶκος Φαραώ »· οἱ Ο, « τοὺς δυνάςας Φαραώ. » — Ἐξόδ. ια, 8. « Πᾶς ὁ λαὸς, ὁ ἐν τοῖς ποσί σου ». οἱ Ο, « πᾶς ὁ λαὸς, οὗ σὺ ἀφηγῇ ». — Ἐξόδ. ιε, 8· Τῷ πνεύματι τῆς ῥινός σου ». καὶ, « ἐν καρδίᾳ θαλάσσης ». οἱ Ο « *Διὰ πνεύματος τοῦ θυμοῦ σου* »· καὶ, « *ἐν μέσῳ θαλάσσης* ». — Ἐξόδ. κβ, 29 « Τὸ πλήρωμά σου, καὶ τὰ δάκρυά σου ». (οἱ ξηροὶ καὶ ὑγροὶ καρποί). οἱ Ο, « *Ἀπαρχὰς ἅλωνος, καὶ ληνοῦ σου* »· — Ἐξόδ. κϛ, 26 « Συντρίψω ἡμῖν βακτηρίαν ἄρτου ». οἱ Ο, « *Ἐν τῷ θλίψαι ὑμᾶς σιτοδείᾳ ἄρτων* ». — Ἀριθμ. Ι. 31. « Καὶ ἔσῃ ὑμῖν ἀντ' ὀφθαλμῶν »· οἱ Ο, καὶ ἔσῃ ἐν ἡμῖν πρεσβύτης ». — Ἀριθμ. ιδ. 9. « Ἀνεχώρησεν ἡ σκιὰ αὐτῶν ἀπ' αὐτῶν »· οἱ Ο « Ἀφέστηκε γὰρ ὁ *καιρὸς* ἀπ' αὐτῶν » (τουτέςιν ὁ πρόσφορος χρόνος).

Ἀριθμ. ιη, 12. « Λίπος ἐλαίου, καὶ λίπος οἴνου (pinquedo)· οἱ Ο· « ἀπαρχὴ ἐλαίου, καὶ ἀπαρχὴ οἴνου. — Ἀριθμ. κδ. 7. Ἐκρεύσει ὕδωρ ἐκ τῆς κλεψύδρας αὐτοῦ, καὶ τὸ σπέρμα αὐτοῦ ἔσται ἐν ὕδασι πολλοῖς »· οἱ Ο. « Ἐξελεύσεται *ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ*, καὶ κυριεύσει *ἐθνῶν πολλῶν* » — (Ἀριθ. κδ, 17) « Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼϐ καὶ *ἀναστήσεται ῥάϐδος* (ἄλλ. σκῆπτρον) ἐξ Ἰσραὴλ, καὶ συντρίψει *πλευρὰ* (τὰ κλίτη, ἄλλ. τὰς γωνίας) Μωὰϐ » οἱ Ο « Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼϐ, *καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ*, καὶ θραύσει *τοὺς ἀρχηγοὺς* Μωάϐ » (α). — Δευτερ. ιγ, 16. Καὶ ἔσται (ἡ πόλις) σωρὸς (cumulus) εἰς αἰῶνα »· οἱ Ο, « *ἀοίκητος* »· — Δευτερ. κε, 2. « Υἱὸς πληγῶν· οἱ Ο « *ἄξιος* πληγῶν ». λϐ, 11. « (Διεὶς τὰς πτέρυγας) φέρει αὐτοὺς *ἐπὶ τῶν πτερῶν αὐτοῦ* »· οἱ Ο, « ἀνέλαϐεν ἐπὶ *τῶν μεταφρένων αὐτοῦ* ». Οὕτω καὶ τὸ μεταφορικὸν, ὁ βράχος, ἡ πέτρα (ἐπὶ Θεοῦ) μεθηρμήνευσαν ἐπὶ τὸ κύριον, *Θεὸς*, καὶ ἄλλα πάμπολλα. Καὶ ὁπόταν δὲ τὰς τοιαύτας μεταφορικὰς καὶ μὴ κυρίας ἐκφράσεις ἀποδιδῶσιν (ὡς ἀπαντώσας συχνάκις, ἢ καὶ ὡς εἰθισμένας τινὰς παρὰ τοῖς ἑλληνισταῖς Ἰουδαίοις), καὶ τότε τούτων τὴν τραχύτητα πολλάκις ὑπομαλάττουσιν·

---

(α) Καὶ ἡ Βουλγάτα Duces. Ὁ *Σύρος, τοὺς δυνατούς*. Καὶ ὁ *συχνάκις τοὺς Ο μεταγράφων* Ὄγκελος, « *τοὺς ἡγεμόνας* Μωάϐ». [*Σημείωσαι δὲ παροδικῶς, ἀναγνῶστα, καὶ τὸ θεοφόρητον τῶν* Ο, *κἂν τούτῳ τῷ χωρίῳ τῷ προφητεύοντι τὴν ἔλευσιν τοῦ* Σωτῆρος Χριστοῦ. Τὸ *μὲν γὰρ* « Ἀνατελεῖ *ἄστρον ἐξ* Ἰακὼϐ » *ἀπέδωκαν κατὰ λέξιν (διὰ τὸν κατὰ τὴν γέννησιν τοῦ* Βασιλέως *τῆς δόξης ἀνατελεῖν μέλλοντα ἀστέρα*). Ἀντὶ *δὲ τοῦ ῥάϐδος, ἢ σκῆπτρον, παριδόντες τὴν μεταφορὰν, κυρίως ἡρμήνευσαν « ἄνθρωπος », λίαν ἐμφαντικῶς προδηλοῦντες καὶ προϋπογράφοντες τὸν ἐκ γένους* Ἰσραὴλ, *τὸ κατὰ σάρκα, τεχθησόμενον υἱὸν τοῦ ἀνθρώπου καὶ θεάνθρωπον* Κύριον. Ὅτι *δὲ καὶ τὸ ἐφεξῆς* « Καὶ *προνομεύσει τοὺς υἱοὺς* Σὴμ » *σημαίνει τὸ καθυποτάξει (εἰς τὴν αἰώνιον αὐτοῦ βασιλείαν) τοὺς υἱοὺς τῶν ἀνθρώπων (« δώσω σοι γάρ, φησιν, ἔθνη τὴν κληρονομίαν σου »), ἡρμήνευσαν οἱ ἱεροὶ τῆς* Ἐκκλησίας *διδάσκαλοι (βλ. τὴν Σειρὰν αὐτόθι)*. Ἀλλὰ *καὶ αὐτὸς ὁ* Μαϊμονίδης, *καὶ ὁ* Χαλδαῖος *παραφραστὴς ἐπὶ τοῦ* Μεσσίου Χριστοῦ *ἐξέλαϐον τὴν προφητείαν· καὶ τὸ* « Καὶ *προνομεύσει » κτλ. ὡσαύτως ἑρμηνεύουσι.* « Dominabitur in omnes filios hominum ». *βλ.* Vatable *καὶ* Grot. Annot. in Num. h. l. Τῶν *δὲ νεωτάτων κριτικῶν πολλοὶ καὶ ματαιόφρονες καὶ ὑπὲρ τοὺς ῥαϐϐίνους ἐν τούτοις ἰουδαΐζουσι* !

οἷον, τὸ « φρέαρ ὕδατος ζωῆς, εἶπον « *ὕδατος ζῶντος* » (Γενέσ. κϛ. 19). Καὶ τὸ ποιητικώτερον « κύριοι τόξων (Γενέσ. μθ, 28), εἶπον κοινότερον « τοξευμάτων » (κατὰ μετάληψιν). Τὸ δὲ, « μετὰ *στέατος νεφρῶν πυροῦ* (δηλαδὴ μετὰ πυροῦ, σιτίνου ἀλεύρου, τροφιμωτάτου καὶ πιοτάτου· ὁποῖον καὶ παντὸς ἄλλου στέατος πιμελέστατόν ἐστι καὶ ἥδιστον τὸ λίπος τὸ ἐπινέφριον· τοιοῦτό τι καὶ τὸ Ὁμηρικόν· « ἄλφιτα, μυελὸς ἀνδρῶν »), καὶ τὸ, « *Αἷμα σταφυλῆς* » (δηλαδὴ τὸν ἐρυθρὸν οἶνον, κατὰ τὴν τοῦ γράμματος θεωρίαν), καὶ ὅσα τοιαῦτα ποιητικῆς ὑψηγορίας ἴδια (καὶ μάλιστα ἐν ταῖς ᾠδαῖς) ἀπαραλλάκτως ἐξέφερον, ὡς ἔχει καὶ τὸ ἑβραϊκόν· διότι, καίτοι ποιητικώτερα, σαφηνείας ὅμως οὐκ ἀμοιροῦσι (α).

§. ζ. Κατορθοῦσι τὴν σαφήνειαν καὶ μεταποιοῦντες τὰ ἀφηρημένα εἰς εἰδικὰ καὶ συγκεκριμένα· καὶ ἅμα δι' ἐκλογῆς ὀνομάτων προσφυετέρων ὁρίζουσι καὶ ἐπιλαμπρύνουσι τὸν ἑβραϊκὸν λόγον. Ἰδοὺ καὶ τούτου δείγματα. —Γενέσ. β, 18 τὸ ἑβρ. « Ποιήσωμεν αὐτῷ *βοήθειαν* (ἢ βοήθημα, auxilium, ἢ κατ' ἄλλους adjudorium) ἐνώπιον αὐτοῦ » (ἢ παρ' αὐτῷ)· οἱ Ο, « ποιήσωμεν αὐτῷ *βοηθὸν κατ' αὐτόν* ». — Γενέσ. ιϐ, 2. Καὶ ἔσῃ *εὐλογία*· οἱ Ο, « Καὶ ἔσῃ *εὐλογημένος* ». — Λευϊτ. ιθ, 32, « Ἐνώπιον *πολιᾶς* ἀναστήσῃ »· οἱ Ο, « Ἀπὸ προσώπου πολιοῦ ἐξαναστήσῃ ». — Ἀριθμ. γ, 32. Ἐπιστασία (praefectura) τῶν φυλασσόντων τὴν φυλακὴν τοῦ ἁγιαστηρίου »· οἱ Ο « Καθεσταμένος φυλάσσειν τὰς φυλακὰς τῶν ἁγίων ». — Δευτερ. κα, 23. « Κατάρα Θεοῦ ἐστιν ὁ κρεμάμενος ἐπὶ ξύλου »· οἱ Ο, « Κεκατηραμένος ὑπὸ Θεοῦ *πᾶς* κρεμάμενος » κτλ. — Δευτ. λϐ, 28 « Ἐφ' ὑμᾶς *προστασία* (ἄλλ. *ἀποκρυβή*) »· οἱ Ο « σκεπασταί ». — Γενεσ. μ, 14: Ἐκ *τοῦ οἴκου* τούτου (τῆς εἱρκτῆς)· οἱ Ο « ἐκ *τοῦ ὀχυρώματος* τούτου ». — Ἐξόδ. κα, 26. « Ἐάν τις πατάξῃ ὀφθαλμὸν οἰκέτου, — καὶ *βλάψῃ* αὐτόν »· οἱ Ο, « ἐκτυφλώσῃ ». — Δευτερ. ιε, 14: « Δώσεις αὐτῷ ἐκ τοῦ ἅλωνός σου, καὶ ἐκ τοῦ ληνοῦ σου »· οἱ Ο, « Ἐκ τοῦ σίτου σου καὶ ἐκ τοῦ οἴνου σου ». — Δευτερ.

(α) Βλ. Toepler l. c. p. 45.

κη, 30. « Ἀμπελῶνα φυτεύσεις, καὶ οὐ *βεβηλώσεις* (profanabis) αὐτόν »· οἱ Ο, « καὶ οὐ μὴ *τρυγήσεις αὐτὸν* » (πρβλ. κ, 9).-Δευτ. λϐ. 10. « Εὗρεν αὐτὸν ἐν ἐρήμῳ ὀλολυγμοῦ, ἐν ἀχανείᾳ » (vastitate. ἄλλ. vasta solitudine)· οἱ δὲ Ο (καὶ τελειότερον ἀναγνόντες καὶ σαφέστερον ἐξηγήσαντες) « Αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἐν δίψει καύματος, ἐν γῇ ἀνύδρῳ » (α). Καὶ ἐφεξῆς (αὐτόθ. §. 11) « Ὡς ἀετὸς *ἐξεγείρει* (ἢ παρορμᾷ, excitat) τὴν νοσσιὰν αὐτοῦ »· οἱ Ο « *σκεπάσαι νοσσιὰν* αὐτοῦ ». Τοιαῦτα καὶ ἄλλα μυρία οὐ μόνον ἐν τῇ Πεντατεύχῳ, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἱεροῖς τεύχεσι πολλαχοῦ διαλάμποντα. Τούτοις προστεθείσθωσαν καὶ ὅσα μετὰ τῆς σαφηνείας ἅμα καὶ ἀκριβείας ἔχουσιν ἐπανθοῦσαν καὶ τὴν σεμνολογίαν (ὅσα οἱ δεινοὶ τῶν κριτικῶν ἀπέδωκαν εἰς ὃν ἐφαντάσθησαν *εὐφημισμόν*. βλ. ὄπισθ. σελ. 832). Οὕτω, Δευτερον. κη, 30· « (γυναῖκα λήψῃ) καὶ ἀνὴρ ἕτερος μοιχεύσει (stupraverit) αὐτήν ». — οἱ Ο, « ἀνὴρ ἕτερος *ἕξει αὐτήν* ». Ὡσαύτως καὶ τὸ Ἐξόδ. κϐ, 27 « ἱμάτιον τοῦ δέρματος αὐτοῦ » (τῆς γυμνώσεως)· οἱ Ο, « ἱμάτιον τῆς ἀσχημοσύνης αὐτοῦ » (τὸ καλύπτον τὴν ἀσχημοσύνην αὐτοῦ· ὡς ἐν Ὠσηὲ, β, 10: Ἐξόδ. κ, 26. οἷον καὶ τὸ Ὁμηρικὸν, *τά τ' αἰδῶ ἀμφικαλύπτει*)· καὶ ἐν Δευτ. κγ, *ἀσχημοσύνη* (ὅπου τὸ ἑϐρ. κόπρος, ἀκαθαρσία, excrementa). Τοιοῦτο καὶ τὸ *προσώχθισεν* (ὅπου τὸ ἑϐρ. ἐξήμεσεν) ἡ γῆ, κτλ. Περὶ δὲ τοῦ παραδειγματίζειν προείπομεν (α).

---

(α) Τὸ ἑϐρ. Jimzachu ἐκ τοῦ maza σημαίνει καὶ τὸ εὑρίσκειν, καὶ τὸ ἀρκεῖν, ἢ ἐπαρκεῖν τινι (ὡς Ἀριθμ. ια, 22· ὅθεν καὶ ἀρέσκειν. Κριτ. κα, 14. ϐλ. Gesenij Lex. Hebr. p. 607. πρϐλ. Grot. καὶ Fagij Annot. ad. Deuter h. l.). ἀλλὰ τὸ εὑρίσκειν πόσον ἀκατάλληλον ἐνταῦθα, φανερόν· ὁ Θεὸς ἤ γ α γ ε καὶ ὡ δ ή γ η σ ε ν, οὐχ ε ὗ ρ ε ν ἐν τῇ ἐρήμῳ τὸν Ἰσραηλιτικὸν λαόν. Οἱ δὲ Ο οὐχ ἧττον εὐφραδῶς, ἢ ἀκριϐῶς καὶ σαφῶς ἡρμήνευσαν « α ὐ τ ά ρ κ η σ ε ν αὐτὸν » κτλ. καὶ τὸ Σαμαρ. ἐ ν ί σ χ υ σ ε ν αὐτὸν (confortavit), καὶ ὁ Λατῖνος, sufficientem eum sibi fecit etc. καὶ Ὄγκελος « « tribuit eis necessaria in loco sicco, ubi non erat aqua » etc. πρϐλ. Rosenmüll. Schol. in h. l.

(ϐ) Βλ. Toepler l. c. §. 17, 18. pag. 42—46. *Τοιαῦτα καὶ ἄλλα εἶχε προσθεῖναι ὁ σοφὸς* Τοίπλερος, *κοσμήσας δι' αὐτῶν καὶ τὰς σελίδας ἐκείνας, ἃς ἐπλήρωσεν, ἐξ ὧν λέγει παραλληλισμῶν, ἢ ἐξισώσεων, καὶ φιλοσοφημάτων, καὶ τῶν ποικίλων ἀποπλανήσεων* (halucinationes) *τῶν* Ο, *μωμούμενος καὶ τὰ ἀμώμητα* (*ὡς καὶ Θήρσιος ἐσημείωσε.* Thiersch l. c. pag. 34), *καὶ πολλὰ παρερμηνεύων. Οὕτω, φέρ'*

§. η. Εἰς τὴν σαφήνειαν ἀνήκουσι καὶ ὅσα σπανιώτατα πρὸς ἐπεξήγησιν ὀνόματός τινος ἐπισυνῆψαν, σαφέστερον τὸ πρᾶγμα καθιστῶντες. Ὡς ἐπί τινων γεωγραφικῶν, ἐν οἷς πρὸς τῷ ἑβραϊκῷ προσέθηκαν καὶ τὸ ἑλληνικώτερον καὶ συνηθέστερον. Οἷον « Τὴν Ὢν ἥ ἐστιν Ἡλιούπολις » (Ἐξόδ. α, 11 καὶ Γενέσ. μα, 45) (α)· καί, Καριὰθ σεφὲρ, *πόλις γραμμάτων*· καὶ, Βαιθσὰν, Σκυθῶν πόλις (Κριτ. α, 11, 27), Διακοπὴ, φαρασὶν, κτλ. Καὶ ἐν ἄλλοις δέ τισι πρὸς τῷ ἑβραϊκῷ παρετίθουν ἐκ παραλλήλου καὶ τὸ ἑλληνικὸν, οἷον τὸ Ἀδωναΐ, Κύριε (βλ. ὄπισθ. σελ. 884), καὶ ἄλλα περὶ ὧν προείπομεν (σελ. 662). Ἀλλὰ καὶ ἐν τούτοις οὐκ ἀχάλινον εἶχον τὸν κάλαμον, προστιθέντες ἀλόγως ἐξ ἑαυτῶν (ὡς οἱ κριτικοὶ τούτους διαβάλλουσιν), ἀλλ' ἐστοίχουν τῷ κανόνι τοῦ ἱεροῦ πρωτοτύπου, ἐν ᾧ πολλάκις οἱ θεόπνευστοι συγγραφεῖς ἐπιφέρουσι καὶ ἐπεξηγήσεις· οἷον ἐθνῶν ἐπωνυμίας (Δευτ. β, 10—23 : γ, 9—10), κα

---

εἰπεῖν, ψέγει τοὺς Ο, διότι ἀντὶ τοῦ ὄ ρ ο ς Ὢ ρ, ὡς ἔχει τὸ ἑβρ. Ἀριθμ. λθ, 4, αὐτοὶ (ἀναγνόντες κακῶς Ἂρ, Har=ὄρος, ἀντὶ Ὢρ, Hor) ἔγραψαν « Παρὰ τὸ ὄρος, τὸ ὄρος » Ἀλλ' ἔπρεπε μᾶλλον, ἵνα καὶ αὐτὸς, ἐν τῷ ἑβραϊκῷ Ἂρ (Har) ἀναγνῷ, καὶ μὴ Ὢρ (ὡς ἐτόνισαν οἱ Μασορῖται). Οὔτε γὰρ Ο αὐτοὶ καὶ ἀνέγνων καὶ ἔγραψαν ὅπου ἔπρεπε τὸ Ὢρ (Ἀριθμ. κ, 22 : λγ, 37)· καὶ ἐν τούτῳ τῷ χωρίῳ ἄλλο τι ὄρος δηλοῦται, καὶ οὐχὶ τὸ Ὢρ· δείκνυται δὲ καὶ ἐκ τῶν ἐφεξῆς ἐδαφίων τοῦ αὐτοῦ κεφαλαίου. Ὅθεν δικαίως καὶ οἱ νεώτεροι κριτικοὶ ἀνώνυμον τοῦτο τὸ ὄρος ἔκριναν, καὶ ἐξέλαβον οὐκ ἀπιθάνως, τὸν Λίβανον, ἢ μέρος, καὶ ἀκρωτήριον τούτου (βλ. Reland. Palaestin. p. 119, καὶ Rosenmüll. Schol. in h. l. πρβλ. Crit. Sacros. ibid.). Οὐδ' ὑπῆρχεν ἀναγκαῖον (λέγουσι) προστεθῆναι καὶ τὸ ὄνομα τοῦ ὄρους, ὡς ἐπισήμου τοῦ Λιβάνου ὄντος καὶ γνωστοῦ· ὅθεν καὶ ἐνταῦθα φαίνεται κατ' ἐξοχὴν ὄρος κεκλημένος. Καὶ ὀρθῶς λοιπὸν εἶπον οἱ Ο, παρὰ τ ὸ ὄ ρ ο ς, τ ὸ ὄ ρ ο ς, καὶ ἡ Βουλγάτα, ὄ ρ ο ς ὑ ψ η λ ό τ α τ ο ν (mons altissimus). Har. ἀνέγνω, καὶ ἀντὶ τοῦ Λιβάνου, ἤ τινος ὑψηλοῦ ἀκρωτηρίου ἐξέλαβε καὶ ὁ κλεινὸς De Labord, Comment. Géographiq. sur l'Exode etc. pag. 139.

(α) Κατὰ τὸ ἑβραϊκ. καὶ τὸ Ὢν, καὶ τὸ Ἡλιούπολις λείπει ἐν Ἐξόδ. α, 11· ἴσως ἡ ῥαββινικὴ σοφία ἐξέκοψε τὴν Ὢ ν, ὡς πολὺ πρὸ τῶν Μωσέως χρόνων ὑφεστῶσαν (βλ. Γενέσ. μα, 45). Ἀλλὰ καὶ ἡ Ῥαμεσσῆ (ἣν ἔχει τὸ ἑβρ. ἐν Ἐξόδ. α, 11) προϋπῆρχε, καὶ πρὶν Ἰακὼβ εἰς Αἴγυπτον καταβῇ (Γενέσ. μζ, 11). Τὸ δὲ (ἐν Ἐξόδ. α, 11) « Ὠ κ ο δ ό μ η σ α ν » (οἱ υἱοὶ Ἰσραὴλ) « πόλεις . . . τὴν Ῥ α μ ε σ σ ῆ, καὶ Ὢ ν » κτλ. σημαίνει τὸ ἀνεκαίνισαν, ἢ ὠχύρωσαν, ἐκραταίωσαν (βλ. Rosenmüll. Schol. in h. l.).

μάλιστα πόλεων, καὶ τόπων ὀνόματα. Τοιαῦτα τὰ Γενέσ. ιδ, 7. « Πηγὴ κρίσεως » (ἑβραϊςὶ Ἔν-Μισπάτ.)· « *αὕτη ἐστὶ Κάδης* ». Καὶ « Μαμβρῆ, *αὕτη ἐστὶ Χεβρών* »· Καὶ, « Εὐφραθὰ, *αὕτη ἐστὶ Βηθλεὲμ* (Γενέσ. κγ, 19: βλ. καὶ λε, 19: μη, 7). Καὶ, « Ἐπὶ τοῦ ὄρους Σιὼν, *ὅ ἐστιν Ἀερμὼν* (Δευτερον. δ, 48). Καὶ, « Ἰεβοὺς, αὕτη ἐςὶν Ἱερουσαλὴμ » (Κριτ. I. 12: ἡ δ᾿ αὐτὴ καὶ Σαλὴμ ἐκαλεῖτο. Γενέσ. ιδ, 18), καὶ ἄλλα τοιαῦτα (α). Εἰς τοὺς ἱεροὺς συγγραφεῖς ἀνήκουσι (νομίζομεν) καὶ ἄλλαι παρενθέσεις εἰς ἐπεξήγησιν τινῶν ὀνομάτων, ἅς τινες τῶν νεωτέρων ὑπέλαβον ὡς ὑπ᾿ αὐτῶν δῆθεν τῶν Ο προστεθείσας εἰς ἐπεξήγησιν, διότι λείπουσιν αὗται ἐκ τοῦ νεωτέρου ἑβραϊκοῦ· οἷον τὸ ἑξῆς· « Ἰσσάχαρ, *ὅ ἐστι μισθὸς* » (Γενέσ. λ. 18). Καὶ τὸ, (« Ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Μωὰβ) » λέγουσα· « *Ἐκ τοῦ πατρός μου* ». Καὶ τὸ (ἐκάλεσεν τὸ ὄνομα Ἀμμὰν), « λέγουσα· « *Ὁ υἱὸς τοῦ γένους μου* » (Γενέσ. ιθ, 37, 38) (β). Ταῦτα δέ τινες τῶν

---

(α) *Ὅσοι δὲ τῶν νεωτέρων κριτικῶν καθάπτονται τῆς γνησιότητος καὶ αὐτοῦ τοῦ ἑβραϊκοῦ πρωτοτύπου, προβάλλονται δῆθεν ὡς ἀποδείξεις τὰς τοιαύτας ἐπεξηγήσεις, (καὶ μάλιστα τῶν ὀνομάτων τῶν μετὰ τοὺς* Μωσέως *χρόνους ὀνομασθέντων, ὡς τὸ « Ἱ ε ρ ο υ σ α λ ή μ » κτλ.), καὶ τινας ἄλλους νεωτέρους φαινομένους τόπους, καὶ περικοπὰς, οἷον καὶ τὸ τέλος τοῦ Δευτερονομίου, ὅπου ἱστορεῖται τοῦ* Μωσέως *ἡ τελευτὴ κτλ.* Ἀλλὰ *τοῦτο μὲν τὸ τέλος ἔγραψεν ὁ* Ναυΐδης Ἰησοῦς, *καὶ πάλιν τὰ νεώτερα φαινόμενα τόπων ὀνόματα προσέγραψαν οἱ θεόπνευστοι προφῆται (ὡς ὁ Σαμουὴλ, ἢ ὁ Δαβίδ) πρὸς ἀναγκαίαν τῶν χωρίων διασάφησιν.* Τοῦτο *καὶ οἱ* Ο *ἐποίησαν ὅπου ἔδει. οἱ δὲ κενόσοφοι κριτικοὶ μάτην κατ᾿ ἀμφοτέρων τῶν ἱερῶν κειμένων ἐκχέουσι πικρίας χολήν.*

(β) Τὸ (Ἰσσάχαρ) « *ὅ ἐ σ τ ι μ ι σ θ ό ς* » *μνημονεύει καὶ ὁ* Φίλων, *ὡς* Μωσέως *λόγους·* « Ἰσσάχαρ — *ἐφ᾿ οὗ φησὶ* Μωσῆς — *ἐστὶ μισθός* » (Νόμ. Ἀλληγ. *τόμ. α. σελ.* 59). Καὶ Ἰώσηπος· « Ἰσσάχαρις — *σημαίνων τὸν ἐκ μισθοῦ γινόμενον* » (Ἀρχ. *α, ιθ.* §. 8). Ἐκ *τούτου λαβόντες τὴν ἀφορμὴν, καὶ οὗτος (αὐτόθι.), καὶ* Φίλων (*τόμ. α. σελ.* 663) *προσέθηκαν καὶ ἐπὶ τῶν ἄλλων υἱῶν τοῦ* Ἰακὼβ *τὰς ἐτυμολογίας.* (Ἔχει *δὲ ταύτας καὶ τὸ ἱερὸν κείμενον συνεπτυγμένως· οἷον·* « Ἔ *κ ρ ι ν έ μοι* · — *καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ* Δὰν » [= *ἔ κ ρ ι ν ε ν· οἷον* Κρίτωνα]· *καὶ,* « Ἐ *ν τ ύ χ ῃ* · — *καὶ ἐπωνόμασε* — Γ *ά δ* [= *τύχη·* οἷον Τύχωνα] *κτλ. βλ.* Γενέσ. *λ*). Εἰ *δὲ καὶ εἰς τὸ* Ἰσσάχαρ *πρόσκειται ἰδίως ἡ ἐπεξήγησις, ἴσως μὲν ὕπεστι καὶ λόγος τις μυστικός· ἐτέθη δὲ καὶ ἅπαξ, ὡς παράδειγμα τῆς ἐπεξηγήσεως καὶ τῶν λοιπῶν ὀνομάτων.* (Εἰ *δὲ καὶ οἱ* Ο *προσετίθουν τὴν ἐξήγησιν αὐτοὶ, τί μὴ καὶ τοῖς ἄλλοις ὀνόμασι τῶν* Ἰακώβου *τέκνων παρομοίως προσέθηκαν;).* Ὁ *δὲ μακάριος* Ἱερώνυμος, *καὶ τινες τῶν νεωτέρων κριτικῶν μετὰ τῶν ῥαββίνων, καὶ αὐτὸ καθ᾿ ἑαυτὸ τὸ* Ἰ *σ σ ά χ α ρ διαιροῦντες εἰς τὸ* isch

κριτικῶν οὐ μόνον τοῦ ἑβραϊκοῦ, ἀλλὰ καὶ αὐτῶν τῶν Ο ἀλλότρια νομίζουσι, παρενθήκας λέγοντες παρεισφρησάσας εἰς τὸ κείμενον ἐκ τοῦ περισελίδου, ὅπου τινὲς τῶν ἀρχαίων (ὡς Ὠριγένης, καὶ ἄλλοι) ἐκ φιλομαθείας ἐσημείουν τῶν ἑβραϊκῶν ὀνομάτων τὰ σημαινόμενα. Ἀλλὰ κατὰ τὴν κρίσιν ταύτην, ὥρα τούτοις ἂν εἴη ἐξοβελίζειν ἐκ τοῦ ἱεροῦ κειμένου καὶ τὰς ἄλλας τὰς τοιαύτας ἐτυμολογικὰς ἐπεξηγήσεις, αἵτινες κεῖνται καὶ ἐν τῷ ἑβραϊκῷ· οἷον τὸ (ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Μωσῆν·) « λέγουσα. Ὅτι *ἐκ τοῦ ὕδατος αὐτὸν ἀνειλόμην* »· καὶ πάλιν, (ἐκάλεσεν αὐτὸν Νῶε) « λέγων· « Οὗτος *διαναπαύσει* ἡμᾶς (Γενέσ. ε, 29. πρβλ. Γενέσ. γ, 20 κτλ.). Ἦσαν δ' ἂν οἱ ἄνδρες πολὺ δικαιότεροι, εἴπερ ἔκρινον καὶ ταῦτα μᾶλλον ἐλλείψεις τοῦ ἑβραϊκοῦ, οἵας καὶ ἐν ἄλλοις πέπονθε πολλάς· ἀλλὰ τὰ περὶ τούτων ἅλις. Ἱκανὰ δὲ καὶ τὰ τῆς πολλῆς τῶν Ο περὶ τὴν σαφήνειαν σπουδῆς ἐπενεχθέντα παραδείγματα, μεταβαίνομεν δὲ ἤδη καὶ εἰς τὰ περὶ τῆς εὐφραδείας.

---

(ἐστὶ) καὶ Schakar (*μισθὸς*) *ἑρμηνεύουσι, καὶ γράφουσιν* Ἔ σ τ ι μ ι σ θ ό ς (S. Hieron. Quaes. h. l. πρβλ. καὶ Bernard. not. εἰς Ἰώσηπ. ἔνθ. ἀνωτέρ.). Ὡσαύτως καὶ τοῦ Μ ω ὰ β *καὶ* Ἀ μ μ ὰ ν *τὰς ἐπεξηγήσεις ἔχει κατὰ τοὺς* Ο, *καὶ* Ἰώσηπος· » Μώαβον· *εἴποι δ' ἄν τις* ἀ π ὸ π α τ ρ ό ς. *Ἄμμανον δὲ*, — *γ έ ν ο υ ς υ ἱ ό ν* » (Ἀρχ. Α. ια, §. 5. *πρβλ. καὶ Φίλων. τόμ. α. σελ.* 103). *Σημειωτέον δὲ, ὅτι ἐν τῷ ἑβραϊκῷ ἀντὶ τοῦ κατὰ τοὺς* Ο, *Ἀμμὰν, γράφεται* Β ε ν α μ μ ὶ (*καὶ ἐπωνόμασε*, Ben-ammi)· *τοῦτο δὲ σαφῶς ἐστιν αὐτὸ τὸ τῶν* Ο, « *υ ἱ ὸ ς γ έ ν ο υ ς μ ο υ* ». Ἀλλ' *ἐφεξῆς τὸ ἑβρ. ἔχει* (*ὡς καὶ* Ο) « *Οὗτός ἐστι πατὴρ υἱῶν* Ἀ μ μ ὼ ν (*ἀντὶ Ἀμμωνιτῶν*), *ὃ καὶ ἀλλαχοῦ γράφεται* Ἀ μ μ ω ν Ι, *καὶ τὸ θηλυκὸν Ἀμμωνὶθ* (Ἀ μ μ α ν ῖ τ α ι, - ν ί τ ι δ ε ς. Γ. Βασιλ. *ια*, 1). *Ὤφειλε δὲ πάντως καὶ τὸ ἐθνικὸν εἶναι οὐχ ἁπλῶς υἱοὶ Ἀμμὼν, καὶ Ἀμμωνὶ, ἀλλὰ υἱοὶ* Β ε ν α μ μ ὼ ν, *καὶ* Β ε ν α μ μ ω ν ὶ (*ὡς καὶ ἐκ τοῦ Βενιαμὶν* = Ben-Jamin, *οἱ υἱοὶ Βενιαμὶν*, bene Benjamin *κτλ.*). Ἀπορεῖ *ὁ Δρούσιος διὰ τί οἱ ἀπόγονοι τοῦ* Βὲν-Ἀμμὶ *λέγονται υἱοὶ* Ἀ μ μ Ω Ν *καὶ* Ἀμμωνὶ, *καὶ ἁπλῶς ἐνίοτε* Ἀ μ μ ώ ν (Drus. Not. major. ad Genes. h. l.). Ἀλλ' *ἡ λύσις πρόχειρος*. Τὸ *ἑβρ. εἶχε καὶ ἰδίως τὸ ὄνομα Ἀμμὰν* (*ἀνθ' οὗ νῦν γράφουσιν Ἀμμὼν*) *πρὸ τοῦ Βεναμμὶ, ὡς καὶ οἱ* Ο *ἀνέγνωσαν καὶ μετέφρασαν* « Καὶ *ἐκάλεσεν αὐτὸν Ἀμμὰν* — *υἱὸν τοῦ γένους μου* (Ben-ammi)· *τοῦτο γὰρ ἐδήλου* (*κατὰ συγκοπὴν ἴσως*) *καὶ τὸ Ἀμμάν*. Πιθανὸν *ὁ* Gesenius (Lex. Hebr. p. 776) *ὑπέλαβεν, ὅτι εἰς τὸ* Ammi, *προσετέθη καὶ ἡ συλλαβὴ* On· *ἀλλὰ καὶ οὕτως οἱ ἀπόγονοι τοῦ* Ben-ammi *ὤφειλον καλεῖσθαι υἱοὶ Βὲν-Ἀμμών*.

§. θ. Τοῦ χαρακτῆρος τῆς ἑβραϊκῆς διαλέκτου πρώτιστον ἰδίωμα, τὸ τὰ αὐτὰ πράγματα διὰ τῶν αὐτῶν, ὡς ἐπὶ τὸ πλεῖστον, ἐκφράζειν φωνῶν· οὐδ᾽ ἀποστρέφεται τὴν μονοτονίαν, ἥτις καὶ ἄλλως, περὶ τὰς ὑψηλὰς καὶ θείας ἐννοίας, ἐμπρέπει θαυμαστῶς τῷ μεγέθει τῆς θείας ἀποκαλύψεως. Καθόλου δὲ ἡ φύσις τῆς ἑβραΐδος γλώσσης εἰς μὲν πραγμάτων πνευματικῶν ἑρμηνείαν πλουτεῖ πολλῶν ὀνομασιῶν, περὶ δὲ τὴν ἔκφρασιν τῶν ἐκτὸς καὶ αἰσθητῶν πενιχρά τις φαίνεται καὶ πτωχή· διὸ καὶ τὰ τοιαῦτα διὰ κυρίων λέξεων καὶ φράσεων τῶν αὐτῶν ἀείποτε εἴωθεν ἐξηγεῖν. Διαφέρουσι δὲ κατὰ τοῦτο τῆς Εὐρώπης αἱ γλῶσσαι, καὶ πρώτιστα πασῶν ἡ ἑλληνικὴ, βαθὺν καὶ μέγαν ἔχουσα πλοῦτον συνωνύμων λέξεων, καὶ ῥημάτων ποικίλως συντιθεμένων, καὶ παραγώγων ὀνομάτων, καὶ προθέσεων ὁμοιοσημάντων, καὶ μεγάλην ἀφθονίαν φράσεων παντοδαπῶν καὶ κατασκευῶν, εἰς τὸ τὰς αὐτὰς ἐννοίας διαφόρως ἐξηγεῖν. Τοῦτο δὲ καὶ Φίλων ἐθαύμαζε, λέγων· ὅτι «Διαφερόντως ὀνομάτων ἡ ἑλληνικὴ γλῶσσα πλουτεῖ, καὶ ταυτὸν ἐνθύμημα οἷόν τε καὶ μεταφράζοντα καὶ παραφράζοντα σχηματίσαι πολλαχῶς, ἄλλοτε ἄλλας ἐφαρμόζοντα λέξεις» (τόμ. β. σελ. 140). Τοῦτον τὸν πλοῦτον τῆς ἑλληνικῆς ἔχοντες μετὰ χεῖρας οἱ Ο, διετήρουν μὲν τὴν ἁπλότητα τοῦ κειμένου, καὶ τὸ τῆς φράσεως ἀπερίεργον καὶ ἀπέριττον, εἰς ἀκριβῆ τῶν νοημάτων ἀπόδοσιν· καὶ αὐτὴν δὲ πολλάκις (ἐν οἷς ἔδει) μετέφερον τὴν τῆς ἑβραΐδος ταυτοέπειαν καὶ παλιλλογίαν (ἣν ἠπίςατο καὶ ἡ καθ᾽ Ὅμηρον ἀρχαιότης). Ἄλλοτε δὲ πάλιν ποικίλλοντες τὸν λόγον, ὑπεξέφευγον τῶν πυκνῶν καὶ ταυτολόγων ἐπαναλήψεων τὴν μονοτονίαν, δι᾽ ἄλλων ἄλλοτε ταυτοδυνάμων λέξεων τὰς αὐτὰς περιβάλλοντες ἐννοίας, καὶ μετὰ τῆς ἐναργείας εὐειδῆ τὸν λόγον κατασκευάζοντες καὶ ἀνεπαχθῆ. Καὶ οὔτε τῆς ἀκριβείας ἀφίστανται, ἡνίκα τὴν καλλιέπειαν μετ᾽ εὐμελείας φιλοκαλοῦσι, καὶ ὅταν τὸ ἀκατάσκευον τῆς ἀπλάστου σαφηνείας διατηρῶσι, δι᾽ αὐτῶν πάλιν τῶν ἁπλουστάτων ὀνομάτων τὰς φράσεις ἐπιλαμπρύνουσιν, ἄλλην ἄλλης διαυγεστέραν ἀποδεικνῦντες. Ἀλλὰ καὶ τοὺς ἑβραϊσμοὺς πολλάκις συγκιρνῶσιν, ὁτὲ μέν τινα λέξιν περιττεύουσαν, ὥς γε πρὸς τὸν

καθ' Ἕλληνας ἰδιωτισμόν, παραλείποντες· ὁτὲ δὲ πάλιν ἐλλείπουσαν προστιθέντες, ὅπως ἂν τὸν λόγον ἀποδιδῶσιν ἄρτιον καὶ *ἀχώλωτον* (ὡς εἶπεν ὁ ἱερὸς Ἐπιφάνιος), πᾶσαν τὴν δοκοῦσαν εἶναι *βόμβησιν* καὶ πάντῃ ξενίζουσαν κακοηχίαν εἰς *λειότητα* μεταποιοῦντες (α). Τῆς οὖν τοιαύτης περὶ τὰς λέξεις καλλιτέχνου ποικιλίας

---

(α) Βλέπε περὶ τούτων ἄριστα πραγματευσάμενον τὸν εὐκλεέστατον Ἐῤῥῖκον τὸν Θήρσιον (τὸν νεώτερον) ἐν τῷ πολλάκις αὐτοῦ μνημονευθέντι συντάγματι (De Pentateuchi Alexandr. etc. pag. 49—64), ἐξ οὗ καὶ τὰ ἐφεξῆς ἐκφέρομεν παραδείγματα. Καὶ ἔχει μὲν τὰς περὶ τῆς ἑρμηνείας τῶν Ο ἰδίας αὐτοῦ δόξας ὁ ἀνήρ, ἅτε δὴ καὶ αὐτὸς πρεσβεύων τὰ ἀρέσκοντα τῇ νεωτέρᾳ κριτικῇ. Ὑπάρχει δ' οὖν ὅμως ἐμβριθὴς ἐν πολλοῖς καὶ σεμνὸς καὶ πεφυλαγμένος, καὶ πάντῃ διάφορος τῶν πολὺ τὸ ἄφετον ἐν γλώσσῃ καὶ αὐτόγνωμον ἐπιδεικνυμένων κριτικῶν. Ἐν δὲ τῷ μνημονευθέντι μέρει τῆς συγγραφῆς θεωρῶν τὴν περὶ τὰς ἐκφράσεις τῶν Ο ποικιλίαν, ἀποδείκνυσι λαμπρῶς ψευδομένους τοὺς λέγοντας, ὑφ' ἑτέρων τινῶν διασκευαστῶν προστεθῆναι τοῖς Ο τὰς λεγομένας ἐξισωτικὰς τῶν παραλλήλων τόπων π ρ ο σ θ ή κ α ς (βλ. ὄπισθ. σελ. 814), καίτοι ταύτας καὶ αὐτὸς ὁ κλεινὸς ἀνὴρ (ἑκὼν, ἀ έ κ ο ν τ ί θ υ μ ῷ) ἀποδέχεται (οὐ γὰρ εἶχεν αὐτὰς ὁμολογεῖν τοῦ νῦν ἑβραϊκοῦ τὰς ἐλλείψεις, καθαπτόμενος ἄντικρυς τῆς τούτου ἀκεραιότητος, ᾧ περ ὡς κανόνι κέχρηται καὶ ἡ κατ' αὐτὸν ἐκκλησία)· ἀπαλλάττει δ' οὖν ὅμως τῶν διασκευαστῶν (τῶν γε πλείστων) τὴν ἑρμηνείαν τῶν Ο. Κατασκευάζει δὲ τὴν ἔφοδον τῆς ἀποδείξεως (ὡς ἔπος εἰπεῖν) οὑτωσί· « Αἱ προσθῆκαί, φησιν, αὗται (δι' ὧν σπουδάζουσι τοὺς τόπους ἐξισοῦν) 1) Ἢ ὑπῆρχον ἐν τῷ ἑβραϊκῷ κώδηκι, ἐξ οὗ τὴν ἑρμηνείαν ἐφιλοπόνουν οἱ Ο, 2) Ἢ ὑπ' αὐτῶν προσετέθησαν τῶν ἑρμηνευτῶν· 3) Ἢ μετέπειτα παρεβύσθησαν ὑπό τινων ἀναγνωστῶν καὶ βιβλιογράφων. Ἀλλ' (ἵν' ἀπὸ τοῦ τρίτου ἀρξώμεθα) 1) Ὅτι αἱ τοιαῦται προσθῆκαι ὑπῆρχον ἀνέκαθεν ἐν τῇ ἑρμηνείᾳ, μαρτυροῦσι τῶν Πατέρων αἱ ῥήσεις. Οὗτοι γὰρ τὴν μὲν τοῦ ἑβραϊκοῦ πρὸς τὸ ἑλληνικὸν κείμενον διαφορὰν ὑφεστῶσαν ἐν τ ο ῖ ς π λ ε ο ν ά ζ ο υ σ ι ν οὐκ ἀρνοῦνται, οὐδ' εἰς τοὺς Ἕλληνας βιβλιογράφους, ἀλλ' εἰς αὐτοὺς τοὺς Ο ἀπονέμουσι τοὺς τοιούτους πλεονασμούς » (καὶ οὐδὲ προσθήκας τούτους οὔτε νομίζουσιν, οὔτε λέγουσιν, ἀλλὰ γνήσια μέρη τοῦ ἑβραϊκοῦ κειμένου, ἐξ οὗ τὴν ἑρμηνείαν οἱ Ο ἐξεπόνησαν)· « διὸ καὶ πρὸς Ἰουδαίους ἀντιλέγοντες, μᾶλλον τὸ νεώτερον ἑβραϊκὸν διεφθαρμένον θεωροῦσι. 2) Εἴπερ οἱ ἀρχαιότατοι κώδηκες συμφωνοῦσιν, εἰ καὶ μὴ περὶ πάντα καὶ τὰ καθέκαστα, ἀλλά γε περὶ τὸ πλεῖστον μέρος τῶν λεγομένων τούτων προσθηκῶν, ἕτεροι δέ τινες τῶν κωδήκων ἔστιν ὅπου ταύτας παραλείπουσι, θεωρητέον, μήποτε ἐν τούτοις ἐξέβαλε τὰς προσθήκας ὁ ὀβελὸς τῆς Ὠριγένους κριτικῆς, τοῦ παρεξετάσαντος τὴν ἑρμηνείαν πρὸς τὸ κατ' αὐτὸν ἑβραϊκόν. Ὅσαι δὲ τῶν προσθηκῶν λείπουσι καὶ ἐκ τοῦ Σαμαρειτανοῦ, ταύτας (λέγει) πιθανῶς ἂν ὑπολάβοις προστεθείσας εἰς τὴν ἑρμηνείαν ὑπὸ τῶν ἀναγνωστῶν καὶ βιβλιογράφων, ὅταν ἀποβλέψῃς καὶ πρὸς τοὺς ἐν τοῖς Εὐαγγελίοις προστεθέντας παραλλήλους τόπους, χάριν παρομοίας ἐξισώσεως ». (Ἀλλ' οὔτε τὸ

ἐκφέρομεν ὀλίγα τινὰ παραδείγματα (τὸ γὰρ ἅπαντα συναγαγεῖν ἀπέραντον ἂν εἴη). Παραλείπομεν δὲ χάριν συντομίας καὶ τὰς ἑβραΐδας λέξεις, τὰς ἀντιστοιχούσας πρὸς τὰ προτιθέμενα παραδείγματα, ὧν ἑκάστην δι' ἄλλης ἄλλοτε συνωνύμου λέξεως καὶ ἅμα

---

Σαμαρειτανὸν, ὦ χρηστὲ Θήρσιε, μεμένηκεν ἐν πᾶσι γνήσιον καὶ ἀκέραιον, ἵνα τούτῳ χρήσῃ κανόνι πρὸς πάσας, ἃς λέγεις, προσθήκας τῶν Ο· παρέφθαρται γὰρ πολλαχοῦ, καὶ ἔστιν ὁμολογούμενον· οὔτε πάλιν αἱ κατά τινα ἀντίγραφα τῶν θείων Εὐαγγελίων ἀπαντῶσαι προσθῆκαι ἔχουσί τι κοινὸν πρὸς τὰς ἐν τοῖς Ο λεγομένας ποικίλας προσθήκας. Ἔπειτα καὶ ἄλλοι πάλιν ὅτι πλεῖστοι καὶ ἀρχαιότατοι κώδηκες τῶν Εὐαγγελίων, μετὰ τῆς συμφωνίας τῶν ἁγίων ἡμῶν Πατέρων, καὶ τῆς ἐν τῇ Ἐκκλησίᾳ ἀενάου χρήσεως τῆς Καινῆς Διαθήκης, ἀποδεικνύουσιν ἡλίου φανωτέραν τοῦ θείου ταύτης κειμένου τὴν γνησιότητα· ἀλλ' ἐπὶ τὸ προκείμενον). « Ὅσας δὲ (λέγει) προσθήκας ἐμπεριέχει καὶ τὸ Σαμαρειτανὸν, ζητητέον ἂν εἴη, πότερον, εὕρηκαν ἄρα ταύτας οἱ ἑρμηνεῖς ἐν τῷ ἑβραϊκῷ κειμένῳ, ἢ προσέθηκαν αὐτοί; Ἀλλά (φησι) τὸ μὲν ἐκ τοῦ Σαμαρειτανοῦ ζητεῖν ἀπόδειξιν, ὕποπτον παρά τισι δοκεῖ » (Οὐ κατὰ πάντα τοῖς γε φίλοις τῆς ἀληθείας· εἰ δέ τινες ἀείποτε καὶ ἀτέλεστα ἐπ' οὐδενὶ καλῷ πυῤῥωνίζειν φιλοῦσιν, οὐδεὶς περὶ τούτων λόγος. Τὸ δὲ πανάρχαιον Σαμαρειτανὸν πάσης πίστεως ἄξιον, ὅπου γε τοῖς οὕτω μεμαρτυρημένοις Ο συμφωνεῖ, σῷον τηρηθὲν ἔν γε τοῖς τοιούτοις, καὶ ἀπαθὲς τῶν τοῦ ἑβραϊκοῦ περιπετειῶν). « Μένει τοίνυν (λέγει), ὅπως τὰς ἀποδείξεις ἐξ αὐτῶν τῶν Ο θηράσασθαι πειραθῶμεν. Ὅθεν 3) ἀνιχνεύοντες ἐν πᾶσι τοῖς ὁμολογουμένως ἐξ αὐτῶν τῶν Ο προελθοῦσιν, εἰ μὲν εὑρίσκομεν κἀν τούτοις τὴν αὐτὴν περὶ τὸ ἐξισοῦν τοὺς παραλλήλους τόπους σπουδὴν, εἰκότως ἂν εἰς αὐτοὺς τοὺς Ο ἀπονέμοιμεν καὶ τὰς προσθήκας· ἀλλὰ μὴν πᾶν τοὐναντίον ἀποδεικνύομεν τὸ σπουδαζόμενον παρ' ἐκείνοις, οὐχ ὁμοφωνίας ταυτότητα, ἀλλὰ ποικιλίας ἐναλλαγήν· καὶ ταύτην ἐμμόνως καὶ, ὡς εἰπεῖν, ἐμφύτως καὶ πυκνῶς ἐν πάσῃ τῇ Πεντατεύχῳ (πρόσθες καὶ τοῖς ἄλλοις τοῖς προφητικοῖς) ἐμφαινομένην. Ὥστε (λέγει) νομίζομεν, ὅτι αἱ λεγόμεναι προσθῆκαι, ὅσαι μὴ ὑπὸ βιβλιογράφων ἐπιβέβληνται, καὶ περὶ ὧν μαρτυρεῖ καὶ τὸ Σαμαρειτανὸν ὑπῆρχον ἐν αὐτῷ τῷ πηγαίῳ ἀρχετύπῳ, (δηλαδὴ τῷ ἑβραϊκῷ γνησίῳ κώδηκι, ὡς μέρη τούτου γνήσια), ἐξ οὗ ἀπονάει ἡ ἑρμηνεία τῶν Ο » (σελ. 59)· Ταῦτα ὁ ἑλληνικώτατος Θήρσιος. Εἰ δὲ καὶ τοῖς μὲν βιβλιογράφοις ἀπεδίδου μόνα τὰ περὶ τὴν γραφὴν παροράματα (καὶ ταῦτα ὑπ' ἄλλων ἄλλα κωδήκων θεραπευόμενα), τὴν δὲ τοῦ Σαμαρειτανοῦ μαρτυρίαν ἐξεδέχετο καὶ ταύτην (μετὰ τῶν ἄλλων τῶν πολλῶν) ὡς λαμπρὰν ἀπόδειξιν, ὅτι, ὡς ἐν τούτοις, παρομοίως καὶ ἐν τοῖς λοιποῖς χωρίοις ἡ ἑρμηνεία τῶν Ο διετηρήθη ἀκραιφνεστέρα καὶ τελειοτέρα τοῦ κολοβωθέντος ἐν πολλοῖς ἑβραϊκοῦ, τότε ὁ κλεινὸς Θήρσιος, « ἦ ς κ' ἐ τ ή τ υ μ ο ς π ά ν τ α »! Ἀλλὰ καὶ οὕτως, οὐ πάμπαν τῆς ἀληθείας διήμαρτεν, ὡς οἱ λοιποὶ ἐ ξ ι σ ω τ α ὶ καὶ προσθηκολόγοι. Ταῦτα δ' οὖν τὰ τοῦ Θηρσίου πάντως « οὐκ ἔμελλον ὑπερμενέϊ Φραγκέλῳ φίλα εἶναι » ὅθεν ἔψεξεν ὁ Φράγκελος τὸν Θήρσιον ἕνεκα τῆς καλλίστης ταύτης σπουδῆς, μ ι κ ρ ο λ ό γ ο υ ς μ ε τ α β ο λ ὰ ς τὰς αὐτοῦ παρατηρήσεις ἐν παρόδῳ προσονομάσας (Frankel, l. c. p. 194).

μετ' ἀκριβείας ἡρμήνευσαν. — Ἐκ τῆς Γενέσεως. Κεφ. ζ, 19 (Τὸ ὕδωρ τοῦ κατακλυσμοῦ) « *ἐπεκράτει* » (διὰ τὴν παράτασιν), καὶ §. 24 «*ὑψώθη*» ἐπὶ τῆς γῆς.—ιζ, §. 4. «*πλήθους ἐθνῶν*», καὶ §. 5, *πολλῶν ἐθνῶν*». — ιη, 14. « Εἰς τὸν καιρὸν τοῦτον, *εἰς ὥρας*», καὶ §. 10, « κατὰ τὸν καιρὸν τοῦτον, *εἰς ὥρας* » (α). — ιη, §. 27 «Νῦν *ἠρξάμην* λαλῆσαι», καὶ §. 31 «ἐπειδὴ *ἔχω* λαλῆσαι » (τουτ. ἔχω ἐξουσίαν, ἔξεστί μοι· τὸ ἑβρ. Jaal = ἄρχομαι καὶ θέλω· φαίνεται δὲ καὶ δύναμιν σημαῖνον, ὡς καὶ τὸ ἐθέλω = δύναμαι). — ιθ, 13. '*Εκτρίψαι*· καὶ ιη, 32. *ἀπολέσαι*·—κβ, 7, 11 « *Τί ἐστι;*» καὶ, §. 12. « *ἰδοὺ ἐγὼ* » (ἀπόκρισις πρὸς καλοῦντα). — κγ, 17: « *Εστη* », καὶ §. 20. « *ἐκυρώθη* ».—κδ, 16 «*Καλὴ τῇ ὄψει*», καὶ « *εὐπρόσωπος* ». —κϛ, 13: «Ὑψώθη», « μείζων ἐγένετο », μέγας ἐγένετο σφόδρα (ἀντὶ τοῦ τρὶς ἐπαναλαμβανομένου ἑβρ. Gadal). — κϛ, 29: «Μὴ ποιῆσαι μεθ' ἡμῶν κακὰ » — καὶ, «ὃν τρόπον *ἐχρησάμεθά σοι καλῶς*» (τὸ ἑβρ. καθὼς οὐκ ἐποιήσαμεν μετὰ σοῦ, εἰ μὴ καλόν). —λθ, 20 « '*Οχύρωμα* » καὶ « *φυλακή*». —μ, 5: μα, 11. « "*Ορασις, καὶ ἐνύπνιον* ». — μδ, 28, « *Θηριόβρωτος, καὶ θηριάλωτος* ». — αὐτ. §. 33. « *Παῖς*, οἰκέτης, θεράπων ». — με, 10 « *Πάντα ὅσα σοί ἐστι*, καὶ, *πάντα τὰ ὑπάρχοντά σου* ». — λδ, 3: « Ἐλάλησε κατὰ τὴν *διάνοιαν* » καὶ, ν, 21: « εἰς τὴν καρδίαν »· ν. 17 "*Αφες*· καὶ, *δέξαι* (σέξον) τὴν ἀδικίαν » (καὶ ἀλλαχοῦ, *ἀνίημι, λήθην* τῆς ἀνομίας *ποιῶ*· Ἰώβ).—Ἐκ τῆς Ἐξόδου. Κεφ. γ, 22 » Ὅταν δὲ *ἀποτρέχητε*, οὐκ *ἀπελεύσεσθε* κενοὶ » (τὸ ἑβρ. ἀντ' ἀμφοτέρων τῶν ῥημάτων τὸ αὐτὸ, teleku). — δ, 13. « *Προχείρισαι* ὃν

(α) Τὸ ἀντίστοιχον ἑβρ. cajet chajá σημαίνει κυρίως « περὶ τὸν καιρὸν τ ῆ ς ζω ῆ ς, ἢ τ ὸ ν ζ ῶ ν τ α ». Καὶ ἡ Βουλγάτα ἡρμήνευσε, tempore isto, vita comite, κατὰ τὸν καιρὸν τοῦτον, συνοδευούσης τῆς ζωῆς· (τουτ. ἐὰν ζήσω ! si vivero, vita comitata. Hier. Quaest. Hebr.). Τοῦτον δὲ τὸν βαθὺν ἑβραϊσμὸν ἄλλως ἄλλοι τῶν νεωτέρων κριτικῶν παρεξηγοῦντες, ἐξηγοῦσιν ὅμως καὶ anno proximo, ἢ hoc tempore anni proximi (βλ. Criticos Sacros)· ἀλλὰ πόσον ἀκριβῶς καὶ ὡρισμένως, καὶ ἑλληνικῶς ἡρμήνευσαν οἱ Ο διὰ τοῦ εἰς ὥ ρ α ς ! τοῦτο δὲ οὐ ταύτην τὴν ὥραν (in hac hora) σημαίνει (καθὼς ὑπέλαβον), ἀλλὰ τὸ ἐρχόμενον ἔτος εἰς νέωτα· ὡς τὸ « ὥρας ἵκοιο », καί, « κ' εἰς ὥρας » (Θεόκριτ. ιε, 74). Ὁ δὲ Schleusn. Th(es v. ὥρα) οὐκ ὀρθῶς ἐξέλαβε.

ἀποςελεῖς » (τὸ ἑβρ. *ἀπόστειλον*, ὃν *ἀποστελεῖς*, ὡς πάντες ἑρμηνεύουσιν· ἀλλὰ τὸ Salach σημαίνει καὶ τὸ προτείνω (χεῖρα), προβάλλω). — ς, 20 « *Ἐγέννησε, καὶ ἔτεκε* ». — θ, 18. *Ὗσε χάλαζαν*, καὶ *ἔβρεξε* χάλαζαν. — ιϐ, 19, 49. « Τοῖς γειώραις (ἑβρ.) καὶ τοῖς αὐτόχθοσι· καί, « τῷ ἐγχωρίῳ καὶ προσηλύτῳ ». — ιδ, 9, 17, 23. Ἱππεῖς, ἵπποι, ἀναβάται (τὸ ἑβρ. Pharasim). — κδ, 6, 8. « *Προσέχεε* πρὸς τὸ θυσιαστήριον » καί, *κατεσκέδασε* τοῦ λαοῦ » (τὸ ἑβρ. ἀντ' ἀμφοτέρων, Zarak). — Ἐκ τοῦ Λευϊτικοῦ. Κεφ. γ, 10: δ, 5 « *περιελών*, καί, λαϐών. — ε, 7, 10 « *Ὁλοκαύτωμα, ὁλοκάρπωμα* » κτλ. — ιγ. 33 (λέπρας κηλὶς) « *ταπεινὴ* ἀπὸ τοῦ δέρματος. *κοίλη, ἐγκοιλοτέρα* ἀπὸ τοῦ δέρματος ». — κ, 17, 19. « Ἁμαρτίαν *κομιοῦνται, λήψονται*, καί, *ἀποίσονται* ». — κδ, 2, 3. *Διὰ παντός· ἐνδελεχῶς* κτλ. — Ἐκ τῶν Ἀριθμῶν· Κεφ. ε, 19 « *Ὑπὸ τὸν ἄνδρα* (γυνή), καὶ *ὕπανδρος* ». — θ, 2. Καθ' *ὥραν* — *κατὰ καιρὸν* αὐτοῦ ». — λε, 15—28 *Φυγαδευτήριον*, καὶ *φυγαδεῖον*, καὶ *καταφυγή* κτλ. — Ἐκ τοῦ Δευτερονομίου· δ, 26, 40. « Πολυχρονιεῖτε ἡμέρας », καὶ « Μακροήμεροι γενήσεσθε ». — ις, 13. « Ἑορτὴ *σκηνῶν* »· καί, ἑορτὴ *σκηνοπηγίας*. — κ, 14 « Ἀπαρτία », καὶ « προνομὴ » (τὸ ἑβραϊκ. Salal, δὶς τὸ αὐτό). — λα, 27 « Θανάτου », καί, « τελευτῆς » κτλ. Ἱκανούσθω τὰ ὀλίγα ταῦτα δείγματα τῆς περὶ τὴν ἔκφρασιν ποικιλίας, μεθ' ἧς οἱ Ο ἀπέφευγον τὴν πενιχρὰν τῆς ἑβραΐδος μονοτονίαν, διὰ συνωνύμων ὀνομάτων τὴν αὐτὴν ἑρμηνεύοντες φωνήν, καὶ τὸ νόημα πιστῶς τε ἅμα καὶ χαριέντως ἀποδιδόντες (α).

§. ι. Μετὰ δὲ τῆς τοιαύτης μεταϐολῆς, οὐ σμικρὸν πρὸς τὸ εὔφραστον καὶ εὐεπὲς τοῦ λόγου συντελούσης, συνεξέφαινον καὶ τὴν τῶν λέξεων ἐκλογήν, καὶ τῶν φράσεων τὴν εὐμορφίαν, ἅπερ μά-

---

(α) Ἐκ τῶν τοιούτων περὶ τὰς λέξεις ἐναλλαγῶν (λέγει Θήρσιος), εἴπερ ἤρεσκεν ἡμῖν Ὀδίῳ παρακολουθεῖν, ἢ καὶ νεωτέρων τινῶν ἄλλων εἴπερ εἴχομεν τὴν εὔρινον ὀσμήν, μυρίους ἂν ἐπέγνωμεν καὶ διαφόρους ἑρμηνεῖς οὐ μόνον ἑκάστων στίχων, ἢ ἐδαφίων, ἀλλὰ καὶ λέξεων ἑκάστων! Ἀλλ' ἡμεῖς ἐκ τούτου μάλιστα τοὺς ΟΒ διαγινώσκομεν, μίαν ἔχοντας βουλήν, μίαν ψυχήν, μίαν καὶ τὴν αὐτὴν περὶ τὴν ἑρμηνείαν μέθοδον, τὸ θεραπεύειν τὴν ἑβραΐκὴν μονοτονίαν διὰ τῆς ποικίλης τῶν ἰσοδυνάμων λέξεων μεταϐολῆς. κτλ. (σελ. 57, 58).

λιστα πρὸς εὐφράδειαν συμβάλλουσιν. Εὐφράδειαν δὲ λέγοντες, οὐκ ἐννοοῦμεν τὴν ἐσπουδασμένην ἐκείνην καὶ τεχνικὴν, οἵαν Ἀριστόβουλοι καὶ Φίλωνες κατώρθουν καὶ Ἰώσηποι, κατασκευάζοντες καὶ φράσεις καὶ περιόδους πρὸς τὴν ἀκρίβειαν τῆς καθαρῶς ἑλληνιζούσης φωνῆς, καὶ μιμούμενοι κατὰ πάντα τοὺς ἀττικοὺς καὶ τοὺς ἄλλους Ἕλληνας συγγραφεῖς. Καίτοι καὶ οὗτοι, καὶ ὅσοι τοιοῦτοι, συνέταττον ἑλληνιστὶ τὰς ἑαυτῶν συγγραφὰς, ἀνέτῳ καὶ ταχυπτέρῳ χρώμενοι τῷ καλάμῳ, καὶ πρὸς μελέτην μάλιστα τῶν σοφῶν καὶ πεπαιδευμένων. Οἱ δὲ Ο, μήτε συγγραφὴν ἰδίαν καὶ αὐτόβουλον, μήτε γοῦν παράφρασιν ἐλευθέραν ἐπ᾽ ἀδείας φιλοπονοῦντες, ἀλλὰ πιστῇ καὶ κυρίᾳ δουλεύοντες μεταφράσει, καὶ ταύτῃ θείων λογίων (ἐν οἷς καὶ σμικρὰ παράπτωσις οὐ σμικρὸν ἐπάγεται κίνδυνον), καὶ κοινὸν ἀνάγνωσμα τοῖς ὁμογενέσιν ἑλληνισταῖς προτιθέντες τῆς ἁγίας βίβλου τὴν ἑρμηνείαν, ἐπὶ τοσοῦτον κατώρθουν τὴν εὐγλωττίαν, ἐφ᾽ ὅσον ἐξῆν αὐτοῖς ἀσφαλῶς ἀπὸ τῶν ἑβραϊκῶν ἰδιωτισμῶν ἀποχωρεῖν, καὶ καθαρώτερον ἑλληνίζειν, κατὰ τὴν κοινὴν τῶν Ἑλλήνων διάλεκτον. Ἐπετύγχανον δὲ μάλιστα, καλλίστην τῶν ὀνομάτων ποιούμενοι ἐκλογὴν, ὅπερ οὔτ᾽ Ἀκύλαι, οὔτ᾽ ἄλλος τις τῶν μετ᾽ αὐτοὺς τὴν Γραφὴν ἐξελληνισάντων φαίνεται κατωρθωκώς. Ἰδοὺ καὶ περὶ τούτου ὀλίγα παραδείγματα.

Τὸ Μωσέως ἐπίθετον ὁ μὲν Ἀκύλας ἑβραΐζων κατὰ λέξιν, ἡρμήνευσεν « *ἀκρόβυστος χείλεσι* »· καὶ πάλιν, « *βαρὺς στόματι, καὶ βαρὺς τῇ γλώσσῃ*· οἱ δὲ Ο, « *ἰσχνόφωνος*, καὶ βραδύγλωσσος ». Τὸ ἐν στόματι μαχαίρας (ἑβραϊκώτερον) εἶπον καὶ « *ἐν φόνῳ μαχαίρας* » (Ἡσαΐ. - ὡς τὸ « *ξίφει φονίῳ* », Εὐριπ. καὶ τὸ φόνῳ δὲ = θανάτῳ, ὡς Ἰλιάδ. γ, 6). Ὁ σολοικιστὴς Ἀκύλας ἔγραψεν (ὡς ἐκ τοῦ ἀλαλέομαι) *ἠλαλήθην* (ἄφωνος ἐγενόμην)· οἱ δὲ Ο, *ἐκωφώθην* (ψαλμ. λη). « Ἐσιτομέτρει κατὰ *σώματα* » (ἀντὶ κατὰ κεφαλὰς· ὅπου διορθοῦσι γελοίως, κατὰ *στόματα*, ὡς ἔχει καὶ λέγει τὸ ἑβραϊκὸν ἰδίωμα. Γενέσ. μζ. 12. ὅτι δὲ καὶ παρ᾽ Ἕλλησι τὸ σῶμα ἀντὶ τοῦ πρόσωπον, ἄνθρωπος, δῆλον· τὸ δὲ τῆς Συνηθείας « *τρέφει*, ἢ *τρώγουσι* τόσα στόματα », μόνον ἐπὶ τούτων λέγεται τῶν φράσεων, καὶ πάνυ ζωγρα-

φικὸν, ὡς ἐκ τοῦ βιβρώσκοντος στόματος). Τὸ ἑβρ. ἕως *καρδίας οὐρανοῦ* (ἐκαίετο τὸ ὄρος)· οἱ δὲ Ο (ἐνεργότερον καὶ ἑλληνικώτερον)· « *ἕως τοῦ οὐρανοῦ* » (Δευτ. δ. 11. Βατ.). Καὶ Γενέσ. μδ. « Φάγεσθε *τὸν μυελὸν* (τὸ ἑβραϊκ. τὸ *στέαρ*) τῆς γῆς » (ὡς τὸ *οὖθαρ ἀρούρης* »). « Βασκανιεῖ τῷ ὀφθαλμῷ, τὸν ἀδελφὸν αὐτοῦ ». Δευτ. κη, 54 (τὸ ἑβρ. ἐμβλέψει πονηρῷ ὀφθαλμῷ), καὶ ὅσα τοιαῦτα· Χαρίεντα δὲ καὶ τὰ σύνθετα, ὅσα ἐδημιούργησαν αὐτοὶ, ἐκφράζοντες τὴν δύναμιν τῶν πολυσημάντων ἑβραϊκῶν φωνῶν, καὶ πολλάκις θρησκευτικάς τινας καὶ θειοτέρας ἐννοίας· οἷον τὰ *εὐδοκία*, *εὐδοκεῖν τινὶ*, εὐαρεστεῖν θεῷ· πρόσθες καὶ τὰ, προσήλυτος, μακροθυμεῖν, σπλαγχνίζεσθαι, ἀφορίζειν, ἀνάθεμα, — τίζειν, ἐνωτίζεσθαι, σωματοποιεῖν, βαρυθυμεῖν, τροποφορεῖν, ὀλιγοψυχεῖν, παραδειγματίζειν (ὡς τὸ τοῦ Δημοσθένους « ζῶντα παράδειγμα ποιεῖν »), σκληροτράχηλος, στάχυες ἀνεμόφθοροι (ὑπὸ καύσωνος ἀνέμου ἐφθαρμένοι. Γενέσ. μα, 6)· καὶ τἄλλα τοῖς λεξικογράφοις παρίεμεν. Τούτων δέ τινα καὶ ἐκ τῆς τότε κοινῆς ἴσως ἔλαβον διαλέκτου, πολλὰ δὲ ὅμως καὶ συνέταξαν εὐστόχως αὐτοὶ, τὰ δὲ καὶ σημασίαις ἐπλούτισαν (βλ. καὶ ὄπισθ. σελ. 827, 711). Καὶ σχήματα δέ τινα λόγου καὶ διανοίας δεόντως ἐφιλοτέχνουν ἀνεπαχθῆ· οἷον ἐπαναφορὰς, καὶ παρονομασίας, ὡς τὸ « Οὐκ ἔςι φωνὴ ἐξαρχόντων κατ᾽ ἰσχὺν, οὔτε φωνὴ ἐξαρχόντων τροπῆς, ἀλλὰ φωνὴν ἐξαρχόντων οἴνου ἐγὼ ἀκούω » (Ἐξόδ. λβ. 18 ὅπου καὶ τὸ ἑβρ. ἔχει τρὶς τὸ, ὀνούθ). Συνήθη δὲ παρ᾽ αὐτοῖς καί τινα τῶν ἀττικωτέρων σχημάτων, κάλλος καὶ λόγου σαφήνειαν ἐμποιούντων, οἷον τὸ, κρίσιν κρίνειν, φυλάσσειν φυλακὰς (τῇ δ᾽ ἑβραΐδι μᾶλλον φίλα τὰ κατὰ μετοχὴν « γινώσκων γνώσῃ· πορευόμενοι ἐπορεύοντο) (α). Ἐν δὲ ταῖς Ὠδαῖς καὶ τοῖς Ψαλμοῖς οὐδὲ

(α) Ὁ Φράγκελος (pag. 168) ψέγει τοὺς Ο, καὶ διότι ἔγραψαν, λέγει, καὶ παρονομασίας μὴ κειμένας ἐν τῷ ἑβραϊκῷ· οἷον τὰ, « ὡραῖον εἰς ὅρασιν » (Γενέσ. β, 9), « χαλκεὺς χαλκοῦ » (Γενέσ. δ, 22) κτλ. ἀλλ᾽ οὔτε τὸ ὡραῖον εἰς ὅρασιν (= καλὸν ἰδεῖν, ἢ ὡς ὁ Φίλων, πάγκαλον ὀφθῆναι· τὸ δ᾽ ἑβρ. ἀκύρως ἐξηγοῦσι desideratum, ἐπιθυμητὸν, εἰς ὅρασιν), οὔτε τοῦτο, λέγομέν, ἐστι παρονομασία, (καὶ φαίνεται ὅτι συνέχεεν ὁ κριτικὸς τὸ παρονομασία πρὸς τὸ παρήχησις)· καὶ τὸ « χαλκεὺς χαλκοῦ » ἔγραψαν οἱ Ο ὡς εἶχε καὶ τὸ ἑβραϊκὸν καὶ

τοῦ ποιητικοῦ ἀπολείπονται ὕψους καὶ ῥυθμοῦ (ὡς ἐν Γενέσ. μθ, 18—24, καὶ ἀλλαχοῦ), ὅπου καὶ λέξεσι χρῶνται ποιητικωτέραις· οἷον· « Ἐπ᾽ εὐλογίαις ὀρέων μονίμων, ἐπ᾽ εὐλογίαις *θινῶν ἀεννάων* » (πρβλ. Δευτερ. λγ. 15). Καὶ ἐν τῇ Α, τοῦ Μωσέως ᾠδῇ (Ἐξόδ. ιε), « ἣν ἑξαμέτρῳ τόνῳ συντέθεικεν » ὥς φησιν Ἰώσηπος (Ἀρχ. Β. ις. 4), ἄλλα τε ποιητικὰ, καὶ ἡ τῶν ἄρθρων παράλειψις (§. 4, 9, 14, 15, κτλ). Πρόσθες καὶ τὸ « *γαυριωθήσεται* », καὶ τὸ « *ἔδεται* ἔθνη », καὶ τὴν ἄλλην μεγαληγορίαν τῶν θεοπροπιῶν τοῦ ἐνθεάζοντος Βαλαὰμ, μετὰ τῆς καλλίστης αὐτῶν εἰσβολῆς, τῆς, « Ὡς καλοὶ οἱ οἶκοί σου Ἰακὼβ » (Ἀριθμ. κγ, 24 : κδ, 5, κτλ.). Καὶ κατ᾽ αὐτὴν δὲ τὴν Β, τοῦ Μωσέως ᾠδὴν (Δευτερ. λβ), ἄλλα τε πολλὰ ἐμπρέπουσιν εἰς ὕψος ποιητικὸν, καὶ τὸ *γενεῶν γενεαῖς* (ὅπου τὸ νῦν ἑβραϊκ., *πολλῶν* γενεῶν), καὶ οἱ ἀντιχρονισμοὶ (§. 11), καὶ αἱ τῶν προσώπων μεταβολαὶ καὶ ἀποστροφαὶ (§. 15, 18), καὶ αὐτὸ τὸ *ἐπεπότησε* (α)· ποιητικώτερον δὲ καὶ τὸ « *ἡλίου τροπαὶ* » (Δευτερ. λγ, 14. πρβλ. καὶ Ὀδυσ. Ο, 403), καὶ τὸ « *ἐμπόρια παράλιον* κατοικούντων » (αὐτόθ. §. 19, ὅπου τὸ παράλιον χαριέντως παρεν-

---

ῶδε, καθὼς καὶ ἀλλαχοῦ (Γ. Βασιλ ζ, 14, ὅπου οἱ Ο « τέκτων χαλκοῦ »). Οὕτως ἔχει καὶ ὁ Σύρος, artifex in omni ferro et aeri, τεχνίτης παντὸς χαλκοῦ καὶ σιδήρου (Γενέσ. δ, 22)· τοῦτο καὶ Ἰώσηπος ἐξέφρασε λέγων « χαλκείαν πρῶτος ἐπενόησε » (Ἀρχ. Α. β. 2). Ὅπως δ᾽ ἔγραψαν τὸ νῦν ἑβρ. οἱ ῥαββῖνοι, καὶ πῶς διαλλακτέον τοὺς πάνυ διαφωνοῦντας εἰς τὴν τούτου ἑρμηνείαν Ταργουμιστὰς καὶ νεωτέρους κριτικοὺς, Φραγκέλῳ ταῦτα μελήσει! (βλ. Drusij Not. major. καὶ Rosenmül. Schol. in Genes. h. l.).

(α) « Ὡς ἀετὸς—ἐπεπότησε » Δευτερ. λβ. 11 (κώδ. Ἀλεξ. καὶ Κομπλ.). Ὁ δὲ διορθῶν τὰ πάντα Γράβιος τὸ ἐ π ε π ό τ η σ ε διορθοῖ καὶ τὸ ἐ π ε π ο τ ή σ α τ ο (καθὸ μέσου τοῦ ποτάομαι, καὶ πέτομαι, ἵπταμαι), ὡς ἂν εἴπερ ἦν καὶ μέσος ἀόριστος ἐν τοῖς τοιούτοις (οἷον ἱ π τ ά σ α τ ο, ἐπετάσατο!)· ἄλλοι δ᾽ ἔτρεψαν εἰς τὰ χεῖρον ἐ π ε π έ τ η σ ε! Ὁ δὲ Σχλευσήνερος εἰς τὸ ἐ π ε π ό τ ι σ ε τουτ. πότον παρέσχε (τοῖς νεοσσοῖς) ἐκ τοῦ ἐπιποτίζω! Ἀλλ᾽ ἁπλοῦς ὁ λόγος· ὁ παρακμάζων ἑλληνισμὸς ἐσχημάτισε καὶ οὐδέτερον ἐπιποτάω, ὡς καὶ τὸ τῆς συνηθείας π ε τ ῶ (ἀντὶ πέταμαι)· τοιοῦτο καὶ τὸ κατέπαυσεν, ἀντὶ ἐπαύσατο κτλ. Ἐν τῷ Βατικανῷ γράφεται ἐ π ε π ό θ η σ ε, (βλ. καὶ Κλήμ. Παιδαγ. Α, ζ)· ἀλλὰ καὶ τὸ νόημ α, καὶ τὸ ἀντίστοιχον ἑβραϊκὸν ῥῆμα δικαιοῖ μᾶλλον τὸ ἐ π ε π ό τ η σ ε, βλ. Schleus. Thes v., Ἐπιποθέω, Ἐπιποτάω.

τίθεται μεταξὺ τῶν λέξεων ὡς ἐπίῤῥημα), καὶ ἡ σπανία τῆς διὰ πρὸς αἰτιατικὴν σύνταξις ἐπὶ τῆς ἐννοίας τοῦ μέσου· «*Διὰ χεῖρα δυνάστου*» (Γενέσ. μθ, 24), ἀντὶ διὰ χειρὸς (ὡς τὸ Ὁμηρικὸν, *διὰ τ' ἔντεα*, κτλ). Τοιαῦτα δὲ καὶ ἄλλα μυρία λεκτικὰ παραδείγματα κάλλους καὶ ὕψους ποιητικοῦ βλέπει πᾶς τις καὶ ἐν τοῖς Προφήταις, καὶ ἐν τοῖς Ψαλμοῖς, καὶ εἰς τὸν Ἰὼϐ, ἄλλα τε περὶ ὧν προείπομεν (σελ. 704), καὶ τὸ «Ὁ τὰ ὑψηλὰ *ναίων*» (Ἰὼϐ, κϐ, 12, ὅπερ ὁλόκληρον ἀντέγραψε κατὰ λέξιν καὶ ὁ Σειρὰχ (ν, ι), διδάσκων καὶ διὰ τούτου τοὺς Ὁδίους καὶ Φραγκέλους, ὅτι ὑπῆρχον ἤδη ὅλα τὰ τεύχη τῆς θείας Γραφῆς ὑπὸ τῶν Ο μεθηρμηνευμένα (βλ. ὄπισθ. κεφ. Θ, §. κζ, κτλ. σελ. 582). Ἀλλὰ τὸ καθ' ἕκαστα θεωρεῖν, καὶ παράγειν παραδείγματα λεκτικοῦ κάλλους καὶ ὕψους ἐκ τῆς ἑρμηνείας τῶν Ο, ἄλλης πραγματείας ἴδιον.

§. ια. Καθόλου δὲ θεωρουμένη ἡ τοῦ λόγου ἰδέα, ἢ ὁ χαρακτὴρ τῆς ἑρμηνείας τῶν Ο, φαίνεται διάφορος κατὰ μέρη καὶ παραλλάσσων, οὐδ' ἐν πᾶσιν ὁ αὐτὸς σταθερῶς ἐπικρατεῖ. Ἀλλὰ πρόσεχε, μὴ διὰ τοῦτο καὶ τοὺς ἑρμηνεῖς διαφόρους ὑπολάϐῃς, ἐν διαφόροις ἑρμηνεύσαντας χρόνοις (ὃ πεπόνθασι πλανηθέντες οἱ κριτικοὶ, ὅσοι μὴ μόνον τῆς Πεντατεύχου διαφόρους ἔκριναν τοὺς ἑρμηνεῖς, ἀλλὰ καὶ τῶν ἄλλων τῶν προφητικῶν τευχῶν τὴν ἑρμηνείαν ἄλλοις πάλιν ἀγνώστοις τισὶν ἀπέδωκαν, διαφόροις τῶν μεταφραστῶν τῆς Πεντατεύχου). Ἂν γὰρ ἐπιμελέστερον θεωρήσῃς, εὑρήσεις, οὐχὶ τοὺς ἑρμηνευτὰς, ἀλλ' αὐτὰ τὰ πράγματα παραίτια τῆς τοιαύτης, ἢ τοιαύτης τοῦ ὕφους μεταϐολῆς, καὶ τῶν κατὰ τόπους πλειόνων ἢ ἐλασσόνων ἑϐραϊσμῶν. Ἑϐραΐζει τὸ ὕφος τῶν Ο, μάλιστα καὶ πρώτιστα περὶ τὰς γενεαλογίας, καί τινα ἰδιαίτερα ἐδάφια χωρίων γεωγραφικῶν, ἔπειτα δὲ καὶ περὶ τοὺς νόμους (οἷον ἐν τῷ Λευϊτικῷ), καὶ περί τινας ἱστορίας (οἷον τὴν τῆς Κοσμοποιΐας)· ἀλλὰ καὶ ἐν ταῖς πλείσταις τῶν πνευματικῶν καὶ μυστικωτέρων ἐννοιῶν ἐμφαίνει πολλοὺς τῆς πρωτοτύπου γλώσσης τοὺς ἰδιωτισμούς. Ἀποϐαίνει δὲ πάλιν ἑϐραϊσμῶν καθαρώτερον, καὶ μάλιστα πρὸς τὸν ἑλληνισμὸν ἀποκλίνει κατὰ τὰς πλείστας ἱστορικὰς διαγραφὰς, καὶ

διηγήσεις πραγμάτων αἰσθητῶν καὶ κοσμικῶν (καὶ αὐτῶν τῶν παραδόξων καὶ θαυμαστῶν)· ὡς, ὅταν ἱστορῇ τὰ ἐν τῇ Αἰγύπτῳ συμβάντα, δηλαδὴ τὰ κατὰ τὸν Ἰωσὴφ (Γενέσ. λς), καὶ τὸν Μωϋσῆν, (Ἐξόδ. α, κτλ.)· καὶ καθεξῆς τὰ τοῦ Βαλαὰμ (Ἀριθ. κϐ), καὶ πολλὰ τῶν ἐν ταῖς Βασιλείαις. Ὡσαύτως ἑλληνίζει καὶ περὶ τὴν ἔκφρασιν πολλῶν φυσικῶν προϊόντων (α), καὶ μάλιστα περὶ τὰ θρησκευτικὰ καὶ ἠθικὰ παραγγέλματα, ἄλλα τε, κἀκεῖνα τὰ πάνσεμνα τοῦ Μωσέως διατάγματα, ἤδη μέλλοντος ἀποθνήσκειν (Δευτερ. Κεφ. δ, μέχρι τέλους). Τοιαῦτα καὶ τὰ πλεῖϛα τῶν ἐν τοῖς ἱεροῖς Ψαλμοῖς, καὶ τοῖς ἄλλοις βίϐλοις τῶν Προφητῶν, καὶ ἐν ταῖς Παροιμίαις. Ἀποφεύγει δὲ τὴν μίμησιν τοῦ ἑϐραϊκοῦ ἰδιώματος πρὸ πάντων περὶ τοὺς τύπους τῶν ἱστορικῶν διαλόγων· οἷον, Ἐξόδ. ιη, 7· « Καὶ ἠσπάσαντο ἀλλήλους, » ὅπου τὸ ἑϐρ. Ἠρώτησαν (ἢ ηὔξαντο) τὰ εἰς εἰρήνην, (ὡς εἶπον ἀλλαχοῦ καὶ οἱ Ο· « ἠσπάσαντο αὐτὸν τὰ εἰς εἰρήνην »· Κριτ. ιη, 15. καὶ, « Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ. » Ψαλμ. ρκα, 6, ὅπου ὁ Ἀκύλας, ἀσπάσασθε τὴν Ἱερουσαλήμ. βλ. καὶ Α. Βασιλ. κε, 5.-Β. Βασιλ. η, 10).-Γενέσεως μγ, 26. « Εἶπε δὲ αὐτοῖς· *ὑγιαίνει* (ὁ πατήρ); οἱ δὲ εἶπαν, *ὑγιαίνει* » (τὸ ἑϐρ. εἰρήνη αὐτῷ)· καὶ Γενέσ. μγ, 27· « Ἠρώτησε δὲ αὐτοὺς *πῶς ἔχετε ;* » (ὅπου τὸ ἑϐρ. ὡς ἀνωτέρω).-Ἐξόδ. Ι. 29. « *Εἴρηκας* » (κώδ. Βατικ. ἄλλοι· καθὼς εἴρηκας)· οἷον καὶ τὸ *εἴρηται*· καὶ τὸ *φῆμ' ἐγώ* (βεϐαιω-

(α) Οἷον· ἐν Δευτερον. λβ, 14: τὸ ἑϐρ. ἔχει « ἀρνίων, καὶ κριῶν, υἱῶν Βασὰν, καὶ τράγων. Οἱ δὲ Ο, « ἀρνῶν καὶ κριῶν, υἱῶν ταύρων, καὶ τράγων. Ἀλλὰ καὶ τὸ υἱοὶ Βασὰν (ὅπερ ἐσφαλμένως τινες ἀναφέρουσι εἰς τὸ κριοὺς) ταύρους σημαίνει τῆς Βασὰν (χώρας περιφήμου διὰ κτηνοτροφίαν). Ἐπισημότατοι δὲ ἦσαν οἱ ταῦροι μάλιϛα τῆς Βασὰν (ὅθεν καὶ « Δαμάλεις τῆς Βασανίτιδος » Ὠσηὲ δ, 1). Διὸ καὶ οἱ πιότατοι ταῦροι, υἱοὶ Βασὰν ἀπὸ τῆς χώρας παρωνομάζοντο, οἷον Βασανῖται (ὡς καὶ ἄλλα τῶν ἐκλεκτῶν προϊόντων ἐκ τοῦ τόπου ἁπλῶς ὀνομάζονται· οἷον ὁ Κύπριος (οἶνος), καὶ ἡ Κορινθία (σταφὶς), καὶ τὰ τῆς συνηθείας Καραμάνια [πρόβατα τῆς Καραμανίας] καὶ ἄλλα παρ' ἄλλοις). Καὶ ἀκριϐῶς λοιπὸν καὶ ἑλληνικῶς οἱ Ο, τὸ σκοτεινὸν καὶ παράδοξον διὰ τὴν ἀμφιϐολίαν, υἱοὺς Βασὰν, ἡρμήνευσαν διὰ τοῦ γνωστοῦ σημαινομένου, υἱοὺς τράγων. Οὕτω καὶ ἐν Ψαλμῷ κα (ἑϐρ. 22) τὸ ἑϐρ. ἰσχυροὶ Βασὰν, ταῦροι πίονες ἡρμήνευσαν. Καὶ ἐν Ἰεζεκ. λθ, 18 τὸ ἑϐρ. σιτευτοὶ Βασὰν, ἀπέδωκαν μόσχοι ἐστεατωμένοι ». βλ. καὶ Masij annot. ad Deuote. c. 32.

τικῶς· τουτ. ἔςαι πάντως ὡς εἶπας). Ἐπὶ παρακλήσεως προτάσσουσι τὸ *δέομαι* (Ἐξόδ. δ, 13) (α). Καὶ (κομψότερον) « *ἀξιῶ σε* » (Ἀριθμ. κϐ, 16). Λέγουσι δὲ καὶ « Μὴ βαρέως φέρε Κύριε » (Γενέσ. λα, 35), καὶ ἐλλειπτικῶς. « Μήτι Κύριε, ἐὰν λαλήσω; » (Γενέσ. ιη, 30, 32, τουτ. μήτι βαρύ σοι δόξῃ;).—« Ἐπειδὰν πρὸς ἐμοῦ εἶ, ἄκουσόν μου » (Γενέσ. κγ, 13· κθ, 34· ὡς τὸ « πρὸς ἡμέων ἐστίν· » Ἡρόδ. τουτ. πρὸς τῷ μέρει μου εἶ· φίλα φρονεῖς κτλ.) (ϐ). Ὅταν ἀπελθεῖν ἐπιτάσσηταί τις, χρῶνται τῷ *Βάδιζε*, ἢ *βάδισον* (ὡς τὸ βάσκ' ἴθι, ἄπιθι). ὅταν δὲ *προσελθεῖν*, τῷ *Δεῦρο* (Ἀριθμ. κϐ, 17. ἑϐρ. ἐλθέ μοι)· ὅταν δ' ἀποχωρεῖν, λέγουσιν « *Ἀπόστα ἐκεῖ* » (Γενέσ. ιθ, 9, ὡς τὸ ἄπιθ' ἐκ ποδῶν). Χρῶνται χαριέντως καὶ τῇ περιποιητικῇ καλουμένῃ δοτικῇ· ὡς, « Τίνες σοι οὗτοι; » (Γενέσ. μη, 8). Τὸ δὲ « ἐχέτω ὑμῖν » (Ἀριθμ. ις. 3) ἐλλειπτικὸν τοῦ *ἅλις*, ὡς τὸ « ἱκανούσθω ἡμῖν » (αὐτόθ.) [ἔχει δὲ τὸ *ἔχω* καὶ τὴν σημασίαν τοῦ ἱκάνω (ὅθεν ἱκανὸς), ἱκνοῦμαι, « ἐφ' ὅσον ἔποψις τοῦ ἱεροῦ εἶχεν » Ἡρόδοτ. τουτ. ἱκνεῖτο, τὸ τῆς Συνηθ. *ἔφθανεν*· ὅθεν τὸ *φθάνει* καὶ ἐπὶ τοῦ ἀρκεῖν, ἱκανοῦσθαι, ἅλις ἔχειν]. Ἐπὶ δὲ τῆς διηγήσεως τῶν ἐνυπνίων ἡ ἑϐραϊς προτάττει τὸ ἰδού· οἱ δὲ Ο (ἑλληνικώτερον) γράφουσι τὸ *ᾤμην*, *ᾤετο* (λζ, μ, μα· ἐν δὲ τῷ μεταξὺ τοῦ λόγου λέγουσι καὶ τὸ *ἰδοὺ*, ἢ καί, *ἰδοὺ ὥσπερ*, κτλ).

§. ιϐ. Ταῦτα μικρὸν γεῦμα τῆς τε περὶ τὴν ἑρμηνείαν μεθόδου καὶ τῆς φραστικῆς ἰδέας τῶν Ο. Περὶ τῶν γλωσσηματικῶν τῆς Γραφῆς ἰδιωτισμῶν καὶ οἱ ἀρχαῖοι Γραμματικοὶ οἱ ἡμέτεροι πολλά τινα σποράδην ἐσημειώσαντο, ἐκ τῶν θείων ἀρυόμενοι Πατέρων καὶ ἑρμηνευτῶν τῆς θείας Γραφῆς (γ). Καὶ τῶν νεωτέρων δὲ φιλο-

---

(α) Ἐκ τοῦ ἑϐρ. λείπει ἡ δέομαι λέξις· ὅτι δ' ἐξέπεσε, μαρτυροῦσι τὰ Ἐξόδ. δ, 10: λϐ, 31. Γενέσ. μγ, 19, ὅπου κεῖνται καὶ ἐν τῷ ἑϐραϊκῷ.

(ϐ) Τὸ ἑϐρ. « Ἐ ὰ ν σ ὺ » (καὶ ἀναπληροῦσι, θέλῃς), « π α ρ α κ α λ ῶ ». Ἀλλὰ τὴν ἡμαρτημένην ταύτην γραφὴν ὁμολογεῖ, καὶ πιθανῶς διορθοῖ ὁ Βὼς (Proleg. c. I.).

(γ) Οἷον Ἡσύχιος, Σουΐδας, κτλ. Γραμματικάς τινας θεωρίας μετὰ ἑρμηνευτικῆς διδασκαλίας ἔχει καὶ ἡ τοῦ Ἀδριανοῦ Εἰσαγωγὴ εἰς τὰς « ἱερὰς Γραφὰς » σελ. 20. ἐκδ. Hoeschel Aug. 1602. Ἐξεδόθη καὶ ἐν τοῖς Critic. Sacris. T. VIII p. 11. sq. Ταύτης δὲ τῆς βίϐλου καὶ Φώτιος ἐμνημόνευσε (Ἀναγν. β)

λόγων ἰδίως καὶ πολυμαθῶς ἐπραγματεύσαντο ἄλλοι τε, καὶ ὁ κλεινὸς Θήρσιος (α).

§. ιγ. Ἡμεῖς δ' ἐπὶ τούτοις προστιθέμεθα καὶ τὰ ἐφεξῆς, χάριν μάλιστα τῶν ἡμετέρων. Καὶ τὰ κάλλιστα τῶν φιλοσόφων συγγράμματα κἂν θαμά τις ἀναγινώσκῃ, προσέχων τῇ λέξει μᾶλλον ἢ τοῖς νοήμασι καὶ τοῖς πράγμασιν, ὅτι σμικρὸν, ἢ οὐδὲν ἐξ αὐτῶν πρὸς ἤθους ἐπανόρθωσιν ὠφελεῖται, παλαιὸς διδάσκει λόγος καὶ μάλα σοφός. Οὐδὲ γὰρ οὐδὲ φαρμάκων τῶν χρηστοτάτων οὐδὲν ὄφελος γίνεται, ἄν τις μόνον τὴν εὐωδίαν αὐτῶν ἀγαπᾷ, καὶ τὴν σύνθεσιν ἐξετάζῃ (β). Εἰ δὲ καὶ τῆς κατὰ κόσμον σοφίας ἡ μάθησις νοῦν τε νηφάλιον καὶ προσοχὴν ἀπαιτεῖ, εἴγε μέλλει χρήσιμος ἔσεσθαι καὶ ὠφέλιμος τοῖς ἐξασκουμένοις, πολλῷ μᾶλλον ἡ τῶν θείων Γραφῶν ἀνάγνωσις καὶ μελέτη πίστεως δεῖται στεῤῥᾶς, καὶ πολλῆς εὐλαβείας, καὶ διανοίας ἀτύφου, καὶ καρδίας καθαρᾶς, ὅπως ἂν ὁ μυούμενος παντοίαν ὠφέλειαν εὑρίσκῃ, καὶ τῆς θείας χάριτος ἀπολαύῃ. « Πρὸς τίνα γάρ, φησιν, ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν, καὶ τρέμοντά μου τοὺς λόγους; ». Ὅταν δέ τις τὴν μίαν καὶ μόνην ἐν ἀνθρώποις κυρίως ΒΙΒΛΟΝ, τὴν θεόπνευστον βίβλον τῆς ἀγηράντου καὶ αἰωνίας ἀληθείας ἑκατέρων τῶν θείων Γραφῶν, ὡς μίαν τῶν ἀνθρωπίνων συγγραφῶν ἐξετάζῃ, καί, δέον ἐξ αὐτῆς θεραπεῦσαι ψυχὴν τηκομένην τῇ δίψῃ τῆς ἀκηράτου καὶ σωτηρίου διδασκαλίας, ὁ δὲ κάθηται πρῶτον τὰς λέξεις γραμματικῶς ἀνακρίνων, εἴ τι τρυφερὸν καὶ χαρίεν γέγραπται

---

(α) Thiersch, l. c. Ὁ σοφὸς οὗτος ἀνὴρ πρὸς τῷ πρώτῳ βιβλίῳ, ἐν ᾧ θεωρεῖ κριτικῶς ποίᾳ τινὶ μεθόδῳ ἐχρήσαντο περὶ τὴν ἑρμηνείαν οἱ Ο (σελ 1—66), προστίθησι καὶ Β, βιβλίον, ἐν ᾧ τὰ περὶ τῆς διαλέκτου τῆς ἑρμηνείας γραμματικώτερον ἐξετάζει (σελ 66—110), καὶ Γ, τέλος, ἐν ᾧ διαλαμβάνει περὶ τῶν ἐν τῇ ἑρμηνείᾳ παρενεσπαρμένων ἑβραϊσμῶν (σελ. 111—180).

(β) Τοὺς μὲν γὰρ Πλάτωνι καὶ Ξενοφῶντι χρωμένους διὰ τὴν λέξιν, ἕτερον δὲ μηδὲν, ἀλλ' ἢ τὸ καθαρόν τε καὶ ἀττικὸν, ὥσπερ δρόσον καὶ χνοῦν ἀποδρεπομένους, τί ἂν ἄλλο φαίης, ἢ φαρμάκων τὸ εὐῶδες καὶ τὸ ἀνθηρὸν ἀγαπᾶν, τὸ δὲ ἀνώδυνον καὶ καθαρτικὸν μὴ προσίεσθαι, μηδὲ γινώσκειν ». Πλούταρχ. περὶ τοῦ πῶς ἄν τις αἴσθ. ἑαυτ. ἐπ' ἀρετῇ προκόπτοντος.

καὶ ἀνθηρὸν, ἢ καὶ τἀνάπαλιν, ὅμοιός ἐστι διψῶντι πλησίον καλλιῤῥόου πηγῆς ναμάτων διαυγεστάτων, ὅστις ἀφέμενος τοῦ πιεῖν, θεωρεῖ πρῶτον τὴν κατασκευὴν τῶν κρουνῶν, καὶ εἰ λίθου τῆς πεντελικῆς ἐξείργασται τὸ ἔλυτρον, καὶ εἴ τι ἐπιγέγραπται καὶ τετόρευται ἐπὶ τοῦ μαρμάρου. Ἢ ὅμοιός ἐστιν εἰσιόντι κάλλιστον κῆπον, ἀνθέων παντοίων μεστὸν, καὶ δένδρων ἡδίστοις καρποῖς βριθομένων, ὅστις τὰ φύλλα μόνον ἱστορεῖ, καὶ ταῖς ὀσμαῖς καὶ χροιαῖς ἐπιτέρπεται τῶν ἀνθέων, ἀναισθητότερος καὶ τῆς μελίσσης αὐτῆς, ἥτις πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ καὶ καρποῖς, καὶ βοτάναις, καὶ τοῖς ἄνθεσιν ἐφιζάνουσα, ξανθὸν μήδεται μέλι. Καὶ ἔστι μὲν οὐ παντάπασι παροπτέα τοῖς γε φιλολογοῦσιν ἡ τῶν λέξεων θεωρία, καὶ μάλιστα ἐν ταῖς θείαις Γραφαῖς, ἐν αἷς καὶ ῥῆμα πολλάκις ἓν, καὶ συλλαβὴ μία παντὸς χρυσίου ψήγματος ἀσυγκρίτως εὑρίσκεται πολυτιμοτέρα, καὶ πνευματικῆς ὠφελείας πρόξενος. « *Οὐδὲν γὰρ ὡς ἔτυχεν ὑπὸ τοῦ θείου λέγεται Πνεύματος* ». Ἀλλ᾽ ἡ τοιαύτη τῶν Γραφῶν ἔρευνα καὶ κριτικὴ θεωρία οὐ μόνον ἀνθρωπίνης δεῖται πολυμαθείας, ἀλλὰ καὶ συνέσεως ἐμβριθοῦς, καὶ ἡλικίας φρονήσει κατηρτισμένης, καὶ πολὺ πρότερον, ψυχῆς ἐντεθραμμένης ἐξ ἁπαλῶν ὀνύχων ἐν τῷ τῆς εὐσεβείας διδασκαλείῳ, καὶ τῇ μελέτῃ τῶν θείων Πατέρων γεγυμνασμένης, καὶ, ὅπερ δὴ ἐλέγομεν, τῆς ἀσφαλείας τῆς ἐκ τοῦ θείου φόβου, ὑπ᾽ ἀσβέστῳ τῷ φωτὶ τῆς πίστεως ἀείποτε συμπαραστατοῦντος. Εἰ δέ τις οἴστρῳ βεβλημένος κενοδοξίας, ᾄττει θρασέως ἐπιπηδῶν εἰς τὴν ἔρευναν τῶν θείων λόγων καὶ νοημάτων, καὶ τῶν ἱερῶν κηρυγμάτων τῆς ἀρχαιοπρεποῦς καὶ πατροπαραδότου σοφίας ὀλιγωρεῖ, ὅπως εἶναί τις δόξῃ σοφώτερα λέγων· ἢ καὶ ὀρνεώδης τις καὶ κοῦφος τυγχάνων, καὶ πρὸς πάσας ἐπῳδὰς τῆς καινοτόμου σοφιστείας ἐπτοημένος, ἀποδέχεται πᾶν τὸ καινοφανέστερον, μηδεμίαν ποιούμενος ἐκλογὴν, μηδὲ τὰ ὀθνεῖα καὶ μὴ στοιχοῦντα τῷ κανόνι τῆς εὐσεβείας ἀκριβῶς ἀποκρίνων ἀπὸ τῶν ἀγηράντων καὶ σεμνοτάτων διδαγμάτων τῆς ἀληθείας, τί ἄν τις ἔπειτα ἐλπίσειε παρὰ τῶν τοιούτων, ἢ τερθρείαν ἀπέραντον, καὶ στωμυλίαν

ποικίλην, ὑφ' ἧς οὐ βίος, οὐ λόγος, οὐ πρᾶξις, οὐδὲ πολιτεία κοσμεῖται, ἀλλὰ καὶ τὸ σέβας τῶν θείων βεβηλοῦται Γραφῶν, καὶ ἡ ἱερὰ παιδεία τυφλοῦται, καὶ πολλὴ νεότης ἀποπλανᾶται, καὶ φρένες καὶ ἤθη καὶ ψυχαὶ συναπόλλυνται, κούφου πράγματος, λέξεως, ἀνήκεστον ἀνταλλαξάμεναι τὴν ζημίαν.

§. ιδ. Τοιαύτη τις σαρκίνη σοφία τὸ σκυθρωπὸν καὶ ἀμειδὲς τῆς κριτικῆς ἐπιστήμης ἐπ' οὐδενὶ χρηστῷ ὑποδῦσα, καὶ φαρμάκοις παντοδαποῖς τοὺς ἑαυτῆς ἐπιχρώσασα λόγους, πολλὴν καὶ περιφανῆ τὴν ὕβριν ἐξέχεε κατὰ τῆς ἀνυβρίστου καὶ ἀμωμήτου ἑρμηνείας τῶν Ο, ἄλλα τε πολλὰ καὶ δεινὰ, ὡς προείδομεν, ἐξερευξαμένη, καὶ ὅτι μὴ καθαρῶς ἑλληνίζει διὰ τοὺς συνεξυφασμένους ἑβραϊσμοὺς, καὶ τὸ πολλάκις εὐτελὲς καὶ ἀκατάσκευον τῆς φράσεως. Πάντα γὰρ οἱ ἄνδρες οὗτοι θέλουσιν ἁβρὰ καὶ κομψὰ καὶ καθαρῶς μεμουσωμένα· τοιαῦτα δὲ παρὰ τοῖς Ο μηδόλως εὑρίσκοντες, πρὸς ἅπαντα τὰ παρ' αὐτοῖς δυσχεραίνουσι. Καὶ τὸν μὲν Ῥωμαῖον Πλαῦτον εὐμενῶς ἀποδέχονται, στέργοντες καὶ ὅσους ἔχει φοινικισμούς· οὓς καὶ παραβάλλουσι χαριέντως πρὸς μικράς τινας ἐλαίας ἐπὶ καλοῦ προσώπου ἠρέμα διαφαινούσας, ὅσῳ τὸ κάλλος τῆς εὐμορφίας λαμπρότερον ἀποτελεῖν. Οὐδὲ τὸν Οὐϊργίλιον καὶ τὸν Ὀράτιον καὶ Σαλλούστιον ἐξελέγχουσι διὰ τοὺς πυκνοὺς ἑλληνισμούς. Ὁ δὲ Κικέρων καὶ ἐπαγάλλεται λατινίζων ἐν Ἕλλησι λόγοις, καὶ πάλιν ἑλληνίζων ἐν τοῖς λατινικοῖς (α)· καὶ τὰς μάλιστα διαπεπονημένας τῶν ἐπιστολῶν καὶ λέξεσι καὶ φράσεσιν ἐστεφάνου πολλάκις ἑλληνικαῖς· καὶ τοὺς ἄλλους δὲ τοιαύταις χρῆσθαι παρῄνει, ἐπειδὰν ῥωμαίας προχείρους μὴ ἔχωσιν » (ϐ). Ἐπαινοῦσι καὶ ταῦτα οἱ κριτικοί· ἐπιτέρπονται δ' ἀκούοντες καὶ τοὺς Ἐπικούρου σολοικισμοὺς, « πολλὰ κατὰ τὸν λόγον ἠγνοηκότος, καὶ

(α) « Scis enim me Graece loqui in Latino sermone non plus solere, quam in Graeco Latine » Cicer. Tuscul. I.

(ϐ) « Graecis licet utare, cum voles, si te latinae forte deficiant ». Cicer. Acad. I.

λέξει χρησαμένου ἰδιωτικῇ » (α). Τὸν δὲ Χρύσιππον καὶ ἀποθαυμάζουσιν, ὅτι πρὸς τὸ πραγματικὸν ἀποβλέπων, ἠμέλει τοῦ λεκτικοῦ, καὶ τοὺς λόγους ὡμολόγει τοὺς αὐτὸς ἑαυτοῦ « *ἀδιεξόδους εἶναι καὶ ἀπολιτεύτους* », καὶ « *ποιὰς ἀσαφείας* (ἔχειν), *καὶ λεξείδια, ἐφ᾽ οἷς ἂν ἄλλοι αἰσχυνθείησαν οὐκ ὀλίγοι* »(δηλονότι μικρὰ φρονοῦντες) (β). Πύῤῥωνα δὲ τὸν Ἐφεκτικὸν, καὶ *ἀμαθῆ καὶ ἀπαίδευτον* ἄντικρυς καλούμενον, παραλείπομεν (γ). Αὐτὸς δὲ ὁ θεῖος Ὅμηρος οὐχὶ διὰ μεγαλοφροσύνην ἐπαινεῖται παρὰ Πλουτάρχῳ, « *ὅτι τὸν πρῶτον στίχον εὐθὺς ἄμετρον ἐξήνεγκεν;* » (δ). Καὶ αὐτῷ δὲ τούτῳ τῷ γερασμιωτάτῳ Χαιρωνεῖ πολλὰς ὁμολογεῖ τὰς χάριτας ἡ φιλολογία, ὅτι τὰ ῥωμαϊκὰ τοῖς ἑλληνικοῖς ἀναμιγνὺς, καὶ ἐπεξηγῶν, πολλὰ τὴν ἀρχαιολογίαν ὠφέλησεν (ε). Ὅτι δὲ καὶ σολοικοφανῆ τινα καὶ ἀνακόλουθα καὶ ἀκατάλληλα παρὰ τοῖς ἐνδοξοτάτοις ποιηταῖς καὶ λογογράφοις εὑρίσκονται παρενεσπαρμένα, ἐσημείωσαν οἱ γραμματικοὶ, σχήματα ταῦτα καλοῦντες, καὶ γλώσσας, καὶ ἀρχαϊσμοὺς ἐπιπρέποντας πολλάκις τῷ μουσοφιλήτῳ συγγραφεῖ. Καὶ αὐτῶν δὲ τῶν ἀρχαίων χρησμῶν πολλοὶ περὶ τὴν φράσιν ἦσαν ἄζηλοι, καὶ εὐτελεῖς, « *καὶ τοῖς μέτροις καὶ τοῖς ὀνόμασι πολλῆς πλημμελείας καὶ φαυλότητος ἀναπεπλησμένοι* » (ζ)· καίτοι νομιζόμενοι δῆθεν ἔπη καὶ θεσπίσματα τοῦ θεοῦ τοῦ παρ᾽ αὐτοῖς μουσηγέτου καὶ λογίου. Ἀλλὰ τούτων καὶ τῶν τοιούτων ἁπάντων ἀνέχονται μεγαλοφρόνως καὶ λίαν ἐπιεικῶς οἱ κοσμόσοφοι· πρὸς μόνους δὲ τοὺς παρὰ τῶν Ἀποστόλων παραδεδομένους τῇ Ἐκκλησίᾳ λόγους τοῦ ἀληθινοῦ Θεοῦ δυσφοροῦσι, ψέγοντες αὐτοὺς ὡς ἀκαλλεῖς τὴν φράσιν, καὶ χυδαίους τὴν ἑρμηνείαν, καὶ συνάμα τοῖς Ο μεταφρασταῖς αὐτῶν ἐξουθενοῦσιν ὡς βεβαρβαρωμένους. Οὕτω δή ποτε καὶ Κέλσος καὶ Ἰουλιανὸς ἐξήλεγχον τοὺς ἐν ταῖς θείαις Γραφαῖς ἑβραϊσμοὺς

(α) Λαέρτ. Ι. 3. πρβλ. καὶ Πλούταρχ. Ὅτι οὐδὲ ζῆν ἐστιν ἡδ. κατ᾽ Ἐπίκουρον.

(β) Πλούταρχ. Στωϊκ. ἐναντιωμ. σελ. 587. — (γ) Λαέρτ. Ι. 4.

(δ) Πλούταρχ. Πῶς ἄν τις αἴσθοιτο κτλ. — (ε) Βλ. Πλουτάρχ. Ῥωμαϊκ. Κεφαλ. πολλαχοῦ. — (ζ) Πλούταρχ. π. τ. μὴ χρᾶν ἔμμετρα τὴν Πυθίαν.

καὶ σολοικισμοὺς, ὡς ἂν καὶ τούτους δεῖγμα τῆς μὴ θειότητος αὐτῶν! Ὁ δὲ ματαιόσχολος Τατιανὸς καὶ ἐν αὐταῖς ταῖς τοῦ θείου Παύλου ἐπιστολαῖς « ἐτόλμησέ τινας μεταφράσαι φωνὰς, ὡς ἐπιδιορθούμενος αὐτῶν τὴν τῆς φράσεως σύνταξιν » (α). Καί τις ἄλλος πάλιν μετ' αὐτὸν, ὁ Τριφύλλιος, τὸ τοῦ Εὐαγγελιστοῦ « Ἆρόν σου τὸν *κράββατον* » ἐξέφερεν ἐπ' Ἐκκλησίας « Ἆρόν σου τὸν *σκίμποδα* », διορθῶν πρὸς τὸ ἀττικώτερον! Ὅθεν καὶ ὑπὸ τοῦ ἁπλοῦ καὶ θείου Σπυρίδωνος, τοῦ Τριμυθοῦντος ἐπισκόπου, παρόντος ἐπετιμήθη (β). Τοιαύτη τις ἐστὶ καὶ ἐν τοῖς μικροῖς καὶ ἐν τοῖς μεγάλοις ἡ ματαιοσπουδία τῶν περισόφων ἐκείνων, ὅσοι κρίνοντος ὡς ἄκομψα τὰ πανάγια τοῦ Πνεύματος λόγια, καθυποζυγοῦσιν εἰς τῶν τεχνολόγων γραμματιστῶν τοὺς κανόνας.

§. ιε. Ἀλλ' ἡμεῖς πρὸς τοὺς τοιούτους πρῶτον μὲν ἀπαντῶμεν ἐκεῖνα τὰ λιτὰ καὶ ἁπλοϊκὰ τῶν Ἀποστόλων ῥήματα. Ὅτι « Οὐκ ἐν σεσοφισμένοις μύθοις » — « οὐδ' ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις ἡ πίστις ἡμῶν, ἀλλ' ἐν δυνάμει Θεοῦ » (β. Πέτρ. α, 16: Α. Κορινθ. β, 4, 5). Ὁμολογοῦμεν δὲ καὶ μετὰ τῶν θείων ἡμῶν Πατέρων καὶ Οἰκουμενικῶν διδασκάλων, ὅτι « Ἡμεῖς Μωσεῖ καὶ

---

(α) Εὐσέβ. Ἐκκλ. ἱστορ. δ, 29.

(β) « Συνάξεως ἐπιτελουμένης, ἐπιτραπεὶς ὁ Τριφύλλιος διδάξαι τὸ πλῆθος, ἐπεὶ τὸ ῥητὸν ἐκεῖνο παράγειν εἰς μέσον ἐδέησε, τὸ Ἆρόν σου τὸν κράββατον καὶ περιπάτει, » σκίμποδα ἀντὶ τοῦ κραββάτου, μεταβαλὼν τὸ ὄνομα, εἶπε. Καὶ ὁ Σπυρίδων ἀγανακτήσας, « Οὐ σύ γε, ἔφη, ἀμείνων τοῦ κράββατον εἰρηκότος, ὅτι ταῖς αὐτοῦ λέξεσιν ἐπαισχύνῃ χρῆσθαι! Καὶ τοῦτο εἰπὼν, ἀπεπήδησε τοῦ ἱερατικοῦ θρόνου, τοῦ δήμου ὁρῶντος· ταύτῃ γε μετριάζειν παιδεύων τὸν τοῖς λόγοις ὠφρυωμένον » (Σωζόμ. Ἐκκλ. ἱστορ. Α, ια). Σημειωτέον δ' ἐν τούτοις, ὅτι καὶ Κλήμης ὁ ἱερώτατος (Παιδαγ. α, 2) ἔγραψε σκίμποδα ἀντὶ τοῦ κραββάτου· « Ἀνάστα, φησὶν (ὁ Σωτὴρ) τῷ παρειμένῳ, τὸν σκίμποδα ἐφ' οὗ κατάκεισαι λαβὼν » — « καὶ τῷ τεθνεῶτι· Λάζαρε, εἶπεν, ἔξελθε » (ἀντὶ τοῦ Δεῦρο ἔξω). Ἀλλ' οὗτος μὲν καὶ ἄλλοι τῶν θείων Πατέρων ἐν ταῖς ἰδίαις αὐτῶν συγγραφαῖς πολλάκις οὐκ αὐτὰς ἐκφέρουσι τὰς θείας λέξεις, ἀλλὰ τὸ νόημα, παραφράζοντες καὶ συνεξυφαίνοντες τὰς ῥήσεις πρὸς τὴν ἄλλην τοῦ λόγου σειρὰν, οὐ διορθοῦντες τὸ θεῖον κείμενον (ἄπαγε!). Ὁ δὲ πανάττικος Τριφύλλιος ἀπὸ τοῦ ἱεροῦ ἄμβωνος παράγων εἰς μαρτυρίαν τὸ ῥητὸν, ἤθελεν ἐξαττικίσαι καὶ τὸν ἱερὸν Εὐαγγελιστὴν, ἅμα τε δεινότητα λόγων ἐπιδεικνύμενος, καὶ μέγεθος μωρίας περιμηκέστατον!

Ἠλίᾳ, καὶ τοῖς οὕτω μακαρίοις ἀνδράσι σύνεσμεν, ἐκ τῆς βαρβάρου φωνῆς διαλεγομένοις ἡμῖν τὰ ἑαυτῶν, καὶ τὰ παρ᾿ ἐκείνων φθεγγόμεθα, νοῦν μὲν ἀληθῆ, *λέξιν δὲ ἀμαθῆ*, ὡς αὐτὰ ταῦτα δηλοῖ » (α). « Οὐ γὰρ μέλει τῷ Θεῷ θεοφορήτου λέξεως. Τὸ Πνεῦμα τὸ ἅγιον ὑπερορᾷ μικρολογίας συγγραφικῆς » (β). « Ἔχομεν δὲ τὸν θησαυρὸν ἐν ὀστρακίνοις σκεύεσι (*τὴν λαμπρότητα, δηλαδὴ τῶν δογμάτων ἐν εὐτελεῖ καὶ εὐκαταφρονήτῳ λέξει ἀποκειμένην*), ἵνα λάμψῃ ἡ ὑπερβολὴ τῆς δυνάμεως τοῦ Θεοῦ· καὶ μὴ νομισθῇ εἶναι ἐξ ἡμῶν τῶν ἀνθρώπων » (γ). Ἀλλ᾿ οἱ σκευωροὶ τῆς καλλιῤῥημοσύνης ὀλιγωροῦσι τούτου τοῦ θησαυροῦ, διὰ τὴν δοκοῦσαν οἱονεὶ πηλόπλαστον εὐτέλειαν τῆς λέξεως· ἐν ᾧ πάλιν ἑτέρωθεν ἐπαινοῦσι πάντως τὸν Πλούταρχον, ψέγοντα δικαίως τοὺς ἀπαξιοῦντας ἀποκαρπίζεσθαι γνώμας ἀληθεῖς καὶ σωτηριώδεις ἐκ μὴ κεκαλλιεπημένης συγγραφῆς· ὡς ἂν καὶ εἴ τις ἄῤῥωστος μὴ προσδέχοιτο πιεῖν ἰατρικὸν, ἐὰν τὸ σκεῦος « *μὴ ἐξ ἀττικῆς κωλιάδος ᾖ κατεσκευασμένον* » (δ).

§. ιϛ. Ἔπειτα καὶ ἄλλως, ἄδικοί τινες φαίνονται περὶ τὴν φιλολογικὴν κρίσιν οἱ δεινοὶ τῆς ἑρμηνείας ἐτασταί. Ὑπάρχουσιν (ὅπερ οὐδ᾿ ἂν αὐτοὶ ἀρνηθεῖεν), ὑπάρχουσιν ἐν αὐτῇ καὶ τῆς Ἑλλάδος φωνῆς ἐξαίρετα κάλλη, φέγγος ἁγνότατον διαλάμποντα, καὶ φραστικὴ δύναμις, καὶ λόγου κράτος οὐ κατεσπουδασμένον καὶ κατάτεχνον, οὐδὲ κομμωτικῶς κεκαλλωπισμένον, ἀλλ᾿ ἔμφυτον καὶ γνήσιον καὶ ἀσφαλὲς, καὶ τῆς προφητικῆς θεηγορίας ἐπιπρέπον τῷ ὕψει, καὶ « τῆς ἐν μυστηρίῳ ἀποκεκαλυμμένης », καὶ ὑπὸ τῶν Ἀποστόλων κεκηρυγμένης θείας σοφίας καὶ χάριτος ἄξιον (ε). Ἐπανθεῖ δ᾿ ἐν πᾶσιν ἡ ὅσον ἄδολος καὶ ἀφελὴς, τοσοῦτον ἀγα-

(α) Μ. Βασίλ. ἐπιστ. 146. πρβλ. καὶ εἰς τὴν Ἑξαήμερ. ὁμιλ ϛ. σελ. 70. τόμ. α.

(β). Συνέσ. Ὁμιλ. α. σελ. 295. ἐκδ. Lutet. 1640.

(γ) Ὠριγ. περὶ Ἀρχῶν Δ. σελ. 163. καὶ κατὰ Κέλσ. ϛ. σελ. 629. πρβλ. Φιλοκαλ. Δ. σελ. 65. — (δ) Πλούταρχ. π. τ. ἀκούειν.

(ε) Βλ. Φωτίου ἐπιστολ. ρξε, ἐν ᾗ θαυμαστῶς διαγράφει τὸν χαρακτῆρα τοῦ λόγου τῶν τοῦ θείου Παύλου πρβλ. καὶ ἐπιστολῶν. Εὐσεβ. Ἐκκλ. ἱστορ Γ. 25.

πτὴ καὶ πολυσέβαστος ἁπλότης· τοιαύτην δὲ, μάλιστα πρὸς τὸ τῶν θείων ἐννοιῶν ἐφαρμόζουσαν ὕψος, εἰς μάτην ζητήσεις παρὰ τοῖς ἐνδοξοτάτοις τῶν ἑλληνικῶν συγγραφέων. Ὅθεν καὶ αὐτὸς ὁ Λογγῖνος τὸ ὕψος τοῦ Μωσέως ἐθαύμασεν (α). Ὁ δὲ Πλατωνίζων Φίλων ἐξύμνησε τὴν πραγματικὴν τῆς Γραφικῆς φράσεως ἀκρίβειαν; « σαφῶς εἰδὼς, ὅτι περιττὸν ὄνομα οὐδὲν τίθησιν ὑπὸ τῆς τοῦ πραγματολογεῖν ἀμυθήτου φορᾶς » (ϐ).

Τελευταῖον. Ἔχει καὶ ἡ θεία Γραφὴ *τοὺς ἑαυτῆς ἰδιωτισμοὺς* (ὡς εἶπεν ὁ θεῖος Χρυσόστομος), καθὰ καὶ πᾶσα συγγραφὴ πάσης ἄλλης, καὶ μάλιστα καινῆς τινος ἐπιστήμης διδακτική. Οὐδ' ἔστιν ὅστις ἢ τῶν φιλοσόφων, ἢ τῶν ἄλλων ἐπιστημονικῶν καὶ τεχνολόγων (εἴπερ ἔξεστι τὰ οὐράνια πρὸς τὰ γήϊνα παραϐάλλειν) καινά τινα διδάγματα τοὺς ἰδίους διδάσκων ὁμογενεῖς, διέφυγε τὴν περὶ τὰς ἐκφράσεις καινοτροπίαν (καὶ μάλιστα ὅταν ἀπ' ἄλλης γλώσσης, πρὸς τὴν πάτριον ἀνομοιοτάτης, μεταφέρῃ τὰ εὐθυμήματα)· ἀλλὰ καὶ λέξεις καινοτέρας δημιουργεῖ, καὶ τῶν ὑπαρχουσῶν ἐπεκτείνει τὰς σημασίας, ἐνεξουσιάζων περὶ τὰς δυνάμεις τῶν ὀνομάτων, καὶ παραπλέκων κατ' ἀλληλουχίαν τὰς ἐννοίας· καί τινα ἐξηλλαγμένα πολλάκις ἐξέφερε, σολοικισμῶν παρέχοντα φαντασίαν, καὶ λόγου σύνταξιν καὶ συνθήκην καὶ φράσιν πολλάκις ἐνήλλαξεν, ἀπευθύνων πρὸς ἃ βούλεται δηλοῦν· διὸ καὶ πολλαχοῦ τῆς συγγραφῆς οὐκ ὀλίγα τῆς ἐξ ἧς ἑρμηνεύει ξενικῆς διαλέκτου μετεφύτευσεν ἴχνη. Οὔτε γὰρ ἄνετος τὰ οἰκεῖα συγγράφει, ῥινῶν καὶ τορεύων τὰς λέξεις, καὶ τὰς φράσεις καλλωπίζων πρὸς τὸ δοκοῦν, οὔτε παραφράσεις ἀνέτῳ καλάμῳ διεξυφαίνει, ἀλλ' αὐτὰς ὀφείλει τὰς φωνὰς πρὸς ἄλλας ἰσοδυνάμους μεταϐαλεῖν, ἀνάλογον τοῖς σημαινομένοις. Ἀπόδειξις δὲ τοῦ λόγου, πάντες ὅσοι διαλεκτικῆς, φέρ' εἰπεῖν, ἢ φυσικῆς, ἢ γεωμετρίας, ἢ ἄλλης ἐπιστήμης ὀνόματα καὶ φράσεις εἰς ἄλλην ἀπ' ἄλλης μεταϐάλλουσι γλῶσσαν. Καὶ τῶν μὲν ἀρχαίων,

---

(α) *Λογγῖν. περὶ Ὕψους Τμήμ. Θ. πρβλ.* Lowth de Sacr. poës. Hebr.

(ϐ) *Φίλων περὶ φυγάδ. σελ.* 554, *τόμ. α.*

Ῥωμαῖοι πρώτιστοι, οἵτινες τὰς Ἑλλήνων φιλοσόφων ἐκλατινίζοντες βίβλους, πάντας ὅρους τεχνικοὺς καὶ τὰς ἐξ αὐτῶν συγκειμένας φράσεις οὐ μόνον ἑρμηνεῦσαι, ἀλλὰ καὶ μιμήσασθαι λίαν ἐσπούδασαν, πρὸς τὸ σχῆμα τῶν ἑλληνικῶν ὀνομάτων μεταποιοῦντες (α). Καὶ αὐτὸς δὲ Χρύσιππος (περὶ οὗ προείπομεν), καὶ οἱ Στωϊκοὶ τὰς καινοτέρας τῆς κατ᾽ αὐτοὺς φιλοσοφίας ἐννοίας καινὰς περιέβαλλον λέξεις καὶ φράσεις, ἐκβαίνοντες πολλάκις ἐπὶ πολὺ τῆς συνήθους τοῖς Ἕλλησι διαλέκτου. Τῶν δὲ νεωτέρων πάσης ἐπιστήμης αἱ βίβλοι γέμουσιν ἑλληνικῶν ὀνομάτων, ὡς ἔστιν ἰδεῖν ἔν τε τοῖς φυσικοῖς, καὶ τοῖς ἰατρικοῖς αὐτῶν συγγράμμασι, καὶ τοῖς νομικοῖς. Πολλάκις δὲ καὶ αὐτὰς τὰς ἑλληνικὰς ὀνομασίας ἀμεταφράστους εἰσεποιήσαντο, ἢ καὶ λέξεις ἄλλας συνθέτους ἐκ τούτων συνέπλεξαν. Περὶ δὲ τὰς ἐκκλησιαστικὰς καὶ θρησκευτικὰς ὀνομασίας, ὅση γέγονεν ἡ τῶν ἑλληνικῶν ἀνάμιξις ἐν ταῖς λατίνων μάλιστα καὶ πρώτιστα συγγραφαῖς, περιττὸν ἂν εἴη λέγειν (β). Τοιοῦτό τι κἀν τῇ τῶν Ο ἑρμηνείᾳ πάρεστι φιλολογικώτερον σκοπεῖν. Καινοτάτην γὰρ εἰς τὴν ἑλληνικὴν διάλεκτον ἐκφέροντες συγγραφὴν, καὶ χρησμοὺς ἑρμηνεύοντες θείους, ἐν οἷς μήτ᾽ ἀφελεῖν, μήτε προσθεῖναι, μήτε μεταθεῖναι ἐξῆν « τὴν ἐξ ἀρχῆς ἰδέαν αὐτῶν διεφύλαξαν καὶ τὸν τύπον » (ὡς εἶπε Φίλων). « Συντρέχοντα γὰρ τοῖς πράγμασιν ἐξεῦρον ὀνόματα, ἅπερ δὴ μόνα, ἢ μάλιστα τρανώσειν ἔμελλον ἐμφαντικῶς τὰ δηλούμενα. « Ὃν

---

(α) Οἷον· εἴ τις τὸ ὂν id quod est μεταφράζοι, λατινίζει μὲν πάντως, ἀλλ᾽ οὐ καὶ τὸ εἶδος οὐδὲ τὴν χρῆσιν τοῦ ἑλληνικοῦ ὀνόματος ζωγραφεῖ. Διὸ καὶ ens ὀρθότερον εἶπον τὸ ὄν, καὶ τὴν οὐσίαν essentiam, οἱ δὲ καὶ entiam (ἐκ τοῦ ens καὶ esse ὀνοματοποιοῦντες), καὶ substantiam δὲ πάλιν καὶ τὴν οὐσίαν καὶ τὴν ὑπόστασιν. Ἐπειδὴ δὲ παρ᾽ Ἕλλησιν ἡ οὐσία καὶ πλοῦτον σημαίνει, καὶ τὰ ὑπάρχοντα, καὶ ταύτην προσέθηκαν τὴν σημασίαν. Καὶ accidentia εἶπον τὰ παρ᾽ Ἕλλησι συμβαίνοντα, καὶ quantitatem καὶ qualitatem τὴν ποσότητα καὶ ποιότητα, καὶ τ᾽ ἄλλα τὰ πολλὰ, περὶ ἃ καὶ Κικέρων πεπόνηκε μάλιστα. βλ. Salmasij. De Hellenistic. pag. 117.

(β) Βλ. Alberic. Gentilis, De Linquarum mixtura Disputatio parergica. In Criticor. Sacror. vol. V. p. 8094.

τρόπον καὶ γεωμετρίας καὶ διαλεκτικῆς τὰ σημαινόμενα ποικιλίαν ἑρμηνείας οὐκ ἀνέχεται· μένει δ᾽ ἀμετάβλητος ἡ ἐξ ἀρχῆς τεθεῖσα » (α). Καὶ τἆλλα δὲ πρὸς τὸ σαφέστατον ἡρμήνευσαν, τὸν ἄριστον τῆς ἑρμηνείας ἐκλεξάμενοι τρόπον, καὶ μηδὲν προσθέντες ἀφ᾽ ἑαυτῶν περιττὸν, ὡς ὡμολόγησε καὶ ὁ μακάριος Ἱερώνυμος (β).

---

(α) Φίλων περὶ Μωσ. βιβλ. β.

(β) « In iis quae addita sunt, non verba consideranda, sed sensus, ad quem οἱ LXX de suo nihil addiderunt » etc. S. Hieron. de Optim. gener. interpretandi. πρβλ. καὶ Praefat. in Chronic. Euseb. ὅπου μεταξὺ τῶν ἄλλων καὶ ταῦτά φησιν· « ὅτι, Τὸ κατὰ λέξιν μεθερμηνεύειν ὑπόσαθρον ἠχεῖ. Οὐ γὰρ λέξιν πρὸς λέξιν ἀποδιδόναι φροντίζει ὁ πιστὸς ἑρμηνεύς. » βλ. καὶ Walton. Proleg. IX §. 12. p. 365. Ὁ δὲ σοφὸς Φράγκελος (l. c. p. 169) ἐπικρίνων καὶ τὴν ἑρμηνευτικὴν, ἢ ἐξηγητικὴν ἰδέαν τῶν Ο, λίαν ἀπίστους αὐτοὺς εὑρίσκει περὶ τὴν ἑρμηνείαν, καὶ παραινεῖ μηδένα μηδαμοῦ ταύτην λαμβάνειν εἰς βοήθειαν πρὸς θεραπείαν, ἢ ἐξήγησιν τοῦ ἑβραϊκοῦ κειμένου (καθώς τινες ἐγνωμάτευσαν)· μηδὲ νομίζειν, ὅτι, καθ᾽ ὅσα διαφέρουσι τοῦ ἑβραϊκοῦ, ἄλλο τι ἀνέγνων αὐτοί. « Τὰ μὲν γάρ (φησι) μεταφράζουσι κατὰ λέξιν, ἅπερ πολλάκις οὐδένα νοῦν ἔχουσιν (ἅτε τοῦ ἑρμηνέως ἔν τε τῷ πρωτοτύπῳ καὶ τῇ ἰδίᾳ ἀμαθείᾳ περιπλακέντος), τὰ δὲ καὶ κατὰ νόημα μόνον ἡρμήνευσαν, ὀκνηρίᾳ χαριζόμενοι· καὶ τὰ μὲν προσέθηκαν, τὰ δὲ συνέκοψαν » — καὶ τ᾽ ἄλλα τὰ τοιαῦτα τῆς Φραγκέλου χρυσοπείας σεμνολογήματα. Ἀλλ᾽ ἡμεῖς ἓν μόνον ἀπαντῶμεν πρὸς ταῦτα, ὅπερ καὶ αὐτὸς, εἰ μὴ καὶ ὡς ῥαββὶς, ἀλλ᾽ ὥς γε κριτικὸς, οὐκ ἂν ἀποφήσειεν· ἔστι δὲ τὸ ἐφεξῆς. Ὅτι πρῶτοι πάντων οἱ Ο εἰς ἄλλην γλῶσσαν ἑρμηνεύσαντες τὰς θείας Γραφὰς, ὁδηγοὶ τοῖς μεταγενεστέροις ἀπέβησαν καὶ διδάσκαλοι, οὐ μόνον τοῖς μετ᾽ αὐτοὺς ἑλληνισταῖς, Ἀκύλᾳ καὶ Θεοδοτίωνι καὶ Συμμάχῳ, ἀλλὰ δὴ καὶ Ὀγκέλῳ καὶ τοῖς ἄλλοις χαλδαίοις παραφρασταῖς, τῷ τε Σύρῳ ἑρμηνεῖ, καὶ αὐτῷ τέλος Ἱερωνύμῳ· ὅς γε τὴν ἐκ τῶν Ο παλαιὰν Ἰτάλαν ἔχων πρὸ ὀφθαλμῶν, καὶ τούτους αὐτοὺς ἀχωρίστους ὁδηγοὺς, ἐφιλοπόνει τὴν ἰδίαν Βουλγάταν. Ἐκ δὲ ταύτης καὶ τῶν ἄλλων ἑρμηνειῶν καὶ αἱ νεώτεραι κατηρτίσθησαν ἐν διαφόραις γλώσσαις τῆς Γραφῆς μεταφράσεις, τῶν Ο πανταχοῦ προηγουμένων (ὁμολογοῦσι δὲ τὸ πρᾶγμα καὶ οἱ τῶν νεωτέρων ἑρμηνευτῶν ἐπισημότεροι). Ἐὰν οὖν ὁ κριτικὸς Φράγκελος ἑαυτὸν ὑπόθηται πρὸς ὥραν ἀνήκουστον παντάπασι καὶ ἄγευστον τῶν ἄλλων ἑρμηνειῶν ἁπασῶν, καὶ τῶν παρ᾽ αὐτῷ τιμωμένων Χαλδαίων παραφραστῶν, καὶ ἐπὶ πᾶσι τῶν Ο, ἐπιχειρήσῃ δὲ μεταφράσαι ἓν ὁποιονδήποτε κεφάλαιον τῆς ἑβραΐδος γραφῆς, τί ποτε γράψει; πῇ βήσεται; πῇ στήσεται; τίς γεννήσεται; χανεῖ πρὸς ἄνεμον πολλάκις, καὶ τὸν κάλαμον προήσεται ξηρόν. Ἀλλὰ καὶ νῦν ἤδη μετὰ πάσης τῆς ὑψηλῆς αὐτοῦ κριτικῆς, πειραθήτω νέαν οἰκείαν ὅλην ἐξ ὑπαρχῆς ἑρμηνείαν συντάξαι· τῆς κατ᾽ αὐτὸν Μασορίτιδος Γραφῆς, μηδεμίαν παρ᾽ ἄλλων βοήθειαν προσλαμβάνων, καὶ ὄψεται τὰ τῶν θρασυστόμων Ἀστυδαμάντων ὀστέα « ἔνθα πύθεται ὄμβρῳ ». Εἶτα οὕτως ἔχων, κρίνει περὶ τῆς ἀπίστου καὶ πιστῆς ἑρμηνείας τῶν Ο.

§. ιζ. Καὶ αὐτὴ δὲ ἡ μετὰ ποικίλων ἑβραϊσμῶν ἀνάμιξις τῆς ἑρμηνείας τῶν Ο, καὶ ὁ κατὰ τόπους ἑβραΐζων τῆς ἑλληνικῆς αὐτῶν διαλέκτου χαρακτὴρ ἔχει τι σεμνὸν καὶ μέγα, θαυμαστῶς ἐπιπρέπων εἰς τὸ ὕψος τῆς ἁγιότητος τῶν Γραφῶν (α). Τότε γὰρ τὸ πρῶτον εἰς ἔθνους ἀμυήτου βέβηλον γλῶσσαν ἐξηγουμένων τῶν θείων τῆς Ἀποκαλύψεως μυστηρίων, εἴποις ἂν, ὅτι ἤνοιγεν ὁ οὐρανὸς, καὶ καιναί τινες ἠκούοντο τῆς οὐρανίας ἀληθείας φωναί. Νέον δ' ἐκ τούτων ἐξήστραπτε φῶς, νέων πραγμάτων ἐπεφαίνετο τάξις, νέων γνώσεων διδασκαλία ταῖς διανοίαις ἐνετυποῦτο, παραδόξως ἐγκαινίζουσα τὰ φρονήματα. Καὶ νέος λοιπὸν φθόγγων καὶ φράσεων ἀπῃτεῖτο ῥυθμὸς, καὶ διάλεκτος ἐν πολλοῖς ἰδιόμορφος καὶ καινότροπος. Τοιαύτην ἤκουσαν τὸ πρῶτον οἱ Ἕλληνες, καὶ αὐτοὶ οἱ ὁπωσδήποτε προκεκατηχημένοι ἑλληνισταὶ, τὴν ἑρμηνείαν τῶν Ο. Πρώτη μὲν γὰρ τῶν ἀνθρωπίνων διαλέκτων ἐξελέγη ἡ χαναναῖτις ἐκείνη γλῶσσα τοῦ Σὴμ, ἡ στερρὰ καὶ ἀπόκροτος καὶ ἀρχαϊκὴ, καὶ μόνον ἐντὸς τῶν ὁρίων τῆς Ἰουδαίας μετὰ τὸν θεοφάντορα Μωϋσῆν περιγεγραμμένη, μηδὲν ἕτερον πλουτοῦσα σύγγραμμα πλὴν μόνων τῶν θείων Γραφῶν. Δι' αὐτῆς γὰρ ηὐδόκησεν ὁ θεὸς ἀποκαλύψαι τὰ θελήματα αὐτοῦ τῷ πρὸ πάντων τῶν ἐθνῶν τῆς γῆς ἐκλελεγμένῳ Ἰσραὴλ, καὶ τούτῳ τὴν νομοθεσίαν πιστεῦσαι καὶ τὰς μεγάλας ἐπαγγελίας. Ἀλλ' ὅτε ἤδη ἤγγιζε τῆς τούτων ἐκπληρώσεως ὁ καιρὸς, ἄλλη τις ἐκλέγεται διάλεκτος, ἡ γλῶσσα τοῦ Ἰωυὰν, ἢ τοῦ Ἴωνος, υἱοῦ τοῦ πλατεῖαν τὴν κατάσχεσιν ἐξ εὐλογίας κληρωσαμένου Ἰάφεθ, (ἢ κατὰ τὸν Ἕλληνα τύπον) Ἰαπετοῦ, ἡ πασῶν τῶν Ἰαφεθικῶν διαλέκτων κάλλει καὶ πλούτῳ πρωτεύουσα, καὶ τῶν ἀνθρωπίνων μαθημάτων ἔξοχος γενομένη καὶ ἠπιόδωρος τροφὸς καὶ μουσομήτωρ. Αὕτη γὰρ δι' ὅλων χιλίων ἐτῶν καταστᾶσα παιδαγωγὸς καὶ διδάσκαλος τῶν τῆς οἰκουμένης ἐθνῶν, ἔμελλεν ἀποβήσεσθαι τέλος (ὡς καὶ προώριστο) πρωτότυπος γλῶσσα τῆς Καινῆς Διαθήκης, κηρύξουσα τὸ Εὐαγγέλιον τῆς σωτηρίας εἰς πάντα τὰ ἔθνη. Εἰς ταύτην οὖν

(α) Συνεῖδε καὶ τοῦτο ὁ σοφὸς Θήρσιος l. c. p. 112—117. πρβλ. J. Olearij de Stylo N. Test. p. 70—81.

τὸ πρῶτον ἑρμηνευθῆναι καὶ τὴν παλαιὰν Διαθήκην ηὐδόκησεν ὁ τῶν Διαθηκῶν ἀμφοτέρων Δεσπότης καὶ Νομοδότης· ἵνα δι᾽ αὐτῆς εἰς τὸν κόσμον ἅπαντα διακηρυχθῶσιν οἱ ἐν μόνῃ τῇ γωνίᾳ τῆς Παλαιστίνης μέχρι τότε γνωστοὶ χρησμοὶ τῶν θείων Γραφῶν, προπαρασκευάζοντες τὰς καρδίας εἰς ἀποδοχὴν τοῦ Εὐαγγελίου. Καὶ γίνεται λοιπὸν ἡ γλῶσσα τοῦ Πλάτωνος καὶ τῶν περὶ τὸν Ἀλέξανδρον Πτολεμαίων καὶ Σελεύκων, γλῶσσα τοῦ Μωσέως καὶ Δαβὶδ καὶ τῶν Προφητῶν. Καὶ ἡ μέχρι τότε στεφανωματικὴ τῆς ἑλληνικῆς κοσμοσοφίας *ἀγριέλαιος* ἐγκεντρίζεται εἰς τὴν *καλλιέλαιον* τῆς ἁγίας Γῆς, καὶ καθίσταται *συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς ποιότητος* τῶν θεσφάτων τῆς θεογνωσίας φωνῶν. Δι᾽ αὐτῆς ἀνακαλύπτονται εἰς τοὺς πανταχοῦ τῆς οἰκουμένης *διεσπαρμένους υἱοὺς Ἀδὰμ* τὰ λόγια τοῦ Ὑψίστου, τοῦ λαλήσαντος τὸ πρῶτον *ἀπὸ τῆς Βάτου καὶ τοῦ Σινᾶ*, καὶ ἐπ᾽ ἐσχάτων *ἐκ τῆς Σιὼν καὶ τοῦ Γολγοθᾶ*, τοῦ ΙΑΥΩ, καὶ τοῦ ΕΜΜΑΝΟΥΗΛ, τοῦ Θεοῦ καὶ τοῦ Θεανθρώπου. Καὶ οἱ ΟΒ πρεσβύτεροι τῆς Συναγωγῆς ἑρμηνεῖς ἀποβαίνουσι πρόδρομοι τῶν ΟΒ καὶ τῶν ΙΒ μαθητῶν καὶ Ἀποστόλων τῆς ἐξ ἐθνῶν Ἐκκλησίας. *Ἐξελληνίσαντες* γὰρ τὰς *ἰουδαίας* Γραφὰς, προωδοποίησαν τὴν ἐπίγνωσιν τοῦ *Γνωστοῦ ἐν Ἰουδαίᾳ καὶ Ἀγνώστου ἐν Ἀθήναις Θεοῦ*, καὶ προανεκήρυξαν τὸ μέγα μυστήριον *τοῦ λύσαντος τὸ μεσότοιχον* τοῦ *φραγμοῦ*, *καὶ ποιήσαντος τὰ ἀμφότερα ἓν*, τοὺς Ἰουδαίους καὶ τοὺς ἐθνικοὺς, τοὺς βαρβάρους καὶ τοὺς Ἕλληνας. Καὶ ταύτην ἄρα τὴν διὰ πίστεως τῆς εἰς Χριστὸν Ἰησοῦν κοσμοσωτήριον ἕνωσιν προδιέγραψε λαμπρῶς καὶ αὐτὸς τῆς τῶν προφητικῶν Γραφῶν ἑρμηνείας ὁ ἱερὸς χαρακτὴρ, ἑλληνίζων μὲν τὸ σύνολον κατὰ λέξιν, ἑβραΐζων δ᾽ ἔστιν ὅπου κατὰ τὸ εἶδος, καὶ διὰ τῆς συμφυεστάτης αὐτοῦ πρὸς τὴν τῶν Ἀποστόλων διάλεκτον συμφωνίας, ἕνα καὶ οὗτος δεικνύων καὶ τὸν αὐτὸν τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης τὸν ὕψιστον Νομοθέτην.

§. ιη. Κεφάλαιον δὲ τῆς περὶ τὴν ἑρμηνείαν μεθόδου τῶν Ο κείσθω μέγιστον καὶ ἀκρότατον τὸ ἑξῆς. Ὅτι οὐκ ἀθεεὶ τὸ ἔργον

ἐξεπόνησαν οἱ ἑρμηνευταί, ἀλλὰ συμπαρῆν αὐτοῖς ἡ τοῦ θείου Πνεύματος δύναμις, ἐνισχύουσα καὶ ὁδηγοῦσα καὶ φωτίζουσα περὶ τὴν ἀπλανῆ καὶ ἀδιάψευστον ἑρμηνείαν τῶν θείων λόγων. Εἴπερ γὰρ τὸν ἐργάτην τῆς φθαρτῆς Σκηνῆς Βεσελεὴλ « ἐνέπλησεν ὁ Θεὸς πνεῦμα θεῖον σοφίας καὶ συνέσεως καὶ ἐπιστήμης, ἐν παντὶ ἔργῳ διανοεῖσθαι, καὶ ἀρχιτεκτονεῖν » (Ἐξόδ. λα, 3), πολλῷ μᾶλλον ἔμελλεν ἐμπλῆσαι θείου πνεύματος τοὺς ἀρχιτέκτονας τῆς ἑρμηνείας τῶν θείων χρησμῶν, δι' ἧς ἔμελλον καὶ τὰ ἔθνη πρὸς τὴν ἀληθῆ θεογνωσίαν φωτίζεσθαι, καὶ οἱ θεῖοι Ἀπόστολοι τὸ πλήρωμα τοῦ Νόμου καὶ τῶν Προφητῶν εὐαγγελίζεσθαι « κατὰ τὰς Γραφάς ». Καὶ σύμφωνον δὲ κατὰ πάντα, καὶ ταυτιζομένην πρὸς τὸ τότε πρωτότυπον ἐτέλεσαν οἱ Ο τὴν ἑρμηνείαν. Εἰ δέ τινας κατὰ τόπους προσέθηκαν λέξεις (ὡς εἶπον οἱ θεῖοι Πατέρες, σελ. 893), καὶ ταύτας πρὸς ἀκριβῆ τῆς σημασίας ἔκφρασιν προσέθηκαν, ἅμα δὲ καὶ τὸ βούλημα τοῦ θείου Πνεύματος ἐκπληροῦντες, ὅπερ οὕτως αὐτοὺς ὡδήγει πρὸς τὴν μετάφρασιν, ὅπως ἔμελλε μάλιστα συντελέσειν « εἰς ὠφέλειαν τῶν μελλόντων ἐθνῶν εἰς τὴν τοῦ Θεοῦ πίστιν ἄγεσθαι, καὶ τὴν ἐκ τῶν θείων λόγων τῆς παλαιᾶς καὶ νέας Διαθήκης κτᾶσθαι ζωῆς κληρονομίαν » (α). « Τῷ γὰρ αὐτῷ πνεύματι καὶ οἱ Ο μεθηρμήνευσαν, ᾧπερ καὶ αὐτὰ τὰ ἑρμηνευόμενα προερρέθησαν » (β).

§. ιθ. Ἀλλ' οἱ πλεῖστοι τῶν νεωτέρων κριτικῶν μηδόλως στέργοντες ἐκ θείας ἐπιπνοίας ἑρμηνεῦσαι τοὺς Ο τὰς Γραφὰς, προβάλλονται μάλιστα τὰς φαινομένας πρὸς τὸ νῦν ἑβραϊκὸν κείμενον διαφορὰς τῆς ἑρμηνείας, περὶ ὧν προείπομεν. Ἀλλὰ καὶ εἴ τινες ἦσαν ἀληθῶς πρὸς τὸ γνήσιον κείμενον κατὰ τόπους διαφοραὶ, οὐδ' οὕτω πάλιν οὐδὲν ἐπέραινον οἱ δεινοὶ κριτικοὶ, ἀρνούμενοι τὴν θείαν ἐπίπνοιαν τῶν ἑρμηνευτῶν. Οἴδασι γὰρ οἱ ἄνδρες, καὶ ὁμολογοῦσιν ὁμαλῶς, ὅτι καὶ αὐτοὶ οἱ θεόπνευστοι Ἀπόστολοι κατ' *ἔννοιαν* ἀπέδωκαν ἐνίοτε τὰς θείας ῥήσεις τῆς Γραφῆς, τὸ μέν τι παραλιπόν-

(α) Ἐπιφάν. π. Μέτρ. §. ς. — (β) S. August. de Consensu etc. πρβλ. J. Olearij de Styl. N. Test. p. 69—70.

τες, ἢ προσθέντες πρὸς διασάφησιν, τὸ δὲ καὶ μεταθέντες, ἢ καὶ ἄλλως μεταβαλόντες, καὶ μὴ φυλάξαντες πανταχοῦ τὴν λεκτικὴν ταυτότητα τῆς φράσεως· (ὡς ἐφεξῆς ἐν τῷ Δ, βιβλίῳ δειχθήσεται τρανώτερον). Καὶ αὐτοὺς δὲ τοὺς ἐκ στόματος τοῦ Κυρίου ῥηθέντας λόγους ἱστοροῦντες, ὁ μὲν οὕτως, ὁ δ' ἄλλως πως ἐξέφρασαν, παραλλάξαντες κατά τινας λέξεις, καὶ ὁ μὲν πλατύτερον, ὁ δὲ καὶ ἐπιτομώτερον. Ἀλλὰ καὶ Μωσῆς ὁ θεόπτης ἀποθεσπίσας ἐν Ἐξόδῳ τὸν Δεκάλογον, ἐπανέλαβε πάλιν τὸν αὐτὸν ἐν τῷ Δευτερονομίῳ μετά τινων διαφορῶν, ὡς προείπομεν (σελ. 714). Κατ' ἄλλην δὲ τάξιν ἐμνημόνευσε τὰς ἐντολὰς τοῦ Δεκαλόγου αὐτὸς ὁ τοῦ Νόμου καὶ τῆς Χάριτος δοτὴρ, ὁ Χριστὸς (βλ. Ματθ. ιθ, 18. Λουκ. ιη, 20· Μάρκ. ι, 19. ὅπου προςίθεται καὶ τὸ « μὴ ἀποστερήσῃς »· πρβλ. καὶ Ῥωμ. ιγ, 9). Καὶ Δαβὶδ ὁ θεοπάτωρ διχῶς ἐμελῴδησέ τινας τῶν θεοπνεύστων αὐτοῦ Ψαλμῶν. Ἄλλα παραδείγματα παραλείπομεν. Οὕτως ὁ Παράκλητος, τὸ Πνεῦμα τῆς ἀληθείας, κύριός ἐςι τῶν ἑαυτοῦ θεσφάτων λογίων, πάντα κατὰ καιροὺς, καὶ τόπους, καὶ διαθέσεις, ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων κατὰ τὴν ἀπόῤῥητον αὐτοῦ σοφίαν οἰκονομῶν. Αὐτὸς καὶ τοὺς ὑποφήτας καὶ ἑρμηνεῖς τῶν θείων αὐτοῦ βουλῶν ἐδίδαξε καὶ ἐφώτισεν, ἵνα τὰς ἀληθείας τῆς αἰωνίου ζωῆς ἐξαγγείλωσιν ἀπλανῶς καὶ παναλήθως, νῦν μὲν ἐπιτομώτερον καὶ συνεπτυγμένως, νῦν δὲ δαψιλέστερον καὶ τρανώτερον ἐκφραζόμενοι, καὶ νῦν μὲν διὰ τῶν αὐτῶν, ἄλλοτε δὲ δι' ἄλλων ἰσοδυνάμων ῥημάτων, οὐδέποτε δ' ἀντιφατικῶν. Τοῦτο δὲ καὶ ἐξ αὐτῶν τινες τῶν νεωτεριστῶν, τῶν μᾶλλον τὴν λέξιν ἢ τὸν θησαυρὸν τῆς ἱερᾶς τῶν Ο ἑρμηνείας παρατηρούντων, ἐν ἄλλοις ὅμως λαμπρῶς ὡμολόγησαν. « Οὐκ ἀναγκαῖον (λέγει τις αὐτῶν), ἵνα πάντα τὰ χωρία τῆς θείας Γραφῆς μέχρι κεραίας πρὸς ἄλληλα συμφωνῶσιν. Ἀρκεῖ μόνον, εἴ γε τὸ ἕτερον μὴ ἀνατρέποιτο ὑπὸ τοῦ ἑτέρου. Οὐδόλως γὰρ δοκεῖ πιθανὸν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἠβουλήθη *καὶ* δι' ἄλλων διαφόρων φωνῶν τὸ πρᾶγμα τὸ αὐτὸ ἐπαναλαβεῖν. » Καὶ πάλιν. « Τί θαυμαστὸν, εἰ τὸ Πνεῦμα τὸ ἅγιον τῇ ἰδίᾳ χρώμενον ἐξουσίᾳ, ἄλλως ἐν ἄλλοις ἐξήγ-

γειλε τοὺς ἑαυτοῦ χρησμοὺς, πανταχοῦ τῆς αὐτῆς ἐννοίας διαμενούσης; — Αὐτὸ τὸ Πνεῦμα τῶν ἑαυτοῦ λόγων ἄριστός ἐςιν ἑρμηνεύς» (α). Καὶ ταῦτα μὲν οὕτοι. Ἡμεῖς δ' ἐπάγομεν κορωνίδα τῷ λόγῳ καλλίστην αὐτὸ τῆς θείας Σοφίας τὸ κήρυγμα. «Μετὰ δικαιοσύνης (φησὶ) πάντα τὰ ῥήματα τοῦ στόματός μου. Οὐδὲν ἐν αὐτοῖς σκολιὸν, οὐδὲ ςραγγαλιῶδες. Πάντα εὐθέα ἐςὶ τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν» (Παροιμ. η, 8).

## ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

### *Ἀνακεφαλαίωσις τοῦ Β, Βιβλίου.*

§. α. Ἀναλαμβάνοντες τὰ μέχρι τοῦδε προειρημένα, συγκορυφοῦμεν περιληπτικῶς εἰς τὰ ἑφεξῆς κεφαλαιώδη θεωρήματα, πρὸς ἐπιβοήθημα τῆς μνήμης τῶν ἀναγνωστῶν.

Α) Ὅτι πᾶσαι τῶν νεωτέρων κριτικῶν αἱ γνῶμαι, ὅσας, ἀποῤῥίψαντες τὴν Ἀριστέου ἱστορίαν, ἐπενόησαν καὶ ἐπρέσβευσαν περὶ τῆς τῶν ἑβραϊκῶν Γραφῶν ἑρμηνείας, ἅπασαι ἐξελέγχονται ἀπίθανοι καὶ στρεβλαὶ καὶ σεσοφισμέναι. Τὸ δὲ κράτιστον, ἀναιροῦνται καὶ ὑπ' ἀλλήλων. «Φύσει γὰρ τὸ ψεῦδος ἑαυτῷ πολέμιον».

Β) Ὅτι ψευδῶς συνάγουσι μὴ γενέσθαι τὴν ἑρμηνείαν τῶν θείων Γραφῶν ἐπισήμως ὑπὸ τῶν Ο (καθὼς ἱστόρησεν Ἀριστέας), ἐπιφέροντες δῆθεν ὡς ἀπόδειξιν τὴν παρὰ τοῖς ἀρχαίοις ἑλληνικοῖς συγγραφεῦσι παντελῆ καὶ βαθεῖαν ἄγνοιαν τῆς ἑρμηνείας. Εἰ γὰρ (φασιν) αὐτὴν ἀνεγίνωσκον, οὐκ ἂν ἱστόρουν πάντῃ διάφορα καὶ πολλάκις ἐναντία περὶ τῶν Ἰουδαίων, ὁσάκις αὐτῶν ἐμνημόνευσαν. Ἀλλὰ τοῦτο ἀποδείκνυται οὐχ ὑγιές.

1) Διότι καὶ ἀναγνόντες οἱ Ἕλληνες συγγραφεῖς, ἠδύναντο μὴ πεισθῆναι πᾶσι τοῖς γραφομένοις· ἀνέμιξαν δὲ μᾶλλον μετὰ τῆς ἱερᾶς ἱςορίας φήμας ἀδεσπότους, καὶ πλάνας μυθώδεις, πλαστουργηθείσας ὑπὸ τῶν ἐθνικῶν, καὶ μάλιστα τῶν Αἰγυπτίων, ἀείποτε

(α) Βλ. Pfeiffer, Crit. Sacr. c. 3. p. 116—118. πρβλ. Carpzov. Crit. Sacr. p. 121.

τοῖς Ἰουδαίοις δυσμεναινόντων. Οὕτω καὶ πρὸς τὰς παρ' Ὁμήρῳ καὶ τοῖς ἐνδοξοτάτοις Ἕλλησι μνημονευομένας διηγήσεις ἄλλοι πάλιν Ἕλληνες τἀναντία λέγουσι, καίτοι καὶ τὸν Ὅμηρον καὶ τοὺς ἄλλους πολλάκις διεξελθόντες.

2) Διότι ὀλίγοι τῶν ἀρχαίων ἐσώθησαν συγγραφέων, ὅσοι τὰ κατὰ τοὺς Ἰουδαίους ἐμνημόνευσαν.

3) Διότι καὶ αὐτοὶ οἱ τἀναντία ἱστοροῦντες, ἔχουσι πάλιν καὶ ἄλλα πρὸς τὴν ἱερὰν ἱστορίαν συμφωνότατα. Ἀλλὰ καὶ αὐτὰ τὰ ἐναντία φαίνονται πολλάκις οὐδὲν ἕτερον ὄντα, ἢ παρακούσματα καὶ παραναγνώσματα τῆς ἱερᾶς ἱστορίας, ἐκ τῆς ἑρμηνείας τῶν Ο μετοχετευθέντα.

4) Διότι καὶ τὰ διασημότατα συγγράμματα λανθάνουσι πολλάκις ὑπὸ χρόνου καὶ τῶν περιστατικῶν ἠμελημένα. Οὕτω καὶ τοῦ Πινδάρου αἱ ᾠδαὶ, ὑπῆρξε καιρὸς, καθ' ὃν ἦσαν παρ' Ἕλλησι κατασεσιγασμέναι. Καὶ αὐτὸ δὲ τὸ θειότατον ἀρχέτυπον τοῦ Μωσαϊκοῦ νόμου παρ' αὐτοῖς τοῖς Ἰουδαίοις ἄγνωστον ἀπέβη καὶ ἐπιλελησμένον, ἄχρις ἀνευρέσεως αὐτοῦ, καὶ τῶν Ο λοιπὸν ἡ ἑρμηνεία, καὶ εἰ μηδόλως μηδεὶς αὐτὴν ἀνέφερε τῶν ἐθνικῶν συγγραφέων, οὐχ ἧττον ἠδύνατο πάλιν ἐπίσημος εἶναι καθ' ἑαυτήν.

5) Διότι, τέλος, καὶ αὐτοὶ οἱ συγγραφεῖς οὓς ἀπαριθμοῦσιν ὡς παντάπασι τῆς ἑρμηνείας ἀμαθεῖς, οἱ ἐπισημότεροι, παρέχονται τεκμήρια σαφέστατα, ὅτι ἢ αὐτοὶ ἀνέγνων, ἢ παρ' ἄλλων Ἑλλήνων ἀναγνόντων ἀντέγραψαν πολλὰ τῆς ἑλληνίδος ἑρμηνείας τῶν Γραφῶν.

Γ) Ὅτι ἄλλοι συγγραφεῖς Ἕλληνες ἀρχαῖοι καὶ περικλεεῖς, οἷον Δημήτριος ὁ Φαληρεὺς, Ἀριστέας, Καλλίμαχος, Ἀπολλώνιος, Θεόκριτος, Λυκόφρων, Ἀλέξανδρος ὁ Πολυΐστωρ, καὶ ἕτεροι πλείονες παρέχονται σαφεῖς ἀποδείξεις, ὅτι ἀνέγνων τὴν ἑρμηνείαν τῶν Ο, καὶ ἐξ αὐτῆς ἠρύσαντο πολλὰ καὶ καλά. Μαρτυρεῖ δὲ καὶ ἡ ἐν τοῖς Μακκαβαϊκοῖς πρὸς τοὺς Ἱεροσολυμίτας ἐπιστολὴ τοῦ βασιλέως τῶν Λακεδαιμονίων. Καὶ ἄλλως δὲ δείκνυται πρᾶγμα προφανῶς ἐναντιούμενον εἰς τῆς παναγάθου Προνοίας τὸν σκοπὸν τὸ

διαμεῖναι τὴν ἑρμηνείαν ἄγνωστον τοῖς ἐθνικοῖς, ὑπὲρ ὧν μάλιστα θεόθεν ᾠκονομήθη, προπαρασκευάζουσα τὰς καρδίας αὐτῶν εἰς ὑποδοχὴν τοῦ Εὐαγγελίου. Καὶ αὐτῆς δὲ τῆς Καινῆς Διαθήκης πολλὰ χωρία μαρτυροῦσιν, ὅτι ἐκ τῆς ἑλληνίδος ἑρμηνείας τῶν Γραφῶν ἀπέβησαν *θεοσεβεῖς* οἱ τοῦτ' αὐτὸ ἐπωνυμούμενοι προσήλυτοι Ἕλληνες.

Δ) Ὅτι βαρέως ἐσφάλησαν οἱ κριτικοί, σπουδάσαντες ἀποδεῖξαι τοὺς ἑρμηνεῖς τῶν Γραφῶν Αἰγυπτίους τινὰς ὄντας, ἢ Ἀλεξανδρινούς, οὐχὶ δὲ πάντως Ἱεροσολυμίτας.

1) Διότι ἡ ἐκ τῶν Ἱεροσολύμων ὑπὸ τοῦ Φιλαδέλφου μετάπεμψις αὐτῶν μαρτυρεῖται ὑπὸ τῆς ἱςορίας καὶ τῶν πραγμάτων αὐτῶν.

2) Διότι ἡ περὶ τῆς ἁπλῆς, ἢ διπλῆς, τοῦ Φιλαδέλφου πρὸς τοὺς Ἱεροσολυμίτας ἐπιστολῆς φαινομένη διαφωνία τινῶν συγγραφέων, λύεται σαφῶς ἐκ τῆς πρὸς τὴν ὅλην ἱστορίαν ἀντιβολῆς.

3) Διότι ἡ διάλεκτος τῆς ἑρμηνείας οὐχ ὑπάρχει κυρίως Ἀλεξανδρινὴ (ἥτις καὶ ἄλλως ὑπῆρχε συγγενής, καὶ τὸ πλεῖστον ἡ αὐτὴ καὶ ἡ διάλεκτος τῶν ἐν Συρίᾳ Ἑλλήνων). Οἱ δὲ περὶ τὸν Ὅδιον παρεξήγησαν τὸν Μοσχόπουλον.

4) Διότι οὐδεμία τῶν λέξεων, ἃς ἐπιφέρουσι κατ' εἶδος ὡς Ἀλεξανδρινάς, ἰδιάζει παρὰ τοῖς Ἀλεξανδρεῦσι μόνοις· ἀλλ' αἱ μὲν ἀνήκουσιν εἰς τὴν καθόλου τῶν ἐν τῇ Ἀσίᾳ Ἑλλήνων διάλεκτον· αἱ δέ τινες ἦσαν πολὺ καὶ τῶν Ἀλεξάνδρου χρόνων παλαιότεραι. Καὶ αὐτὸ δὲ τὸ « *Δήλωσις, καὶ Ἀλήθεια* », καὶ τὸ « *Κατὰ ἀριθμὸν ἀγγέλων* Θεοῦ », ψευδῶς παρηρμηνεύθησαν.

Ε) Ὅτι μάτην ἐπολέμησαν οἱ κριτικοὶ τῶν ΟΒ, ἀριθμὸν τῶν ἑρμηνευτῶν.

1) Διότι ὁ Ο, ἀριθμὸς ὑπῆρχε παρ' Ἑβραίοις ἀνέκαθεν τίμιος. Οἱ τὸ πρῶτον ὑπὸ τοῦ Μωσέως κατὰ θεῖαν διαταγὴν ἐκλεγέντες πρεσβύτεροι τῆς Συναγωγῆς ὑπῆρχον ΟΒ· πρὸς δὲ τούτων τὸ παράδειγμα ἐξελέγησαν καὶ οἱ ΟΒ ἑρμηνεῖς.

2) Ἀλλὰ καὶ αὐτὰ τὰ παραδείγματα τοῖς παρ' Αἰγυπτίοις καὶ ἄλλοις ἔθνεσι τιμῆς τοῦ ἀριθμοῦ τούτου βεβαιοῦσι τὴν ἀλήθειαν

τῆς ἱστορίας, ὡς μιμήματα τῆς Μωσαϊκῆς θεσμοθεσίας.

3) Ὅτι καὶ ἡ μέχρι Φίλωνος ἐν Φάρῳ γινομένη ἐπέτειος πανήγυρις εἰς ἀνάμνησιν τῆς ἑρμηνείας βεβαιοῖ, μετὰ τῆς ἄλλης ἱστορίας, καὶ τὸν ἀριθμὸν τῶν ἑρμηνευτῶν.

Ϛ) Κἀκείνη δὲ ἐπολέμησαν οἱ κριτικοὶ τὸ περὶ τῶν οἰκίσκων, ἐν οἷς οἱ Ο κατὰ θείαν ἐπίπνοιαν ἡρμήνευσαν τὰς Γραφάς.

1) Τὸ συχνάκις παρὰ τῶν σοφῶν κυμβαλιζόμενον ἐπιχείρημα, ὅτι δῆθεν οἱ Ἀλεξανδρινοὶ ἑλληνισταὶ ἐπανακαλούμενοι ὑπὸ τῶν παλαιστινῶν Ἑβραίων εἰς τὴν χρῆσιν τῶν ἑβραϊκῶν Γραφῶν, ἔπλασαν τὰ περὶ τῶν οἰκίσκων καὶ τῆς θείας ἐπιπνοίας τῶν ἑρμηνευτῶν, τοῦτο, λέγομεν, τὸ ἐπιχείρημα ἐξελέγχεται ψευδίστατον ὑπό τε τῆς ἱστορίας, καὶ τῶν Μακκαβαϊκῶν, καὶ τοῦ Σειρὰχ, καὶ ἐξ αὐτῶν τῶν Πράξεων τῶν θείων Ἀποστόλων. Τὴν δὲ κατ᾽ ἰδίαν ἑρμηνείαν, καὶ τὴν κοινὴν τῶν Ο συμφωνίαν μαρτυροῦσιν οἱ ἀρχαιότατοι καὶ σοφώτατοι Πατέρες τῆς Ἐκκλησίας. Ἀλλὰ καὶ αὐτὸς Ἀριστέας (ὃν παρερμηνεύουσιν) ἱστορεῖ συνεπτυγμένως τοὺς Ο, κατ᾽ ἰδίαν ἕκαστον ἑρμηνεύσαντας· καὶ Φίλων, καὶ Ἰώσηπος. Οὐδ᾽ ἡ παρὰ μόνῳ τῷ ἱερῷ Ἐπιφανίῳ συστολὴ τῶν οϐ, εἰς λϚ, οἰκήματα ἀντιπίπτει πρὸς τὴν ἱστορίαν. Τῶν δέ τινων Ῥαββίνων (εἴ γε καὶ τούτου μνημονευτέον) αἱ μαρτυρίαι, καὶ τοῦ Ἑϊνσίου τὸ πρὸς ἀναίρεσιν τῶν οἰκίσκων φάντασμα ἐξελέγχονται τερθρεῖαι σαφεῖς.

Ζ) Ὅτι πᾶσαν τὴν παλαιὰν θείαν Γραφὴν, οὐχὶ δὲ (κατὰ τὴν δόξαν τῶν κριτικῶν) μόνην τὴν Πεντάτευχον ἡρμήνευσαν οἱ Ο.

1) Διότι τὸν Νόμον ἑρμηνεύσαντας αὐτοὺς ἱστορῶν ὁ Ἀριστέας, Νόμον λέγει πᾶσαν τὴν παλαιὰν Γραφήν. Οἱ δὲ περὶ τὸν Ὅδιον παρενόησαν τὸν Ἀριστέαν.

2) Τοῦτο βεβαιοῦσι καὶ Ἀριστόβουλος, καὶ Φίλων, καὶ Ἰώσηπος. Δηλοῖ δὲ τοῦτο καὶ Σειρὰχ, καὶ ἡ Α, καὶ ἡ Γ, τῶν Μακκαβαίων.

3) Δείκνυται καὶ ἐκ τῆς Καινῆς Διαθήκης. Μαρτυροῦσι δὲ τὴν σημασίαν καὶ πολλοὶ τῶν ἁγίων ἡμῶν Πατέρων.

Η) Ὅτι λίαν ἀτόπως καὶ ψευδῶς ἐνομίσθη τὸ βιβλίον τοῦ Ἰησοῦ

μεθερμηνευθὲν μετὰ τὴν εἰς Αἴγυπτον ἄφιξιν τῶν Γαλατῶν, διὰ μόνην τὴν λέξιν τὴν γαισός.

1) Διότι καὶ τὸ ὅπλον καὶ τὸ ὄνομα τοῦ γαισοῦ φαίνεται οὐ μᾶλλον τῶν Γαλατῶν, ἢ τῶν Ἰβήρων, καὶ τῶν Λιβύων. Καὶ ἡ λέξις φαίνεται πιθανώτερον Ἀσιανή.

2) Ἔπειτα, καὶ Γαλατικὸν εἴπερ ἦν τὸ ὅπλον μετὰ τοῦ ὀνόματος, ἠδύνατο γενέσθαι κατά τε τὴν Ἀσίαν καὶ τὴν Αἴγυπτον γνωστὸν πολλοῖς πρότερον ἐνιαυτοῖς, πρὶν οἱ Γαλάται περαιωθῶσιν εἰς τὴν Ἀσίαν, διὰ τὴν ἐπιμιξίαν τῶν ἐθνῶν. Ἀλλὰ καὶ χωρὶς τῶν γαισικῶν σκαριφημάτων, ἐκεῖνο σημειωτέον, ὅτι ἐπὶ τοῦ Σειραχίδου ὑπῆρχεν ἤδη πρὸ πολλοῦ ἡρμηνευμένον τὸ βιβλίον τοῦ Ἰησοῦ, ὅπερ ἀνέγνω πάντως καὶ αὐτὸς ὁ Σειραχίδης.

Θ) Ὅτι τοῦ παντὸς ἐσφάλησαν οἱ κριτικοί, πειραθέντες ἀποδεῖξαι πάντα τ᾽ ἄλλα (πλὴν τῆς Πεντατεύχου) βιβλία τῆς Γραφῆς μεθερμηνευθέντα μετὰ τὴν ἐν Αἰγύπτῳ ὑπὸ τοῦ Ὀνίου οἰκοδομὴν τοῦ ναοῦ, γενομένην ἐπὶ τοῦ Φιλομήτορος.

1) Διότι παρηρμήνευσαν ὅσας ἔφερον μαρτυρίας.

2) Ὡσαύτως παρεξήγησαν καὶ τὸ τέλος τῆς Ἐσθὴρ, καὶ τοὺς λόγους τοῦ Σειράχ.

3) Ἀπὸ Δημητρίου τοῦ Φαληρέως μέχρι Φίλωνος καὶ τοῦ Ἰωσήπου, καὶ ἀπὸ τῶν θείων Ἀποστόλων καὶ ἐφεξῆς ἔν τε τῇ Καινῇ Διαθήκῃ καὶ ἐν τοῖς συγγράμμασι τῶν ἁγίων Πατέρων διαλάμπουσιν ἀναντίρρητοι καὶ τρανώταται ἀποδείξεις, ὅτι οἱ Ο μεθηρμήνευσαν ὅλα τὰ τεύχη τῆς παλαιᾶς Γραφῆς. (Οἱ δὲ κριτικοὶ λίαν ἐπλανήθησαν, παρερμηνεύσαντες καὶ αὐτὰς τὰς ἡλίου φανωτέρας μαρτυρίας τοῦ Ἀριστοβούλου, καὶ τοῦ Σειραχίδου).

4) Καὶ τῶν νεωτέρων σοφῶν οἱ πλεῖστοι καὶ ἐπισημότατοι τοῦτο συμφώνως ὁμολογοῦσι.

Ι) Ὅτι ἡ μέθοδος, δι᾽ ἧς ἐπειράθησαν ἀποδεῖξαι καὶ ἐκ τῆς φράσεως τῶν Γραφῶν διαφόρους γενομένους τοὺς ἑρμηνεῖς, ἀποδείκνυται σαφὴς ματαιοπονία, καὶ σχολαστικῆς φαντασίας παίγνιον.

1) Διότι ἡ προτεταγμένη μαρτυρία τοῦ Ἱερωνύμου (μὴ νοήσαν-

τος τὰ τοῦ Ἰωσήπου), καὶ τῶν μεταγενεστέρων αἱ ἐπιφερόμεναι ἐμπαθεῖς κρίσεις οὐδὲν οὐδόλως ἔχουσι βάρος πρὸς ἀπόδειξιν.

2) Διότι τὰ περὶ τῆς τοῦ Δανιὴλ κατὰ Θεοδοτίωνα ἐκδόσεως ἐπεισαγόμενα οὐδεμίαν ἔχουσι χώραν εἰς τὸ προκείμενον. Ἔπειτα, καὶ περὶ τούτου λίαν ὑπερβολικῶς ὁ μακάριος Ἱερώνυμος ἐξεφράσθη. Οὐδὲ τὸ Κισιανὸν ἀπόγραφον ἀποδείκνυται γνήσιον τῆς ἑρμηνείας τῶν Ο. Καὶ ταῦτα μὲν ὡς ἐκ τῶν ἐκτὸς ἀποδείξεων. Πολὺ δὲ ματαιότεραι φαίνονται αἱ ἐπὶ τοῦ κειμένου τῆς ἑρμηνείας ἐσωτερικαὶ παρατηρήσεις.

3) Διότι αἱ δι' ἄλλων ἄλλοτε φωνηέντων, ἢ συμφώνων, τοῦ αὐτοῦ ὀνόματος γραφαὶ ὑπάρχουσιν ἢ μεταγραφέων παροράματα, ἢ παλαιῶν ἀναγνώσεων διαφοραὶ (οἷαι καὶ ἐν τῷ ἑβραϊκῷ πάμπολλαι κεῖνται), ἢ κατὰ διάλεκτον προφορᾶς παραλλαγαὶ, ἢ, τέλος, ἄφευκτοι συνέπειαι τῆς πρώτης ἀπὸ μιᾶς τινος εἰς ἄλλην ξένην γλῶσσαν τῶν κυρίων ὀνομάτων μεταγραφῆς.

4) Διότι ἥ τε περὶ τὸν σχηματισμὸν τῶν φωνῶν ἀνωμαλία, καὶ ἡ τῶν αὐτῶν ὀνομάτων νῦν μὲν εἰς τὴν ἑλληνικὴν γλῶσσαν μετάφρασις, νῦν δὲ καὶ χωρὶς μεταφράσεως ἁπλῆ μεταγραφὴ προήρχετο ἐκ τῆς ἀνωμαλίας τῆς διαλέκτου τῶν ἑλληνιστῶν Ἰουδαίων, οἵτινες καὶ τύπους τινὰς ἔσωζον εἰσέτι καὶ λέξεις τῆς ἑβραϊκῆς γλώσσης. Πρὸς τούτους οὖν καὶ οἱ Ο συγκατέβαινον ἐνίοτε, ὑπὲρ ὧν μάλιστα καὶ μετέφραζον.

5) Διότι αἱ περὶ τὴν μετάφρασιν τῶν αὐτῶν ὀνομάτων ἀπαντῶσαι διαφοραὶ εὑρίσκονται εἰς ὅλα τὰ τεύχη τῆς Γραφῆς παρομοίως, καὶ δεικνύουσι τρανῶς τοὺς αὐτοὺς γενομένους ὅλων τῶν τευχῶν μεταφραστάς.

6) Διότι αἱ δι' ἄλλων ἄλλοτε ἰσοδυνάμων λέξεων τῆς αὐτῆς ἑβραϊκῆς φωνῆς ἑρμηνεῖαι ἀνήκουσιν εἰς τὸν πλοῦτον τῆς ἑλληνικῆς γλώσσης, ᾧ περ ἐχρῶντο σοφῶς οἱ Ο, θεραπεύοντες τὴν μονοτονίαν τῆς ἑβραϊκῆς.

7) Διότι καὶ λέξεις, καὶ φράσεις ὅλαι, καί τινα χωρία, καὶ [illegible] συνθήκη, καὶ ὅλος ὁ τοῦ λόγου χαρακτὴρ ἀποδείκνυσι τοὺς αὐτοὺς ὅλων τῶν τευχῶν ἑρμηνεῖς.

8) Τῶν δὲ σημειουμένων παρερμηνειῶν αἱ μὲν οὐδ' ὑπάρχουσιν ὅλως, αἱ δὲ μᾶλλον ἐξελέγχουσι τὴν ἐν τοῖς ἀντιστοίχοις τόποις διαφθορὰν τοῦ Μασοριτείου κειμένου.

ΙΑ) Τῶν δι' ὅλου τοῦ ΙΑ, κεφαλαίου διαβαλλομένων χωρίων τῆς ἑρμηνείας ἀποδείκνυται ἡ κατὰ τοὺς Ο δικαία καὶ ἀκριβὴς ἐξήγησις.

ΙΒ) Ἐξελέγχεται ἡ ψευδῶς ἀναπλασθεῖσα ἐννεὰς τῶν αἰτιῶν τῆς τοῦ καθ' ἡμᾶς ἑβραϊκοῦ κειμένου πρὸς τοὺς Ο διαφορᾶς. Καὶ ἐπιφέρονται τὰ ἀληθῆ αἴτια.

1) Ἡ μετὰ τὴν ἅλωσιν τῶν Ἱεροσολύμων ποικίλη κατὰ καιροὺς διαφθορὰ καὶ κολόβωσις τοῦ ἑβραϊκοῦ κειμένου.

2) Ἡ πολλῶν ἑβραϊκῶν φωνῶν ἀπηρχαιωμένων παντελὴς ἄγνοια, ἃς οἵ τε ῥαββῖνοι καὶ οἱ ῥαββινισταὶ στοχαστικῶς καὶ ἐξ εἰκασίας ἑρμηνεύοντες, ἀποπλανῶνται τῆς γνησίας αὐτῶν σημασίας.

3) Ἡ συνήθης τῆς ἑβραϊκῆς γλώσσης γραφή, καθ' ἣν αἱ δίχως φωνηέντων γραφόμεναι λέξεις ποικίλην ἐπιδεχόμεναι τῶν ἔξωθεν ἐπινοουμένων φωνηέντων μεταβολήν, ἀναγινώσκονται διαφόρως, καὶ μεταβάλλουσι σημασίαν. Ἐκ δὲ τούτου καὶ παρετονίσθησαν πάμπολλαι παρὰ τῶν Μασοριτῶν, καὶ δὴ καὶ παρεξηγήθησαν ἐσφαλμένως.

4) Ἡ ἀναμφίβολος διαφορὰ τῆς ἐπὶ τῶν Ο, καὶ τῆς ἐπὶ τῶν Μασοριτῶν ἀπαγγελίας τῆς ἑβραϊκῆς.

5) Ἡ διὰ στενότητα πολυσήμαντος δύναμις τῶν ἑβραϊκῶν λέξεων, δι' ἣν ἐπ' ἄλλης μὲν οἱ Ο σημασίας, ἐπ' ἄλλης δὲ ὕστερον οἱ ῥαββῖνοι τὴν αὐτὴν λέξιν ἐξέλαβον.

6) Τὰ ποικίλα σφάλματα τῶν ἀντιγραφέων τοῦ ἑβραϊκοῦ κώδηκος Ἰουδαίων, καὶ τῶν παλαιῶν παρ' αὐτοῖς κωδήκων ὁ παντελὴς ἀφανισμός. Ἀντιγραφικὰ παροράματα ἔχουσι καὶ αἱ ἐκδόσεις τῶν Ο.

7) Ἡ μὴ κατανοηθεῖσα κυρία σημασία πολλῶν ἑλληνικῶν παρὰ τοῖς Ο, λέξεων, ἃς οἱ νεώτεροι λεξικογράφοι μᾶλλον ἐξακριβοῦσι.

8) Ἡ περὶ τὴν τάξιν τῶν βιβλίων καὶ κεφαλαίων διαφορὰ τοῦ νῦν ἑβραϊκοῦ κώδηκος πρὸς ὃν οἱ Ο μεταχειρίζοντο.

9) Ἡ περὶ τὸ πλῆρες καὶ σαφὲς τῆς ἑρμηνείας σπουδὴ τῶν Ο, δι' ἣν ἐνίοτε διέφευγον τὸ κατὰ λέξιν ἑρμηνεύειν, μηδόλως ὅμως ἀποπλανώμενοι τῆς ἀκριβείας τοῦ πρωτοτύπου.

10) Ἡ κατὰ βούλησιν τοῦ θείου Πνεύματος περί τινας ἐκφράσεις μεταβολὴ, καθ' ἣν μηδόλως ἀφιστάμενοι τῆς ἀληθείας τοῦ πρωτοτύπου, ἐδήλουν ἐναργέστερον τὰ τυπούμενα.

ΙΓ) Πᾶσα ἡ φιλολογικὴ θεωρία τῆς ἑρμηνείας ἐν γένει μαρτυρεῖ τὰς προεκτεθείσας παρατηρήσεις. Καὶ αὐτὸς ὁ χαρακτὴρ τῆς διαλέκτου τῶν Ο, μετὰ τῶν ἀναμεμιγμένων ἑβραϊσμῶν, ἀποδείκνυσι τὴν ἑρμηνείαν ἀξίαν καὶ πλήρη τῆς θείας χάριτος· ἥτις δι' αὐτῆς ᾠκονόμησε τὴν εἰς πάντα τὰ ἔθνη διάδοσιν τῶν προφητικῶν Γραφῶν, προπαρασκευάζουσα τὰς ψυχὰς εἰς ἀποδοχὴν τοῦ Εὐαγγελίου τῆς αἰωνίου σωτηρίας.

§. β. Ταῦτα συντόμως ἀνακεφαλαιοῦμεν, συνοψίζοντες τοὺς λόγους, δι' ὧν ἀπηντήσαμεν πρὸς τὰς πολλὰς καὶ ποικίλας κατὰ τῆς ἑρμηνείας τῶν Ο κατηγορίας τῶν νεωτεριστῶν, οἵ γε καὶ τὴν γένεσιν αὐτῆς, καὶ τὸ κῦρος, καὶ τὴν ἀξίαν, καὶ τὴν ὅλην ἁγιότητα πολυτρόπως ἐπολέμησαν. Εἰ δὲ καὶ τοῦ μεγέθους τῆς ὑποθέσεως οὐκ ἐφικόμεθα κατ' ἀξίαν, ἀλλά γε καὶ Θεῷ φίλον τὸ κατὰ δύναμιν· οὐδ' ὁ πληρῶν ὅσον ἔχει τῆς ὀφειλῆς κατακρίνεται. « Ἰδοὺ γάρ (φησι) τὸ ῥῆμα Κυρίου ἐγένετο αὐτοῖς εἰς ὀνειδισμόν ». « Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου ».

ΤΕΛΟΣ ΤΟΥ Β'. ΒΙΒΛΙΟΥ

ΚΑΙ ΕΥΛΟΓΗΤΟΣ Ο ΘΕΟΣ ΤΗΣ ΑΛΗΘΕΙΑΣ.

# ΠΑΡΟΡΑΜΑΤΑ ΚΑΙ ΠΡΟΣΘΗΚΑΙ.

Σελ. 4. στίχ. 28. ἀντὶ Boetius γρ. Bootius. — Σ. 5. στ. 4. Γ. — Σ. 9. στ. 22. ἐγκαθιδρῦσαι. — Σ. 17. στ. 13. Μασορῖται. — Σ. 23. στ. 1. Μεχίλτας. στ. 10. περὶ — Σ. 39. στ. 24. Elohim. — Σ. 37. στ. 22. συγγράμματι τῷ πρὸς. — Σ. 39. στ. 36. παραμορφῶσαι. — Σ. 41. στ. 15. εἶδε. — Σ. 42. στ. 19. οἷον. — Σ. 43 στ. 24. Ἀβράμῳ. — Σ. 46. στ. 31. ἦν. — Σ. 50 στ. 33. Cappellus. — Σ. 54. στ. 4. παραναγνώσματα . . . παρακούσματα. στ. 22. ἀντὶ παραπλανηθέντες. γρ. παρακινηθέντες. — Σ. 55. στ. 29. Orient. — Σ. 59. στ. 12. Θεοκρατίαν. — Σ 61. στ. 20. ἀντὶ περιοκῶν γρ. περσικῶν — Σ. 65. στ. 21. ἔτυμον. — Σ. 88. στ. 26. Φιλάδελφον. — Σ. 98. στ. 2. πρόσθες καὶ τὸ τοῦ Διφίλου. « Ἀγνοεῖς ἐν ταῖς ἀραῖς Ὅτι ἐστὶν, εἴ τις μὴ φράσαι ὀρθὴν ὁδόν » ; (πρβλ. Δευτερ. κη, 18. « Ἐπικατάρατος ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ »). — Σ. 107. στ. 32. σταλακτῖται. — Σ. 111 στ. 21. μετὰ τὸ ἀποικίας, πρόσθες (πρβλ. Ariae Montani F a l e g, in Crit. Sacr. τ. 8. p. 55o. Lond.). στ. 25. μετὰ τὸ 1226 (πρόσθες). Καὶ Ἡρακλείδης ὁ Ποντικὸς π ό λ ι ν ἑ λ λ η ν ί δ α τὴν Ῥώμην λέγων, Ἕλληνας ὑπελάμβανε τοὺς Ῥωμαίους (Πλούτ. Καμίλ. §. κϐ. πρβλ. Διον. Ἁλκ. Ἀρχ. Α. σελ. 76). Ὅθεν — Σ. 120. στ. 35. ἐτυμολογίαν. — Σ. 121. στ. 23 ἐτυμολογῶν. — Σ. 125. στ. 30. χρῄζοντες. — Σ. 126. στ. 12. ἔλεγεν. στ. 27. ἐλλειπ. — Σ. 127. στ. 27. κατεστιγμένα. στ. 35. πρόσθ. Le Moyen Var. Sacr. T. 2. p. 347. — Σ. 129. στ. 34. φαντασιοκοπίας. — Σ. 131. στ. 24. Γαλιλαίαν. — Σ 132. στ. 20 Φίλων (βλ Βιϐλ. Α. κεφ. ιδ. σελ. 469). 33. ἀντὶ Mangey γράφ. Bernard. — Σ. 134. στ. 31. Σολομωντείους. — Σ. 135. στ. 14. τὴν Δ. 25. μετωνομάσθη. — Σ. 136. στ. 5. Σαγχωνιάθωνος. — Σ. 137. στ. 27. ἐφ' ἧς. — Σ. 139. στ. 6. Ἀλέξαν. 31. Tom. 2. — Σ. 142. στ. 5. παρέργως. — Σ. 148. στ. 10. ταὐτιζόμενα, ἄσμενοι. — Σ. 153. στ. 17. Σαμωσατεύς. — Σ. 158. στ. 27. ἐξάλειψον τὰ (ὡς γράφετ' ἐσφαλμένως παρὰ Κλήμεντι Στρ. α. 410.). βλ. σελ. 457 — Σ. 159. στ. 2. Λογγῖνον. βλ. Βιϐλ. Α. σελ. 582. στ. 9 Σαγχωνιάθωνος. — Σ 160. στ. 31. καὶ ὁ Γερμανὸς Ὀλεάριος ἐν τῇ τοῦ Ἄγγλου Stanlei. — Σ. 161. στ. 11. ἐσύλων. — Σ. 181. στ. 34. Ὀρειϐάσιος. — Σ. 183. στ. 30. ἐμέτρουν. — Σ. 186. στ. 7. Pigul. — Σ 187. στ 28. Τηϐέθ. — Σ. 190. στ. 1. συνεθισθεῖσαν. 21. hebr. 30. Galeat. — Σ 209. στ. 32. Φράγκελος. — Σ. 215. στ. 26. μαρσυππίῳ. 33. βάλετε. — Σ. 218. στ. 28. καταποικίλλει. — Σ. 220. στ. 9. συνέπεσον συγκυρίαν — Σ. 223. στ. 25 μεγατίμου. — Σ. 227. στ. 30. γῆς. — Σ. 231. στ. 25. Σταγειρῖται. — Σ. 232. στ. 13. Bereschith. στ. 28. Schemoth. στ. 30. Vajedaber, Hadevarim. — Σ. 233. στ. 3. ιϐ. — Σ. 240. στ. 23 τὸ. — Σ 245. στ. 36. εἴδομεν. — Σ. 250. στ. 1. Hevel. — Σ. 264. στ. 34 εἶπον. — Σ. 286. στ. 17. ἑϐδομὰς, προσκεκλήρωται. — Σ. 294. στ. 20. Benai. — Σ 309. στ. 33. αὐτ. καὶ §. 26. — Σ 335. στ. 36. προσετίθει. Σ. 347. στ. 21. ἐωνημένους. — 380. στ. 27. (πρόσθες) βλ. καὶ Cleric. Ars critic. T. 2. p. 10. — Σ. 388. στ. 22. κατεγέλα. — Σ. 400. στ. 3. εἰσκυλῆσαι στ. 29 προσκληθέντων. — Σ. 406. στ. 25: μετὰ τὸ Πέτρῳ) πρόσθες· Οὕτω καὶ Πράξ.

α, 14. « Σὺν γυναιξὶ, καὶ Μαρίᾳ, τῇ Μητρὶ τοῦ Ἰησοῦ ». Τοιοῦτο καὶ τὸ « Ὦντε οἱ προφῆται ἐλάλησαν . . . καὶ Μωσῆς » Πράξ. κς, 22: Οὕτω καὶ τὸ « Ἐν προφήταις καὶ ψαλμοῖς. » — 419. στ. 6. τῶν — Σ. 430. στ. 18. Ἀπο. στ. 21. Λεόντιος ὁ. — 431. στ. 31. Τιμ. — Σ. 432. στ. 19. παραναγινωσκομένην. — Σ. 440 στ. 29 Mücke.— Σ. 445. στ. 8. ἱστορικός. — Σ. 448. στ. 6. ἐσχηματισμένον. — Σ. 463. στ. 25 μεθηρμήνευσαν. — Σ. 475. στ. 19. Δεβώῤῥας. — Σ. 484. στ. 18. εἰλήματα. — Σ. 491. στ. 11. μετὰ τὸ τῆς Παλαιᾶς, γρ. ἐν τρισὶ τμήμασι, καὶ τὰ τῆς Καινῆς Διαθ. ἐν ἑνὶ τμήματι. — Σ. 496. στ. 17. Ἰλλυριοί. — Σ. 533. στ. 10. ὅτι. στ. 16. Στράβωνα),. — Σ. 540. στ. 26. Antiochus. — Σ. 562. στ. 9. Ὀνίειον. — Σ. 574. στ. 19. φυλλομετρείτωσαν. — Σ. 575. στ. 2. τὸν. — 576. στ. 18. χρῖμα. — Σ. 586. στ. 30. σελ. 589. — Σ. 589. στ. 14. ὀνομάζει. ὠνόμαζον. — Σ. 592. στ. 11. Γραφῶν (πρόσθες) βλ. σελ. 363.—Σ. 610. στ. 11. νοτιωτέρων. στ. 24. ἡ. —Σ. 619. στ. 30. προστιθέασιν.— Σ. 622. στ. 10 αὐτῇ, — Σ 637. στ. 37. (πρόσθες) Τῆτες ἐξέδωκε τὸ Κισιανὸν ἀπόγραφον καὶ Χάνος (Ang. Hahn) μετὰ κριτικῶν σημειώσεων. Lipsiae, 1845. — Σ. 641. στ. 16. varietate. — Σ 652 στ. 32. Fragm. — Σ. 654. στ. 34 Οὐβιγάντην. — Σ. 656 στ 34 Σαμαρεῖται. — Σ. 657. στ. 4. ὀνόμασι. — Σ 659. στ. 9. οἰκεῖν. — Σ. 660. στ. 22. Βααλεὶμ. — Σ. 662. στ. 11. ὡς καὶ Ἰεβ. — Σ. 663. στ. 19. Misraim. στ. 38. N. Test. Tom. — Σ. 666. στ. 17. Häkenaani. στ. 18. Hamechurathi. — Σ 670. στ. 3. Meschech. — Σ. 677. στ. 4. Jechovah. — Σ. 680. στ. 26. Echad. — Σ. 684. στ. 19. voc. — 688. στ. 30 ἀμυγδαλᾶς. — Σ 697. στ. 26. σαμβέχ. — Σ. 702. στ. 23. Κομπλουτησίας. στ. 24. Ὀξωνιακόν. — Σ. 703. στ. 18. ὅστις. — Σ. 718. στ. 29. iteratas. — Σ 729. στ. 26. mem. — Σ 744. στ. 19 τεσσαρακονταετεῖ. Σ. 745. στ. 8. βότρυς. — Σ. 746. στ. 6. (πρόσθες). Βλ. καὶ Δ, Βασιλ. ιζ, 17. ὅπου « Διῆγον τοὺς υἱοὺς αὐτῶν ἐν πυρί » (οἱ υἱοὶ Ἰσραήλ)· καὶ πάλιν αὐτ. §. 31. « Κατέκαιον τοὺς υἱοὺς αὐτῶν ἐν πυρί » (οἱ Χουθαῖοι). Ἡ διαφορὰ τῆς φράσεως δείκνυσι δύω πράξεις διαφόρους (πρβλ. Selden. de Dijs Syr. II, 12. p 216). — Σ. 758. στ. 3 τὸν. — Σ. 783. στ. 20 Io. — Σ. 794. στ. 5. Io. στ. 22. tribulatione· Σ. 791. στ. 18. selos — Σ. 799. στ. 14. ἀείποτε. — Σ. 831. στ. 7. Ἰουδαίων. — Σ. 837. στ. 33. μετὰ τὸ προαύγασμα (πρόσθες) (βλ. Ἰουστῖν. Διαλ. π. Τρυφων. σελ. 167). — Σ. 846. στ. 7. μετὰ τὸ Ὁμιλ. η. (πρόσθες). Καὶ αὐτῶν τῶν Ἰουδαίων οἱ Ῥαββῖνοι (ἐπὶ Ἰουστίνου. Διαλ. π. Τρύφ. σελ. 217) « ᾤοντο τὸν Θεὸν χεῖρας καὶ πόδας ἔχειν ». κτλ. πρβλ. Ὠριγ. Ὁμιλ. γ. εἰς Γένεσ. Εὐσέβ. εἰς Ψαλμ. σελ. 313: 336: Κύριλ. κ. Ἰουλ. γ, κτλ. καὶ Φίλων. τ. α. σελ. 50. — Σ. 850. στ. 32. l. c. (πρόσθες) Kennicot. Dissert. etc. vol. 2. p. 338. στίχ 36 (πρόσθες) Φώτιος Ἐπιστολ. ρξβ, ρξγ. — Σ. 856. στ. 8. pigul. — Σ. 885. στ. 25 παλιλλογία. — Σ. 905. στ. 26. ἀντὶ θὲς τρυγητοὶ γρ. τρυγητοί· πρόσθες καί. — Σ. 920. στ. 9. ἐξάλειψον τὸ τινι. — Σ. 923. στ. 3. δηλαδή.

Date Due

[redacted]
JUN 15 1990

PRINTED IN U. S. A.

BS44 .039 v.2
Peri ton O' ermeneuton tes palaias
Princeton Theological Seminary–Speer Library
1 1012 00045 8291